A documenta in contrarium versa sunt, hoc quoque quamplurimis in dissolutionem ac peccati occasionem cessit. Siquidem ex divinis hymnis non ingenti compunctione afficiuntur : verum cantus suavitate ad irritandas et exstimulandas libidines abutentes, nihilo eam scenicis cantilenis præstantiorem esse existimant. Operæ pretium est igitur, si quod Deo gratum est, quærere, atque id, quod ex utilitate publica est facere volumus, iis ut Christo cauponum instar ad quæstum abutentibus et divinam gratiam in exitii mercedem convertentibus, ne deinceps in ecclesia canant, atque in civitate maneant, interdicere.

ΚΑ'. — ΗΛΙΑ ΜΟΝΑΧΩ.

Ὅτι οὐκ ἔστι μέχρι τοῦ σχήματος τὸ ἐπάγγελμα τοῦ μοναχοῦ.

B

Χαίρω ταῖς περὶ σοῦ μαρτυρίαις, πολλὴν εἰς ἐπίτασιν ἀγούσαις ἐγκρατείας (89)· καὶ εὔχομαι ἔχεσθαί σε [μέχρι] παντὸς τῆς ἱερᾶς ἀγκύρας, καὶ ὑποκρούεσθαι σοφῶς τὴν ζάλην τῆς ἀπάτης, ὡς ἂν εἰς τὸν ἀκύμονα τῆς γαλήνης λιμένα καταντήσῃς ἀκλυδωνίστως, οὔτε πνοὰς δειλιῶν πειρασμῶν ἐμβαλλούσας σοι, οὔτε ὑψηλοφρονήσῃς πρὸς ῥηγνύμενα κύματα, ὧν μάλιστα χρή σε κρατεῖν, εὐχερῶς ῥιπιζόντων εἰς πτώματα.

XCI. — HELIÆ MONACHO.

Non in solo habitu monachi professionem consistere.

Hominum de te testimoniis gaudeo, quibus ingens quædam tibi continentiæ laus tribuitur. Atque hoc tibi a Deo opto ut sacram anchoram ad extremum usque retineas, errorisque atque imposturæ tempestatem sapienter propulses, ut in tranquillitatis portum a fluctibus immunem sine jactatione pervenias, nec tentationum ventos impetum in te facientes extimescens, nec ad effractos fluctus insolenter te efferens : quos maxime abs te superari oportet, utpote ad ruinam facile impellentes.

ΚΒ'. — ΘΩΜΑ ΜΟΝΑΧΩ.

Περὶ τοῦ δεῖν πάντοτε νήφειν.

Φιλοσοφία ἀποστρέφεται θόρυβον, καὶ γυμνασία μοναχικὴ ἔξω κατορθοῦται συγχύσεως, ἵνα ταύτῃ χρήσηται ὑποβάθρᾳ τοῦ ὕψους τῆς ταπεινώσεως, τῇ κατὰ μόνας σχολῇ καὶ πραγμάτων ὀχληρῶν, καὶ ῥημάτων ἀπρεπῶν, * (90) σπουδαίως καὶ τελείως ἐκλαθόμενος. Εἰ δὲ τρίβωνα καὶ ὑπήνην, καὶ βάκτρον ἀρκεῖν ἡμῖν πρὸς ἐξάνυσιν τῆς ἀγγελικῆς πολιτείας οἰόμεθα, καὶ μέσοι δήμων, καὶ θεαμάτων καὶ ἀκουσμάτων ἀστικῶν συμφυρόμεθα, τοῖς ὀργάνοις τῆς νίκης μόνοις ἐναβρυνόμενοι, τὴν δὲ πάλην καὶ μάχην ἐκκλίνοντες, ἐξ ἧς ἡ νίκη προσγίνεται, μᾶλλον δὲ τὰς αἰτίας τῆς πάλης ἐν ἑαυτοῖς ἀνακαίοντες, λανθάνομεν κύνες τυγχάνοντες, καὶ πρὸς τὸν ἔμετον ὑποστρέφοντες, ἢ ὗς τῷ βορβόρῳ τῆς παλαιᾶς συνηθείας ἐγκαλινδούμενοι.

XCII. — THOMÆ MONACHO.

Oportere semper sobrium esse.

Philosophia strepitum aversatur, atque exercitatio monastica extra tumultum et confusionem perficitur: ut ad humilitatis fastigium attingendum hac veluti scala utatur, ac per solitudinis otium, et molestorum negotiorum et turpium sermonum omnem prorsus oblivionem hauriat. Quod si pallium et promissam barbam, et baculum ad angelicam vitam omnibus partibus explendam nobis sufficere arbitramur, atque inter medias turbas et spectacula, et acroamata urbica versamur, de solis victoriæ organis gloriantes, luctam ac pugnam, quibus victoriæ comparatur, defugientes, vel potius certaminis causas in nobis ipsis accendentes, non animadvertimus nos canes esse ad vomitum revertentes, aut sues in veteris consuetudinis cœno sese volutantes.

VARIÆ LECTIONES ET NOTÆ.

(88) Codd. Vat. 649 et Alt. χρωμένοις. Vers. seq. pro λογίζονται, λογιζομένοις, sensu non malo. Vers. 12, pro ταύτας cod. Alt. habet, αὐτάς. Sed quod deinde τῆς ᾠδῆς in ταῖς ᾠδαῖς mutat, minus apte videtur ad syntaxin congruere. Illud omnino melius quod vers. 13 tam idem cod. Alt. quam Vat. 649, Χριστοκαπήλους cum in prima syllaba, non ut editio cum η scribunt. Ex hac et 367 hujus libri epistola habes monialium monasteria in Ægypto extra urbes fuisse. Possin.

(89) *Πολλὴν εἰς ἐπίτασιν ἀγούσαις ἐγκρατείας.* Bavar. cod. habet πολλοὺς, quod præfero utrique diversæ lectioni, πολλὴν et πόλιν. Pro eo itaque quod Bilius vertit. Quibus ingens malim ita, etc., *Quæ (testimonia) multos ad enixius continentiæ studium adducunt.* Rittr.

— Vers. 1, *Πολλὴν*. Cod. Vat. 649 longe accommodatius ad rectam sententiam legit, πολλοῦς. Vers. 3, ὑποκρούεσθαι, codd. Vat. 649 et Alt. rectissime corrigunt, ἀποκρούεσθαι. Quod iisdem suggerunt vers. 6, ἀκλυδώνιστος, pro ἀκλυδωνίστως, videtur recipiendum. Vers. 7, pro ὑψηλοφρονήσῃς cod. Alt. legit ὑψηλοφροσύνης. Duo vero sequentia vocabula in unum jungens cod. Vat. 649, προσρηγνύμενα, scribit, quæ quin exprimant primigeniam scripturam vix equidem dubito. Possin.

(90) Lacunam asterisco indicatam post vocem ἀπρεπῶν explet cod. Alt. inserendo, καὶ σχημάτων εὐπρεπῶν. Idem autem vers. 6 suggerit lectionem inopinatam, de qua docti judicent, pro βάκτρον scribendo σβένυτρον. Vers. penult. pro ἢ ὗς τῷ βορ., etc., idem cod. Alt., suffragante Vat. 649, legit ἢ σύες τῇ βορβόρῳ. Possin.

Digitized by Google

XCIII. — TABENNESIÆ MONACHIS.

Non oportere multos esse magistros.

« Nolite multi magistri fieri, fratres, » scribit justus Jacobus [15]. Nolite multi magistri effici, monachi, scribo ego minimus Isidorus, etsi non probus monachus, at certe Jacobi auditor. **30** Æquum itaque fuerit vos, etiamsi auditoris vilitatem rejiciatis, at certe justam viri justi ac sapientis sapientiam vereri.

XCIV. — PANSOPHIO DIACONO.

In illud, « Omnia nuda et aperta oculis ejus. »

Hæc verba, « nuda et aperta [16], » translatione ducta a victimis quæ ad sacrificium adhibentur, a Paulo, ingenti sapientia prædito viro, scripta sunt. Quemadmodum enim illæ, cum pelles detrahuntur, omni conspicuo indumento spoliantur, abditarumque interne partium statum et affectionem indicant, atque ad ossium omnium et membrorum indagationem dissecantur, ut omnia, ob rei, cui adhibentur, puritatem expurgentur : eodem etiam modo in magno illo Domini die actionum nobis incognitarum et obscurarum patefactio cuncta denudabit, dissectionique similis apparebit. Neque enim quisquam latere poterit, verum omnes in apertum adducentur.

XCV. — EUTONIO DIACONO.

Quandoquidem exsecrationis illius, qua terra post mandatum a nobis violatum multata est, seges spina erat; Dominus autem, ut omnem in seipso morbum curaret, advenerat : idcirco spinea corona, ut victor, redimitus est, quemadmodum scilicet clari ac celebres victores faciunt, qui hoc ipsum telum aut instrumentum, cujus ope victoriam consecuti sunt, in triumphum gestant. « Confidite, inquit, ego vici mundum [17]. » Nam qui in humana natura fuit, nec tamen in humanis vitiis fuit, veterem generi nostro pulchritudinem reddidit, ac maledicti et exsecrationis robur in ipsa natura delevit [18].

XCVI. — MAXIMO PHILOSOPHO GENTILI.

Contra gentiles.

Philosophiam jactas, veræ sapientiæ inimicam, ipsum quoque hujusce rei nomen ejurans et infi-

ΚΓ'. — ΤΗ ΕΝ ΤΗ ΤΑΒΕΝΝΗΣΙΑ ΜΟΝΗ (91).

Περὶ τοῦ μὴ πολλοὺς γίνεσθαι διδασκάλους.

« Μὴ πολλοὶ γίνεσθε διδάσκαλοι, ἀδελφοί, » ὁ δίκαιος γράφει Ἰάκωβος. Μὴ πολλοὶ διδάσκαλοι γίνεσθε, μοναχοί, ὁ ἐλάχιστος γράφω Ἰσίδωρος· εἰ καὶ μὴ δόκιμος μοναχὸς, ἀλλ' Ἰακώβου ἀκροατής. Δίκαιοι τοίνυν ἂν εἴητε, εἰ καὶ τοῦ ἀκροατοῦ παραγράφεσθε τὴν εὐτέλειαν, ἀλλ' αἰδεῖσθαι τοῦ δικαίου καὶ σοφοῦ τὴν δικαίαν ἀπόφασιν.

ΚΔ'. ΠΑΝΣΟΦΙΩ ΔΙΑΚΟΝΩ.

Εἰς τὸ, « Πάντα γυμνὰ καὶ τετραχηλισμένα τοῖς ὀφθαλμοῖς αὐτοῦ. »

« Τὰ γυμνὰ καὶ τετραχηλισμένα » ἐκ μεταφορᾶς τῶν ἱερείων, τῶν εἰς θυσίαν προσαγομένων, τῷ πολύφρονι γέγραπται Παύλῳ. Ὥσπερ γὰρ ἐκεῖνα τῶν δορῶν (92) ἀφαιρούμενα, πάσης τῆς φαινομένης ἀπογυμνοῦται περιβολῆς, καὶ τῶν κεκρυμμένων ἔνδοθεν ἐπιδείκνυται τὴν διάθεσιν, καὶ τραχηλίζεται εἰς ἔρευναν παντὸς ὀστέου καὶ μέλους, πρὸς τὸ πάντα ἐκκαθαρθῆναι, διὰ τὴν τοῦ πράγματος ᾧ προσάγονται καθαρότητα· οὕτω καὶ ἐπὶ τῆς μεγάλης τοῦ Κυρίου ἡμέρας ἡ τῶν ἀδήλων καὶ ἀφανῶν ἡμῶν πράξεων ἀνακάλυψις, ἀπογυμνώσει καὶ τραχηλισμῷ ἐοικυῖα φανήσεται, οὐδενὸς λαθεῖν δυναμένου, ἀλλὰ πάντων εἰς τὸ ἐμφανὲς ἀγομένων.

ΚΕ'. — ΕΥΤΟΝΙΩ ΔΙΑΚΟΝΩ.

Ἐπειδὴ κατάρας ἦν ἡ ἄκανθα γεώργιον, ἣν ἡ γῆ κατεδικάσθη μετὰ τὴν ἡμετέραν παράβασιν, πᾶσαν δὲ θεραπεῦσαι ἐν ἑαυτῷ ὁ Κύριος παρεγένετο· τούτου χάριν ἀκάνθας ὡς νικηφόρος ἐστεφανώσατο, ὥσπερ οἱ δόκιμοι ποιοῦσι τῶν νικητῶν, αὐτὸ τὸ ὅπλον ἢ ὄργανον θριαμβεύοντες (93), δι' οὗ τὴν νίκην εἰργάσαντο, « Θαρσεῖτε, λέγων, ἐγὼ νενίκηκα τὸν κόσμον. » Ὁ γὰρ ἐν τῇ φύσει τῶν ἀνθρώπων γενόμενος, [καὶ ἐν τοῖς αὐτῶν πταίσμασι μὴ γενόμενος,] καὶ τῷ γένει τὴν ἀρχαίαν καλλονὴν ἀποδέδωκε, καὶ τὸ κράτος τῆς κατάρας ἐν αὐτῇ τῇ φύσει κατέλυσε.

ΚΣ'. — ΜΑΞΙΜΩ ΦΙΛΟΣΟΦΩ ΕΛΛΗΝΙ (94).

Κατὰ Ἑλλήνων.

Κομπάζεις φιλοσοφίαν ἐχθρὰν τῆς ὄντως σοφίας, καὶ αὐτὸ ἀρνούμενος τὸ τοῦ πράγματος ὄνομα. Οὐ-

[15] Jac. III, 1. [16] Hebr. IV, 13. [17] Joan. XVI, 33. [18] Galat. III, 13; Coloss. II, 14.

VARIÆ LECTIONES ET NOTÆ.

(91) Titulus hujus epistolæ sic scribitur in codd. Alt. et Vat. 649 : Τῇ ἐν Ταβεννήσῳ μονῇ. Vers. 5, παραγράφεσθε, iidem ambo codd. habent, παραγράφετε. Solus autem Alt. Vers. seq., epistolæ penult. legit αἰδεσθῆναι pro αἰδεῖσθαι. Possin.

(92) Quod legitur in edito δορῶν optimum est, et sine dubio præferendum lectioni quam offert cod. Vat. 649, legens φόρων. Sed eum hic merito deserit comes ejus alias individuus cod. Alt., nam hic diserte consentiens editioni, δορῶν habet. Vers ult. pro τὸ ἐμφανὲς, cod. Alt. elegantius scribit τοὐμφανές. Possin.

(93) Codd. Vat. 649 et Al. participium θριαμβεύοντες in verbum mutant, scribendo, θριαμβεύονται. Vers. 8, cod. Alt. post γενόμενος omittit καὶ, et post ἐν quod sequitur addit, δέ. Possin.

(94) In titulo, illa verba, φιλοσόφῳ Ἕλληνι, absunt a cod. Alt. Vers. 1, in iisdem cod. ἐχθραν scribitur cum acrentu in ε. Vers. 8 pro θεότητας, quod videtur rectum, unus cod. Vatic. 649, habet θεότητος. Possin.

Digitized by Google

δὲν γὰρ ἕτερόν ἐστι φιλοσοφία, ἢ τὸ πάντως φιλεῖν τὴν σοφίαν. Εἰ οὖν ὄντως ἐραστὴς εἶναι βούλει σοφίας, τὴν ὄντως ἀγάπα σοφίαν, οὐ τὸν λόγον μόνον, ἀλλὰ καὶ τὸν βίον σεμνύνουσαν, καὶ τὴν ἀληθῆ θρησκείαν παιδεύουσαν. Ἦν γὰρ αὐτὸς ἐπαγγέλλῃ, καὶ νῦν ὀφλισκάνει γέλωτα, θεότητας καλοῦσα τὰς πηγὰς τῆς αἰσχρότητος, καὶ ἐν τῷ μέλλοντι τιμωρίαν ὠδίνει [ἀσύγγνωστον], ὅπου σοι τοὺς Κωκυτοὺς καὶ Πυριφλεγέθοντας ὁ Πλάτων ἠπείλησεν.

A cians. Neque enim aliud quidquam est philosophia, quam sapientiam omnino amare. Quamobrem si tu verus sapientiæ amator esse cupis, veram sapientiam ama : quæ non sermonem duntaxat, sed etiam vitam exornat, ac veram religionem docet. Nam ea, quam nunc profiteris, et nunc ridicula est, ut quæ obscenitatis fontes divinitates vocet, et in futuro ævo cruciatum veniæ expertem parturit, ubi scilicet Cocytos tibi ac Phlegethontas Plato minatus est.

ϟΖ'. — ΥΜΗΤΙΩ.

Κατὰ Μακεδονιαρῶν, ἤτοι Πνευματομάχων.

Ἵνα δείξῃ τὴν πρὸς ἑαυτὸν καὶ τὸν Πατέρα τοῦ παναγίου Πνεύματος ἕνωσιν, ὁ Κύριος ἡμῶν καὶ Δεσπότης, ἔφη τοῖς μαθηταῖς ἐκ τῶν νεκρῶν ἀναστάς, « Λάβετε Πνεῦμα ἅγιον. Ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται · » τῇ αὐθεντίᾳ δῆλον ὅτι οὗ λαμβάνετε Πνεύματος, τοῦ θεϊκῶς (95) συγχωρεῖν τὰ ἁμαρτήματα ἔχοντος.

B

XCVII. — HYMETIO.

Contra Macedonianos, seu Spiritum impugnantes.

31 Dominus et herus noster, ut sanctissimi Spiritus secum et cum Patre conjunctionem ostenderet, a morte ad vitam excitatus, discipulis dixit, « Accipite Spiritum sanctum. Quorum remiseritis peccata, remittentur eis : [19] » auctoritate videlicet ejus, quem accipitis, Spiritus, hoc divine habentis, ut peccata remittat.

ϟΗ'. — ΦΡΟΝΤΙΝΩ (96) ΜΟΝΑΧΩ.

Περὶ τοῦ λαβόντος εἰς τὴν σιαγόνα.

Εἰ λόγοις ἐτρώθης, καὶ πρὸς ὀργὴν ἄσχετον ἐξηνέχθης, πῶς δύνασαι τοῦ Δεσποτικοῦ ἐργάτης γενέσθαι ἀμπελῶνος; τὸν γὰρ τὴν μίαν σιαγόνα παιόμενον, καὶ τὴν ἑτέραν προστιθέναι δυνάμενον, ἐκεῖνον εἶναι ὁρίζεται, [τὸν] τὸ βάρος τῆς ἡμέρας καὶ τὸν καύσωνα φέροντα, ὡς πᾶσαν ἐργασίαν τῆς ἐντολῆς τοῦ Κυρίου πληρώσαντα. Εἰ οὖν ὀρέγῃ τῶν μεγάλων μισθῶν [ἐκείνων], πρὸς τοὺς ἥττονας πόνους μὴ ἅλυε, ἀλλὰ στέργειν τοὺς μείζονας ἔθιζε, ὡς οὐκ ἄλλως δηνάριον κομιούμενος, εἰ μὴ κόπων τελειότητι μαρτυρούμενος.

C

XCVIII. — PHRONTINO MONACHO.

De eo qui plagam in maxillam accepit.

Si verbis vulneratus es, atque in impotentem iracundiam erupisti, quonam pacto Dominicæ vineæ operarius effici potes [20]? etenim eum, qui cum in unam maxillam feritur, alteram quoque adjungere potest, hunc esse statuit, qui diei pondus et æstum fert, ut qui omnem Dominici mandati operationem expleverit. Quare si te magnarum illarum mercedum cupiditas tenet, ad minores labores animum minime dejicias, verum ad majores amplexandos te exerce, ut qui alioqui denarium minime percepturus sis, nisi te labores plebe cumulateque subiisse constet.

ϟΘ'. — ΓΕΛΑΣΙΩ ΔΟΥΚΙ (97).

Περὶ ὑπερηφανίας, καὶ ἀδυναμίας, καὶ οὐθενότητος.

Ἔθος ἐστὶ τοῖς ἀνθρώποις, εἰ καὶ τῶν θείων ἀλλότριον νόμων, ὅμως ἐπὶ πολλοῖς ἢ γένει, ἢ φρονήσει, ἢ κτήσει, ἢ κάλλει, ἢ ἀξίᾳ ἐπαίρεσθαι. Οὐδὲν δὲ ὠφελεῖ πρὸς ὑπερηφανίαν αὐτοὺς τοὺς ἐκ τῆς γῆς ὄντας, καὶ πάλιν πρὸς αὐτὴν ὑποστρέφοντας. Τούτων ὅτι οὐδέν σοι τὸ σύνολον πρόσεστιν, οὐδ' ἂν αὐτὸς ἀρνηθείης. Εἰ οὖν πάντων τῶν πρὸς ἔπαρσιν φυσώντων ἐστέρησαι, δυσγενὴς ὢν καὶ πτωχὸς καὶ δύσνους καὶ ἰδιώτης [λίαν] καὶ δύσμορφος, τί [σοβεῖς διὰ τῆς πόλεως,] ὡς πάντων ἐπιδοξότερος, [καὶ] πολλῶν · αὐτῇ γίνῃ θορύβων ἀρχηγός; Ἢ γνῶθι τοίνυν σαυτὸν, καὶ σύμμετρον κτῆσαι τὸν τρόπον τῆς

D

[19] Joan. xx, 22, 23. [20] Matth. xx, 1 seqq.

VARIÆ LECTIONES ET NOTÆ.

(95) Pro τοῦ θεϊκῶς cod. Alt. legit τὸ θεϊκῶς, etc. Versu vero ult. ambo codd. Vat. 649 et Alt. ἔχοντος in διδόντος vertunt. Possin.

(96) Hæc epist. in codd. Vat. 649 et Alt. inscribitur non Φροντίνῳ, sed Φροντωνιανῷ. Vers. 3, τὴν μίαν σιαγόνα, cod. Alt. habet, τῇ μιᾷ σιαγόνι. Vers. 5 τὸν clausum uncinis a cod. Alt. abest. Possin.

(97) In titulo pro Δουκί codd. Vat. 649 et Alt. habent Δουκικῷ. Vers. 2 codd. iidem ἐπὶ mutant in ἐστί. Vers. 3 pro δὲ cod. Alt. γὰρ substituit. Idem vers. 8 δυσγενὴς in δυστενὴς convertit. Versu sequenti quod legitur in editis, λίαν, in codd. Vat. 649 et Alt. non comparet. Iidem codd. vers. antepenult. pro χρυσοῦ habent χαλκοῦ. Possin.

Digitized by Google

omnium mortalium clarissimus, per urbem insolenter, atque obvium quemque submovendo, graderis, multorumque ipsi tumultuum causam præbes? Quamobrem aut te ipsum nosce, ac mores vilitati tuæ consentaneos collige : aut adversus labores et pericula te instrue : quibus te ii, qui potentia præditi sunt, remunerabunt. Nam auro cares, quod adversarum rerum et flagrorum asperitates plerumque planas reddit.

A οὐδενείας σου, ἢ πρὸς πόνους καὶ κινδύνους παράταξαι, οἷς σε οἱ ἐν δυνάμει ἀμείψονται. Χρυσοῦ γὰρ ἀπορεῖς τοῦ ὁμαλίζοντος πολλάκις τὰς τῶν περιστάσεων καὶ μαστίγων τραχύτητας.

C. — SYRO LECTORI.

Contra Novatianos.

Dic ad Novatiani supercilii discipulum : Quid tanquam purus stolide gloriaris? Quid te ipsum peccati expertem simulas? Quid naturæ societatem inficiaris? Isaias immundum se esse prædicat [21,22]; David omnem hominem mendacem esse agnoscit [23], atque omnes in peccatis, et conceptos, et in lucem editos fuisse [24]. Atque etiam Deus ipse homines mirum in modum et sedulo improbitati addictos esse, ac sola humanitatis misericordia indigere ait, **32** et tu puritatis fastum arroganter jactas? Quamobrem aut mentiri desine, aut ex his quæ agis te irrideri constat, vel potius ingenti ignominia affici.

B

Γ'. — ΣΥΡΩ ΑΝΑΓΝΩΣΤΗ.

Κατὰ Ναυατιανῶν.

Εἰπὲ τῷ μαθητῇ τῆς Ναυάτου ὀφρύος· Τί φρυάττῃ ὡς καθαρὸς, ἀνοηταίνων (98); Τί ἀναμάρτητον σαυτὸν εἰρωνεύῃ; Τί ἀρνῇ τὴν τῆς φύσεως κοινωνίαν; Ἡσαΐας ἀκάθαρτον ἑαυτὸν ἐξαγγέλλει· Δαβὶδ πάντα ἄνθρωπον ψευδόμενον οἶδε, καὶ πάντας ἐν ἁμαρτίαις καὶ συλληφθέντας, καὶ κυηθέντας. Αὐτός τε Θεὸς τοὺς [ἀνθρώπους] ἐπιμελῶς προσκειμένους τῇ πονηρίᾳ γινώσκει, καὶ χρῄζοντας μόνου φιλανθρωπίας ἐλέου, καὶ σὺ ἀλαζονεύῃ καθαρότητος τῦφον; Ἧ παῦσαι τοίνυν ψευδόμενος, ἢ φαίνῃ ἐξ ὧν πράττεις γελώμενος, ἢ μᾶλλον δυνατῶς αἰσχυνόμενος.

CI. — THEOGNOSTO NOVO MONACHO.

Oportere semper sobrium esse.

Præclare ligonem arripuisti. Præclare res ex materia concretas, ut strangulantes, fugis. Præclare ad sublimem et excelsam vitam evolasti. Pervigil itaque, ut miles, incede, ne quis somnus obrepat, qui te frangat et emolliat, clypeique abjectorem ac perfugam, quod absit, reddat. Neque enim improbi hostis cogitationes ignoramus [25].

C

ΡΑ'. — ΘΕΟΓΝΩΣΤΩ ΜΟΝΑΧΩ ΝΕΟΠΑΓΕΙ.

Περὶ τοῦ δεῖν πάντοτε νήφειν.

Καλῶς ἥψω τῆς σμινύης συντόμως (99). Καλῶς τὴν ὕλην ὡς συμπνίγουσαν φεύγεις· καλῶς πρὸς ὑψηλὴν πολιτείαν ἐξέστης. Στῆκε τοίνυν γρηγορῶν ὡς ὁπλίτης, μή τις ὕπνος παρεισέλθῃ χαυνῶν σε, καὶ ῥίψασπιν, ὃ μὴ γένοιτο, δείξῃ. Οὐ γὰρ τοῦ Πονηροῦ τὰ νοήματα ἀγνοοῦμεν.

CII. — TIMOTHEO LECTORI.

Contra eos qui dicunt Deum passum esse, et unam esse in Christo naturam.

Quemadmodum nautæ hamum esca occultant, ac pisces improviso capiunt, eodem modo improbi hæresum defensores sermonis suavitate perversas suas sententias obtegentes, simpliciores homines ad mortem tanquam hamo quodam capiunt. Quocirca omni custodia serva cor tuum [26], ne Christi naturam post incarnationem merum duntaxat spectrum esse credas. Alterutram enim tollit, qui unam tantum confitetur : nempe vel divina mutata vel nostra imminuta. Hæc est Manis Charybdis per quam omnes in gehennam præcipites agere studuit.

D

ΡΒ'. — ΤΙΜΟΘΕΩ ΑΝΑΓΝΩΣΤΗ.

Κατὰ Θεοπασχητῶν, καὶ τῶν μίαν ἐπὶ Χριστοῦ φύσιν εἶναι λεγόντων.

Ὥσπερ οἱ ναυτικοὶ βρώματι τὸ δέλεαρ κατακρύπτουσι, καὶ τοὺς ἰχθύας ἀπροόπτως ἀγρεύουσιν· οὕτως οἱ πονηροὶ τῶν αἱρέσεων σύμμαχοι, τῇ χρηστολογίᾳ τὰς ἑαυτῶν κακονοίας καλύπτοντες, ἀγχιστρεύουσι τοὺς ἁπλουστέρους πρὸς θάνατον. Πάσῃ τοίνυν φυλακῇ τήρει τὴν σὴν καρδίαν, μή που [δόκησιν τὴν] τοῦ Χριστοῦ φύσιν (1) μετὰ τὴν σάρκωσιν δέξῃ. Θατέρας γάρ ἐστιν ἀναίρεσις ἡ περὶ μιᾶς [τούτων] συγκατάθεσις· ἢ τῆς θείας τραπείσης, ἢ τῆς ἡμῶν μειωθείσης. Αὕτη τοῦ Μάνητος ἡ Χάρυβδις, δι' ἧς πάντας εἰς γέενναν καταγαγεῖν ἐσπούδασε.

[21,22] Isa. vi, 5. [23] Psal. cxv, 11. [24] Psal. l, 7. [25] II Cor. ii, 11. [26] Prov. iv, 23.

VARIÆ LECTIONES ET NOTÆ.

(98) Pro ἀνοηταίνων codd. Vat. 649 et Alt. suggerunt, ἀμαθαίνων. Vers. penult. pro φαίνῃ cod. Alt. legit φανῇ. Possin.

(99) Cod. Vat. 649 et Alt. συντόνως malunt. Cod. Alt. vers. 3 pro ἐξέστης habet ἐξέπτης, et vers. penult δεῖξαι pro δείξῃ. Possin.

(1) Verba, μή που δόκησιν τὴν τοῦ Χριστοῦ φύσιν, sic melius exhibent codd. Vatic. 649 et Alt., μήπως μίαν Χριστοῦ φύσιν μετὰ τὴν, etc. Quod vers. seq. exstat τούτων, ab utroque isto abest codice, qui et conveniunt in mutando, versu ultimo, καταγαγεῖν in καταπάσαι. Possin.

Digitized by Google

ΡΓ'. — ΤΩ ΑΥΤΩ.

Διὰ τί μετὰ τὴν ἀνάστασιν ὁ Κύριος τρὶς τὸν Πέτρον περὶ ἀγάπης ἠρώτησεν.

Ἡ τριπλῆ τοῦ Κυρίου πρὸς Πέτρον περὶ ἀγάπης ἐρώτησις, οὐκ ἔστιν ἀγνοίας τοῦ Δεσπότου ὑπόνοια· μὴ οὕτως τινὲς παραλογιζέσθωσαν (2)· ἀλλὰ τὸ τριπλοῦν τῆς ἀρνήσεως, τῷ τριπλῷ τῆς συγκαταθέσεως, ὁ ἀγαθὸς Ἰατρὸς ἐξωστράκισε.

ΡΔ'. — ΛΕΟΝΤΙΩ.

Περὶ τοῦ ἀναξίως ψαύειν τῆς χειροτονίας τοῦ ἐπισκόπου.

Οὐκ ἔστι τῶν τυγχανόντων (3) ἐπισκοπῆς ἐρᾷν, ὦ θαυμάστε, ἀλλ' ὧν ὁ βίος ἐκ τῶν Παύλου νόμων ἰθύνεται. Εἰ οὖν ἐκείνην ἐν σεαυτῷ θεωρεῖς τὴν ἀκρίβειαν, ἴθι ἀσμένως πρὸς τὴν [τοῦ] τοσούτου ὕψους ἀνάβασιν. Εἰ δὲ οὐ πρόσεστί σοι αὕτη, μέχρις ἂν κτήσῃ, μὴ ψαύσῃς τῶν ἀψαύστων. Πρόσεχε πυρὶ προσεγγίζειν τὴν ὕλην δαπανῶντι.

ΡΕ'. — ΕΥΤΟΝΙΩ ΔΙΑΚΟΝΩ.

Διὰ τί ὁ Ἰωάννης τοὺς Ἰουδαίους γεννήματα ἐχιδνῶν ἐκάλεσε.

Γεννήματα ἐχιδνῶν Ἰωάννης τοὺς Ἰουδαίους ἐκάλεσεν, ὡς πονηρῶν γονέων κυήματα πονηρότερα. Φασὶ γὰρ τουτὶ τὸ θηρίον κατεσθίειν (4) τὴν μητρῴαν νηδὺν ἐν τῷ ἀποτίκτεσθαι. Ἐπειδὴ οὖν τὸν γεννήσαντα αὐτοὺς Θεὸν ἐγκατέλιπον καὶ πᾶσαν δεδομένην αὐτοῖς χάριν ἐνέκρωσαν καταργήσαντες, εἰκότως ἐκείνοις αὐτοὺς ἀπεικάζει τοῖς ἰοβόλοις, ἀχαριστίᾳ τὰς εὐεργεσίας ἐξαφανίζουσιν, ἢ μᾶλλον εἰπεῖν κατεσθίουσιν.

ΡΣ'. — ΤΙΜΟΘΕΩ ΑΝΑΓΝΩΣΤΗ.

Εἰς τό, « Μὴ ποιεῖτε τὸν οἶκον τοῦ Πατρός μου οἶκον ἐμπορίου. »

Νουνεχῶς ἐρωτῶντι ἀνάγκη σοι ἀποκρίνεσθαι. Λάλει γὰρ, φησὶν, εἰς ὦτα ἀκουόντων. Καὶ, « Ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω. » — « Μὴ ποιεῖτε τὸν οἶκον τοῦ Πατρός μου οἶκον ἐμπορίου, » τοῖς τὰς περιστερὰς πωλοῦσιν ὁ Κύριος εἶπε, τοὺς ἱερεῖς αἰνισσόμενος, τὰς τοῦ ἁγίου Πνεύματος ἀπεμπωλοῦντας δωρεάς· ἐπειδὴ ἐν εἴδει περιστερᾶς τὸ θεῖον ἐπεφάνη Πνεῦμα, τοὺς Θεοκαπήλους προπηλακίζον. Τὸ δὲ, « Ἄρατε ταῦτα ἐντεῦθεν, » Οὐ χρεία λοιπὸν, φησὶ, τῶν αἱμάτων· ἀναίμακτον ἐγὼ χαρίζομαι πταισμάτων ἄφεσιν· ἐκ τοῦ δεῦρο πνεῦμα (5) μόνον ἐξιλάσκεσθαι βούλομαι. Ὁ σαρκικὸς πεπλήρωται νόμος, ὁ τοῦ πνεύματος κρατείτω, καὶ τῆς σωτηρίας ἀρχέτω.

CIII. — EIDEM.

Cur post resurrectionem Dominus ter Petrum de dilectione interrogavit.

Triplex Domini ad Petrum de charitate interrogatio [27], a Domini ignoratione proficisci minime existimanda est (ne ita quidam decipiantur), verum triplicem negationem triplici assensione bonus Medicus depulit.

CIV. — LEONTIO.

De indigna ordinatione episcopi.

Non est quorumlibet, vir præclare, episcopatum appetere : verum eorum, quorum vita ex Pauli legibus dirigitur [28]. Quamobrem si illam in te ipso sinceritatem perspicis, libenti atque alacri animo ad tanti fastigii ascensum perge. Sin autem ea tibi deest, quoad ipsam adeptus sis, ea, quæ attingere nefas est, minime attinge. Cave ne ad ignem, qui materiam absumit, accedas.

CV. — EUTONIO DIACONO.

Cur Joannes Judæos genimina viperarum vocavit.

Viperarum progeniem Joannes Judæos appellavit [29], ut improborum parentum improbiores fetus. Aiunt enim hanc feram maternum **33** ventrem, cum in lucem editur, arrodere. Quoniam igitur Deum, qui eos genuit, dereliquerunt [30], atque omnem sibi concessam gratiam exstinxerunt (ea videlicet in irritum redacta), merito proinde venenatis animantibus eos confert, per ingratitudinem accepta beneficia obliterantibus, ne dicam corrodentibus.

CVI. — TIMOTHEO LECTORI.

In illud, « Nolite facere domum Patris mei, domum negotiationis. »

Tibi, qui prudenter interrogas, respondere necesse est. Loquere enim, inquit Scriptura, in aures audientium [31]. Ac rursum, « Qui habet aures audiendi, audiat [32]. »—« Nolite facere domum meam domum negotiationis [33], » ad eos qui columbas vendebant, dixit Dominus : sacerdotes, qui Spiritus sancti dona vendebant, significans, quandoquidem in columbæ specie [34] Spiritus sanctus apparuit, eos, qui ex Deo cauponum ritu quæstum captant, insectans. Quod autem ait : « Tollite ista hinc [35], » perinde est ac si diceret : Non jam cruoribus opus est. Incruentam ego culparum veniam largior. Deinceps spiritum solum placari volo. Carnalis lex impleta est, spiritus lex jam imperet, ac salutis principatum obtineat.

[27] Joan. xxi, 15 seqq. [28] I Tim. iii, 1 seqq.; Tit. i, 7 seqq. [29] Matth. iii, 7. [30] Deut. xxxii, 18. [31] Eccli. xxv, 12. [32] Luc. viii, 8. [33] Joan. ii, 16. [34] Matth. iii, 16. [35] Joan. ii, 16.

VARIÆ LECTIONES ET NOTÆ.

(2) Pro τινὲς παραλογιζέσθωσαν melius legunt codd. Vatic. 649 et Alt., μὴ οὕτως τις παραλογιζέσθω σε. Possin.

(3) Vers. 4, τῶν τυγχανόντων, melius codd. Vat. 649 et Alt. τῶν τυχόντων. Vers. 4 iidem pro τοσούτου habent τοιούτου. Vers. 5 pro iis, εἰ δὲ οὐ πρόσεστί σοι αὕτη, ambo codd. legunt, εἰ δέ τί σοι ταύτης ἐλλείπει. Vers. pen. post κτήσῃ addunt, κἀκεῖνο, et paulo post προσεγγίζειν in προσεγγίζεις vertunt. Possin.

(4) Locus ille, κατεσθίειν, etc., sic effertur in codd. Vat. 649 et Alt., κατεσθίον τὴν μητρῴαν νηδὺν ἀποτίκτεσθαι. Possin.

(5) Pro πνεῦμα codd. Vatic. 649 et Alt. πνεύματι habent, quæ est haud paulo melior lectio. Possin.

Digitized by Google

CVII — EIDEM.

De Testamentorum concordia.

Nullam, o amice, dogmatum novitatem Dei Filius legi ac prophetis induxit : verum iis, quæ olim de ipso prædicta fuerant, finem imposuit [46]. Ac prorsus, si Vetus Testamentum attento animo evolvas, omnia quæ Novo Testamento continentur, in eo prædicata esse comperies. Quamobrem iis qui legi invitebantur viamque novam et peregrinam evangelicam doctrinam esse arbitrabantur, ex ipsis legis verbis, dogmatum gratiæ veritatem declarat. Sicque internam utriusque Testamenti concordiam videbunt.

CVIII — PROÆRESIO SCHOLASTICO.

De vivente verbo.

Orationum congeriem habes, ut audio, quibus aures quidem oblectantur, animus autem minime alitur. At tibi vivo sermone opus est : quo qui caret, nihil aliud est quam cymbalum tinniens [47]. Quocirca si eum insuper acceperis, canorum ac suave organum eris, Deoque et hominibus concinnum.

CIX — MARATHONIO MONACHO.

Contra Macedonianos seu Spiritum impugnantes.

Cum Deus et Salvator noster homo factus Spiritum sanctum divinam Trinitatem complere **34** tradiderit, atque in sancti baptismi invocatione una cum Patre ac Filio, tanquam a peccatis liberans, numeretur, et in mystica mensa communem panem, proprium incarnationis ipsius corpus reddat, quid tu, o vesane atque attonite, eum quiddam factitium aut creatum, aut servilis naturæ, ac non herilis et effectricis, ac regiæ essentiæ cognatum, et consubstantialem Spiritum sanctum esse doces? Nam si servus est, cum Domino minime numeretur. Si creatus est, cum Creatore minime conjungatur. Cum eo porro copulatus ac numeratus est, quandoquidem exacto hujusmodi rerum doctori Christo fidem adhibere convenit, de natura certo docenti : etsi tibi secus videatur, sapientiori scilicet viro, ac majori cœlestium rerum cognitione præditum te esse jactanti, vel, ut rectius loquar, adversus Deum impudenter argutanti.

CX — CRATONI MONACHO.

Religiosam vitam professos debere omnia quæ in ea sunt laboriosa alacriter amplecti.

Qui religiosam vitam profiteri studet, ac salutis

ΡΖ'. — ΤΩ ΑΥΤΩ.

Περὶ τῆς τῶν Διαθηκῶν συμφωνίας.

Καινότητα δογμάτων, ὦ φιλότης, οὐδεμίαν τῷ νόμῳ καὶ τοῖς προφήταις ὁ τοῦ Θεοῦ Υἱὸς ἐπεισήγαγεν (6), ἀλλὰ τοῖς πάλαι περὶ αὐτοῦ προφανθεῖσι τὸ πέρας ἐπέθηκε. Καὶ πάντως νουνεχῶς τὴν Παλαιὰν ἀναπτύσσων, πάντα τὰ τῆς Νέας ἐν αὐτῇ κηρυχθέντα εὑρήσεις. Τοῖς τοίνυν ἐπὶ τῷ νόμῳ ἐρηρεισμένοις, καὶ ξένην ὁδὸν τὴν εὐαγγελικὴν οἰομένοις, ἐκ τῶν τοῦ νόμου ῥημάτων, τῶν τῆς χάριτος δογμάτων τὴν ἀλήθειαν τρανοῖ. Καὶ δῆλονται οὕτως [τὴν] ἀμφοτέρων τῶν Διαθηκῶν ἐνδιάθετον συμφωνίαν.

ΡΗ'. — ΠΡΟΑΙΡΕΣΙΩ ΣΧΟΛΑΣΤΙΚΩ.

Περὶ τοῦ ζῶντος λόγου.

Λόγων ἔχεις συναγωγὴν, ὡς μανθάνω, ἀκοὴν μὲν τερπόντων, τὴν δὲ ψυχὴν οὐ τρεφόντων. Λόγου δὲ τοῦ ζῶντός σοι δεῖ, οὗ ὁ χρεὼν κύμβαλον ἀλαλάζον ἐστίν. Εἰ τοίνυν ἐκεῖνον προσλάβοις, ὄργανον ἔσῃ ἡδύφθογγον καὶ Θεῷ καὶ ἀνθρώποις εὐάρμοστον.

ΡΘ'. — ΜΑΡΑΘΩΝΙΩ ΜΟΝΑΧΩ.

Κατὰ Μακεδονιαῶν, ἤτοι Πνευματομάχων.

Εἰ ὁ Θεὸς καὶ Σωτὴρ ἡμῶν ἐνανθρωπήσας παρέδωκε συμπληρωτικὸν εἶναι τῆς θείας Τριάδος τὸ πανάγιον Πνεῦμα, καὶ ἐν τῇ ἐπικλήσει τοῦ ἁγίου βαπτίσματος σὺν Πατρὶ καὶ Υἱῷ ὡς ἐλευθερούντων ἁμαρτιῶν, ἀριθμούμενον, καὶ ἐπὶ τῆς τραπέζης τῆς μυστικῆς τὸν ἄρτον τὸν κοινὸν, σῶμα ἰδικὸν τῆς αὐτοῦ σαρκώσεως ἀποφαῖνον (7)· πῶς διδάσκεις, ἐμβρόντητε, ποιητὸν, ἢ κτιστὸν, ἢ τῆς δούλης φύσεως εἶναι, ἀλλ' οὐ τῆς δεσποτικῆς, καὶ δημιουργοῦ, καὶ βασιλίδος οὐσίας συγγενὲς καὶ ὁμοούσιον τὸ Πνεῦμα τὸ ἅγιον; Εἰ γὰρ δοῦλον, μὴ ἀριθμείσθω μετὰ τοῦ Δεσπότου. Καὶ [εἰ] κτίσμα, μὴ συγκείσθω τῷ Κτίστῃ. Ἥνωται δὲ καὶ συνηρίθμηται, ἐπειδὴ τῷ ἀκριβεῖ τῶν τοιούτων δογματιστῇ τῷ Χριστῷ πείθεσθαι χρὴ, ἀσφαλῶς τὰ περὶ τῆς οἰκείας οὐσίας διδάσκοντι· εἰ καί σοι μὴ δοκεῖ, τῷ σοφωτέρῳ τε καὶ τὰ οὐράνια πλέον Θεοῦ εἰδέναι κομπάζοντι, ἢ μᾶλλον τολμηρῶς ῥητορεύοντι κατὰ Θεοῦ.

ΡΙ'. — ΚΡΑΤΩΝΙ ΜΟΝΑΧΩ.

Ὅτι ὁ ἀσκήσιν ἐπαγγελλόμενος, πάντα τὰ αὐτῆς ἐπίπονα προθύμως ὀφείλει ἀσπάζεσθαι.

Ὁ ἀσκῆσαι βουλόμενος, καὶ σωτηρίας ἐφιέμενος,

[46] Luc. xxiv, 25 seqq. [47] I Cor. xiii, 1.

VARIÆ LECTIONES ET NOTÆ.

(6) Ἐπεισήγαγεν. Melius cod. Alt. legit ὑπεισήγαγεν. Vers. 6 εὑρήσεις codd. Vat. 649 et Alt. in præsenti ponunt εὑρίσκεις. Possin.

(7) Ut hic ait Spiritum sanctum in sacra Domini cœna (quam vocat mensam mysticam) panem communem reddere proprium incarnationis Christi corpus, sic et infra de vino loquitur epist. 515, quod ex ejus primitiis Spiritus divinus sanguinem Christi efficiat, ὡς αἷμα Χριστοῦ τὴν τούτου (τοῦ οἴνου) ἀπαρχὴν τὸ θεῖον ἐργάζεται Πνεῦμα. Ritt.

— Inscribitur hæc epistola in codd. Vat. 649 et Alt. non Μαραθωνίῳ, sed Μακεδονιανῷ. Vers. 9 δημιουργοῦ in δημιουργικῆς muta, auctore cod. Alt. Vers. 14 pro τῷ Χριστῷ cod. Vat. 649 τοῦ Χριστοῦ legit. Vers. 16 pro σοι μὴ δοκεῖ cod. Alt., omissa negatione, σοι δοκεῖ habet. Versu eodem post σοφωτέρῳ ce uterque cod. Θεοῦ addit. Possin.

Digitized by Google

πάντα τὰ αὐτῆς ἐπίπονα, ὁποῖα καὶ ὅσα δ' ἂν ᾖ, προθύμως ἀσπάζεται. Ὁ δὲ παρ' ἀξίαν πράττειν ἐν τῇ ἀσκήσει, ἢ ταῖς αὐτῆς διακονίαις οἰόμενος, τὸν ἔξω τῦφον ἐνδέδυται, ὃν ἀποθέσθαι ἀμήχανον, εἰ μὴ μνήμην ἔχοι (8) τοῦ σώματος, ὅθεν ὑπέστη, καὶ ὅπου πάλιν ἀναλύσει.

A cupiditate flagrat, omnia, quæ in ea dura et laboriosa sunt, quæcunque tandem illa sint, prompto animo amplectitur. Qui autem in religiosa exercitatione ipsiusque ministeriis non pro merito suo ac dignitate secum agi existimat, externo fastu indutus est: quem deponere non potest, nisi illud memineri, unde corpus ipsi ortum sit [38], et quo tandem revertatur.

ΡΙΑ'. — ΖΩΣΙΜΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Περὶ τοῦ διὰ χρημάτων χειροτονηθέντος.

Ἔλαβες ἱερωσύνην ἀνιέρως, ἀνίερε, χρήμασι κλέψας πρᾶγμα οὐράνιον, δεύτερος Καϊάφας, ἀργυρίῳ λαβὼν τὰ ἀπόῤῥητα. Ἀλλ' ἔστιν ἐλπὶς μεταβαλέσθαι σε πρὸς χρηστότητα. Ἐναντίον γάρ τι εἰπεῖν (9) σοι οὐ βούλομαι.

CXI. — ZOSIMO PRESBYTERO.

De eo qui data pecunia ordinatus est.

Homo profane, profano modo sacerdotium accepisti, rem videlicet cœlestem pecunia suffuratus, novumque Caipham te præbens, ut qui res arcanas et mysticas argento tibi compararis. At spes est te * ad benignitatem migraturum. Contrarium B enim tibi quidquam dicere nolo.

ΡΙΒ'. — ΕΥΣΕΒΙΩ ΕΠΙΣΚΟΠΩ.

Ὅτι ἃ λέγομεν (f. ἃ λέγομ.) οἱ ἱερεῖς ὀφείλομεν ποιεῖν.

Διδάσκεις ἐπ' ἐκκλησίας τερπνῶς, ἀλλ' εἴθε μᾶλλον εὐεργετικῶς. Ἔοικας γάρ τινι ἐφ' ὕψους βάλλοντι λίθους (10), ὁ διάκοντι τῆς πτώσεως αὐτοῦ τὴν εὐθύτητα, καὶ ταύτην ἐφ' ἑαυτὸν προσκαλουμένῳ. Ὁ γὰρ τῶν ἁμαρτημάτων ἔλεγχος, εἰ ἐν ἡμῖν θεωρεῖται, διὰ τῶν ἔργων τοὺς λόγους ἀρνούμενος, οὐ μόνον τοὺς ἀκροατὰς πράττειν κακῶς οὐ κωλύσομεν, ἀλλὰ καὶ γέλωτα ὀφλισκανοῦμεν, ἄλλα διδάσκοντες, καὶ ἕτερα πράττοντες.

CXII. — EUSEBIO EPISCOPO.

Quod quæ dicunt sacerdotes, ea facere debeant.

Lepide ac jucunde in Ecclesia doces: at utinam potius utiliter. Similis enim es cuidam in altum lapides jactanti, ac ruinæ suæ rectitudinem procuranti, eamque in seipsum provocanti. Nam si peccatorum reprehensio in nobis ipsis per opera sermones inficiari ac destruere perspiciatur, non modo auditores, quominus scelerate vivant non prohibebimus, sed etiam ridendos nos ipsis propinabimus, alia videlicet docentes, et alia facientes.

ΡΙΓ'. — ΤΩ ΑΥΤΩ.

Ὅτι χρήματι πέπρακε τὴν ἱερωσύνην. C

Ἀχρήστοις (11) λίθοις τὸ ἐκκλησιαστήριον κτίζεις, τοῖς παρανόμοις, ἢ μᾶλλον ἀσεβέσι σου πόροις. Ἔλαβες γὰρ τιμὴν ἱερωσύνης, ὡς πιπράσκων ἱερωσύνην, καὶ ἔδωκας ταύτην Ζωσίμῳ· οὕτως οὗτος ᾄδεται ἀνὰ πᾶσαν τὴν χώραν ὁ λόγος, ὥστε παντὸς ἀκούοντος ταῦτα ἠχεῖν τὰ ἀμφότερα ὦτα.

CXIII. — EIDEM.

Quod pecunia sacerdotium vendiderit.

Inutilibus saxis Ecclesiam exstruis, sceleratis **35** nimirum, ne dicam impiis, proventibus. Sacerdotii enim pretium accepisti, sacerdotium vendens, idque Zosimo dedisti, usque adeo hæc per totam regionem omnium sermone celebrantur, ut ambæ eorum, qui hæc audiunt, aures eo circumsonent.

ΡΙΔ'. — ΤΙΜΟΘΕΩ ΑΝΑΓΝΩΣΤΗ.

Περὶ τῶν τριῶν ἡμερονυκτίων τῆς ταφῆς τοῦ Κυρίου.

Τῶν τριῶν τῆς ταφῆς τοῦ Κυρίου ἡμερονυκτίων οὗτη ἐστὶν ἡ διασάφησις. Γέγραπται, « Ὥσπερ ἦν Ἰωνᾶς ἐν τῇ κοιλίᾳ τοῦ κήτους τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας· οὕτως καὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἔσται ἐν τῇ καρδίᾳ τῆς γῆς τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας. » Ὁ τοίνυν ἐπαγγειλάμενος τὸν τύπον πληρῶν (12) Ἰωνᾶ, ἀκριβῶς αὐτὸν ἐπιστάμενος (ἐπειδὴ [καὶ] παρῆν Ἰωνᾶ [καὶ] ῥιπτουμένῳ εἰς τὸν βυθὸν, καὶ ἐκβρασσομένῳ ἐκ τοῦ βυθοῦ), τοῦτον ἐπλήρωσεν ἀσφαλῶς, τοσοῦτον ἐν τῷ τάφῳ διατρίψας, ὅσον Ἰω-

CXIV. — TIMOTHEO LECTORI.

De tribus diebus sepulturæ Domini.

Trium Domini in sepulcro transactorum dierum hæc est explanatio. Scriptum est: « Quemadmodum Jonas fuit in ventre ceti tribus diebus et tribus noctibus: ita etiam Filius hominis erit in D corde terræ tribus diebus et tribus noctibus [39]. » Is igitur, qui se Jonæ typum expressurum receperat, cum eum exacte nosset (quippe qui etiam Jonæ adesset, cum in profundum præceps ageretur, atque e profundo ejiceretur), eum quoque haud dubie explevit, tanto nimirum temporis spatio in sepul-

[38] Gen. III, 19. [39] Matth. XII, 40.

VARIÆ LECTIONES ET NOTÆ.

(8) Codd. Vat. 649 et Alt. pro ἔχοι habent ἔχῃ, et vers. seq. ὅποι pro ὅπου. Possin.

(9) Codd. Vat. 649 et Alt. ἐπειπεῖν. Possin.

(10) Pro λίθους codd. Vat. et Alt. in singulari ponunt λίθον, moxque post διάκοντι addunt δέ. Possin.

(11) Χρηστοῖς codd. Vat. 649 et Alt. Vers. 2 Vat. 649 habet εὐσεβέσι pro ἀσεβέσι. Vers. ult. pone artic. τὰ post ἀμφότερα, codd. Vat. et Alt. auctoribus. Possin.

(12) Codd. Vat. 649 et Alt., πληροῦν. Possin.

Digitized by Google

cro commoratus, quanto Jonas in ceti ventre. Quod si alteram adhuc hujus loci explicationem quæris, habeto. Sexta hora Parasceves in crucem actus est Dominus [40]. Ab hac hora ad nonam usque tenebræ exstiterunt [41]. Hoc tu noctem intellige. Rursus a nona lux. Hoc rursus pro die habe. Nox rursum Parasceves. Tum dies Sabbati. Nox Sabbati Dominici diei diluculum, juxta evangelistam dicentem: « Vespere autem Sabbati, quæ lucescit in prima Sabbati [42]. » Quod si tertiam ex me intelligere postulas, ea est hujusmodi : In die Parasceves Dominus spiritum tradidit. En una dies : Sabbatum totum in sepulcro exegit; postea ejus noctem. Lucescente Dominica a sepulcro surrexit. Id quoque dies est; siquidem a parte, ut nosti, totum intelligitur. Sic autem nos quoque eorum, qui mortem obeunt, memoriam celebrare consuevimus. Quacunque enim diei hora quispiam vitam cum morte commutarit, postero duntaxat die interjecto, altero post die tertianum ipsius diem agimus. Habes, ni fallor, propositæ quæstionis solutionem. Quod si perfectos tres dies ac noctes quærunt qui male pugnant, illud responde, quod rex quoque, si admissa eorum, qui in metallis ac vinculis sunt, deprecatione ac supplicatione, hoc ipsis pollicitus fuisset, se post tertium diem eos missos facturum, ac præstitutum diem antevertens eos liberasset, per hanc celeritatem verum magis dixisset. Ad eumdem itaque modum Dominus, citius quam promiserat, resurgens, ab omnibus merito adorabitur.

A νᾶς ἐν τῷ κήτει. Εἰ δὲ καὶ δευτέραν ζητεῖς, αὕτη ἐστίν· Ἕκτη ὥρα τῆς Παρασκευῆς ἐσταυρώθη ὁ Κύριος. Ἀπὸ ταύτης ἕως ἐννάτης σκότος ἐγένετο, τοῦτο νύκτα μοι νόησον. Πάλιν ἀπὸ ἐννάτης φῶς· τοῦτο πάλιν ἡμέραν· ἡ νὺξ αὖθις τῆς Παρασκευῆς. Τὸ Σάββατον πάλιν. Ἡ νὺξ τοῦ Σαββάτου ὁ τῆς Κυριακῆς ὄρθρος, κατὰ τὸν εὐαγγελιστὴν λέγοντα· « Τῇ ἐπιφωσκούσῃ εἰς μίαν τῶν Σαββάτων. » Εἰ δὲ καὶ τρίτην ἀπαιτεῖς (13) μαθεῖν, οὕτως· Ἐν τῇ Παρασκευῇ παρέδωκεν ὁ Κύριος τὸ πνεῦμα· τοῦτο μία ἡμέρα. Τὸ Σάββατον ὅλον ἐποίησεν ἐν τῷ τάφῳ· εἶτα τούτου τὴν νύκτα. Ἐπιφωσκούσης Κυριακῆς ἀνέστη ἐκ τοῦ τάφου, καὶ τοῦτο ἡμέρα· ἐπειδὴ ἀπὸ μέρους, ὡς οἶσθα, τὸ ὅλον γνωρίζεται· οὕτως δὲ καὶ ἡμεῖς τὰς τῶν τελευτώντων μνήμας εἰώθαμεν τελεῖν. Ὁποίᾳ B δ' ἂν ὥρᾳ [τῆς] ἡμέρας τις τελευτήσοι, τὴν ἐξῆς ὑπερτίθεσθαι μόνην, καὶ τῇ ἑτέρᾳ ἑωθεν, τὴν τριταίαν αὐτοῦ ἄγειν ἡμέραν. Ἔχεις, ὡς οἶμαι, τὴν λύσιν τοῦ ζητουμένου. Εἰ δὲ τελεία; τὰς τρεῖς ἡμέρας καὶ νύκτας ζητοῦσιν οἱ κακομάχοι, ἀπόκριναι, ὅτι καὶ βασιλεὺς εἰ πρεσβείαν καὶ ἱκεσίαν τῶν ἐν μετάλλοις καὶ φυλακαῖς προσδεξάμενος, μετὰ τρίτην αὐτοῖς ἡμέραν μεταδοῦναι ὑπέσχετο τῆς ἀφέσεως, καὶ προφθάσας τὴν προθεσμίαν τὴν λύτρωσιν δέδωκε, μᾶλλον τῷ τάχει ἠλήθευσεν. Ὁ δὲ Δεσπότης συντομώτερον ἀναστὰς ἢ ὑπέσχετο, παρὰ πάντων εἰκότως προσκυνηθήσεται.

CXV. — HELIÆ MONACHO.

Quid tibi et viæ Ægypti, ut bibas aquam Geon ? ad refugam populum inquit propheta, vel per illum potius Deus. Quid tibi et confusioni, ex qua in manu Dei excelsa et brachio **36** extento liberatus es [43] ? Quid, posteaquam virtutem attigisti, ac summam philosophiam degustasti, ad vitium reverteris, nec tibi illud Scripturæ animo obversatur, Eum qui a justitia ad peccatum se avertit [44], in gladium Deus præparabit ? Fuge tempestatem ; fuge fluctus. Christus ventum increpavit [45]. Nullum tempestatis periculum facies, si portus loco Christum tenueris.

PIE'. — ΗΛΙΑ ΜΟΝΑΧΩ.

C Τί σοι καὶ τῇ ὁδῷ Αἰγύπτιου, [τοῦ] πιεῖν ὕδωρ Γηών; πρὸς τὸν παλίνστροφον λαὸν ὁ προφήτης φησὶν, ἢ μᾶλλον δι' ἐκείνου Θεός. Τί σοὶ καὶ τῇ συγχύσει ἧς ἀπηλλάγης χειρὶ Θεοῦ κραταιᾷ, καὶ βραχίονι ὑψηλῷ; Τί τῆς ἀρετῆς ἁψάμενος, καὶ τῆς ἄκρας φιλοσοφίας γευσάμενος, εἰς κακίαν παλινοστεῖς, οὐκ ἔχων τὸ Γραφικὸν κατὰ νοῦν, Τὸν ἀποστρέφοντα ἀπὸ δικαιοσύνης ἐπὶ ἁμαρτίαν ἑτοιμάσει ὁ Κύριος εἰς ῥομφαίαν ; Φύγε τὸν κλύδωνα, καὶ φύγε τὰ κύματα. Ἐπετίμησε Χριστὸς τῷ ἀνέμῳ. Οὐδείς σε χειμῶνος καταλήψεται πεῖρα, εἰ τὸν λιμένα κρατοίης Χριστόν (13*).

CXVI. — AUSONIO CORRECTORI.

Cum sapiens veritatis inventum habeas multiplicem tormentorum machinam, timore ad judicium utere, quandoquidem te terrorem improbis divina lex constituit.

PIϚ'. — ΑΥΣΟΝΙΩ ΚΟΡΡΙΚΤΟΡΙ.

D Σοφὸν ἔχων ἀληθείας ἐξεύρημα (14), τὸ πολυειδὲς τῶν βασάνων μηχάνημα, χρῆσαι τῷ φόβῳ πρὸς τὴν κρίσιν· ἐπειδὴ φόβον σε τοῖς κακοῖς ὁ θεῖος νόμος ὡρίσατο.

CXVII. — ATHANASIO CŒNOBIARCHÆ.

In illud, « De die illa et hora nemo novit. »

Quid adversum seipsos Domini judicium impii

PIZ'. — ΑΘΑΝΑΣΙΩ ΑΡΧΙΜΑΝΔΡΙΤΗ.

Εἰς τὸ, « Περὶ τῆς ἡμέρας ἐκείνης καὶ τῆς ὥρας οὐδεὶς οἶδεν. »

Τί καθ' ἑαυτῶν τὴν τοῦ Κυρίου ἐπισπῶνται κρίσιν

[40] Joan. XIX, 14. [41] Matth. XXVII, 45. [42] Matth. XXVIII, 1. [43] Deut. V, 15. [44] Ezech. XVIII, 24. [45] Luc. VIII, 24.

VARIÆ LECTIONES ET NOTÆ.

(13) Codd. V. 649 et A., pro ἀπαιτεῖς, θέλεις. Poss.

(13*) Deest vox Χριστὸν in cod. Alt. Possin.

(14) Sic et de juris consulti quæstionum usu ac fine. Ritt.

— Vers 3. Vat. 649 et Alt. non τὴν κρίσιν, sed τὴν τάξιν habent. Possin.

Digitized by Google

οἱ βλάσφημοι; Τί τὸ πῦρ τῆς γεέννης οἱ θεομάχοι ἐπικαίουσιν (15); Ἠγνόησε, φάσκουσι, τῆς συντελείας τὴν ἡμέραν ὁ Κύριος. Οὐκ ἠγνόησεν, ἄπαγε, ἀλλὰ σαφηνίζειν τὰ ἀνωφελῆ παρητεῖτο προβλήματα. Ἐπεὶ πῶς ἀγνοεῖν ἠδύνατο ὥραν ἢ ἡμέραν ὁ ποιητὴς τῶν αἰώνων, ἐν ᾧ πάντες εἰσὶν οἱ θησαυροὶ τῆς σοφίας; Οὐκ ἦν ἀγνοοῦντος, τὸ καὶ τὰ σημεῖα καὶ τὰ φόβητρα προεἰπεῖν τῆς ἐσχάτης, καὶ ὥσπερ παροῦσαν αὐτὴν τοῖς γνωρίσμασι διαγράφειν. Ἀλλ' ὃ ἔφθην εἰπὼν, τῆς εἰκαίας ἐρωτήσεως τὴν ἀπόφασιν οὐκ ἐδήλωσε. Τί γὰρ ὄφελος, εἰπέ μοι, μαθεῖν τὴν ἡμέραν τοῦ τέλους; Ἀγνοεῖν δὲ ταύτην συμφέρει, ἵνα πᾶσαν ἡμέραν ἐκείνην εἶναι νομίζοντες, ἕτοιμοι πρὸς ταύτην τυγχάνωμεν γρηγοροῦντες, καὶ τὸν Κύριον ἡμῶν περιμένοντες.

A homines attrahunt? Quid gehennæ ignem Dei hostes accendunt? Consummationis diem, inquiunt, Dominus ignoravit [46]. Absit! Verum inutiles quæstiones explicare recusabat. Alioqui quonam pacto horam aut diem ignorare poterat sæculorum effector, in quo thesauri omnes sapientiæ siti sunt [47]? Non erat ignorantis, ipsa quoque extremi diei signa et terrores prædicere, eumque velut præsentem certis notis atque insignibus describere. Verum, ut jam dixi, vanæ percontationis explicationem ac sententiam minime declarandam duxit. Quid enim, dic, quæso, utilitatis attulerit finis mundi diem exploratum habere? At vero eumdem ignorare conducit, ut omnem diem illum esse existimantes, parati ad eum simus, vigilantes, ac Dominum B nostrum exspectantes [48].

ΡΙΗ'. — ΖΩΣΙΜΩ ΚΑΙ ΜΑΡΩΝΙ.

Περὶ πρεσβυτέρων μὴ περιπατούντων κατὰ τὴν τοῦ Θεοῦ ἐντολήν.

Ἤρκεις μὲν καὶ σὺ, ἀναιδέστατε Ζώσιμε, τὴν θείαν ἱερωσύνην (16) λυμαίνεσθαι, καὶ πᾶσαν αὐτῇ ὕβριν προστρίβεσθαι· ἔσχες δὲ καὶ σύζυγον ὅμοιον, καὶ ζεῦγος βοῶν συνηρμόσθητε, τὴν ἀκανθοφόρον γῆν τῶν παθῶν ἐργαζόμενοι. Στῆτε τοίνυν, ὦ δείλαιοι, τῆς ἀτόπου μανίας. Παύσασθε πάντολμοι τὴν βασιλικὴν σύλην καταχραίνοντες. Τῶν μολυσμῶν ἑαυτοὺς ἐκκαθάρατε. Κηλῖδος τὸ θυσιαστήριον ἀπαλλάξατε. Ἡμᾶς δακρύων κουφίσατε, τοὺς ὁρῶντας σκανδάλων ἐλευθερώσατε, τοὺς κωμῳδοῦντας σιγᾷν συγχωρήσατε, τὴν κρίσιν τοῦ Θεοῦ ἐνθυμήθητε, τῆς ἑαυτῶν ψυχῆς καὶ τοῦ σώματος φείσασθε.

CXVIII. — ZOSIMO AC MARONI.

De presbyteris non ambulantibus secundum Dei mandatum.

Ad divinum sacerdotium labefactandum, atque omne ipsi contumeliæ genus inurendum, tu quoque, impudentissime Zosime, sufficiebas. Accessit autem similis socius, ac par boum copulati estis, spineum vitiorum arvum colentes. Ab hoc igitur præpostero furore, o miseri, desistite. Regiam, o audacissimi homines, aulam contaminare desinite. Sordibus vosipsos expurgate. Labem ab altaribus removete. Nos lacrymis levate, eos, qui vos vident, scandalis liberate. Iis qui comicis salibus vos in- C sectantur, ut taceant, permittite. Dei judicium cogitate. Vestris animis et corporibus parcite.

ΡΙΘ'. — ΕΥΣΕΒΙΩ ΕΠΙΣΚΟΠΩ.

Ὅτι φρικτὸν εἰς ὑπερβολὴν τὸ πιπράσκειν ἱερωσύνην ἢ ἐξωνεῖσθαι.

Καλῶς τὸ Ψαλμικὸν ἐμελέτησας, καὶ τοὺς μονοτρόπους ἐν τῷ τοῦ Κυρίου οἴκῳ συνήγαγες, Ζωσίμῳ συζεύξας [καὶ] Μάρωνα· πᾶσαν σπουδὴν, ὡς οἶμαι, τιθέμενος, μή τι τῶν φαύλων ἔξω τοῦ θυσιαστηρίου σταίη. Ἴσθι τοίνυν ὡς πλησίον τοὺς Σίμωνας, τοὺς χρήμασι κτᾶσθαι τὸ τοῦ Θεοῦ Πνεῦμα νομίζοντας, κοινὸν ἐκτήσω βαλάντιον τῷ προδότῃ, εἰς χολὴν πικρίας καὶ σύνδεσμον ἀδικίας καλινδούμενος, καὶ προπίνων τολμηρῶς τὰ καὶ ἀγγέλοις αὐτοῖς περιπόθητα.

CXIX. — EUSEBIO EPISCOPO.

Valde horrendum esse vendere sacerdotium et emere.

Pulchre illud Psalmistæ meditatus es, atque unius moris homines in Dei domo collegisti [49], qui Maronem Zosimo adjunxisti: illud videlicet omni studio contendens, ne quid vitiorum ab altari remotum sit. Hoc igitur scias, te, ut qui Simonum [50], qui se Dei Spiritum pecunia mercari existimant, numerum augeas, commune cum proditore marsupium tibi comparasse: dum in felle amaritudinis, et colligatione iniquitatis teipsum volutas, eaque, quæ ab ipsis etiam angelis expetuntur, prodis. D

ΡΚ'. — ΕΥΣΕΒΙΩ ΠΡΕΣΒΥΤΕΡΩ (17).

Περὶ τοῦ ἐπισκόπου Εὐσεβίου καὶ Ζωσίμου.

Μὴ θαυμάσῃς τὴν τόλμαν Εὐσεβίου καὶ τὸ θράσος Ζωσίμου, ἀλλὰ τὴν τοῦ Θεοῦ μακροθυμίαν, οὕτως ἡμᾶς εἰς μετάνοιαν περιμένοντος, καὶ ἐξ ἀκαθάρτου χειρὸς δεχομένου θυμίαμα. Εἰ γάρ τις ἁμαρτίαις ἀπότροφος, πᾶσι κατεστιγμένος μολυσμοῖς τε καὶ

CXX. — ISIDORO PRESBYTERO.

De episcopo Eusebio et Zosimo.

Eusebii temeritatem, et Zosimi audaciam ne mireris, verum Dei lenitatem, ad pœnitentiam nos ita exspectantis, atque ex impura manu incensum accipientis. Nam si quis in sceleribus educatus, atque omni sordium ac peccatorum genere compun-

[46] Marc. XIII, 32; Matth. XXIV, 36. [47] Coloss. II, 3. [48] Matth. XXIV, 42 seqq. [49] Psal. LXVII, 7. [50] Act. VIII, 9 seqq.

VARIÆ LECTIONES ET NOTÆ.

(15) Codd. iidem legunt pro ἐπικαίουσιν, ἐκκαίουσιν et pro φάσκουσι, φάσκοντες. Possin.

(16) Codd. Vat. 649 et Alt. tertio ututur casu, scribentes, τῇ θείᾳ ἱερωσύνῃ. Iidem versu 5 legunt ἐργαζόμενος, pro ἐργαζόμενοι. Possin.

(17) Inscribitur hæc ep. in cod. Alt. non Εὐσεβίῳ, sed Ἰσιδώρῳ πρεσβ. etc. Vers. pen pro κρίμα cod. Alt. habet, τὰ κοίματα. Possin.

Digitized by Google

ctus et inustus, Dei aras attingit, ac sancta profane tractat, ipse quidem pœnas luet, divinum autem sacrarium improbis ipsius actionibus minime contaminatur.

CXXI. — TIMOTHEO LECTORI.

In illud, « Non sum missus nisi ad oves quæ perierunt domus Israel. »

« Non sum missus, nisi ad oves quæ perierunt, domus Israel, » ad Chananæam inquit Dominus [51], pollicitationem scilicet Abrahæ factam explere volens [52], juxta quam et semen ipsius apprehenderat [53], et matrem illinc elegerat, et in ea, et ex ea carnem induerat, atque homo vere, per omnia, excepto peccato, nobis similis factus fuerat, omnemque Judæis excusationem prævidens. Quoniam enim, ut dixi, patribus salutem promiserat, seque ipsorum semen tanquam cœli stellas multiplicaturum receperat [54], idcirco ad eos, et ex ipsis venit : ac tantisper gentiles minime admittebat, priorem illis ingressum servans. Posteaquam autem obstinatam Judæorum improbitatem perspexit, ac contra gentiles ad bonum flexiles esse reperit : atque illos quidem mortem sibi et crucem comparasse, hos autem adorationem, ac deitatis confessionem obtulisse, a mortuis resurgens, discipulis, ut gentes omnes docerent, mandavit [55], Judæorum videlicet malignitatem et ingratitudinem repudians. Quamobrem illi ad gentes conversi [56], divinæ prædicationis splendorem in universum terrarum orbem diffuderunt [56a].

38 CXXII. — DOROTHEO COMITI.

Explicatio exclamationis quæ fit a sacerdote.

Pacem sacerdos ex cathedræ fastigio ecclesiæ pronuntiat, Dominum scilicet imitans [57], cathedram assumentem, cum pacem suam discipulis reliqueret, ac daret. Illud autem, quod a plebe respondetur, « Et cum spiritu tuo, » hanc habet sententiam : Pacem quidem nobis præbuisti, Domine, hoc est mutuam inter nos concordiam. Pacem autem nobis da, hoc est, ejusmodi tecum conjunctionem, quæ nullo modo divelli possit [58], ut cum Spiritu tuo pacati (quem nobis in creationis initio indidisti), a tua charitate distrahi nequeamus.

CXXIII. — EIDEM.

Explicatio ecclesiasticæ initiationis.

Pura illa sindon, quæ sub divinorum donorum ministerio expansa est, Josephi Arimathensis est ministerium. Ut enim ille Domini corpus sindone involutum sepulturæ mandavit [59], per quod universum mortalium genus resurrectionem percepit : eodem

πταίσμασι, θυσιαστηρίων ἅπτεται Θεοῦ, καὶ χειρίζει ἀνάγνως τὰ ἅγια, αὐτὸς μὲν ὑφέξει κρῖμα, τὸ δὲ θεῖον βῆμα ταῖς ἐκείνου πράξεσιν οὐ κοινοῦται.

ΡΚΑ'. — ΤΙΜΟΘΕΩ ΑΝΑΓΝΩΣΤΗ.

Εἰς τό, « Οὐκ ἀπεστάλην εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ. »

« Οὐκ ἀπεστάλην, φησὶν ὁ Κύριος τῇ Χαναναίᾳ, εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ· » τὴν πρὸς τὸν Ἀβραὰμ πληρῶσαι θέλων ὑπόσχεσιν, καὶ τοῦ σπέρματος αὐτοῦ ἐπιλαβόμενος, καὶ μητέρα ἐκεῖθεν ἐπιλεξάμενος, καὶ ἐν αὐτῇ καὶ ἐξ αὐτῆς σαρκωθείς, καὶ ἄνθρωπος κατὰ ἀλήθειαν ὅμοιος ἡμῖν κατὰ πάντα, πλὴν ἁμαρτίας, γενόμενος, καὶ Ἰουδαίων πᾶσαν σκῆψιν ἀναιρῶν. Ἐπειδὴ γὰρ, ὡς ἔφην, τοῖς πατράσι τὴν σωτηρίαν ὑπέσχετο, καὶ τὸ σπέρμα αὐτῶν πληθῦναι ὡς τοὺς ἀστέρας τοῦ οὐρανοῦ, πρὸς αὐτοὺς καὶ ἐξ αὐτῶν παρεγένετο· καὶ τέως τοὺς ἐξ ἐθνῶν οὐ προσίετο (18), προτέραν ἐκείνοις φυλάττων τὴν εἴσοδον. Ἐπειδὴ δὲ τῶν μὲν εἶδε τὸ ἀμετάθετον, τῶν δὲ εὗρε τὸ εὐεπίστροφον, καὶ τοὺς μὲν θάνατον αὐτῷ καὶ σταυρὸν γεωργήσαντας, τοὺς δὲ προσκύνησιν καὶ θεολογίαν καρποφορήσαντας, ἀναστὰς ἐκ νεκρῶν, ἐντολὴν δίδωσι τοῖς μαθηταῖς μαθητεῦσαι πάντα τὰ ἔθνη, τὸ ἄγνωμον καὶ ἀχάριστον τῶν Ἰουδαίων παραιτούμενος. Οὗ χάριν πρὸς τὰ ἔθνη στραφέντες, εἰς πᾶσαν τὴν οἰκουμένην, τοῦ θείου κηρύγματος αἴγλην ἐξέλαμψαν.

ΡΚΒ'. — ΔΩΡΟΘΕΩ ΚΟΜΗΤΙ.

Ἑρμηνεία τῆς ἱερατικῆς ἐκφωνήσεως.

Εἰρήνην ὁ ἱερεὺς ἀπὸ τοῦ ὕψους τῆς καθέδρας τῇ ἐκκλησίᾳ ἐπιφθέγγεται· τὸν Κύριον τῆς καθέδρας μιμούμενος ἀναλαμβανόμενον, εἰρήνην τὴν οἰκείαν ἀφιέντα καὶ διδόντα. Τὸ δὲ, « Καὶ τῷ πνεύματί σου, » παρὰ τοῦ λαοῦ ἀποκρινόμενον (19), τοῦτο δηλοῖ· Εἰρήνην μὲν ἡμῖν παρέσχες, Κύριε, τὴν ἐν ἀλλήλοις ὁμόνοιαν. Εἰρήνην δὲ δὸς ἡμῖν, τὴν πρὸς σὲ ἀδιαίρετον ἕνωσιν, ἵνα τῷ πνεύματί σου εἰρηνεύοντες, ὃ ἡμῖν ἐν ἀρχῇ τῆς δημιουργίας ἐνέθηκας, ἀχώριστοι τῆς σῆς ἀγάπης τυγχάνωμεν.

ΡΚΓ'. — ΤΩ ΑΥΤΩ.

Διασάφησις τῆς ἐκκλησιαστικῆς μυσταγωγίας.

Ἡ καθαρὰ σινδὼν ἡ ὑφαπλουμένη τῇ τῶν θείων δώρων διακονίᾳ, ἡ τοῦ Ἀριμαθέως ἐστὶν Ἰωσὴφ λειτουργία. Ὡς γὰρ ἐκεῖνος τὸ τοῦ Κυρίου σῶμα σινδόνι ἐνειλήσας τῷ τάφῳ παρέπεμψε, δι' οὗ ἅπαν τὸ γένος ἡμῶν τὴν ἀνάστασιν ἐκαρπώσατο· οὕτως

[51] Matth. xv, 24. [52] Gen. xii, 1 seqq.; xviii, 22. [53] Hebr. ii, 16. [54] Genes. xv, 5; xxvi, 4. [55] Matth. xxviii, 19. [56] Act. xiii, 46. [56a] Rom. x, 18. [57] Joan. xiv, 27. [58] Rom. viii, 35 seqq. [59] Matth. xxvii, 57 seqq.

VARIÆ LECTIONES ET NOTÆ.

(18) Cod. Alt. habet προσίεται. Vers. seq. pro ἀνεπίστροφος idem cod. et Vat. 649 legunt, ἀνεπίστροφος. Vers. antepen. et pen., παραιτούμενος, id codex Alt. ad discipulos referens, παραιτουμένους legit. Possin.

(19) Lege ex cod. Alt. ὑπαποκρινόμενος. Possin

ἡμεῖς, ἐπὶ σινδόνος τὸν ἄρτον τῆς προθέσεως ἁγιάζοντες, σῶμα Χριστοῦ ἀδιστάκτως (20) εὑρίσκομεν, ἐκείνην ἡμῖν πηγάζον τὴν ἀφθαρσίαν, ἣν ὁ παρὰ Ἰωσὴφ μὲν κηδευθείς, ἐκ νεκρῶν δὲ ἀναστὰς Ἰησοῦς ὁ Σωτὴρ ἐχαρίσατο.

A modo nos propositionis panem in sindone sanctificantes, Christi corpus sine dubitatione reperimus, illam nobis immortalitatem fontis in modum proferens, quam Salvator Jesus, a Josepho funere elatus, posteaquam a morte ad vitam rediit, largitus est.

ΡΚΔ'. — ΤΩ ΑΥΤΩ.

Κατὰ Θεοπασχητῶν καὶ τῶν μίαν ἐπὶ Χριστοῦ φύσιν εἶναι λεγόντων.

Θεοῦ πάθος οὐ λέγεται· Χριστοῦ γὰρ τὸ πάθος γέγονε· σαρκωθέντος δηλονότι Θεοῦ, καὶ τῇ προσλήψει τῆς σαρκὸς τὸ πάθος ὑπομείναντος. Θεότης γὰρ γυμνὴ οὐ μόνον πάσχειν οὐ δύναται, ἀλλ' οὔτε κρατεῖσθαι, οὐδὲ �ρᾶσθαι, εἰ μὴ τῇ φύσει τῶν ἀνθρώπων ἡνώθη φιλανθρώπως.

CXXIV. — EIDEM.

Contra eos qui dicunt Deum passum esse, unamque esse in Christo naturam.

Dei passio non dicitur, verum Christi passio : exstitit enim videlicet, incarnato Deo ac per assumptam carnem supplicium perpesso. Nuda enim divinitas non modo pati non potuisset, sed nec teneri, nec cerni, nisi hominum naturæ pro sua benignitate ac misericordia copulata fuisset.

B

ΡΚΕ'. — ΓΡΗΓΟΡΙΩ ΕΠΙΣΚΟΠΩ.

Περὶ τοῦ συναντήσαντος ἀγγέλου τῷ Μωϋσῇ, καὶ ζητήσαντος αὐτὸν ἀνελεῖν.

Τὸ μὲν μῆκος αἰσχύνομαι ὅσον τὸ γράμμα ἀφίκετο· τὸν δὲ τῦφον οὐκ ἤνεγκα παρὰ σοῦ ἐρωτώμενος. Ὅμως ἐπειδὴ καὶ γονεῖς ἐπαγάλλονται τοῖς τῶν παίδων γυμνάσμασιν, εἰ καὶ ψιλὰ εἴη ἀθύρματα, συντόμως ἐρῶ. Ὁ ἄγγελος ὁ ὑπαντήσας Μωσεῖ εἰς Αἴγυπτον καταβαίνοντι, καὶ βουληθεὶς ἀνελεῖν αὐτὸν, οὐ τὸν φόνον ἐκδικῶν, ὃν πάλαι ζηλώσας εἰργάσατο, τὴν μάχαιραν κατ' αὐτοῦ ἀντετείνατο· ἀλλὰ τοῦ νόμου παράβασιν ἐγκαλῶν αὐτῷ, ὃν πληροῦν ἐπορεύετο. Νομοθέτης γὰρ παρὰ Θεοῦ προχειρισθεὶς, καὶ φυλάσσειν τὸν νόμον ἀκριβῶς ὀφείλων, αὐτὸς ἐκ προοιμίων τοῦτον παρέβαινε, τοὺς υἱέας C αὐτοῦ ἀκροβύστους εἰς Αἴγυπτον ἐπαγόμενος, κἀκείνην τὴν ἐντολὴν καταργῶν, ἥτις μόνη Ἑβραίους καὶ ἀλλοφύλους διέκρινεν. Ἐπεὶ δὲ Σεπφώρα ψῆφον λαβοῦσα, τὸν υἱὸν περιέτεμεν, ἐν συναισθήσει γινομένη τοῦ πταίσματος, καὶ πρὸς πόδας τοῦ ἀγγέλου προσέπεσεν, εὐθὺς αὐτὸς ἀνεχώρησεν, ἐκεῖνο δείξας αἴτιον τῆς τοῦ Θεοῦ δικαίας ἀγαναχτήσεως, ὃ ἡ πίστις τῆς γυναικὸς ἐστοχάσατο. Καὶ γὰρ φιλεῖ ἐν ἀνάγκαις τὰ γύναια σπουδαιοτέροις χεχρῆσθαι τῶν ἀνδρῶν μηχανήμασι, καὶ τῆς πρὸς Θεὸν καταφυγῆς γνησιώτερον ἅπτεσθαι. Ἐκεῖνο τοίνυν ἐποίησεν ὃ νῦν λέγεσθαι συμβαίνει ἐν ὀξείαις ἀναγκῶν περιστάσεσι. Τοῖς κακοῖς ἐκυκλώθημεν, σπουδαίως τὰ παιδία βαπτίζωμεν. Ἴσως δυσωπηθῇ ὁ ἄγγελος τὸ μυστήριον. Ἀντὶ βαπτίσματος γὰρ τῇ περιτομῇ Ἰουδαῖοι ἐκέχρηντο (21).

CXXV. — GREGORIO EPISCOPO.

De angelo qui Mosi occurrit illumque occidere voluit.

Quoniam multæ adversum vos querelæ ad aures nostras perveniunt, idcirco multas etiam quotidie vobis admonitiones adhibemus. « Viri Ninivitæ surgent in judicio cum generatione ista, et condemnabunt eam, » inquit Dominus [3]. Quoniam qui legem minime audierant, prophetæ comminationem extimuerunt, atque, figura duntaxat et umbra Dominicæ sepulturæ audita, ad inopinatum eventum metu perterriti sunt. Nos autem, qui eum ipsum, de quo vaticinium edebatur, conspeximus et contrectavimus, ingrati adversus eum manemus, atque ad resipiscentiam rigidi et inflexibiles. Quocirca, fratres, ne gentilibus quoque infideliores nos præbeamus, eamque, quam illi effugerunt, perniciem ad nos attrahamus.

C

ΡΝΕ'. — ΘΕΟΦΙΛΩ ΝΑΥΚΛΗΡΩ.

Περὶ τοῦ μὴ ὁρκίζειν.

Εἰ τῆς ἡμετέρας ὑπάρχεις ἀγέλης, καὶ ὑπὸ τὸν

D

CLV. — THEOPHILO NAUCLERO.

De non extorquendo juramento.

Si nostri gregis es, ac sub bono illo pastore cen-

[1] II Reg. III, 12 seqq.. [2] Matth. x, 5. [3] Matth. XII, 41.

VARIÆ LECTIONES ET NOTÆ.

Σίμωνι μοναχῷ. Vers. 2 loco asterisci tres illi codd. γὰρ ponunt ; vers. 3 pro, τὸ τοῦ πράγματος, Sfort. et Alt. exhibent, ἡ μέθη τοῦ πράγματος. Vers. 7 et 8, pro illis, μέχρι τοῦ νῦν τούτοις, cod. Sfort. habet, μέχρι νῦν τούτους. Vers. 12 pro ἐμοὶ idem cum Alt. legit ἐμόν. Vers. 9 asteriscum post ἀλλ', codd. Sfort. et Alt. tollunt inserendo ejus loco articulum ὁ. Vers. penult. pro ὑπερῆλθεν codd. Vatic. 649, Sfort. et Alt. substituunt, ὑπεξῆλθεν. Vers. ult. duo codd. Vatic. 649 et Alt. μετετέθη mutant in μετέθετο. Possin.

(48) Exple hiatum versus secundi, inserto ἐστὶν, suggerentibus codd. Vatic. 649 et Alt. Possin.

(49) Titulus hujus epistolæ sic habet in codd. Vat. 649 et Alt., Ἡλουσιώταις ἐν κοίνῳ ; nec sane quidquam est unde appareat cœnobitis hæc dici. Vers. 1 e voce καταδοήσεις præpositionem cod. Alt. tollit. Possin.

Digitized by Google

seris, ferarum naturam ac similitudinem abjura, atque ipsius voci obtempera, qui, ne omnino jures, prohibet [a]. Porro non jurare, ne jusjurandum quidem ab alio exigere est. Nam si jurare minime vis, ne ab aliis quidem, ut jurent, extorque, idque duplici de causa : nimirum aut quia veri studiosus est qui interrogatur; aut contra, quia libenter mentitur. Si enim ille vera loqui solet, omnino etiam nullo interposito jurejurando vera loquetur : si autem mendax est, jurans etiam mentietur. Quapropter duplici hoc nomine jusjurandum haudquaquam exigendum est.

A καλὸν τάττῃ ποιμένα, τὴν τῶν θηρίων φύσιν καὶ ὁμοίωσιν ἄρνησαι, καὶ τῇ φωνῇ αὐτοῦ ἀκολούθησον, μὴ ὀμόσαι ὅλως κελεύοντος. Τὸ δὲ μὴ ὀμόσαι, μηδὲ ἀπαιτῆσαι ὅρκον ἐστίν. Εἰ γὰρ μὴ βούλει ὀμόσαι, μηδὲ παρ' ἑτέρων ὅρκον ἀπαίτει, διὰ δύο ταύτας αἰτίας· ἢ τὸ ἐπαληθεύειν τὸν ἐπερωτώμενον, ἢ τὸ ἐναντίον τὸ ψεύδεσθαι. Εἰ γὰρ ἀληθεύει συνήθως ὁ ἄνθρωπος, καὶ πρὸ τοῦ ὅρκου πάντως ἀληθεύει· εἰ δὲ ψεύστης ἐστὶ, καὶ ὀμνύων ψεύδεται (50). Οὐ χρὴ οὖν ὅρκον ἀπαιτεῖν δι' ἀμφότερα.

CLVI. — EUSTATHIO.

De sacerdotio.

Ego quidem librum, quem a me petiisti, misi : fructumque ex eo per te exspecto, qui ab omnibus exigi consuevit. Nullum enim, nullum, inquam, pectus hujus lectio penetravit, **49** quod non divino amore sauciarit : ut qui augustam quidem, ac venerandam rem accessuque difficilem sacerdotium esse ostendat, verum sine ulla reprehensionis labe consectandam esse doceat. Siquidem sapiens ille et eruditus arcanorum Dei interpres, Joannes, Byzantinæ Ecclesiæ, atque adeo Ecclesiarum omnium, oculus, librum eum ita subtiliter et prudenter atque accurate condidit, ut omnes tam qui, ut Deo gratum est, sacerdotio funguntur, quam qui negligenter et ignave sacerdotalem dignitatem administrant, hic et virtutes suas et offensiones reperiant.

PNϚ'. — ΕΥΣΤΑΘΙΩ.

Περὶ ἱερωσύνης

B Ἐγὼ μὲν τὴν βίβλον ἣν ἐζήτησας πέπομφα, καὶ καρπὸν ἐξ αὐτῆς διὰ σοῦ περιέμενον, ὃς (51) παρὰ πάντων συνήθως εἰσπράττεται. Οὐ γὰρ ἔστιν, οὐκ ἔστι καρδία, ἣν ἐπῆλθεν ἡ ταύτης ἀνάγνωσις, καὶ πρὸς τὸν θεῖον αὐτὴν οὐκ ἔτρωσεν ἔρωτα· σεπτὴν μὲν τὴν ἱερωσύνην καὶ δυσπρόσιτον δείξασα, ἀμέμπτως δὲ αὐτὴν μετέρχεσθαι διδάξασα· ὁ γὰρ τῶν τοῦ Θεοῦ ἀπορρήτων σοφὸς ὑποφήτης Ἰωάννης, ὁ τῆς ἐν Βυζαντίῳ Ἐκκλησίας καὶ πάσης ὀφθαλμὸς, οὕτως αὐτὴν λεπτῶς καὶ πυκνῶς ἐξηκρίβωσεν, ὥστε πάντας τούς τε κατὰ Θεὸν ἱερατεύοντας, τούς τε ῥᾳθύμως ἱερατικὴν μεταχειρίζοντας, ἐν ταύτῃ τὰ οἰκεῖα εὑρίσκειν κατορθώματά τε καὶ σκώμματα.

CLVII. — PANSOPHIO ARCHIDIACONO.

Ad sacerdotes avaros.

Si Christi altari ministras, da operam ut cum ipsius legibus munus tuum administres, mansuetum videlicet atque corde humilem et submissum te præbens. Neque enim forensem quamdam præfecturam atque imperium, fastu ac pompa et insolentia tumidum tractas : verum pacatum ac tranquillum ministerium. Quod si opes iniquis rationibus collectæ animos tibi tollunt, ipsæ quidem confestim evomentur, ut quæ natura fluxa et instabiles sint : tu vero ingentem tui risum excitabis, qui prætereuntibus rebus tanquam firmis ac stabilibus animum addixeris.

C

PNZ'. — ΠΑΝΣΟΦΙΩ ΑΡΧΙΔΙΑΚΟΝΩ (53).

Πρὸς ἱερεῖς φιλαργυρίαν κοσοῦντας.

Εἰ τῷ Χριστοῦ διακονεῖς θυσιαστηρίῳ, μετὰ τῶν αὐτοῦ νόμων μετέρχῃ (52) τὴν λειτουργίαν σου, πρᾶος καὶ ταπεινὸς τῇ καρδίᾳ φαινόμενος. Οὐ γὰρ πολιτικήν τινα χειρίζεις ἡγεμονίαν, τύφῳ καὶ κόμπῳ φλεγμαίνουσαν· ἀλλὰ διακονίαν εἰρηνικὴν καὶ ἀτάραχον. Εἰ δὲ πλοῦτος ἄδικος συναχθεὶς ὑπεραίρει σε, αὐτὸς μὲν θᾶττον ἐξεμεθήσεται, ῥευστὴν ἔχων τὴν φύσιν καὶ ἄστατον· σὺ δὲ πολὺν ὀφλήσεις τὸν γέλωτα, τοῖς παρατρέχουσιν ὡς ἑστῶσι προσθέμενος

CLVIII. — PRISCO CAPPADOCI.

Sævum et importunum atque arrogantem te esse, hominumque naturam improbitate superare quidam aiunt. Ego vero cum absurda multa de te de-

D

PNH'. — ΠΡΙΣΚΩ ΚΑΠΠΑΔΟΚΗ (53).

Σκαιόν σέ φασί τινες καὶ ἀλαζόνα καὶ ὑπερβαίνοντα τὴν φύσιν τῶν ἀνθρώπων φαυλότητι. Ἐγὼ δὲ πολλῶν περὶ σοῦ ἀπηχῶν ἀδομένων οὐκ ἔχω τὸ πεί-

[a] Matth. v, 34.

VARIÆ LECTIONES ET NOTÆ.

(50) Suggerit cod. Alt. unde commode expleas lacunam asterisco signatam; interserit enim δῆλον ante οὐ χρή. Possin.

(51) Vers. 2 pro ὃς lege ὃν, si credere dignum putas tribus bonis auctoribus, codd. Vat. 649, Sfort. et Alt. Possin.

(52) Vers. 2 pro μετέρχῃ codd. Vat. 649 et Alt. habent μετέρχου. Vers. 3 iidem pro φαινόμενος legunt διαφαινόμενος. Vers. 6, ἄδικος in ἀδίκως mutant, congruentius ad sententiam. Denique in fine a προσθέμενος, tollit σ unus Vat. 649, scribens, προθέμενος. Possin.

(53) In titulo hujus epistolæ supplendus in Græco articulus τῷ ante Καππαδόκῃ. V. 7. πράγματος in τάγματος recte mutant duo codd. Vat. 649 et Alt., uti et Alt. vers. 8 ἑτέρα in θατέρα. Hiatus versus 12 asterisco indicatus, expletur in Vat. 649 et Alt. addito, πάντως. Vers. seq. e regione vocis, ἀνθρώπου, Alt. in margine signat, πατέρας. Possin.

Digitized by Google

θεσθαι, ἀγνοῶν σε παντάπασι· μίαν δὲ συγκατάθεσιν πρὸς τὰς τραγῳδίας τεκμαίρομαι, τὸ τῆς πατρίδος ἀλλόκοτον. Καὶ δέδοικα μή ποτε θατέρου πράγματος ὑπάρχεις Καππαδοκῶν τοῦ πᾶσι κατεστιγμένου τοῖς ἐλαττώμασιν. Ἔστι γὰρ αὖθις ἑτέρα μοῖρα Καππαδοκῶν πανάριστος· ἀφ' ἧς ἐκεῖνοι γεγόνασιν, οἱ πανταχοῦ τῷ φωτὶ τῆς ἑαυτῶν πολιτείας καὶ νουθεσίας τὰ τῆς γῆς ὁριδουχήσαντες τέρματα. Ἐπειδὴ οὖν καὶ ἱερωσύνην σοι πράσις ἐπέθηκε, φοβήθητι τοὺς θεοφόρους ἐκείνους ἀνθρώπους, καὶ ἢ τὴν αὐτῶν προαίρεσιν μίμησαι, ἢ τὴν αὐτῶν λειτουργίαν μὴ ὕβριζε. Εἰ γὰρ τὸ ὑπ' αὐτῶν ἐλεγχθῆναι συμβαίη σοι, οὐδὲ τὸ παρὰ Χριστοῦ κατακριθῆναι λελείψεται.

A cantentur, iis tamen fidem adhibere nequeo, quod te prorsus ignorem : unum demum est, quod me ad commodandam his tragœdiis fidem conjectura quadam ducit, nimirum prodigiosa patriæ improbitas. Ac vereor ne tu illius Cappadocum partis sis, quæ omni vitiorum genere inusta est. Altera enim rursum Cappadocum pars quam optima, ex qua illi exstiterunt, qui vitæ suæ ac præceptionum luce orbis terræ finibus præluxerunt. Quoniam igitur sacerdotium quoque pecunia tibi conciliasti, divinos illos viros pertimesce, atque aut eorum institutum sequere, aut eorum ministerium contumelia ne affice. Nam si ab iis convinci tibi contingat, ne illud quidem tibi defuturum est, ut a Deo condemneris.

ΡΝΘ'. — ΛΕΟΝΤΙΩ ΕΠΙΣΚΟΠΩ.

Περὶ ἱερωσύνης.

Μηδὲν (54) ἐμποδὼν τῷ τοῦ Κυρίου Εὐαγγελίῳ γινέσθω, μηδὲ περισπασμὸς τῇ πνευματικῇ ἀκολουθείτω διδασκαλίᾳ, μηδὲ θόρυβος τῇ ἐπωφελεῖ διαλέξει μεσιτευέτω. Οὔτε γὰρ Χριστὸς ζητούμενος ὑπὸ τῆς μητέρος καὶ τῶν ἀδελφῶν, αὐτῶν τὴν κλῆσιν προσήκατο, ἡνίκα δογμάτων ἀπήρξατο, καὶ σωτηρίαν τοῖς ἀκροαταῖς κατειργάζετο, δεικνὺς ὡς χρὴ τῶν σαρκικῶν εἶναι τὰ πνευματικὰ προτιμότερα. Οὕτω καὶ οἱ αὐτοῦ μαθηταὶ [τὰ] τῶν τραπεζῶν παρῃτήσαντο τὴν ἐπίσκεψιν ἀναγκαίαν οὖσαν διὰ τοὺς πένητας.

B

CLIX. — LEONTIO EPISCOPO.

De sacerdotio.

Nullum Domini Evangelio impedimentum objiciatur, nec ulla animi distractio spiritualem doctrinam sequatur, nec tumultus utili disputationi se interponat. Neque enim Christus, cum a matre et fratribus quæreretur, ipsorum vocationem admisit, cum docendi munus auspicabatur, atque auditorum saluti operam dabat [a] : hinc nimirum illud ostendens, spiritualia negotia carnalibus antiquiora esse debere. **50** Atque ad hunc modum ipsius quoque discipuli mensarum inspectionem atque curam, quamvis alioqui propter pauperes necessariam, repudiarunt [b].

ΡΞ'. — ΤΑΡΑΣΙΩ ΙΣΑΥΡΩ.

Περὶ τοῦ δεῖν πάντοτε νήφειν.

Κρείττονά σε πάντες τοῦ γένους, καὶ τῆς πατρίδος [π] λέγουσι, καὶ χρηστὸν τοῖς ἤθεσιν ἀπαγγέλλουσι, τὴν τῶν ὁρῶν τραχύτητα (55) μὴ κρατήσαντα, ἀλλὰ τὸν θέκλης τῆς πρωτομάρτυρος καὶ τρόπον καὶ σηκὸν ἀγαπήσαντα. Καὶ μακάριος εἰ πτωχεύων [ἐκ ψυχῆς.] Τοῦτο γὰρ τῶν πιστῶν ἐπαινετόν. Καὶ εὔχομαί σε μεῖναι ἄτρεπτον, ἐπειδὴ οὐδὲν σταθερώτερον ἔχομεν, ἀλλ' ὡς ἀνέμοις ταῖς κούφαις βοαῖς (56) ῥιπιζόμεθα.

C

CLX. — TARASIO ISAURO.

Oportere semper sobrium esse.

Præstantiorem te esse, quam aut genus tuum, aut patria ferat, omnes aiunt, ac morum probitate pollere narrant, ut qui non spectantium asperitatem timueris, verum primæ martyris Theclæ et mores, et templum amaveris. Ac te beatum, utpote ex animo paupertatem colentem. Nam hæc piorum laus est. Atque ut in instituta vitæ ratione constanter maneas, opto, quandoquidem nihil admodum stabile habemus, verum levibus clamoribus, non secus ac ventis, huc atque illuc jactamur.

ΡΞΑ'. — ΘΩΜΑ ΚΟΜΗΤΙ.

Καὶ γράφεις λαμπρῶς, καὶ πέμπεις ἁβρῶς. Καὶ μένοις φαιδρῶς (57) ὁ τοῖς πᾶσι χρηστός.

D

CLXI. — THOMÆ COMITI.

Et luculente scribis, et copiose mittis. Velim igitur in animi lætitia et alacritate perstes, cum omnibus tam benignum et commodum te præbeas.

[a] Matth. XII, 46. [b] Act. VI, 2 seqq.

VARIÆ LECTIONES ET NOTÆ.

(54) Μηδὲν in μηδεὶς mutant Vat. 649 et Alt. Versu item 2 pro μηδὲ reponunt, μηδείς. Versu autem penult. art. τὰ omittunt. Possin.

(55) *Τὴν τῶν ὁρῶν* (al. *ὁρώντων*) *ταχυτῆτα.* Alius vertit, *spectantium asperitatem.* Conjiciebam legendum ὁρῶν, h. e. *montium.* Ritt.

(56) *Βοαῖς.* Bill. *clamoribus.* B. cod. habet βουλαῖς. Puto rectum esse, βολαῖς *ictibus*, ut et paulo ante plenius in B cod. legitur οὐδὲν εὐρίπου σταθερώτερον ἔχομεν cum in Paris ed. absit. εὐρίπου. Ritt. — Vers. 2 illud σε uncinis clausum codd. Vat. 649, et Alt. mutant in σου. Vers. pen. suggerunt iidem unde hiatus ibi signatus asterisco recte expleatur, sic eleganter et ex fonte primigenio scribendo, οὐδὲν εὐρίπου σταθερώτερον, etc., nec minus iidem commode vers. ult. voci βοαῖς substituunt βουλαῖς. Possin.

(57) Pro φαιδρῶς codd. Vat. 649, et Alt. φαιδρὸς legunt. Possin.

Digitized by Google

CLXII, — HIERACI CLARISSIMO.

De exercitatione.

Ad numeros omnes religiosæ vitæ absolvendos, Joannis cibus ac potus et cubile minime sufficit[7]: verum ad perfectionem adipiscendam Joannis quoque animus requiritur. Quocirca si frugalitatem nostram ac victus tenuitatem laudas, lenitatem consequi stude, quæ improbitatem omnem vitat.

CLXIII. — CYRO.

Sophistam profecto, etiam scribens, agis, atque vocabulorum elegantiam fingis. Atqui in ipsis utilitatis quoque rerum materiam præbere oportet. Etenim pulchre loqui, cymbalo simile est[8]. At probe agere, angelis innatum est. Nam illis cum metu conjuncta et prompta obedientia, quod Dei voluntates exsequantur, testimonium dicit.

CLXIV. — MARTYRIO.

De superbia.

Superbis Deus resistit[9]: quandoquidem etiam ipsorum principi ab initio sese opposuit. Considera igitur quantum est, et Deum hostem atque adversarium habere, et veterem hostem socium.

CLXV. — AUSONIO.

Multi ex aliis magistratibus ad alios migrant, hoc est ex minoribus fortasse ad majores et excelsiores, siquidem illos recte gesserint. Nonnulli autem contra non modo majores cum minoribus commutarunt, verum etiam insuper misere interierunt: ii nimirum quibus nullum a proba muneris sui administratione auxilium suppetebat. At te ex probi imperii ac præfecturæ thronis cœlestes ordines accipient, quibus te charum reddidisti, dum et piorum pauperum commodis consulis, et omnia æquo ac recto posteriora ducis.

CLXVI. — MARTIANO.

51 Sapientiæ fama austri reginam impulit, ut ab extremis orbis finibus ad Salomonem se conferret[10]. Te autem Dominus quotidiano clamore adducere minime potuit, ut resipiscas, atque ad id quod in rem tuam futurum sit, oculos conjicias. Vide itaque, ne ab illa condemneris, quoniam cum eam rumores ac sermones velut alis additis erexerint, te contra, nec aspectus, nec Christi operationes ulla ex parte meliorem effecerint.

CLXVII. — ESAIÆ MILITI.

Eum, qui pugnis gaudet, ac tumultibus delectatur, atque id studet, ut omnibus odio sit, quonam

A

ΡΞΒ'. — ΙΕΡΑΚΙ ΛΑΜΠΡΟΤΑΤΩ.

Περὶ ἀσκήσεως.

Οὐκ ἀρκεῖ (58) ἡ βρῶσις καὶ πόσις καὶ στρωμνὴ Ἰωάννου πρὸς πέρας ἀσκήσεως, τοῖς ταῦτα ζητοῦσιν, ὦ ἄριστε, ἀλλὰ χρεία καὶ τῆς γνώμης Ἰωάννου πρὸς τὴν τελείωσιν. Εἰ τοίνυν ἡμῶν ἐπαινεῖς τὴν λιτότητα, κατόρθωσον ἡμῖν τὴν πραότητα, ἥπερ πᾶσαν ἐκκλίνει περιπέρειαν.

ΡΞΓ'. — ΚΥΡΩ.

Σοφιστεύεις ὄντως, καὶ γράφων, καὶ κάλλη πλάττεις ὀνομάτων. Χρὴ δὲ καὶ ἀφορμὰς (59) παρέχειν ἐν αὐτοῖς ὠφελείας πραγμάτων. Τὸ γὰρ καλῶς λέγειν κυμβάλῳ παρέοικε. Τὸ δὲ χρηστῶς πράττειν ἀγγέλοις συμπέφυκεν. Οἷς καὶ ἔμφοβος καὶ ἀμέλλητος ὑπακοὴ τὸ ποιεῖν τὰ θελήματα τοῦ Θεοῦ μαρτυρεῖ.

B

ΡΞΔ'. — ΜΑΡΤΥΡΙΩ.

Περὶ ὑπερηφανίας.

Ὑπερηφάνοις ὁ Θεὸς ἀντιτάσσεται, ἐπειδὴ καὶ τῷ ἄρχοντι αὐτῶν ἐξ ἀρχῆς ἀντετάξατο. Σκόπει τοίνυν ὅσον ἐστὶ καὶ Θεὸν ἔχειν ἀντίμαχον, καὶ τὸν ἀρχαῖον ἀντάρτην συμμέτοχον.

C

ΡΞΕ'. ΑΥΣΟΝΙΩ.

Πολλοὶ μὲν ἀρχὰς ἐξ ἀρχῶν ἄλλας ἀμείβουσιν, ἐκ τῶν ἡσσόνων ἴσως τὰς (60) μείζους, οἱ χρηστῶς ταύτας ἰθύνοντες. Τινὲς δὲ οὐ μόνον τῶν κρειττόνων τὰς ἥττους ἠλλάξαντο, ἀλλὰ καὶ οἰκτρῶς προσαπώλοντο. Οἷς οὐκ ἦν βοήθεια ἢ κυβέρνησις. Σὲ δὲ ἐκ τῶν θρόνων τῆς εὐαρχίας αἱ οὐράνιοι παραδέξονται τάξεις, αἷς ἑαυτὸν πεποίηκας προσφιλῆ, καὶ πτωχῶν φιλοθέων κηδόμενος, καὶ κατόπιν πάντα τοῦ δικαίου τιθέμενος.

D

ΡΞΖ'. — ΜΑΡΤΙΑΝΩ.

Τὴν μὲν τοῦ νότου βασίλισσαν, ἀκοὴ σοφίας ἐκ τῶν περάτων τῆς γῆς ἐκτεῖναι πρὸς Σολομῶντα παρώτρυνε. Σὲ δὲ Κύριος καθ' ἡμέραν ἐμβοῶν, νῆψαι καὶ βλέψαι πρὸς τὸ συμφέρον οὐκ ἔπεισε. Πρόσεχε τοίνυν μὴ ὑπ' ἐκείνης κριθῇς ὅτι τὴν μὲν φῆμαι καὶ λόγοι ἐπτέρωσαν· σὲ δὲ καὶ ὄψις καὶ πρᾶξις τῶν τοῦ Χριστοῦ ἐνεργειῶν οὐδαμῶς ἐθέλτίωσαν.

ΡΞΖ'. — ΗΣΑΙΑ ΣΤΡΑΤΙΩΤΗ.

Τὸν μάχαις χαίροντα, καὶ θορύβοις τερπόμενον, καὶ μᾶλλον μισεῖσθαι παρὰ πάντων σπουδάζοντα, τί

[7] Matth. III, 4. [8] I Cor. XIII, 1. [9] Jac. IV, 6. [10] Matth. XII, 42.

VARIÆ LECTIONES ET NOTÆ.

(58) Lacunam versus primi complent duo codd. Alt. et Vat. 649 post ἀρκεῖ addendo μόνη. Versu autem 2 solus Alt. ζητοῦσιν mutat in ζηλοῦσιν. Possin.

(59) Loco asterisci ponunt σε codd. Vat. 649 et Alt. Possin.

(60) Vers. 2 pro τὰς cod. Alt. habet εἰς. Vers. 3 pro ἰθύνοντες, cod. Vat. 649 habet ἰθύναντες. Vers. 5 ambo simul pro βοήθεια legunt βοηθὸς, sed et sequentem disjunctivam in articulum mutant, sic totum scribentes locum οἷς οὐκ ἦν βοηθὸς ἡ κυβέρνησις. Vers. antepen. et pen. pro φιλοθέων iidem ponunt φιλοθέως. Possin.

Digitized by Google

ἐν τις ἁρμοδίως καλέσειεν, ἢ φαῦλον δαίμονα, ἐκ τῆς γνώμης τὴν φύσιν ἀλλάξαντα; Ἐπεὶ οὖν καὶ πρὸ καιροῦ βασανίζει Χριστὸς ἐνταῦθα τοὺς δαίμονας, κἀκεῖ σὺν τῷ πατρὶ αὐτῶν πῦρ αὐτοῖς αἰώνιον ἐπηγγείλατο· ἢ παῦσαι φιλοτάραχον ζωὴν μετερχόμενος, ἢ γίνωσκε κἀνταῦθα μάστιξιν ὑποκείμενος, κἀκεῖσε τὴν ἄμυναν οὐ λησόμενος.

A eum nomine aptius et commodius quisquam appellet, quam si ipsum nequam atque improbum dæmonem vocet, ut qui voluntate animique instituto naturam mutarit? Quoniam igitur Christus et hic ante tempus dæmones torquet[11], et in altero ævo sempiternum ipsis ignem una cum ipsorum patre promisit[12], aut tumultuariam vitam consectari desine, aut illud scito, te et hic flagris obnoxium esse, et illic vindictam minime vitaturum esse.

ΡΞΗ'. — ΖΩΙΛΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Ἐπειδὴ ἄμπελον ἑαυτὸν ὁ Κύριος προσηγόρευσε, τὸ νόστιμον (62) καὶ καρδίαν εὐφραῖνον παρασχόμενος κήρυγμα, οἶνον ἀναγκαίως καλεῖ ἡ θεία Γραφὴ τὸν ἀληθῆ θείας γνώσεως λόγον· τοῦτον καὶ ἐν κρατῆρι ἡ σοφία ποτίζει, κρατῆρα τὴν τοῦ Κυρίου πλευρὰν ὀνομάζουσα, ἐξ ἧς ἡμῖν ἡ τῆς ζωῆς εὐφροσύνη ἐπήγασεν.

CLXVIII. — ZOILO PRESBYTERO.

Quandoquidem Dominus vitem seipsum appellavit[13], ut qui pectus humectantem ac voluptate afficientem prædicationem præbuerit, idcirco Scriptura divina veram divinæ cognitionis doctrinam vinum necessario appellat[14]. Hoc in poculo quoque Sapientia bibendum porrigit[15]: per poculum nimirum Domini latus intelligens, ex quo nobis vitæ jucunditas et oblectatio profluxit[16].

ΡΞΘ'. — ΤΩ ΑΥΤΩ.

Εἰς τὸ εἰρημένον, « Οἱ κάπηλοί σου. »

Τὴν τοῦ θείου Πνεύματος ἐπιφοίτησιν δεξάμενοι οἱ τοῦ Κυρίου ἀπόστολοι, γλεύκους εἶναι μεστοὶ ἐνομίσθησαν, καὶ εἰς πάντα τὰ ἔθνη τὴν ἀληθῆ καὶ ἀνθεύτου πόσιν τῶν μυστηρίων ἐκόμισαν. Τοὺς τοίνυν τὴν θείαν παραχαράσσοντας παίδευσιν, καὶ νόθοις [καὶ] ἐξιτήλοις ἐντάλμασι τὰ οὐράνια ἐπιθολοῦντας διδάγματα, Μανιχαίους, καὶ Σίμωνας, καὶ Μοντανούς, καὶ Ναυάτους, Ἀρείους, καὶ Μακεδονίους, Φωτεινούς τε καὶ τοὺς τούτοις ὁμόφρονας, καπήλους εἰκότως προσαγορεύει μιγνύντας τὸν οἶνον ὕδατι, τῇ ἀκραιφνεῖ τῶν θείων λόγων (63) σοφίᾳ τοὺς οἰκείους σχετλιασμοὺς ἐπεισάγοντας.

CLXIX. — EIDEM.

In illud, « Caupones tui. »

Domini apostoli, cum divini Spiritus adventum suscepissent, musto pleni esse existimati sunt[17], atque ad omnes nationes veram minimeque adulteratam mysteriorum potionem tulerunt. Quamobrem eos, qui divinam doctrinam adulterant, ac cœlestia documenta spuriis et evanidis mandatis inficiunt, hoc est, Manichæos, Simones, Montanos, Novatos, Arios, Macedonios, Photinos, cæterosque ejusdem mentis ac sententiæ homines, haud abs re caupones appellat propheta, ut qui aquam vino immisceant[18], hoc est, miseros suos errores, puræ ac limpidæ divinorum sermonum sapientiæ inferant.

ΡΟ'. — ΧΑΙΡΗΜΟΝΙ.

Περὶ τῶν ἀναξίως τῶν μυστηρίων κοινωνούντων.

Φασί σέ τινες πάντα μὲν ἀπηγορευμένα, τινὰ δὲ (64) πράττειν καὶ ἄθεσμα, τοῖς δὲ θείοις μυστηρίοις τὰς χεῖρας προτείνειν συνεχῶς, καὶ μετέχειν τελεταῖς τῶν ἀψαύστων σοι. Καί μοι λίαν ἐπῆλθε θαυμάσαι σου τὴν ἀναίδειαν, ὅτι ταῖς τῶν δαιμόνων τραπέζαις εἰς κόρον κοινωνῶν, καὶ τραπέζης Κυρίου μετέχειν οὐ φοβῇ. Ἆρα οὖν μή τίς σε βρόχος καταλάβῃ, ὡς τὸν Ἰούδαν ἐπὶ τῇ προπετείᾳ ἑαυτοῦ ἀπαγόντα, καὶ τὴν προδοσίαν ἐνεργοῦντα, καὶ τὴν κοινωνίαν ἀπαιτοῦντα.

CLXX. — CHÆREMONI.

De iis qui indigne sacramenta percipiunt.

Aiunt nonnulli te, cum omnia, quæ divinis legibus interdicta sunt, facere, tum nonnulla etiam nefaria et impia perpetrare, atque interim tamen manus ad divina mysteria continenter protendere, eaque, quæ a te attingi nefas est, impudenter percipere. Ac mihi sane temeritatem atque impudentiam **52** tuam vehementer admirari subiit, qui, cum dæmonum mensi ad saturitatem usque communices, Dominicæ quoque mensæ particeps fieri minime timeas[19]. Vide igitur, ne quis te laqueus corripiat, ut Judam[20], ob temeritatem suam in desperationem prolapsum, simulque et proditionem perpetrantem, et sacrosanctam communionem postulantem.

[11] Matth. VIII, 29. [12] Matth. XXV, 41. [13] Joan. XV, 1. [14] Prov. IX, 5. [15] Ibid. [16] Joan. XIX, 34. [17] Act. II, 13. [18] Isa. I, 22. [19] I Cor. X, 21. [20] Joan. XIII, 27; Act. I, 18.

VARIÆ LECTIONES ET NOTÆ.

(61) Hanc epistolam codd. Vat. 649 et Alt. non Μαρτιανῷ sed Μαρτινιανῷ, *Martiniano*, inscribunt. Vers. 2 tolle asteriscum et muta ἐκτεῖναι in ἐκπτῆναι· sic monstrant iidem duo codd. qui et vers. 3 Χριστὸς pro Κύριος ponunt, et vers. 5 φήμη pro φῶμα. Possin.

(62) *Τὸ νόστιμον.* Billius *humectantem* vertens, legisse videtur τὸ νότιον. At νόστιμον κήρυγμα est quod reditum conciliat, in æternam videlicet cœlestem patriam unde excideramus. Notum est νόστιμον ἦμαρ apud Homerum, ἡ τῆς ἐπανόδου ἡμέρα. Rittr.

(63) Codd. Vat. 649 et Alt., λογίων. Possin.

(64) Verba τινὰ δὲ omittuntur e codd. Vat. 649, et Alt. Vers. 5 ταῖς τραπέζαις in τῆς τραπέζης mutant. Vers. 7 ὅρα pro ἆρα legunt. Vers. 8, pro ἐπὶ τῇ habent ἐπὶ τοιαύτῃ. Possin.

Digitized by Google

CLXXI. — NILI FILIIS.

Quid naturam abjuratis, aut vocationem ignoratis? Nam illa ex uno eodemque venire vos protulit: hæc autem per unam et eamdem spem vos regeneravit. Quamobrem aut prior nativitas vos pudore quodam commoveat, aut posterior metu afficiat: atque ad concordiam sive naturæ, sive vocationis fœdus sancite.

CLXXII. — ARCHONTIO.

In illud dictum ab Abrahamo ad divitem, « Magnus hiatus firmatus est inter nos et vos.

Chaos ingens inter se ac divitem in pœnis et cruciatu hærentem firmatum esse Abraham respondit [21], justorum videlicet ac peccatorum discrimen his verbis indicans. Nam ipse hospitum ac pauperum amans et studiosus erat: eosque, qui longo a se locorum intervallo dissiti erant, excipiebat. Ille autem ulceribus confectum hominem pro foribus suis jacentem aversabatur. Quemadmodum igitur contrariæ voluntates animique instituta sunt: ita etiam in disjuncta loca migrant. Illi enim requietem et oblectamentum, hi cruciatum acceperunt.

CLXXIII. — MARCO MONACHO.

Ad monachum loca subinde mutantem.

Eos, qui animi firmitate carent, tuique similes sunt, o inconstans, pulverem, qui a facie terræ projicitur, appellavit Propheta [22]. Nam si cum a beato viro Ammone consitus, pieque rigatus, ac firmiter constabilitus esses, fructumque etiam, ut putabamus, tulisses, nunc tamen non eruditionis comparandæ causa, sed exquisitiorum epularum studio atque cupiditate multas domos lustras, ecquis te satis digne deplorare queat, qui et exitium tibi ipsi infers, et multos inutiles reddis, nimirum eos quibus juvenilis ætas noxiam levitatem asciscit?

CLXXIV. — CYRENIO DUCI.

Chartam nobis cives miserunt, pro ecclesiæ foribus fixam, ut inquiebant, antequam urbem ingredereris, quæ et omnibus purgandi sui potestatem adimit, et perfugium in ecclesiam claudit. Quod quidem non solum crudelitatis, sed etiam impietatis suspicionem habet. Nam si nec causæ dicendæ potestatem facis, nec fugam in ecclesiam permittis, nimirum hac ratione, et calumniatores exacuisti, et injuriarum numerum auxisti, quonam igitur

ΡΟΑ'. — ΤΟΙΣ ΥΙΟΙΣ ΝΕΙΛΟΥ.

Τί ἀρνεῖσθε τὴν φύσιν, ἢ (65) ἀγνοεῖτε τὴν κλῆσιν; Ἡ μὲν γὰρ ἐκ μιᾶς ὑμᾶς προήγαγε νηδύος; Ἡ δὲ διὰ μιᾶς ἀνεγέννησεν ἐλπίδος. Ἢ τὴν προτέραν τοίνυν αἰδέσθητε γέννησιν, ἢ τὴν δευτέραν φοβήθητε ἀναγέννησιν, καὶ σπείσασθε πρὸς ὁμόνοιαν, εἴτε τῆς φύσεως, εἴτε τῆς κλήσεως.

ΡΟΒ'. — ΑΡΧΟΝΤΙΩ.

Εἰς τὸ εἰρημένον ὑπὸ τοῦ Ἀβραὰμ πρὸς τὸν πλούσιον, « Ὅτι μεταξὺ ἡμῶν καὶ ὑμῶν χάσμα μέγα ἐστήρικται. »

Χάσμα μέγα ἐστήρικται μεταξὺ ἑαυτοῦ καὶ τοῦ πλουσίου τιμωρουμένου, ὁ Ἀβραὰμ ἀπεκρίνατο, τὴν τῶν δικαίων πρὸς τοὺς πταίοντας διαφορὰν ἐνδεικνύμενος. Ὁ μὲν γὰρ, φιλόξενος ἦν καὶ φιλόπτωχος, τοὺς μακρὰν ἀπῳκισμένους δεχόμενος· ὁ δὲ (66) πρὸ τῆς θύρας ἡλκωμένον, ἀνίλεως ἐκτρεπόμενος. Ὥσπερ οὖν ἐναντίαι αἱ προθέσεις, οὕτως ἀμιγὴς ἡ μετάστασις· τῶν μὲν, τὴν ἄνεσιν· τῶν δὲ, τὴν κόλασιν δεξαμένων.

ΡΟΓ'. — ΜΑΡΚΩ ΜΟΝΑΧΩ.

Πρὸς μοναχὸν τόπον ἐκ τόπου ἀμείβοντα.

Τοὺς ἀστηρίκτους καὶ σοὶ προσεοικότας, ἀβέβαιε, χοῦν ἐκριπτούμενον ἀπὸ προσώπου τῆς γῆς ὁ Προφήτης ἐκάλεσεν. Εἰ γὰρ φυτευθεὶς παρὰ τοῦ μακαρίου (67) Ἀμμωνος, καὶ ποτισθεὶς θεοφιλῶς, καὶ ἀσφαλῶς ἑδρασθεὶς, καὶ καρπὸν ἐνηνοχὼς, ὡς ᾠόμεθα, πολλοὺς οἴκους περινοστεῖς οὐ χάριν παιδεύσεως, ἀλλ' ἀβροτέρας σιτήσεως, τίς σε κατ' ἀξίαν ὀδύραιτο, καὶ σαυτὸν ἀπολλύντα, καὶ πολλοὺς ἀχρειοῦντα, οἷς ἡ νεότης τὴν εὐκολίαν εἰσποιεῖται συμφέρουσαν;

ΡΟΔ'. — ΚΥΡΗΝΙΩ ΗΓΕΜΟΝΙ.

Χάρτην ἡμῖν οἱ πολῖται πεπόμφασι, προπαγέντα τῆς ἐκκλησίας, ὡς ἔφησαν, πρὶν ἐπιβῇ τῆς πόλεως· ὃς καὶ ἀπολογίας πάντας γυμνοῖ, καὶ τῆς ἐν ἐκκλησίᾳ φυγῆς. Ὅπερ οὐ μόνον ἀπηνείας ἐστὶν, ἀλλὰ καὶ ἀσεβείας ἔχει ὑπόνοιαν. Εἰ γὰρ ἀπολογίας οὐ μεταδιδοὺς, οὐδὲ φυγὴν πρὸς Θεὸν ἐνδιδοὺς, καὶ συκοφάντας ἐστόμωσας, καὶ ἀδικίας ἐπλήθυνας· πῶς οὖν φωράσεις τὸ δίκαιον; πῶς σώσεις τὸν ἀδικούμενον; ὃς ἵνα μὴ ἔργον δυνατοῦ γένηται (68), ἀπορῶν δι-

[21] Luc. xvi, 26. [22] Psal. i, 4.

VARIÆ LECTIONES ET NOTÆ.

(65) Codd. Vat. 649 et Alt. pro ἢ repetunt interrogativum τί. Possin.

(66) Hiatus completur in codd. Vat. 649 et Alt. inserto τὸν inter δὲ et πρό. Vers. pen. post, ἄνεσιν iidem codd. supplent κληρουμένων et vers. ult. pro δεξαμένων scribunt δεχομένων. Possin.

(67) Pro Μακαρίου codd. Vatic. 649 et Alt. habent μακαρίτου, unde intelligitur Ammonem cujus meminit auctor, mortuum fuisse. Possin.

(68) *Ἵνα μὴ ἔργον δυνατοῦ γένηται.* Hoc melius puto quam quod in B. c, reperi ἀδυνάτου. Ἔργον τινὸς γίνεσθαι est ab aliquo confici atque concidi, phrasi usitatissima Isidoro. Ritt.

— Titulus hujus epistolæ diversitatem habet in cod. Alt. notabilem. Ibi enim inscribitur Κυρήνῳ τῷ ἡγεμόνι. Vers. 2. ὡς ἔφησαν abest ab Alt. Vers. 6 pro μεταδιδοὺς codd. Vat. 649 et Alt. μεταδίδως scribunt, uti et vers. seq. ἐνδίδως. Vers. 9. iidem δυνάστου pro δυνατοῦ habent, et vers, 11 δικαίου pro δικαστηρίου· denique vers. ult. εὐμαρέστερος pro εὐμαρέστατον. Possin.

Digitized by Google

κατοῦ τοῦ ἀμύνοντος, πρὸς τὸν ἀχείρωτον ἔδραμε στηκόν. Ἡ δὲ σκηψίς ἐστι, τῆς τοῦ δικαστηρίου πράσεως ἡ ἀπόφασις, ὑπόδηθι τὴν ἀτῆνειαν, καὶ ἕξεις τὸ πρατήριον εὐμαρέστατον.

A pacto jus et æquum deprehendes? Quonam pacto eum, cui injuria infertur, conservabis, qui, ne a potente adversario conficiatur, **53** et opprimatur, quod judicem non habeat, qui suas injurias ulciscatur, ad inexpugnabile templum confugit? Prætextus porro est, venditionis judicii sententia. Crudelitatem subi, et perfacilem mercatum habebis.

ΡΟΕ'. — ΤΩ ΑΥΤΩ.

Καὶ τὰ μέτρα ἑαυτῶν ἐπιστάμεθα, καὶ ἐλέγχειν τοὺς πονηροὺς προβεβλήμεθα. Εἰ δὲ τὴν φράσιν φεύγεις ὧν πράττεις, παῦσαι (69) τὴν πρᾶξιν, καὶ οὐκ ἔσται ἡ φράσις. Ὃ γάρ τις ποιεῖν οὐκ αἰσχύνεται, τοῦτο μὴ ἀλυέτω καλούμενος. Εἰ δὲ καὶ μόνη ἡ κλῆσις ὕβρεώς ἐστιν ἕξις, ταύτης ἡ πρᾶξις [πῶς] οὐκ ἂν γενήσεται ὕβρις;

CLXXV. — EIDEM.

Et modulum nostrum exploratum habemus, et eo loco positi sumus, ut coarguendos improbos habeamus. Quod si eorum quæ facis, commemorationem fugis, actioni finem impone, et commemorationi locus non erit. Nam quod quis facere non erubescit, non est cur mœrore consternetur, cum id appellatur. Quod si sola quoque appellatio contumeliæ habitus est, annon ejus actio contumelia exsistet?

B

ΡΟϚ'. — ΠΗΛΟΥΣΙΩΤΑΙΣ.

Ὁ καλὸς Κυρήνιος αὖθις κατακοσμεῖ τὸ πρατήριον. Οὐ γὰρ ἂν φαίην κριτήριον, εἰ μὴ δοκίμου καὶ ἀκιβδήλου (70) νομίσματος μόνον, ὃ ὑπὲρ κλεμμάτων κομίζεται. Πράξετε τοίνυν βελτίονα, αὐτῷ μὲν πόρους μὴ φέροντες, ἑαυτοῖς δὲ βρόχους μὴ πλέκοντες. Ἡ γὰρ ὑμετέρα εὐπραγία, ἔστω αὐτῷ δυσπραγία.

CLXXVI. — PELUSIOTIS.

Præclarus ille Cyrenius mercatum rursum exornat. Non enim tribunal dixerim, nisi probæ duntaxat minimeque adulterinæ pecuniæ, quam pro furtis accipit. Rectius itaque feceritis, si ipsi quidem proventus minime feratis, vobis ipsis autem restim minime nectatis. Vestra enim felicitas, infelicitas ipsi erit.

ΡΟΖ'. — ΕΥΣΕΒΙΩ ΕΠΙΣΚΟΠΩ.

Νῦν πονηρῶς πράττει τὰ Πηλουσιωτῶν, ὅτε καὶ τῶν πολιτικῶν ἡ διοίκησις ὁμοίαν τῶν ἐκκλησιαστικῶν νόσον περιεβάλετο. Καὶ γὰρ καὶ ὁ θαυμαστὸς Κυρήνιος κατέπτη τὴν ἀρχὴν ἐνημμένος· καὶ ὁ περιβόητος Εὐσέβιος τὴν ποιμαντικὴν ἐμπεπίστευται· καὶ Μάρων οἰκονομεῖ, καὶ Πανσόφιος ἀρχιδιακονεῖ· ὁ μὲν, τὰς κρίσεις ἀπεμπωλῶν, ὁ δὲ τὰς χρήσεις διαπωλῶν· οἱ δὲ ὑπουργοῦντες καὶ σπουδάσταί. Καὶ μακάριός ἐστιν ὃς ἐὰν μὴ σκανδαλισθῇ ἐν ὑμῖν. Φείσασθε οὖν ἀπρόσοχοι, μὴ καὶ τὸν ἔξω δικαστὴν ἀπολύητε τῆς αἰτίας εἰς ὑμᾶς ἀφορῶντα, καὶ τῶν κερδῶν ἀφειδοῦντα.

C

CLXXVII. — EUSEBIO EPISCOPO.

Nunc malo statu Pelusiotarum res sunt, cum publicorum quoque negotiorum administratio eodem quo ecclesiastica morbo laborat. Nam et mirificus vir Cyrenius præsidis dignitate cinctus ad nos devolavit, et celebris vir Eusebius pastoris munus suscepit, et Maro dispensatoris officio fungitur, et Pansophius archidiaconatum gerit: ille nimirum judicia vendens, iste autem vocationes pretio addictas habens (71): hi autem administram ipsi operam navantes, et studentes. Ac beatus qui non fuerit scandalizatus in vobis [22]. Desinite itaque, o socordes ac negligentes, ne profanum quoque judicem culpa liberetis, in vos intuentem, ac nullis lucris parcentem.

ΡΟΗ'. — ΡΟΥΦΙΝΩ.

Ἢ τὰ Πηλουσιωτῶν ἁμαρτήματα, ἢ τὰ Ῥωμαίων μέγιστα πράγματα ἃ διέπεις εὐμενῶς, λαθεῖν σε τὸν παναρχῆ εὐεργέτην ἐποίησεν, ὅπως Κυρήνιος τῆς ἀρχῆς ἐκλάθετο, καὶ πράττει τὰ ἐνταῦθα πάλιν χα-

D

CLXXVIII. — RUFINO.

Aut Pelusiotarum scelera, aut gravissima Romanorum negotia, quæ tu placide gubernas, hoc effecerunt, ut te, liberalissimum benefactorem, fugerit, quonam pacto Cyrenius præsidis dignitatem arripue-

[22] Matth. xi, 6.

VARIÆ LECTIONES ET NOTÆ.

(69) Pro edito παῦσαι codd. Sfort. et Alt. reponunt παῦσον. Iidem cum tertio ipsis adjuncto Vat. 649 pro γενήσεται vers. ult. legunt γένηται. Possin.

(70) Codd. Vatic. 649 et Alt. tollunt α e vocabulo ἀκιβδήλου, et κιβδήλου solum legunt. Vers. 3 iidem pro ὁ ὑπὲρ habent οὗπερ ὑπὲρ, etc. Vers. 4 πράξατε pro πράξετε et vers. penult. ἔσται pro ἔστω. Id.

(71) *Vocationes pretio addictas habens.* Videtur Billius legisse κλήσεις, aut certe sic legend. existimasse, non χρήσεις, ut et Parisiis editum est, et habetur in C B. Sunt autem χρήσεις, sententiæ, dictiones vel pronuntiationes.

— Vers. 1 non Πηλουσιωτῶν, sed Πηλουσίου, codd. Vat. 649 et Alt. legunt. Vers. 3 Vat. 649 νόσων pro νόσον ponit. Vers. 4 tam idem quam Alt. κατέπτη pro κατέπτη scribunt. Vers. ὁ δὲ τὰς χρήσεις διαπωλῶν codd. Vatic. et Alt. hic χρίσεις habent, utique ex parte mendose, nam hic vocabulum requiritur antitheton τοῦ χρίσεις superius positi: quodnam autem illud nisi *vocationes* reddens? Vers. antepen. pro μὴ Vat. habet μηδέ. Mox pro ἀπολύητε idem cum Alt. ἀπολύετε legunt. Id.

Digitized by Google

rit : atque hic rursum atrocem in modum res administret. Nam venditiones graves sunt, paupertates magnæ, injuriæ crebræ : nec Ecclesia opem huic malo ferre potest (72). Jus abscessit : lex ignoratur : terror iis, qui non præbent, injicitur : longinquitatem, earum rerum, quas perpetrat, subsidium habet. Quocirca, aut eum potentia exturba : aut illud scito [si urbem eam, cui tu sæpe saluti fuisti, perire sinas (73)] te una cum eo, coram Deo judicium subiturum.

A λεπῶς. Αἱ γὰρ πράσεις σφοδραὶ, αἱ πτωχεῖαι πολλαὶ, αἱ ἀδικίαι συχναὶ, ἡ Ἐκκλησία οὐχ οἷα βοηθεῖν. Ἀπέβη τὸ δίκαιον, ὁ νόμος ἠγνόηται· ὁ φόβος τοῖς μὴ παρέχουσι, τὸ μῆκος ὅπλον ἔχει ὧν δρᾷ· ἢ παῦσον αὐτὸν τῆς δυνάμεως, ἢ ἴσθι συναπολαύσων αὐτῷ ἐπὶ τοῦ Θεοῦ καὶ κρίματος.

54 CLXXIX.— LYCÆNÆ.

Si in viduitate perstas, ne juvenilem in modum te geras. Quod si et ornate atque eleganter induta es, et luctus nomen obtines, hæ duæ res parum inter se consonant. Aut igitur alterum relinque : aut pudorem ac verecundiam contumelia ne affice.

ΡΟΘ'. — ΛΥΚΑΙΝΗ (74).

Εἰ τῇ χηρείᾳ ἐγκαρτερεῖς, μὴ πρᾶττε νεώτερα. Εἰ δὲ καὶ κόσμον περίκεισαι, καὶ πένθους ὄνομα κέκτησαι, οὐ συμβαίνει τὰ πράγματα. Ἢ θάτερον οὖν ἀπόλιπε, ἢ τὴν αἰδὼ μὴ καθύβριζε.

CLXXX. — THEOPHRONIO.

Actionibus magis quam verbis virtutes innotescere.

Non verborum enuntiatio, verum rerum administratio, divinæ doctrinæ consectatorem hominem reddit. Nam neque vetus ille rebellis, propterea quod divina oracula memoria tenebat, cum Dominum tentaret [24], ob eorum cognitionem laudem merebatur : verum contra abjiciendus ac detestandus erat, quod cum scientia præditus esset, actionem inficiaretur ac respueret. Quare nisi levis haberi vis, utpote in lingua sola eruditionem sitam habens, fac eam reipsa ostendas. Nam nec Goliath ex armis externis quidquam commodi tulit [25], quoniam internorum auxiliorum imbecillitate laborabat.

B

ΡΠ'. — ΘΕΟΦΡΟΝΙΩ.

Ὅτι διὰ τῆς πράξεως γνωρίζονται αἱ ἀρεταὶ, ἤπερ διὰ λόγου.

Οὐ ῥημάτων ἀπαγγελία, ἀλλὰ πραγμάτων διακονία τὸν τῆς θείας παιδεύσεως ζηλωτὴν ἀποφαίνει. Οὐδὲ γὰρ ὁ ἀρχαῖος ἀντάρτης, ἐπειδὴ τῶν θείων χρησμῶν ἐμέμνητο πειράζων τὸν Κύριον, ἐπαινετὸς ἦν ἄρα τῆς τούτων μαθήσεως, ἀλλ' ἀπόκριτος (75) καὶ ἀπόβλητος, ὅτι τὴν γνῶσιν ἔχων, τὴν πρᾶξιν ἀρνεῖται. Εἰ τοίνυν μὴ κοῦφος φαίνεσθαι βούλει, καὶ ἐπὶ γλώττης μόνης ἔχων τὴν παίδευσιν, ἔργῳ ἐπίδειξον ταύτην. Οὐδὲ γὰρ τῆς ἔξωθεν ὁπλοφορίας ὁ Γολιὰθ ἀπώνατό τι, τοῖς ἔσωθεν ἀσθενῶν βοηθήμασιν.

CLXXXI. — ORIONI MONACHO.

Non crudelitatis fuisse illam contra Ananiam et Sapphiram indignationem Petri apostoli, sed utilem prædicationis initio.

Non crudelitatis atque amentiæ fuit, vir studiosissime, quod sapientissimus Petrus eos, qui peccaverant, morte affecit [26], verum præscientis doctrinæ, multa hominum peccata præsanantis. Nam cum tunc Evangelii sementem facere incepissent, ac statim enata zizania conspexissent, sapienti consilio ea confestim evulserunt, ne una cum tritico aucta futuro igni ad exustionem servarentur [27]. Ad eumdem enim modum divinus quoque Moses, legem ab initio statim violatam perspiciens, etsi ob exiguum peccatum, saxis tamen eum obrui jussit,

C

ΡΠΑ'. — ΩΡΙΩΝΙ ΜΟΝΑΧΩ.

Ὅτι οὐκ ἀπονοίας ἦν ἡ κατὰ Ἀνανίου καὶ Σαπφείρης ἀγανάκτησις τοῦ ἀποστόλου Πέτρου, ἀλλὰ χρήσιμος τῇ ἀρχῇ τοῦ κηρύγματος.

Οὐκ ἀπονοίας ἐστὶν, ὦ φιλολογώτατε, ὁ κατὰ τῶν πταισάντων φόνος (76) τοῦ σοφωτάτου Πέτρου, ἀλλὰ διδασκαλίας προγνωστικῆς, τὰ πολλὰ τῶν ἀνθρώπων προϊωμένης ἁμαρτήματα. Τότε γὰρ ἀρξάμενοι τὰ τοῦ Εὐαγγελίου καταβάλλεσθαι σπέρματα· καὶ εὐθὺς παρανατείλαντα ἑωρακότες ζιζάνια, σοφῶς αὐτὰ παραχρῆμα ἐξέτιλαν, ἵνα μὴ τῷ σίτῳ συναυξηθέντα, τῷ μέλλοντι πρὸς καῦσιν πυρὶ φυλαχθῇ. Οὕτω καὶ Μωσῆς ὁ θεσπέσιος τὰ τοῦ νόμου ἐκ προοιμίων παραβαθέντα θεώμενος, εἰ καὶ ἐπὶ βραχεῖ ἁμαρτήματι καταλευσθῆναι ἐν σαββάτῳ ξυλολογοῦντα ἐκέλευσε, τοῦτο

[24] Matth. IV, 1 seqq. [25] 1 Reg. XVII. [26] Act. V, 5-10. [27] Matth. XIII, 25 seqq.

VARIÆ LECTIONES ET NOTÆ.

(72) *Nec Ecclesia huic malo opem ferre potest.* Videlicet denegato ad eam perfugio, sive asyli jure violato. Vide epist. 174. Mox pro ἀπέβη τὸ δίκαιον, *jus abscessit*, significantius legi puto in B C ἀπέσβη, *exstinctum est.*

(73) Inclusa non sunt in Græco exemplari, quæ unde expresserit Billius, non habeo dicere, nisi explicationis forte causa inseruit.

— In 2 vers. post Ῥωμαίων, cod. Vatic. 649 addit. ἢ τὰ, sensu diverso, nam trimembris hoc modo fit partitio, quam bimembrem editor posuit : ut sit in hunc modum interpretatio refingenda, *aut Pelusiotarum peccata, aut Romanorum, aut maxima negotia qua tu*, etc. Vers. 7, pro ἀπέβη cod. Alt. ponit ἀπέσβη. In fine pro istis verbis, ἢ ἴσθι συναπολάυσων αὐτῷ ἐπὶ τοῦ Θεοῦ καὶ κρίματος, valde diversam duo codd. Vat. 649 et Alt. lectionem hanc suggerunt, ἢ ἴσθι οἰχομένην σε πόλιν ἣν ἔσωσας πολλάκις. Ib.

(74) Non Λυκαίνῃ, sed Λουκένῃ, *Lucenæ*, inscribitur hæc epistola in codd. Vat. 649 et Alt. Possin.

(75) Pro ἀπόκριτος codd. Vat. 649 et Alt. habent αὐτόκριτος. Vers. autem seq. pro βούλει, iidem βούλῃ ponunt. Vers. denique antepen. pro ἔργῳ, cod. Alt. mavult ἔργοις. Ib.

(76) Pro φόνος codd. Vat. 649 et Alt. legunt φόβος, et vers. 1 pro ἐξέτιλαν habent ἐξέτεμον. Vers. 11, cod. Alt. post καταλευσθῆναι addit, τόν. Ib.

Digitized by Google

Θεὸν γεγραφὼς ἀποφήνασθαι. Ἐπὶ μικρῷ γὰρ καὶ μείζονι ἡ παράβασις κρίνεται. Ὡς καὶ οἱ πρῶτοι τοῦ γένους προπάτορες ξύλου γεύσει τὸν πολυώδυνον κατεδικάσθησαν καὶ βίον καὶ θάνατον.

A qui die Sabbati ligna collegerat : Deum videlicet hanc sententiam tulisse scribens [28]. Siquidem legis transgressio, tam in parvo ac levi, quam in magno atque atroci crimine judicatur. Nam profecto primi quoque generis nostri auctores ob arboris fructum degustatum, acerbissima, et vita et morte multati sunt [29].

ΡΠΒ'.— ΗΡΑΚΛΕΙΔΗ ΕΠΙΣΚΟΠΩ (77).

Διὰ τί λέγεται ὁ Κύριος μαργαρίτης, καὶ διὰ τί ἐμπόρῳ ζητοῦντι καλοὺς μαργαρίτας ἡ βασιλεία τῶν οὐρανῶν ἀπεικάσθη.

Ὁ τὸν πολυτίμητον μαργαρίτην ζητήσας, καὶ πάντων αὐτῷ τῶν προσόντων ἀντισταθμίσας, ὁ νέος ἐστὶ τοῦ Κυρίου λαὸς, τῆς πατρῴας καὶ οὐσίας καὶ θρησκείας καταφρονῶν, καὶ τὸν Κύριον τῆς δόξης ζητῶν. Μαργαρίτης δὲ κέκληται, ἐπειδὴ τῷ βυθῷ τῆς θεότητος ἥνωται, καὶ μόνοις τοῖς ἁλιεῦσι καὶ τοῖς αὐτοῦ ὑποφήταις ἐγνώρισται.

CLXXXII. — HERACLIDI EPISCOPO.

Cur margarita Dominus dicitur, et cur mercatori quærenti bonas margaritas regnum cœlorum comparatum est.

Is qui ingentis pretii margaritam quæsivit, eamque omnibus suis facultatibus emit [30], novus est Domini populus, qui paternam et substantiam, et religionem contemnit, ac Dominum gloriæ quærit. B **55** Margarita autem idcirco appellatur, quia divinitatis profundo copulatus est, solisque piscatoribus atque ipsius interpretibus cognitus.

ΡΠΓ'. — ΤΩ ΑΥΤΩ.

Οἱ καταβαίνοντες εἰς θάλασσαν ἐν πλοίοις, ποιοῦντες ἐργασίαν ἐν ὕδασι πολλοῖς, οἱ τοῦ Κυρίου τυγχάνουσι θεοφόροι ἀπόστολοι, καὶ ἐκ τοῦ προτέρου τοῦτο ὄντες ἐπιτηδεύματος, καὶ ἐκ τῆς ἐν τῷ βίῳ ζωγρευτικῆς ἐργασίας. Ἐπειδὴ γὰρ ὡς κυμάτων ἐπανάστασις φλεγμαίνει καὶ κατευνάζεται τῶν ἀνθρώπων τὰ πράγματα, εἰκότως θάλασσαν τὴν τούτων ἀνωμαλίαν οἱ θεῖοι καλοῦσι χρησμοί. Οἱ δὲ ταύτην γαληνεύσαντες, ἐν ὕδασι πολλοῖς πεποιῆσθαι τὴν ἐργασίαν ἐρρήθησαν (78).

CLXXXIII. — EIDEM.

Qui descendunt mare in navibus, facientes operationem in aquis multis [31], sunt divino Numine afflati Domini discipuli, ut qui et ex priore vitæ instituto id fuerint, et ex piscatoria in mundo operatione ad spiritualem migrarint. Quoniam enim non secus ac fluctuum insultus, humanæ res intumescunt ac vicissim sedantur, earum inconstantiam divina oracula haud alis re maris nomine appellarunt. Qui autem hoc mare tranquillum reddiderunt, in aquis multis operationem fecisse C dicti sunt.

ΡΠΔ'. — ΖΩΣΙΜΩ.

Εἰ τῆς ἀνοχῆς τοῦ Θεοῦ, καὶ τῆς μακροθυμίας, ὦ τάλας, καταφρονεῖς, κἂν τὰ παρόντα αἰδέσθητι. Πολλοὶ γὰρ πρὸς τὰ μέλλοντα ἀβλεπτοῦντες (79), τὰς ἐνταῦθα ἐκκλίνουσι κωμῳδίας. Εἰ δὲ καὶ ταῦτα κἀκεῖνα καταφρονεῖς, ἐνταῦθα γελασθήσῃ, κἀκεῖ θρηνηθήσῃ.

CLXXXIV. — ZOSIMO.

Si Dei patientiam ac lenitatem contemnis, o miser, saltem præsentia te commoveant. Multi enim ad futura cæcutientes, hujus vitæ suggillationes vitant. Quod si et hæc et illa pro nihilo ducis, et hic tui risum, et illic fletum commovebis.

ΡΠΕ'. — ΕΥΣΕΒΙΩ ΕΠΙΣΚΟΠΩ.

Ἠδύνασο ἐπικουρεῖν τοῖς βοηθείας προσδεομένοις, εἰ μὴ σαυτὸν προκατέλυσας αἰσχροῖς λήμμασι καὶ προβλήμασιν. Οἱ γὰρ ὁρῶντές σε Πανσοφίου ἠττώμενον, ἀνθρώπου μὴ μόνον τὸν θεῖον ὑβρίσαντος Στέφανον, οὗ τὴν λειτουργίαν ἀκρίτως ἐδέξατο, ἀλλὰ καὶ πᾶσαν ἀρετὴν ἐκ τοῦ σεμνοῦ χοροῦ προπηλακίσαι σπουδάζοντος, ποίας ἂν σε τιμῆς ἀξιώσειαν; Εἰ δὲ καὶ τοῦτον κωλύσειας, καὶ σαυτὸν διορθώσειας (80), καὶ τὰ ἐνταῦθα πάντως φανεῖταί σοι χρηστὰ, καὶ τὰ ἐκεῖθεν πάντως ἀνεκτά.

CLXXXV. — EUSEBIO EPISCOPO.

Iis, qui ope atque auxilio opus habebant, opem ferre potuisses, nisi teipsum fœdis quæstibus atque electionibus prius contecisses. Nam qui te Pansophio addictum cernunt, hoc est homini ei, qui non modo divino Stephano, cujus munus temere susD cepit, contumeliam intulit, verum etiam virtutem omnem ex honesto et gravi choro propellere atque obterere studet, quonam tandem honore te afficere queat? Quod si et ipsum prohibeas, et teipsum corrigas, hoc consequeris, ut et hujusce vitæ res, tibi omnino lætæ atque commodæ exsistant, et res alterius vitæ omnino tolerabiles.

[28] Num. xv, 32 seqq. [29] Gen. III, 11 seqq. [30] Matth. XIII, 45, 46. [31] Psal. CVI, 23.

VARIÆ LECTIONES ET NOTÆ.

(77) In titulo hujus epistolæ pro ἐπισκόπῳ codd. Vat. 649 et Alt. habent πρεσβυτέρῳ, vers. 1, πολυτίμον pro πολυτίμητον. Versu quoque 2 αὐτὸν pro αὐτῷ. At vers. penult. cod. Alt. ponit αὐτῶν pro αὐτοῦ. Possin.

(78) Alt. legit ἐρρέθησαν non ἐρρήθησαν. Ib.

(79) Alt. habet ἀβλεποῦντες, sed melius vulg. ἀβλεπτοῦντες. Duas etiam alias variationes in vers. ult. non tanti facio, ut editis præferam; indicabo tamen : pro καταφρονεῖς codd. Vat. 649 et Alt. legunt περιφρονεῖς · pro γελασθήσῃ solus Alt. habet γελῶσαι. Ib.

(80) Pro διορθώσειας cod. Alt. habet διορθώσατο. Ib.

Digitized by Google

CLXXXVI. — SERENO TRIBUNO.

Oportere eos qui fructum ferunt simpliciter dona offerre Deo, et non judicare eorum mediatorem, id est sacerdotem.

Ne ad calculos dona exigas, verum duntaxat offer. Nam nec is, qui tibi aliquid attulit, curiosius explorat, ubi et quonam pacto illud insumas. Sufficit eum duntaxat dedisse, atque tibi honorem, ac sibi ipsi fiduciam præbuisse.

CLXXXVII. — EIDEM.

Etsi apud Deum rei atque obnoxii sunt, ut inquis, sacerdotes illi, qui rebus sacris improbe utuntur : at ipse tamen hoc ignoras : ne et largitionis propositum contumelia afficias, **56** modum ac rationem, qua ea expenditur, curiose perscrutans (perinde videlicet ac si ob eam causam dederis, ut ipsius rationem exposcas), et illos, in quos id beneficii contulisti, rationum in futurum referendarum necessitate liberes. Quemadmodum enim qui ostentationis studio boni aliquid agunt, per hujusce vitæ plausus ac laudes futuri præmli detrimento multantur : eodem modo qui eos, qui subeundo illic judicio, rationibusque referendis obnoxii sunt, hic prius excutiunt atque examinant, eos illic crimine ac supplicio liberant.

CLXXXVIII. — ASCLEPIO.

De iis qui terribilem diem contemnunt.

Si cœlum libri instar convolvitur, et astra cadunt, et Orion ac terra, et omnia quæ ipsius complexu coercentur, igne conflagrant [32]; cunctaque nuda et aperta [33] magno illi Dominicæ præsentiæ diei præparantur : ecquid ipse incuria laboras, ac non, ut rationes redditurus, te præparas, verum ut criminum expers, atque incognitus futurus, pœnitentiam differs? Vide igitur ne tum denique tibi in mentem veniat pœnitentia, cum desperationi soli locus erit.

CLXXXIX. — SERENO.

Pulchrum quidem est pietatis martyres votivis donis ornare, quemadmodum tu facis. Pulchrius autem ac præstantius fuerit, eos, per ea quæ cum virtute ac laude gesserunt, colere. Quamobrem quibus ornatum obtulisti, fac iisdem quoque mores offeras.

CXC. — PALLADIO.

Puer, qui ob aurium levitatem improbis sermonibus depravatus atque corruptus, abs te profugit,

ΡΠϚ'. — ΣΕΡΗΝΩ ΤΡΙΒΟΥΝΩ.

Ὅτι δεῖ τοὺς καρποφοροῦντας ἁπλῶς τὰ δῶρα προσάγειν Θεῷ, καὶ μὴ κρίνειν τὸν τούτων μεσίτην, τουτέστι τὸν ἱερέα.

Μὴ λογοποίει τὰ δῶρα, ἀλλὰ πρόσφερε μόνον (81). Οὐδὲ γὰρ ὁ σὸ[προσ]κομίσας τι, περιεργάζεται, ὅπου καὶ ὅπως χρήσαιτο τούτῳ· ἀρκεῖ γὰρ μόνον τὸ δοῦναι, καὶ σοὶ τιμὴν, καὶ ἑαυτῷ παῤῥησίαν ὀρέξαι.

ΡΠΖ'. — ΤΩ ΑΥΤΩ.

Εἰ καὶ τῷ Θεῷ ὑπόδικοι, ὡς ἔφης, οἱ κακῶς χρώμενοι τοῖς ἱεροῖς (82) τυγχάνουσιν ἱερεῖς, ἀλλ' αὐτὸς τοῦτο ἀγνοεῖς· μὴ καὶ τὴν πρόθεσιν τῆς δωροφορίας ὑβρίσῃς, τὸν τρόπον τῆς δαπάνης αὐτῆς ἐρευνῶν, ὡς ἐπὶ τούτῳ δεδωκὼς, ἵν' εὐθύνας αὐτῆς ἀπαιτῇς, κἀκείνους τοῦ μέλλοντος ἐξέλῃ λογοθεσίου. Ὥσπερ γὰρ οἱ ἐπιδεικτικῶς εὖ ποιοῦντες, τοῖς ἐνταῦθα κρότοις τὴν ἐκεῖθεν ἀμοιβὴν ζημιοῦνται· οὕτως οἱ τοῖς ἐκεῖσε δίκην χρεωστοῦντες, ἐνταῦθα προεξετάζοντες, τῆς ἐκεῖθεν ἀφιᾶσιν αἰτίας καὶ τιμωρίας.

ΡΠΗ'. — ΑΣΚΛΗΠΙΩ.

Περὶ ἀμελούντων τῆς φοβερᾶς ἡμέρας.

Εἰ [ὁ] οὐρανὸς ὡς βιβλίον ἑλίσσεται, καὶ τὰ ἄστρα πίπτει, καὶ Ὠρίων, καὶ (83) γῆ, καὶ τὰ ἐν αὐτῇ κατακαίεται, καὶ πάντα γυμνὰ καὶ τετραχηλισμένα τῇ μεγάλῃ ἡμέρᾳ τῆς τοῦ Κυρίου παρουσίας ἑτοιμάζεται· τοῦ χάριν αὐτὸς ἀμελεῖς, καὶ οὐχ ὡς εὐθύνας ὑφέξων εὐτρεπίζῃ, ἀλλ' ὡς ἀνέγκλητος λησόμενος, ἀναβάλλῃ τὴν μεταμέλειαν; Ὅρα οὖν μὴ τότε σοι ἐπέλθῃ ἡ μετάγνωσις, ὅτε μόνη πάρεστιν ἡ ἀπόγνωσις.

ΡΠΘ'. — ΣΕΙΗΝΩ.

Καλὸν μὲν τὸ τιμᾶν τοὺς μάρτυρας τῆς εὐσεβείας τοῖς ἀναθήμασιν, ὅπερ αὐτὸς πεποίηκας. Κρεῖττον δὲ τὸ θεραπεύειν αὐτοὺς οἷς ἐποίησαν (84) κατορθώμασιν. Οἷς τοίνυν προσενήνοχας τὸν κόσμον, καρποφόρησον αὐτοῖς καὶ τὸν τρόπον.

Ρϟ'. — ΠΑΛΛΑΔΙΩ.

Ὁ παῖς ὁ πεφευγώς σε δι' εὐχέρειαν ἀκοῆς λόγοις φαύλοις (85) φθαρείς, ἥκέ σοι δι' εὐπείθειαν, εὔνοιαν

[32] Apoc. vi, 12, 13; II Petr. iii, 12. [33] Hebr. iv, 13.

VARIÆ LECTIONES ET NOTÆ.

(81) Verba, ἀλλὰ πρόσφερε μόνον, absunt a cod. Vat. 649, nec vana suspicio est subditicia esse. Vers. 2 quod editio præfert προκομίσας correctius duo codd. Vat. 649 et Alt. scribunt. προσκομίσας. Vers. 3 et 4 pro illis : ἀρκεῖ γὰρ μόνον τὸ δοῦναι, codex Barberinus, consentiente Altæmsi, legit, ἀρκεῖται γὰρ μόνῳ τῷ δοῦναι. Possin.

(82) Cod. Vatic. 649 cum Alt. ἱεροῖς mutat in ἱερείοις, et vers. seq. ἀγνοεῖς in ἀγνόει. Vers. 5, pro τούτῳ δεδωκὼς, ἵν' εὐθύνας, etc., sic legit Alt., τούτῳ δὲ δοκῶστν εὐθύνας, etc. Vers. 6 pro ἐξέλῃ codd. ambo Vatic. 649 et Alt. habent ἐξελῇ. Vers. 8. post. ἀμοιβὴν, cod. Vat. 649 addit. ζητοῦντες. Vers. cod. et 9 pro τοῖς ἐκεῖσε δίκην χρεωστοῦντες cod. Vat. 649 legit, τοὺς ἐκεῖσε δίκην χρεωστοῦντας. Id.

(83) Duo hiatus vers. 2 recte explebuntur additis articulis ὁ et ἡ. Pro primo auctor est cod. Vat., consentiente Alt.; secundum prona suadet conjectura. Id.

(84) Pro ἐποίησαν cod. Alt. legit ἐποίησας. Id.

(85) Tres cod. : Vat. 649. Sfort. et Alt. φαύλοις recte in φαύλων mutant, moxque pro ἥκέ σοι melius legunt ἥκει σοι. Vers. 3 pro διδαχθεὶς duo codd. Sfort. et Alt. habent παιδευθεὶς, quod mihi quidem magis arridet. Id.

Digitized by Google

παρ' ἡμῶν διδαχθείς. Δέχου τοίνυν εὐμενῶς, καὶ ἡμῖν καὶ σαυτῷ χαριούμενος· ἡμῖν τὴν ἀγάπην, σαυτῷ δὲ τὴν χρείαν.

A propter obedientiam ad te redit, benevolentiam a nobis edoctus. Quocirca facili ac placido animo eum excipe. Sic enim, et nobis, et tibi ipsi commodabis: nobis videlicet charitatem et benevolentiam, tibi ipsi autem officium atque obsequium præstans.

ΡΛΑ'. — ΚΑΛΛΙΟΠΙΩ.

Ὅτι καλὸν τὸ φεύγειν (f. add. *τὰς*) *πολιτείας· καὶ πρὸς ἄρχοντας.*

Ἡμεῖς τὰς πόλεις ὡς θορυβώδεις πεφεύγαμεν, καὶ θορύβους ἐπὶ τῆς ἐσχατιᾶς εὑρήκαμεν. Οἱ γὰρ ἡγεμόνες τῆς πολιτείας, οἱ τὰς πόλεις ἠρεμεῖν παρασκευάζειν ὀφείλοντες, νῦν τὰς ἐρημίας πολίζουσι, τοὺς οἰκοῦντας αὐτὰς τρέποντες εἰς φυγάδας (86), καὶ ἡμῖν δακρυώδεις ἐπαντλοῦντες φωνάς. Ὅτι δὲ θεῖον τὸ συμπαθεῖν, εὖ οἶδα κἀγώ· ὅτι δὲ τὸ πρὸς B ἐκδίκησιν ἀσθενὲς ἠροτθήκη ἐστὶ τῆς πληγῆς, καὶ τοῦτο οὐκ ἀγνοῶ. Αὐτὸς οὖν ὡς ἔχων τὸ δύνασθαι, καὶ ἀρκῶν πρὸς τὴν ἄμυναν, καὶ παῦσον τὴν ἀδικίαν, καὶ στῆσον τὴν πολιτείαν, καὶ δὸς ἡμῖν ἠρεμίαν, στείλας τοὺς θρήνους τῆς ἐρημίας.

CXCI. — CALLIOPIO.

Fugiendam esse reipublicæ administrationem: et ad magistratus.

Nos urbes, ut tumultibus laborantes, fugimus: atque in solitudine tumultus invenimus. Etenim reipublicæ duces, qui pro suo munere tranquillitatem urbibus conciliare debent, nunc solitudines in urbes commutant, earum videlicet incolas in exsules convertentes, nobisque lugubres voces infundentes. Quod autem divina res sit commiseratio, ipse quoque scio. Quod item ulciscendi imbecillitas, plagæ accessio sit, ne id quidem ignoro. Tu ergo, ut qui et opibus ac potentia præditus, et vindicandis injuriis par sis, injuriam comprime, atque rempublicam constitue, nobisque quietem tribue, sedatis nimirum et exstinctis solitudinis luctibus.

ΡΛΒ'. — ΛΑΜΠΕΤΙΩ.

Διὰ τί ὁ Ἰακὼβ ἐν τῷ τίκτεσθαι τῆς πτέρνης ἐπείληπτο τοῦ Ἡσαῦ.

Τῆς πτέρνης Ἡσαῦ ὁ Ἰακὼβ ἐπείληπτο ἐν τῷ τίκτεσθαι, τοῦτο σημαίνων διὰ τοῦ σχήματος, ὅτι ὁ νοῦς ὁ βλέπων Θεὸν καθαρότητι (τοῦτο γὰρ Ἰσραὴλ ἑρμηνεύεται), πτερνίζει τὰ πάθη τὰ γαστρίμαργα· ὅπερ ἐπ' αὐτῶν ἐκείνων τετέλεστο, ἡνίκα τὴν C ἀκαρτέρητον λύτταν ὁ Ἐδὼμ ἐπεδείξατο, καὶ τῆς πρεσβυγενείας τὴν τιμὴν οἰκέτιν ἐποίησε βρώσεως.

CXCII. — LAMPETIO.

57 *Cur Jacob cum nasceretur, Esau plantam arripuit* [35].

Jacob Esau plantam in ortu arreptam tenebat: hoc videlicet per hanc speciem significans, quod mens, quæ Deum per puritatem cernit (id enim si interpreteris, Israel sonat) gulæ affectus supplantat. Quod quidem in illis ipsis impletum est, cum C Edom effrenatæ cujusdam rabiei significationem dedit, ac primigeniorum honorem edulii servum effecit.

ΡΛΓ'. — ΤΩ ΑΥΤΩ.

Τί ἠνίξατο, τὰ τῶν ἐρίφων δέρματα ὁ Ἰακὼβ περιθέμενος.

Ὀξέως ἐπιβάλλεις τοῖς ἐνθυμήμασι, καὶ δριμέως θηρεύεις τὰ κεκρυμμένα αἰνίγματα. Τὰ δέρματα τῶν ἐρίφων ὁ Ἰακὼβ περιθέμενος, καὶ τὴν εὐλογίαν τοῦ πατρὸς πορισάμενος, τὸν Κύριον ἡμῶν καὶ Σωτῆρα ἠνίξατο, τὴν ἐναμάρτητον (87) φύσιν ἀναμαρτήτως δεξάμενον, καὶ τὰ πάθη αὐτῆς ἐν ἑαυτῷ θανατώσαντα· τοῦτο γὰρ δηλοῖ ἡ τῶν νεκρῶν δερμάτων περίθεσις· ἐπειδὴ οὐδὲν ἐρίφωδες λοιπὸν ἐν τῇ φύσει κατέλιπε, τῆς εὐωνύμου στάσεως καὶ κρίσεως D ἄξιον. Ἀλλὰ νεκρώσας αὐτῆς τὰ γήϊνα μέλη, καὶ βρῶσιν προσφιλῆ τῷ Πατρὶ προσεκόμισε, τὴν ἡμετέραν ἀεὶ πεινῶντι σωτηρίαν, καὶ ἡμῖν ἐν ἑαυτῷ τὴν ἀναφαίρετον εὐλογίαν ἐπήγασεν.

CXCIII. — EIDEM.

Quidnam innuerit illud, quod Jacob hædorum pellibus se contexerit [35].

Ingeniose et argute animum cogitationibus adjicis, atque acute occulta ænigmata venaris. Jacob hædorum pellibus contectus, ac paternam benedictionem consecutus, Dominum ac Salvatorem nostrum significavit, qui peccato obnoxiam naturam citra peccatum suscepit, ac vitiosos ipsius affectus in seipso interemit (hoc enim mortuarum pellium indumentum designat). Quandoquidem nihil jam hædinum, ac sinistro latere atque condemnatione dignum in natura reliquit, verum terrenis ipsius membris morte affectis, Patri, perpetuæ salutis nostræ fame flagranti, gratam ac minime eripiendam benedictionem fontis in morem protulit.

ΡΛΔ'. — ΩΡΙΩΝΙ ΜΟΝΑΧΩ.

Περὶ τῆς παραβολῆς τῶν ζιζανίων.

Πόθεν, ἔφης, οἱ πονηροὶ λογισμοὶ ἐκ τῆς καρδίας

CXCIV. — ORIONI MONACHO.

De zizaniorum parabola [36].

Unde est, inquis, quod malæ cogitationes e

[35] Gen. xxv, 25. [35] Gen. xxvi, 16. [36] Matth. 25 seqq.

VARIÆ LECTIONES ET NOTÆ.

(86) Pro φυγάδας codd. Vat. 649 et Alt. φυγὰς legunt. Possin.

(87) Pro ἐναμάρτητον, cod. Alt. legit ἐνάμαρτον. Vers. 9 pro κατέλιπε codd. Vat. et Alt. habent, καταλέλοιπε. Vers. ult. pro ἐπήγασεν solus Vat. 649 habet ἐπήγαγε. Id.

Digitized by Google

corde exeunt, et coinquinant hominem? Nimirum quia dormiunt agricolæ, qui excubias agere debebant, atque exorientem boni seminis fructum tueri et conservare. Nam nisi ingluvie ac veterno custodiam nostram prodidissemus, divina videlicet imagine contaminata, hoc est præclaro semine adulterato, zizaniorum sator, qua ad nos irreperet, non invenisset, nec zizania igne digna in nobis effecisset.

A ἐξέρχονται, καὶ κοινοῦσι τὸν ἄνθρωπον; Ἐκ τοῦ καθεύδειν τοὺς γεωργοὺς ἐγρηγορέναι ὀφείλοντας, καὶ φυλάττειν τοῦ καλοῦ σπέρματος τὸν καρπὸν ἀναθάλλοντα. Εἰ γὰρ μὴ κόρῳ καὶ κάρῳ τὴν ἑαυτῶν φυλακὴν προδεδώκειμεν, τὴν θείαν εἰκόνα μολύναντες, τουτέστι τὸ καλὸν σπέρμα νοθεύσαντες, ὁ τῶν ζιζανίων σπορεὺς οὐκ ἂν εὗρε παρεισδυσιν, καὶ ἄξια πυρὸς ζιζάνια [ἐν] ἡμῖν κατειργάσατο.

CXCV. — EIDEM.

In idem.

Vis abeuntes colligamus zizania? aiunt angelicæ virtutes, divinæ voluntati benevolo semper animo administram operam præbere cupientes. Quoniam et segnitiem nostram ac socordiam, et ingentem B Dei lenitatem conspiciunt. Verum hoc facere prohibentur, ne una cum zizaniis evellatur et triticum : hoc est, ne rapiatur peccator ad vitæ emendationem spectans, ne una cum improbis parentibus insontes liberi simul exscindantur, **58** qui adhuc quidem sæpe in paternis lumbis sunt, verum apud Deum, utpote occulta cernentem, jam exsistunt. Angelorum enim classes, ut conservæ naturæ, ea quæ nondum præsentia sunt ignorant. Deus autem et intelligit, et persæpe istud fecit. Neque enim Esau peccantem [37], nondum edita prole, demessuit, ne una quoque Jobum evelleret, qui ex eo genus duxit; nec item Matthæum portoriis exigendis operam dantem [38] morte affecit, ne Evangelii prædicationem impediret; nec libidini C atque impudicitiæ studentes meretrices oppressit, ne pœnitentiæ exempla deesseni [39]; nec Petri abjurationem ultus est, quoniam calentes ipsius lacrymas prospiciebat [40]; nec persequentem [41] Paulum morte abscidit : ne orbis terrarum fines salute frustrarentur. Omnia ergo zizania, quæ messem exspectant [42], nec ad pœnitentiæ fructum sese convertunt, magno igni præparantur, ut quæ sterilitate prorsus laborarint.

ΡΚΕ'. — ΤΩ ΑΥΤΩ.

Εἰς τὸ αὐτό.

Θέλεις ἀπελθόντες συλλέξωμεν τὰ ζιζάνια; αἱ ἀγγελικαὶ δυνάμεις φασὶ, διακονεῖν ἀεὶ τῷ θείῳ θελήματι εὐνοϊκῶς ἐπιθυμοῦσαι, ἐπειδὴ καὶ τὴν ἡμῶν ὀλιγωρίαν καὶ τὴν τοῦ Θεοῦ πολλὴν ὁρῶσι μακροθυμίαν. Ἀλλὰ πρᾶξαι τοῦτο κωλύονται, μὴ συνεκτμηθῇ τοῖς ζιζανίοις ὁ σῖτος, μήποτε ἁρπαγῇ ἁμαρτωλὸς πρὸς διόρθωσιν βλέπων, μὴ πονηρῶν γενομένων (88) γονέων συνεκκοπῇ ἀκατάγνωστα τέκνα, ἔτι μὲν πολλάκις ἐν ὀσφύϊ ὄντα πατρικῇ, Θεῷ [δὲ] ὑφεστῶτα ὡς τὰ κεκρυμμένα ὁρῶντι. Αἱ γὰρ τάξεις τῶν ἀγγέλων, οἷα τῆς φύσεως σύνδουλοι, τὰ μήπω παρόντα ἀγνοοῦσιν. Ὁ δὲ Κύριος καὶ συνιεῖ, καὶ πολλάκις ἐποίησεν. Οὐκ ἐθέρισεν ἄτεκνον τὸν Ἡσαῦ ἁμαρτάνοντα, ἵνα μὴ συνεκτίλ[λ]ῃ τὸν Ἰὼβ, ἐξ ἐκείνου γινόμενον· μὴ θανατώσας τελωνοῦντα Ματθαῖον, ἵνα μὴ κωλύσῃ τὸ Εὐαγγέλιον· μὴ νεκρώσας ἀσελγούσας πόρνας, ἵνα μὴ τῆς μετανοίας οἱ τύποι ἀργήσωσιν· μὴ ἀμυνάμενος τοῦ Πέτρου τὴν ἄρνησιν, ἐπειδὴ τὸ θερμὸν προεῖλεπε δάκρυον· μὴ ἐκκόψας τελευτῇ τὸν Παῦλον διώκοντα, ἵνα μὴ ἀστοχήσωσι σωτηρίας τῆς οἰκουμένης τὰ τέρματα. Ὅσα τοίνυν τὸν θερισμὸν περιμένει ζιζάνια, καὶ πρὸς καρπὸν μετανοίας οὐ τρέπεται, τῷ μεγάλῳ πυρὶ ἑτοιμάζεται, ὡς παντελῆ ἀκαρπίαν νοσήσαντα.

CXCVI. — SERENO.

In illud Exodi, « Petite singuli de vicinis vasa argentea et aurea, » etc.

Non est iniqui judicii, quemadmodum putas, iis, qui plurimos labores et ærumnas pertulerant, ac domos exstruxerant [43] imperasse, ut Ægyptios D spoliarent, aureaque atque argentea vasa ab illis acciperent [44], quibus labores suos impenderant : verum perquam etiam integri ac religiosi judicis, dignum cibo esse operarium sancientis [45]. Nam si quis nostrum cognitionis spiritum assecutus esset,

ΡΚΓ'. — ΣΗΡΗΝΩ (89).

Ἐπιστολαὶ τῆς Ἐξόδου, « Αἰτήσασθε ἕκαστος παρὰ τοῦ πλησίον σκεύη ἀργυρᾶ καὶ χρυσᾶ, » καὶ τὰ λοιπά.

Οὐκ ἔστιν ἀδίκου κρίσεως, ὡς οἴει, τὸ κελεῦσαι τοὺς πλεῖστα μοχθήσαντας, καὶ πόλεις σὺν πόνῳ οἰκοδομήσαντας, σκυλεῦσαι τοὺς Αἰγυπτίους, [καὶ] χρυσία λαβεῖν ἢ ἀργύρια παρ' ἐκείνων, οἷς [τοὺς] πόνους κατέθεντο. Ἀλλὰ καὶ σφόδρα ἀδεκάστου κριτοῦ, ἄξιον εἶναι τῆς τροφῆς ἐργάτην θεσπίζοντος. Εἴ γάρ τις ἡμῶν καὶ γνωστικοῦ ἐπέτυχε πνεύματος, εὗρεν ἂν παρὰ πολὺ τὸν μισθὸν, καὶ οὕτως

[37] Hebr. XII. [38] Matth. IX, 9. [39] Matth. XXI, 31; Luc. VII, 37. [40] Matth. XXVI, 75. [41] Act. IX, 1 seqq. [42] Matth. XIII, 24. [43] Exod. I, 11. [44] Exod. XI, 2. [45] Luc. X, 7.

VARIÆ LECTIONES ET NOTÆ.

(88) Recte Cod. Vat. 649 et Alt. γενομένων mutant in τεμνομένων. Vers. 14. Iidem pro συνεκτίλλῃ habent συνεκτέμῃ. Possin.

(89) Vide notas ad lib. IV, ep. 87.

— Lacunam primi versus coæquant cod. Vatic. 649 et Alt. inserendo, θαυμάσιε. Vers. 6 cod. Vat. post εἶναι, adjungit, οἶμαι, et post τροφῆς addit τόν. Vers. 8 pro his, παρὰ πολὺ τὸν μισθὸν, ambo codd. habent, παρὰ πλοῦτον θεσμόν. Iidem vers. ult. pro προτέθηκε legunt παρέδωκε. Ib.

Digitized by Google

δεδομένον, τῆς κατωδύνου πλινθείας, καὶ πολυστενάκτου οἰκοδομίας, δι' ἣν αὐτοῖς ὁ δίκαιος κριτὴς καὶ τὴν χάριν πρὸς τὴν χρῆσιν προσέθηκε.

ob quam justus judex ipsis quoque gratiam ad inferiorem fuisse [46].

A illud utique invenisset, mercedem hanc, atque ad hunc modum datam, laboris in conficiendis lateribus suscepti acerbitate, ac luctuosa ædificatione, hujusmodi commodato accipiendas indidit, longe

ΡϞΖ'. — ΚΥΡΩ.

Κόπος, καὶ τῦφος (90), καὶ δόξα κενὴ, οὐ συνιστᾷ τῇ ἄνω λαμπρότητι, ἀλλὰ τρόπος χρηστὸς, καὶ βίος σεμνὸς, καὶ κοινωνία πρὸς τοὺς χρῄζοντας ἀνεπίδεικτος. Τοῖς γὰρ ἐνταῦθά ἐπαίνοις, καὶ ἡ ἀμοιβὴ τῆς εὐποιΐας συγκαταλύεται. Εἰ δέ τις τὴν ἐκεῖθεν ἀνταπόδοσιν ζητεῖ, καὶ νῦν λαμβάνει ἀπαρχὰς, κἀκεῖ πλούσιον κομίζεται γέρας.

CXCVII. — CYRO.

Pompa, et fastus, atque inanis gloria, supernum splendorem minime conciliat, verum mores probi, ac vita honesta, et ostentationis expers bonorum communicatio cum iis qui inopia conflictantur. Etenim cum hujus vitæ laudibus beneficii quoque dati merces una exstinguitur. Sin autem quispiam futuram mercedem quæriţ, ille et nunc primitias accipit, et illic amplum et copiosum præmium

B refert.

ΡϞΗ'. — ΤΩ ΑΥΤΩ (91).

Ὅτι τὴν ἴσην δίκην οἱ Αἰγύπτιοι ἀπέλαβον ἐπὶ τῆς Ἐρυθρᾶς, ἀντὶ τῆς ἀῤῥενοφορίας (f. ἀῤῥενοφονίας, vel ἀῤῥενοφθορίας) τοῦ Ἰσραήλ.

Ἐπειδὴ ἀριστά σοι εἶπας πεφηνέναι τὰ πρότερα, δέχου καὶ ἄλλην οὐκ ἀναξίαν ἐκείνης διάνοιαν. Τὴν τῶν Ἑβραίων ἀῤῥένων μιαιφονίαν ὁμοίᾳ Θεὸς ἀντημείψατο ἐκδικήσει, ἐν τῇ Ἐρυθρᾷ πάντας ἄῤῥενας ἀποπνίξας, ἵνα καὶ τοῖς σώμασιν ἔχῃ ἡ δίκη τὸ ὅμοιον. Πρόσεχε τοίνυν ὀσφαλῶς, καὶ μὴ μέμφου προπετῶς.

CXCVIII. — EIDEM.

Æquales pœnas dedisse Ægyptios in mari Rubro pro masculorum occisione.

Quoniam optima tibi priora visa esse dixisti, aliam quoque illa minime indignam sententiam accipe. Nefariæ masculorum Hebræorum cædi Deus eamdem ultionem ac pœnam rependit, omnibus maribus in Rubro mari oppressis ac suffocatis [47]: **59** quo nimirum cum corporibus quoque pœna similitudinem haberet. Quocirca prudenter attende, non autem temere reprehende.

ΡϞΘ'. — ΔΙΔΥΜΩ.

Εἰς τὸ εἰρημένον, « Ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν κόκκῳ σινάπεως. »

Κόκκῳ σινάπεως τὴν οὐράνιον βασιλείαν ἀπεικάζει· ὁ Κύριος, πλείστων ἕνεκα τρόπων· διὰ τὴν εὐτέλειαν τῆς ἐν τῇ οἰκείᾳ συγκαταβάσει πτωχείας, ἀφ' ἧς ἡμῖν ἡ σκιὰ καὶ ἀνάψυξις ἀπὸ πασῶν τῶν ἐν τῷ βίῳ γέγονεν ὀδυνῶν· διὰ τὴν ἐν ἀρχῇ τοῦ Εὐαγγελίου τοῦ ποιμνίου σμικρότητα· διὰ τὴν ἔμφυτον τοῦ κόκκου δριμύτητα, ἧς καὶ χρῄζει ὁ τῆς στενῆς ἔμπορος ὁδοῦ, διὰ τὸ μὴ διακόπτεσθαι, ἀλλὰ τὴν ἀδιαίρετον σώζειν ὑπόστασιν. Ὁ γὰρ Θεῷ ἑνωθεὶς, καὶ εἰς ἕνα τέλειον ἄνθρωπον συναρμολογηθεὶς, ἀδιαίρετον ἔχειν καὶ ἄτμητον τὴν πρὸς αὐτὸν ὀφείλει συνάφειαν, οὐδεὶ (92) πάθει χωριζομένην, ἀλλ' ὅλην αὐτῷ συντεταγμένην.

CXCIX. — DIDYMO.

In illud, « Simile est regnum cœlorum grano sinapis [48]. »

C

Plurimis de causis Dominus cœlorum regnum sinapis grano comparavit: nempe ob paupertatis, quam pro indulgenti sua demissione subiit, vilitatem, quæ nobis umbram atque ab hujus vitæ doloribus levationem conciliavit; ob ovilis, in Evangelii primordiis, tenuitatem; ob naturalem sinapis acrimoniam, qua etiam opus habet is, qui per arctam viam [mercaturæ caus»] graditur, ac denique quia ne sectione quidem amputatur, verum individulsam hypostasim conservat. Nam qui Deo copulatus, atque in unum perfectum hominem compactus est, ejusmodi cum eo conjunctionem habere debet, quæ dividi ac scindi nequeat, nec ulla cala-

D mitate divelli possit, verum omni ex parte cum eo conjuncta sit.

Σ'. — ΗΡΩΝΙ ΔΙΑΚΟΝΩ.

Περὶ δακρύων καὶ μετανοίας. Εἰς τὸ γεγραμμένον ἐν τῷ Ἀμώς· « Τὰ ἱμάτια αὐτοῦ δεσμεύοντες, ἐπυίουν παραπετάσματα. »

Ἡ τῶν προφητικῶν ῥημάτων διάνοια, τοιαύτην ἔχει σαφήνειαν· Ἐκάλυπτον δάκρυσι τὸ θυσιαστήριόν

CC. — HERONI DIACONO.

De lacrymis et pœnitentia, in illud Amos, « Vestimenta ejus ligantes, faciebant vela [49]. »

Propheticorum verborum sententia hanc explanationem habet: operiebant lacrymis altare meum,

[46] Exod. I, 11. [47] Ibid. 16. [48] Matth. XIII, 31. [49] Amos II, 8.

VARIÆ LECTIONES ET NOTÆ.

(90) Initium hujus epistolæ sic in codd. Vatic. 649 et Alt. exstat: Κόμπος καὶ τῦφος, etc. Iidem vers. ult. pro κομίζεται γέρας legunt κομίζει πέμας. Possin.

(91) In codd. Alt. et Vat. 649 hæc epistola inscribitur Σερήνῳ, *Sereno.* Ib.

(92) Pro οὐδεὶ, quod sine dubio vitiosum est, recte substituit cod. Alt. οὐδενί. Ib.

Digitized by Google

ait Deus; lacrymis, inquam, eorum qui injuria afficiebantur, quibusque facultates suæ eripiebantur, atque calumniæ comparabantur. Eoque nomine hæc ipsis crimini vertit, cum iis succenset, eaque calamitates illas, quæ post evenerunt, conflavisse pronuntiat. Nam alioqui pœnitentiæ lacrymæ non modo reprehensione carent, verum etiam Deo, thymiamatis instar, gratæ ac jucundæ sunt. Vestimenta autem ligata, atque altare obvelantia, quanta ipsorum animus divini Numinis contemptione laboraret, indicabant. Nam cum lex ediceret [50], ut divinum templum puris atque ingentis pretii materiis exornaretur, ipsi contra impuras ac sordidas vestes circa sanctius adytum alligantes, contumeliæ notam templo inurebant : non modo inter purum et impurum minime distinguentes [51], sed ne quidem inter Deum et res impuras discrimen ullum statuentes. Quæ quidem etiam ipsis tot malorum fontes aperuerunt.

A μου, φησὶν ὁ Θεὸς, δάκρυσιν ἀδικουμένων, ἁρπαζομένων, συκοφαντουμένων. Τούτου χάριν καὶ ἐπ' ἐλέγχου τίθησι ταῦτα μεμφόμενος, καὶ τῶν συμβάντων ἀπηχῶν ταῦτα τυγχάνειν ἀποφηνάμενος αἴτια. Τὰ γὰρ τῆς μεταγνώσεως δάκρυα, οὐ μόνον ἀκατηγόρητα, ἀλλὰ καὶ ἡδέα (93) ἐστὶ τῷ Θεῷ, ὡς θυμίαμα. Τὰ δὲ ἱμάτια τὰ δεσμούμενα, καὶ τὸ θυσιαστήριον καταπετάζοντα, τὴν καταφρονητικὴν αὐτῶν περὶ τὸ Θεῖον ἐμφαίνει διάθεσιν. Τοῦ γὰρ νόμου ἐκ καθαρῶν καὶ τιμίων ὑλῶν τὴν περὶ τὸν θεῖον νεὼν τάσσοντος διακόσμησιν, αὐτοὶ ῥυπώσας καὶ ἀκαθάρτους ἐσθῆτας περὶ τὸ ἅγιον τῶν ἁγίων δεσμοῦντες, καθύβριζον τὰ ἀνάκτορα· μὴ μόνον μεταξὺ καθαροῦ καὶ ἀκαθάρτου μὴ διαστέλλοντες, ἀλλὰ ἀνὰ μέσον Θεοῦ καὶ ἀκαθάρτων μὴ B διακρίνοντες, ἅπερ αὐτοῖς καὶ τῶν τοσούτων κακῶν τὰς πηγὰς ἀνεστόμωσε.

CCI. — DIDYMO.

Quomodo assimilatum est regnum cœlorum fermento [52].

Cœlorum regnum fermento comparatum est : hoc est Domini ac Salvatoris nostri incarnationi peccati omnis experti, **60** quæ universum terrarum orbem conspersit : et unius corporis ex nostra substantia atque a Dei genitrice Maria sumpti, coagmentationi, quæ homines omnes, qui ab orbe condito exstiterunt, ad novum ortum renovavit [53].

ΣΑ'. — ΔΙΔΥΜΩ.

Πῶς ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ζύμῃ.

Ζύμῃ ἡ βασιλεία τῶν οὐρανῶν ἀφωμοίωται, τῇ τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν ἀναμαρτήτῳ σαρκώσει, ἀναφυρασάσῃ τὸν ἅπαντα κόσμον, καὶ ἑνὸς σώματος ὑποστάσει, ἐκ τῆς ἡμετέρας οὐσίας καὶ τῆς θεοτόκου Μαρίας ληφθέντος (94), τὴν ἀπ' αἰῶνος ἀνθρωπότητα εἰς παλιντοκίαν ἀνακαινισάσῃ.

CCII. — MACARIO EPISCOPO.

Recte quidem, ut mihi persuadeo, novos Ecclesiæ ministros instituis : male autem eosdem laudas. Vide ne hujusmodi laudibus inflectantur, contentionisque suavitate spolientur, illisque hoc inanis opinio atque arrogantia afferat, ut intentionis animique nervorum jacturam faciant.

ΣΒ'. — ΜΑΚΑΡΙΩ ΕΠΙΣΚΟΠΩ.

C Καλῶς μὲν (95) ἄγεις τοὺς νέους τῆς Ἐκκλησίας λειτουργοὺς, πέπεισμαι· κακῶς δὲ τούτους ἐπαινεῖς. Πρόσεχε μὴ τοῖς ἐγκωμίοις ἀνακλιθῶσι, καὶ τῶν τόνων τὸ ἡδὺ συληθῶσιν, οἰήσει τὴν συντονίαν ζημιωθέντες.

CCIII. — ZENODOTO.

Cum et Noe agriculturæ suæ periculum fecerit, ignorans quidnam ex vino ipsi accidisset [54] : et Lot item a vino in amentiam inflexus sit, paterque in senili ætate haud sponte ac voluntarie factus sit [55], et Herodes temulentiæ ludus effectus, magni Joannis cruore mensam suam ac pectus tinxerit [56], et denique omnia hominum vesana crimina a vino D promanent [57], quid tu voluntarium furorem accersis, ac non pudicam et temperantem moderationem amplecteris?

ΣΓ'. — ΖΗΝΟΔΟΤΩ.

Εἰ καὶ Νῶε τῆς οἰκείας γεωργίας πεπείρατο, ἀγνοήσας ὃ πέπονθεν ἐξ οἴνου· καὶ Λὼτ εἰς ἄνοιαν (96) ἐκλίθη ὑπὸ οἴνου, καὶ πατὴρ ἐν γήρει ἀβουλήτως γεγένητο· καὶ Ἡρῴδης μέθης γενόμενος παίγνιον, τῷ τοῦ μεγάλου Ἰωάννου αἵματι τὴν τράπεζαν αὐτοῦ καὶ καρδίαν ἐφοίνιζε· καὶ πάντα τὰ ἄλογα τῶν ἀνθρώπων ἐγκλήματα, οἴνου ἐστὶν ἀποβλύσματα· τί τὴν αὐθαίρετον ἐφέλκῃ μανίαν, καὶ οὐ τὴν σώφρονα περιάπτεις συμμετρίαν;

CCIV. DIDYMO.

Quemadmodum sagena, quæ in mare projicitur,

ΣΔ'. — ΔΙΔΥΜΩ.

Ὥσπερ ἡ ῥιπτομένη ἐν θαλάσσῃ σαγήνη, διά-

[50] Exod. xxv, 4. [51] Ezech. xxii, 26. [52] Matth. xiii, 33. [53] Joan. iii, 5. [54] Genes. ix, 20. [55] Genes. xix, 35. [56] Matth. xiv, 4. [57] Eccli. xix, 2, et xxxi, 30.

VARIÆ LECTIONES ET NOTÆ.

(93) Pro ἡδέα cod. Alt. habet ἴδια. Idem cum Vat. vers. seq. pro καταπετάζοντα legit παραπετάζοντα. Id.

(94) Pro ληφθέντος cod. Vatic. 619 habet ἀναληφθέντος. Possin.

(95) Cod. Sfort. omittit μέν. Vers. 4 cod. Alt. τόνων mutat in πόνων. Id.

(96) Pro εἰς ἄνοιαν cod. Vat. 619 legit, εἰς ἄνομον. Vers. sep. pro ἀβουλήτως cod. Alt. habet ἀβουλήτῳ. Vers. 6 ἐφοίνιζε recte mutant codd. Vat. 619 et Alt. in ἐφοίνιξε. Vers. pen. iidem pro περιάπτεις habent περιέπεις. Id.

Digitized by Google

φορον (97) ἔχει τὸν συγκλεισμὸν τῶν γενῶν τῶν ἰχθύων· οὕτως ἡ αἰώνιος τοῦ Χριστοῦ βασιλεία, τὴν ἐκ παντὸς ἔθνους ἀνθρώπων πληθὺν δεχομένη, ἀνάλογον τῇ πίστει τὴν σωτηρίαν ὁρίζει, οὐ γένους ἀξιοπιστίᾳ [οὐκ ἀξίας σεμνολογίᾳ] οὐχ ἱερατείᾳ, οὐ βασιλείᾳ ἀναξίᾳ τῆς κλήσεως τὴν τρυφὴν διανέμουσα, ἀλλὰ τρόπῳ καὶ βίῳ πρὸς καθαρότητα νεύσαντι, καὶ πρὸς τὴν θήραν τῶν ἀληθῶν ἁλιέων ὁρμήσαντι.

A varia piscium genera concludit [58] : eodem modo sempiternum Christi regnum ex omnibus hominum nationibus multitudinem excipiens, pro fidei ratione salutem cuique constituit : non generis auctoritati, non dignitatis amplitudini, non sacerdotio, non regno hac appellatione indigno delicias tribuens, verum moribus ac vitæ, quæ ad puritatem propensa fuerit, atque ad verorum piscatorum prædam [59] se contulerit.

ΣΕ'. — ΤΩ ΑΥΤΩ.

Τὰ καλὰ συνάγεται εἰς ἄγγη, καὶ τὰ κακὰ ἔξω βάλλεται τῆς σαγήνης, ἐρευνωμένης, φημὶ, τῆς τοῦ Κυρίου Ἐκκλησίας, ἐπειδὴ πάντες τῷ Χριστοῦ ὀνόματι ἐσφραγίσθησαν, καὶ εἰς μίαν ἁρμονίαν ἡνώθησαν. Καὶ συνάγεται μὲν εἰς ἄγγη, τουτέστιν εἰς τὰς αἰωνίους μονὰς, τὰ ἐν ἀληθείᾳ διαμείναντα φρονήματα· ἔξω δὲ βάλλεται τῆς βασιλείας, τὰ αἱρετικὰ καὶ τῆς ὀρθῆς δόξης ἀντίθετα.

B Bona intra vasa colliguntur, mala autem extra sagenam projiciuntur [60] : nimirum cum Domini Ecclesia excutietur, quandoquidem omnes Christi nomine consignati, atque in unam compagem et commissuram copulati sunt. Et quidem in vasa, hoc est, in sempiternas mansiones, colliguntur animi qui in veritate perstiterunt. Extra regnum autem projiciuntur hæretica, rectæque doctrinæ adversantia.

ΣϚ'. — ΕΥΤΟΝΙΩ.

Περὶ τοῦ στατῆρος ὃν ἔλαβεν ὁ Πέτρος.

Ὁ στατὴρ ὃν ὁ Πέτρος ἐκ τοῦ βυθοῦ λαβεῖν ἐκελεύετο ἐν τῷ ἰχθύϊ κρυπτόμενον (98), τὴν μορφὴν ἡμῶν ἐδήλου καλυπτομένην τοῖς πάθεσιν, ἣν ἐν ἑαυτῷ πρὸς τὸ ἀρχέτυπον ἀνακαλεῖται ὁ Κύριος. Ἀνθ' ἑαυτοῦ δὲ τοῦτον δοθῆναι προσέταξεν, ὡς γεγονὼς ἄνθρωπος τοῖς ἡμῶν ἅπασιν ὑποκείμενος· οὔτε βασιλεῖ συγχωρῶν ἀντιτάσσεσθαι ἀβλαβῶς ἐπιτάσσοντι, καὶ τῆς θεϊκῆς δυνάμεως τὰς ἐνεργείας ἐπιδεικνύμενος.

CCVI. — EUTONIO.

De statere quem cepit Petrus.

Stater ille, quem in pisce abstrusum Petrus capere jussus est [61], formam nostram vitiosis affectionibus coopertam designabat, **61** quam Dominus in seipso ad primigenium exemplar revocat. Pro se autem hunc dari præcepit, ut homo effectus, atque omnibus nostris conditionibus subjectus : nec imperatori, cum ea imperat, quæ minime noxia et perniciosa sunt, obluctari permittens, et divinæ potentiæ vim ac facultatem ostendens.

C

ΣΖ'. — ΜΑΡΤΥΡΙΩ.

Πῶς νοητέον, « Ἐὰν μὴ στραφῆτε, καὶ γένησθε ὡς τὰ παιδία. ».

Οὐχ ἡλικίας ὑποστροφὴν τὴν πρὸς τὰ παιδία ὁμοίωσιν ὁ Κύριος ἀπαιτεῖ, ὅπερ αὐτὸς νομίζεις, ὡς ὁ Νικόδημος, ἀλλὰ τῆς κακίας τὴν ἄρνησιν, ὡς παιδιὰν ἡμῖν ἐνυπάρχειν ἁπλότητα. Καὶ τοῦτο δι' ὧν ἔφησε δείκνυσιν, οὐκ εἰπὼν, Ἐὰν μὴ γένησθε παιδία, ἀλλ', Ὡς τὰ παιδία, τῇ τοῦ, ὡς, προσθήκῃ τὴν μίμησιν ἐμφαίνων τοῦ πράγματος.

CCVII. — MARTYRIO.

Quomodo hoc intelligendum : « Nisi conversi fueritis, et facti sicut parvuli [62]. »

Cum Dominus id a nobis exposcit, ut ad puerorum similitudinem accedamus, non id a nobis exigit, ut ad infantiam redeamus, quemadmodum ipse, Nicodemi instar [63], existimas : verum ut improbitatem abjuremus, sicque nos comparemus, ut puerilis in nobis simplicitas insit (99). Atque hoc per ea quæ dixit, ostendit. Non enim dixit, Nisi parvuli efficiamini, sed, *sicut parvuli* : nimirum hujusce particulæ, *sicut*, accessione, rei imitationem declarans.

ΣΗ'. — ΔΟΝΑΤΩ.

Περὶ πραότητος.

Μὴ τὴν ἔννομον ἀρχὴν τοῖς ἀναρμόστοις ἤθεσιν ἐκβαρβάρου, ἀλλὰ τοῖς πρέπουσιν αὐτῇ πράγμασι κατακόσμει πραότητος μεταδιδοὺς τοῖς ἀθύμοις, καὶ ἰσότητος τοῖς ἥττοσι πρὸς τοὺς μείζους· καὶ τότε λαμπρὸν ἐξάψεις πυρσὸν τῆς εὐνομίας. Ὑπέκκαυμα γάρ ἐστι δικαιοσύνη τοῦ φωστῆρος τῆς εὐαρχίας.

CCVIII. — DONATO.

De mansuetudine.

D

Ne legitimum imperium inconditis atque inconcinnis moribus barbarum reddas, verum rebus ipsis consentaneis exornes : mœstis videlicet lenitatem, minoribusque cum majoribus æquabilitatem impertiens. Ac tum præclarum æquitatis et justitiæ ignem accendes, siquidem prælucentis justitia probi imperii ac perfecturæ igniculus est.

[58] Matth. XIII, 47. [59] Matth. IV, 19. [60] Matth. XIII, 48. [61] Matth. XVII, 26. [62] Matth. XVIII, 3. [63] Joan. III, 7 seqq.

VARIÆ LECTIONES ET NOTÆ.

(97) Pro διάφορον cod. Alt. habet ἀδιάφορον. Vers. 5 pro ὁρίζει cod. Vat. 649 et Alt. legunt, ὁρέγει. Possin.

(98) Codd. Vat. 649 et Alt. ponunt κρυπτόμενος, referunt enim ad ὁ στατήρ. Vers. 6 iidem pro ὡς γεγονὼς, legunt ᾧ γέγονεν, elegantius, ni fallor. Id.

(99) *Ut puerilis in nobis simplicitas insit.* Latius

Digitized by Google

CCIX. — THEOGNOSTO.

Quid sit, « Ea quæ sunt Cæsaris, Cæsari, et quæ sunt Dei, Deo [65]. »

Si quid materiæ proprium, si quod erroris instrumentum, si quod imposturæ simulacrum intestina socordia nobis injecit, hoc Dominus ad vitii architectum et effectorem a nobis projici vult. Contra, si quod virtutis symbolum, si quod honestatis insigne, si quod vigilantiæ atque cautionis lucrum, hoc Dei beneficio nobis contigisse existimare ac persuasum habere, debitamque laudem ipsi offerre. Id enim est quod ait, « Reddite quæ sunt Cæsaris, Cæsari, et quæ sunt Dei, Deo. »

CCX. — CHRISTODORO.

Quid sit, « Tunc qui in Judæa, fugiant ad montes [66]. »

Postremæ temporum necessitatis signa, quæ Dominus ad cognitionem nostram patefecit, ut tibi explanarem, per litteras postulasti. Horum igitur vim paucis accipe. « Qui in Judæa sunt, fugiant ad montes : » id est, qui in pietate fixi ac firmati sunt (nam id Judæa sonat), ad sublime perfugium oculos conjiciant, suæ videlicet confessionis præsidio septi ac communiti. « Qui autem in tecto est, non descendat aliquid tollere de domo sua : » id est, qui præsentem domum contempsit ac pro nihilo duxit, atque omnem hujusce vitæ scenam pedibus protrivit, vitaque altus et sublimis effectus est, et intestinos animorum motus ablegavit, nihil ex ipsis attrahat, non metum, non ignaviam, non inanem gloriam, **62** non opum cupiditatem : id enim ex alto descensus significat. « Et qui in agro, non revertatur tollere tunicam suam : » id est, qui veterem hominem exuit, rebusque carnalibus nuntium remisit, novum gestet, qui eum ad Dei agnitionem renovavit, atque a fæce et illuvie repurgavit. Hinc enim illud assequetur, ut ingens illa calamitas nihil ipsi insidiarum creare possit.

CCXI. — EIDEM.

« Væ prægnantibus et lactentibus in illis diebus, » ait Dominus [67] ad eas animas, quæ divinum amorem velut utero adhuc gerunt, nec verborum libertate ac fiducia uti, Deique confessionem, acremque pro eo contentionem ac dimicationem parere audent, quæque puerilem et imperfectam de divina patientia mentem ac sententiam obtinent, nec præmiorum spem sibi proponunt, verum minis aut insultibus fractæ sunt, ac futuris rebus spoliatæ.

CCXII. — ZENONI PRESBYTERO.

Ad eos qui se in rebus divinis exercent.

Rudes in divina Scriptura pullulantes earum re-

A

ΣΘ'. — ΘΕΟΓΝΩΣΤΩ.

Τί ἐστι, « Τὰ Καίσαρος Καίσαρι, καὶ τὰ τοῦ Θεοῦ τῷ Θεῷ. »

Εἴ τι τῆς ὕλης ἴδιον, εἴ τι πλάνης ἐφόδιον, εἴ τι ἀπάτης εἴδωλον ἐν ἡμῖν ἡ ἔνοικος εἰσέφρησε ῥᾳθυμία, τοῦτο τῷ δημιουργῷ καὶ ποιητῇ τῆς κακίας ἐπιβρίπτεσθαι παρ' ἡμῶν ὁ Κύριος βούλεται. Εἴ τι δὲ ἀρετῆς σύμβουλον, εἴ τι σεμνότητος γνώρισμα, εἴ τι νήψεως καὶ ἀσφαλείας ἐμπόρευμα (1), τοῦτο Θεοῦ καὶ ἡγεῖσθαι καὶ πεπεῖσθαι τυγχάνειν δώρημα, καὶ ἀξίαν αὐτῷ προσκομίζειν τὴν αἴνεσιν. Τοῦτό ἐστιν ὃ φησιν, « Ἀπόδοτε τὰ Καίσαρος Καίσαρι, καὶ τὰ τοῦ Θεοῦ τῷ Θεῷ. »

ΣΙ'. — ΧΡΙΣΤΟΔΩΡΩ.

B *Τί ἐστι, « Τότε οἱ ἐν τῇ Ἰουδαίᾳ, φευγέτωσαν εἰς τὰ ὄρη. »*

Τῆς τελευταίας [τῶν χρόνων] ἀνάγκης τὰ σημεῖα, ἅπερ ὁ Κύριος πρὸς εἴδησιν ἡμῶν ἀπεκάλυψε, σαφηνισθῆναί σοι ἀξιώσας διὰ τοῦ γράμματος, ταχέως τὴν τούτων μάνθανε δύναμιν. « Οἱ ἐν τῇ Ἰουδαίᾳ φευγέτωσαν εἰς τὰ ὄρη, » οἱ ἐν τῇ εὐσεβείᾳ ἐρηρεισμένοι (τοῦτο γὰρ ἡ Ἰουδαία ἑρμηνεύεται)· ἐπὶ τὴν ὑψηλὴν καταφυγὴν ἀφοράτωσαν, ὑπὸ τῆς οἰκείας ὁμολογίας φρουρούμενοι. « Ὁ δὲ ἐπὶ τοῦ δώματος, μὴ καταβάτω ἆραί τι ἐκ τῆς οἰκίας αὐτοῦ. » Ὁ τῆς παρούσης περιφρονήσας οἰκίας, καὶ πᾶσαν τὴν ἐνταῦθα (2) καταπατήσας σκηνήν, καὶ ὑψηλὸς τῷ βίῳ γενόμενος, καὶ τὰ ἐνοικα πάθη ἀποπεμψάμενος, μηδὲν ἐξ αὐτῶν ἐπισπάσθω, μὴ δειλίαν, μὴ ῥᾳθυμίαν, μὴ δόξαν κεC νὴν, μὴ ὄρεξιν πλούτου, ἅπερ ἀφ' ὕψους ἐστὶ κατάβασις. « Ὁ ἐν τῷ ἀγρῷ, μὴ ἐπιστρεψάτω ἆραι τὸ ἱμάτιον αὐτοῦ. » Ὁ τὸν παλαιὸν ἀπεκδυσάμενος ἄνθρωπον, καὶ ταῖς σαρκίνοις ἀποταξάμενος, τὸν νέον φορείτω, ὃς αὐτὸν εἰς ἐπίγνωσιν Θεοῦ ἀνεκαίνισε, καὶ τῆς ἰλύος ἐκάθηρεν. Ἐν τούτοις γὰρ ἕξει τὸ πρὸς ἐκείνην τὴν μεγάλην κάκωσιν ἀνεπίβουλον.

ΣΙΑ'.— ΤΩ ΑΥΤΩ.

« Οὐαὶ ταῖς ἐν γαστρὶ ἐχούσαις, καὶ ταῖς θηλαζούσαις ἐν ἐκείναις ταῖς ἡμέραις. » Ταῖς ἐγκυμονούσαις, φησὶ, τὸν θεῖον ἔρωτα ψυχαῖς, καὶ οὐ θαῤῥούσαις παῤῥησιάσασθαι, καὶ τεκεῖν τὴν περὶ Θεοῦ ὁμολογίαν καὶ ἔνστασιν, καὶ ταῖς νηπιώδη καὶ ἀτελῆ περὶ τὴν θείαν μακροD θυμίαν γνώμην κεκτημέναις, καὶ τῇ ἐλπίδι τῶν ἀμοιβῶν οὐ προσεχούσαις, ἀλλ' ἀπειλαῖς ἢ προσδολαῖς χαυνωθείσαις, καὶ τῶν μελλόντων γυμνωθείσαις.

ΣΙΒ'. — ΖΗΝΩΝΙ ΠΡΕΣΒΥΤΕΡΩ.

Πρὸς ἀσκητάς.

Ἔχεις ἐν τῇ θείᾳ Γραφῇ ὧν σπείρεις τοὺς καρ-

[65] Matth. XXII, 21. [66] Matth. XXIV, 16. [67] ibid. 19.

VARIÆ LECTIONES ET NOTÆ.

hoc explicat Basilius Seleuciæ episcopus in orationibus, quem omnino confer pag. 245 et sqq. (*Patrolog. Gr.* t. LXXXV).

(1) Cod. Vat. 619 et Alt. non ἐμπόρευμα sed ἐμπύρευμα legunt, quod videtur argutius. Possin.

(2) Pro ἐνταῦθα codd. Vat. 619 et Alt. ponunt ἐντεῦθεν. Vers. abhinc iidem pro ῥᾳθυμίαν, habent ἀθυμίαν. Id.

Digitized by Google

πους ἀναθάλλοντας· βλέπεις τῶν χρηστῶν σου παλαισμάτων τὰ ἐπινίκια· ὑπὲρ μὲν τῆς ἐκουσίου πτωχείας ἑκατονταπλασίονά [σοι] κάνταῦθα κἀκεῖσε ὑπισχνουμένου ἀγαθὰ τοῦ ἀγαθοῦ ποιμένος καὶ Σωτῆρος· ὑπὲρ δὲ τῶν πρὸς τὰ πάθη ἀγώνων, καὶ σκαμμάτων, τὸν ἄφθαρτόν σοι στέφανον πλέκοντος Παύλου, τοῦ γενναίου τούτων παλαιστοῦ καὶ νικηφόρου.

rum, quas seris, fructus[67]. Cernis egregiorum tuorum certaminum palmas : nempe et pro sponte susceptа paupertate, centuplo ampliora tum hic, tum illic bona pollicente bono illo Pastore ac Salvatore : et pro subitis adversus vitia certaminibus, ac palæstris, corruptionis expertem coronam tibi nectente Paulo, generoso, inquam, illo in hujusmodi rebus pugile, ac victore.

ΣΙΓ. — ΣΩΣΑΝΔΡΩ.

Ἔσχες μὲν δεσμὸν τὴν συνάφειαν· ἔλυσε δὲ ταύτην ὁ Κύριος συμφερόντως καὶ ψυχωφελῶς· οὐδὲν γάρ ἐστιν ἀκερδὲς τῶν αὐτοῦ. Ἐπειδὴ τοίνυν μέριμναν ἔχει κοσμικὴν, ἀλλ' οὐ θεϊκὴν, ἡ συμβίωσις, λέλυσαι ἀπὸ γυναικός; μὴ ζήτει γυναῖκα, μήπου σε ἰὸς γυναικὸς φαρμακεύσῃ, πρὸς ἑτέραν γοητεύων συνέλευσιν ἡδυπαθείας, καὶ σαρκικὰς διδάσκων κολακείας, καὶ ἀνονήτους (5) φροντίδας καὶ ὑπονοίας. Ἀλλὰ σώζων σῶζε τὴν σεαυτοῦ ψυχὴν πρὸς τὸ ἡμέτερον ὄρος.

CCXIII. — SOSANDRO.

Matrimonii vinculo astrictus fuisti. Hoc autem Dominus conducibiliter, atque ad animæ utilitatem accommodate solvit. Neque enim quidquam eorum, quæ ab eo fiunt, commodi ac lucri expers est. Quoniam igitur mundanam, ac non divinam, sollicitudinem habet vitæ societas, « solutus es ab uxore? noli quærere uxorem[68], » ne te mulieris venenum corrumpat, ad alterum voluptatis congressum te tanquam præstigiis quibusdam illiciens, carnalesque blanditias, atque inutiles curas et suspiciones docens. Verum ad montem nostrum, ut animæ tuæ saluti consulas, te confer.

ΣΙΔ'. — ΔΩΜΙΤΙΩ.

Ὅτι πάσης ἐπέκεινα τόλμης, τὸ δογματίζειν ἀναξίως τῆς πίστεως τοὺς βιοῦντας.

Οὐ παντός ἐστιν, ὦ οὗτος, τὸ δογματίζειν· ἐπειδὴ οὐδὲ πάντες ἀλουργοφοροῦσιν. Οὐκοῦν εἰ ἐκείνοις οὐ κέχρηνται πάντες, καὶ μάλιστα πτωχοὶ, ὡς εἰς τὸ κράτος ὑβρίζοντες, καὶ εἰς εὐτέλειαν τὴν ὑπεροχὴν κατασύροντες, φεῖσαι τῶν ἁπρεπῶν τῇ Ἐκκλησίᾳ λόγων, οὐδὲν τοῖς ἀκροαταῖς κέρδος φερόντων, ἀλλ' εἰς ὕβριν τὰ τῆς θρησκείας ἐλκόντων, καὶ τοὺς δυσμενεῖς ἡμῖν αἱρεσιώτας, οὐ πρὸς σὲ καὶ τὴν κατὰ σοῦ κατηγορίαν κλινόντων, ἀλλὰ πρὸς λοιδορίαν τῆς εὐσεβείας ἐρεθιζόντων. Οὐ γὰρ τὴν σὴν ἀμαθίαν συνορῶσιν, ἀλλ' ἐκείνης ἀσθενείας καταγελῶσιν.

CCXIV. — DOMITIO.

Omnem audaciam superare, eos qui indignam fide vitam degunt, dogmata tractare.

Non cujusvis est, heus tu! dogmatistem agere : quandoquidem nec omnium purpuram gestare. Quocirca cum non omnes purpura utantur, ac præsertim pauperes (ut qui alioqui imperatoriæ majestati contumeliam inferant, remque præcellentem vilem et abjectam reddant), abstineas velim ab Ecclesiæ minime congruentibus disputationibus, quæ nullam auditoribus utilitatem afferunt, verum religionem nostram in contumeliam trahunt, infensosque atque infestos nobis hæreticos, non adversum te, atque ad te accusandum et insectandum flectunt, verum ad pietatem conviciis et maledictis incessendam exstimulant. Non enim inscitiam tuam perspiciunt : verum piæ doctrinæ imbecillitatem risui ac ludibrio habent.

ΣΙΕ'. — ΕΥΣΕΒΙΩ ΕΠΙΣΚΟΠΩ.

Πρὸς ἱερεῖς φιλαργυρίαν νοσοῦντας.

Ὡς φιλοκόσμῳ εὐπρέπεια ἱματίων, οὕτω σοὶ τὸ Ψαλμικὸν ἐφαρμόζει, « Αἰσχυνθήτωσαν οἱ ἀνομοῦντες διακενῆς, » θύρας γὰρ καὶ τρόπους κερδῶν ὑπανοίξας, σὺ μὲν τὰς ἐπ' αὐτοῖς ἀποτίσεις εὐθύνας, ἑτέροις δὲ θησαυρίζεις τοὺς πόρους, οἷς πλείονας καὶ σαυτῷ τιμωρίας σωρεύεις. Εἰ τοίνυν βούλοιο κἀκείνους καὶ ἑαυτὸν τοῦ πυρὸς ἀπαλλάξαι, πολλοί σε Λάζαροι κυκλοῦσιν· εἰς αὐτοὺς τὴν φλόγα τῶν χρημάτων ἐκτίναξον, καὶ μετ' αὐτῶν ἐκεῖσε κληρονομήσεις ἀνάψυξιν.

CCXV. — EUSEBIO EPISCOPO.

Ad sacerdotes avaros.

Ut ornatus studiosum elegantia vestium decet, ita in te illud Psalmistæ accommode conferri potest, « Confundantur inique agentes, supervacue[69]. » Patefactis enim januis ac quæstuum faciendorum rationibus, tu quidem hoc nomine rationes reddes, aliis autem opes aggeris, quibus quemadmodum et tibi plures cruciatus accumulas. Quocirca si tibi cordi est, et illos, et teipsum igni eximere, multi te Lazari[70] circumdant : in eos pecuniarum flammam excute : et cum his illic refrigerationem ac solatium consequeris.

ΣΙΣ' — ΖΗΝΩΝΙ ΠΡΕΣΒΥΤΕΡΩ.

Ἐδεξάμεθα τὸ ἱμάτιον, καὶ χιτῶνα πεπόμφαμεν, καὶ σοὶ πάνυ εὐχαριστήσαμεν, τὸ ἐν ἡμῶν ἀπαιτή-

CCXVI. — ZENONI PRESBYTERO.

Pallium accepimus, ac tunicam misimus. Tibique ingentes gratias habemus, qui indumentum unum

[67] Matth. xix, 29. [68] I Cor. vii, 27. [69] Psal. xxxiv, 4. [70] Luc. xvi, 20.

VARIÆ LECTIONES ET NOTÆ.

(5) Pro ἀνονήτους codd. Vat. 649 et Alt. legunt ἀνοήτους. Lectio vulgata videtur melior. Possin.

Digitized by Google

a nobis postularis, quandoquidem Baptistæ legem explevimus, duas tunicas non habentes. Ac siquidem egenti cuipiam detur, bene atque commode cum utroque nostrum actum fuerit : mecum nimirum qui novo indumento corpus foveam ; cum illo autem, qui pannosa tunica nuditati suæ consulat. Sin autem hanc quoque, ut quorumdam sanctorum virorum supellectilem servaturus es, me quidem in summam mei diffidentiam conjicies, ut qui conscientiæ meæ testimonio convincar : tu autem si rursum ad nos miseris, rursumque postularis, haudquaquam tamen a nobis accipies.

A σαντι σκέπασμα, ὅτι τὸν νόμον τοῦ Βαπτιστοῦ ἐπληρώσαμεν, δύο χιτῶνας οὐκ ἔχοντες. Καὶ εἰ μὲν δοθείη τῷ χρῄζοντι, ἀμφότεροι πεπράχαμεν χρηστῶς, ἐγὼ θαλπόμενος τῷ καινῷ, καὶ ἐκεῖνος (4) τῷ τριχίνῳ τὴν γύμνωσιν τιμῶν. Εἰ δὲ καὶ τοῦτον μέλλοις, ὡς τά τινων ἁγίων, τηρεῖν, ἐμὲ μὲν εἰς ἀπόγνωσιν ὠθήσεις, ἔλεγχον ἐμαυτοῦ τὴν συνείδησιν ἔχοντα· πάλιν δὲ πέμψας, πάλιν αἰτήσεις· ἡμεῖς δὲ οὐ δώσομεν.

CCXVII. — EIDEM.

Si ea spe fretus, quæ omnia continet, ad hujusmodi rem oculos conjecisti, ac fide ea aggressus es, quæ modulum nostrum superant, fruere sane B isto animi instituto, sæpius nos vestiens, ac nobis ea, quæ opus sunt, liberaliter atque copiose impertiens. Atque utinam in die illa misericordiam a Domino nanciscaris!

ΣΙΖ'. — ΤΩ ΑΥΤΩ.

Εἰ ἐλπίδι τῇ τὰ πάντα συνεχούσῃ πρὸς τὸ πρᾶγμα ἐώρακας, καὶ πίστει ἐτόλμησας τὰ ἡμᾶς ὑπεραίροντα, δναιο τῆς προθέσεως, πολλάκις ἡμᾶς περιστέλλων καὶ κοινωνῶν ταῖς χρείαις ἡμῶν φιλοτίμως, καὶ εὕροις ἔλεος παρὰ Κυρίου (5) ἐν ἐκείνῃ τῇ ἡμέρᾳ.

CCXVIII. — TIMOTHEO LECTORI.

De visione quatuor bestiarum [71].

Divini viri Danielis illa celebris atque hominum sermone pervulgata visio, Assyriorum, et Medorum, ac Macedonum regnum, ut uniusmodi, atque ex una quodque natione conflatum, uni belluæ comparavit, aliud nimirum ursæ, aliud leænæ, aliud pardo. Quarta autem visio, hoc est, horrenda bellua, utpote ingentem stuporem afferens, ferreis dentibus septa, æreisque unguibus armata, devorans et com- C minuens et conculcans, nec ad ullius animantis similitudinem accedens, Romanorum imperium perspicue designabat, utpote ex omnibus nationibus et tribubus compactum, omnique robore et gloria in seipso præditum. Neque enim uno nomine exprimendum vidit propheta principatum illum, qui potentiæ suæ jugum in omnes extendit, atque Dominicæ incarnationis tempore in infinitum imperium processit.

ΣΙΗ'. — ΤΙΜΟΘΕΩ ΑΝΑΓΝΩΣΤΗ.

Περὶ τῆς ὁράσεως τῶν δ' θηρίων.

Τοῦ θεσπεσίου Δανιὴλ ἡ περιδόητος ὅρασις, τὴν Ἀσσυρίων καὶ Μήδων καὶ Μακεδόνων βασιλείαν, ὡς μονοειδῆ (6) καὶ ἐξ ἑνὸς ἑκάστην ἔθνους συντεταγμένην [ἑνὶ καὶ] θηρίῳ παρείκασε, τὴν μὲν ἄρκτῳ, τὴν δὲ λεαίνῃ, τὴν δὲ ἑτέραν παρδάλει. Τὴν δὲ τετάρτην ὅρασιν, θηρίον φοβερὸν, καὶ περισσῶς ἐχθαμβον ἔχουσαν, ὀδοῦσι σιδηροῖς ἠρκωμένον, καὶ C ὄνυξι χαλκοῖς προσωπλισμένον, ἐσθίον καὶ λεπτύνον καὶ καταπατοῦν, οὐδενὶ ζώῳ ὁμοιωμένην τὴν Ῥωμαίων ἐπιδήλως ἐσήμανεν, ἐκ πάντων ἐθνῶν καὶ φυλῶν συντεταγμένην, καὶ πᾶσαν ἀλκὴν καὶ δόξαν ἐν ἑαυτῇ κεκτημένην. Οὐ γὰρ ἑνὶ ὀνόματι παραστῆσαι ἐώρακε τὴν ἐπὶ πάντας τὸν ζυγὸν τοῦ κράτους ἐκτείνασαν, καὶ εἰς ἀπέραντον βασιλείαν τῷ καιρῷ τῆς σαρκώσεως τοῦ Κυρίου προκόψασαν.

64 CCXIX. — NILO.

Cur assas igni carnes agni comedere præcepit [72].

Igni assas agni carnes edebant Hebræi, magnum divinæ incarnationis mysterium per hujusmodi esum D typice adumbrantes, ac Dei agnum prædiscentes, qui divinæ essentiæ ignem modo sermone omni

ΣΙΘ'. — ΝΕΙΛΩ.

Διὰ τί ὀπτὰ πυρὶ τὰ κρέα τοῦ ἀμνοῦ ἐσθίειν προσέταξεν.

Ὀπτὰ πυρὶ τὰ κρέα τοῦ ἀμνοῦ ἤσθιον Ἑβραῖοι, τυπικῶς τὸ μέγα τῆς θείας οἰκονομίας μυστήριον σκιαγραφοῦντες (7) διὰ τῆς βρώσεως, καὶ τὸν ἀμνὸν τοῦ Θεοῦ προμανθάνοντες, τὸ πῦρ τῆς θείας οὐσίας

[71] Dan. VII, 1 seqq. [72] Exod. XII, 9.

VARIÆ LECTIONES ET NOTÆ.

(4) Melius codd. Vat. 649 et Alt. κἀκεῖνος. Vers. seq. μέλλοις, cod. Alt. μέλλεις. Paulo post pro τινῶν codd. Vat. 649 et Alt. habent τῶν. Vers. seq. pro ὠθήσεις cod. Alt. legit ὤθησας. Mox pro ἐμαυτοῦ ambo codd commodius legunt ἐμαυτῷ. Possin.

(5) Pro Κυρίου cod. Alt. habet Κυρίῳ. Id.

(6) Pro μονοειδῆ, codd. Vat. 649 et Alt. habent μονοειδεῖς. Vers. seq. pro ultimo τὴν δὲ, cod. Alt. legit καὶ τὴν. Vers. inde 3 pro ἠρκωμένον cod. Alt. in contextu ponit ὁρμωμένον, sed in margine e regione ascribit ἐρκωμένον. Mox pro προσωπλισμένον codd. Vat. 649 et Alt. scribunt προωπλισμένον. Vers. 9 post Ῥωμαίων codd. iidem addunt εἶναι. At pro vocabulo sequenti ἐπιδήλως solus Alt. habet δήλως. Id.

(7) Cod. Alt. scribit σκιογραφοῦντες. vers. seq. cod. Alt. pro ἀφράστως legit ἀφράστῳ et ante νῦν, omittit τῇ Vers. ult. participia ἐσθιομένῃ et ἐργαζομένῃ in accusativos mutat cod. Alt. Id.

Digitized by Google

σαρκὶ ἀφράστως συμπλέκοντα, τῇ νῦν παρ' ἡμῶν ἐσθιομένῃ, καὶ τὴν ἄφεσιν τῶν κακῶν ἐργαζομένῃ.

A praestantiore, cum ea carne connectit, quæ nunc a nobis editur, vitiorumque remissionem affert.

ΣΚ'. — ΤΟΙΣ ΕΝ ΠΗΛΟΥΣΙΩ ΜΟΝΑΧΟΙΣ (8).

Οὐκ ἔστιν, ἀδελφοὶ, ἀσκήσεως πληροφορία, τρίβωνος καὶ ὑπήνης ἐπίδειξις. Οὐκ ἔστιν ἀναχωρήσεως ἐπιθυμία, ἡ ἐν πόλεσι καὶ θορύβοις ἀνάφυρσις. Οὐδεὶς τὴν Χριστοῦ αὔλακα τέμνει, τὴν ἀκανθοφόρον ἀσπαζόμενος φιλοπάθειαν. Οὐ δύναται κατορθῶσαι φιλοσοφίαν, ὁ λογομαχίαις προσασχολούμενος. Οὐκ ἀνέχεται καθαρθῆναι δι' ἐγκρατείας, ὁ βρωμάτων καλλονὰς ζητῶν καὶ ἁβρότητας. Εἰ τοίνυν νομίμως ἐθέλομεν ἀθλεῖν, καὶ σχήματι ἀκόμπῳ, καὶ μονήρει σχολῇ, καὶ ἀπαθείᾳ ἀρετῇ, καὶ ἡσυχίας φυλακῇ, καὶ λιτότητι τροφῆς, τὸν ἀγῶνα τὸν καλὸν ἀγωνισώμεθα.

B virtutem, quietisque custodiam, ac victus tenuitatem, bonum certamen certemus [73].

CCXX. — PELUSIOTIS MONACHIS.

Religiosæ vitæ certum argumentum haud est, fratres, pallii ac promissæ barbæ ostentatio. Secessionis monasticæ cupiditas non est, in urbibus ac tumultibus immoratio. Nemo Christi arvum sulcat, spinarum feracem voluptatem amplexans. Philosophiam consequi non potest, qui in verborum pugnis et concertationibus operam suam collocat. Per continentiam purgari non sustinet, qui ciborum suavitates ac delicias quærit. Quamobrem si legitime certare volumus, per habitum a fastu et ostentatione alienum et monasticum otium, et tranquillitatis

ΣΚΑ'. — ΙΣΙΔΩΡΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Τί ἐστιν, « Εἰ ὅλως νεκροὶ οὐκ ἐγείρονται, τί καὶ βαπτίζονται ὑπὲρ τῶν νεκρῶν; »

Εἰ ὅλως νεκροὶ οὐκ ἐγείρονται, τί καὶ βαπτίζονται ὑπὲρ αὐτῶν; ὁ θεῖος ἔφη Ἀπόστολος, τὴν τῶν σωμάτων φύσιν οὕτω καλῶς (9), συγκρινομένην τῷ τῆς ψυχῆς ἀκηράτῳ. Ἡ μὲν γὰρ ἀτελεύτητος καὶ ἀθάνατος· ἡ δὲ φθορᾷ καὶ ἀλλοιώσει ὑπόκειται. Βαπτιζόμεθα οὖν ὑπὲρ τῶν νεκρῶν [τῇ] φύσει σωμάτων, εἰς ἀφθαρσίαν αὐτὰ μετασκευασθῆναι πιστεύοντες. Καὶ ταύτην ἔχει τὸ εἰρημένον σαφήνειαν· Εἰ ὅλως, φησὶ, τὰ σώματα ἡμῶν οὐκ ἀνίσταται, τί καὶ ἐν τῷ βαπτίζεσθαι, εἰς ἀφθαρσίαν αὐτὰ μεταποιεῖσθαι πιστεύομεν;

CCXXI. — ISIDORO PRESBYTERO.

Quid sit illud: « Si mortui non resurgunt, cur baptizantur pro mortuis [74]? »

Si mortui omnino non resurgunt, ecquid etiam nonnulli pro ipsis baptizantur? ait divinus Apostolus, atque corporis naturam tam præclare cum animæ integritate comparamus? Hæc enim finis expers est, et immortalis: illud corruptioni ac mutationi subjectum. Pro corporibus itaque natura mortuis et exstinctis baptizamur, ea in immortalitatem ac statum a corruptione alienum mutari credentes. Atque horum verborum hæc sententia est: omnino, inquit, si corpora nostra ad vitam minime C redeunt, quid afferri potest, quamobrem, cum baptizamur, ea in statum corruptionis atque interitus expertem mutari credimus?

ΣΚΒ'. — ΤΩ ΑΥΤΩ.

Πῶς μέλλει ζῶντας καὶ νεκροὺς κρίνειν ὁ Κύριος. Πρὸς Τιμόθεον β'.

Τὸ κρίνεσθαι ζῶντας καὶ νεκροὺς, τοῦτό ἐστι, τὸ καὶ ψυχὴν καὶ σῶμα εἰς κρίσιν ἐλεύσεσθαι, καὶ οὔτε ἓν θατέρου κεχωρισμένον, ἀλλ' ὥσπερ κοινὴν τὴν ἐνταῦθα συνάφειαν ἐποιήσαντο, οὕτω καὶ τὴν ἐκεῖθεν δίκην ἡνωμένως ὑφέξουσιν. Εἰ δὲ καὶ ἄλλως (10) ζητεῖς, οὕτω· Διακρῖναι ζῶντας, τοὺς ἀείζωον βίον καὶ θεοφιλῆ μετελθόντας, καὶ ἀποδοῦναι αὐτοῖς ἀτελευτήτους ἀμοιβάς· κρῖναι τοὺς νεκρωθέντας τοῖς ἁμαρτήμασι, καὶ τὸ δοθὲν αὐτοῖς τάλαντον, ὡς ἐν τάφῳ τῇ ἑαυτῶν καταχώσαντας ῥᾳθυμίᾳ, καὶ ἀμύνασθαι αὐτοὺς τιμωρίᾳ. Εἰ δὲ καὶ ἄλλως, οὕτως· Κρῖναι τοὺς τότε ζῶντας καταλειφθέντας, καὶ τοὺς ἤδη πρὸ αὐτῶν κοιμηθέντας.

CCXXII. — EIDEM.

Quomodo vivos et mortuos judicaturus est Dominus [75].

Per id, quod vivos ac mortuos judicandos esse ait Scriptura, illud significatur, fore ut anima et corpus simul in judicium veniant, nec alterum ab altero sejungatur, verum quemadmodum in hac vita communem conjunctionem habuerunt, sic etiam futurum judicium subeant. Quod si alio quoque modo hunc locum tibi explicari quæris, sic habeto· vivos, hoc consectati sunt, secernere, ipsisque im- D mortales mercedes persolvere: eos autem qui peccatis immortui sunt, datumque sibi talentum in sua socordia perinde atque in sepulcro defoderunt, judicare, atque cruciatu afficere. Quod si aliam adhuc explicationem poscis, ea erit hujusmodi: judicare eos qui tum vivi relicti fuerint, et eos, qui ante ipsos vitam cum morte commutarint.

[73] II Timoth. IV, 7. [74] I Cor. XV, 29. [75] II Timoth. IV, 1.

VARIÆ LECTIONES ET NOTÆ.

(8) Titulus in codd. Vat. 649 et Alt. sic legitur: Τοῖς ἐν Πηλουσίῳ μοναχοῖς πρὸς τῇ πόλει. Vers. 4 pro ἀκανθοφόρον Cod. Alt. Scribit ἀκανθηφόρον. Possin.

(9) Sine dubio mendose in editis legitur καλῶς, pro quo recte codd. Vat. 649 et Alt. scribunt καλῶν. Ad quam veram emendationem sic refingenda est interpretatio: *ait divinus Apostolus, corporum naturam sic vocans comparatam immortalitati animæ.* Ib.

(10) Ante ἄλλως codd. Alt. delet καὶ. Idem vers. antepen. pro οὕτως scribit οὕτω. Ib.

Digitized by Google

65 CCXXIII. — ZOSIMO, EUSTATHIO, MARONI. A

Si nec sempiternæ cum Christo vitæ cupiditate flagratis, nec æternæ flammæ multam et condemnationem pertimescitis, certe aut cum contemptoribus dæmonibus certatis, aut inanima, et rationis expertia, nec ullo timoris sensu prædita hominum simulacra estis.

ΣΚΓ'. — ΖΩΣΙΜΩ, ΕΥΣΤΑΘΙΩ, ΜΑΡΩΝΙ.

Εἰ οὔτε τῆς σὺν Χριστῷ [αἰωνίου (11)] διαγωγῆς ἐπιθυμεῖτε, οὔτε τῆς ἀϊδίου φλογὸς τὴν κρίσιν δειλιᾶτε, ἢ πρὸς τοὺς καταφρονητὰς δαίμονας ἀμιλλᾶσθε, ἢ ἀνθρώπων ἐνδάλματα τυγχάνετε ἄψυχα, καὶ λόγου ἀμέτοχα, καὶ φόβου ἀναίσθητα.

CCXXIV. — QUINTIANO MONACHO.

Mihi ex animi sententia procedebat adversa valetudo, paulatim videlicet me ex tempestate ac procellis subducens. Quoniam autem Deus me rursum inter fluctus manere jussit, precibus tuis navigationem meam juva, ut ne quid a tranquillitate alienum mihi accidat.

ΣΚΔ'. — ΚΥΝΤΙΑΝΩ ΜΟΝΑΧΩ.

Ἐμοὶ κατὰ γνώμην προὐχώρει ἡ ἀσθένεια, κατὰ μικρόν με τῆς ζάλης ὑπεξάγουσα. Ἀλλ' ἐπειδὴ πάλιν ὁ Θεὸς εἴσω μένειν τῶν κυμάτων ἐκέλευσε, βοήθει πρὸς τὸν πλοῦν ταῖς πρεσβείαις, μή τι πάθωμεν (12) ἀλλότριον τῆς γαλήνης.

B

CCXXV. — SIMPLICIO.

De prætura tua urbi gratulamur, voluptateque afficimur nunc jus cernentes per mediam urbem incedens ac palmam ferens. Quo quidem nomine Deum quoque opitulatorem ac socium habiturus es, tum improbos homines tibi indicantem, tum probos demonstrantem.

ΣΚΕ'. — ΣΙΜΠΛΙΚΙΩ.

Συγχαίρομεν τῇ πόλει τῆς ἀρχῆς σου, καὶ χαίρομεν τὸ δίκαιον ὁρῶντες νῦν ἐπὶ μέσης βαδίζον καὶ βραβεῦον. Ἐφ' ᾧ Θεὸν καὶ βοηθὸν ἕξεις καὶ σύμμαχον, τούς τε κακοὺς ὑποδεικνύντα, καὶ τοὺς χρηστούς σοι φανεροῦντα.

CCXXVI. — SENATUI.

Pelusii commodis Deus adhuc consulit. Adhuc divini cultus semen in ea exsistit. Adhuc curam miseræ gerunt martyres urbis conservatores. Venit vir eximia virtute præditus Simplicius, præturæ gubernacula tractans ac moderans. Aliam vobis vitam nuntio. Libenti animo virum excipite, omnes C ipsi molestias vestras et difficultates tragicis verbis exponite. Habet et sapientem mentem, et piam voluntatem, laboribusque mutationem dabit. A Deo enim robur nactus est: a quo plerisque, ut rem recte ac præclare gerant, præbetur.

ΣΚΣ'. — ΤΩ ΒΟΥΛΕΥΤΗΡΙΩ.

Ἔτι κήδεται Θεὸς Πηλουσίου. Ἔτι σπέρμα θεοσεβείας (13) ἐν αὐτῇ χρηματίζει· ἔτι προνοοῦσιν οἱ πολιοῦχοι μάρτυρες τῆς ταλαίνης. Ἧκει ὁ θαυμαστὸς Σιμπλίκιος τὰς ἡνίας τῆς ἀρχῆς μεταχειρίζων. Ἄλλον ὑμᾶς εὐαγγελίζομαι βίον. Ἄσμενοι τὸν ἄνδρα προσδέξασθε, πάσας αὐτῷ ἐκτραγῳδήσατε δυσχερείας. Ἔχει καὶ διάνοιαν σοφὴν, καὶ γνώμην φιλευσεβῆ, καὶ δώσει τοῖς πόνοις μεταβολήν· Ἰσχύει γὰρ ἀπὸ Θεοῦ, παρ' οὗ πολλοῖς τὸ καλῶς πρᾶξαι παρέχεται.

CCXXVII. — FLORENTIO.

De vanitate, et continentia linguæ.

Athenas non recte miraris, et Porticum, et inambulationem, atque Atticam pompam, in quibus ob nugarum studium olim assiduus eras, tu inquam, qui res terrenas contempsisti, ac nihil eorum, quæ hic sunt, amare jussus es. Quocirca si cum Christo resurrexisti, quæ sursum sunt, sapias [14], ubi ipse est. Nam qui vilem tuam vestem ac philosophiam D in solo habitu sitam conspiciunt, mentis autem perversitatem ac linguæ arrogantiam, adversus divinissimam religionem impias et contumeliosas voces jactant.

ΣΚΖ'. — ΦΛΩΡΕΝΤΙΩ.

Περὶ κενοδοξίας, καὶ ἐγκρατείας γλώσσης.

Οὐ καλῶς τὰς Ἀθήνας θαυμάζεις, καὶ Στοὰν, καὶ Περίπατον, καὶ Ἀττικὴν φαντασίαν, οἷς διὰ μάθησιν φλυαρίας πάλαι προσεκαρτέρεις, ὁ τὰ γήϊνα περιφρονήσας, καὶ μηδὲν ἀγαπᾷν τῶν ἐνταῦθα κεκελευσμένος. Εἰ συνηγέρθης οὖν τῷ Χριστῷ, τὰ ἄνω φρόνει, οὗ ἐστιν αὐτός. Οἱ γὰρ τὴν εὐτελῆ ἐσθῆτά σου ὁρῶντες, καὶ φιλοσοφίαν ἐν μόνῳ σχήματί [σοι] προσοῦσαν, περιπερείαν (14) δὲ γνώμης, καὶ γλώσσης ἀλαζονείαν, κατὰ τῆς θειοτάτης θρησκείας βλασφημοῦσι.

[14] Coloss. III, 2.

VARIÆ LECTIONES ET NOTÆ.

(11) Pro αἰωνίου cod. Alt. scribit αἰωνίας. Idem vers. seq. pro οὔτε in margine ponit οὐδέ. Vers. ult. pro λόγου et φόβου codd. Vat. 649 et Alt. λόγῳ et φόβῳ legunt. POSSIN.

(12) Pro πάθωμεν codd. Vat. 649, Alt. et Sfort. legunt πάθω. ID.

(13) Θεοσεβείας in θεοσεβὲς inutant codd. Vat. 649 et Alt. Idem vers. ult. non παρέχεται legunt, sed παρέσχετο. Quod vero versu pen. legitur πολλοῖς, in Alt. non comparet. ID

(14) Cod. Alt. cum ἰῶτα simplici scribit περιπερίαν. ID.

Digitized by Google

ΣΚΗ'. — ΣΩΡΑΝΝΩ ΚΟΜΗΤΙ.

Περὶ τῆς ἁγίας κοινωνίας.

Κοινωνία κέκληται ἡ τῶν θείων μυστηρίων μετάληψις, διὰ τὸ τὴν πρὸς Χριστὸν ἡμῖν χαρίζεσθαι ἕνωσιν, καὶ κοινωνοὺς ἡμᾶς τῆς αὐτοῦ ποιεῖν βασιλείας.

ΣΚΘ'. — ΕΡΜΙΝΩ ΚΟΜΗΤΙ.

Γέγραφας δηλωθῆναί σοι. δι' ἣν αἰτίαν ὁ δεῖνα παραγινόμενος τοὺς πτωχοὺς (15) εὖ ποιῆσαι, κίνδυνον ἀργαλέον ὑπέμεινε, καὶ οὐκ ἐξείλετο αὐτὸν τῶν συμπτωμάτων ἡ πρόθεσις. Ἐπειδή, φημί, οὐ χαίρει Θεὸς ἐξ ἀδικίας θυσίαις, καὶ οὐ προσίεται κίβδηλα δῶρα. Οὐ γὰρ πᾶς ὁ βουλόμενος εὖ ποιεῖ, ἀλλ' ὁ ἀξίως Θεοῦ καὶ κτησάμενος, καὶ ἐπαγγειλάμενος τὴν θυσίαν.

ΣΛ'. — ΤΩ ΑΥΤΩ.

Ἐπειδὴ ἀπόδειξιν τῆς ἀποκρίσεως ἐζήτησας Γραφικήν, ἴσθι ὅτι ὁ Κάϊν καὶ δῶρα προήνεγκε (16), καὶ ἀπαρχὰς τῶν γεννημάτων τὰ δῶρα. Ἀλλὰ τῇ σκαιότητι ὁ Θεὸς τῆς γνώμης προσέχων, ἐπ' αὐτὸν μὲν οὐχ ἑώρακε, τὰ δὲ δῶρα αὐτοῦ οὐ προσήκατο, καίτοι ἐκ προθέσεως προσκομισθέντα.

ΣΛΑ'. — ΚΕΡΚΥΡΙΩ (17).

Ταῖς παντόλμοις καὶ θρασέσι γνώμαις κίνδυνοι καὶ φόβοι διηνεκεῖς ἀκολουθοῦσι, ταῖς δὲ πραέσι καὶ ἡμέροις ἔπαινοι καὶ τιμαὶ καὶ εὐτολμίαι. Εἰ τοίνυν μὴ τὴν ὀρθὴν τῶν πραγμάτων ἀνοίᾳ ἐζημίωσαι κρίσιν, τῆς κρείττονος μοίρας γενοῦ, ἀφέμενος τῆς κακίστης.

ΣΛΒ'. — ΣΥΝΕΣΙΩ ΕΠΙΣΚΟΠΩ.

Καλὸν (18) μὲν τὸ πρὸ κινδύνων ἐζῶσθαι τὴν ὀσφύν, καὶ Θεῷ διακονεῖσθαι, καὶ βάλλειν τὰς ἐναντίας φάλαγγας πίστει, ἀλλὰ μὴ ῥᾳθυμοῦντας καὶ ἐχθροῖς καὶ πολεμίοις ἐκκεῖσθαι· ἐπειδὴ εἰς τοῦτο προήλθομεν ἀβουλίας, ὥστε μηδὲ καιρὸν ἔχειν Θεῷ λατρεύειν, τῶν κυκλούντων κακῶν οὐ διδόν των ἅψασθαι τῶν ἀμυντηρίων ὀργάνων· ἐπεὶ καὶ Φινεὲς σιρομάστῃ ἐχρήσατο, ὅτε Θεὸς παρωργίζετο.

CCXXVIII. — SORANO COMITI.

De sancta communione.

Divinorum sacramentorum perceptio idcirco communio appellata est, quia nobis conjunctionem cum Deo conciliat, nosque regni ipsius consortes ac participes reddit.

CCXXIX. — HERMINO COMITI.

Petiisti per litteras, ut tibi declararem quam ob causam cum quidam ea mente venisset, ut de pauperibus bene mereretur, grave discrimen subiit, nec eum animi institutum ex adversis casibus eripuit. **66** Quoniam, inquam, Deus victimis iniqua ratione partis minime delectatur, nec adulterina dona admittit. Neque enim quisquis vult, benigne facit : B verum is demum, qui ut Deo dignum est, et acquisivit, et sacrificium promisit.

CCXXX. — EIDEM.

Quandoquidem a me quæsiisti, ut responsum meum Litterarum sacrarum testimonio confirmarem, illud scito, quod Cain et dona obtulit, et eorum, quæ enata fuerant, primitias. Verum Deus animi ipsius improbitatem perspiciens, ad eum oculos nimirum conjecit, nec ipsius munera suscepit, quamvis etiam alioqui ex voluntate atque animi instituto oblata [77].

CCXXXI. — CERCYRIO.

Audaces ad omnia et temerarios animos, pericula et perpetui terrores comitantur : lenes contra et C mansuetos, laudes et honores, ac præfidentia. Quamobrem, nisi rectum de rebus judicium amentia perdidisti, scelerata parte missa facta, ad meliorem te adjunge.

CCXXXII. — SYNESIO EPISCOPO.

Præclarum atque commodum est ante oborta pericula lumbos præcinctos habere, Deoque administram operam præbere, atque adversarias copias fide fundere ac profligare, non autem segnitie atque ignavia torpentes, inimicorum et hostium telis patere [78]. Quandoquidem eo imprudentiæ, consiliique inopiæ progressi sumus, ut nec spatium quidem habeamus sacerdotii munus Deo exhibendi : quod videlicet mala, quibus undique cingimur, minime nobis potestatem faciant instrumenta ea capessendi, quibus hostilem impetum propulsemus : cum Phinees irato Deo telo usus sit [79].

[77] Gen. IV, 3 seqq. [78] Ephes. VI, 14 seqq. [79] Num. XXV, 7.

VARIÆ LECTIONES ET NOTÆ.

(15) Cod. Alt. tertio casu effert scribens τοῖς πτωχοῖς. Ib.

(16) Cod. Alt. scribit προσήνεγκε. Ib.

(17) Non Κερκυρίῳ, sed Κερκουρίῳ hanc inscribunt codd. Vat. 649 et Alt. Vers. 4 et 5 pro his ἀνοίᾳ ἐζημίωσαι, mutatis casu et persona, non incommodo sensu codd. iidem habent, ἄνοια ἐζημίωσε. Ib.

(18) In primo hujus epistolæ vocabulo satis inopinata codicis Alt. lectio est : nam pro καλὸν in eo scribitur κάλει. Crediderim erratum in tono et rescribendum, καλεῖ τὸ πρὸ κινδύνων ἐζῶσθαι τὴν ὀσφύν, καὶ Θεῷ διακονεῖν (nam ita habet cod. idem pro διακονεῖσθαι), ut sensus sit : *Vocat homines exspectatio periculorum ad præcingendos lumbos et Deo serviendum*, etc. Nec abhorret ab hoc, si quis attendat, reliquus epistolæ contextus. Vers. 4, pro ἐπειδὰν lege ἐπεὶ et initio versus quinti loco asterisci pone δὲ, auctore cod. Vat. 649. Vers. antepen. tolle asteriscum : nihil enim deest. Vers penult. codd. Vat. et Alt. σιρομάστῃ scribunt, nam et in loco hic alluso Num. XXV, 7, ἀναλαβὼν σιρομάστην ἐν τῇ χειρὶ, optimæ editiones cum ὥτα simplici vocem illam scribunt. Quod sequitur in editis ὅθς correctius scribitur in iisdem codd. duobus ὅτε. Ib.

Digitized by Google

CCXXXIII. — ANASTASIO.

De arrogantia.

Quod Christus viros sanguinum abominetur [80], nec eos duntaxat, verum etiam omnes qui cum ipsis degunt (quod scilicet eorum flagitia et scelera minime ulciscatur), in Herode ostendit. Etenim post nefariam Baptistæ cædem, relicta regione secessit [81]. Quocirca, nisi et teipsum, et omnes cives, Herodis fatum subire vis (cum quibus et domus tua, et liberi de medio tollentur), immanem istum furorem comprime. Quid frustra in malam pestem et exitium festinas?

CCXXXIV. — AMAZONIO.

Quid tu incassum libros gestas, et eorum lectionem, per ea, quæ facis, aversaris? Nam cum Dominus ipsum quoque curiosum feminarum conspectum damnet [82], tu tamen non modo insano pulchritudinum amore flagras, verum etiam servilem, ut intellexi, vitam amplexus es, ut qui contubernale scortum acceperis, ac sempiternam ignominiam ames. Atqui te illud Scripturæ ob oculos habere oportebat : « Honorabile connubium in omnibus, et torus immaculatus : **67** fornicatores autem et adulteros Deus judicabit [83] : » atque illud consectari, hoc odisse. « Horrendum est in Dei manus incidere [84]. » Qui hæc Scripturæ verba attendit, haudquaquam his delectatur, verum resistit.

CCXXXV. — SERENO.

De Domini interrogatione, « Quem me dicunt esse homines [85]? »

Non ea de causa Christus, qui pectus ipsum penetrat, ex discipulis suis percontabatur, « Quem me dicunt homines esse, » quod variam hominum de se opinionem ignoraret, sed ut hac ratione certam omnibus confessionem traderet, quam ab eo inspiratus Petrus, tanquam basim ac fundamentum jecit, super quod Dominus Ecclesiam suam exstruxit.

CCXXXVI. — EIDEM.

De responsione Petri, « Tu es Christus Filius Dei viventis [86]. »

Hæc verba, *Tu es Christus Filius Dei*, duarum naturarum conjunctionem significant, quam Dei Filius in seipso, nostræ salutis causa, modo deitati consentaneo effecit.

A

ΣΛΓ'. — ΑΝΑΣΤΑΣΙΩ.

Περὶ ἀλαζονείας.

Ὅτι βδελύσσεται Χριστὸς τοὺς ἄνδρας τῶν αἱμάτων, οὐκ αὐτοὺς δὲ μόνους φημὶ, ἀλλὰ καὶ πάντας τοὺς οἰκοῦντας σὺν αὐτοῖς, ὡς οὐκ ἐπεξιόντας ταῖς αὐτῶν κακουργίαις, δείκνυσιν ἐπὶ Ἡρώδου. Μετὰ γὰρ τὴν τοῦ Βαπτιστοῦ μιαιφονίαν καταλιπὼν ἀνεχώρησεν. Εἰ τοίνυν μὴ καὶ σαυτὸν καὶ πάντας τοὺς ἐν τῇ πόλει τῆς Ἡρώδου βούλει τυχεῖν τελευτῆς, μεθ' ὧν καὶ οἰκός σου (19) καὶ παῖδες ἀφανισθήσονται, παῦσαι τῆς ἀνηκέστου μανίας. Τί μάτην ἐπείγῃ κακῶς ἐξολέσθαι ;

ΣΛΔ'. — ΑΜΑΖΟΝΙΩ.

Τί καὶ εἰκῇ βιβλιοφορεῖς (20), καὶ τὴν ἀνάγνωσιν ἐκτρέπῃ οἷς ποιεῖς ; Τοῦ Κυρίου γὰρ καὶ αὐτὴν [τὴν] περιέργον θέαν κατακρίνοντος, σὺ οὐ μόνον ἐπιμαίνῃ τοῖς κάλλεσιν, ἀλλὰ καὶ βίον, ὡς ἔγνων, ἀνδραποδώδη ἠγάπησας, πόρνην σύνοικον λαβὼν, καὶ αἰώνιον ἀτιμίαν ἀγαπῶν, δέον συνιδεῖν τὸ γεγραμμένον· « Τίμιος ὁ γάμος ἐν πᾶσι, καὶ ἡ κοίτη ἀμίαντος· πόρνους δὲ καὶ μοιχοὺς κρινεῖ ὁ Θεός· » καὶ τὸ μὲν ζηλῶσαι, τὸ δὲ μισῆσαι. « Φοβερὸν τὸ ἐμπεσεῖν εἰς χεῖρας Θεοῦ. » Οὐχ ἥδεται τούτοις, ἀλλὰ καὶ ἀντιτάσσεται προσέχων.

B

ΣΛΕ'. — ΣΕΡΗΝΩ.

Περὶ τῆς τοῦ Κυρίου ἐπερωτήσεως, « Τίνα με λέγουσιν οἱ ἄνθρωποι εἶναι; »

Οὐκ ἀγνοῶν τὴν τῶν ἀνθρώπων περὶ αὐτοῦ πολυώνυμον δόξαν ὁ τὰς καρδίας ἐμβατεύων Χριστὸς, ἤρετο τοὺς ἑαυτοῦ μαθητάς· « Τίνα με λέγουσιν οἱ ἄνθρωποι εἶναι; » ἀλλὰ τὴν ἀσφαλῆ ὁμολογίαν διδάξαι πάντας βουλόμενος, ἣν ἐμπνευσθεὶς ὁ Πέτρος παρ' αὐτοῦ ὡς κρηπῖδα καὶ βάθρον (21) ἀπέθετο, ἐφ' ᾗ τὴν ἑαυτοῦ Ἐκκλησίαν ὁ Κύριος ᾠκοδόμησε.

C

ΣΛϚ'. — ΤΩ ΑΥΤΩ.

Περὶ τῆς ἀποκρίσεως Πέτρου, « Σὺ εἶ ὁ Χριστὸς, ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος. »

Τὸ, *Σὺ εἶ ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ*, τῶν δύο φύσεων σημαίνει τὴν ἕνωσιν, ἣν ἐν ἑαυτῷ ὁ τοῦ Θεοῦ Υἱὸς εἰς σωτηρίαν ἡμῶν θεοπρεπῶς ἐξειργάσατο.

D

[80] Psal. v, 7. [81] Matth. xiv, 3 seqq. [82] Matth. v, 28. [83] Hebr. xiii, 4. [84] Hebr. x, 31. [85] Matth. xvi, 13. [86] ibid. 16.

VARIÆ LECTIONES ET NOTÆ.

(19) Pro οἶκός σου cod. Alt. legit οἶκοί σου. Possin.

A δὲν ἄτοπόν φησι πεπραχέναι. » Ὡς ἄδηλα, φησὶν, ἐστὶ τὰ προφανθέντα, τὰ μὲν ὡς οὐ γενόμενα, τὰ δὲ Θεῷ μόνον ὁρώμενα· οὕτως ἔσονται τὰ τοῦ νέου λαοῦ ἁμαρτήματα, τῷ λουτρῷ τοῦ βαπτίσματος καθαιρόμενα. Ὅπερ ἀπόνιψιν καλεῖ παντελῆ τῶν ῥυτίδων, καὶ τῶν στιγμάτων ἐκείνων ἀφανισμὸν, ὃν πίστει δεχομένη ἡ τοῦ Χριστοῦ Ἐκκλησία, οὐδὲν ἄτοπον πέπεισται πεπραχέναι, τῶν προτέρων ἀμνηστίαν πορισαμένη τῷ λουτρῷ. Ὅτι δὲ μοιχαλίδα ὁ Κύριος καλεῖ πᾶσαν γνώμην ἄπιστον, καὶ τῶν αὐτοῦ ἐντολῶν ἀντίθετον, πολλαχοῦ τῶν θείων εὑρήσεις χρησμῶν, ὡς τὸ, « Ἐμοίχευσαν τὸ ξύλον καὶ τὸν λίθον· » καὶ, « Γενεὰ πονηρὰ καὶ μοιχαλὶς, σημεῖον ἐπιζητεῖ. »

CDXVIII. — SYNESIO.

In illud Joel, « Mansuetus esto bellator. »

Mansuetum hominem Scriptura pugnacem ac bellicosum reddit, cum quispiam adversus Deum aliquid molitur. Ad hunc modum Mosem adversus populares suos excitavit. Sic Phinees item iniquos ac sceleratos pugione transfodit. Sic Davidem, cum adversus Philistæum decertavit; sic Petrum cum zelo incensus gladium adhibuit, quo tempore Domino pacis bellum a Judæis inferebatur.

CDXIX. — HERMOGENI EPISCOPO.

Arundinea virga [21], cui nemo firme inniti potest, est mens levitate atque inconstantia laborans, quæ cum scipionis instar esse existimetur, telum invenitur. Neque enim consistere potest, **108** verum ad omnem ventum huc et illuc jactatur : atque interim tamen ea audacia est, ut cum cedris se comparet. Ægyptus rursum Pharaonem imitatur, non jam illa quidem filiis Jacob illic peregrinantibus exstruendarum urbium laborem imperans, verum ab omnibus, qui animi firmitate prædíti sunt, hæresum tributum exigens. Videte ne quis vos seducat : verum firmi fundamenti in modum state. Deus enim humanitate suscepta minime mutatus, aut divisus est. Unus enim est ortus expers ac sempiternus Filius, et ante susceptam, et post susceptam carnem, sic a nobis adoratus.

CDXX. — CYRECIO.

Non te solum ea quæ de opibus atque copiis acriter et objurgatorie scripta sunt, mœrore affecerunt, verum etiam alium ante te, qui ab ipsomet Domino audierat, « Vende omnia quæ habes, et da pauperibus, et habebis thesaurum in cœlo, et veni, sequere me [22]. » Quocirca si illius vestigiis insistere cupis, ac facultates tuas ita custodias, ut eas nemini impertias, habes etiam alterum splendidiorem

B

ΥΙΗ'. — ΣΥΝΕΣΙΩ.

Εἰς τὸ γεγραμμένον ἐν τῷ Ἰωὴλ, « Ὁ πρᾶος ἔστω μαχητής. »

Τὸν πρᾶον μαχητὴν ἡ Γραφὴ ἀπεργάζεται, ὅτε κατὰ Θεοῦ ἡ ἐγχείρησις γίνεται. Οὕτως Μωϋσέα κατὰ τῶν συμφυλετῶν ἐξανέστησεν· οὕτως τὸν Φινεὲς τοὺς ἀνομοῦντας διακεντήσαντα. Οὕτως τὸν Δαβὶδ τῷ ἀλλοφύλῳ παραταξάμενον. Οὕτω τὸν Πέτρον ζηλώσαντα, καὶ μαχαίρᾳ χρησάμενον, ὅτε ὁ Κύριος τῆς εἰρήνης ὑπὸ Ἰουδαίων ἐπολεμεῖτο.

ΥΙΘ'. — ΕΡΜΟΓΕΝΕΙ ΕΠΙΣΚΟΠΩ.

Ἡ ῥάβδος ἡ καλαμίνη, ἡ ἀστήρικτος βάσις, ἡ πολυδόνητος γνώμη, ἡ βακτηρία νομιζομένη, καὶ C βέλος εὑρισκομένη. Οὔτε γὰρ ἰσχύει ὑφίστασθαι, ἀλλὰ καὶ πάσῃ αὔρᾳ ῥιπίζεται, καὶ ταῖς κέδροις θρασύνεται παρεκτείνεσθαι. Αἴγυπτος πάλιν Φαραὼ νίζεται, οὐκέτι μὲν τοῖς παροικοῦσιν υἱοῖς τοῦ Ἰακὼβ πόνους ἐπιτάττουσα πόλεων, ἀλλὰ πάντας τοὺς ἐῤῥωμένους, φόρους ἀπαιτοῦσα αἱρέσεων. Βλέπετε μή τις ὑμᾶς πλανήσῃ, ἀλλ' ὡς στερεὸς θεμέλιος στήκετε. Ὁ Θεὸς γὰρ ἐνανθρωπήσας οὐ τέτραπται, οὔτε συγκέχυται, οὔτε διῄρηται. Ἀλλ' εἷς ἐστιν ἄναρχος καὶ ἄϊδιος Υἱὸς, καὶ πρὸ σαρκώσεως, καὶ μετὰ σάρκωσιν, οὕτω παρ' ἡμῶν προσκυνούμενος.

ΥΚ'. — ΚΥΡΗΚΙΩ (44).

D Οὐ [σὲ] μόνον τὰ περὶ πλούτου ἐλεγκτικῶς γραφέντα ἐλύπησεν, ἀλλὰ καὶ ἄλλον πρὸ σοῦ, παρ' αὐτοῦ τοῦ Κυρίου ἀκούσαντα· « Πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανοῖς, καὶ δεῦρο ἀκολούθει μοι. » Εἰ οὖν ἐκείνῳ βούλει ἕπεσθαι, καὶ ἀκοινώνητον φυλάττεις τὴν ὕπαρξιν, ἔχεις καὶ ἄλλον λαμπρότερον, βύσσον καὶ πορφύραν ἀμφιεννύμενον, τὰς δὲ τῶν πενήτων κα-

[18] Prov. xxx, 20. [19] Jer. III, 9. [20] Matth. XII, 39. [21] Isa. XXXVI, 6; Ezech. XXIX, 9. [22] Matth. XIX, 21.

VARIÆ LECTIONES ET NOTÆ.

(14) Κυρηνίῳ non Κυρηκίῳ inscribunt hanc epistolam codd. Vatic. 649 et Alt.; iidemque v. 2 πρὸ σοῦ legunt, non πρὸς σοῦ. Vers. 5 pro οὐρανοῖς codd. Alt. habet οὐρανῷ. Possin.

Digitized by Google

κώσεις μὴ προσποιούμενον. Οὗ τὴν μίμησιν ἔκκλι- A hominem, qui purpura et bysso vestiebatur, pauperum autem calamitatibus minime commovebatur [21]. Quem tu imitari cave, ne te illic socium ac pœnarum consortem accipiat.

νον, μή σε λάβοι ἐκεῖθεν συμμέτοχον.

ΥΚΑ'. — ΤΩ ΑΥΤΩ.

Οὐκ ἔστι κατακρίσεως τὰ γραφέντα, ἀλλὰ προρρήσεως τῶν πάντως ἐσομένων. Καὶ Χριστὸς γὰρ προείρηκεν, ἵνα πεῖραν μὴ λάβωμεν. Εἰ φοβεῖ τοίνυν ἡμᾶς τὰ ἠπειλημένα, γένηται τὰ ἐντεταλμένα.

CDXXI. — EIDEM.

Non condemnationis sunt quæ scripsimus, verum prædictionis earum rerum quæ omnino futuræ sunt. Nam et Christus prædixit, ne ea experiamur. Quare si comminationes nos terrent, quæ nobis præcepta sunt, faciamus.

ΥΚΒ'. — ΗΡΩΝΙ ΣΧΟΛΑΣΤΙΚΩ.

Περὶ Ἀρειανῶν καὶ Εὐνομιανῶν.

Τὸ μεῖζον καὶ τὸ ἔλαττον ἐπὶ τῶν ὁμοουσίων ζητεῖται καὶ κρίνεται, ὡς ἄνθρωπος ἀνθρώπου μείζων, καὶ βοῦς βοός, καὶ ἵππος ἵππου. Καὶ ἅπαξ ὁ κανὼν B τῆς συγκρίσεως τοῖς ὁμογενέσιν ἁρμόζει. Εἰ τοίνυν ὁ τὰ τοῦ Θεοῦ τολμηρῶς περιεργαζόμενος, καὶ μεῖζονα λέγων τοῦ Υἱοῦ τὸν Πατέρα, τὴν σύγκρισιν ὡς ὁμοουσίων προσίεται, περὶ τοῦ μείζονος αὐτῷ συντόμως ἀποκρινούμεθα. Ἑτερούσια γὰρ ἀλλήλοις συγκρίνεσθαι οὐ δύναται. Οὔτε λέγεται μείζων ἄνθρωπος βοῦς, ἢ μείζων ἵππος καμήλου, ἢ μείζων ἵππος ἰχθύος.

CDXXII. — HERONI SCHOLASTICO.

De Arianis et Eunomianis.

Majus et minus in iis, quæ eamdem substantiam habent, quæritur ac perpenditur. Verbi gratia: homo homine major est, at bos bove, et equus equo. Ac denique comparationis regula iis rebus convenit, quæ ejusdem generis sunt. Quocirca si is, qui ea, quæ ad Deum pertinent, nimis audacter inquirit ac perscrutatur, majoremque Filio Patrem esse contendit, comparationem tanquam eamdem substantiam habentium admittit, de majori breviter ipsi respondebimus. Nam quæ substantiæ ratione discrepant, inter se comparari nequeunt. Neque enim homo bove major dicitur, nec equus camelo, nec asinus pisce.

ΥΚΓ'. — ΜΑΡΩΝΙ.

Περὶ γαστριμαργίας.

Βλέπε μὴ τῇ ἀδηφαγίᾳ εἰς οἰστρηλασίαν ἐκπέσῃς, καὶ δύο πώλοις εὐρεθῇς δυσηνίοις συναρπαζόμενος, εἰς βάραθρον ἀπωλείας κατακρημνίζουσι. C

CDXXIII. — MARONI.

De ingluvie.

Vide ne per ingluviem in libidinem incidas, atque a duobus ad frenum contumacibus equuleis abreptus inveniaris, qui te in exitii voraginem præcipitem agant.

ΥΚΔ'. — ΘΩΜΑ.

Περὶ ἰσότητος.

Τὸν ἔμφρονα μοναχὸν, δόκιμον εἶναι χρὴ ζυγοστάτην, μηδενὶ μέρει τῶν πλαστίγγων καταρρέπειν παραμυροῦντα, μήτε τῇ ἀσιτίᾳ εἰς ἀτονίαν, μήτε πολυτελείᾳ εἰς ἀσωτίαν.

CDXXIV. — THOMÆ.

De æqualitate.

Prudentem atque cordatum monachum **109** probum libripendem esse oportet, neutram lancium partem propendere permittentem : hoc est, nec inediam in languorem ac virium imbecillitatem, nec profusum victum in petulantiam et libidinem.

ΥΚΕ'. — ΕΥΣΕΒΙΩ ΕΠΙΣΚΟΠΩ.

Ἡράκλειον ζεῦγος, ὡς ἔμαθον, συνῆψας ἀγρίῳ συΐ, καὶ λέοντι θρασεῖ τὴν τῶν πτωχῶν ἐπέτρεψας οἰκονομίαν. Καὶ εἰ μὲν χρήμασι προέδωκας τῇ θαυμαστῇ D ξυναορίδι τὰ πράγματα, τοῦτο καὶ Ἰούδας ἐποίησε, τὸν Κύριον πεπρακὼς τῶν πραγμάτων. Εἰ δὲ καὶ λήμματος κεναροῦ τὸ ἁμάρτημα, αἰσχυνθήτωσαν οἱ ἀνομοῦντες διακενῶς.

CDXXV. — EUSEBIO EPISCOPO.

Herculeum jugum, ut ad me allatum est, truculento apro copulasti : atque audaci ac truculento leoni pauperum curam commisisti. Ac si quidem pretio adductus eximiæ huic bigæ res prodidisti, hoc Judas quoque fecit, cum Dominum pecunia addixit. Sin autem quæstu peccatum hoc vacat, confundantur iniqui agentes supervacue.

ΥΚϚ'. — ΙΣΙΔΩΡΩ ΔΙΑΚΟΝΩ.

Εἰς τὸ εἰρημένον πρὸς τὸν ὄφιν, « Ἔχθραν θήσω ἀνὰ μέσον. »

Τὸ σπέρμα τῆς γυναικὸς, ὃ ἐχθραίνειν τῷ ὄφει πρόσταττε Θεὸς, ὁ Κύριος ἡμῶν ἐστιν Ἰησοῦς. Αὐτὸς γὰρ σπέρμα γυναικὸς μόνος γέγονεν ἐξ αὐτῆς, μηδὲ σπορᾶς ἀνδρὸς μεσιτευσάσης καὶ τῆς ἁγνείας μὴ μειωθείσης.

CDXXVI. — ISIDORO DIACONO.

In illud dictum ad serpentem, « Inimicitias ponam inter te [22], » etc.

Illud mulieris semen, quod Deus inimicum et infestum serpenti esse jubet, Dominus noster Jesus est. Nam ipse, mulieris semen, solus ex ea ortus est : sic nempe, ut nec viri semen intercesserit, nec castitati quidquam decesserit.

[21] Luc. xvi, 23. [22] Gen. III, 15.

Digitized by Google

CDXXVII. — NILO MONACHO.

Ovinarum pellium lumbaria solis iis, qui carnem suam enecarunt, imprimuntur, utpote quæ mortificationis signa sint. Quod si quis, cum vitiosis affectibus vivat, ejus tamen qui eos exstinxit, arma gestat, iis similis est qui in scena habitus alienos per ludum gerunt : quos spectatores rident, ut qui res eas, quæ specie ac gestu exprimuntur, minime in se agnoscant.

ΥΚΖ'. — ΝΕΙΛΩ ΜΟΝΑΧΩ.

Τὰ τῶν μηλωτῶν περιζώματα μόνοις τοῖς τὴν σάρκα νεκρώσασιν ἀνδρείως περίκειται, σημεῖα ὄντα νεκρώσεως. Εἰ δέ τις τοῖς μὲν πάθεσι ζῇ, τοῦ δὲ ταῦτα νεκρώσαντος τὰ ὅπλα φορεῖ, ἔοικε τοῖς ἐν σκηνῇ ἀλλότρια παίζουσι σχήματα, οἷς ἐπεγγελῶσιν οἱ θεαταὶ, ὡς ἀρνουμένοις τῶν σχημάτων τὰ πράγματα.

CDXXVIII. — CYRO.

Quomodo divina virtus in infirmitate perficitur.

Divina virtus in infirmitate perficitur, quemadmodum ab electionis vase dictum est [44], quandoquidem illitterati homines disertos et eloquentes superant, et publicani paupertatem prædicant. Atque etiam Dominus ipse, non regia auctoritate, sed servili vilitate ad incarnationem omni sermonis facultate sublimiorem usus, rerum immutationem ad cœleste vivendi genus transtulit.

ΥΚΗ'. — ΚΥΡΩ (45).

Πῶς ἡ θεία δύναμις ἐν ἀσθενείᾳ τελειοῦται.

Ἡ θεία δύναμις ἐν ἀσθενείᾳ τελειοῦται, ὡς τὸ σκεῦος ἔφη τῆς ἐκλογῆς, ἐπειδὴ ἀγράμματοι κρατοῦσι ῥητόρων, καὶ τελῶναι εὐαγγελίζονται ἀκτημοσύνην. Καὶ αὐτὸς δὲ ὁ Κύριος οὐκ αὐθεντίᾳ βασιλικῇ, ἀλλ' εὐτελείᾳ τῇ δουλικῇ πρὸς τὴν ἄῤῥητον οἰκονομίαν χρησάμενος, τὴν τῶν πραγμάτων ἀλλοίωσιν πρὸς οὐράνιον πολιτείαν μεθήρμοσε.

CDXXIX. — SERENO TRIBUNO.

Quomodo sapientiam hujus mundi Deus stultam reddidit.

Deus caducam atque humi depressam hujus mundi sapientiam tunc stultam reddidit, cum illa hypostasi prædita sapientia, quæ sæcula effecit, huc veniens, hominibus barbaro sermone utentibus ac doctrinæ expertibus cœlestia dogmata prædicanda tradidit. Atque illa quidem in montium fissuras et hiatus subiit ; hæc autem in omnem terram exivit, atque ad extremos usque terræ fines effulsit.

ΥΚΘ'. — ΣΕΡΙΝΩ ΤΡΙΒΟΥΝΩ.

Πῶς τὴν σοφίαν τοῦ κόσμου τούτου ὁ Θεὸς ἐμώρανεν.

Τότε ὁ Θεὸς τὴν σοφίαν τοῦ κόσμου τούτου ἐμώρανε τὴν φθαρτὴν καὶ χαμαίζηλον, ὅτε ἡ ἐνυπόστατος σοφία, ἡ τοὺς αἰῶνας ποιήσασα, δεῦρο ἐπιφοιτήσασα, βαρβαροφώνοις καὶ ἰδιώταις τὰ οὐράνια κηρύττειν ἐνεχείρισε δόγματα. Καὶ ἡ μὲν ἔδυ εἰς σχισμὰς ὀρέων, ἦ δὲ εἰς πᾶσαν ἐξῆλθε τὴν γῆν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης ἐξέλαμψεν.

110 CDXXX. — HELIÆ.

De Cappadocibus.

Levitatem vestram equidem demiror, quod exiguus et contemnendus imperii hominis Cappadocis ventus usque adeo vos omnes, ut arundinem, circumegit, atque ipsi impiis ejus conatibus administram operam navatis, dum ne eadem, quæ alii, patiamini, formidatis. Quocirca si una cum eo desinere, ac postquam magistratu abierit, cum eo hinc demigrare, in animum induxistis, merito patriam diripitis. Si autem ille quidem imperandi finem facturus, atque abiturus est, vos autem in patria mansuri estis, ab adversariorum partibus abscedite, vosque ad propinquos et necessarios vestros adjungite.

ΥΛ'. — ΗΛΙΑ.

Περὶ Καππαδοκῶν.

Ἐγὼ κομιδῇ τὴν ὑμετέραν ἐλαφρίαν θαυμάζω, ὅτι βραχὺ πνεῦμα καὶ ὀλίγωρον τῆς ἀρχῆς τοῦ Καππαδόκου οὕτως ἅπαντας ὑμᾶς ὡς καλάμην ἐδόνησε, καὶ ταῖς ἀσεβέσιν αὐτοῦ κατασκευαῖς ὑπουργεῖτε, δέει τοῦ μὴ τὰ ὅμοια τοῖς ἤδη πεπονθόσι, παθεῖν. Εἰ τοίνυν συναπολήγειν αὐτῷ καὶ συμμεταίρειν παυομένῳ βεβούλησθε, εἰκότως τὴν πατρίδα λῃζεσθε. Εἰ δὲ ἡ μὲν παύσεται καὶ ἀπελεύσεται (46), ὑμεῖς δὲ μενεῖτε ἐφ' οἷς πεφύκατε· τῶν ἐναντίων ἀπέχεσθε, τῶν δὲ οἰκείων ἀντέχεσθε.

CDXXXI. — PALLADIO.

Insitum esse natura bonum.

Quod pietas naturæ ut in nobis insita sit, atque earum rerum, quæ diuturnis post annorum curriculis eventuræ erant, cognitio iis, qui Deo vitæ suæ rationes probabant, perspicua fuerit, tum Enos te

ΥΛΑ'. — ΠΑΛΛΑΔΙΩ.

Ὅτι ἐνέσπαρται τῇ φύσει τὸ ἀγαθόν.

Ὅτι φυσικῶς ἐστιν ἐν ἡμῖν ἡ εὐσέβεια, καὶ τῶν ὕστερον χρόνοις πολλοῖς τηρουμένων εἰς ἔκβασιν, κατάδηλος ἦν τοῖς Θεῷ εὐαρεστοῦσιν ἡ εἴδησις, καὶ Ἐνὼς διδασκέτω σε, αὐτοδίδακτος Θεὸν ἐπιστάμενος·

[44] II Cor. XII, 9.

VARIÆ LECTIONES ET NOTÆ.

(45) Non Κύρῳ, *Cyro*, sed Σερίνῳ τριβούνῳ, *Serino Tribuno*, inscribitur hæc epistola in cod. Vatic. 619, eidem nimirum cui et statim sequens. Possin.

(46) Pro παύσεται καὶ ἀπελεύσεται codd. Vat. 619 et Alt. habent παύσηται καὶ ἀπελεύσηται. Id.

Digitized by Google

καὶ Ἐνὼχ, μὴ μόνον (47) εὐαρεστῶν, ἀλλὰ καὶ πρὸς κρείττονα βίον μετιών, καὶ ἔτι ἐν ζῶσι τελῶν, καὶ Μελχισεδὲκ, ἄρτῳ καὶ οἴνῳ ἱερατεύων, δι' ὧν τὸν τῶν θείων μυστηρίων προεσήμαινε τύπον.

A doceat, qui se magistro cognitionem Dei consecutus est : tum Enoch, qui ipse quoque solus Deo vitam suam ac mores probavit, et etiam ad præstantiorem vitam migravit, atque etiamnum in vivorum numero censetur, tum denique Melchisedech, panibus ac vino sacerdotis munus obiens, per quæ divinorum mysteriorum typum adumbrabat.

ΥΛΒ'. — ΚΕΛΣΩ.

Οἱ γεωργοὶ τὰ συμφυόμενα τῷ σίτῳ ζιζάνια ῥιζόθεν ἀνασπῶσιν, ἵνα καθαρὸς ὁ καρπὸς εἰς τὸν ἄμητον ἀπαντήσῃ. Χρὴ τοίνυν καὶ σὲ τὰς ἐπιθολούσας τὸν νοῦν κακίας ἐκτεμεῖν, ἵνα ὑγιὴς ἡ συνείδησις, καὶ παντὸς πάθους ἀμέτοχος, τὴν βρῶσιν τὴν μένουσαν εἰς ζωὴν κατεργάζηται.

CDXXXII. — CELSO.

Agricolæ lolia ea, quæ cum tritico enascuntur, radicitus evellunt : quo purus fructus ad messem evadat. Eodem igitur modo tibi quoque faciendum est, ut vitia, quibus mens tua inficitur, exscindas, ut sana, omnisque vitiosæ affectionis expers conscientia cibum in vitam æternam manentem conficiat.

ΥΛΓ'.—ΣΟΛΟΜΩΝΙ.

Εἰ μέμηνε καὶ λυττᾷ κατὰ σοῦ ἡ ὄρεξις τῆς σαρκός σου, καὶ καύσων ῥαθυμίας (48) αὐτὴν ἐξεθέρμανεν, ὑπόμνησον αὐτὴν τοῦ μέλλοντος πυρὸς καὶ σβεσθήσεται. Ἡ γὰρ ἐνταῦθα τῆς πορνείας πυράκτωσις, πρὸς ἐκείνην βλέπει τὴν κάμινον.

B

CDXXXIII. — SALOMON.

Si carnis tuæ cupiditas adversum te furit, ac rabido impetu fertur, eamque inertiæ ac desidiæ æstus inflammavit, ignis futuri memoriam ipsi refrica, et exstinguetur. Siquidem libidinosum hujus vitæ incendium ad fornacem illam tendit.

ΥΛΔ'. — ΚΡΙΣΠΩ.

Εἰ καὶ ἑάλως τῷ τῆς φιλαργυρίας ἰῷ, ὅσπερ καὶ παντός ἐστι ῥίζα κακοῦ, καὶ πρὸς εἰδωλολατρίαν ἐκβακχεύει σε, πᾶσαν πρὸς ἑαυτὸν μεταστήσας τὴν αἴσθησιν, ἀλλ' ἀπόκριναι αὐτῷ τὴν θεοδίδακτον φωνήν, « Κύριον τὸν Θεόν μου προσκυνήσω, καὶ αὐτῷ μόνῳ λατρεύσω. » Καὶ ὁ μὲν οἰχήσεται, σὺ δὲ ἀνανήψεις πρὸς τὴν αὐτάρκειαν.

CDXXXIV. — CRISPO.

Si avaritiæ veneno, quod quidem mali omnis radix est, teque sensibus omnibus ad se translatis, ad idolorum cultum incitat, captus es, vocem hanc divinitus traditam [15] ipsi responde, « Dominum Deum meum adorabo, et ei soli serviam. » Atque illa quidem abibit : tu vero recepta meliori mente id assequeris, ut eo, quod satis sit, contentus sis.

ΥΛΕ'. — ΑΓΑΘΟΔΑΙΜΟΝΙ.

Ἐσκλήρηνας ἐρευνῶν τὴν τῶν μοναχῶν καὶ ἱερέων ζωὴν, τὸ ἀναμάρτητον ζητῶν ἐν αὐτῇ, ὅπερ μόνου ἐστὶ Θεοῦ, καὶ τοῦτο ἐν ἀνθρώποις ὁ κατορθῶν οὐχ ὑπάρχει. Εἰ δὲ πρέποντα τῇ φύσει ἐθέλεις ζητεῖν, τὸ μηδενὸς ἐφάπτεσθαι τῶν κατὰ γνώμην ἀδικημάτων, ὅπερ ἐστὶν ἀνθρώπου εὐαγοῦς, καὶ τὸ μὴ πολλοῖς περιπίπτειν τῶν ἀκουσίων, ὅπερ οἰκεῖον τῶν ἐγγίσαι Θεῷ βουλομένων. Καὶ τὸ ἧττον μὲν ἐκείνων, ἥττον δὲ πολλοῖς, τὸ μὴ ἐπὶ μήκιστον ἐμμένειν τοῖς ἁμαρτήμασι.

C

CDXXXV. — AGATHODÆMONI.

Obduruisti, monachorum ac sacerdotum vitam perscrutans, atque ejusmodi in ea statum, **111** qui ab omni peccati alienus sit, quærens. Quod quidem solius Dei est : nec, qui id consequatur, mortalium quisquam est. Si autem ea, quæ naturæ congruant, investigare cupis, hæc sunt : Nullum voluntarium scelus attingere, quod quidem pii hominis est ; non in multa involuntaria peccata incidere, quod eorum proprium est, qui ad Deum appropinquare student, et (quod illis inferius est, ac multis perfacile) non quam diutissime in peccatis permanere.

ΥΛϚ'. — ΖΩΣΙΜΩ.

Περὶ τῆς θείας ἐπιδημίας.

Ἡ ὑπὲρ τῶν ἀνθρωπίνων ἁμαρτιῶν γενομένη παιώνειος τοῦ Υἱοῦ τοῦ Θεοῦ ἔνσαρκος ἐπιφάνεια, πάντας μὲν ἐφόβησε καὶ ἀνθρώπους καὶ δαίμονας· τοὺς μὲν φείδεσθαι τῆς φύσεως πείσασα, ὡς Θεῷ ἑνωθείσης· τοὺς δὲ ἀπέχεσθαι τῆς κατ' αὐτῆς ἐπιβουλῆς ἀναγκάσασα, ὡς ἀναμαρτήτου λοιπὸν γενομένης· σὲ δὲ οὐδὲν τούτων ἐμάλαξεν, οὐδὲ δεδιέναι

D

CDXXXVI. — ZOSIMO.

De divino adventu.

Salutaris Filii Dei in carne apparitio, quæ delendorum humanorum peccatorum causa exstitit, omnes, et homines, et dæmones perterrefecit : illis nimirum, ut naturæ tanquam jam Deo copulatæ, parcerent, persuadens ; hos autem, ut ab insidiis ipsi, tanquam jam a peccato alienæ redditæ, comparandis abstinerent, cogens. Te vero nihil horum

[15] Deut. VI, 13.

VARIÆ LECTIONES ET NOTÆ.

(47) Pro μὴ μόνον codd. Vat. 649 et Alt. habent καὶ μόνος. Possin.

(48) Pro ῥαθυμίας codd. Vat. 649 et Alt. legunt ῥαθυμίαν. Id.

Digitized by Google

emolliit, nec metu affecit, nec prudentius rectiusque te gerere docuit. Quocirca si homo es, prius te erudiat. Si dæmon, ex posteriori condisce, præstantissima natura ad vitiosas affectiones minime abuti. Ad judicium enim venies, horum omnium examen subiturus, ac diuturni stuporis diuturnas rationes reposcendus.

A παρεσκεύασεν, οὐδὲ σωφρονεῖν ἐπαιδαγώγησεν. Εἰ τοίνυν ἄνθρωπος εἶ, τῷ προτέρῳ παιδεύθητι. Εἰ δὲ δαίμων, τῷ δευτέρῳ διδάχθητι, μὴ κατακεχρῆσθαι καλλίστῃ (49) φύσει εἰς πάθη. Ἥξεις γὰρ εἰς κρίσιν τούτων ἁπάντων εὐθύνας ὑφέξων, καὶ τῆς μακρᾶς ἀναλήψεως μακρὸν εἰσπραχθησόμενος λόγον.

CDXXXVII. — ORIBASIO MEDICO.

Medicina quidem, ut Democriti verbis utar, corporis morbis medetur : sapientia autem animum e turbulentis affectibus extrahit. Quoniam igitur utriusque particeps es, atque altera ad corporum morbos ab aliis propulsandos uteris, fac alterius opera tibi ipsi medearis, eam videlicet, quæ tibi deest, sanitatem insuper adipiscen , citra quam nec optimus medicus, nec sapiens reipsa eris.

ΥΛΖ'. — ΟΡΙΒΑΣΙΩ ΙΑΤΡΩ (50).

Ἰατρικὴ μὲν κατὰ Δημόκριτον, σώματος νόσους ἀκέεται· σοφίη δὲ ψυχὴν παθέων ἀφαιρέεται. Ἐπεὶ οὖν ἀμφοτέρας μετείληφας, καὶ θατέρᾳ κέχρησαι πρὸς ἑτέρους, πάθη σωμάτων ἰώμενος· τῇ ἑτέρᾳ σαυτὸν ἐξιάτρευσον, τὴν λείπουσαν ὑγείαν προσκτώμενος, ἧς ἄνευ οὔτε ἰατρὸς ἄριστος, οὔτε σοφὸς B ἔσῃ τῷ πράγματι.

CDXXXVIII. — TIMOTHEO LECTORI.

Cur lex præcepit offerri duos turtures et duos pullos columbarum pro infantibus recens natis.

Duos turtures aut duos pullos columbarum lex masculos Hebræorum infantes, cum in Dei conspectum prodirent, muneris loco ferre præcipiebat [56], per probarum ac lenitate præditarum avium typum, puerorum simplicitatem ac mollitiem significans, ac similia similibus purgari docens. Quos etiam agnos alio loco Scriptura nuncupat. Nam eos qui velut œstro quodam perciti feruntur, divinamque legem rejiciunt, ac per temeritatem et petulantiam naturæ contumeliam inferunt, hædis comparavit. C

ΥΛΗ'. — ΤΙΜΟΘΕΩ ΑΝΑΓΝΩΣΤΗ.

Τοῦ Λευϊτικοῦ. Διὰ τί ὁ νόμος ἐθέσπισε προσαγαγέσθαι δύο τρυγόνας, καὶ δύο νεοσσοὺς περιστερῶν ὑπὸ τῶν νεογνῶν βρεφῶν.

Δύο τρυγόνας, καὶ δύο νεοττοὺς περιστερῶν, τοὺς νεογνοὺς ἄρρενας Ἑβραίων φέρειν δῶρα τῆς πρὸς Θεὸν ἐμφανείας ὁ νόμος προσέταττε, τῶν φιλαρέτων καὶ ἀνεξικάκων ὀρνέων τοῖς τύποις, τὴν ἁπλότητα καὶ ἀπαλότητα τῶν νέων (51) αἰνιττόμενος, καὶ τοῖς ὁμοίοις τὰ ὅμοια διδάσκων καθαίρεσθαι· οὓς [καὶ] ἀρνία προσαγορεύει ἑτέρωθι. Τοὺς γὰρ ἐξοιστροῦντας, καὶ ἀθετοῦντας, καὶ ἀταξίᾳ τὴν φύσιν ὑβρίζοντας, ἐρίφοις παρείκασε.

CDXXXIX. — THEONI.

Quomodo sit intelligendum : « Pœnitet me, quod unxerim Saul in regem. »

Male feriata, et in turpibus rebus occupata **112** impiorum hominum audacia et amentia nihil divinarum rerum contumeliæ expers relinquit. Quoniam igitur quæstiones quoque nunc abs te propositæ ejusdem sterilitatis segetes sunt, omissis illis vera audi. Hæc verba, « Pœnitet me quod unxerim Saulem regem [57], » divinam prænotionem haudquaquam traducunt, nec ipsius ignorantiam, absit! verum singularem atque incredibilem quamdam ejus misericordiam, et humanitatem ostendunt. Quoniam enim, inquit, Hebræi quidem ut qui regem poposcissent ac me repudiassent, animadversione digni erant, at non ita ut in eos animadvertit Saul regiam dignitatem consecutus, idcirco tum illorum vicem dolet, ut qui gravibus incommodis affecti sint, tum hujus quoque, ut qui sævum et acerbum se ipsis præbuerit. Quapropter in illorum ejus qui eorum petitioni cessit, benignitatem.

ΥΛΘ'. — ΘΕΩΝΙ.

Πῶς νοητέον, « Μεταμέλημαι ὅτι ἔχρισα τὸν Σαοὺλ εἰς βασιλέα. »

Ἡ κακόσχολος καὶ φαυλοτριβὴς τῶν ἀθέων ἀπόνοια, οὐδὲν τῶν θείων καταλιμπάνει ἀνύβριστον. Ἐπειδὴ τοίνυν καὶ τὰ νῦν προβληθέντα σοι, τῆς αὐτῶν ἐστιν ἁμαρτίας γεώργια, ἐκεῖνα παρεὶς, μάνθανε τάληθῆ. Τὸ, « Μεταμέλομαι ὅτι ἔχρισα τὸν Σαοὺλ εἰς βασιλέα, » οὐκ ἔστι τῆς θείας προγνώσεως διαβολὴ [οὐδὲ ἀγνοίας αὐτῆς], ἄπαγε! Ἀλλὰ οἴκτου καὶ φιλανθρωπίας ὑπερβολή. Ἐπειδὴ, ἄξιοι μὲν ἦσαν Ἑβραῖοι, βασιλέα αἰτήσαντες, καὶ ἐμὲ ἀθετήσαντες, παιδευθῆναι, οὐχ οὕτω δὲ ὡς ἐποίησεν αὐτοῖς βασιλεύσας Σαοὺλ, οἰκτείρει κἀκείνους ὡς δεινὰ πεπονθότας, καὶ τοῦτον ὡς χαλεπὸν αὐτοῖς γεγονότα. Τῆς τοίνυν ἐκείνων προαιρέσεως ἡ αἰτία, οὐ τῆς τοῦ δεδωκότος τὸ αἴτημα φιλανθρωπίας. D

ejus animum ac voluntatem culpa conferenda, non in

[56] Levit. xii. [57] I Reg. xv, 11.

VARIÆ LECTIONES ET NOTÆ.

(49) Ante καλλίστῃ codd. Vat. 649 et Alt. addunt τῇ. Possin.

(50) Vox ἰατρῷ abest a titulo in codd. Vatic. 649 et Alt. Et iidem vers. 3 pro ἀμφοτέρας legunt ἀμφοτέρων. Id.

(51) Pro νέων cod. Vatic. 649 legit παίδων, et eamdem lectionem cod. Alt. exhibet in margine. Id.

Digitized by Google

ΥΜ'. — ΙΣΙΔΩΡΩ ΔΙΑΚΟΝΩ.

Ὅπερ οἱ τοῖς πρώτοις γράμμασι στοιχειούμενοι παῖδες, τῷ καθηγητῇ ἀτενίζουσι πρὸς ὅπερ ἂν τὴν γραφίδα ἁρμόσῃ, ἅσμενοι (52) καὶ εὐπειθῶς τοὺς χαρακτῆρας δεχόμενοι· οὕτως καὶ τοὺς τῶν θείων φοιτητὰς ἕπεσθαι τοῖς τούτων διδασκάλοις, νηπιώδη ἁπλότητα, καὶ ἀνενδοίαστον συγκατάθεσιν ἔχοντας. Ἀπεκρύβη γάρ, φησὶ, ταῦτα ὁ Κύριος ἀπὸ σοφῶν καὶ συνετῶν, καὶ ἀπεκαλύφθη νηπίοις.

CDXL. — ISIDORO DIACONO.

Quemadmodum pueri, cum primum litteras formare discunt, in præceptorem intenti sunt, ad quod calamum accommodarit, libenter atque obedienti animo notas excipientes : eodem modo eos quoque qui ad res divinas perdiscendas se conferunt, earum magistros sequi, atque puerilem simplicitatem et indubitatum assensum habere oportet. Abscondita enim sunt hæc a sapientibus et prudentibus, ut ait Dominus [28], et parvulis revelata.

ΥΜΑ'. — ΤΩ ΑΥΤΩ.

Πρὸς μαθητευομένους.

Εἰ καὶ τελείους ἡμᾶς εἶναι ὁ θεῖος βούλεται νόμος, ὁμώνυμε, ἀλλὰ κατὰ ἀνάβασιν καὶ προκοπὴν πρὸς τὴν τελείωσιν φθάσαντας, πρότερον γάλακτι ποτιζομένους, ὡς ἀρτιγένητα βρέφη, καὶ ἐν αὐτῷ εἰς σωτηρίαν αὐξάνοντας.

CDXLI. — EIDEM.

Ad discipulos.

Etsi perfectos nos esse lex divina vult [29], vir mihi cognominis, tamen illud necesse est, ut qui per ascensum ac progressionem ad perfectionem tendunt, prius, tanquam modo geniti infantes, lactis potu alantur, atque in eo ad salutem crescant [30].

ΥΜΒ'. — ΤΩ ΑΥΤΩ.

Τί ἐστι· « Παιδία γίνεσθε ταῖς φρεσί. »

Κἀκεῖνο ὅπερ ἔφης, συνήγορον εὑρίσκω τῶν πρώτων γραφέντων σοι, μὴ παιδία γίνεσθαι ταῖς φρεσὶν, ἀλλὰ τῇ κακίᾳ νηπιάζειν, ταῖς δὲ φρεσὶ τελειοῦσθαι, τοῦ πανσόφου γράψαντος Παύλου. Οὐ γάρ ἐστιν, οὐκ ἔστι μὴ ἀποσμήξαντας τὴν κακίαν, καὶ νηπιάσαντας πρὸς ἀγνείαν, ἢ φρεσὶ τελειωθῆναι, ἢ εἰς ἄνδρα τέλειον ἐργάτην ἀνεπαίσχυντον ἀναδῆναι.

CDXLII. — EIDEM.

Quid sit : « Pueri sensibus estote. »

Illud quoque, quod abs te commemoratum est, iis, quæ ad te nuper scripsi, favere comperio, nimirum quod Paulus nos admonet [31] ne sensibus pueri efficiamur, sed malitia parvuli simus, sensibus autem perfecti. Neque enim fieri potest, nisi improbitatem abstergamus, atque ad puritatem et castitatem repuerescamus, ut aut mentis perfectionem assequamur, aut ad virum perfectum, atque operarium inconfusibilem subvehamur.

ΥΜΓ'. — ΤΩ ΑΥΤΩ.

« *Ὅτε ἤμην νήπιος, ἐφρόνουν.* »

Τὸ, « Ὡς νήπιος ἐλάλουν, ὡς νήπιος ἐφρόνουν, » εἰρημένον τῷ θεόφρονι Παύλῳ περὶ τῆς κατὰ νόμον ἀγωγῆς αὐτῷ γέγραπται, καθ' ἣν ὡς νήπιος λαλῶν, ἐφύλαττε τὸν νόμον νηπίοις δεδομένον, ὡς νήπιος φρονῶν, ἐδίωκε τὸν λόγον, ἀμύνων τοῖς τοῦ νόμου· « Ὅτε δὲ γέγονα, φησὶν, ἀνὴρ, τὰ τοῦ νηπίου κατήργηκα, » οὔτε τὸν νόμον ἀκυρῶν, καὶ τοῦ λόγου (53) κατηχῶν.

CDXLIII. — EIDEM.

« *Quando eram parvulus, sapiebam,* » *etc.*

Quod a divina mente prædito Paulo dictum est [32], « Loquebar ut parvulus, sapiebam ut parvulus, » de legis institutione ac disciplina ab eo scriptum est : cujus ratione ut parvulus loquens, legem pueris datam servabat : ut parvulus autem sapiens evangelicam doctrinam insectabatur, ac legem defendebat. « Postquam vero factus sum vir, evacuavi quæ erant parvuli : » nimirum nec legem abrogans, et evangelica doctrina homines imbuens.

ΥΜΔ'. — ΤΩ ΑΥΤΩ.

Αὐτὸς ὁ μέγας Ἀπόστολος, ὁ πλεῖον πάντων κοπιάσας, ὁ τὸν νόμον ἀκριβῶς μετελθὼν, παιδευσάτω σε, νηπίαν εἶναι ἐν αὐτῷ γνῶσιν τῆς θείας παιδεύσεως, ὡς ἐν σκιᾷ κεκαλυμμένην, καὶ ἀμυδρῶς διερωμένην. Σκιὰν εἶχεν ὁ νόμος τῶν μελλόντων ἀγαθῶν, ἀποφαινόμενος, οὐκ αὐτὴν τὴν εἰκόνα τῶν πραγμάτων, ἣν ἐπιστεύθη τὸ Εὐαγγέλιον, πρὸς ἣν οἱ τύποι ἐπέβλεπον.

CDXLIV. — EIDEM.

Magnus ipsemet Apostolus, qui plus omnibus laboravit [33], ac legem accurate coluit, te doceat, teneram in se divinæ doctrinæ cognitionem esse, utpote in umbra obvelatam, atque obscure duntaxat sese conspiciendam præbentem. Umbram enim, ut ipse pronuntiat [34], habebat lex futurorum, non ipsam rerum imaginem, quæ Evangelio commissa est, et ad quam figuræ tendebant.

[28] Matth. xi, 25. [29] Matth. v, 48. [30] I Petr. ii, 2. [31] I Cor. xiv, 20. [32] I Cor. xiii, 11 [33] I Cor. xv, 10. [34] Hebr. x, 1.

VARIÆ LECTIONES ET NOTÆ.

(52) Pro ἅσμενοι codd. Vatic. 649 et Alt. legunt ἀγόμενοι, et iidem ambo vers. 3 post διδασκάλοις addunt χρῆ. Possin.

(53) Pro καὶ τοῦ λόγου codd. Vat. 649 et Alt. habent, καὶ τὰ τοῦ λόγου, etc., nec asteriscum hiatus indicem requirunt. Id.

Digitized by Google

CDXLV. — EIDEM.

Quomodo et quibusnam lac potum Paulus dederit.

Quidnam afferes, inquis, si et lex puerilis erat ut pueris data, et item Christiana institutio puerilitas rursum est, ut ex his Apostoli verbis constat, « Lac vobis potum dedi, non cibum : nondum enim poteratis[33] ? » Audi igitur. Cum evangelica doctrina pueros a lege accepisset, nec puram ac perfectam et absolutam ipsis cognitionem impertire posset, nec mysteriorum mentis captum excedentium veritatem per ea patefactam subito demonstrare (verbi gratia, divinam essentiam in unitate subsistentem, atque in Trinitate constitutam, iis, qui unam duntaxat Dei hypostasim esse, quemadmodum et essentiam, opinionis errore sibi fingebant), idcirco ad confirmandos et permovendos eorum, quos in disciplinam acceperat, animos, legis opera utitur, nimirum ab ea perfectorum dogmatum testimonia petens. Ad hunc modum Paulus novum ac recens ortum Domini populum lacte perfectam doctrinam tradit.

A

B

ΥΜΕ'. — ΤΩ ΑΥΤΩ.

Πῶς καὶ τίνας ποτίζει τὸ γάλα ὁ Παῦλος ὡς νηπίους.

Πῶς, ἔφης, εἰ ὁ νόμος νηπιώδης ὡς νηπίοις δεδομένος, καὶ ἡ κατὰ Χριστὸν στοιχείωσις, πάλιν τυγχάνει νηπιότης, τοῦ Ἀποστόλου φάσκοντος, « Γάλα ὑμᾶς ἐπότισα, καὶ οὐ βρῶμα· οὔπω γὰρ ἠδύνασθε ; » Ἄκουε τοίνυν· νηπίους ἐκ τοῦ νόμου ὁ εὐαγγελικὸς λόγος δεξάμενος, καὶ τῆς ἀκραιφνοῦς καὶ τελειοτάτης γνώσεως μεταδοῦναι αὐτοῖς οὐ δυνάμενος, καὶ ἀθρόαν ἀποδεῖξαι τῶν ὑπὲρ νοῦν μυστηρίων τὴν δι' αὐτοῦ φανερωθεῖσαν ἀλήθειαν· οἷον τὴν θείαν οὐσίαν ἐν μονάδι ὑφεστῶσαν, ἐν μονάδι (54) δὲ καθεστῶσαν, τοῖς μίαν καὶ ὑπόστασιν Θεοῦ ὥσπερ οὐσίαν φαντάζομένοις· πάλιν τῷ νόμῳ χρῆται πρὸς σύστασιν καὶ πειθὼ τῶν ὑπ' αὐτοῦ παιδαγωγηθέντων, ἐξ αὐτοῦ τὰς τῶν τελείων δογμάτων μαρτυρίας ἐπιφερόμενος. Οὕτως γάλα ποτίζει Παῦλος τὸν νεογνὸν τοῦ Κυρίου λαὸν, σοφῶς αὐτὸν διὰ τῆς νόμου νηπιότητος παιδεύων τὴν τελειότητα.

irrigat, dum per legis puerilitatem sapienter ei

CDXLVI. — PALLADIO.

De convicio.

Si a cibis abstines, quid conviciis et maledictis tanquam carnibus vesceris? Præstiterat enim illis ingurgitari, quam his contaminari. Quod si ab illis abstinens, his inficeris et conspurcaris, ei similis es, qui parum precatur, magna autem ex parte Deum impiis et contumeliosis vocibus incessit.

C

ΥΜΣ'. — ΠΑΛΛΑΔΙΩ.

Περὶ λοιδορίας.

Εἰ νηστεύεις ἀπὸ βρωμάτων, τί κρεωφαγεῖς λοιδορίας; Καλὸν γὰρ ἐκείνων ἐμφορεῖσθαι, ἢ ταύταις βεβηλοῦσθαι. Εἰ δὲ τῶν μὲν ἀπέχῃ, ταῖς δὲ μολύνῃ, ἐοικάς τινι μικρὰ προσευχομένῳ, καὶ πλεῖστα βλασφημοῦντι.

CDXLVII. — ANTIOCHO.

Non apostolum Philippum, sed unum ex iis qui cum Stephano electi sunt, eunuchum baptizasse, et Simonem instruxisse ; atque oportere rebus sacris addictos viros interrogationes et dubia solvere.

Oportebat quidem omnes qui Domini Dei nostri cultui consecrati, atque ad Ecclesiæ ministerium destinati sunt, mutuas suas contentiones ac furiosas controversias comprimere, non autem ipsos aliunde patrocinia sua corrogare. Quoniam autem ad stipendia duntaxat oculos conjectos habent, sanctioremque eam **114** Ecclesiam esse ducunt, a qua uberiorem victus copiam accipiunt (ventrem videlicet pro Deo habentes, causamque cur divinum ac veneratione prosequendum nomen blasphemis vocibus laceretur, præbentes) : meliorum autem rerum curam abjiciunt, nec vel tantulam earum rationem habent : illud scito, vir admirabili virtute præditе, id quod a probo viro Hierone dictum est, et verum esse ac divinæ Scripturæ te-

D

ΥΜΖ'. — ΑΝΤΙΟΧΩ.

Ὅτι οὐχ ὁ ἀπόστολος Φίλιππος, ἀλλ' εἷς τῶν γ' τῶν μετὰ Στεφάνου ἐκλεγέντων ἐστὶν, ὁ καὶ τὸν εὐνοῦχον βαπτίσας, καὶ τὸν Σίμωνα κατηχήσας· καὶ ὅτι χρὴ τοὺς ἱερατικοὺς ἄνδρας λύειν τὰς ἐρωτηθείσας ἐρωτήσεις καὶ ἀμφιβολίας.

Ἔδει μὲν ἅπαντας τοὺς Κυρίῳ τῷ Θεῷ ἡμῶν ἱερωμένους, καὶ Ἐκκλησίας ὑπηρεσίᾳ ἐντεταγμένους τὰς ἀλλήλων λύειν ἔρεις τε καὶ μανιώδεις ἀμφιβολίας, ἀλλὰ μὴ αὐτοὺς ἑτέρωθεν ἐρανίζεσθαι τὰς ἑαυτῶν συνηγορίας. Ἀλλ' ἐπειδὴ πρὸς μόνα βλέπουσι τὰ ὀψώνια, κἀκείνην κρίνουσιν ἁγιωτέραν τὴν Ἐκκλησίαν, παρ' ἧς δαψιλέστερα δέχονται, Θεὸν τὴν κοιλίαν ἡγούμενοι· δι' οὓς καὶ τὸ θεῖον βλασφημεῖται καὶ σεβάσμιον ὄνομα· τῶν δὲ κρειττόνων ἀμελοῦσι, καὶ οὐδὲ λόγον τὸν τυχόντα ποιοῦνται, ἴσθι, θαυμάσιε, ὡς τὸ εἰρημένον παρὰ τοῦ ἐναρέτου Ἱέρωνος, ἀληθές ἐστι, καὶ ἐκ τῆς θείας ἔχει Γραφῆς [τὴν ἀπόδειξιν·] οὐ γὰρ ὁ ἀπόστολος Φίλιππος, ὁ ἐν τοῖς δεκαδύο καταλεγόμενος, ἀλλ' ὁ εἷς τοὺς ἑπτὰ (55) τῶν μετὰ τοῦ ἀριστέως καὶ ἀρχιστρατήγου τῶν

[33] I Cor. III, 2.

VARIÆ LECTIONES ET NOTÆ.

(54) Pro μονάδι cod. Alt. recte legit τριάδι. Vox autem Θεοῦ quæ habetur vers. seq. abest a cod. Vat. 649. Idem quoque cod. Vat. vers. penult. pro σοφῶς legit τὸ φῶς. Possin.

(55) Pro ἀλλ' ὁ εἷς τοὺς ἑπτὰ melius habent cod. Vat. 649 et Alt.. ἀλλ' ὁ εἷς ὢν τῶν ἑπτά. Id.

Digitized by Google

καλλινίκων μαρτύρων Στεφάνου ἐπιλεγεὶς πρὸς τὴν A stimonio confirmari. Neque enim Philippus apostolus, qui inter duodecim recensetur, verum unus ex septem illis, qui cum strenuo ac virtute præstanti, et palmariorum martyrum duce Stephano ad viduarum curam gerendam asciti sunt, ille est, qui et eunuchum baptismo donavit, et Simonem Christiana fide imbuit.

τῶν χηρῶν οἰκονομίαν, οὗτός ἐστιν ὁ καὶ τὸν εὐνοῦχον βαπτίσας, καὶ τὸν Σίμωνα κατηχήσας.

ΥΜΗ'. — ΤΩ ΑΥΤΩ.

Περὶ αὐτοῦ.

Ἐπειδὴ καὶ μαρτυρίαν ζητεῖς τοῦ πράγματος Γραφικήν, ἄκουε τοῦ παναρίστου Λουκᾶ ἐν ταῖς Πράξεσι γεγραφότος· Ἀναιρεθέντος Στεφάνου ἐγένετο διωγμὸς μέγας ἐπὶ τῆς Ἐκκλησίας τῆς ἐν Ἱεροσολύμοις, πάντες δὲ διεσπάρησαν κατὰ τῆς χώρας τῶν Ἰουδαίων καὶ Σαμαρείας, πλὴν τῶν ἀποστόλων, ὡς δῆλον εἶναι ὅτι ὁ ἀπόστολος Φίλιππος σὺν τοῖς ἄλλοις ἀποστόλοις, ἐπὶ Ἱεροσολύμων κατέμεινε.

CDXLVIII. — EIDEM.

De eodem.

Quoniam hujusce rei testimonium e Scriptura petitum a me postulas, audi quid præstantissimus Lucas in Actis scripserit[86] : Interfecto Stephano facta est persecutio magna in Ecclesia quæ erat Hierosolymis, et omnes dispersi sunt per regiones Judææ et Samariæ præter apostolos. Ex quibus verbis constat, Philippum apostolum in urbe Hierosolymitana B cum cæteris apostolis remansisse.

ΥΜΘ'. — ΤΩ ΑΥΤΩ.

Περὶ αὐτοῦ.

Εἰ φιλομαθῶς ἐζήτεις τὰς Γραφάς, εὗρισκες καὶ ἑτέρας ἐκεῖθεν μαρτυρίας, διασαφούσας σοι τὸ κινούμενον. Τῶν ἀποστόλων ἐν Ἱεροσολύμοις μόνων περιλειφθέντων, καὶ πάντων τῶν λοιπῶν μαθητῶν, ἄλλου ἀλλαχόσε διασπαρέντος, ἐν τοῖς διασπαρεῖσιν ἦν] καὶ οὗτος ὁ Φίλιππος, ὃς καὶ τὸν Σίμωνα κατηχήσας ἐν Σαμαρείᾳ, καὶ τὸν εὐνοῦχον κατὰ θεῖον χρησμὸν βαπτίσας, ἁρπαγεὶς ὑπὸ πνεύματος Κυρίου, εἰς Ἄζωτον μὲν εὑρέθη, πρὸς δὲ Καισάρειαν ὥρμησε τὴν αὐτὸν ἐνεγκοῦσαν. Τῆς γὰρ ἐπὶ Στεφάνῳ λύπης πειραθεὶς, καὶ ἴσως δείσας μὴ τῶν ὁμοίων μετάσχῃ, ἐπανεκόστησεν οἴκαδε.

CDXLIX. — EIDEM.

De eodem.

Si Scripturas studiose perscrutareris, alia quoque testimonia illic invenires, quibus illud tibi explanaretur, de quo controversia excitata est. Nam cum apostoli soli in urbe Hierosolymitana remansissent, cæterique omnes discipuli alius in alium locum dispersi fuissent, inter dispersos hic etiam Philippus erat, qui et Simonem Christianæ fidei præceptis in Samaria informavit, eunucho juxta divinum oraculum baptizato, a Domini Spiritu abreptus in Azoto quidem inventus est, post autem Cæsaream, quæ urbs eum extulerat, se contu-C lit. Nam cum ob Stephani cædem mœrore affectus fuisset, ac fortasse, ne eadem ipsi perpetranda essent, vereretur, idcirco domum se recepit.

ΥΝ'. — ΤΩ ΑΥΤΩ.

Περὶ αὐτοῦ.

Ἐπειδὴ πολλῶν ἀποδείξεων ἐρᾷς, ἰδοὺ καὶ ἑτέρα. Φίλιππος μὲν ἐβάπτισε τοὺς ἐν Σαμαρείᾳ μαθητευθέντας. Πέτρος δὲ καὶ Ἰωάννης οἱ ἀπόστολοι, καταβάντες ἀπὸ Ἱεροσολύμων πρὸς αὐτοὺς, τὴν τοῦ Πνεύματος τοῦ ἁγίου παρέσχοντο χάριν. Εἰ δὲ ὁ βαπτίσας εἷς τῶν ἀποστόλων ἐτύγχανεν, εἶχε τὴν αὐθεντείαν τῆς τοῦ Πνεύματος δόσεως. Βαπτίζει δὲ μόνον ὡς μαθητής, τελειοῦσι δὲ τὴν χάριν οἱ ἀπόστολοι, οἷς ἡ τῆς τοιαύτης δόσεως αὐθεντία ἐδέδοτο.

CDL. — EIDEM.

De eodem.

Quandoquidem plures probationes expetis, en altera quoque : Philippus eos, qui Christiana doctrina in Samaria imbuti fuerant, baptismi aqua tinxerat. Petrus autem et Joannes apostoli, ab Hierosolymis ad eos descendentes, Spiritus sancti gratiam ipsis porrexerunt. Quod si is, a quo baptismum acceperant, ex apostolorum classe ac numero fuisset, Spiritus donandi potestatem profecto habuisset. At vero baptizabat duntaxat ut discipulus. Apostoli autem gratiam explebant ac perficiebant, ut qui hujusmodi muneris tribuendi potestatem atque auctoritatem divino beneficio accepissent.

ΥΝΑ'. — ΛΕΟΝΤΙΩ ΕΠΙΣΚΟΠΩ.

Περὶ ἀνδρείας.

Οὐ χρὴ, θαυμάσιε, ἀεὶ τοῖς ἀνέμοις ὑπείκειν, ἀλλ' ἔστιν ὅτε καὶ ἀντίπρωρον ταῖς καταιγίσιν ἀνθίστασθαι, καὶ τὰς ἐμβολὰς τῶν πνευμάτων ἐκκρούεσθαι, μήποτε μεγαλυνόμεναι αἱ λαίλαπες, καὶ τῶν οἰάκων ἡμᾶς ἐκτινάξωσι, καὶ μερισμὸν τοῦ σκάφους ἐργάσωνται πολυσκέδαστον. Ἀνθίστασο τοίνυν τῷ νῦν παράσσοντι κλύδωνι, εἰ καὶ τῇ κακοτέχνῳ πραότητι, ὡς πρὸς λιμένα τὴν ἑαυτοῦ προκαλεῖται κακόνοιαν,

CDLI. — LEONTIO EPISCOPO.

115 *De fortitudine.*

Ventis haud semper cedere oportet, vir eximie; verum nonnunquam etiam objecta in contrarium prora fluctibus et procellis obluctari, ac ventorum impetum propulsare, ne alioqui turbines ingravescentes, tum nos a gubernaculis dejiciant, tum navim in multas partes frangant. Quamobrem grassanti nunc tempestati obsiste (etiamsi veteratoria et malis artibus simulata lenitate ad perversam

[86] Act. xi, 19.

Digitized by Google

suam sententiam tanquam ad portum quemdam, te allicit), ne, si nave atque onere tuo potiatur, in importuosum littus, ex quo, iis qui capti fuerint, naufragium subeundum sit, te ejiciat.

μήποτε ὡς ἐγκρατὴς τῆς νηὸς καὶ τοῦ φόρτου σου γένηται, καὶ εἰς δύσορμον ἐξωθήσῃ σε, ἀφ' ἧς ναυάγιον οἱ ἀλόντες ὑφίστανται.

CDLII. — EIDEM.

In illud dictum ab Ezechia, « Fiat pax in diebus. »

« Sit pax in diebus meis, » dicebat Deo charissimus Ezechias [37], non quod hostibus cederet, aut a precatione absisteret; verum hanc quidem supplicem ad Deum adhiberet, hostibus autem hac ratione cladem quæreret : per ipsas nimirum res præclare ac feliciter gestas illud declarans, quod cum amicam pacem adeptus esset, eam ad extremum usque habere supplicibus verbis postulabat. Unde etiam angeli manu victoriam consecutus est, non ad præ- B lium et tela proficiscens, neque incursus faciens, verum ad divinas preces et supplicationes excubans [38].

ΥΝΒ'. — ΤΩ ΑΥΤΩ.

Εἰς τὸ τοῦ Ἐζεκίου εἰρημένον· « Γενέσθω δὴ εἰρήνη ἐν ταῖς ἡμέραις. »

Γενέσθω εἰρήνη ἐν ταῖς ἡμέραις μου, ὁ θεοφιλέστατος ἔλεγεν Ἐζεκίας, οὐκ ἐνδιδοὺς τοῖς πολέμοις, οὐκ ἀφεστὼς τῆς πρεσβείας, ἀλλὰ [τὴν] μὲν Θεῷ προσῆγεν ἱκέτιν, τοῖς δὲ ἐκεῖθεν τὴν ἧτταν ἐζήτει, αὐτοῖς δηλῶν τοῖς κατορθώμασιν, ὡς φίλην κτησάμενος τὴν εἰρήνην, μέχρι παντὸς ἔχειν αὐτὴν ἠντιβόλει. Ὅθεν ἀγγέλου χειρὶ τὴν νίκην εἰργάσατο, εἰς βέλη μὲν οὐ χωρῶν, οὐδὲ εἰσκύρσεις (56) ποιῶν, εἰς δεήσεις δὲ καὶ λιτὰς τὰς πρὸς Θεὸν ἀγρυπνῶν.

CDLIII. — THEODOSIO.

Quando luctabatur Jacob, quodnam dixit nomen suum esse ille qui cum eo luctabatur.

Divinæ quidem naturæ nullum nomen imponi potest. Jacob autem, ejus qui cum ipso luctabatur [39], ac per nervi femoris contrectationem eum vitiosos affectus superare ac frangere docebat, nomen exquirebat. At, « Quid quæris nomen meum? » (edocentem eum audit), quod nec legis est, nec eorum, quorum ætas legem antecessit, cognoscere : verum sero tempore, cum temporum plenitudo venerit, atque hominum scelera magnopere aucta fuerint, Jesus incarnatus nuncupabor, quod quidem Servatorem sonat [40]. Siquidem eorum qui peccaverunt salutis causa hujusmodi administratione per- C fungar.

ΥΝΓ'. — ΘΕΟΔΟΣΙΩ.

Ὅτε ἐπάλαιεν ὁ Ἰακὼβ, τί εἶπε τὸ ὄνομα αὐτοῦ ὁ παλαίων.

Ἡ μὲν θεία φύσις ἀκατονόμαστος. Ὄνομα δὲ ἐζήτει Ἰακὼβ τοῦ παλαίοντος, καὶ ἰσχύειν αὐτὸν κατὰ τῶν παθῶν ἐκδιδάσκοντος, διὰ τῆς τοῦ νεύρου τοῦ μηροῦ ψηλαφήσεως. Ἀλλ' « Ἵνα τί ἐρωτᾷς τὸ ὄνομά μου; » ἀκούει, οὐ τοῦ νόμου (57) εἶναι, οὐδὲ τῶν πρὸ τοῦ νόμου τοῦτο μαθεῖν ἐκπαιδεύοντος· ὀψὲ δὲ καιροῦ, ὅτε ἐλεύσεται τῶν χρόνων τὸ πλήρωμα, καὶ πληθυνθῶσι τῶν ἀνθρώπων τὰ πλημμελήματα, Ἰησοῦς ἐνανθρωπήσας κληθήσομαι, ὅπερ *Σωτὴρ* ἑρμηνεύεται. Ἐπὶ σωτηρίᾳ γὰρ τῶν ἁμαρτόντων τὴν οἰκονομίαν ἐκείνην ποιήσομαι.

CDLIV. — TIMOTHEO LECTORI.

Non falsa duntaxat accusatio, o vas Dei, verum etiam verissima, si adversus patrem solum fiat, parricidæ exitium parturit, velut Chamo accusatio Noe [41]. A qua cum Sem et Japheth, et tu item illorum propugnator et cohæres, puros atque immunes vos præbueritis, contractamque ex temulentia labem ac fœditatem contexeritis, unam et eamdem benedictionem merito consequemini.

ΥΝΔ'. — ΤΙΜΟΘΕΩ ΑΝΑΓΝΩΣΤΗ.

Οὐ ψευδὴς [μόνη] κατηγορία, ὦ σκεῦος Θεοῦ, ἀλλὰ καὶ κομιδῇ ἀληθής, εἰ κατὰ πατρὸς γένοιτο μόνον, ὄλεθρον τῷ πατραλοίᾳ ὠδίνει, ὡς τῷ Χάμ, ἡ τοῦ Νῶε· ἧς καθαρεύσαντες Σὴμ καὶ Ἰάφεθ, καὶ σὺ ὁ ἐκείνων συναγωνιστὴς καὶ συγκληρονόμος, καὶ τὴν ἐκ μέθης σκεπάσαντες παροινίαν, μιᾶς καὶ ὁμοίας ἀξιωθήσεσθε εὐλογίας εἰκότως.

[37] IV Reg. xx, 19. [38] IV Reg. xix, 15 seqq. [39] Gen. xxxii, 24. [40] Matth. i, 21. [41] Gen. ix, 22.

VARIÆ LECTIONES ET NOTÆ.

(56) Quod legitur in vers. penult., οὐδὲ εἰσκύρσεις ποιῶν, inintelligibile est; quid est enim εἴσκυρσις, aut ubi monstrum id verbi a classico scriptore usurpatum reperias? Codd. Vat. 649 et Alt. veram, ni fallor, loci hujus lectionem exhibent. Sic enim locum hunc totum reddunt, ὅθεν ἀγγέλου χειρὶ τὴν νίκην εἰργάσατο· εἰς βέλη μὲν οὐ χωρῶν, οὐδὲ εἰς κύρσεις πόνων· εἰς δεήσεις δὲ καὶ λιτὰς πρὸς Θεὸν ἀγρυπνῶν· *Unde angeli manu* (Ezechias) *victoriam perpetravit : non ad tela se conferens, neque ad occursus laborum, sed in preces et supplicationes ad Deum vigilans.* A κύρω, quod sonat *incido, incurro*, et σ in flexione ascivit (unde est enim πῆματι κύρσαι apud Hesiod. et apud Euripid. ἐκύρσατε, et in Anthol. ἔκυρσα τάχους, fit non solum κύρμα, *præda*, id mirum in quod prædator incidit nomen usitatissimum Homero, sed, ut ex hoc loco intelligimus, etiam κύρσις active significat occursum generosi pectoris in res duras et pericula. Κύρσεις πόνων igitur hic dicuntur, *occursus in aleam præliorum.* Has autem usitatas ad victoriam vias, expeditionem armorum et processus in acies, non adhibuit Ezechias; sed vice cunctorum istiusmodi apparatuum preces ac spem in Deum habuit. Non frustra : debellavit enim splendide ope angeli. Possis.

(57) Post νόμου codd. Vat. 649 et Alt. expungunt τῶν et illud transferunt post οὐδὲ, totum locum sic melius reddentes, ἀκούει, οὐ τοῦ νόμου εἶναι, οὐδὲ τῶν πρὸ τοῦ νόμου, etc. Ib.

Digitized by Google

ΥΝΕ'. — ΣΥΜΜΑΧΩ.

Περὶ ἀκτημοσύνης.

Ὅσα καὶ κτᾶται σπανίως, ὡς πολύτιμα, καὶ τηρεῖται δυσκόλως, ὡς ἐπίβουλα, καὶ τὴν αὐτὴν ἔχει χρῆσιν τοῖς εὐτελέσι καὶ εὐώνοις, ταῦτα Χριστιανῶν οὐ κτήσεως μόνον, ἀλλὰ καὶ ὄψεως ἠλλοτριῶσθαι προσήκει· οἷα ταῖς μὲν εἰς τοὺς πένητας λυμαινόμενα εὐποιίαις· τοῖς δὲ κεκτημένοις βασκαίνοντα τῆς σωτηρίας.

CDLV. — SYMMACHO.

De paupertate.

Quæ et raro atque ægre comparantur, ut **116** ingentis pretii, et cum difficultate conservantur, ut insidiis obnoxia, et eumdem, quem vilia, exiguique pretii, usum habent, hæc non modo a Christianorum opibus et possessione, verum etiam ab oculis atque affectu remota esse convenit, ut quæ et conferendis in pauperes beneficiis labem afferant, et iis, a quibus possidentur, salutem invideant.

ΥΝϚ'. — ΠΑΛΛΑΔΙΩ ΔΙΑΚΟΝΩ.

Εἰς τό, « Μὴ κώμοις καὶ μέθαις. »

Κῶμός ἐστιν, ὦ φιλότης, μεθυστικὸς αὐλὸς, ἐγχρονίζοντος οἴνου, ἐρεθίζων τὴν ἡδυπάθειαν, καὶ θέατρον ἄσχημον ποιῶν τὸ συμπόσιον, κυμβάλοις τισὶ καὶ ὀργάνοις ἀπάτης καταθέλγων τοὺς δαιτυμόνας· ἃς ἔξω στήσειν τῆς βασιλείας τοὺς χρωμένους αὐτῷ γέγραπται, ὡς ἐπίστασαι.

CDLVI. — PALLADIO DIACONO.

In illud, « Non comessationibus et ebrietati. »

Comessatio, vir amice, est tibiæ cantus cum largiore vino ad voluptatem et libidinem exstimulans, ac convivium in fœdum et obscenum theatrum mutans, atque per cymbala quædam et instrumenta ad fraudem accommodata convivas mulcens ac deliniens : quam eos, qui ipsa utuntur, a cœlesti regno exclusuram esse, Litteris sacris proditum est[46], quemadmodum ipse nosti.

ΥΝΖ'. — ΤΩ ΑΥΤΩ.

Πῶς νοητέον, « Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος. » Περὶ τῆς μουσικῆς ἧς ἡ Γραφὴ μέμνηται.

Εἰ τῆς Γραφικῆς ζητεῖς μουσικῆς διασάφησιν, οὕτω νοητέον· « Αἰνεῖτε τὸν Κύριον ἐν ἤχῳ σάλπιγγος, » ἐν τῇ μνήμῃ τῆς ἀναστάσεως, σάλπιγγι γενησομένης, ὡς γέγραπται· « Αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ, » τῇ γλώσσῃ ἡμῶν καὶ τῷ στόματι, ὡς πλήκτρῳ τινὶ τῷ πνεύματι κρουομένων· « Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, » ἐν σαρκὶ καὶ ψυχῇ, ἀφ' ἧς ὡς χοροὶ αἱ πρὸς Θεὸν διαβαίνουσι δεήσεις. « Αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ, » ἐν καρδίᾳ, καὶ παντὶ τῷ ἔσωθεν σπλάγχνῳ, καὶ νεύροις, ἅπερ ὄργανον κέκληκεν. « Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, » τοῖς χείλεσι, δι' ὧν τὰ ἐναρμόνια τῆς ψαλμῳδίας πλέκεται μέλη.

CDLVII. — EIDEM.

Quomodo sit intelligendum : « Laudate eum in sono tubæ. » De musica cujus Scriptura meminit.

Si musicæ illius, de qua Scriptura loquitur[47], explanationem quæris, ad hunc modum intellige : « Laudate Dominum in sono tubæ : » hoc est, in memoria resurrectionis, quæ tuba fiet, ut Scriptura testatur. « Laudate eum in psalterio et cithara : » hoc est, in lingua nostra et ore, a Spiritu sancto tanquam plectro quodam percussis. « Laudate eum in tympano et choro : » id est, in carne et animo, a quo tanquam chori, preces ad Deum transeunt. « Laudate eum in chordis et organo : » hoc est, in corde atque omnibus internis visceribus et nervis, quæ quidem organum appellavit. « Laudate eum in cymbalis jubilationis : » hoc est, in labiis, quorum adminiculo concinna et modulata psalmodiæ carmina contexuntur.

ΥΝΗ'. — ΘΕΟΦΙΛΩ.

Ὅτι οὐκ ἐναντία τῆς παλαιᾶς νομοθεσίας ἡ εὐαγγελικὴ διδασκαλία.

Οὐκ ἀπῳδὰ, οὐδ' ἀλλότρια τῆς τοῦ νόμου ἐντολῆς, ἡ εὐαγγελικὴ νομοθεσία παρέδωκε. Τοῦ μὲν γὰρ τὴν ἐκβασιν καὶ τὴν πρᾶξιν τῆς ἁμαρτίας παιδεύοντος, αὕτη τὴν ἀρχὴν τοῦ κακοῦ τὴν ἐπιθυμίαν ἐκώλυσεν, ὡς εὐεμπτωσίαν οὖσαν τῆς πράξεως, ἧς ἀναιρουμένης, οὐκ ἔχει χώραν ἡ ποίησις.

CDLVIII. — THEOPHILO.

Evangelicam doctrinam non esse contrariam veteri legi.

Non absona, nec a legis mandato aliena lex evangelica nobis tradidit. Nam cum illa peccati eventum ac perpetrationem vetet, hæc mali principium, hoc est cupiditatem, prohibet[48], ut per quam ad actionem quispiam facile prolabatur : qua sublata et exstincta, nullus actioni locus patet.

ΥΝΘ'. — ΘΗΡΑΣΙΩ.

Εἰς τὸ εἰρημένον, « Μακάριος, ὃς ἐν γλώσσῃ οὐκ ὠλίσθησεν, οὐδὲ κατενύγη ἐν λύπῃ ἁμαρτίας. »

Τὸ ἐρώτημα τῆς ἀγάπης σου, τοιοῦτόν ἐστι·

CDLIX. — THERASIO.

In illud, « Beatus qui in lingua non lapsus est, neque compunctus est in dolore peccati[49]. »

Charitatis tuæ quæstio ad hunc modum explicari

[46] Galat. v, 21. [47] Psal. cl, 3-5. [48] Matth. v, 28. [49] Eccli. xix, 11.

Digitized by Google

potest : « Beatus vir qui non est lapsus in lingua sua, » hoc est : Beatus est ille, qui nec verborum obscenitate ac turpitudine linguam suam commaculavit, nec cuiquam offensionis ansam per contumeliam præbuit. « Et non est stimulatus in tristitia delicti : » **117** nimirum vel pœnitentia ductus ob ea quæ inhoneste ac fœde locutus est, vel quod aliquem contumeliosis verbis offenderit, ac propterea dolore atque animi compunctione opus habuerit. Optabilior est enim lapsus e pavimento, quam a lingua. Multi quippe, cum cecidissent, resurrexerunt; ob prolatum autem sermonem interierunt.

A « Μακάριος, ὃς οὐκ ὠλίσθησεν ἐν γλώσσῃ αὐτοῦ (58). » Μακάριος, φησίν, ὃς οὔτε αἰσχρότητι ῥημάτων τὴν γλῶσσαν ἐμόλυνεν, οὐδὲ σκανδάλου τισὶ γεγένηται δι' ὕβρεως αἴτιος. « Τὸ (59) οὐ κατενύγη ἐν λύπῃ ἁμαρτίας, ἤτοι μεταγνοὺς ἐφ' οἷς ἀσέμνως καὶ αἰσχρῶς ἀπεφθέγξατο, ἢ τὸ μή τινα λυπῆσαι δεινοῖς ἔπεσι, καὶ δεηθῆναι ἐπ' αὐταῖς κατανύξεως. Ὀλίσθημα γὰρ ἀπὸ ἐδάφους μᾶλλον, ἢ ἀπὸ γλώσσης. Πολλοὶ μὲν γὰρ πεσόντες, φησὶν, ἀνέστησαν, εἰπόντες δὲ προσαπώλοντο.

CDLX. — MARTINIANO.

De judicio.

Epicurus, tui gregis pastor, omnia temere ac fortuito in ortum prodiisse, ac rursum in nihilum reditura esse, impie pronuntiavit. Christus autem omnium effector, et Pater, et Deus, ac Servator, se in gloria venturum, atque unicuique juxta opera sua redditurum promisit. An igitur dignior illo hic sit, cui fides habeatur, pectoris tui compunctionem ægre admittentis, est perspicere, ne forte in tuo contemptu tandem antevertaris : ac tum ut tibi pœnitendi potestas fiat, quæras, cum jam pœnitentiæ nullus locus erit.

ΥΞ'. — ΜΑΡΤΙΝΙΑΝΩ.

Περὶ κρίσεως.

B Ἐπίκουρος μὲν ὁ ποιμὴν τῆς ἀγέλης σου, αὐτοσχεδίως πάντα γεγενῆσθαι, καὶ μετὰ ταῦτα ὡς οὐχ ὑπάρξαντα ἔσεσθαι ἀσεβῶς ἀπεφήνατο. Χριστὸς δὲ ὁ πάντων ποιητὴς καὶ Πατὴρ καὶ Θεὸς καὶ Σωτὴρ, ἥξειν ἐν δόξῃ ἐπηγγείλατο, καὶ ἀποδοῦναι ἑκάστῳ ὡς ἔπραξεν. Εἰ τοίνυν ἀξιόπιστος οὗτος μᾶλλον ἐκείνου, τῆς σῆς ἐστι συνιδεῖν δυσκατανύκτου καρδίας, μήποτε φθασθῇς καταφρονῶν, καὶ τότε μεταμέλεσθαι ζητῇς, ὅτε τόπος μεταμέλῳ οὐκ ἔστι.

CDLXI. — THEANO.

Ornatus studium ac lapillorum flores, aurique cum iis connexio, atque intorti crines, et oculorum pigmenta, et pulchritudinis effictio, pravaque circa C res hujusmodi artificia, quæ tibi curæ esse omnes referunt, necessarii usus honestati, et gravitati contumeliam inferunt, vitiosarum autem affectionum rabiem significant. Quamobrem si pectorum cum Christo initorum oblivione captus es, submonendi tui causa hæc scripsi. Sin autem, ut homo, mutatus es, fac quamprimum resipiscas. Etenim Deo munus minime promisisse, periculo vacat : at, cum aliquid voveris, id minime præstare, condemnatione dignum est.

ΥΞΑ'. — ΘΕΑΝΩ.

Ἡ φιλοκοσμία, καὶ ἡ τῶν λίθων ἀνθὴ, καὶ τοῦ χρυσοῦ ἡ πρὸς τούτους ἀνάκρασις, καὶ πλόκαμοι ἐλικτοὶ, καὶ ὀφθαλμῶν ὑπογραφαὶ, καὶ κάλλους σφισμὸς, καὶ αἱ περὶ ταῦτα κακοτεχνίαι, ὧν σε φροντίζειν ἀπαγγέλλουσιν ἅπαντες, τὴν μὲν σεμνότητα τῆς χρείας ἐνυβρίζουσι· παθῶν δὲ λύτταν σημαίνουσιν. Εἰ οὖν τῶν συνθηκῶν ἐπιλέλησαι, πρὸς ὑπόμνησιν γέγραφα· εἰ δ' ἑτράπης ὡς ἄνθρωπος, ἀλλὰ θᾶττον ἀνάνηψον. Τὸ γὰρ μὴ ἐπαγγείλασθαι δῶρον Θεῷ, ἀκίνδυνον· τὸ δὲ εὔξασθαι καὶ ἀθετῆσαι, κατάκριτον.

CDLXII. — SERENO TRIBUNO.

Deum quidem semper habes consilia tua prospere dirigentem. Nunc autem in Thraciam, hoc est, perturbationum ac tumultuum arcem, proficiscens, Cæsaris largitione opus habes, quam ipsi opiose procurat Androgynus. Tu igitur consilii inopia laborans, ita te compara, tanquam inter medios leones projiciendus, atque orationis subsidium adhibe. Non dormitabit autem (hoc pro certo habeo) is qui te custodit. Verum improbitatis molas conteret, teque salvum et incolumem ad possessionis tuæ terram reducet.

ΥΞΒ'. — ΣΕΡΗΝΩ ΤΡΙΒΟΥΝΩ.

Ἔχεις μὲν Θεὸν ἀεὶ τὰς βουλὰς εὐοδοῦντά σοι. Νῦν δὲ πρὸς Θρᾴκην στελλόμενος καὶ τῶν συγχύσεων τὴν D ἀκρόπολιν, χρῄζεις τῆς ὁρέξεως Καίσαρος, ἣν αὐτῷ μαστεύει δαψιλῶς ὁ Ἀνδρόγυνος. Καὶ σὺ μὲν ἀπορῶν ὡς μέσος λεόντων ῥιφησόμενος, γίνου προσευχὴν βοηθὸν κεκτημένος. Οὐ νυστάζει δὲ, οἶδα, ὁ φυλάττων σε, τὰς δὲ μύλας συνθλάσει τῆς πονηρίας, καὶ ἀποστρέψει σε μετὰ σωτηρίας εἰς τὴν γῆν (60) κατασχέσεώς σου.

VARIÆ LECTIONES ET NOTÆ.

(58) *Μακάριος, ὃς οὐκ ὠλίσθησεν ἐν γλώσσῃ αὐτοῦ.* Editione omnes Sirachi cap. IV in pr. plenius habent : Μακάριος ἀνήρ. Et adhuc plenius Clemens Alex. lib. II, *Paedag.*, c. 7, Μακάριος ὡς ἀληθῶς ἀνήρ. Et mox, pro γλώσσῃ omnes habent στόματι. Sed. capit. XXV, 9, est, ὃς ἐν γλώσσῃ ἑαυτοῦ οὐκ ὠλίσθησε. Ritt.

(59) Post τὸ recte addunt δὲ codd. Vat. 649 et Alt. vers. seq. pro ἀπεθέγξατο iidem merito rescribunt ἀπεφθέγξατο. Possin.

(60) Post γῆν recte addunt τῆς codd. Vat. 649 et Alt. Id.

Digitized by Google

ΥΞΓ'. — ΔΙΟΝΥΣΙΩ ΝΕΩ.

Λύπην ἔχω μεγάλην, ὅτι ἀκούω σε, οὐ τὴν πατρῴαν σωφροσύνην ζηλοῦντα, ἀλλὰ ξένην ἐπιτηδεύοντα αἰσχύνην, ἀποκείραντα τὴν ὄψιν τοῦ φυσικοῦ τῆς τιμιότητος ἄνθους, καὶ πρὸς τὴν γυναικονίτιν σχηματιζόμενον μᾶλλον. Ὅπερ οὐδὲν ἕτερόν ἐστιν, ἢ τῷ ποιήσαντι μέμφεσθαι. Εἰ γὰρ τὴν σύγχρονον τῆς τελειότητος τιμὴν παραιτῇ, ἀτελὴς μᾶλλον εἶναι φιλονεικεῖς, εἰς ἄνδρας οὐ βουλόμενος τελεῖν, ἀλλ' ἀμφίβολός τις ἐκτομίας καὶ εἶναι καὶ φαίνεσθαι.

CDLXIII. — DIONYSIO JUVENI.

Magno mœrore afficior, quoniam te paternæ pudicitiæ æmulum haudquaquam esse audio, verum peregrinam turpitudinem consectari, faciem tuam naturalis honestatis et gravitatis flore spoliantem, et eam in muliebrem potius transformantem. Quod quidem nihil aliud est, quam eum a quo effectus sis, accusare. Etenim si contemporaneum perfectionis honorem repudias, imperfectus potius esse studes, in hominum videlicet numero censeri nolens, **118** verum dubius quidam spado et esse et videri.

ΥΞΔ'. — ΣΑΛΟΥΣΤΙΩ.

Διαφορὰν μὲν ἔχειν δοκεῖ κατ' ἐπιτήδευσιν ἀπὸ τῆς μοιχείας πορνεία. Καὶ μείζων ἡ μανία, ὁπότε τῇ ὑπὸ ζυγόν τις ἐπιλυττήσει. Ἐρευνωμένη δὲ καὶ καθ' ἑαυτὴν ἡ πορνεία, πολλάκις εὑρίσκεται μοιχεία, τῆς ἐπὶ τοῦ τέγους (61) ἑταιριζομένης ὑπὸ ζυγὸν πλούσης ἔστιν ὅτε, ἀλλὰ καὶ χείρονά τισι συνέβη πορνομανέσι. Πολλάκις γὰρ ὁμοπατρίοις συνεφύρησαν νόθοις, καὶ ἄλλοι θυγατράσιν ἰδίαις πορνικῶς αὐτοῖς γεννηθείσαις. Καὶ γέγονεν αὐτοῖς ἡ φιλήδονος μέθη, βάραθρον Περσικῆς ἀπωλείας (62).

CDLXIV. — SALUSTIO.

Si studium atque institutum spectes, stuprum quidem ab adulterio differre videtur. Ac major est furor, cum quis rabido quodam impetu in conjugatam fertur. Cum autem stuprum per se ac privatim excutitur, sæpe adulterium esse reperitur : quippe cum ea, quæ pudicitiam suam in tecto cujusvis libidini prostitutam habet, interdum matrimonii vinculis constricta sit. Quinetiam graviora quoque nonnullis insano meretricum amore flagrantibus acciderunt. Persæpe enim cum spuriis fratribus sese contaminarunt. Atque item alii cum filiabus suis, quas ex meretricio concubitu extulerant. Ac libidinosa temulentia Persici exitii vorago ipsis facta est.

ΥΞΕ'. — ΖΩΣΙΜΩ.

Εἰς τοσοῦτόν σέ φασί τινες ἐληλακέναι γαστριμαργίας, ὡς τῆς διαίτης (63) σου τὰ λείψανα, ἄλλης εἶναι τραπέζης ὀψώνια· καὶ ταῦτα κώμοις μερίζοντα τὴν ἑστίασιν. Ἐφ' οἷς θερμῶς μοι δακρύειν ἐπέρχεται, ὅτι πλαγίως πρὸς Θεὸν πορευόμενος, καὶ ἐναντίος τοῖς αὐτοῦ νόμοις φαινόμενος, ἕξεις αὐτὸν θυμῷ πλαγίῳ πρὸς σὲ πορευόμενον.

CDLXV. — ZOSIMO.

Eo voracitatis te processisse quidam aiunt, ut victus tui reliquiæ alterius mensæ obsonia sint : idque cum epulas comessationibus distribuas. Quo quidem nomine calentes lacrymas emittere mihi in mentem venit : quod cum oblique ad Deum gradiaris, atque ipsius legibus adversarium te præbeas, ipsum quoque in obliqua ira ad te gradientem habiturus sis.

ΥΞϚ'. — ΣΕΡΗΝΩ ΤΡΙΒΟΥΝΩ.

Ὥσπερ αἱ τῶν πηγῶν σήραγγες ἀπαντλούμεναι, ἐκφυέστερον βρύουσιν, ὑπὲρ τὸ πρότερον μέτρον ἀναπηδῶσαι· καὶ μαστοὶ θηλαζόμενοι οὐκ ἐκλείπουσιν, ἕως πρὸς στερέμνιον τροφὴν ἀνδρωθῇ ὁ ὑποτίθιος (64)· οὕτω καὶ πλοῦτος ἀντλούμενος, ἐλάττωσιν οὐχ ὑφίσταται. Οὐδὲ μαστὸς εὐποιίας ἐκτρέφων τοὺς διὰ Θεὸν νηπιάζοντας, κένωσιν ὑπομένει ἢ ἔνδειαν, μέχρις ἂν πρὸς τὴν ὄντως παραπέμψῃ τελείωσιν.

CDLXVI. — SERENO TRIBUNO.

Quemadmodum fontium gurgites cum hauriuntur, uberius scaturiunt, altiusque quam prius exsiliunt ; ac mamillæ cum suguntur, non ante deficiunt quam infans ad solidiorem cibum admittendum adoleverit : eodem modo divitiæ, cum hauriuntur, decrementum non patiuntur : nec beneficentiæ mamilla eos, qui Christi causa pueros se præbent, nutriens exhauritur, aut penuriam et egestatem perpetitur, quoadusque ad veram perfectionem eos transmiserit.

ΥΞΖ'. — ΙΣΙΔΩΡΩ ΔΙΑΚΟΝΩ.

Πάντα ἡ θεία καὶ ἀκήρατος φύσις τὰ τῶν ἀμω-

CDLXVII. — ISIDORO DIACONO.

Divina et immortalis natura omnia suppliciorum

VARIÆ LECTIONES ET NOTÆ.

(61) *Ἐπὶ τοῦ τέγους.* Id est *in tecto*, quod Billius in sua interpretatione omisit. Solebant autem antiquitus in tectis prostare meretrices, seque aliorum libidini tanquam publicas victimas prostituere. Vid. Clementem Alex. lib. III *Pædag.* et lib. III *Stromat.* Rittr.

(62) *Βάραθρον Περσικῆς ἀπωλείας.* Ita loquitur, quia Persæ cum parentibus quoque miscebantur. Catullus :

Nam magus ex matre et nato nascatur oportet,
Si vera est Persarum impia religio.

Cf. Theodoret. *Græcar. affect. curat.*, *serm.* 9, *De legibus.* Rittr.

(63) E regione vocis διαίτης cod. Alt. scribit in margine εὐωχίας δαιτός σου, etc. Possin.

(64) Recte mutant codd. Alt. et Vat. 649 ὑποτίθιος in ἀποτίθιος. Ip.

Digitized by Google

exempla improbis jure ac merito invecta, Litterarum sacrarum monumentis emendationis nostræ causa consignavit : ut ejusdem pœnæ metu ab iisdem flagitiis deterreamur. Quamobrem, si pœnas metuimus, per dogmata religio cultusque divinus conservetur.

CDLXVIII. — ORIONI MONACHO.

De conversatione monachorum.

Ad comparandam virtutem haud satis est monasticam vitam profiteri : verum ad id quoque modestia accedat necesse est. Nam si lenitatis certamen obeuntes, turbulenta mente illud interrumpamus, hoc nihil aliud fuerit, quam salutem quidem consequi velle : ea autem, quæ ad ipsam consequendam adminiculo sunt, efficere nolle.

119 CDLXIX. — HIERACI.

Qualia dicit bona terræ propheta [65].

Per bona terræ, Scriptura hujusce vitæ commoda intelligit, per participationem idem cum futuris nomen obtinentia : Deo nimirum imbecillitatem nostram summa sapientia instituente, ac per ea quæ in sensum cadunt ad ea quæ animo et intellectu percipiuntur, nos velut porrecta manu ducente.

CDLXX. — THEODORO SCHOLASTICO.

Tu quidem opus omne, quod manibus elaboratur, turpe ac probrosum esse existimas, cum alioqui utile sit, atque ad tuendam vitam conducat. At Mitylenæus Pittacus, quamvis rex esset, pistrinum tamen manibus suis exstruebat, simulque et actuose se exercebat, et cibum operabatur.

CDLXXI. — CYNEGIO.

De servis.

Servis, tanquam nobis ipsis, utendum est. Homines enim illi nostri instar sunt. Anticipata quippe opinio, aut belli fortuna, aut armorum vis, eos in aliorum possessionem redegit. At re vera omnes unum atque idem sumus, sive naturam, sive fidem, sive futurum judicium spectemus.

CDLXXII. — THEONI.

Quod graviores pœnas dubunt ii qui post gratiam Deum irritarunt, quam qui olim peccarunt.

Quod neque illi, qui ante conditam legem cognitionem Dei propulerunt, excusationem habituri sint, ut qui eam legis magisterio minime perceperint, ex sapienti viro Paulo discas licet, qui invisibilia Dei a creatura mundi per ea, quæ facta sunt, intellecta conspici testatur [66]. Quod si venia illi carent, quam tandem ii veniam habituri sunt, qui nunc in Deum peccant?

[65] Isa. I, 19. [66] Rom. I, 25.

ριῶν ὑποδείγματα δικαίως ἐπαχθέντα τοῖς πταίσμασι πρὸς διόρθωσιν ἡμῶν ἀνάγραπτα ἔθετο, ἵνα τῷ φόβῳ τῆς ἴσης κολάσεως φύγωμεν τὴν κοινωνίαν τῆς πράξεως. Εἰ τοίνυν δεδίττεται τὰ ἐπιτίμια, φυλαχθῇ (65) τὸ σέβας τοῖς δόγμασι.

ΥΞΗ'. — ΟΡΙΩΝΙ ΜΟΝΑΧΩ.

Περὶ πολιτείας μοναχῶν.

Οὐκ ἀρκεῖ πρὸς ἀρετὴν τὸ ἀσκεῖν, ἀλλὰ χρὴ καὶ μετριάζειν πρὸς τῷ ἀσκεῖν. Εἰ γὰρ ἀγῶνα πραότητος μετερχόμενοι, γνώμῃ τοῦτον ταραχώδει ἐγκόπτομεν, οὐδὲν ἕτερόν ἐστιν, ἢ θέλειν μὲν σωτηρίας τυχεῖν, μὴ θέλειν δὲ ποιεῖν τὰ πρὸς αὐτὴν συμβαλλόμενα.

ΥΞΘ'. — ΙΕΡΑΚΙ.

Ποῖα λέγει ἀγαθὰ τῆς γῆς ὁ προφήτης.

Ἀγαθὰ τῆς γῆς τὰ ἐνταῦθα λέγει καλὰ ἡ Γραφὴ, κατὰ μετουσίαν τῶν μελλόντων συνωνυμοῦντα· παιδαγωγοῦντος τὴν ἀσθένειαν ἡμῶν πανσόφως τοῦ Θεοῦ, καὶ διὰ τῶν αἰσθητῶν χειραγωγοῦντος πρὸς τὰ νοούμενα.

ΥΟ'. — ΘΕΟΔΩΡΩ ΣΧΟΛΑΣΤΙΚΩ.

Αὐτὸς μὲν ἐφύβριστον ἡγῇ πᾶσαν χειρόκμητον ἐργασίαν, βιωφελῆ τε ὑπάρχουσαν καὶ πρὸς τὸ ζῆν χρησιμεύουσαν. Ὁ Μιτυληναῖος δὲ Πιττακὸς, καίτοι βασιλεὺς ὤν, τὸν μύλωνα ἠὐτούργει, καὶ ἐνεργῶς γυμναζόμενος, καὶ τὴν τροφὴν ἐργαζόμενος.

ΥΟΑ'. — ΚΥΝΗΓΙΩ.

Περὶ οἰκετῶν.

Τοῖς οἰκέταις χρηστέον ὡς ἑαυτοῖς (66). Ἄνθρωποι γάρ εἰσι καθ' ἡμᾶς. Ἡ γὰρ πρόληψις, ἢ τύχη πολέμου, ἢ τυραννὶς ὅπλων, τούτους ἐποιήσατο κτήματα. Ἀλλ' οἱ πάντες ἓν ἐσμεν καὶ τῇ φύσει καὶ τῇ πίστει, καὶ τῇ μελλούσῃ κρίσει.

ΥΟΒ'. — ΘΕΩΝΙ.

Ὅτι μείζονα τοῖς οὖσι (f. τίσουσι) δίκην τῶν πάλαι ἁμαρτησάντων οἱ μετὰ τὴν χάριν τὸν Θεὸν παροργίζοντες.

Ὅτι οὔτε οἱ πρὸ νόμου τὴν τοῦ Θεοῦ παρωσάμενοι γνῶσιν, ἀπολογίαν ἕξουσιν, ὡς ταύτην νόμῳ μὴ διδαχθέντες, ὁ σοφὸς παιδεύει σε Παῦλος, τὰ ἀόρατα τοῦ Θεοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα (67) εἰρηκὼς καθορᾶσθαι. Εἰ δὲ ἐκεῖνοι ἀσύγγνωστοι, τίνα ἕξουσι συγγνώμην, οἱ νῦν εἰς Θεὸν ἁμαρτάνοντες;

VARIÆ LECTIONES ET NOTÆ.

(65) Pro φυλαχθῇ τὸ σέβας, etc, longe melius codd. Vat. 649 et Alt. legunt, φυλαχθήτω σέβας, etc. Possin.

(66) Servi quomodo sint tractandi vide et apud Plinium lib. III, epist. 14, et apud Leonem Magnum serm. 3 de Quadragesima. « In omnibus, inquit, hominibus naturæ deligenda est communio, quæ nos etiam iis benignos debet efficere qui nobis quacunque sunt conditione subjecti, » etc. Ritt.

(67) Pro νοούμα, vocabulo nihili, verum reponunt cod. Vatic. 649 et Alt. νοούμενα scribentes. Possin.

Digitized by Google

ΥΟΓ'. — ΠΑΛΛΑΔΙΩ ΔΙΑΚΟΝΩ.

Εἰς τὸ, « Καὶ ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς Μονογενοῦς. »

Εἰ ἐλαττώτεως τοῦ Υἱοῦ τοῦ Θεοῦ σημεῖον νομίζουσιν οἱ κακόσχολοι, τὸ τῷ εὐαγγελιστῇ περὶ αὐτοῦ εἰρημένον, « Δόξαν ὡς Μονογενοῦς παρὰ Πατρός, » ἐλαττοῦσθαι καὶ τὸν Θεὸν εἰς ἀγαθότητα, νομιζέτωσαν, τοῦ Δαβὶδ λέγοντος, « Ὡς ἀγαθὸς τῷ Ἰσραὴλ ὁ Θεός; » Εἰ δὲ ἐνταῦθα κατὰ ἐπίτασιν τὸ, Ὡς ἀγαθός, εἴρηται, κἀκεῖσε τὸ, ὡς *Μονογενοῦς*, κατὰ βεβαίωσιν καὶ ὁμοίωσιν γέγραπται.

ΥΟΔ'. — ΝΕΩΤΕΡΟΙΣ ΜΟΝΑΧΟΙΣ.

Περὶ τύφου.

Εἰ νομίμως ἀσκεῖτε, νηστεύοντες μὴ τυφοῦσθε· εἰ δὲ ἐπὶ τούτῳ αὐχεῖτε, μᾶλλον κρεωφαγεῖτε.

ΥΟΕ'. — ΠΑΥΛΩ ΔΙΑΚΟΝΩ.

Περὶ ἐλεημοσύνης.

Σίμωνα τὸν ἀγαπητὸν ἡ σισύρα συνίστησι γυμνόν, ἣν ἀμπέχεται. Καὶ ἐπειδὴ ἀπαίρει πρὸς Αἴγυπτον, σκεπάσματος δέεται. Ἐγὼ τοίνυν σοι τοῦτον συνιστῶ· ὁ δὲ νόμος τοῦ Βαπτιστοῦ, χιτῶνα παρὰ σοῦ ἀπαιτεῖ. « Ὁ ἔχων δύο χιτῶνας, μεταδότω τῷ μὴ ἔχοντι, » λέγων. Εἰ δὲ χρὴ καὶ ἐναλλάξαι διὰ περισσείαν τὴν ἀπόφασιν, ὁ ἔχων δεκαδύο χιτῶνας, μεταδότω τῷ μὴ ἔχοντι ἕνα.

ΥΟϚ'. — ΑΘΑΝΑΣΙΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Περὶ πίστεως.

Τὸ Πῶς, ἐπὶ Θεοῦ χώραν ἔχειν οὐ δύναται (67'), οὗ καὶ μόνη ἡ βούλησις ἔργον ἐστὶ παράδοξον.

ΥΟΖ'. — ΕΥΤΟΝΙΩ ΔΙΑΚΟΝΩ.

Εἰς τὸ « Οἱ ἐν *σαρκὶ ὄντες, Θεῷ ἀρέσαι οὐ δύνανται.* »

Τὸ τῆς σαρκὸς ὄνομα, διχῶς παρὰ τῇ θείᾳ εἴρηται *Γραφῇ*· *ποτὲ μὲν* κατὰ *τὴν φύσιν* αὐτὴν, ποτὲ δὲ *κατὰ τὸ φρόνημα* καὶ φθοράν. Καὶ τῆς μὲν ἀποδείξις, « Τὸ πνεῦμα σάρκα καὶ ὀστέα οὐκ ἔχει, καθώς με θεωρεῖτε ἔχοντα· » τῶν δὲ, ὅτι « Σὰρξ καὶ αἷμα βασιλείαν Θεοῦ κληρονομῆσαι οὐ δύναται (68). » Ὁ τοίνυν τὴν φθορὰν καὶ τὸ φρόνημα παιδαγωγῆσαι βουλόμενος, μαραίνει τὰ τῆς σαρκὸς ὑπεκκαύματα, καὶ ἀρέσκει Θεῷ ἔτι σαρκὶ συνεχόμενος, καὶ

A

CDLXXIII. — PALLADIO DIACONO.

In illud, « Et vidimus gloriam ejus, gloriam quasi Unigeniti [47]. »

Si Dei Filium hoc argumento imminui existimant homines male feriati, quod de eo ab evangelista dictum est, « Gloriam tanquam Unigeniti a Patre, » Dei quoque bonitatem propterea imminui existiment, quod David his verbis utatur : « Quam bonus Israel Deus his qui recto sunt corde [48] ! » Quod si hoc loco hæc verba, *Quam bonus*, per amplificationem dicta sunt : illic quoque hæc verba, *tanquam Unigeniti*, per confirmationem ac similitudinem scripta sunt.

B

CDLXXIV. — JUNIORIBUS MONACHIS.

De fastu.

Si monasticam vitam legitime colitis, jejunantes a fastu alienos vos præbete. Sin autem hoc nomine insolescitis, carnes potius edite.

120 CDLXXV. — PAULO DIACONO.

De eleemosyna.

Simonem, quem ego imprimis amo, ex caprinis pellibus contexta vestis, qua amictus est, nudum esse ostendit. Et quia in Ægyptum proficiscitur, indumento opus habet. Hunc igitur ego tibi commendo, et quidem Baptistæ lex tunicam abs te his verbis flagitat : « Qui habet duas tunicas, det non habenti [49]. » Quod si propter redundantem copiam hæc sententia immutanda est, qui duodecim tunicas habet, ei qui ne unam quidem habet, impertiat.

C

CDLXXVI. — ATHANASIO PRESBYTERO.

De fide.

Hæc vox, *Quomodo*, in Deo locum habere non potest, cujus vel sola voluntas opus est admirandum.

D

CDLXXVII. — EUTONIO DIACONO.

In illud, « Qui in carne sunt, Deo placere non possunt. »

Carnis vocabulum bifariam in Scriptura usurpatur. Quandoque enim de natura intelligitur, quandoque autem de affectu ac labe. Prioris significationis exemplum hoc est, « Spiritus carnem et ossa non habet, sicut me videtis habere [50] ; » posterioris, « Caro et sanguis regnum Dei hæreditate possidere non possunt [51]. » Quocirca is, qui labem et corruptelam, atque affectum coercere studet, carnis igniculos et incitamenta debilitat, Deoque, etiamnum

[47] Joan. I, 14. [48] Psal. LXXII, 1. [49] Luc. III, 11. [50] Luc. XXIV, 39. [51] I Cor. XV, 50.

VARIÆ LECTIONES ET NOTÆ.

(67') *Τὸ πῶς, ἐπὶ Θεοῦ χῶραν ἔχειν οὐ δύναται.* Imo etiam certum infidelitatis indicium est, de Deo quærere, Quomodo? Justinus Martyr in Expositione fidei : Σαφὴς ἔλεγχος ἀπιστίας, τὸ πῶς περὶ Θεοῦ λέγειν. Quid? quod etiam homo ethnicus hoc agnovit Pindarus, cum ait *Pythic.* X : Θεῶν τελεσάντων, τὸ δέον ποτε φαίνεται ἔμμεν ἄπιστον. Et antiquior ipso Linus :

Ῥᾴδια πάντα Θεῷ τελέσαι, καὶ ἀνήνυτον οὐ-
[δέν. Ritt.

(68) Post δύναται quædam omissa recte supplet cod. Alt. hæc adjungens : Καὶ οἱ ἐν σαρκὶ ὄντες, Θεῷ ἀρέσκειν οὐ δύνανται. Citarat nimirum et alium Pauli locum ex Ep. ad Rom. cap. VIII, v. 8, ubi σὰρξ in eadem notione ponitur. Possin.

Digitized by Google

corporis vinculis constrictus, placet, atque cum A corpore, tanquam a corporea mole secretus, regni ipsius hæreditatem consequitur.

κληρονομεῖ τὴν αὐτοῦ βασιλείαν μετὰ σώματος ὡς ἀσώματος.

CDLXXVIII. — ISIDORO.

Quod Dominus carnalem ortum ex Davidis semine habuerit, et Matthæus, et Paulus, et David, divini viri, apertis verbis pronuntiant. Ille, cum scribit, « Liber generationis Jesu Christi filii David [52]. » Alter, cum perspicue asserit quod Dominus noster secundum carnem ex Juda ortus sit [53]. Postremus denique, cum ait : « Semel juravi in sancto meo, si David mentiar, semen ejus in æternum manebit. Et thronus ejus sicut sol in conspectu meo : et testis in cœlo fidelis [54]. » Quibus nimirum verbis Domini nostri cum carne in cœlum ascensum designat, sempiterna futura, utpote Deo Verbo ita copulata, ut jam nulla ratione divelli queat.

ΥΟΗ'. — ΙΣΙΔΩΡΩ.

Ὅτι ἐκ σπέρματος Δαβὶδ τὴν κατὰ σάρκα γένεσιν ἔσχεν ὁ Κύριος, καὶ Ματθαῖος καὶ Παῦλος καὶ Δαβὶδ, οἱ θεσπέσιοι, σαφῶς ἀποφαίνονται· ὁ μὲν, γράφων, « Βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ υἱοῦ Δαβὶδ· » ὁ δὲ πρόδηλον, ὡς ἐξ Ἰούδα ἀνατέταλκεν ὁ Κύριος ἡμῶν τὸ κατὰ σάρκα· ὁ δὲ Δαβὶδ, « Ἅπαξ ὤμοσα ἐν τῷ ἁγίῳ μου, εἰ τῷ Δαβὶδ ψεύσομαι, τὸ σπέρμα αὐτοῦ εἰς τὸν αἰῶνα μένει, καὶ ὁ θρόνος αὐτοῦ ὡς ἥλιος ἐναντίον μου· καὶ ὁ μάρτυς ἐν οὐρανῷ πιστός· » τὴν μετὰ σαρκὸς (69) διὰ τούτων σημαίνων τοῦ Κυρίου ἀνάληψιν ἐν οὐρανῷ, ἀϊδίου ἐσομένης, ὡς ἀδιαιρέτως λοιπὸν τῷ Θεῷ Λόγῳ ἡνωμένης.

CDLXXIX. — CYRECIO.

Quemadmodum vinum, cum ultra satietatem infunditur, omnes sensuum meatus, ac cerebri membranas implet, mentemque in dementiam convertit : ad eumdem modum iracundia extra metas suas prosiliens, mentem temulentam reddit, eam videlicet furore afficiens, ac sobrietatis et vigilantiæ ordinem per contumeliam et petulantiam infringens. Quapropter ab utroque abstineamus : nec per potum aut iracundiam mentis arcem obsideamus.

ΥΟΘ'. — ΚΥΡΗΚΙΩ (70).

Ὥσπερ ὁ οἶνος ὑπερκορὴς ἐγχεόμενος, τοὺς τῆς αἰσθήσεως ἅπαντας καὶ πόρους καὶ αὐλοὺς καὶ μήνιγγας πληροῖ, καὶ τρέπει πρὸς ἄνοιαν τὴν διάνοιαν· οὕτω καὶ [ὁ] θυμὸς ἔξω τῆς οἰκείας τάξεως πηδῶν, μέθης ἔργον ἀποφαίνει τὸν νοῦν, μαινάδα τὴν φρένα ποιῶν, καὶ λύων παροινίᾳ τὴν τάξιν τῆς νήψεως. Ἀμφοτέρων τοιγαροῦν ἀποσχώμεθα, οὔτε ποτῷ οὔτε θυμῷ πολιορκοῦντες τοῦ νοὸς τὴν ἀκρόπολιν.

121 CDLXXX. — CANDIDIANO.

Quid eum injuria afficere studes, quem potius charum habere debebas, ut qui tibi, quæ de te omnium existimatio ac sententia esset, aperuerit? Simultates enim ac dissidia homines acutos ac solerti ingenio prædítos persæpe correxerunt, dum ut quæ ab iis contumeliose perpetrata fuerant, sanarentur, effecerunt. Quocirca si contumeliæ ducis ea quæ audiisti, cura ut per probas actiones teipsum ab omni contumelia purum atque immunem custodias. Nam si opera emendaveris, maledicta quoque et convicia de medio tollentur.

ΥΠ'. — ΚΑΝΔΙΔΙΑΝΩ.

Τί σπεύδεις ἀδικεῖν, ὃν ἔδει μᾶλλον φιλεῖν, τὴν πάντων περὶ σοῦ γνώμην σοι φανερώσαντα (71); Αἱ γὰρ διαφοραὶ πολλάκις διωρθώσαντο τοὺς ἀγχίνους (72), τὰ πραχθέντα ὑβριστικῶς ἰαθῆναι παρασκευάσασαι. Εἰ τοίνυν ὕβρει ἠγῇ ἅπερ ἤκουσας, τῇ πράξει σαυτὸν ἀνύβριστον φύλαξον. Εἰ γὰρ τὰ ἔργα σου βελτιώσειας, καὶ [αἱ] λοιδορίαι οἰχήσονται.

CDLXXXI. — HIERONI.

Si ex libri lectione fructum aliquem percepisti, reipsa id ostende. Si autem in iis rebus atque institutis permanes, quæ ille reprehendit et insectatur, cum abs te condemnari apparet. Ac posthac nec per D litteras sermonem ullum tecum conferemus, nec librum postulanti præbebimus, nisi prioris quoque fructum et utilitatem perspiciamus.

ΥΠΑ'. — ΙΕΡΩΝΙ.

Εἴ σέ τι ὤνησεν ἡ τῆς βίβλου ἀνάγνωσις, δεῖξον ἐπὶ τῆς πράξεως. Εἰ δὲ μένεις ἐφ' ὧν ἐκείνη κατηγορεῖ, φαίνῃ καταγινώσκων αὐτῆς. Καὶ πάντως ἐπὶ τούτοις ἡμεῖς οὔτε φθεγξόμεθά τι πρὸς σὲ διὰ γράμματος, οὔτε βιβλίον αἰτοῦντι παράσχωμεν, εἰ μὴ καὶ τῆς προτέρας καρπὸν θεασώμεθα.

CDLXXXII. — ESAIÆ.

Aiunt nonnulli te in deserto loco inconditam tur-

ΥΠΒ'. — ΗΣΑΙΑ.

Τινές σέ φασιν ἐπ' ἐρημίας ὀχλαγωγεῖν, καὶ ἐν

[52] Matth. I, 1. [53] Hebr. VII, 14. [54] Psal. LXXXVIII, 36, 38.

VARIÆ LECTIONES ET NOTÆ.

(69) Post σαρκὸς recte supplent δὲ codd. Vat. 649 et Alt. Possin.

(70) Non Κυρηκίῳ sed Κυρηνίῳ, *Cyrenio*, hæc epistola inscribitur in codd. Vat. et Alt. Ip.

(71) Confer Plutarchi lib. *De utilitate ex inimicis capienda*, et Chrysostomum in I ad Thess. Ritt.

(72) Pro τοὺς ἀγχίνους, quod videtur recte positum, monstrum quoddam lectionis suggerit cod. Alt. quod hic edam, si forte acutiori lectori fundamentum aliquid argute conjectandi queat esse. Habet igitur, τοὺς ἀγχίνους χιόνας. Possin.

Digitized by Google

μέσῳ δήμων ὁπλοφορεῖν, καὶ τῷ Δαβὶδ ἐοικέναι A bam ducere, atque in medio vulgi agmine arma
φαντάζεσθαι, αὐτὸ τοῦτο πᾶσιν ἐμμανῶς ἐγκαλοῦντα. ferre, in eoque te Davidis exemplum referre opinio-
Ἴσθι δὲ, σχέτλιε καὶ ἐμβρόντητε, ὅτι ὁ μέγας Δαβὶδ nis errore tibi fingere, hoc ipsum cunctis furiose ob-
εἰκονομίᾳ Θεοῦ σκεπαζόμενος, τὴν τοῦ Σαοὺλ ἐπι- jicientem. Velim autem scias, o miser atque aito-
βουλὴν διεδίδρασκεν, εὐεργετῶν μὲν, ἀθετούμενος δὲ, nite, quod magnus ille David, divini consilii præsidio
καὶ ὡς τεῖχος τοῖς γειτονοῦσιν αὐτῷ καὶ φαινό- septus, insidias Saulis vitabat, præclare quidem me-
μενος καὶ γινόμενος, ὡς οἱ παῖδες ἐμαρτύρουν τοῦ rens, ipse autem spretus ac rejectus[55], atque iis,
Ναβάλ. Σὺ δὲ οὐ μόνον τοῖς γείτοσι δυσμενὴς εἶ καὶ quos vicinos habebat, pro muro sese præbens, quem-
ἀπάνθρωπος, ἀλλὰ καὶ τοῖς πόρρω ἐπιβουλεύειν admodum ipsi quoque servi Nabal testabantur[56].
σπουδάζεις. Ὅρα οὖν μή [σέ] τις θεήλατος διορθώ- At tu non modo vicinis infestus et inhumanus es,
σηται μάστιξ, εἰ μὴ μεταβάλοιο τῆς φαύλης καὶ verum iis etiam, qui longe abs te dissiti sunt, insi-
κακίστης σου γνώμης. dias struere laboras. Vide igitur ne te divinitus
immissum quoddam flagrum castiget, nisi tu a prava et scelerata tua sententia ad meliorem mentem te
convertas.

ΥΠΓ'. — ΣΥΝΕΣΙΩ. B

Περὶ Καππαδοκῶν.

Πάλιν ὁ Καππαδόκης ἐπὶ στρατοπέδου, ὡς ἔγνωμεν, τὴν ἀρχὴν ἑαυτῷ τὴν ἀθλίαν μνηστεύεται, ἵνα δίδυ-μος ἡμῖν ἐπισπῇ Καππαδόκης, πρὸς τῇ ἐνοίκῳ μισανθρωπίᾳ καὶ τὴν κακὴν προσλαβὼν δυναστείαν. Εἰσὶ δὲ μᾶλλον [οἱ] τὰ χρηστὰ ἐπαγγέλλοντες, ὅτι δὴ τῶν οἰκείων συμφυλετῶν ἄρξαι ἱμείρεται. Ὧ καὶ [εἰ] θεὸς ἐπινεύσειεν, ὡς ἂν πρέποντα τροφεῖα τῇ πικρᾷ ἀποδώῃ ἀνθ' οὗ ἔσπασε γάλακτος, ἰὸν αὐτὴν ἀντιπατέζων, ὃν ἴσως σὺν τῷ γάλακτι ἔσπασε.

CDLXXXIII. — SYNESIO.

De Cappadocibus.

Cappadox rursum in castris, ut quorumdam sermone intellexi, miserum provinciæ nostræ imperium ambit, ut geminus ad nos Cappadox accedat, adjuncta nimirum ad nativam et internam crudelitatem improba auctoritate ac potentia. Sunt autem rursum, qui lætiora nuntient, hoc est, eum popularium suorum imperium et præfecturam affectare. Quod utinam Deus nutu suo concedat: quo congruam educationis suæ mercedem nutrici suæ
pensolvat, pro eo lacte, quod ab ea suxit, venenum, quod fortasse una cum lacte traxit, ei vicissim bilem dum porrigens.

ΥΠΔ'. — ΣΕΛΕΥΚΩ. C

Ὁ ῥυπορεὺς τῶν πολιτῶν ἡμῶν Καππαδόκης (73) νῦν ἐπὶ στρατοπέδου πάλιν ἑαυτῷ τὴν ἀρχὴν ἐκδικεῖ. Σὸν τοίνυν ἐστὶ τοῦ ἔχοντος παρὰ Θεοῦ τὴν ἰσχὺν, τοῦτο κωλύσαι, καὶ τῆς προτέρας αὐτὸν εὐδίνας εἰσπράξασθαι κακίας. Εἰς ἐκείνην δὲ λιμάξαι τὴν ἐνεγκοῦσαν αὐτὸν ἐσχατιὰν, ὡς ἂν μάθοιεν οἱ τοῦ ἀνδραπόδου ὁμόφυλοι ἐν αὐτοῖς τὴν πανοῦργον ἐντίκτειν, καὶ μὴ πέραν τῆς [ἑαυτῶν] ἐξορμῶντες, τὰς ὑγιαινούσας αἰσθήσεις καὶ χώρας τοῖς λοιμικοῖς τρόποις αὐτῶν διαφθείρειν.

CDLXXXIV. — SELEUCO.

Cappadox ille, civium nostrorum corruptor ac depravator, nunc in castris id rursum agit ac molitur, ut nobis præsit. Est igitur tui muneris (qui robur a Deo consecutus es) hoc prohibere, ac prioris etiam improbitatis pœnas **122** ab eo expetere: aut certe extremi illius terræ recessus, ex quo ortum traxit, cribrandi ac pervastandi potestatem ipsi potius facere: quo mancipii illius tribules, et populares improbitatem in seipsis consumere atque extabefacere condiscant, ac non ultra regionem suam eam evo-
mentes, sanas mentes et regiones pestiferis suis moribus labefactare.

ΥΠΕ'. — ΙΣΙΔΩΡΩ. D

Περὶ τῶν αὐτῶν.

Καρχηδονίους νόμος κωλύει διέπειν ἀρχὴν, ἧττονας κακούς. Καππαδόκας δὲ τοὺς μεγάλους πονηρούς, οὐκ εἴργει νόμος ἀρχῆς. Ἐπειδὴ τοίνυν καὶ βούλει πάντας εὐεργετεῖν, καὶ σύνδρομον ἔχεις τῇ βουλήσει τὴν δύναμιν, ἢ τὸν νόμον ἀντάλλαξον, μᾶλλον Καππαδόκας Καρχηδονίων κωλύων, ἢ σύναψον [καὶ] τούτους ἐκείνοις. Εἰ δὲ, ὡς εἰκὸς, χρήμασι τὰς ἀρχὰς ἐξωνοῦνται, ἃς καὶ βάρβαρός τις ὠνούμενος, οὐ κωλύεται μόνον, εἰ τὰ χρήματα δίδῳ, ἀλλὰ

CDLXXXV. — ISIDORO.

De iisdem.

Carthaginienses, homines minus malos, lex magistratum gerere prohibet. Cappadoces autem, quorum ingens est improbitas, nulla lex ab imperio ac præfectura removet. Quoniam igitur et de omnibus bene mereri cupis, et parem cupiditati potentiam habes, aut legem immuta, Cappadoces potius quam Carthaginienses a gerendo imperio arcens, aut cum his illos quoque copula. Quod si, ut vero consentaneum est, pecuniis imperia emercantur (quæ bar-

[55] I Reg. xxii, xxiii, xxiv. [56] I Reg. xxv, 16 seqq.

VARIÆ LECTIONES ET NOTÆ.

(73) Recte ponit editor asteriscum hiatus in lacunam post vocem Καππαδόκης hunc explet cod. Alt. sic continuans: Ὁ ἀρξάμενος ὡς Καππαδόκης νῦν ἐπὶ στρατοπέδου, etc. Possin.

Digitized by Google

barus etiam quispiam emens, non modo prohibetur, sed etiam gravissimo supplicio multatur, si pecunias dederit), at sic quoque Cappadocibus duntaxat imperent, qui hoc merentur, ut suis viuciantur catenis.

A κἂν οὕτως ἀρχέτωσαν μόνων τῶν Καππαδοκῶν, ἀξίων ὄντων ταῖς οἰκείαις δεδέσθαι κατήναις.

CDLXXXVI. — FLORENTIO.

De eodem.

Gigantium istic habes, domine, qui ea, quæ prius egit, incognita atque obscura esse putat, rursumque imperium ac præfecturam adipisci meditatur. Quoniam igitur plurimis incommodis atque calamitatibus nos hic affecit (quo nomine in eum a vestra integritate animadverti oportet), prolixa vero oratione ad ipsius facinora cognoscenda minime indigetis, utpote multis curis undique obsessi, hoc habete : Cappadox est, ut Cappadox imperium gessit. Quare Cappadoce amplius a vobis haud quidquam obtineat.

ΥΠϚ'. — ΦΛΩΡΕΝΤΙΩ.

Περὶ αὐτοῦ.

Ἔχεις αὐτόθι Γιγάντιον, δέσποτα, οἰόμενον λελῆθέναι τὰ πρότερα, καὶ αὖθις περιθήσειν ἑαυτῷ τὴν ἀρχὴν βουλευόμενον. Ἐπειδὴ τοίνυν πολλῶν τὰ ἐνταῦθα δεινῶν ἐν πείρᾳ κατέστησεν, ἐφ' οἷς τῆς ὑμετέρας δεῖται εἰς διόρθωσιν καθαρότητος, μακρῶν δὲ λόγων εἰς γνῶσιν τῶν κατ' αὐτὸν οὐ χρῄζετε, ὡς πολλαῖς φροντίσι κυκλούμενοι. Καππαδόκης ἐστὶν, B ἦρξεν ὡς Καππαδόκης. Καππαδόκου παρ' ὑμῖν μηδὲν πλέον ἐχέτω.

CDLXXXVII. — ARCHONTIO.

De eodem.

Impius Gigantius, qui adversus miseros agricolas calumniam struxit, tanquam videlicet vectigalia quædam ac tributa subripuissent, quique Augusti censum ac descriptionem auxit, etsi alioqui ipsis gravissimam et acerbissimam, postcaquam jam pridem imperatorem adduxit, ut sibi tanquam vera loquenti, animum adjiceret, iisque qui in vicis et pagis habitant, calamitatum causam præbuit, in Thraciam se confert, ea mente ac studio, ut imperium rursus consequatur. Non es autem nescius quantam hominum multitudinem descriptione sua in fugam conjecerit, qui nimirum patriam libertatem ligone atque aratro commutarunt. Quapropter tibi velim curæ sit, ne ille imperium rursus arripiat, atque omnes Cappadoces efficiat : quibus victus ratio non aliunde quam ex servitute atque agricultura constat.

ΥΠΖ'. — ΑΡΧΟΝΤΙΩ.

Περὶ αὐτοῦ.

Ὁ δυσσεβὴς Γιγάντιος, ὁ εὐπρόσωπον συκοφαντίαν ἐνθεὶς κατὰ τῶν ἀθλίων γεωργῶν, τελῶν καὶ φόρων τινῶν κλοπὴν, καὶ τὴν Αὐγούστου βαρύνας ἀπογραφὴν, καίτοι βαρυτάτην αὐτοῖς ὑπάρχουσαν· πάλαι πείσας προσχεῖν αὐτῷ ὡς ἀληθεύοντι τὸν κρατοῦντα, καὶ συμφορῶν αἴτιος γεγονὼς τοῖς κωμήταις, εἰς Θρᾴκην ἥκει αὖθις, τὴν ἀρχὴν περιθέσθαι ζητῶν. Οἶσθα δὲ ὅσους εἰς φυγὴν ἐσκέδασεν C ἀπογράφων, ὅσοι τῆς πατρῴας ἐλευθερίας, τὸ σκαπάνην κρατεῖν, καὶ σμινύην ἠλλάξαντο. Καὶ φρόντισον, μὴ λάθηται πάλιν ἡγεμονίας, καὶ πάντας ἐργάσηται Καππαδόκας, οἷς ὁ βίος οὐκ ἄλλοθεν ἢ ἐκ δουλείας καὶ γεηπονίας συνίσταται.

CDLXXXVIII. — THEODORO SCHOLASTICO.

Ad discipulos.

Quisquis et stirpes serit et agrum colit, spe meliore suos labores sustentat : fructuum videlicet **123** exspectatione laborum molestiam suffurante. Ad eumdem modum in Christianæ fidei præceptis tibi tradendis a nobis elaboratum est. D Fac igitur ipse pullulantem agriculturam ostendas.

ΥΠΗ'. — ΘΕΟΔΩΡῼ ΣΧΟΛΑΣΤΙΚῼ.

Πρὸς μαθητευομένους.

Ἅπας καὶ φυτουργὸς καὶ γηπόνος ἐλπίδι κρείττονι ἀνέχεται τῶν πόνων (74), ὑφαιρουμένης τοὺς κόπους τῆς τῶν καρπῶν προσδοκίας. Οὕτως ἡμεῖς κατηχοῦντες κεκμήκαμεν. Δεῖξον αὐτὸς τὴν γεωργίαν βλαστήσασαν.

CDLXXXIX.—RUFINO, PRÆTORII PRÆFECTO.

De eodem.

Ægyptios quidem ob crudelitatem ac morum immanitatem lex ab imperio et præfectura arcet : Cappadoces autem, qui eos improbitate superant, non item. Quoniam igitur nos, Cappadocem præfectum nacti, nationis ad struendas calumnias propensæ periculum frequens fecimus, vos autem im-

ΥΠΘ'. — ΡΟΥΦΙΝῼ, ΕΠΑΡΧῼ ΠΡΑΙΤΩΡΙΩΝ.

Περὶ αὐτοῦ.

Αἰγυπτίους μὲν δι' ἀπήνειαν νόμος εἴργει ἀρχῆς, Καππαδόκας δὲ τοὺς χείρους ἐκείνων, οὐκ ἔτι. Ἐπειδὴ τοίνυν ἡμεῖς μὲν ἄρχοντι Καππαδόκῃ χρησάμενοι, πολλὴν πεῖραν τοῦ διαβόλου (75) ἔθνους ἐσχήκαμεν. ὑμεῖς δὲ τὴν βασιλέως γνώμην πρὸς ὃ βούλεσθε ἔχετε, ἐνώσατε Αἰγυπτίους καὶ τούτους, μήποτε καὶ

VARIÆ LECTIONES ET NOTÆ.

(74) Cod. Vat. 649 pro τῶν πόνων habet τῶν καρπῶν, vestigium exhibens veræ lectionis quæ videtur hæc, esset ἐλπίδι κρείττονι τῶν καρπῶν ἀνέχεται τῶν πόνων. Id.

(75) Pro διαβόλου longe melius cod. Alt. legit ἰοβόλου. Possin.

Digitized by Google

ἄλλης ἄρξῃ χώρας Καππαδόκης, εἰ μὴ μόνης τῆς A οἰκείας, ὡς πρέπει ὑπ' ἀλλήλων αὐτοὺς τὴν πάτριον πτίζεσθαι πικρίαν.

peratoris voluntatem, quibus in rebus vultis, habetis, hos quoque illis copulate, ut ne cuiquam alii regioni Cappadox præsit, quam suæ. Consentaneum enim profecto est, eos patria acerbitate mutuo a sese irrigari ac perfundi.

ΥΛ'. — ΚΑΤΙΛΛΙΑΝΩ.

Ἐκοινώνησας μὲν καὶ αὐτὸς, ὦ ἱερὰ κεφαλὴ, τοῦ Καππαδόκου λοιμοῦ, ἡνίκα ὤφκεις τὴν πόλιν· καὶ οὐκ ἔλαθες τοὺς ματαίους καὶ φρικτοὺς τοῦ ἀκαθάρτου στόματος ὅρκους, μετὰ μελιχροῦ καὶ συχνοῦ, Προσκυνῶ σε· τὰς πρὸς ἕκαστον ἰδίᾳ κατὰ πάντων καταλαλιὰς, τὰς δυστρόπους καὶ ἱεροσύλους λῃστείας, τὴν νέαν ἀπογραφὴν, τὴν κατὰ Θεοῦ καὶ πτωχῶν ἐπιχερῆ σπουδὴν, τὰς τῶν συνοικεσίων ἐπιβουλὰς, τὰς τῶν μνημάτων διορυγὰς, τὰ δεσμὰ οἷς καθείρχθη, B τὰ ἀμοιβαίους εἱρκτὰς, ἃς ἐπὶ στρατόπεδον ἑλκόμενος ὥκτισε, τὴν ἐκεῖσε βάσανόν τε καὶ γύμνωσιν, ἣν παρὰ Θεοῦ ὑπέμεινε πρὸς διόρθωσιν. Ἀλλ' ἐπειδὴ πάντων ἐκείνων ἐπιλαθόμενος, πάλιν ἄρξαι ἱμείρεται, ὡς μανθάνομεν, μὴ ἐνδώσεις, κωλύων ὅση σοι δύναμίς ἐστι. Σαυτῷ τε γὰρ καὶ πόλει καὶ αὐτῷ ἐκείνῳ χαρεῖ· σαυτῷ τὴν δόξαν, τῇ πόλει τὴν ἡσυχίαν, ἐκείνῳ τὸ μὴ πολλὰ ἁμαρτεῖν, καὶ πλείονα πάλιν παθεῖν

CDXC. — CATILLIANO.

Particeps tu quoque, o sacrum caput, contumeliarum Cappadocis fuisti, cum in hac urbe domicilium haberes, atque vana et horrenda impuri ac scelesti oris juramenta cum mellito et frequenti, Adoro te, cognovisti, obtrectationes quibus et privatim adversus singulos, et publice adversus omnes usus est, nefaria et sacrilega latrocinia, novam descriptionem, quæstuosum adversus Deum et pauperes studium, comparatas matrimoniis insidias, sepulcrorum effossiones, vincula in quæ conjectus est, ea item quibus cum ad castra traheretur, astrictus est, cruciatum eum ac nuditatem quam illic divinitus, ut ad meliorem mentem rediret, sustinuit. Quoniam autem harum omnium rerum oblivione captus, præfectura rursum, ut ad nos allatum est, affectat, ne id, quæso, permittas : verum omnibus viribus prohibe. Sic enim et tibi, et urbi, et illi ipsi commodabis, tibi nimirum gloriam, urbi quietem, illi ne multa peccet, ac pluribus rursum suppliciis afficiatur.

ΥΛΑ'. — ΕΥΤΟΝΙΩ ΔΙΑΚΟΝΩ.

Περὶ τοῦ ἐπιτεθέντος τῷ σταυρῷ τοῦ Δεσπότου τίτλου.

Ἡ τῆς σανίδος (76) γραφὴ, ἣν Πιλᾶτος πρὸ τῆς Κυριακῆς ἔπηξε κεφαλῆς, τὴν τοῦ Κυρίου ἐπλήρου φωνὴν, « Ἐπειδὰν ὑψωθῶ, λέγοντος, πάντας ἑλκύσω πρὸς ἐμαυτόν. » Ἐδήλου τοίνυν ἡ ἐκεῖθεν ἀνάγνωσις, οὐχ ὑπὲρ Ἰουδαίας μόνης, ἀλλὰ καὶ πάσης Ἕλληνος καὶ βαρβάρου γεγενῆσθαι τὸ σωτήριον πάθος.

CDXCI. — EUTONIO DIACONO.

De titulo cruci Domini imposito [87].

C Tabellæ illius scriptura, quam Pilatus supra Dominicum caput fixit, hanc Domini vocem explebat, « Cum exaltatus fuero, omnia traham ad me ipsum [88]. » Itaque lectio ea hoc indicabat, salutiferam passionem non pro Judæa duntaxat, verum etiam pro omnibus tam Græcis quam barbaris nationibus exstitisse.

ΥΛΒ'. — ΕΥΣΕΒΙΩ ΕΠΙΣΚΟΠΩ.

Ἴσθι, θαυμάσιε, ὡς ἡ κρίσις ἀνέλεος τῷ μὴ ποιήσαντι ἔλεος, οὐκ ἐκ τῶν ἀλλοτρίων μόνον δωρεῶν, ὧν αὐτὸς τοὺς πτωχοὺς ἀποστερεῖς, ἀλλὰ καὶ ἐκ τῶν οἰκείων, ὧν ἑκουσίως τὴν μετάδοσιν ποιεῖσθαι χρεωστεῖς.

CDXCII. — EUSEBIO EPISCOPO.

Velim hoc scias, vir eximie, judicium misericordiæ expers huic fore, qui misericordiam non fecerit [89], non ex alienis duntaxat muneribus ac beneficiis, quibus tu pauperes spolias, verum etiam ex propriis, quæ tu ultro ac sponte cum aliis communicare teneris.

ΥΛΓ'. — ΚΥΡΗΝΙΩ.

« Τί ὑπερηφανεύεται γῆ καὶ σποδός; » τί νεανιεύεται φθορά; τί μέγα φρονεῖ καὶ ὑπεραίρεται σκιά; Τί σε ζωῆς ἄνειρος ἀρχῆς; Πῶς οὐχ ὁρᾷς τοὺς καταλύοντας αἰσχρῶς; Πῶς οὐ ζηλοῖς τοὺς διατρέψαντας (77-78) χρηστῶς; Ἀλλὰ βραχυτελῆ ἡγεμονίαν, ὡς ἀτελεύτητον νομίζεις ἐξουσίαν, ἐφ' ᾗ ὁ τοῦ χρόνου σε κύκλος θεραπεύσει στρεφόμενος, πρὸς τέλος ὠθῶν τὴν ἀρχήν σου, καὶ τέλος ἐπιτιθεὶς τῷ βρασμῷ σου.

CDXCIII. — CYRENIO.

D **124** « Quid superbit terra et cinis [90] ? » Quid insolenter se gerit labes et corruptela? Quid magnifice de se sentit ac se effert umbra? Quin te imperii ac præfecturæ insomnium inflat? Quin tu eos cernis qui turpiter ac fœde diem vitæ extremum claudunt? Quin tu eorum æmulum te præbes, qui probe atque insigniter vixerunt? Verum brevem principatum tanquam sempiternam potentiam arbitraris : ob'

[87] Joan. XIX, 19. [88] Joan. XII, 32. [89] Jac. II, 13. [90] Eccli. X, 9.

VARIÆ LECTIONES ET NOTÆ.

(76) E reg. τῆς σανίδος. cod. Alt. in margine ponit, Ἀλλ' ὡς τοῦ λευκώματος. Possin.

(77-78) Pro διατρέψαντας codd. Vat. 649 et Alt. legunt διαπρέψαντας. Id.

Digitized by Google

quam temporis orbis conversus te curabit, præfecturam tuam ad finem impellens, atque æstui tuo terminum imponens.

CDXCIV. — TIMOTHEO LECTORI.

De igneis linguis.

Quemadmodum legis primordia terrorem requirebant, qui auditores ad mandatorum observationem converteret, ac Deus e medio igne oracula edebat [61] : sic etiam post Domini et Salvatoris nostri resurrectionem, Spiritus sanctus apostolis in igne donabatur, vehementi flatu præeunte [62] : ut unus Deus in utroque Testamento cognosceretur, etiamsi alioqui inter prius ac posterius ingens sit discrimen. Illud enim typicis præceptis utebatur; hoc autem veris rebus ac doctrinis emicuit.

CDXCV. — SYNODIO.

De vino et ebrietate.

Vinum ad corporis necessarium usum modice haustum hominis pectus exhilarat [63] : quod autem ultra mediocritatem adhibetur, petulans et contumeliosum atque intemperans vocatur. Intemperans enim, inquit, res est vinum : et contumeliosa res, ebrietas [64]. Ac rursum : « Nolite inebriari vino, in quo est luxuria, » inquit sacra Scriptura [65]. Atque ipsa quoque natura, per immoderationem turbata et agitata, lasciviæ magistra efficitur.

CDXCVI. — CONSTANTINO.

Non est, heus tu, non, inquam, est secundum scientiam zelus tuus [66] : neque Domini injurias ex ipsius legibus, quemadmodum affirmas, ulcisceris, dum ex Ecclesiæ cœtu quosdam ejicis. Nam ille rerum divinarum caupones abigebat, qui ex templo forum efficiebant. At tu eos qui divinum Numen pie ac sancte colunt, furiose insectaris, confusionem quamdam et permistionem, ac Dei Verbi in carnem conversionem docens, aut divinam naturam in carnem et ossa immutans, aut carnis veritatem rejiciens. Quare non Dominum imitaris, sed templi ducem apostolos persequentem, ac piam doctrinam prædicare prohibentem.

125 CDXCVII. — CYRILLO.

In illud, « *Lapidem quem reprobaverunt ædificantes* [67]. »

Quemadmodum angularis quidam lapis duorum parietum vinculum esse invenitur ad arctissimam ac firmissimam conjunctionem eos inter se devinciens : eodem modo Domini nostri incarnatio, duobus orbis populis inter se copulatis atque in unum corpus

ΥΛΔ'. — ΤΙΜΟΘΕΩ ΑΝΑΓΝΩΣΤΗ.

Τῶν πράξεων. Περὶ πυρίνων γλωσσῶν.

Ὃν τρόπον τὰ τοῦ νόμου προοίμια φόβου ἐδεῖτο, πρὸς φυλακὴν τῶν ἐντολῶν ἐπιστρέφοντος τοὺς ἀκούοντας, καὶ ἐκ μέσου τοῦ πυρὸς ὁ Θεὸς ἐχρημάτιζεν· οὕτω καὶ μετὰ τὴν τοῦ Δεσπότου καὶ Σωτῆρος ἡμῶν ἀνάστασιν, ἐν πυρὶ τὸ Πνεῦμα τὸ ἅγιον τοῖς ἀποστόλοις ἐδίδοτο, βιαίας πνοῆς προηγουμένης, ἵνα εἷς Θεὸς ἐν ἀμφοτέραις ταῖς Διαθήκαις γνωσθῇ, εἰ καὶ πολὺ τῆς δευτέρας τὸ πρὸς τὴν προτέραν διάφορον. Ἡ μὲν γὰρ τυπικοῖς ἐχρῆτο προστάγμασιν, ἡ δὲ τοῖς ἀληθέσιν ἔλαμψε πράγμασί τε καὶ δόγμασιν.

ΥΛΕ'. — ΣΥΝΟΔΙΩ.

Περὶ οἴνου καὶ μέθης.

Οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου, ὁ μετρίως πινόμενος πρὸς τὴν χρείαν τοῦ σώματος· ὁ δὲ ταύτης ἐπέκεινα, ἄσωτος καὶ ὑβριστὴς καὶ ἀκόλαστος κέκληται. Ἀκόλαστον γὰρ οἶνος, καὶ ὑβριστικὸν μέθη. Καί, « Μὴ μεθύσκεσθε οἴνῳ, ἐν ᾧ ἐστιν ἀσωτία, » φησὶν ἡ θεία Γραφή. Καὶ αὐτὴ δὲ ἡ φύσις ὀχλουμένη (79) τῇ ἀμετρίᾳ, διδάσκαλος γίνεται εὐεξίας.

ΥΛϚ'. — ΚΩΝΣΤΑΝΤΙΩ (80).

Οὐκ ἔστιν, ὦ τᾶν, οὐκ ἔστιν ὁ ζῆλός σου κατ' ἐπίγνωσιν, οὔτε, ὡς φῄς, τῷ Κυρίῳ ἐκ τῶν αὐτοῦ νόμων ἀμύνεις, τῆς Ἐκκλησίας τινὰς ἐξελαύνων. Ὁ μὲν γὰρ τοὺς θεοκαπήλους ἀπήλαυνε, τοὺς ἐμπόριον τὸ ἀνάκτορον δείξαντας. Σὺ δὲ τοὺς τὸ Θεῖον εὐσεβῶς πρεσβεύοντας διώκεις ἐμμανῶς, σύγχυσίν τινα καὶ ἀνάκρασιν, καὶ τροπὴν τὴν εἰς σάρκα τοῦ Θεοῦ Λόγου κατηχῶν, ἢ ἀλλοιῶν τὴν θείαν φύσιν εἰς σάρκα καὶ ὀστέα, ἢ τὴν ἀλήθειαν τῆς σαρκὸς ἀθετῶν. Οὐ τοίνυν τὸν Κύριον μιμῇ, ἀλλὰ τὸν στρατηγὸν τοῦ ἱεροῦ, τοὺς ἀποστόλους διώκοντα, καὶ κηρύσσειν τὴν εὐσέβειαν κωλύοντα.

ΥΛΖ'. — ΚΥΡΙΛΛΩ.

Εἰς τὸ, « *Λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες.* »

Ὃν τρόπον δύο σύνδεσμος τοίχων γωνιαῖός τις εὑρίσκεται λίθος, πρὸς ἀδιαίρετον ἕνωσιν, ἑκατέρους συνδέων· οὕτω τοὺς δύο τῆς οἰκουμένης λαοὺς (81) ἡ τοῦ Δεσπότου ἡμῶν ἔνσαρκος οἰκονομία συνάψασα καὶ εἰς ἓν σῶμα, καὶ [ἓν] πνεῦμα συναρμολογή-

[61] Exod. xix et xx. [62] Act. II, 1 seqq. [63] Psal. CIII, 15. [64] Prov. xx, 1. [65] Ephes. v, 18. [66] Rom. x, 2. [67] Psal. CXVII, 22.

VARIÆ LECTIONES ET NOTÆ.

(79) Cod. Vatic. post ὀχλουμένη addit καὶ κλονουμένη. Possin.

(80) Non Κωνσταντίῳ, ut male habent edita Græca, sed Κωνσταντίνῳ, *Constantino*, ut recte ponit interpres, hæc epistola inscribitur in codd. Vat. 649 et Alt. lidem initio Vers 4 expungunt γὰρ. Ib.

(81) Pro τοὺς δύο τῆς οἰκουμένης λαοὺς codd. Vat. 649 et Alt. legunt, τοὺς τῆς οἰκουμένης δύο λαούς. Ib.

Digitized by Google

σασα. εἰς κεφαλὴν γωνίας ἐγένετο, ἀσάλευτον τὴν ἕνωσιν τῇ ἑαυτῆς μεσιτείᾳ φυλάξασα.

A atque unum spiritum compactis, in caput anguli effecta est, firmam ac minime nutantem conjunctionem interpositu suo custodiens.

ΥΛΗ'. — ΘΕΩΝΙ.

Πρὸς μοναχὸν καλλωπιζόμενον.

Τὴν Ἐλισσαίου (82) εὐτέλειαν ζήλου, ὑπερῶῳ καὶ λύχνῳ ἀρκούμενος· ἅπερ τὴν ὑψηλὴν καὶ περφυτισμένην τοῦ ἀνδρὸς ἠνίσσετο πρᾶξιν· ἀλλὰ μὴ μεγάλαις οἰκοδομαῖς ὡς Φαραὼ προσπηκόμενος καὶ προστίκων αὐταῖς τοὺς μονάζοντας, τὴν ἀληθῆ ἐργασίαν κατάλυε.

CDXCVIII. — THEONI.

Ad monachum elegantiæ studiosum.

Elisæi tenuitatem ac frugalitatem imitare, nihil ultra cœnaculum ac lucernam requirens (quæ quidem sublimem ac splendidam viri illius actionem designabant) : ac non contra magnis substructionibus, velut alter Pharao, intabescens, ipsisque etiam monachos addicens et conficiens, veram operationem everte.

ΥΛΘ'. — ΑΡΧΙΑ.

Κατὰ Μακεδοριανῶν, ἤτοι Πνευματομάχων.

Εἰ τὴν ὑπόσχεσιν ἐπλήρωσε τὴν οἰκείαν ὁ Κύριος, οὐ μετὰ πολλὰς ἡμέρας τῆς ἑαυτοῦ ἀναλήψεως, τὴν ἐξ ὕψους δύναμιν περιζώσας τοὺς θειώτας, καὶ ὁ νόμος τοῦ πνεύματος τῆς ζωῆς ἐν Χριστῷ Ἰησοῦ ἠλευθέρωσεν ἡμᾶς ἐκ τοῦ νόμου τῆς ἁμαρτίας καὶ τοῦ θανάτου, ματαία [ἡ] τοῦ Σατανᾶ Μοντανοῦ κακόνοια, πρὸς τοσαύτην ἀλήθειαν ἀβλεπτήσαντος, καὶ μεῖζόν τι τῆς τελειώσεως ταύτης τοῖς πεισθεῖσιν αὐτῷ προσγενήσεσθαι μυθοποιήσαντος.

CDXCIX. — ARCHIÆ.

Contra Macedonianos, seu Spiritum impugnantes.

Si pollicitationem suam [67] præstitit Dominus, non post multos ab ascensu suo dies ex alto virtute indutis discipulis [68], ac lex Spiritus vitæ in Christo Jesu a peccati et mortis lege nos in libertatem asseruit, vanus Satanæ Montani error est, qui ad tantam veritatem caligavit, majusque aliquid hac perfectione iis qui sibi fidem adhibuissent, accessurum esse fabulatus est.

Φ'. — ΤΩ ΑΥΤΩ.

Κατὰ Μακεδοριανῶν, ἤτοι Πνευματομάχων.

Τὸ θεῖον καὶ προσκυνούμενον Πνεῦμα δεκάτῃ τῆς ἀναλήψεως, πεντηκοστῇ δὲ τῆς ἀναστάσεως ἡμέρᾳ ἐπὶ τοὺς ἱεροὺς μαθητὰς κατεφοίτησεν, ὡς ὁ Κύριος ἐπηγγείλατο, οὐ μετὰ πολλὰς ἡμέρας τοῦτο ποιήσειν τῷ καιρῷ τῆς εἰς οὐρανοὺς ἀνόδου ὑποσχόμενος. Καὶ Λουκᾶς ἐγγράφει πληρωθὲν ὁ θεσπέσιος, ὅπερ πολλοῖς ὕστερον χρόνοις ὁ δυσσεβὴς [μὴ] (83) γεγενῆσθαι Μοντανὸς ψεύσατο, καὶ τὸν Κύριον διαβάλλων οὐκ ἀληθεύοντα, καὶ τοὺς μαθητὰς ψευσθέντας τῆς ὑποσχέσεως, ὧνπερ δέ τινας ἀντ' ἐκείνων τὴν ἐπαγγελίαν κομισαμένους ἀδίκως, εἴπερ ἄλλων ἐν τοῖς κινδύνοις ἀθλήσασι, ἕτεροι τῶν ἐπάθλων ἀπέλαυσαν. Ποίῳ δὲ πνεύματι ἐνήργουν τὰ θαύματα, ἢ τὰ ἔθνη ἐπαίδευον τὴν εὐσέβειαν;

D. — EIDEM.

Contra Macedonianos, seu Spiritum impugnantes.

Divinus atque adorandus Spiritus decimo ab ascensione, ac quinquagesimo a resurrectione die ad sacrosanctos discipulos descendit, quemadmodum Dominus promiserat, cum, eo tempore quo in cœlum ascendebat, non multis post diebus id se facturum recepit, atque hoc expletum fuisse divinus vir Lucas scripsit, quod longo post temporis curriculo factum esse impius Montanus falso asseruit. In quo et Dominum, ut vera minime loquentem, traducit, et apostolos, ut promissi spe falsos ac delusos, quippe cum alii quidam eorum loco promissum munus inique perceperint, siquidem cum alii in periculis dimicarint, alii tamen præmia consecuti sint. Quonam autem, quæso, spiritu illi res miras perpetrabant, ac gentes ad pietatem erudiebant?

[67] Luc. XXIV, 49. [68] Act. II, 4 sqq.

VARIÆ LECTIONES ET NOTÆ.

(82) Codd. Vatic. 649 et Alt. addunt μᾶλλον. Possin.
(83) Μὴ uncinis inclusum abest a codd. Vatic. 649 et Alt. Id.

Digitized by Google

quam temporis orbis conversus te curabit, præfecturam tuam ad finem impellens, atque æstui tuo terminum imponens.

CDXCIV. — TIMOTHEO LECTORI.

De igneis linguis.

Quemadmodum legis primordia terrorem requirebant, qui auditores ad mandatorum observationem converteret, ac Deus e medio igne oracula edebat [61] : sic etiam post Domini et Salvatoris nostri resurrectionem, Spiritus sanctus apostolis in igne donabatur, vehementi flatu præeunte [62] : ut unus Deus in utroque Testamento cognosceretur, etiamsi alioqui inter prius ac posterius ingens sit discrimen. Illud enim typicis præceptis utebatur; hoc autem veris rebus ac doctrinis emicuit.

CDXCV. — SYNODIO.

De vino et ebrietate.

Vinum ad corporis necessarium usum modice haustum hominis pectus exhilarat [63] : quod autem ultra mediocritatem adhibetur, petulans et contumeliosum atque intemperans vocatur. Intemperans enim, inquit, res est vinum : et contumeliosa res, ebrietas [64]. Ac rursum : « Nolite inebriari vino, in quo est luxuria, » inquit sacra Scriptura [65]. Atque ipsa quoque natura, per immoderationem turbata et agitata, lasciviæ magistra efficitur.

CDXCVI. — CONSTANTINO.

Non est, heus tu, non, inquam, est secundum scientiam zelus tuus [66] : neque Domini injurias ex ipsius legibus, quemadmodum affirmas, ulcisceris, dum ex Ecclesiæ cœtu quosdam ejicis. Nam ille rerum divinarum caupones abigebat, qui ex templo forum efficiebant. At tu eos qui divinum Numen pie ac sancte colunt, furiose insectaris, confusionem quamdam et permistionem, ac Dei Verbi in carnem conversionem docens, aut divinam naturam in carnem et ossa immutans, aut carnis veritatem rejiciens. Quare non Dominum imitaris, sed templi ducem apostolos persequentem, ac piam doctrinam prædicare prohibentem.

125 CDXCVII. — CYRILLO.

In illud, « *Lapidem quem reprobaverunt ædificantes* [67]. »

Quemadmodum angularis quidam lapis duorum parietum vinculum esse invenitur ad arctissimam ac firmissimam conjunctionem eos inter se devinciens : eodem modo Domini nostri incarnatio, duobus orbis populis inter se copulatis atque in unum corpus

ΥΚΔ'. — ΤΙΜΟΘΕΩ ΑΝΑΓΝΩΣΤΗ.

Τῶν πράξεων. Περὶ πυρίνων γλωσσῶν.

Ὃν τρόπον τὰ τοῦ νόμου προοίμια φόβου ἐδεῖτο, πρὸς φυλακὴν τῶν ἐντολῶν ἐπιστρέφοντος τοὺς ἀκούοντας, καὶ ἐκ μέσου τοῦ πυρὸς ὁ Θεὸς ἐχρημάτιζεν· οὕτω καὶ μετὰ τὴν τοῦ Δεσπότου καὶ Σωτῆρος ἡμῶν ἀνάστασιν, ἐν πυρὶ τὸ Πνεῦμα τὸ ἅγιον τοῖς ἀποστόλοις ἐδίδοτο, βιαίας πνοῆς προηγουμένης, ἵνα εἷς Θεὸς ἐν ἀμφοτέραις ταῖς Διαθήκαις γνωσθῇ, εἰ καὶ πολὺ τῆς δευτέρας τὸ πρὸς τὴν προτέραν διάφορον. Ἡ μὲν γὰρ τυπικοῖς ἐχρῆτο προστάγμασιν, ἡ δὲ τοῖς ἀληθέσιν ἔλαμψε πράγμασί τε καὶ δόγμασιν.

ΥΚΕ'. — ΣΥΝΟΔΙΩ.

Περὶ οἴνου καὶ μέθης.

Οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου, ὁ μετρίως πινόμενος πρὸς τὴν χρείαν τοῦ σώματος· ὁ δὲ ταύτης ἐπέκεινα, ἄσωτος καὶ ὑβριστὴς καὶ ἀκόλαστος κέκληται. Ἀκόλαστον γὰρ οἶνος, καὶ ὑβριστικὸν μέθη. Καί, « Μὴ μεθύσκεσθε οἴνῳ, ἐν ᾧ ἐστιν ἀσωτία, » φησὶν ἡ θεία Γραφή. Καὶ αὐτὴ δὲ ἡ φύσις ὀχλουμένη (79) τῇ ἀμετρίᾳ, διδάσκαλος γίνεται εὐεξίας.

ΥΚϚ'. — ΚΩΝΣΤΑΝΤΙΩ (80).

Οὐκ ἔστιν, ὦ τᾶν, οὐκ ἔστιν ὁ ζῆλός σου κατ' ἐπίγνωσιν, οὔτε, ὡς φῄς, τῷ Κυρίῳ ἐκ τῶν αὐτοῦ νόμων ἀμύνεις, τῆς Ἐκκλησίας τινὰς ἐξελαύνων. Ὁ μὲν γὰρ τοὺς θεοκαπήλους ἀπήλαυνε, τοὺς ἐμπόριον τὸ ἀνάκτορον δείξαντας. Σὺ δὲ τοὺς τὸ Θεῖον εὐσεβῶς πρεσβεύοντας διώκεις ἐμμανῶς, σύγχυσίν τινα καὶ ἀνάκρασιν, καὶ τροπὴν τὴν εἰς σάρκα τοῦ Θεοῦ Λόγου κατηχῶν, ἢ ἀλλοιῶν τὴν θείαν φύσιν εἰς σάρκα καὶ ὀστέα, ἢ τὴν ἀλήθειαν τῆς σαρκὸς ἀθετῶν. Οὐ τοίνυν τὸν Κύριον μιμῇ, ἀλλὰ τὸν στρατηγὸν τοῦ ἱεροῦ, τοὺς ἀποστόλους διώκοντα, καὶ κηρύσσειν τὴν εὐσέβειαν κωλύοντα.

ΥΚΖ'. — ΚΥΡΙΛΛΩ.

Εἰς τό, « *Λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες.* »

Ὃν τρόπον δύο σύνδεσμος τοίχων γωνιαῖός τις εὑρίσκεται λίθος, πρὸς ἀδιαίρετον ἕνωσιν, ἑκατέρους συνδέων· οὕτω τοὺς δύο τῆς οἰκουμένης λαοὺς (81) ἡ τοῦ Δεσπότου ἡμῶν ἔνσαρκος οἰκονομία συνάψασα καὶ εἰς ἓν σῶμα, καὶ [ἓν] πνεῦμα συναρμολογή-

[61] Exod. xix et xx. [62] Act. II, 1 seqq. [63] Psal. CIII, 15. [64] Prov. xx, 1. [65] Ephes. v, 18. [66] Rom. x, 2. [67] Psal. CXVII, 22.

VARIÆ LECTIONES ET NOTÆ.

(79) Cod. Vatic. post ὀχλουμένη addit καὶ κλονουμένη. Possin.

(80) Non Κωνσταντίῳ, ut male habent edita Græca, sed Κωνσταντίνῳ, *Constantino*, ut recte ponit interpres, hæc epistola inscribitur in codd. Vat. 649 et Alt. lidem initio Vers 4 expungunt γὰρ. Ib.

(81) Pro τοὺς δύο τῆς οἰκουμένης λαοὺς codd. Vat. 649 et Alt. legunt, τοὺς τῆς οἰκουμένης δύο λαούς. Ib.

Digitized by Google

οασα. εἰς κεφαλὴν γωνίας ἐγένετο, ἀσάλευτον τὴν ἕνωσιν τῇ ἑαυτῆς μεσιτείᾳ φυλάξασα.

A atque unum spiritum compactis, in caput anguli effecta est, firmam ac minime nutantem conjunctionem interpositu suo custodiens.

ΥΙΗ'. — ΘΕΩΝΙ.

Πρὸς μοναχὸν καλλωπιζόμενον.

Τὴν Ἐλισσαίου (82) εὐτέλειαν ζήλου, ὑπερῴῳ καὶ λύχνῳ ἀρκούμενος· ἅπερ τὴν ὑψηλὴν καὶ πεφωτισμένην τοῦ ἀνδρὸς ἠνίσσετο πρᾶξιν· ἀλλὰ μὴ μεγάλαις οἰκοδομαῖς ὡς Φαραὼ προστηκόμενος καὶ προστήκων αὐταῖς τοὺς μονάζοντας, τὴν ἀληθῆ ἐργασίαν κατάλυε.

CDXCVIII. — THEONI.

Ad monachum elegantiæ studiosum.

Elisæi tenuitatem ac frugalitatem imitare, nihil ultra cœnaculum ac lucernam requirens (quæ quidem sublimem ac splendidam viri illius actionem designabant) : ac non contra magnis substructionibus, velut alter Pharao, intabescens, ipsisque etiam monachos addicens et conficiens, veram operationem everte.

ΥΙΘ'. — ΑΡΧΙΑ.

Κατὰ Μακεδονιαρῶν, ἤτοι Πνευματομάχων.

Εἰ τὴν ὑπόσχεσιν ἐπλήρωσε τὴν οἰκείαν ὁ Κύριος, οὐ μετὰ πολλὰς ἡμέρας τῆς ἑαυτοῦ ἀναλήψεως, τὴν ἐξ ὕψους δύναμιν περιζώσας τοὺς θιασώτας, καὶ ὁ νόμος τοῦ πνεύματος τῆς ζωῆς ἐν Χριστῷ Ἰησοῦ ἠλευθέρωσεν ἡμᾶς ἐκ τοῦ νόμου τῆς ἁμαρτίας καὶ τοῦ θανάτου, ματαία [ἡ] τοῦ Σατανᾶ Μοντανοῦ κακόνοια, πρὸς τοσαύτην ἀλήθειαν ἀβλεπτήσαντος, καὶ μεῖζόν τι τῆς τελειώσεως ταύτης τοῖς πεισθεῖσιν αὐτῷ προσγενήσεσθαι μυθοποιήσαντος.

CDXCIX. — ARCHIÆ.

Contra Macedonianos, seu Spiritum impugnantes.

B Si pollicitationem suam [67*] præstitit Dominus, non post multos ab ascensu suo dies ex alto virtute indutis discipulis [68], ac lex Spiritus vitæ in Christo Jesu a peccati et mortis lege nos in libertatem asseruit, vanus Satanæ Montani error est, qui ad tantam veritatem caligavit, majusque aliquid hac perfectione iis qui sibi fidem adhibuissent, accessurum esse fabulatus est.

Φ'. — ΤΩ ΑΥΤΩ.

Κατὰ Μακεδονιαρῶν, ἤτοι Πνευματομάχων.

Τὸ θεῖον καὶ προσκυνούμενον Πνεῦμα δεκάτῃ τῆς ἀναλήψεως, πεντηκοστῇ δὲ τῆς ἀναστάσεως ἡμέρᾳ ἐπὶ τοὺς ἱεροὺς μαθητὰς κατεφοίτησεν, ὡς ὁ Κύριος C ἐπηγγείλατο, οὐ μετὰ πολλὰς ἡμέρας τοῦτο ποιήσειν τῷ καιρῷ τῆς εἰς οὐρανοὺς ἀνόδου ὑποσχόμενος. Καὶ Λουκᾶς ἔγραψε πληρωθὲν ὁ θεσπέσιος, ὅπερ πολλοῖς ὕστερον χρόνοις ὁ δυσσεβὴς [μὴ] (83) γεγενῆσθαι Μοντανὸς διεψεύσατο, καὶ τὸν Κύριον διαβάλλων οὐκ ἀληθεύοντα, καὶ τοὺς μαθητὰς ψευσθέντας τῆς ὑποσχέσεως, ἄλλους δέ τινας ἀντ' ἐκείνων τὴν ἐπαγγελίαν κομισαμένους ἀδίκως, εἴπερ ἄλλων ἐν τοῖς κινδύνοις ἀθλησάντων, ἕτεροι τῶν ἐπάθλων ἀπέλαυσαν. *Ποίῳ* δὲ πνεύματι ἐνήργουν τὰ θαύματα, ἢ τὰ ἔθνη ἐπαίδευον τὴν εὐσέβειαν;

D. — EIDEM.

Contra Macedonianos, seu Spiritum impugnantes.

Divinus atque adorandus Spiritus decimo ab ascensione, ac quinquagesimo a resurrectione die ad sacrosanctos discipulos descendit, quemadmodum Dominus promiserat, cum, eo tempore quo in cœlum ascendebat, non multis post diebus id se facturum recepit, atque hoc expletum fuisse divinus vir Lucas scripsit, quod longo post temporis curriculo factum esse impius Montanus falso asseruit. In quo et Dominum, ut vera minime loquentem, traducit, et apostolos, ut promissi spe falsos ac delusos, quippe cum alii quidam eorum loco promissum munus inique perceperint, siquidem cum alii in periculis dimicarint, alii tamen præmia consecuti sint. Quonam autem, quæso, spiritu illi res miras perpetrabant, ac gentes ad pietatem erudiebant?

[67*] Luc. XXIV, 49. [68] Act. II, 4 seqq.

VARIÆ LECTIONES ET NOTÆ.

(82) Codd. Vatic. 649 et Alt. addunt μᾶλλον. Possin.
(83) Μὴ uncinis inclusum abest a codd. Vatic. 649 et Alt. Id.

Digitized by Google

ΤΩΝ ΤΟΥ ΑΓΙΟΥ

ΙΣΙΔΩΡΟΥ ΤΟΥ ΠΗΛΟΥΣΙΩΤΟΥ

ΕΠΙΣΤΟΛΩΝ ΒΙΒΛΙΟΝ Β'.

—

S. ISIDORI PELUSIOTÆ

EPISTOLARUM

LIBER SECUNDUS.

—

126 I.—THEOGNOSTO PRESBYTERO.

Quid sit illud, « Sacerdotes, loquimini ad cor Jerusalem. »

Præceptores ii qui consentaneam magistris vitam consectantur, non modo reprehensione omni sublimiores se custodiant, verum etiam divinarum virtutum opibus abundent. Illud enim vulgarium etiam hominum est; hoc summa virtute præditorum. Qui, ut etiam nullum verbum emittant, silentio tamen quavis voce clariori discipulos suos erudiunt, non ipsorum aures oblectantes, verum animis lumen ac splendorem afferentes. Nam qui magistro nihil præter sermonem inesse existimant, et aures obtundunt, et risum movent. At qui operibus emicant, etiamsi silentium colant, spectatorum tamen animos erudiunt. Atque illud est, quod ex me intelligere quæsivisti, « Sacerdotes, loquimini ad cor Jerusalem [88]. » Multi enim sunt, qui loquendo molestiam exhibeant; pauci autem, qui operibus doceant. Quibus nimirum Dei quoque cultui consecrari, ac sacerdotii munere fungi maxime convenit.

A'. — ΘΕΟΓΝΩΣΤΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Τί ἐστι τὸ, « Ἱερεῖς, λαλήσατε εἰς τὴν καρδίαν Ἱερουσαλήμ.

Οἱ τὸν διδασκάλοις πρέποντα βίον μεταδιώκοντες ὑφηγηταὶ, μὴ μόνον μέμψεως κρείττους [ἑαυτοὺς] διατηρείτωσαν, ἀλλὰ καὶ θείοις πλεονεκτήμασι πλουτείτωσαν. Τὸ μὲν γὰρ καὶ τῶν τυχόντων ἐστὶ, τὸ δὲ τῶν ἄκρων εἰς ἀρετὴν, [οἳ] κἂν μηδὲν φθέγξοιντο (84), τρανοτέρᾳ (85) φωνῆς ἡσυχίᾳ τοὺς φοιτητὰς παιδεύουσιν, οὐ τὰς ἀκοὰς αὐτῶν τέρποντες, ἀλλὰ τὰς ψυχὰς φωτίζοντες. Οἱ γὰρ λόγων πλέον μηδὲν προσεῖναι τῷ διδασκάλῳ νομίζοντες, καὶ τὰς ἀκοὰς ἐνοχλοῦσι, [καὶ γέλωτα ὀφλισκάνουσιν·] οἱ δὲ τοῖς ἔργοις ἀστράπτοντες, [κἂν σιγὴν ἀσκήσωσι, τὰς τῶν θεωμένων παιδεύουσι ψυχάς.] Καὶ τοῦτ' ἔστιν ἅπερ ἐπεζήτησας μαθεῖν, « Ἱερεῖς, λαλήσατε εἰς τὴν καρδίαν Ἱερουσαλήμ. » Πολλοὶ [μὲν] γὰρ οἱ διὰ λόγων ἐνοχλοῦντες, ὀλίγοι δὲ οἱ διὰ τῶν ἔργων παιδεύοντες, οἷς καὶ τὸ ἱερᾶσθαι μάλιστα προσήκει.

II.—EUSTATHIO PRESBYTERO.

Cum hominum natura virtutis ac probitatis semina jam olim habuerit (unde etiam quidam iis excultis claruerunt, quidam autem iisdem oppressis et exstinctis pœnas dederunt), nunc, cum ea in melius ornata, sexcentisque beneficiis, tanquam coronis redimita, atque ad virtutem obsequentior tractabiliorque reddita sit, annon illa quoque in ea integra et incolumia mansisse existimas; iis autem, qui ipsis utantur, opus habere? Neque enim scilicet putandum est, cum alias dotes insuper

Β'. — ΕΥΣΤΑΘΙΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Εἰ πάλαι εἶχεν ἡ τῶν ἀνθρώπων φύσις τὰ εἰς καλοκαγαθίαν σπέρματα (διὸ καὶ τινὲς μὲν γεωργήσαντες αὐτὰ, διέλαμψαν, τινὲς δὲ νεκρώσαντες, δίκην ἔδοσαν), νῦν ὅτε ἐπὶ τὸ κρεῖττον διεκοσμήθη, καὶ μυρίοις χαρίσμασιν ἐστέφθη, καὶ εὐήνιος πρὸς ἀρετὴν γέγονεν, οὐχ ἡγῇ κἀκεῖνα μεμενηκέναι ἐν αὐτῇ ἀκέραια, δεῖσθαι δὲ τῶν αὐτοῖς χρησομένων; Οὐ γὰρ δήπουθεν ἡνίκα τὴν ἄλλην εὐημερίαν προσείληφε, τηνικαῦτα τῶν ἔμπροσθεν καλῶν δεῖ νομίζειν αὐτὴν ἐστερῆσθαι. Μᾶλλον γὰρ εἰκὸς ὑπὸ τῆς παρού-

[88] Isa. XL, 2.

VARIÆ LECTIONES ET NOTÆ.

(84) *Κἂν μηδὲν φθέγξοιντο.* Congruit cum sententia Plutarchi quam duobus locis memini apud eum legisse, his fere verbis: Ἓν ῥῆμα καὶ νεῦμα μόνον ἀνδρὸς πίστιν ἔχοντος, πολλῶν πάνυ καὶ μακρῶν περιόδων μεῖζον ἰσχύει. RITT.

(85) Pro τρανοτέρᾳ codd. Vat. 649 et Alt. scribunt, τρανώτερᾳ. POSSIN.

Digitized by Google

A ποιότητα ποιότητι (ἅπερ κατὰ τὸν τῶν φιλοσόφων λόγον πέφυκε καὶ συμβαίνειν καὶ ἀποσυμβαίνειν. Ὄχημα γὰρ εἶναι τὴν οὐσίαν τῆς ποιότητος ὁρίζονται, ἧς μὴ ὑπαρχούσης, ἀνύπαρκτον εἶναι τὴν ποιότητά φασι) παρέβαλεν ἡ Γραφή, λέγουσα· « Εἰ ἀλλάξεται Αἰθίοψ τὸ δέρμα αὐτοῦ, καὶ πάρδαλις τὰ ποικίλματα αὐτῆς; Καὶ πῶς ὑμεῖς δυνήσεσθε εὖ ποιεῖν, μεμαθηκότες τὰ κακά; » Πλὴν ἵνα μηδὲ περὶ τούτων ἀκριβολογήσωμεν, αὐτὴν τὴν ῥῆσιν, ἣν προφέρουσιν, ἀνατρεπτικὴν οὖσαν τῶν παρ' αὐτῶν κατασκευαζομένων, ἐπιδεῖξαι πειράσομαι. Τῷ γὰρ εἰπεῖν, « Μεμαθηκότες τὰ κακά, » τὸ δόγμα, ὃ δοκοῦσιν ἀναντίῤῥητον εἶναι, ἀνατρέπουσι. Πῶς γάρ, εἰ ἐκ φύσεως εἶχον τὸ εἰδέναι τὰ κακά, ἔφασκε τὸ, « Μεμαθηκότες τὰ κακά; » Εἰ δὲ μεμαθήκεσαν, καὶ ἀπομαθεῖν δυνήσονται. Οὕτω καὶ τὰ ἄλλα πάντα τὰ δοκοῦντα τοῖς ἀπαιδεύτοις συμπράττειν, ἀνατραπήσεται. Εἰ γὰρ καὶ ψυχικὸς ἄνθρωπος οὐ δύναται δέξασθαι τὰ τοῦ Πνεύματος (57), ἀλλὰ δυνήσεται. Καὶ εἰ δένδρον πονηρὸν οὐ δύναται ποιεῖν καρπὸν καλόν, ἀλλὰ δυνήσεται. Οὐ γὰρ ταυτὸν τὸ μὴ δύνασθαι τῷ μὴ δυνήσεσθαι· ἀλλὰ τὸ μὲν τὸν ἐνεστῶτα μηνύει χρόνον, καθ' ὃν ὁ ῥᾳθυμος. ῥᾳθυμός ἐστι· τὸ δὲ τὸν μέλλοντα, καθ' ὃν ἐνδέχεται τὸν πρώην φαῦλον, σπουδαῖον γενήσεσθαι. Καὶ βοᾷ μὲν τοῦτο τὰ πράγματα, καθ' ἑκάστην ἀρειβόμενα τὴν ἡμέραν· ἐγγυῶνται δὲ καὶ αἱ Γραφαί. Πῶς γὰρ ὁ Μελῳδὸς πεσὼν ἀνέστη; Πῶς δὲ ὁ Παῦλος διώκτης ὢν ἀνεμαχέσατο, καὶ κήρυξ τοῦ διωχθέντος κατέστη; Πῶς δὲ Πέτρος ἀρνησάμενος ἀπετρίψατο τὴν κηλῖδα; Πῶς δὲ ἡ ἀγριέλαιος εἰς τὴν καλλιέλαιον ἐνεκεντρίσθη; Πῶς οἱ Νινευῖται ἐσώθησαν; Πῶς δ' ὁ λῃστὴς εἰς τὸν παράδεισον ἐπέμφθη; Μαθὼν τοίνυν ὅτι τῆς ἄνωθεν προηγουμένης ῥοπῆς, ὁ βουλόμενος καὶ πονῶν καὶ πάντα κινῶν (οὐ γὰρ ἀρκεῖ ψιλὸν τὸ θέλειν [58],) καὶ μανθάνει, καὶ καρποφορεῖ, καὶ σώζεται· πάντα τὰ παρὰ σαυτοῦ ποίει, τὰ πρὸς τὴν τῶν πταιόντων διόρθωσιν βλέποντα.

B

C

LXXIII. — PAULO PRESBYTERO.

Sacrarum Scripturarum lectionem salutis viaticum esse existima, ut quæ, eorum, qui eam studiose ac diligenter audiunt, probitatis amorem ac virile robur præclaris et illustribus exemplis pascat.

ΟΓ'. — ΠΑΥΛΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Τὴν ἀνάγνωσιν τῶν ἱερῶν Γραφῶν, ἐφόδιον ἡγοῦ τῆς σωτηρίας, τρέφουσαν παραδείγματα εὐδοκίμοις τὸ φιλόκαλον καὶ ἀνδρώδες τῶν μετὰ σπουδῆς ἀκροωμένων.

LXXIV. — HERACLIDÆ EPISCOPO.

Cum regiam dignitatem obtinente Ezechia Barbarus Persiam universam ducens, Hierosolymam

ΟΔ'. — ΗΡΑΚΛΕΙΔΗ ΕΠΙΣΚΟΠΩ.

Ὅτε Ἐζεκίου βασιλεύοντος, πᾶσαν τὴν Περσίδα ἄγων ἐπῆλθε τῇ Ἱερουσαλὴμ ὁ βάρβαρος (59), καὶ

[59] Jerem. XIII, 23. [1] I Cor. II, 14. [2] Matth. VII, 17.

VARIÆ LECTIONES ET NOTÆ.

(57) *Εἰ γὰρ καὶ ψυχικὸς ἄνθρωπος οὐ δύναται.* Huic geminus est locus alius apud Isidorum nostrum epist. 81 libri IV. RITT.

(58) *Οὐ γὰρ ἀρκεῖ ψιλὸν τὸ θέλειν.* Similiter veterum quidam apud Suidam : Οὐκ ἀρκεῖ ἀγαθοθέλεια μόνον, ἀλλὰ καὶ ῥώμης δεῖ καὶ ἐπιστροφείας. Cui similia multa sunt apud Chrysostomum. ID.

(59) *Πᾶσα τὴν Περσίδα ὁ Βάρβαρος.* Barbarum dicit Sennacherib, Assyriorum regem, de cujus interitu agit infra epist. ult. lib. IV. Persidem vero alias quoque pro Assyria posuit. ID.

Digitized by Google

τρόπαιον ἔστη θαυμαστόν, καὶ θεῖον, καὶ τῶν πώποτε γενομένων ἐπισημότερον· τότε δὴ φυσηθέντι τῷ Ἐζεκίᾳ, καὶ ὑπὸ τῆς χαρᾶς μεῖζον ἢ κατὰ ἄνθρωπον φρονήσαντι, ἐπετέθη ὁ τῆς ἀῤῥωστίας χαλινός, τὸ φρόνημα αὐτοῦ καταστέλλων, καὶ τὴν ἀνθρωπείαν ἐλέγχων φύσιν, καὶ τὴν ἐκ τῆς χαρᾶς ἐγγενομένην τῇ ψυχῇ νόσον ἰώμενος. Ὅτι γὰρ ὑπὸ χαρᾶς μᾶλλον αἴρονται αἱ ψυχαί, ἔδειξαν οἱ Ἰουδαῖοι. Ὅτε γὰρ ἀπηλλάγησαν τῶν Αἰγυπτίων, καὶ εἶδον τὸν βυθὸν τάφον αὐτῶν γεγενημένον, τότε εἰς εἰδωλολατρίαν ἐτράπησαν. Διαβάντες γὰρ τὴν θάλασσαν, καὶ μηδὲν κινδυνῶδες ὑπομείναντες, ἐλθόντες εἰς τὴν γῆν ἐναυάγησαν. Ὅπερ Ἐπαμινώνδας ὁ Θηβαίων στρατηγὸς ἄριστα συνιδὼν, Λακεδαιμονίους νικήσας, καὶ τρόπαιον κατ' αὐτῶν στήσας, τῇ ἑξῆς ὤφθη τοῖς φίλοις κατηφὴς καὶ στυγνός. Τῶν δὲ ἐρωτησάντων μήτι λυπηρὸν συνέβη, Οὐχί, φησὶν, ἀλλ' ἐχθὲς ἡσθόμην ἐμαυτοῦ, μεῖζον ἢ καλῶς ἔχει φρονήσαντος. Διὸ σήμερον κολάζω τὴν ἀμετρίαν τῆς χαρᾶς. Μὴ τοίνυν μηδ' αὐτὸς ἄλυε, εἰ τοῖς τῆς ψυχῆς κομῶν ἀγαθοῖς, ταῖς τοῦ σώματος δαμάζῃ ἀῤῥωστίαις· ἀλλ' ἐννόει ὅτι σοι τοῦτο, ἢ στεφάνους ὠδίνει, ἢ τὸ φρόνημα καταστέλλει.

aggressus fuisset, rexque admirandum ac divinum, atque omnium, quæ unquam contigerant, illustrissimum tropæum erexisset, tum vero ipsi ex hoc successu tumore affecto, ac præ lætitia sublimius de se, quam hominis conditio postularet, sentienti, adversæ valetudinis frenum injectum est, ut altos ipsius spiritus deprimeret, humanæque naturæ fragilitatem coargueret, animique morbo ex lætitia contracto mederetur. **155** Nam quod mortalium animi gaudio magis efferri soleant, ostenderunt Judæi. Posteaquam enim Ægyptii defuncti sunt, eosque mare pro sepulcro habere conspexerunt [a]; tum vero ad idolorum cultum sese converterunt [b]. Nam cum mare transissent, nec periculi quidquam subissent, ubi terram attigerunt, naufragium pertulerunt. Quod quidem Thebanorum imperator Epaminondas optime perspiciens, parta de Lacedæmoniis victoria, statutoque tropæo, postridie tristem se ac mœstum amicis ostendit. Iis autem percunctantibus ecquid molesti accidisset : Minime, inquit; verum hesterno die altiores, quam par esset, spiritus gessisse me sensi. Ac proinde hodie immoderatam hanc voluptatem coerceo. Quocirca ne tu quoque mœrore consterneris, si cum animi bonis abundes, corporis morbis edomeris. Verum illud tibi in mentem veniat, hanc rem, vel coronas tibi parturire, vel arrogantiam reprimere.

ΟΕ'. — ΖΩΣΙΜΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Μεγάλα μέν σου τὰ τῆς νεότητος, ὥς φασι, πλημμελήματα. Πῶς γὰρ οὔ; Τὰ δὲ τοῦ γήρως ὑπερβολὴν οὐκ ἔχει. Τὸ γὰρ ἐν γήρᾳ τοὺς νέους τοὺς ἐπ' ἀσελγείᾳ βεβοημένους ἀποκρύπτειν, ἅπασαν ὑπερβάλλει ἀτοπίαν. Καὶ δῆλος εἶ τὰ Ἐπικούρου νοσῶν, καὶ τὴν γνώμην κατέχειν μὴ δυνάμενος, ἀλλὰ διὰ τῶν ἔργων τὰ ἐκείνου δόγματα βεβαιῶν. Εἶργε τοίνυν, εἶργε σαυτὸν τοῦ θείου θυσιαστηρίου, μή ποτε σκηπτὸς κατὰ τῆς σῆς χωρήσειε κεφαλῆς.

LXXV. — ZOSIMO PRESBYTERO.

Magna quidem, ut aiunt, ætatis tuæ juvenilis flagitia fuerunt. Quidni enim? At senectutis crimina tanta sunt, ut ad eorum magnitudinem nihil possit accedere. Etenim in senectute juvenes eos, quorum ob libidinem ac petulantiam celebre nomen est, obscurare, omnem absurditatem superat. Ac plane constat te Epicuri morbo laborare, nec, quid animi habeas, premere ac continere posse, verum ipsius dogmata per opera confirmare. Quamobrem interdic, interdic, inquam, tibi ipsi divino altari, ne forte in tuum caput fulmen grassetur.

ΟΣ'. — ΠΑΜΠΡΕΠΙΩ ΔΙΑΚΟΝΩ.

Εἰς τό, « Γρηγορεῖτε καὶ προσεύχεσθε, ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν. »

Οὐκ ἔστιν, ὦ φίλη κεφαλή, μηχανὴν εὑρεῖν, δι' ἧς ἄν τις γένοιτο συμφορῶν ἐλεύθερος. Ἀλλὰ θᾶττον ἄν τις ἐν μεγίστῳ κλύδωνι κυβερνήτου καὶ οἰάκων χωρὶς διασωθείη, ἢ τὸν κλύδωνα τοῦ βίου τούτου διαφύγοι, πειρασμῷ μὴ περιπεσών. Εἰ γὰρ πειρατήριόν ἐστιν ὁ βίος ἀνθρώπου ἐπὶ τῆς γῆς, πῶς ἔστιν ἐν τῷ πειρατηρίῳ ὄντας μὴ πειράζεσθαι; Τὸ γὰρ παρὰ τοῦ Σωτῆρος εἰρημένον, « Γρηγορεῖτε καὶ προσεύχεσθε, ἵνα μὴ εἰσέλθητε εἰς πειρασμὸν, » τὸ μὴ καταποθῆναι ὑπ' αὐτοῦ ἠνίξατο. Εἰ γὰρ τοῦτο (60),

LXXVI. — PAMPREPIO DIACONO.

In illud, « Vigilate et orate, ne intretis in tentationem [c]. »

Nulla, o amice, ratio inveniri potest, per quam quispiam a calamitatibus liber atque immunis sit. Verum citius quispiam in maxima tempestate citra gubernatoris et clavi opem salutem consequeretur, quam hujus vitæ procellas, nullius tentationis periculo facto, effugeret. Nam cum tentatio sit vita hominis super terram [d], qui fieri potest, ut qui in tentationis loco sit, minime tentetur? Nam quod a Salvatore dictum est : « Vigilate et orate, ut non intretis in tentationem, » perinde est ac si dixisset,

[a] Exod. xiv, 21 seqq. [b] Exod. xxxii, 1 seqq. [c] Matth. xxvi, 41. [d] Job vii, 1.

VARIÆ LECTIONES ET NOTÆ.

(60) Locus miserabiliter corruptus et mutilus, ubi propterea editor tres asteriscos sparsit hiatuum indices. Habe, lector, hic illum perfecte restitutum in primigeniam integritatem ex codd. Vatic. 649 et Alt. Post illa verba μὴ εἰσέλθητε εἰς πειρασμὸν dele quæ sequuntur usque ad εἰ γὰρ τοῦτο, et vice deletorum hæc pone, μηνύει, τὸ μὴ καταποθῆναι ὑπ' αὐτοῦ πειρασμοῦ, καὶ ἡττηθῆναι· τὸ γὰρ περιγενέσθαι, καὶ ἀοίδιμον καὶ εὐκλεές. Τῷ γὰρ μὴ εἰπεῖν, ἐμπεσεῖν, ἀλλ' εἰσελθεῖν, τὸ μὴ καταποθῆναι

Digitized by Google

ne ab ea opprimamini. Nam si his verbis (quemadmodum aliis placet) hoc intellexit Salvator, ne ullo modo in tentationem prolabamur, rationi parum consentaneum hoc esset, cum et prophetæ, et apostoli, et ii viri, qui virtute maxime excelluerunt, in multas et maximas tentationes inciderint : verum, in tentationem quidem non incidere, fortasse impossibile est : ei autem minime succumbere, possibile. Ac vulgus quidem mortalium imperitia obrutum, ita in calamitatibus afficitur, ut eorum animi consolationem omnem respuant. **156** Qui autem prudenti judicio gubernantur, eas propulsant non modo fortiter ferendo, sed etiam coronas animo et cogitatione versando.

A ὅπερ ἄλλοι νομίζουσιν, ἔφη ὁ Σωτὴρ, τῷ μηδαμῶς πειρασμῷ περιπεσεῖν, οὐκ ἂν ἔχοι λόγον· καὶ τῶν προφητῶν, καὶ τῶν ἀποστόλων, καὶ τῶν μάλιστα εὐδοκιμηκότων ἀνδρῶν πολλοῖς καὶ μεγίστοις περιπεπτωκότων. Ἀλλὰ τὸ μὲν μὴ περιπεσεῖν, ἴσως ἀδύνατον, τὸ δὲ μὴ ἡττηθῆναι, δυνατόν. Οἱ μὲν οὖν πολλοὶ τῶν ἀνθρώπων ἀμαθίᾳ βεβαπτισμένοι πρὸς τὰς συμφορὰς ἔχουσι τὰς ψυχὰς ἀπαραμυθήτους· οἱ δὲ λογισμῷ σώφρονι κυβερνώμενοι, ἀπωθοῦνται ταύτας, οὐ τῷ γενναίως ἐνεγκεῖν μόνον, ἀλλὰ καὶ τῷ στεφάνους ὀνειροπολεῖν.

LXXVII. — EULOGIO LECTORI.

Ex his quæ circa mortem regis Achab contigerunt [1], admirari licet, quemadmodum ne prædictum quidem fatum effugi possit. Animos enim humanos callide subit, spe læta iis blandiens, eosque illuc circumducit, ubi eos certo superabit.

OZ'. — ΕΥΛΟΓΙΩ ΑΝΑΓΝΩΣΤΗ.

B Ἐκ τῶν περὶ τὸν θάνατον τῷ βασιλεῖ Ἀχαὰμ συμβεβηκότων ἔστι θαυμάσαι, πῶς τὸ χρεὼν (61) οὐδὲ προμηνυόμενον διαφυγεῖν οἷόν τε. Ὑπέρχεται γὰρ τὰς ἀνθρωπίνας ψυχὰς ἐλπίσι θωπεῦον χρησταῖς, καὶ περιάγει αὐτὰς ἐκεῖσε, ὅθεν αὐτῶν βεβαίως κρατήσει καὶ περιέσται.

LXXVIII. — CHRYSÆ CLARISSIMO.

Etiamsi hac liberalitate in propinquos ac necessarios tuos usus fuisses, ne sic quidem parvæ laudis esset, bona tua cum iis, qui genere tecum coniuncti essent, communia habere, sed tamen illud fortasse aliquid ex munificentiæ laude detraxisset, quod naturæ quoque necessitas accedere videretur. Nunc autem, præcisa illa causa (nam hominis defuncti filii, quos tu beneficio affecisti, ne tibi quidem noti erant, nisi eos calamitas commendasset), mens plane laudem gloriamque sibi vindicat.

OH'. — ΧΡΥΣΗ ΛΑΜΠΡΟΤΑΤΩ.

Εἰ καὶ περὶ τοὺς οἰκείους τὴν μεγαλοψυχίαν ταύτην ἐπεδείξατο ἡ σὴ μεγαλόνοια, ἦν μὲν ἂν οὐδ' οὕτω μικρὸν, κοινὰ τὰ ὄντα τῷ γένει κεκτῆσθαι. Ἀφῄρει δ' ἄν τι τῆς φιλοτιμίας ἴσως, τὸ δοκεῖν ἀνάγκην τὴν ἀπὸ τῆς φύσεως προσεῖναι. Νῦν δὲ τῆς ἐκεῖθεν αἰτίας περικεκομμένης (οἱ γὰρ υἱεῖς τοῦ τεθνεῶτος, οἱ καὶ εὐεργετηθέντες, οὐδ' ἐγνωρίζοντό σοι, εἰ μὴ C συμφορὰ αὐτοὺς συνέστησεν), ἡ γνώμη καθαρῶς εὐδοκιμεῖ.

LXXIX. — LAMPETIO EPISCOPO.

Superbiæ te arcesso, quoniam Zosimo presbytero obviis factus, ut audio, ipsius morbis, velut adhibitis quibusdam fomentis, minime mederis : verum Hippocrati morem gerens, ut incurabili morbo laboranti manum haudquaquam admoves. Quamvis enim in corporibus verum hoc esse quidam existiment (etsi alioqui persæpe falsum inventum est : complures enim medici, admota manu, iis, qui incurabili morbo affecti esse videbantur, rem ex sententia gesserunt), in animis tamen hoc magis adhuc falsum esse reperitur. Nonnullos enim D

ΟΘ'. — ΛΑΜΠΕΤΙΩ ΕΠΙΣΚΟΠΩ.

Γράφομαί σε γραφὴν ὑπερηφίας (62), ὅτι Ζωσίμῳ περιτυγχάνων, ὡς μανθάνω, τῷ πρεσβυτέρῳ, οὐ καταντλεῖς (63) αὐτοῦ τὰ πάθη, ἀλλ' Ἱπποκράτει πειθθεὶς, ὡς κεκρατημένῳ οὐκ ἐγχειρεῖς. Εἰ γὰρ καὶ ἐπὶ τῶν σωμάτων τοῦτ' ἔδοξέ τισιν ἀληθὲς (καίτοι πολλάκις ἐλεγχθέν· ἐγχειρήσαντες γὰρ πολλοὶ τῶν ἰατρῶν τοῖς κεκρατημένοις κατώρθωσαν), ἀλλ' ὅμως ἐπὶ τῶν ψυχῶν πλέον ἐλέγχεται. Οἴδαμεν γάρ τινας ἐκ τοῦ βυθοῦ τῆς κακίας εἰς αὐτὴν ἀναβεβηκότας τῆς ἀρετῆς τὴν κορυφήν. Τὰ μὲν γὰρ σώματα τῇ τῆς φύσεως ἀνάγκῃ δέδοται. Αἱ δὲ ψυχαὶ τῇ τῆς

[1] III Reg. XXII, 1 seqq.

VARIÆ LECTIONES ET NOTÆ.

ὑπ' αὐτοῦ ἡνίξατο. Εἰ γὰρ τοῦτο, etc. Inde post ὅπερ asteriscum tolle, et refinge interpretationem accommodate ad supplementum hoc aut simili modo : *Non intretis in tentationem, significat, non absorberi ab ipsa tentatione et ei succumbere ; nam superare, laude dignum et gloriosum est. Quod enim non deprecatur ne incidamus, sed ne ingrediamur in tentationem* (*ingressus enim emphasim* inducas *habet*) *hoc ipso indicat nos petere ne ab ipsa absorbeamur*, etc. POSSIN.

(61) *Τὸ χρεών*. Factum seu fatalis necessitas, ut in versibus Babriæ, quos in *Etymolog. Magno* reperi.

ἃ σοι πέπρωται, ταῦτα τλῆθι γενναίως,
καὶ μὴ σοφίζου· τὸ χρεὼν γὰρ οὐ φεύξεις.

et ita verti eodem carminis genere :

Fer fortiter quidquid tibi feret fatum :
Nec tergiversare, haud enim effugis fatum. RITT.

Confer. ep. 184 libri IV.

(62) *Γράφομαί σε γραφὴν ὑπερηφίας*. Bill. *superbiæ te arcesso*. Malim, *neglecti officii dicam tibi scribo*. ID.

(63) Pro καταντλεῖς cod. Alt. legit καταντλᾷς. In fine seq. vers. 2 post ἀληθὲς adde εἶναι, suffragio codicum amborum Vatic. 649 et Alt. POSSIN.

Digitized by Google

προαιρέσεως ἐξουσίᾳ τετίμηνται. Ὅσον τοίνυν εὐκολώτερον προαίρεσις φύσεως, τοσοῦτον εὐχερέστερον, τὸ ἀνενεγκεῖν τὴν ψυχήν. Μηδὲν τοίνυν ἀπογινώσκων, πειρῶ αὐτὸν κατευθύνειν. Οὐ μικρὰ ἔσται σοι εὐκλεια παρὰ τῷ Θεῷ, εἴτ' ἀνύσεις, εἴτε καὶ μή· τὸ γὰρ ἑαυτοῦ πᾶν πληρώσεις. Ὡς πάντως τοίνυν εὐδοκιμήσων, εἰ προτρέψοιο αὐτὸν ἀνενεγκεῖν, οὕτω διάκεισο, καὶ μήτε νύκτωρ, μήτε μεθ' ἡμέραν, αὕτη ἀπολειπέτω σε ἡ φροντίς. Τάχα καὶ αὐτός που σωθείη, καὶ οἱ σκανδαλιζόμενοι διορθωθεῖεν, καὶ οἱ κωμῳδοῦντες αὐτὸν ἐπιστομισθεῖεν, καὶ σὺ ἀθανάτου εὐκλείας ἐπιτύχοις.

A novimus, qui ex profundo vitii gurgite ad ipsam virtutis arcem ascenderint. Corpora quippe naturæ necessitate, tanquam vinculis quibusdam constringuntur : animæ autem voluntatis atque arbitrii potestate ornatæ sunt. Quamobrem quo facilior est voluntas quam natura, eo quoque facilius ac proclivius est animum morbo recreare. Ac proinde submota omni desperatione, illud cura et enitere, ut eum sanitati restituas. Neque enim parva tibi apud Deum gloria futura est, sive istud perfeceris, sive secus. Nam id omne, quod tuarum partium est, cumulate præstiteris. Quare, ut omnino laudem et gloriam consecuturus, si eum, ut ex improba vitæ ratione emergat, monueris, sic affectus esto : nec te aut noctu, aut interdiu, hæc cura deserat. Fortasse ipse quoque salutem obtinebit : et qui ejus vitiis offenduntur, erigentur : et qui eum suggillant, compescentur : et tu sempiternam gloriam adipisceris.

Π'. — ΖΩΣΙΜΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Περὶ κρίσεως.

Πρώην μὲν ἔγραφον, ἐλπίζων σε τῆς κακίας ἀπαλλαγήσεσθαι, καὶ πρὸς καθαρὰν ὑγίειαν ἀναδραμεῖσθαι· νῦν δὲ κινδυνεύω, ὑπὲρ τοῦ μὴ καὶ ἄλλους εἰς τὸ βάραθρον τῆς πονηρίας ὑπὸ σοῦ ἐμβληθῆναι, πιεῖσθαι τὸν λόγον (64). Εἰ τοίνυν μὴ βούλει σῶσαι σαυτὸν, τί καὶ ἑτέροις λυμαίνῃ; Τί καὶ τὰς ἄλλων τιμωρίας ἕλκεις ἐπὶ τὴν ἀθλίαν σαυτοῦ κεφαλὴν, τὰς χρεμετιζούσας ἐπιθυμίας μὴ ἀνασειράζων, ἕως ἂν αὐτῶν αἱμάξῃς τὰ στόματα, ἀλλ' ἄδειαν αὐταῖς διδοὺς ὁρμᾷν ὅποι βούλονται; Ἀνασείραζε τοίνυν αὐτὰς (65), ἵνα μὴ τἀναντία τῶν Νινευϊτῶν ὑπομείνῃς. Ὥσπερ γὰρ ἐκεῖνοι φοβηθέντες τὰ ῥήματα, οὐχ ὑπέμειναν τὴν ἀπὸ τῶν πραγμάτων τιμωρίαν· οὕτω καὶ σὺ τῆς ἀπὸ τῶν ῥημάτων καταφρονῶν ἀπειλῆς, τὴν ἀπὸ τῶν πραγμάτων ὑποστήσῃ κόλασιν.

B

C

LXXX. — ZOSIMO PRESBYTERO.

De iudicio.

Nuper ad te scribebam, sperans fore ut a vitio te subduceres, atque ad puram et integram sanitatem redires. **157** Nunc autem ea de causa sermonem habere periclitor, ut ne alii quoque in improbitatis voraginem abs te conjiciantur. Quocirca si tuæ ipse saluti consulere recusas, quid aliis etiam lobem et exitium affers? Quid aliorum etiam cruciatus in miserum tuum caput trahis? dum hinnientes cupiditates non tantisper restringis, quoad earum ora cruentaris, verum iis, quo velint, impetum faciendi potestatem facis. Has itaque restringe atque coerce, ne alioqui contra, ac Ninivitis, tibi accidat. Ut enim illi verbis perterrefacti, reipsa supplicium minime sustinuerunt : sic tu quoque verborum minas nihili pendens, reipsa pœnam subibis.

ΠΑ'. — ΑΘΑΝΑΣΙΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Ἐπειδὴ τοὺς τὰς θεωρίας ὑποφαίνοντας (66), καὶ τὸ γράμμα εἰς τὸ πνεῦμα μεταρυθμίζοντας, οὐκ οἶδ' ὅπως αἰτιασάμενος, καίτοι πολλάκις ὠφέλιμά τινα τοῖς ἀκροωμένοις λέγοντας, αὐτὰ τὰ πράγματα ἐρμηνευθῆναί σοι λιπαρῶς παρεκάλεσας, καὶ προεβάλλου δι' ἣν αἰτίαν ὁ λεπρὸς καὶ ὁ γονορρυὴς, οἵ τε τὰ ἄλλα νοσοῦντες ἀκούσια νοσήματα, ἀπείρχθησαν τῶν ἱερῶν περιβόλων· ἐβουλόμην μὲν σιγῆσαι· οὔτε γὰρ ῥᾴδιον, οὔτε εἰ ῥᾴδιον ἦν, ἔπρεπε τὰ τῆς φύσεως ἐκπομπεύειν μυστήρια. Ἀλλ' ἐπειδὴ καὶ δευτέροις ἐξεδιάσω με γράμμασιν, ὡς ἂν οἷός τε ὦ, συνεσταλμένως φράσω. Ἐπειδὴ γὰρ τεθέσπιστο, καὶ διὰ τὴν τῶν ἀνδρῶν σεμνότητα, καὶ διὰ τὴν τῶν γυναικῶν τιμὴν, καὶ δι' αὐτὸ τὸ πρᾶγμα (ὁσιότητος γὰρ τὸ τοιοῦτο πνεῖ), καὶ Πρὸς γυναῖκα ἐν καθαρισμῷ ἀκαθαρσίας αὐτῆς οὐκ εἰσελεύσῃ· πολλοὶ δὲ ἐν ἀφ-

LXXXI. — ATHANASIO PRESBYTERO.

Quoniam eos, qui mysticos sensus indicant, litteramque in spiritum commutant, etiamsi utilia quædam auditoribus dicant, nescio qua de causa reprehendens, res ipsas tibi explicari obnixis precibus a me contendisti, illudque proposuisti, quidnam causæ sit, quamobrem leprosus seminisque profluvio laborans, aliique item qui morbis minime voluntariis tenebantur, sacrosancto templi ambitu prohibebantur [a], silentio quidem lubenter uterer. Nam nec facile est, necsi facile esset, conveniret naturæ arcana divulgare. Quoniam autem iterum jam per litteras vim mihi attulisti, quam brevissime potero istud expediam. Quandoquidem enim, tum ob virorum honestatem et gravitatem, tum ob mulierum honorem, tum ob rem ipsam (sanctitatem enim res hæc redolet) lege cautum erat, ne vir ad

[a] Levit. XIII, XXII, Num. V, 1 seqq.

VARIÆ LECTIONES ET NOTÆ.

(64) *Κινδυνεύω ποιῆσθαι τὸν λόγον.* Bill., *sermonem habere periclitor.* Malim, *sermo mihi instituendus est.* Ritt.

(65) Pro αὐτὰς cod. Alt. ponit ταύτας. Possin.

(66) Pro ὑποφαίνοντας cod. Alt. habet ὑφαίνοντας. Id.

Digitized by Google

uxorem suam, quo tempore ab impuritate sua se repurgabat, ingrederetur [9] : multi autem cum uxoribus, dum in menstruo sunt, aut sese perpurgant, aut etiam prægnantes sunt, libidinis œstro vel potius furore perciti congrediuntur, atque illæ nescio quonam pacto id ferunt (quamvis animantes rationis expertes post conceptum ad venereum congressum minime occurrant. Qua etiam ratione nonnullis placet, feminam θηλυτέραν dictam esse habita comparatione cum feminis animantibus, propterea quod hæ ob generis duntaxat propagationem coitum admittant : mulieres autem fortasse ob salacitatem et impudicitiam, tametsi alioqui muliebris libido atque appetentia exstinguatur. Natura enim vel in effingendo atque efformando fetu recens nato, vel in corporis purgatione occupatur); porro sæpenumero contingebat, ut viri semen cum impuro mulieris semine permistum, corpus haud purum ac probe temperatum, verum variis ac multiplicibus morbis obnoxium effingeret : his malis ut occurreret legislator, eos qui ex hujusmodi concubitu nati essent, a templi aditu hoc loco proscripsit, atque a sacris conventibus submovit, ut ne in posterum hujusmodi flagitia perpetrare auderent. Quod autem hæc causa sit, ex iis quæ apud Ezechielem scripta sunt, liquido apparet. **158** Illic enim Deus probum virum laudibus efferens, peccatorem autem insectans, illum cum muliere menstruata consuetudinem minime habuisse ait, hunc autem habuisse. Quod si illud dixeris, iis, qui flagitia admisissent, pœnam constitui oportuisse, hoc ego responderim : Et quod tandem gravius supplicium excogitari potest? Nam cum eos, quos in lucem ediderint, quosque multo etiam quam se clariores ac celebriores videre optabant, nec precationum, nec solemnitatum, nec urbium, nec sacrorum conventuum participes esse perspiciunt, cogites velim quo doloris cruciatu afficiantur. Ac propterea illud quoque, ni opinione fallor, lege sancitum est : Et erit, omnis anima, quæ non circumcisa fuerit die octavo, exterminabitur e populo suo [10]. Quod quidem nonnulli ex iis, qui hoc dictum ad animæ circumcisionem transtulerunt, tanquam a ratione alienum rejecerunt. Dicendum enim erat, inquiebant, eum qui non circumcideret filium suum, exterminatum iri, non autem immaturæ ætatis infantem. Ego vero etsi ad animam proprie spectat hic sermo, tamen ne litteralem quidem sensum improbo ac rejicio. Nam hic quoque eadem sententia servabitur. Siquidem parentibus acerbius est supplicium, cum pueri exitio dantur. Nam pueri fortasse, si, antequam ad eam ætatem pervenerint, quæ bona et mala inter-

A ἑδρῳ οὔσαις καὶ καθαιρομέναις ταῖς γυναιξὶν, ἢ καὶ ἐγκύοις τυγχανούσαις, δι' οἶστρον καὶ ἀκολασίαν, μᾶλλον δὲ μανίαν, ὁμιλοῦσι, κἀκεῖναι οὐκ οἶδ' ὅπως ἀνέχονται (67) (καίτοι τῶν ἀλόγων ζώων μετὰ τὴν σύλληψιν εἰς κοινωνίαν μὴ ἀπαντώντων. Διὸ καὶ θηλυτέραν φασί τινες κεκλῆσθαι τὴν γυναῖκα, κατὰ σύγκρισιν τῶν θηλέων ζώων, ὡς τούτων μὲν διὰ τὴν διαδοχὴν τοῦ γένους καταδεχομένων τὴν κοινωνίαν· τῶν δὲ γυναικῶν ἴσως δι' οἶστρον καὶ ἀκολασίαν, καίτοι τότε σβεννυμένης τῆς γυναικείας ἐπιθυμίας. Ἡ γὰρ φύσις, ἢ περὶ τὴν διάπλασιν τοῦ ζώου ἀσχολεῖται, ἢ περὶ τὴν κάθαρσιν)· συνέβαινε δὲ πολλάκις

B τὸ τοῦ ἀνδρὸς σπέρμα, τῷ ἀκαθάρτῳ τῆς θηλείας αἵματι μιγνύμενον, σῶμα ἀναπλάττειν οὐ καθαρὸν, οὐδὲ εὔκρατον, ἀλλὰ ποικίλοις πάθεσιν εὐάλωτον· ταῦτα βουλόμενος ὁ νομοθέτης προαναστεῖλαι τὰ κακὰ, τοὺς ἐκ τ[οι]ούτων συνουσιῶν τεχθέντας, ἀπεκήρυξεν ἐνταῦθα, καὶ τῶν ἱερῶν συνόδων ἀφώρισεν, ἵνα μηκέτι τολμήσαιεν τοιαῦτα δρᾶν. Ὅτι δὲ αὕτη ἐστὶν ἡ αἰτία, δῆλον ἐκ τῶν ἐν τῷ Ἰεζεκιὴλ ἀναγεγραμμένων. Ἐκεῖσε γὰρ τὸν μὲν δίκαιον ἀνακηρύττων ὁ Θεὸς, τὸν δὲ ἁμαρτωλὸν ἀποκηρύττων, τὸν μὲν

C ἔφησε γυναικὶ ἐν ἀφέδρῳ οὔσῃ μὴ προσεληλυθέναι, τὸν δὲ προσεληλυθέναι. Εἰ δὲ φαίης, Τοῖς δρῶσι τὴν τιμωρίαν ὥρισαι ἐχρῆν, φαίην· Καὶ ποία ταύτης τιμωρία χαλεπωτέρα; Ὅταν γὰρ ἴδοιεν τοὺς ἐξ αὐτῶν τεχθέντας, οὓς ηὔχοντο πολλῷ ἑαυτῶν δοκιμωτέρους (68) ἰδεῖν, μήτε εὐχῶν, μήτε πανηγύρεων, μήτε πόλεων, μήτε ἱερῶν συνόδων μετέχοντας· σκόπει πόσην ὑποστήσονται βάσανον. Διὰ γὰρ τοῦτο, κἀκεῖνο, ὡς οἶμαι, νενομοθέτηται, Καὶ ἔσται πᾶσα ψυχὴ, ἥτις

D ἂν μὴ περιτμηθῇ τῇ ὀγδόῃ ἡμέρᾳ, ἐξολοθρευθήσεται ἐκ τοῦ λαοῦ αὐτῆς. Ὅπερ τινὲς ὡς ἄλογον παρεγράψαντο (69), τῶν εἰς τὴν τῆς ψυχῆς περιτομὴν τὸ ῥητὸν μετακομισάντων. Ἐχρῆν γὰρ, ἔφασαν, ῥηθῆναι, τὸν μὴ περιτέμνοντα τὸ παιδίον αὐτοῦ ἐξολοθρευθῆναι, μὴ μὴν τὸ ἄωρον νήπιον. Ἐγὼ δὲ, εἰ καὶ πρὸς τὴν ψυχὴν βλέπει κυρίως ὁ λόγος, οὐδὲ τὸ γράμμα παραγράφομαι. Κἀνταῦθα γὰρ ἡ αὐτὴ ἔννοια σωθήσεται. Τοῖς γὰρ πατράσιν ἀργαλεωτέρα ἐστὶν ἡ τιμωρία, ὅταν τὰ παιδία ἐξολοθρευθεῖεν. Ἐκεῖνα μὲν γὰρ τυχὸν, εἰ καὶ πρὸ τῆς διαγνωστικῆς τῶν καλῶν καὶ τῶν οὐ τοιούτων ἡλικίας τελευτήσοιεν, οὐδ' εἰ ἐν τιμωρίᾳ γεγόνασιν, εἴσονται. Εἰ δὲ καὶ ἔλθοιεν εἰς τὴν διαγνωστικὴν ἡλικίαν, οὐ πάνυ χαλεπῶς ἐνέγκοιεν τὸ πρᾶγμα, τῆς συνηθείας τὴν τιμωρίαν ἐξευμαριζούσης, καὶ μάλιστα, ὅτε (70) οὐδὲ ἑκούσιόν ἐστι τὸ ἔγκλημα. Οἱ δὲ γονεῖς ἀνυπόστατον ὑπομενοῦσι τὴν τιμωρίαν. Εἰ τοίνυν νενόηταί σοι τὸ εἰρημένον περὶ τῶν ἀκουσίων παθῶν (περὶ γὰρ τῶν ἑκουσίων οὐκ ἂν οἶμαί σε ζητήσειν· οἶσθα γὰρ ὡς Ὀζίας τῇ ἱερωσύνῃ οὐ δεόντως ἐπιπηδήσας, καίτοι

[9] Levit. xv, 24. [10] Gen. xvii, 14.

VARIÆ LECTIONES ET NOTÆ.

(67) Codd. iidem, καταδέχονται. Possin.

(68) Pro δοκιμωτέρους corrige ex iisdem codd. ὑδοκιμωτέρους. Id.

(69) *Παρεγράψαντο.* Hujus verbi e regione in ora cod. Alt. alia lectio suggeritur παρετρέψαντο. Id.

(70) Pro ὅτε cod. Vat. 649 scribit, ὅτι. Id.

Digitized by Google

βασιλεὺς ὢν, ἐλεπρώθη), τῷ Θεῷ χάριν ἴσθι. Εἰ δὲ μὴ, ἀποδοχῆς ἂν εἶην δίκαιος παρὰ τῶν νοούντων τυχεῖν, ὅτι τὸ πρέπον καὶ τὸ σεμνὸν τῆς σαφηνείας ἐνταῦθα προετίμησα, τὰ τῆς φύσεως μὴ ἐκπομπεύσας μυστήρια.

A noscendi facultatem habet, e vita discesserint, ne quidem scient an pœnam aliquam pertulerint : quod si etiam ad eam ætatem accesserint, ne graviter quidem et acerbe hanc rem fortasse tulerint, consuetudine nimirum pœnam leviorem reddente : ac præsertim cum ne voluntaria quidem culpa est. At parentes intolerandum cruciatum sustinebunt. Quocirca si illud abs te intellectum est, quod de minime voluntariis vitiis dictum est (nam de voluntariis te quæsiturum haud reor. Nec enim te fugit, Osiam, propterea quod contra jus fasque in sacerdotii munus insiliisset, quamvis etiam rex esset, lepram tamen contraxisse), Deo gratiam habe. Sin secus, hoc certe nomine a prudentibus viris mea ratio comprobari debeat, quod hoc loco decori atque honesti majorem rationem habui, quam perspicuitatis, naturæ videlicet arcanis haudquaquam evulgatis.

ΠΒ'. — ΙΩΑΝΝΗ ΣΧΟΛΑΣΤΙΚΩ.

Οὐδεὶς, ὡς ἔγωγε οἶμαι, ἀνδρεῖον ἔχων φρόνημα, καὶ τῆς τοῦ ἀνδρὸς προσηγορίας ἄξιος, τῇ τῶν ἀνδρογύνων θέᾳ ἁλίσκεται, τῶν τὸν ἀνθρώπινον ἐξορχουμένων βίον· καὶ τὸ τηνικαῦτα μάλιστα εὐδοκιμούντων, ἡνίκα ἂν ὡς μάλιστα ἐκκαυθῶσιν.

B Nemo, ut opinor, qui quidem virilem animum habeat, ac viri nomine dignus sit, cinædorum spectaculo capietur, qui humanam vitam palam enuntiant, ac tum maxime clari ac celebres sunt, cum maxime exarserint.

ΠΓ'. — ΑΙΜΙΛΙΑΝΩ ΚΑΙ ΠΕΛΑΓΙΩ ΔΙΑΚΟΝΟΙΣ.

Ὅτι μὲν λόγος πραῦς καὶ πάνσοφος, βοηθήματος δίκην σβέσαι δύναται θυμὸν ἐκ μέσης καρδίας ζέοντα, μάλα ἀκριβῶς οἶδα. Εἰ δὲ καὶ ἐν τοῖς ἡμετέροις λόγοις ἔνεστι φάρμακον εὑρεῖν κοιμίσαι δυνάμενον, τοῦτο δὴ οὐκέτι σαφῶς ἐπίσταμαι. Ἀλλ' εἰ μὲν ἀνύσω, διεσχυρισαίμην. Εἰ δὲ διαμάρτοιμι, μάλιστα μὲν λυπηθείην· ἥκιστα δὲ ἐμαυτὸν μεμψαίμην (71). Οὐκοῦν ἐπειδὴ ἡ ἔρις ἡ ὑμετέρα οὐρανομήκης, ὡς φασι, γεγενημένη, οὐ μόνον ὑμᾶς, ἀλλὰ καὶ πολλοὺς ἄλλους εἰς τὰ καίρια ἔτρωσε, βουλοίμην ὑμᾶς (72) ταύτην μὲν σβέσαι καὶ ἀφανίσαι, εἰς δὲ φιλίαν παλινδρομῆσαι· εἰ δὲ τοῦτο τέως, ὥς φασί τινες, οὐχ οἷόν τε, κἂν τῇ σιωπῇ ἐκνευρίσαι τὴν ἄμετρον φιλονεικίαν, καὶ μὴ ῥητοῖς καὶ ἀῤῥήτοις ῥήμασι ταύτην αὐξῆσαι. Ἦν γὰρ παύσησθε ἃ μὴ θέμις καθ' ἑαυτῶν φθεγγόμενοι, ἠρέμα καὶ κατὰ μικρὸν σβεσθεῖσα ἡ ἔρις καὶ καταπεσοῦσα, τὴν φιλίαν ἀναζωπυρῆσαι παρασκευάσει. Ὥσπερ γὰρ τοῖς κάμνουσι τὸ μὴ χεῖρον ἔχειν, ἀρχὴ γένοιτ' ἂν τοῦ βέλτιον ἔχειν (ἡ γὰρ ἐν τοῖς ὀξυτάτοις νοσήμασι ταυτότης, βελτίωσις εἰκότως ἐνομίσθη)· οὕτω καὶ ὑμῖν μάλα κάμνουσι (μὴ γὰρ δὴ ὑγιαίνειν νομίζετε, τοιαῦτα εἰς ἀλλήλους παροινοῦντες), τὸ μὴ ἐπιτριβῆναι τὸ πάθος, ἀρχὴ γένοιτ' ἂν διορθώσεως. Εἴτε οὖν ὑμῖν τέλεον ἀφανίσαι δόξειε τὴν ἔχθραν, εἴτε μὴ περαιτέρω προελθεῖν, οὐκ ἀφαιρήσομαι ἐμαυτοῦ τὸ εὐέλπι ἄξιον εἶναι λόγου, διὰ λόγους κριθήσεσθαι.

LXXXIII. — JOANNI SCHOLASTICO.

LXXXIII. — ÆMILIANO ET PELAGIO DIACONIS.

Quod sermo blandus ac sapientiæ plenus medicamenti cujusdam instar iracundiam e medio corde ferventem exstinguere queat, perquam exploratum habeo. Num autem in nostris quoque sermonibus pharmacum **159** quoddam, quod iram sedare atque consopire possit, invenire liceat, illud vero non item explorate novi. Verum si quidem aliquid profecisse affirmem, præclare res habebit. Sin autem conatus meus frustra fuerit, maximum quidem mœrorem accipiam, at minime tamen mihi ipsi succensebo. Quoniam igitur contentio ac simultas vestra in longissimum usque porrecta, non modo vos, sed etiam multos alios gravissime convulneravit, illud quidem pervellem, vos eam exstinguere ac delere, atque ad amicitiam redire. Si vero hoc nondum, ut quidam aiunt, fieri potest, at certe immodicam hanc contentionem animorumque pertinaciam silentio enervare, ac non dicendis tacendisque eam adaugere. Nam si, quæ nefas est, alter adversus alterum proloqui desinatis, sensim ac paulatim exstincta et prostrata contentio, ut amicitia excitetur, efficiet. Quemadmodum enim iis, qui adversa valetudine laborant, gravius non se habere, melius se habendi initium fuerit (etenim in acutissimis morbis idem valetudinis status pro meliore statu haud immerito habetur) : sic etiam vobis gravi morbo correptis (neque enim est quod vos ipsos sanos esse existimetis, dum alter in alterum ita debacchamini), si morbus non ingravescat, sanationis principium hoc fuerit. Quare sive vobis placeat, sive eam non longius progredi, mihi ipsi bonam spem non eripiam : sermonemque, ut maledicos sermones comprimam, bene impensum esse censebo.

ΠΔ'. — ΘΕΩΝΙ ΕΠΙΣΚΟΠΩ.

Εἰ μὲν ἐμοὶ πείθοιο, μηδ' ὅλως· εἰ δὲ σαυτῷ, μὴ

LXXXIV. — THEONI EPISCOPO.

Si mihi morem gerendum putas, nullo modo : sin

VARIÆ LECTIONES ET NOTÆ.

(71) Codd. Vat. 649 et Alt. legunt ἐμαυτῷ μεμψοίμην. Possin.

(72) Vocem ὑμᾶς ex Vatic. inseruimus, ut vers. seq., τέως post τοῦτο, et epistolæ versu penultimo εὐελπι pro εὐέλπιστον recepimus. Edit. Patr.

Digitized by Google

autem tibiipsi, ne hostes tuos in necessitatem admodum redigas atque concludas : ne alioqui in extremis rerum difficultatibus necessitatem (quæ subditis sibi a desperatione stimulis, miram ad contumaciam vim habet) in consilium adhibentes, iis malis te multent, quibus eos multare cogitas. Illa enim rerum earum, quæ geruntur, inspectrix justitia, persæpe ob victorum insolentiam et importunitatem, rerum statum in contrarium commutat.

πάνυ εἰς ἀνάγκην κατάκλειε τοὺς σαυτοῦ ἐχθρούς (73)· μήποτε σύμβουλον ἐν ταῖς ἀμηχανίαις λαβόντες τὴν ἀνάγκην (ἡ δ' ἐστὶ δεινὴ πρὸς ἀπόνοιαν (73'), ὅταν ἀπόγνωσις αὐτὴν ἐρεθίζῃ), τοιαῦτά σε δράσωσιν, οἷα δρᾶν αὐτοὺς μελετᾷς· ἡ γὰρ ἔφορος τῶν δρωμένων δίκη, πολλάκις δι' ἀπληστίαν τῶν νικώντων, εἰς τοὐναντίον τὰ πράγματα περιίστησιν.

LXXXV. — EULOGIO PRESBYTERO.

Sic existimo dæmonem ne probo quidem ac sancto viro reluctari posse. Idque tum ex eo constat, quod apostoli dæmones in fugam agebant [11], tum ex eo quod Paulus Pythonem gentilium cultum sursum deorsumque miscentem sermone profligavit ac depulit [12]. Quin in martyrum quoque templis gratia ea quæ sanctorum virorum corporibus insidet, eos excruciat. Si igitur hæc ita se habent (quemadmodum ipsamet rerum experientia ostendit), quonam pacto dæmon angelo reluctari potuisset ? At nimirum opinor (neque enim affirmo, verum sententiam duntaxat meam profero) id hinc contigisse, ut auctor est Moses, **160** quod cuique nationi angelus attributus est. «Quando enim dividebat gentes Altissimus, inquit ille, quando separabat filios Adam : constituit terminos populorum juxta numerum angelorum Dei [13]. » Quod si dixeris : Quonam igitur modo alter alteri non cedebat? sic respondeam : maxime quidem alterum alteri cessisse : cæterum utrumque divinæ legis præsidio munitum atque obseptum fuisse. Alter enim divinum jussum obtendebat : quod, ut Judæi, etiam nolentes, minimeque resipiscentes, capitivitate liberarentur, sanciebat. Alter autem Judæorum flagitiis nitens, justum esse contendebat, eos adhuc in exsilio manere. Nam cum Deus ipsis, si pietatem coluissent, atque ex virtute vixissent, reditum in patriam promisisset, valere oportere illud dictum aiebat, propterea quod a pœnitentia abhorrerent, ac ne ad supplices quidem preces Deo adhibendas sese convertissent. Nam quod Deus improborum quoque odium laudet, ex iis, quæ circa Phinees contigerunt, conjecturam facere possumus. Nam cum duas cædes uno eodemque temporis puncto perpetrasset, Deus eum sacerdotio do-

ΠΕ'. — ΕΥΛΟΓΙΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Ἡγοῦμαι, ὅτι οὐδ' ἀνθρώπῳ ἁγίῳ δαίμων ἀντιστῆναι ξυνήσεται (74). Καὶ ὅῆλον μὲν ἀφ' ὧν οἱ ἀπόστολοι δαίμονας ἤλαυνον. Δῆλον δὲ καὶ ἀφ' ὧν ὁ Παῦλος τὸν Πύθωνα, τὸν τὰ Ἑλλήνων ἄνω καὶ κάτω κυκῶντα λόγῳ ἀπήλασε. Κἀν τοῖς μαρτυρίοις δὲ ἡ ἐφεδρεύουσα τοῖς σώμασι τῶν ἁγίων χάρις, τούτους βασανίζει. Εἰ τοίνυν ταῦθ' οὕτως ἔχει, ὡς ἡ τῶν πραγμάτων δείκνυσι πεῖρα, πῶς ἀγγέλῳ (75) ἀντιστῆναι ἠδύνατο; Ἀλλ' οἶμαι (οὐ γὰρ διατείνομαι (76), ἀλλὰ γνώμην ἀποφαίνομαι), ὅτι ἐπειδὴ κατὰ τὸν Μωσέα ἑκάστῳ ἔθνει ἄγγελος ἀπενεμήθη (77). « Ὅτε γὰρ διεμέριζε, φησὶν, ὁ Ὕψιστος ἔθνη, ὡς (78) διέσπειρεν υἱοὺς Ἀδάμ, ἔστησεν ὅρια ἐθνῶν κατὰ ἀριθμὸν ἀγγέλων Θεοῦ. » Εἰ δὲ φαίης· Πῶς οὖν οὐ παρεχώρει θάτερος θατέρῳ; φαίην, ὅτι μάλιστα μὲν παρεχώρησε, πλὴν ἀμφότεροι τῷ θείῳ διισχυρίζοντο νόμῳ. Ὁ μὲν γὰρ τὸ θεῖον προεβάλλετο πρόσταγμα, τὸ θεσπίζον ἀπολυθῆναι τῆς αἰχμαλωσίας, καὶ μὴ βουλομένους, μηδὲ μετανοήσαντας τοὺς Ἰουδαίους· ὁ δὲ ταῖς τῶν Ἰουδαίων ἰσχυριζόμενος πράξεσι, μένειν ἔτι αὐτοὺς ἐν τῇ ὑπερορίᾳ, δίκαιον εἶναι ἔφασκε. Τοῦ γὰρ Θεοῦ εὐσεβοῦσί τε καὶ δικαιοπραγοῦσιν ἐπαγγειλαμένου τὴν ἐπάνοδον, κρατεῖν δεῖν ἔλεγε τὸ πρόσταγμα, ἀμετανοήτων ὄντων, καὶ μηδ' εἰς ἱκεσίαν τραπέντων. Ὅτι γὰρ καὶ τὸ μισοπόνηρον ἐπαινεῖ ὁ Θεὸς, τεκμηριοῖ τὰ κατὰ τὸν Φινεὲς γεγονότα. Δύο γὰρ φόνους αὐτὸν ἐργασάμενον, ἐν μιᾷ καιροῦ ῥοπῇ, ἱερωσύνῃ τετίμηκεν· οὐκ ἂν τοῦτο ποιήσας, εἰ ἀγαθότητα μόνην ἐνομοθέτει. Ἐπειδὴ δὲ καὶ ὁ νόμος διηγόρευε, τὸν ἐξ Ἑβραίων δουλεύοντα ἑβδόμῳ ἔτει ἐλευθεροῦσθαι, εἰ δὲ μὴ ἐθέλει, προσάγεσθαι τῇ θύρᾳ τῆς σκηνῆς, καὶ τρυπᾶσθαι αὐτοῦ τὸ ὠτίον, καὶ μένειν δοῦλον αἰώνιον· τοῦ δὲ χρόνου τῆς ἐλευθερίας φοιτήσαντος, οὐδεμίαν οὗτοι αὐτῆς κρατεῖ· Θεὸς γὰρ ῥύεται τὸν εὐσεβῆ ἐκ παντὸς κακοῦ· τὸ γὰρ ἓν καὶ μόνον ἐν ἀνθρώποις ἔστιν ἀγαθὸν εὐσέβεια. Ritt.

(73) Vocem ἀγγέλῳ ex cod. Vatic. 649 supplevimus, deleto asterisco. Edit. Patr.

(76) *Οὐ γὰρ διατείνομαι.* De Isidori modestia commemorabili et omnibus imitanda vide notata ad ep. 112 libri IV, et Indicem. Ritt.

(77) *Ὅτι ἑκάστῳ ἔθνει ἄγγελος ἀπενεμήθη.* Sic Joan. Chrysostomus homilia in Natalem Domini, ὅτι ἑκάστῳ κλίματι ἐφεστήκασιν ἄγγελοι. Id.

(78) E regione ὡς cod. Alt. notat in margine οὓς. Possin.

[11] Act. v, 16. [12] Act. xvi, 16 seqq. [13] Deut. xxxii, 8.

VARIÆ LECTIONES ET NOTÆ.

(73) Huc pertinet præceptum illud militare, cum desperatis non esse dimicandum; item, hosti fugienti aureum pontem esse substernendum. Ratio hic redditur ab Isidoro. Vide et Onosandri *Στρατηγικὸν*, et Justi Lipsii *Politic.* Ritt.

(73') Pro ἀπόνοιαν cod. Vat. 649 scribit ἐπίνοιαν, et eam lectionem cod. Alt. ut arbitrariam in margine proponit, cum in contextu pariter cum Sfortiano et editis consentiat. Possin.

(74) *Ὅτι οὐδ' ἀνθρώπῳ ἁγίῳ δαίμων ἀντιστῆναι δυνήσεται.* Sic Hermes Trismegistus apud Lactantium : Μία φυλακὴ ἀνθρώποις εὐσέβεια· εὐσεβοῦς γὰρ ἀνθρώπου οὔτε δαίμων κακὸς, οὔτε εἱμαρμένη

Digitized by Google

ἐποιοῦντο πρόνοιαν (ἴσως ἐμφιλοχωρήσαντες τοῖς βαρβάροις, καὶ τὴν ἐκείνων ἀσέβειάν τε καὶ πολιτείαν ζηλώσαντες)· ὁ τῶν Περσῶν ἄγγελος οὐδαμῶς αὐτοῖς προσήκειν τὴν ἐλευθερίαν διεσχυρίζετο, εἴπερ ὁ νόμος τοὺς μὲν θέλοντας ἐλευθεροῖ, κατὰ δὲ τῶν ἐθελόντων δουλεύειν, κυροῖ τῆς δεσποτείας τὴν ψῆφον, οὐκ ἀπανθρωπίᾳ νικώμενος, ἀλλὰ τὸ δίκαιον ὑποτιθέμενος. Ὁ δ' ἕτερος ἄγγελος τὴν ἀγαθότητα ἔμπροσθεν τοῦ δίκαιου τιθέμενος, τὴν θείαν χάριν ᾤετο δεῖν νικᾶν, τὴν καὶ ἀναξίους αὐτοὺς ὄντας ἐλευθεροῦσαι προηρημένην. Ὥστε ἀμφότεροι τῷ θείῳ νόμῳ συνηγωνίζοντο, ὁ μὲν μισοπόνηρος ὤν, ὁ δὲ ἀγαθός. Ἀμφότερα γὰρ ὁ Θεὸς ἐπαινεῖ, ἐνίκησε δὲ ἡ χάρις, τῆς ἀγαθότητος τὸ δίκαιον παραγραψαμένης. Ἕωλος γὰρ πᾶς λόγος μετὰ τὴν θείαν ψῆφον· πολλάκις γὰρ καὶ στρατιωτῶν ἀμφισβητούντων πρὸς ἑαυτούς, καὶ ἑκατέρου μέρους τὸ δίκαιον προβαλλομένου, ἡ τοῦ βασιλέως ψῆφος λύει τὴν φιλονεικίαν. Ταῦτα δὲ καὶ ἐλέγετο καὶ ἐγίνετο πρὸς τὸ συμφέρον, ὥστε τὸν μὲν Δανιὴλ γνῶναι, ὅτι εἰσηκούσθη, τὸν δὲ λαὸν ἀκούσαντα, ὅτι καὶ ἀνάξιον αὐτὸν ὄντα σώζει, διά τε τὴν οἰκείαν ἐπαγγελίαν, καὶ τὴν τοῦ δικαίου πρεσβείαν, σωφρονέστερον γενέσθαι, καὶ ἐπιθυμῆσαι τῆς ἐπανόδου, ὡς μεγίστων τευξόμενον ἀγαθῶν, εἰ τῆς πατρίδος αὖθις ἀξιωθείη.

navit[14]. Quod profecto non fecisset, si bonitatem solam lege lata promulgasset. Quoniam autem lex quoque illud præscribebat, ut qui ex Hebræorum populo servitutis jugum traheret, septimo anno manumitteretur, quod si id nollet, ad tabernaculi ostium adduceretur, ipsiusque auris perforaretur, servusque per omnem vitæ cursum permaneret[15]; Judæi porro, cum liberationis tempus appetiisset, nulla ipsius cura tangebantur (fortasse quia libenter inter barbaros commorarentur, eorumque impietatem ac vitæ genus imitarentur), ideirco Persarum angelus libertatem nullo modo ad eos attinere asserebat (siquidem lex, ut volentes quidem in libertate vindicat, sic contra dominationis calculum atque sententiam adversus eos, qui servire volunt, confirmat, non illa quidem in hac re crudelitate superata, verum quod justum est, præcipiens); alter autem angelus, bonitatem justitiæ anteponens, divinam gratiam, quæ ipsos, quanquam immerentes liberare constituerat, victoriam ferre debere censebat. Ac proinde uterque divinæ legi subsidium ferebat, ille nimirum quod improborum odio teneretur, hic autem quod benignitate præditus esset. Deus enim utramque virtutem laudat: vicit autem ad extremum gratia, bonitate videlicet justitiam submovente. Putida quippe post divinam sententiam est omnis oratio. Nam etiam persæpe, duobus militibus inter se contendentibus, atque utraque parte jus sibi vindicante, regis calculus jurgium exstinguit. Hæc autem utilitatis causa tum dicebantur, tum fiebant: nempe ut et Daniel preces suas exauditas esse intelligeret, et populus cum se a Deo, partim ob ipsius pollicitationem, partim ob justi viri deprecationem, etiam immerentem salutem consequi audiisset, ad meliorem frugem se reciperet, reditumque expeteret, tanquam ingentibus bonis potiturus, si divino beneficio in patriam rediret.

ΠΖ'. — ΕΥΔΑΙΜΟΝΙ ΣΧΟΛΑΣΤΙΚΩ.

Ἐπειδὴ γέγραφας δι' ἣν αἰτίαν πολλοὶ πολλάκις τὰ αὐτὰ πεπλημμεληκότες, οὐ τὴν αὐτὴν ἔδοσαν δίκην· φημί. Ἐπειδὴ πολλή ἐστι τοῦ κριτοῦ ἡ ἀκρίβεια. Ἐν γὰρ τοῖς πταίσμασιν οὐ τὸ εἶδος ζητεῖται μόνον τοῦ ἁμαρτήματος, ἀλλὰ καὶ ἡ γνώμη τοῦ ἁμαρτόντος, καὶ τὸ ἀξίωμα, καὶ ὁ καιρὸς, καὶ ὁ τόπος, καὶ τὸ γένος (79), καὶ μετὰ τὴν ἁμαρτίαν εἰ ἐλυπήθη, εἰ ἤσθη, εἰ ἀναλγήτως διετέθη, εἰ ἐνέμεινεν, εἰ μετέγνω, εἰ ἐκ περιστάσεως, εἰ κατὰ ἀγάπην (80), εἰ κατὰ μελέτην. Καὶ πολλὰ ἕτερά ἐστι, δι' ὧν ἡ βάσανος αὕτη χωρεῖ· καὶ καιροῦ διαφορὰ ἐξετάζεται, καὶ πολιτείας κατάστασις. Οὐ γὰρ ὁ πρὸ νόμου, καὶ μετὰ νόμον, καὶ μετὰ τὴν χάριν τὴν αὐτὴν ἁμαρτίαν ἁμαρτὼν, τὴν αὐτὴν δίκην ὑφέξει· ἀλλ' ὁ μὲν ἡμερωτέραν, ὁ δὲ ἀκριβεστέραν, ὁ δὲ ἀπαραίτητον. Ταῦτα γὰρ πάντα διαρρήδην ἐν ταῖς ἱεραῖς Γραφαῖς κεκήρυκται.

161 LXXXVI. — EUDÆMONI SCHOLASTICO.

Quoniam per litteras ex me quæsivisti, quidnam sit, quamobrem multi persæpe iisdem flagitiis admissis non iisdem pœnis affecti fuerint: respondeo id hinc fieri, quod magna sit judicis integritas et sinceritas. Etenim in peccatis, non ipsa tantum peccati species quæritur, verum etiam ejus qui peccavit animi sententia, et dignitas et tempus, et locus, et sexus: et post admissum scelus, an ex scelere voluptatem ceperit, an omni doloris sensu caruerit, an in scelere perstiterit, an pœnitentia ductus sit, an casu aliquo peccarit, an ex amore, an de industria. Ac multa item alia sunt, per quæ hoc examen grassatur. Nam et temporis discrimen expenditur, et vitæ degendæ status. Non enim is qui ante legem et qui post legem, et post gratiam, idem peccatum admisit, eadem pœna multabitur: verum ille mitiore, alter graviore, postremus acerbissima. Hæc enim omnia in sacris Scripturis aperte prædicata sunt.

ΠΗ'. — ΠΙΣΤΩ ΔΙΑΚΟΝΩ.

Ταῦτα καὶ λέγε, καὶ πρᾶττε, δι' ὧν καὶ εἶης καὶ

LXXXVII. — PISTO DIACONO.

Hæc et dicito, et facito, per quæ et sis et

[14] Num. xxxv, 1 seqq. [15] Exod. xxi, 1 seqq.

VARIÆ LECTIONES ET NOTÆ.

(79) Pro τὸ γένος cod. Vat. 649 legit ἡ ῥίζα, et cod. Alt. in margine eamdem lectionem offert, in contextu tamen edito consonans, uti et cod. Sfort. Possin.

(80) *Εἰ κατὰ ἀγάπην.* Bill., *an ex amore.* Melius puto quod in B. C. [et cod. Vat. 649 et Alt.] legitur, ἀπάτην, id est, *an dolo et fraude inductus.* Ritt.

Digitized by Google

existimeris, non modo piissimus, verum etiam justissimus.

A νομίζοιο, οὐ μόνον εὐσεβέστατος, ἀλλὰ καὶ δικαιότατος.

LXXXVIII. — ASCLEPIO EPISCOPO.

Quoniam ad me scripsisti te mirari quod Christus discipulos suos, qui mulierem eam, quæ ingentis pretii unguentum effundere minime dubitarat, increpuerant, represserit [16], præsertim cum eorum sermo pauperum commodis consulere videretur; hoc aio: Eum qui de eleemosyna tot ac tantos sermones habebat, eamque sacrificiis anteponebat, nunc eamdem, quod tu existimas, minime propulisse. Nam qui dixit, «Misericordiam volo, et non sacrificium [17];» et: «Beati misericordes, quoniam ipsi misericordiam consequentur [18];» et: «Quandiu fecistis uni ex fratribus meis minimis, mihi fecistis [19],» haudquaquam in contrarium recidisset. Verum quoniam mulier ea quæ accesserat, oleum effundere antevertit, absurdissimum esse divina sapientia judicavit ipsius fidem obterere. Atque ipsius patrocinium suscepit, iisque verbis usus est, «Bonum opus fecit [20].» Ac vide sapientiam omni orationis facultate præstantiorem. Non enim dixit, Bonum opus factum est, sed, *fecit*. Neque enim ipsum facinus privatim expendit, verum una cum mulieris persona; perinde ac si diceret: Quandoquidem semel hoc fecit, laude atque commendatione digna est. Quamobrem perfectam quamdam ac numeris omnibus absolutam virtutem ab ea ne requiramus: verum, qua fieri potest, coronam ei texamus. Nam si non hoc sensu mulierem comprobasset, omnibus profecto, ut ejus exemplum sequerentur, lege lata indicere oportebat. Porro cum nihil ejusmodi dixerit, **162** satis argumenti dedit se ob indulgentem quamdam demissionem eam comprobasse. Nam si cum dixisset, *fecit*, id sane pro lege habeatur; si autem, cum id fecisset, eam in animi anxietatem minime conjecit, non est cur quisquam indulgentiam hujusmodi in legem trahat. Nam cum sacrificia in Veteri Testamento permissa postea everterit, quonam pacto, quæ hic ne permisit quidem, lege lata sanxisset? Quemadmodum enim, si ante effusum unguentum interrogatus fuisset, haud dubie illud vendi et pauperibus dari jussisset: sic, posteaquam effusum fuerat, mulieris fidem per objurgationem exstinguere absurdum erat. Atque ad eumdem quoque modum nunc faciunt probatissimi quique sacerdotes. Nam si quis dicat, Consecrare atque appendere aliquid volo, id eum pauperibus dare jubent. Sin autem id jam ipse fecerit, non modo eum non increpant, verum etiam blande ac leniter admittunt; non quod hoc illo melius ac præstantius esse ducant (non enim propterea Christus venit, ut ecclesias auro et argento impleat), sed ne eum, qui hoc donarium obtulit, animi anxietate afficiant.

ΠΗ'. — ΠΡΟΣ ΑΣΚΛΗΠΙΟΝ ΕΠΙΣΚΟΠΟΝ.

Ἐπειδὴ γέγραφας θαυμάζειν ὅπως ὁ Χριστὸς τοὺς φοιτητὰς ἐπεστόμισεν ἐπιτιμήσαντας τῇ πολύτιμον μύρον ἐκχεῖν μὴ παραιτησαμένῃ (81), καίτοι δόξαντας τὸν ὑπὲρ τῶν πτωχῶν ποιεῖσθαι λόγον· φημί, ὅτι Οὐκ ἂν ὁ ἄνω καὶ κάτω περὶ ἐλεημοσύνης διαλεγόμενος, καὶ ταύτην τῶν θυσιῶν προκρίνων, νῦν ταύτην, ὡς νομίζεις, ἐξέβαλεν. Ὁ γὰρ λέγων, «Ἔλεον θέλω, καὶ οὐ θυσίαν·» καὶ, «Μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται·» καὶ, «Ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε,» οὐκ ἂν εἰς τοὐναντίον περιετράπη. Ἀλλ' ἐπειδὴ ἡ προσελθοῦσα γυνὴ ἐφθη ἐκχεῖν τὸ ἔλαιον, ἀτοπώτατον ἡγήσατο ἡ θεία σοφία πηρῶσαι αὐτῆς τὴν πίστιν. Διὸ καὶ συνηγόρησεν αὐτῇ, καὶ εἶπεν· «Ἔργον γὰρ καλὸν ἐποίησεν.» Ὅρα τὴν ἄῤῥητον σοφίαν. Οὐκ εἶπε, Καλὸν ἔργον γέγονεν, ἀλλ', *Ἐποίησεν*. Οὐ γὰρ αὐτὸ καθ' ἑαυτὸ τὸ πρᾶγμα ἐξετάζει, ἀλλὰ μετὰ τοῦ προσώπου τῆς γυναικὸς, οἱονεὶ λέγων· Ἐπειδὴ ἅπαξ ἐποίησεν, ἀποδοχῆς ἐστιν ἀξία. Μὴ τοίνυν τὴν ἀκρίβειαν παρ' αὐτῆς ἐπιζητήσωμεν, ἀλλ' ἀφ' ὧν οἷόν τέ ἐστι, στέφανον αὐτῇ πλέξωμεν. Εἰ δὲ μὴ τούτῳ τῷ νῷ ἀπεδέξατο τὸ γύναιον, ἐχρῆν νομοθετῆσαι πᾶσι μιμήσασθαι αὐτήν. Εἰ δὲ μηδὲν τοιοῦτον εἶπεν, ἔδειξεν, ὡς διὰ συγκατάβασιν ἐκείνην ἀπεδέξατο. Εἰ μὲν γὰρ εἰπόντος αὐτοῦ πεποίηκε, νόμος ἔστω· εἰ δὲ πεποιηκυῖαν οὐκ ἐπόρησε, μὴ εἰς νόμον ἀναγέτωσαν τὴν συγκατάβασιν. Εἰ γὰρ ἐν τῇ Παλαιᾷ τὰς θυσίας ἐπιτρέψας ὕστερον ἀνέτρεψε, πῶς ἐνταῦθα μηδὲ ἐπιτρέψας ἐνομοθέτησεν; Ὥσπερ γὰρ εἰ πρὸ τοῦ ἐκχεῖν ἠρωτήθη, ἐκέλευσεν ἂν αὐτὸ πραθῆναι, καὶ δοθῆναι πτωχοῖς· οὕτως μετὰ τὸ ἐκχυθῆναι ἄτοπον ἦν διὰ τῆς ἐπιτιμήσεως σβέσαι τῆς γυναικὸς τὴν πίστιν. Οὕτω καὶ νῦν ποιοῦσιν οἱ τῶν ἱερωμένων εὐδόκιμοι. Εἰ μὲν γάρ τις εἴποι, Ἀναθεῖναί τι βούλομαι, κελεύουσιν αὐτὸν δοῦναι πτωχοῖς· εἰ δὲ φθῇ ἐκεῖνος κατασκευάσαι, οὐ μόνον οὐκ ἐπιτιμῶσιν, ἀλλὰ καὶ ἡρέμα ἀποδέχονται, οὐ τοῦτο ἐκείνου προκρίνοντες· οὐδὲ γὰρ διὰ τοῦτο ἐπεδήμησεν ὁ Χριστὸς, ἵνα χρυσοῦ καὶ ἀργύρου τὰς ἐκκλησίας ἐμπλήσῃ (82)· ἀλλ' ἵνα μὴ τὸν ἀναθέντα ἀπορήσωσιν.

LXXXIX. — ALEXANDRO POETÆ.

Virtutem nihil est quod adæquet: non modo quia

ΠΘ'. — ΑΛΕΞΑΝΔΡΩ ΠΟΙΗΤΗ.

Ἀρετῆς ἴσον οὐδὲν, οὐ μόνον ὅτι καὶ ἀσυγκρίτῳ

[16] Matth. xxvi, 7 seqq. [17] Osee vi, 6; Matth. ix, 13. [18] Matth. v, 7. [19] Matth. xxv, 40. [20] Matth. xxvi, 10.

VARIÆ LECTIONES ET NOTÆ.

(81) Pro his verbis, τῇ πολύτιμον μύρον ἐκχεῖν μὴ παραιτησαμένῃ, codd. Vat. 649 et Alt. melius legunt, τὸ πολυτελὲς μῦρον ἐκχεῖν ὑπηρετησαμένῃ. Vers. 12, pro προσελθοῦσα, cod. Alt. scribit, προελθοῦσα. Vers. 6 ante finem ep. pro εἰ δὲ φθῇ cod. Vat. 649 legit εἰ δ' ἐφθη. Possin.

(82) Confer similem locum epist. 247 hujus libri. Ritt.

Digitized by Google

ὑπεροχῇ τῶν ἄλλων ἁπάντων διενήνοχεν, ἀλλ' ὅτι καὶ τὰ ἀνώμαλα πράγματα ἐξομαλίζει, καὶ τὰ ἄνισα ἐξισοῖ. Οὔτε γὰρ ἐν πενίᾳ ταπεινοῦται, οὔτε ἐν δουλείᾳ ἀνελευθέρους ὑπομένει διακονίας, οὔτε ἐν ἀδοξίᾳ συστέλλεται. Ἀλλ' οὐδ' ἐν πλούτῳ ἐξυβρίζει, οὔτε ἐν ἀρχῇ ἐπαίρεται, ἀλλὰ πᾶσι τούτοις τὴν ἑαυτῆς ἐπιβάλλουσα ἐπιστήμην, κανονίζει ταῦτα καὶ ῥυθμίζει, οὐκ ἐκείνοις ἑπομένη, ἀλλ' ἐκεῖνα τῇ ἑαυτῆς τέχνῃ ἀκολουθεῖν ἀναπείθουσα. Εἰ γὰρ χρὴ ἀκριβῶσαι τὸ Ὁμηρικὸν ἔπος, ὃ συνεχῶς (πρὸς κάλλος ἴσως σωματικὸν ἐπτοημένος) ἐπὶ στόματος, ὡς φασι, φέρεις, Καλή τε μεγάλη τε καὶ ἀγλαὰ ἔργ' εἰδυῖα (83), μᾶλλον περὶ ἀρετῆς εἰρῆσθαι δόξει, ἢ περὶ ἧς εἴρηται. Τί γὰρ αὐτῆς μεῖζον, τί δὲ κάλλιον (84); Τίς δὲ ταύτης λαμπρότερα ἐπίσταται ἔργα, τῆς καὶ τὰς ἀνωμαλίας τῶν πραγμάτων διὰ τῆς ἑαυτῆς φιλοσοφίας ἐξομαλιζούσης, καὶ ἴσον τὸ φρόνημα ἐν ἀνίσοις πράγμασι φυλαττούσης, καὶ ἀοίδιμον ἀπανταχοῦ ἑαυτῇ κατασκευαζούσης κλέος, καὶ τοὺς μὲν συμφοραῖς περιπίπτοντας παρακαλούσης, τοὺς δὲ ὑπὸ εὐημερίας ἐξυβρίζοντας σωφρονιζούσης; Πρὸς ταύτην τοίνυν τεῖνον σαυτοῦ τῆς ψυχῆς τὸ ὄμμα, καὶ ταύτης τὸ κάλλος περισκόπει, ἵνα ἐραστὴς αὐτῆς διάπυρος γενόμενος, ἐπαινοῖο παρὰ πάντων καὶ ἀνακηρύττοιο.

A incomparabili quadam exsuperantia res omnes alias antecellit, sed etiam quia res quoque minime planas et æquabiles complanat, et eas quæ minime æquæ sunt, exæquat. Nam nec in paupertate deprimitur, nec in servitute illiberalia ministeria et officia sustinet, nec in dedecore contrahitur. Eodemque modo nec in opibus et copiis insolescit, nec in imperio et magistratu animis attollitur, verum his omnibus scientiam suam adhibens, ea componit ac moderatur, non iis obsecundans, sed ea, ut artis suæ ductum sequantur, adducens. Nam si versum illum Homericum, quem tu (quia fortasse corporeas pulchritudines ad stuporem usque miraris, perpetuo in ore habere diceris) accurate perpendere oportet : Et pulchra, et magna, operumque eximiorum perita : B de virtute potius, quam de ea, de qua dictum est, dictum esse videbitur. Quid enim ea præstantius, quid pulchrius ? Quis splendidiora opera novit, quam ejus quæ rerum inæquabiles status per suam philosophiam complanat, eumdemque in disparibus rebus animum servat, luculentamque ac celebrem sibiipsi gloriam conciliat, atque eos quidem, qui in calamitates cadunt, consolatur, eos autem qui ob florentem statum in contumeliam atque insolentiam prolabuntur, castigat et coercet ? Quamobrem ad hanc animi tui oculum tende, ipsiusque pulchritudinem contemplare, quo ardenti illius amore correptus, ab omnibus lauderis ac prædiceris.

ιγ'. — ΑΠΟΛΛΩΝΙΩ ΕΠΙΣΚΟΠΩ.

Καὶ παρ' Ἕλλησι μὲν (καίτοι ὑποχειρίους αὐτοὺς ἔχων καὶ ἄγων καὶ φέρων αὐτοὺς ὡς ἐβούλετο), καὶ παρὰ Ἰουδαίοις (καίτοι καὶ εἰς εἰδωλολατρίαν αὐτοὺς ἐκμήνας, καὶ εἰς ἀνδροφονίας ἐκλυττήσας), πολλὰς αἱρέσεις ἔτεκεν ὁ διάβολος. Εἰ δὲ καὶ παρὰ Χριστιανοῖς πολλῷ πλείους, θαυμαζέτω μηδείς. Πρὸ μὲν γὰρ τῆς ἐνσάρκου τοῦ Χριστοῦ παρουσίας, ὁρῶν πάντας ὑπὸ τῆς κακίας μεθύοντας, καὶ οὐδένα, ὡς ἔπος εἰπεῖν, καθαρῶς νήφοντα, ὀλίγα ἐνέβαλε φιλονεικίας σπέρματα. Ἐπειδὴ δὲ ἦκεν οὐρανόθεν ὁ σωτήριος Λόγος, φέρων μὲν ἡμῖν οὐρανίου πολιτείας δόγματα, τῷ δὲ διαβόλῳ, δι' ὧν τοῖς ἁμαρτάνουσιν ἠπείλει, προμηνύων τὴν ἀναμένουσαν αὐτὸν δίκην (ἔλεγε γάρ· « Πορεύεσθε εἰς τὸ πῦρ τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ· »), τότε δὴ ὁ κοινὸς ἁπάντων ἐχθρὸς ὁρῶν καὶ τὸ ἡμέτερον γένος ῥᾳδίως καὶ κατὰ μικρὸν τὴν μὲν κακίαν ἀποσειόμενον, τὴν δ' ἀρετὴν προσιέμενον, καὶ τὴν μὲν ἀσέβειαν ἐξοστρακίζον, τὴν δ' εὐσέβειαν ἀσπαζόμενον· ἀκούσας δὲ καὶ τῆς καθ' ἑαυτοῦ ἀποφάσεως τὸν ὅρον, σφοδρότερον ἔπνευσε καθ' ἡμῶν, καὶ τὰς αἱρέσεις ἔτεκε. Τῇ γοῦν εὐσεβείᾳ ἀντιστῆναι μηκέτι δυνάμενος, τῷ ὀνόματι αὐτῆς εἰς ἀσέβειαν πολλοὺς χειρ-

XC. — APOLLONIO EPISCOPO.

Et apud gentiles (quamvis eos etiam in potestate C **163** ac ditione sua habens, ac pro libitu suo agens ac ferens), et apud Judæos (tametsi etiam eos velut rabido quodam furore percitos ad idolorum cultum atque homicidia impulisset) multas hæreses diabolus procreavit. Quod si apud Christianos quoque multo plures peperit, nemini mirum istud videatur. Nam cum ante carnalem Christi adventum ac præsentiam omnes vitii temulentia laborare, nec ullum, ut ita dicam, pure atque integre sobrium esse conspiceret, idcirco pauca contentionis semina injiciebat. Posteaquam autem salutare Verbum cœlitus venit, nobis quidem cœlestis vitæ generis documenta ferens, diabolo autem, per eas minas quas in peccatores intendebat, pœnam, quæ ipsum manebat, prænuntians (dicebat enim : « Ite in ignem D qui paratus est diabolo et angelis ejus [21]), tum vero communis ille omnium hostis, tum quod genus nostrum sensim ac paulatim vitium excutere, ac virtutem admittere, atque impietatem ablegare, ac pietatem amplecti perspiceret, tum quod condemnationis suæ decretum audiisset, acrius adversum nos flavit, atque hæreses in lucem protulit. Nam cum

[21] Matth. xxv, 41.

VARIÆ LECTIONES ET NOTÆ.

(83) *Καλή τε, μεγάλη τε, καὶ ἀγλαὰ ἔργ' εἰδυῖα.* Homericus hic versus, quem pulcherrime ad virtutem detorquet Isidorus, exstat *Odyss.* O, prolatus ab Eumæo de sua matre ad Ulyssem,

Ἔσκε δὲ πατρὸς ἐμοῖο γυνὴ Φοίνισσ' ἐνὶ οἴκῳ,
Καλή τε, μ., etc. Rutt.

(84) Edit., τί γὰρ κάλλιον. Lacunam explent codd. Vatic. 649 et Alt. Edit. Patr.

Digitized by Google

pietati jam obluctari nequeat, in id omni animi contentione incumbit, ut per ipsius nomen plerosque ad impietatem ducat : atque pietatis specie atque obtentu veritatem evertere conatur, eosque, qui optimæ vitæ laude persæpe excelluerunt, per corrupta dogmata obterit. Etenim unicum hoc illi opus, unicumque studium est, ut omnes ad unum, sive per vim, sive per adulterina dogmata, in exitii pelagus secum præcipites agat. Hæc igitur hæresum principes cogitantes, adversus veritatem semina jacere desinant, illud secum reputantes, quod ipsi præ cæteris in summo periculo versantur. Desinant etiam illorum auditores anticipatæ duntaxat opinioni servire, atque adversus veritatem impetum facere : ne alioqui magnum omnique sermone præstantius Salvatoris facinus, quantum quidem in ipsis est, inane atque infrugiferum reddant. Desinant item ii, qui rectis quidem dogmatibus gloriantur, verum per vitæ segnitiem ea facere convincuntur, quæ eos nothos ac spurios pietatis discipulos esse coarguunt, atque ad rectam fidem optimam vitæ rationem adjungant. Sic enim futurum est, ut omnes Dominicam vocem laudes nostras prædicantem audiamus.

A γωγῆσαι φιλονεικεῖ· καὶ προσχήματι εὐλαβείας (85), τὴν ἀλήθειαν ἀνατρέψαι πειρᾶται, καὶ τοὺς βίῳ πολλάκις ἀρίστῳ διαλάμποντας διεφθαρμένοις δόγμασιν ἐκτραχηλίζει. Ἓν γὰρ αὐτῷ ἔργον καὶ μία σπουδή, πάντας ὁμοῦ, εἴτε διὰ βίας (86), εἴτε διὰ νόθων δογμάτων εἰς τὸ τῆς ἀπωλείας μεθ' ἑαυτοῦ καταποντίσαι πέλαγος. Ταῦτα οὖν ἐννοοῦντες, παυέσθωσαν μὲν οἱ τῶν αἱρέσεων ἡγεμόνες τὰ κατὰ τῆς ἀληθείας σπείροντες σπέρματα, ἐννοοῦντες ὡς αὐτοὶ μάλιστα πάντων ἐν μεγίστῳ κινδύνῳ σαλεύουσι. Παυέσθωσαν δὲ καὶ οἱ τούτων ἀκροαταὶ, προλήψει μόνῃ δουλεύοντες, καὶ κατὰ τῆς ἀληθείας νεανιευόμενοι, ἵνα μὴ τὸ μέγα καὶ λόγου καὶ νοῦν ὑπερβαῖνον τοῦ Σωτῆρος κατόρθωμα, τόγε ἧκον ἐφ' ἑαυτοῖς, ἀργὸν ἀποφήνωσι. Παυέσθωσαν δὲ καὶ οἱ τοῖς ὀρθοῖς μὲν δόγμασιν ἐνB αβρυνόμενοι, διὰ δὲ τῆς κατὰ τὸν βίον ῥᾳθυμίας ἐλεγχόμενοι, ταῦτα δρῶντες, ἃ νόθους αὐτοὺς τῆς εὐσεβείας φοιτητὰς ἀποφαίνει, καὶ μετὰ τῆς ὀρθῆς πίστεως τὴν ἀρίστην πολιτείαν συγκιρνάτωσαν, ἵνα πάντες ἀκούσωμεν τῆς βασιλικῆς φωνῆς ἡμᾶς ἀνακηρυττούσης.

XCI. — THEODOSIO PRESBYTERO.

Quoniam in tuis ad me litteris quæsivisti quamnam ob causam Areopagus tribunal illud Atheniense vocaretur, in quo concionem habuit Paulus [82] : hoc respondeo hunc locum idcirco hoc nomen consecutum fuisse, quod Mars illic, ut aiunt, judicium subierit. Pagus autem est sublimis locus. In edito C enim loco situm erat hoc tribunal. **164** Unde etiam apud nonnullos Pagarchi appellantur, qui oppidulis aut locis quibusdam imperant.

ΚΑ'. — ΘΕΟΔΟΣΙΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Ἐπειδὴ γέγραφας, τίνος ἕνεκεν Ἄρειος πάγος ἐκαλεῖτο, τὸ ἐν Ἀθήνῃσι δικαστήριον, ἐν ᾧ καὶ ὁ Παῦλος ἐδημηγόρησεν· ἀντεπιστέλλω, Ὅτι ὁ Ἄρης, ὡς φασιν, ἐκεῖσε δίκας ἔδωκε. Πάγος δὲ, ὁ ὑψηλὸς τόπος. Ἐν γὰρ ὄχθῳ τινὶ ἦν ἐκεῖνο τὸ δικαστήριον· ὅθεν καὶ Πάγαρχοι καλοῦνται παρά τισιν, οἱ τῶν κωμῶν ἢ τόπων τινῶν ἄρχοντες.

XCII. — EIDEM.

Quandoquidem illud quoque intelligere cupis, cujusnam sceleris convictus Mars supplicio affectus sit, pudet quidem me narrare, sed tamen exponam. Nam ejusmodi sermo perspicua gentilium refutatio erit. Cum enim eos, quos rerum omnium moderatores atque custodes esse aiunt, nec pudicitiam colere, nec recte atque integre judicare constiterit, multum certe ab eo abfuturi sunt, ut iis divinus honor adhiberi debeat. Ac quidem alios, ne sermonem in longius producam, prætermittam (licet alioqui complures proferre queam), unum autem duntaxat commemorabo, qui id, quod abs te quæritur, explanet. Martem Agraulæ, Cecropis filiæ, usque adeo insano amore exarsisse aiunt, ut cum ejus ætas matrimonii opus nondum ferre posset, ipse tamen, ut erat fervens ac petulans amator, clausum adhuc naturæ folliculum præmature invaserit. Ac puella quidem, ut narrant, tenero adhuc ætatis flore erat ;

ΚΒ'. — ΤΩ ΑΥΤΩ.

Ἐπειδὴ καὶ ἐπί τισιν ἄλοὺς ὁ Ἄρης, οἶκτον ἔδωκεν, ἐθέλησας μαθεῖν, αἰσχύνομαι μὲν φράσαι, ὅμως δ' οὖν ἐρῶ. Ἔλεγχος γὰρ ἔσται Ἑλλήνων σαφὴς τὰ λεγόμενα. Ὅταν γὰρ, οὓς φασι τῶν πάντων διανομεῖς εἶναι καὶ ταμίας, ὀφθεῖεν, μήτε σωφροσύνην, μήτε τὸ κρίνειν ἔχοντες ὀρθῶς, σχολῇ γ' ἂν εἶεν σεπτοί. Τοὺς μὲν οὖν ἄλλους, ἵνα μὴ μακρὸν ποιήσω τὸν λόγον, παρήσω, καίτοι πολλοὺς ἔχων εἰπεῖν, ἑνὸς δὲ ἐπιμνησθήσομαι μόνου, τοῦ τὸ ζητούμενον παρὰ σοῦ σαφηνίζοντος. Ἀγραύλῃ τῇ Κέκροπος οὕτως ἐξηττῆσθαι φασὶ τὸν Ἄρεα, ὡς μηδέπω τῆς ἡλικίας αὐτῆς δυναμένης παρθενολύτων ἀνασχέσθαι γάμων, θερμὸν ὄντα καὶ ἀκόλαστον ἐραστὴν, μύοντα ἔτι τὸν κάλυκα τῆς φύσεως παρὰ τὸν καιρὸν βιάσασθαι. Καὶ ἦν μὲν ἡ παῖς, ὡς φασιν, ἁπαλὸν ἔτι τῆς ἡλικίας τὸ ἄνθος ἔχουσα. Ὁ δὲ προσκυνεῖσθαι ἀξιῶν, αὐτοσχέδιον νυμφῶνα ταύτῃ ποιεῖ τοὐδαφος, οὐ πειθοῖ τῆς κόρης τὸ ἐθελούσιον δείξας,

[82] Act. xvii, 22.

VARIÆ LECTIONES ET NOTÆ.

(85) Cod. Alt., εὐσεβείας. Vers. 27 pro διὰ βίας melius legunt cod. Alt. [et Bavar.] διὰ βίου. Ponit enim duas vias perdendi homines quibus utitur diabolus : pravos mores et falsa dogmata. Priorem designant illa verba, διὰ βίου, *per vitam*, solutam nimirum et sceleratam, alteram hæc, διὰ νόθων δογμάτων, *per adulterina dogmata*. POSSIN.

Digitized by Google

οὗ τῶν κυρίων τοῦ δοῦναι τὸν γάμον παρεσχηκότων, μίμῳ καὶ θράσει, γάμων ἐληΐσατο λάφυρα. Συμβιώσας τοίνυν ἐπὶ πολὺ, ἐκ ταύτης ἄγει τὴν Ἀλκίππην, ἣν ἔσχεν Ἀλιῤῥόθιος, ὁ τοῦ Ποσειδῶνος υἱός. Ἀλλὰ δυσχεράνας ὁ Ἄρης ἐπὶ τῇ ὕβρει τῆς θυγατρὸς, ἀναιρεῖ τοῦτον, αὐτὸς ἑαυτὸν λαθὼν, ὡς ἐδιάσατο τὴν Κέκροπος. Καὶ ὅτι μὲν κατὰ τῆς ἐνεγκούσης τὴν βίαν διὰ τὸν γάμον ἐσάλευσεν, οὐδὲ μικρᾶς ἑαυτὸν ἄξιον εἶναι μέμψεως ἐδοκίμασεν· ἐπειδὴ δὲ Ἀλιῤῥόθιος οὔτε τὸ ἄωρον ὕβρισεν, οὔτε τὴν βίαν τῆς πειθοῦς προετίμησεν, ἀλλ' ἐποίει συναινεῖν (86) τὴν κόρην τῷ παθεῖν, εἰ μὴ ἡ ἐναλείας αἰδὼς τὸ ἐθελούσιον περιέστελλεν· οὕτως ἄξιος εἶναι κολάσεως παρ' αὐτῶν κέκριται, ὡς καὶ διάδικος καὶ κριτὴς καὶ ζήμιος αὐτῶν γενέσθαι. Ὧν χάριν ἐπὶ τοῦ Ἀρείου πάγου ὑπὸ τοῦ Ποσειδῶνος αἰτιαθεὶς καὶ ἁλοὺς, αὐτὸς μὲν δίκην δέδωκε, τῷ δὲ τόπῳ πρὸς τὸ στηλιτεύεσθαι τὴν αἰσχύνην τοὔνομα καταλέλοιπε (87).

A ille autem, qui divinos honores sibi adhiberi postulabat, pavimentum ei extemporanei cujusdam thalami loco efficit, atque cum nec verborum blanditiis puellæ voluntatem illexisset, nec ii, penes quos id jus erat, eam illi in matrimonium præbuissent, vi atque audacia nuptiarum spolia tulit. Cum igitur diuturnam cum ea vitæ consuetudinem habuisset, Alcippen ex ea sustulit qua Halirrothius Neptuni filius potitus est. At vero Mars filiæ contumeliam infenso animo ferens, eum interfecit: non animadvertens ipse, quod Cecropis filiæ vim attulisset. Et quidem ob vim Agraulæ adhibitam, ne levi quidem reprehensione dignum se esse judicavit: postea-

B quam autem Halirrothius nec ante maturam ætatem puellæ stuprum intulit, nec vim illecebris ac persuasioni prætulit, verum effecit, ut nisi effusus genis pudor voluntatem obtexisset, assensum libidini præberet, usque adeo eum supplicio dignum esse censuit, ut et accusator, et judex, et carnifex ipsius fieret. Quo nomine apud Areopagum a Neptuno accusatus atque convictus, ipse quidem supplicio affectus est, loco autem, ad sempiternarum vesaniam infamiam ipsi inurendam, nomen reliquit.

ΜΓ'. — ΘΕΟΔΟΣΙΩ ΣΧΟΛΑΣΤΙΚΩ.

Πολλάκις ἐθαύμασα τὴν ἄγνοιαν (88) τῶν πίστεως μὲν πέρι καὶ πολιτείας ἀρίστης μηδένα ποιουμένων λόγον, ἐκεῖνα δὲ πολυπραγμονούντων καὶ ζητούντων, ἃ μηδ' εὑρεῖν οἷόν τε, καὶ τὸ Θεῖον παροξύνει ζητούμενα. Ὅταν γὰρ ἅπερ ἡμᾶς οὐκ ἠθέλησεν εἰδέναι, ταῦτα βιαζώμεθα μανθάνειν, οὔτε εἰσόμεθα, (πῶς γὰρ Θεοῦ μὴ βουλομένου;), καὶ τὸ κινδυνεύειν ἡμῖν ἐκ τοῦ ζητεῖν περιέσται μόνον. Ἐάσαντες τοίνυν, ὡς ὑπερφυῆ καὶ μηδαμόθεν ἁλώσιμον, τὴν περὶ τούτων βάσανον, καὶ εἰς τὸν τῆς ὀρθῆς πίστεως καὶ τῆς ἀρίστης πολιτείας καταφυγόντες λιμένα, ἐκεῖθεν ἑαυτοῖς τὴν ἀσφάλειαν περιζώμεθα.

XCIII. — THEODOSIO SCHOLASTICO.

Sæpenumero eos miratus sum qui cum fidei atque optimæ vitæ curam nullam gerant, ea quærunt ac sollicite investigant, quæ nec inveniri possunt, et cum quæruntur, divinam iram concitant. Nam cum ea, quæ Deus nobis minime nota esse voluit, tanquam per vim scire contendimus, nec eorum scientiam consequemur (quonam enim modo, Deo nolente?), atque ex hujusmodi investigatione præ-

C ter periculum nihil percipiemus. Quamobrem hujusmodi rerum explorationem, **165** ut natura nostra præstantiorem, captumque omnem excedentem, missam facientes, atque ad rectæ fidei optimeque vivendi rationis portum confugientes, hinc nobis securitatem comparemus.

ΜΔ'. — ΙΣΙΔΩΡΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Καὶ τὸ μὴ μεταγινώσκειν πταίοντα, ὀλέθριον· καὶ τὸ ἀπογινώσκειν, ὀλεθριώτερον. Τὸ μὲν γὰρ ἀπὸ ῥᾳθυμίας, τὸ δὲ ἀπὸ ἀναλγησίας φύεται. Ὅσῳ δὲ ἀναλγησία ῥᾳθυμίας χαλεπώτερον, τοσούτῳ ἀπόγνωσις ῥᾳθυμίας ἀργαλεώτερον. Τὸ μὲν γὰρ ἀνήκεστόν ἐστι κακόν· τὸ δ' εἰς θεραπείαν βαδιεῖται. Ἐπειδὴ τὸ μὲν κρίσεώς ἐστι διεφθαρμένης· τὸ δὲ παραλογισμοῦ καὶ ἀπάτης. Τί τοίνυν ἡμῖν ἐγκαλεῖς ὡς ἀμελοῦσι, καὶ μὴ χαράττουσι πρὸς τὸν δεῖλαιον Ζώσιμον γράμματα, ἐκείνου δύο τοῖς ἀργαλεωτάτοις βαπτισθέντος κακοῖς, ῥᾳθυμίᾳ τε καὶ ἀναλγησίᾳ; Οὐκ ἠμελήσαμεν, ὦ βέλτιστε, ἀλλὰ παρὰ πολλῶν τούτου ἕνεκεν πολλάκις παρορμηθέντες κεκμήκαμεν, καὶ λόγων καὶ προτροπῇ, καὶ ἀπειλῇ, καὶ ἐπαγγελίᾳ,

XCIV. — ISIDORO PRESBYTERO.

Et admisso delicto pœnitentia minime duci, perniciosum est; et desperatione affici perniciosius. Illud enim a segnitie ac socordia manat: hoc a stupore atque indolentia. Quanto autem stupor socordia gravior est, tanto quoque desperatio negligentiam gravitate superat. Ille enim immedicabile malum est: huic ad medicinam aditus patet. Quando-

D quidem ille depravati atque corrupti judicii est; hæc autem circumscriptionis et impostoræ. Quamobrem ne nos accuses, ut incuria laborantes, atque ad miserum Zosimum litteras minime cudentes, cum ille duobus his molestissimis vitiis depressus sit, nempe socordia et stupore. Non enim incuria laboravimus, optime vir, verum a multis hac de causa

VARIÆ LECTIONES ET NOTÆ.

(86) Col. Vat. 649 pro συναινεῖν scribit συναιρεῖν. Vers. seq. barbaram lectionem ἡ ἐναλείας αἰδὼς, corrige ex codd. Vat. 649 et Alt., ἡ ἐν θηλείαις αἰδώς. Vers. inde 3 pro αὐτῶν iidem codd. scribunt αὐτῷ. Possin.

(87) De cæde quatuor omnino judicia erant Athenis, ut docet Julius Pollux in *Onomastico* et Helladius in *Chrestomathiis*, ut eum refert Photius *Bibliothecæ* pag. 874. Ritt.

(88) Verba τὴν ἄγνοιαν supplentur ex codd. Vatic. et Alt. apud Possinum. Edit. Patr.

Digitized by Google

persæpe incitati, indomitam illam feram, et sermone, et cohortatione, et minis, et pollicitatione, et suppliciis ad defatigationem usque monuimus. Verum, ut apparet, illud minime animadvertimus, nos Æthiopem dealbare, dæmonemque humana forma præditum ad mansuetudinem et lenitatem pertrahere. Quamobrem istud compertum habeus, nos nihil quidquam, quod ad officium nostrum pertineat, nec prætermisisse, nec prætermissuros esse, tuas ipsi preces largire. Sic enim fortasse ex tanta insania emerget.

A καὶ κολάσει νουθετοῦντες τὸ ἀμείλικτον ἐκεῖνο θηρίον. Καὶ ὡς ἔοικεν, ἐλάθομεν Αἰθίοπα σμήχοντες, καὶ ἀνθρωπόμορφον δαίμονα εἰς ἡμερότητα ἐκβιάζεσθαι φιλονεικοῦντες. Εἰδὼς τοίνυν, ὡς τῶν εἰς ἡμᾶς ἡκόντων οὐδὲν οὔτε παρελείφθη, οὔτε παραλειφθήσεται, τὰς σὰς αὐτῷ χάρισαι προσευχάς. Τάχα πως ἀνενέγκοι ἐκ τῆς τοσαύτης μανίας.

XCV. — EIDEM.

His quidem ignosci merito queat, qui per lenitatem ad majora peccata haudquaquam erudiuntur. Eos autem pœna subsequi debet, qui ex lenitate nihil emolumenti percipiunt. Atque hæc hactenus. Quoniam autem scripsisti, tibi quidem in animo B esse de propheticis quibusdam vocibus me interrogare, verum id facere minimé audere, illud rescribo, me infenso animo in te futurum, si te quæ percontari velis, reticere sensero.

ΧΕ'. — ΤΩ ΑΥΤΩ.

Ἡ μὲν συγγνώμη ἐκείνοις νέμεσθαι (89) ἂν εἴη δικαία, τοῖς μὴ διὰ χρηστότητος εἰς μείζονα παιδοτριβουμένοις πταίσματα. Ἡ δὲ κόλασις ἔπεσθαι ὀφείλει τοῖς ὑπὸ τῆς χρηστότητος μὴ ὠφελουμένοις. Καὶ ταῦτα μὲν εἰς τοσοῦτον. Ἐπειδὴ δὲ γέγραφας βούλεσθαι μὲν περὶ ῥήσεων προφητικῶν πυθέσθαι, μὴ τολμᾷν δέ· ἀντεπιστέλλω, ὅτι ἀπεχθοίμην ἂν σοι, εἰ αἰσθοίμην σιγῶντα ἃ ἔρεσθαι βούλοιο.

XCVI. — TIMOTHEO LECTORI.

Apparet te divini viri Pauli verbis obtemperare, mentemque lectioni attentam habere. Ac propterea ipse quoque id quod abs te propositum est, explanare conabor. Quæsivisti enim quonam pacto cum rex Balthasar in ipsa nocte oppressus fuerit, his verbis usa sit Scriptura: « Et dixit Balthasar, et indutus est Daniel purpura, et circumdata est torques aurea collo ejus, et prædicatum est de eo quod haberet potestatem tertius a rege [33]. » Existimo C igitur, posteaquam divina sententia, cuortis jam tenebris, in pariete sculpta fuerat (hoc enim verba illa indicant, *contra candelabrum*), rex autem vehementer **166** conturbatus ac metu fractus ac dissolutus erat, regina porro de mentis gradu deturbata, ob regis dissolutionem consuetam, suæque dignitati consentaneam modestiam aspernata, in convivium nocte adhuc vigente insiluit, divinum oraculum a sapientissimo Daniele expositum fuisse, eumque purpura confestim ac torque donatum, inspectante omni exercitu, iisque qui magistratum gerebant (non enim dubium quin sapientiæ præmia in promptu essent), atque ipsis præsentibus promulgatum, quod tertius in regia dignitate jam futurus esset, hoc est, post ipsum ac reginam. Quod si quis D id in frequenti foro ac non in aula regia promulgari debuisse dicat, illud sciat, ea quæ in regiis aulis fiunt, ubique etiam vim obtinere. Ea enim divinitus immissa sententia quæ intus confirmatur, ubique vim obtinere consuevit. Quin illud fortasse verisimilius est, præconium illud litteris quoque consignatum fuisse. Illud porro, quod in palatio factum fuerat, ac jam jamque ubique futurum erat, atque

ΙϚ'. — ΤΙΜΟΘΕΩ ΑΝΑΓΝΩΣΤΗ.

Ἔοικας πεπεῖσθαι τῷ θεσπεσίῳ Παύλῳ, καὶ τῇ ἀναγνώσει προσέχειν τὸν νοῦν. Διὸ δὴ καὶ αὐτὸς σαφηνίσαι τὸ παρὰ σοῦ προβληθὲν πειράσομαι. Ἔφης γάρ· Πῶς, εἴγε ἐν αὐτῇ τῇ νυκτὶ ἀπέθανε Βαλτάσαρ ὁ βασιλεύς, ἔφη ἡ Γραφή· « Καὶ εἶπε Βαλτάσαρ, καὶ ἐνέδυσαν τὸν Δανιὴλ πορφύραν, καὶ τὸν μανιάκην τὸν χρυσοῦν περιέθηκαν περὶ τὸν τράχηλον αὐτοῦ· καὶ ἐκήρυξαν περὶ αὐτοῦ, εἶναι αὐτὸν ἄρχοντα τρίτον ἐν τῇ βασιλείᾳ αὐτοῦ; » Οἶμαι τοίνυν ὅτι ἐπειδὴ ἡ μὲν θεία ἀπόφασις σκότους ἤδη τυγχάνοντος ἐπὶ τοῦ τοίχου ἐχαράχθη (τοῦτο γὰρ δηλοῖ τὸ, *κατέναντι τῆς λαμπάδος*)· ὁ δὲ βασιλεὺς ἐταράχθη σφόδρα καὶ παρελύθη ὑπὸ τοῦ φόβου· ἡ δὲ βασίλισσα ἐκχρουσθεῖσα τῶν λογισμῶν διὰ τὴν τοῦ βασιλέως παράλυσιν, ἀμελήσασα τῆς συνήθους καὶ πρεπούσης εὐκοσμίας, εἰσεπήδησεν εἰς τὸ συμπόσιον ἔτι νυκτὸς οὔσης· τὸ θεῖον θέσπισμα ἑρμηνεύεσθαι παρὰ τοῦ σοφωτάτου Δανιήλ· καὶ τῇ μὲν πορφύρᾳ καὶ τῷ περιαυχενίῳ παραχρῆμα τετιμῆσθαι, παρεστώσης πάσης τῆς στρατιᾶς καὶ τῶν ἐν τέλει (προῦκειτο γὰρ δῆλον ὅτι τῆς σοφίας τὰ γέρα), τὸ δὲ κήρυγμα γεγενῆσθαι ἐπὶ τῶν παρόντων, ὅτι τρίτος ἔσται ἐν τῇ βασιλείᾳ, τουσέστι, μετ' αὐτὸν καὶ τὴν βασιλίδα. Εἰ δὲ, Πληθούσης ἀγορᾶς, εἴποι τις, ἐχρῆν γενέσθαι, καὶ οὐκ ἐν τοῖς βασιλείοις· εἴποιμεν ὅτι μάλιστα μὲν τὰ ἐν τοῖς βασιλείοις (90) γενόμενα, καὶ παντα-χοῦ κυροῦται. Ἡ γὰρ ἔνδον κυρουμένη θειοτάτη ψῆφος, πανταχοῦ κρατεῖν πέφυκεν. Ἴσως δὲ μᾶλλον εἰκὸς καὶ ἐν γράμμασι διατετυπῶσθαι. Τὸ δὲ ἐν τοῖς βασιλείοις γεγενημένον, ὅσον οὐδέπω καὶ ἐπὶ πάντων ἐσόμενον, μᾶλλον δὲ καὶ πεπληρωμένον τῇ κρίσει τοῦ προστάξαντος, ὡς γεγονὸς ὁ ἱστοριογράφος

[33] Dan. v, 29.

VARIÆ LECTIONES ET NOTÆ.

(89) Pro νέμεσθαι scribunt νενεμῆσθαι codd. Vatic. 649 et Altaemsis. Possin.

(90) Verba, εἴποιμεν ὅτι μάλιστα μὲν τὰ ἐν τοῖς βασιλείοις, quæ prorsus illuc quadrant, addimus ex Vat. 649 et Alt. Edit. Patr.

Digitized by Google

ἔθηκε. Διὸ δὴ καὶ Δαρεῖος ὁ Μῆδος, ὁ τὸν τύραννον διαδεξάμενος, οὐδὲν ἀγνοήσας τῶν γεγενημένων, τῆς ἀνωτάτω τιμῆς αὐτὸν ἠξίωσεν.

A adeo per ejus qui imperarat, judicium completum fuerat, historiographus tanquam factum posuit. Unde etiam Darius Medus, qui tyranno successit, cum nihil eorum, quæ contigissent, ignoraret, eum summo honore affecit.

ΛΖ'. — ΑΛΥΠΙΩ.

Ἴσως ἀγνοεῖς, ὅτι οὐδέποτε ἄπορον ἀπόρῳ λύεται· ἀλλ' ἀπὸ τῶν ὁμολογουμένων τὴν πίστιν τῶν ἀμφισβητουμένων (91) λαμβάνειν εἰώθαμεν.

XCVII. — ALYPIO.

Illud fortasse ignoras, id quod dubitationem habet, alia dubitatione minime unquam dissolvi : verum nos ab iis rebus quæ in confesso sunt, controversarum solutionem quærere solere.

ΛΗ'. — ΛΕΟΝΤΙΩ ΕΠΙΣΚΟΠΩ.

Πολλοὶ τῶν ἀνθρώπων ὀρέγονται μὲν ἀρετῆς, τὴν δὲ ἐπ' αὐτὴν φέρουσαν ὁδὸν ὀκνοῦσιν ἰέναι. Ἄλλοι δὲ οὐδ' ἀρετὴν εἶναι ἡγοῦνται. Χρὴ γοῦν, τοὺς μὲν πεπεῖσθαι (92) τὸν ὄκνον ἀποθέσθαι, τοὺς δὲ διδάξαι, ὅτι ὄντως ἀρετή ἐστιν ἡ ἀρετή.

XCVIII. — LEONTIO EPISCOPO.

Plerique homines virtutem quidem expetunt : verum iter illud quod ad eam ducit, tenere gravantur. Alii autem virtutem ne quidem esse existimant. Operæ pretium igitur est iis quidem, ut segnitiem excutiant, persuadere ; hos autem docere, virtutem vere virtutem esse.

ΛΘ'. — ΑΦΡΟΔΙΣΙΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Ἐπειδή, ὡς γέγραφας Ἰουδαῖός τις ἀπαιδευσίας ἀνάπλεως, ὡς ὑπερβολὴν καταγνοὺς τοῦ εἰρηκότος θείου εὐαγγελιστοῦ, « Οὐδ' αὐτὸν οἶμαι τὸν κόσμον χωρῆσαι τὰ γραφόμενα βιβλία, » πράγματά σοι παρέσχεν· ἀναγκαῖόν ἐστιν ἐκ τῆς Παλαιᾶς Διαθήκης, ἣν καὶ αὐτὸς ἐγκρίνει καὶ θείαν ἡγεῖται, τὰ ὑπερβολικῶς εἰρημένα εἰς μέσον ἀγαγεῖν, ἵνα εἰδῇ ἐκεῖνος, ὅτι καὶ ὁ εὐαγγελιστὴς τῇ Παλαιᾷ ἐκείνῃ ἑπόμενος Γραφῇ, γέγραφεν ἃ γέγραφε. Τί οὖν γέγραπται, μάθωμεν. Περὶ μὲν τῶν πόλεων τῶν Χαναναίων, « Πόλεις τετειχισμέναι ὑπάρχουσιν ἕως τοῦ οὐρανοῦ· » περὶ δὲ τῆς γῆς αὐτῶν λέλεκται, « Γῆν ῥέουσαν γάλα καὶ μέλι. » Περὶ δὲ τῶν πλεόντων, « Ἀναβαίνουσιν ἕως τῶν οὐρανῶν, καὶ καταβαίνουσιν ἕως τῶν ἀβύσσων. » Ἑρμηνευέτω τοιγαροῦν ἐκεῖνος ταῦτα ὁ ἀγροικόσοφος (93), μὴ καταφεύγων εἰς θεωρίαν, μηδὲ τροπολογεῖν πειρώμενος, ἀλλ' αὐτὰ φράζων τὰ πράγματα. Εἰ δ' οὐ δύναται (ἀνάγκη γὰρ αὐτὸν λέγειν ἢ ὑπερβολικῶς εἰρῆσθαι, ἢ ἑρμηνείας δεῖσθαι), τίνος ἕνεκεν ἀμαθίας ἐσχάτης καθ' ἑαυτοῦ δεῖγμα φέρων ἔδοξεν ἐπιλαμβάνεσθαι τοῦ εὐαγγελιστοῦ, τοῦ καὶ εἰ δόξαντος ὑπερβολῇ κεχρῆσθαι κολάσαντος αὐτὴν, διὰ τοῦ εἰρηκέναι, *Οἶμαι ;* Ἐκεῖ μὲν γὰρ ἄκρατός ἐστιν ἡ ὑπερβολὴ, ἐνταῦθα δὲ καὶ κεκραμένη. Οὐ γὰρ ἀφῆκεν αὐτὴν ἁπλῶς, ἀλλ' ἐκόλασεν. Ὁ δὲ τὰς ὑπερβολὰς κολάζων, δύο ποιεῖ· καὶ τὸν ἑαυτοῦ δεικνύει πόθον, καὶ τῆς ἀληθείας ἅπτεται. Εἰκὸς δὲ μηδὲ ὑπερβολικῶς εἰρῆσθαι. Οὐ γὰρ ἐῤῥέθη, πολλὰ καὶ ἄλλα σημεῖα πεποιηκέναι τὸν Ἰησοῦν ἐν τῷ κόσμῳ τούτῳ, ἀλλὰ ἀδιορίστως πεποιηκέναι. Ἔστι δὲ αὐτοῦ ἄλλα τὰ ἔργα τοῦ κόσμου πρεσβύτερα, ἅτινα οὔτε γραφῇ, οὔτε βιβλίοις παραδοθῆναι οἷόν τε, οὐ μόνον διὰ τὸ

B

C

D

Quoniam Judæus quidam, ut ad me scripsisti, inscitiæ plenus divinum evangelistam, quod his verbis usus sit : « Ne ipsum quidem mundum capere posse arbitror eos qui scriberentur libros [94], » hyperbolicæ locutionis damnans, negotium tibi facessivit : operæ pretium est ex Veteri Testamento, quod ipse quoque probat, ac divinum existimat, ea, quæ per hyperbolen dicta sunt, in medium producere, ut ille intelligat, evangelistam quoque Veterem illam Scripturam sequentem, ea scripsisse, quæ scripsit. Quidnam igitur scriptum sit, discamus. De Chananæis quidem urbibus : « Urbes muro cinctæ sunt usque ad cœlum [95] ; » de terra autem eorum dictum est : « Terram fluentem lacte et melle [96]. » Denique de navigantibus : « Ascendunt usque ad cœlos, et descendunt usque ad abyssos [97]. » Hæc igitur ille rusticè sapiens exponat, **167** non ad allegoriam confugiens, nec moralem sensum afferre studens, sed res ipsas explicans. Quod si non potest (necesse est enim ut vel hæc hyperbolice dicta esse fateatur, vel interpretatione opus habere), quid est, quamobrem extremæ inscitiæ adversum se argumentum præbens, evangelistam carpat, qui etiamsi hyperbolen adhibuisse videatur, eam tamen mitigavit, dum dixit, *puto ?* Etenim illic quidem mera est hyperbole : hic autem temperata. Nec enim eam simpliciter dimisit, sed castigavit ac lenivit. Porro qui hyperbolas castigat, duplicem rem facit : nam et cupiditatem suam indicat, et veritatem attingit. Quin illud quoque probabile est, ne hyperbolice quidem hoc dictum esse. Nec enim dictum est Jesum multa

[94] Joan. xxi, 25. [95] Dan. iii, 5. [96] Exod. iii, 18. [97] Psal. cvi, 26.

VARIÆ LECTIONES ET NOTÆ.

(91) Codd. Vat. 649 et Alt. verba τὴν πίστιν τῶν ἀμφισβητουμένων nobis suggerunt quæ in edito deerant et interpres habuerat. Edit. Patr.

(92) Cod. Vat. 649 pro πεπεῖσθαι legit πεῖσαι. Possin.

(93) *Ὁ ἀγροικόσοφος.* Ὁ ἀπαιδευσίας ἀνάπλεως, ut supra initio eum vocavit. Vide infra lib. iv, ep. 162. Ritt.

Digitized by Google

quoque alia signa in hoc mundo fecisse, sed indefinite, fecisse. Sunt autem alia ipsius miracula hoc mundo antiquiora, quæ quidem nec scripto, nec libris tradi possunt, non modo propter multitudinem et magnitudinem, sed etiam quia sermonis et mentis vim superant. Quis enim cœlestium agminum naturam, ordinem, ornatum, concordiam, concinnitatem, charitatem, pacem referre poterit, aliaque omnia, quæ ne enumerando quidem recenseri possunt? Quod si etiam hoc dictum de dogmatum magnitudine et summitate quispiam accipiat, a vero minime aberrabit. Ac quidem apostoli ea, quæ ceperunt, litteris complexi sunt, velut Petrus apostolici chori præsul, in eo libro, quo res suas gestas narrat, aperte pronuntiavit. Quæ cepimus, scripsimus : at mundus ne ea quidem, quæ scripta sunt, capere potuit. Nam nec avarus de voluntaria inopia sermonem cepit ; nec lascivus eum, qui de pudicitia erat; nec alienorum bonorum raptor eum, qui de justitia; nec crudelis eum, qui de humanitate : nec iracundus eum, qui de mansuetudine. Si igitur, quæ apostoli ceperunt, mundus minime cepit (idque et Christus clamat his verbis utens, « Sermo meus non capit in vobis [28] : » et Paulus, cum ait, Capite nos [29]), quæ ne apostoli quidem fortasse ceperunt, quonam tandem modo mundus ea cepisset? Per mundum autem, hominum turbam, mundanarum et terrenarum rerum admiratione perculsam intelligit : de qua dictum est, « Et mundus eum non cognovit [30]. » Hic porro mundus, non locorum, sed morum, non ob litterarum multitudinem, sed ob rerum magnitudinem, ea minime capit.

A πλῆθος καὶ τὸ μέγεθος, ἀλλὰ καὶ διὰ τὸ ὑπὲρ λόγον καὶ νοῦν εἶναι. Τίς γὰρ δυνήσεται διηγήσασθαι τῶν οὐρανίων δήμων τὴν φύσιν, τὴν τάξιν, τὴν εὐκοσμίαν, τὸν ῥυθμόν, τὴν ἐμμέλειαν, τὴν ἀγάπην, τὴν εἰρήνην, καὶ τἄλλα πάντα ἅπερ οὐδ' ἀριθμῆσαι δυνατόν; Εἰ δὲ καὶ εἰς δογμάτων τις μέγεθος καὶ ἀκρότητα ἐκλάβοι τὸ εἰρημένον, οὐκ ἂν διαμάρτοι τῆς ἀληθείας. Οἱ μὲν οὖν ἀπόστολοι, ἃ ἐχώρησαν ἔγραψαν, καθὼς Πέτρος ὁ κορυφαῖος τοῦ χοροῦ ἐν ταῖς ἑαυτοῦ πράξεσι σαφῶς ἀπεφήνατο· Ἃ ἐχωρήσαμεν, ἐγράψαμεν· ὁ δὲ κόσμος οὐδὲ τὰ γραφέντα ἐχώρησεν. Ὁ γὰρ φιλοχρήματος οὐκ ἐχώρησε τὸν περὶ τῆς ἀκτημοσύνης λόγον· οὐδ' ὁ λάγνος τὸν περὶ σωφροσύνης· οὐχ ὁ πλεονέκτης τὸν περὶ δικαιοσύνης· οὐχ ὁ ὠμὸς τὸν περὶ φιλανθρωπίας· οὐχ ὁ θυμώδης τὸν περὶ πραότητος. Εἰ τοίνυν ἃ οἱ ἀπόστολοι ἴσως ἐχώρησαν, ὁ κόσμος οὐκ ἐχώρησε (καὶ βοᾷ μὲν Χριστὸς, ὅτι « Ὁ λόγος ὁ ἐμὸς οὐ χωρεῖ ἐν ὑμῖν· » ὁ δὲ Παῦλος, Χωρήσατε ἡμᾶς)· ἃ μηδ' οἱ ἀπόστολοι ἴσως ἐχώρησαν, πῶς ἂν ὁ κόσμος ἐχώρησε; Κόσμον δὲ καλεῖ, τὸν περὶ τὰ κοσμικὰ καὶ γῆϊνα πράγματα ἐπτοημένον ὄχλον· περὶ οὗ ἐῤῥέθη· « Καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω. » Οὐ χωρεῖ δὲ ὁ εἰρημένος κόσμος (94)· οὐ τόπων, ἀλλὰ τρόπων· οὐ διὰ πλῆθος γραμμάτων, ἀλλὰ διὰ μέγεθος πραγμάτων.

B

C. — PAULO.

Quid tu, cum teipsum ignores, o homo, quæ supra te sunt, quæris? Quid autem dico teipsum? Unum eorum quæ in manibus sunt, mihi expone. Ac tum ea, quæ supra te sunt, curiosius inquirentem, haud accusabo. Ignis ille a quo artes scaturiunt, non modo a ferro, **168** ære et lapidibus, sed etiam ab aquis et lignis naturæ vi exsilit. Hoc ergo miraculum mihi expone : lignone insitus est? qui igitur illud non absumit? At non insitus est : quonam igitur modo ex eo creatur? Cum igitur ignis, sine quo nihil pene quod alicujus pretii sit, homines machinantur (nam et frigori succurrit, et tenebras propulsat, et ad omnem artem ac scientiam adjumento est), nemo explicare queat, quonam pacto in lignis quidem delitescit, nec tamen ea abbrare, quousque exceptum ignem cribro æneo virgo in ædem ferret. » Meminit hujus rationis ignem eliciendi ex attritu et terebratione lignorum etiam Simplicius Comment. in Aristot. lib. III *de cœlo* : Ἀπὸ ξύλων δὲ πῦρ ἐκβάλλουσι, θάτερον τῶν ξύλων, ὡς τέρετρον, ἐν θατέρῳ περιστρέφοντες. *Ignem*, inquit, *e lignis excutiunt, alterum lignorum tanquam terebram in altero circumvertentes.* Est etiam alia ratio ignis cœlitus ex radiis solaribus devocandi ope speculi igniarii. Ritt.

C

Γ'. — ΠΑΥΛΩ.

Τί τὰ κατὰ σαυτὸν ἀγνοῶν, ἄνθρωπε, τὰ ὑπὲρ σαυτὸν ζητεῖς; Καὶ τί λέγω τὰ κατὰ σαυτόν; Ἓν τῶν ἐν χερσί μοι ἑρμήνευσον, καὶ τότε τὰ ὑπὲρ σαυτὸν πολυπραγμονοῦντα οὐκ αἰτιάσομαι. Τὸ πῦρ ἀφ' οὗ πηγάζουσιν αἱ τέχναι, οὐ μόνον ἀπὸ σιδήρου καὶ χαλκοῦ καὶ λίθων, ἀλλὰ καὶ ἀπὸ ὑδάτων καὶ ξύλων ἐκπηδᾷν πέφυκε (95). Διήγησαι οὖν μοι τὸ θαῦμα· ἆρ' ἔγκειται τῷ ξύλῳ; καὶ πῶς οὐκ ἀναλίσκει τοῦτο; Ἀλλ' οὐκ ἔγκειται· πῶς οὖν ἐξ αὐτοῦ τίκτεται; Εἰ τοίνυν τὸ πῦρ, οὗ ἄνευ σχεδὸν οὐδὲν ἀξιόλογον μηχανῶνται ἄνθρωποι (ἐπίκουρον γάρ ἐστι ψύχους, σκότου δ' ἀλεξιφάρμακον, συνεργὸν δ' εἰς πᾶσαν τέχνην καὶ ἐπιστήμην), οὐδεὶς δύναται φράσαι πῶς ἐμφωλεύει μὲν ταῖς ὕλαις, οὐκ ἀναλίσκει δὲ ταύτας· ὅταν δ' εἰς τὸ ἔξω πηδήσῃ, ἀναλωτικὸν γίνεται τῶν τεκου-

D

Quid igitur illud non absumit? At non insitus est : quonam igitur modo ex eo creatur? Cum igitur ignis, sine quo nihil pene quod alicujus pretii sit, homines machinantur (nam et frigori succurrit, et tenebras propulsat, et ad omnem artem ac scientiam adjumento est), nemo explicare queat, quonam pacto in lignis quidem delitescit, nec tamen ea abbrare, quousque exceptum ignem cribro æneo virgo in ædem ferret. » Meminit hujus rationis ignem eliciendi ex attritu et terebratione lignorum etiam Simplicius Comment. in Aristot. lib. III *de cœlo* : Ἀπὸ ξύλων δὲ πῦρ ἐκβάλλουσι, θάτερον τῶν ξύλων, ὡς τέρετρον, ἐν θατέρῳ περιστρέφοντες. *Ignem*, inquit, *e lignis excutiunt, alterum lignorum tanquam terebram in altero circumvertentes.* Est etiam alia ratio ignis cœlitus ex radiis solaribus devocandi ope speculi igniarii. Ritt.

[28] Joan. VIII, 37. [29] II Cor VII, 2. [30] Joan. I, 10.

VARIÆ LECTIONES ET NOTÆ.

(94) Post κόσμος continuo subjunge, τόπῳ, ἀλλὰ τρόπῳ, et dele quæ in edito sunt, οὐ τόπων, ἀλλὰ τρόπων. Sic hunc locum emendatum exhibent ambo sæpe memorati codd. Possin.

(95) Nota hic ignem ex lignis exsilientem, inter sese videlicet attritis quoad calescant atque ignescant. Ita olim apud Romanos oportebat reparare ignem Vestalem, si forte (quod piaculum apud ipsos grande erat) culpa virginum Vestalium, τῶν ἀεὶ παρθένων, exstinctus fuisset. De quo ita Festus : « Mos erat tabulas salicis materiæ tam diu tere-

Digitized by Google

σῶν ὑλῶν· πέπαυσο ἐκεῖνα περιεργαζόμενος, ἃ μήτε ἐφικτά ἐστι, μήτε εἰ ἐφικτὰ ἦν, μέγα τι συντελέσαι πρὸς ἀρετὴν ἠδύνατο. Τί γὰρ πρὸς ἀρετὴν συμβαλεῖται (96) τὸ περιεργάζεσθαι ἡλίου δρόμον, καὶ σελήνης κύκλον, καὶ ἀστέρων θέσιν, καὶ γῆς σχῆμα καὶ διάστημα, καὶ ὅσα ἄλλα οἱ δοκησίσοφοι πολυπραγμονοῦντες, τῆς μὲν ἀληθείας καὶ τῆς τῷ ὄντι σοφίας διήμαρτον, εἰς ἀδολεσχίαν δὲ τὸν βίον ἐδαπάνησαν;

A sumit, cum autem foras prosilierit, materias eas ex quibus procreatus est, absumit: desine, quæso, ea perscrutari, quæ nec comprehendi possunt, nec si possent, magnum aliquod momentum ad virtutem afferre possent. Quid enim ad virtutem allaturum est, si quis solis cursum, et lunæ orbem, et stellarum situm, et terræ figuram ac spatium inquirendum suscipiat, aliaque omnia, quæ homines suo judicio sapientes et eruditi, curiose indagantes, a veritate quidem et vera sapientia exciderunt, in nugis autem et sermonum ineptiis vitam consumpserunt?

ΡΑ'. — ΕΡΜΟΓΕΝΕΙ ΕΠΙΣΚΟΠΩ.

Πρὸς ἱερεῖς εὐδοκίμους.

Ἐπὶ τῆς σῆς, ὦ ὁσιώτατε, εὐαρχίας, οὔθ' ὁ πλούσιος ἐπὶ λύμῃ τῶν ἄλλων κέκτηται τὴν τῶν χρημάτων ἰσχύν, οὔθ' ὁ πενίᾳ συμβιοὺς, διὰ τὴν πτωχείαν ὑστέρηται (97) τῆς ἰσηγορίας. Ἀλλ' ὁ μὲν περιουσίᾳ δικαίων ὠχυρωμένος, τὸν τῆς ἀληθείας κεκτῆσθαι νενόμισται θησαυρόν· ὁ δὲ τούτων ἐνδεὴς, κἂν τοὺς Κροίσου ἔχῃ θησαυροὺς, πένης εἶναι κέκριται· καὶ οὔτε λόγου δύναμις τὴν ἀδέκαστον φρόνησιν ἀφέλκει τῆς ὀρθῆς κρίσεως, οὔτε ῥήτορος δεινότης κατασοφίζεται τὴν ἀλήθειαν· ἀλλ' ἀκλινὴς ἔστηκεν ἡ σὴ ψυχὴ, καθαρὸν τὸ δίκαιον τοῖς κρινομένοις βραβεύουσα. Τοιοῦτος δ' ὢν ἐν ταῖς ψήφοις, τῇ φιλανθρωπίᾳ πλέον σαυτὸν νενίκηκας, ἢ ὅσῳ δικαιοσύνῃ τοὺς ἄλλους ὑπερηκόντισας. Διὸ καὶ καταθρηνοῦσιν ἑαυτὰς αἱ πόλεις αἱ τυραννούμεναι, ὧν μία τυγχάνει καὶ ἡ Πηλουσιωτῶν. Τῶν γὰρ ἐναντίων πειρώμεναι, τοὺς μὲν ὑπὸ σοὶ τελοῦντας μακαρίζουσι, ἑαυτὰς δὲ ταλανίζουσιν. Ὁ γὰρ μυρίων τιμωριῶν ἄξιος, εἰ χρήματ' ἔχοι, ἀπόβλεπτος παρ' ἐκείνοις καὶ περιμάχητος. Ὁ δ' ἀρετῇ κομῶν, εἰ πένης εἴη, οὐ μόνον ἐν τοῖς ἀτίμοις τελεῖ, ἀλλὰ καὶ ἐπιβουλεύεται. Ἐν δὲ ταῖς κρίσεσιν ὅπου ὁ χρυσὸς ῥέπει, ἐκεῖ καὶ ἡ ψῆφος νεύει· τὸ μὲν δίκαιον ἀδικεῖται, ἡ δ' ἀδικία κρατεῖ καὶ παρωνεῖ. Εὔξαι τοίνυν ἢ τοὺς τοιούτους λυμεῶνας μεταγνῶναι, ἢ τοὺς ὑπηκόους ἐλευθερωθῆναι.

CI. — HERMOGENI EPISCOPO.

Ad probos sacerdotes.

In probo tuo imperio, vir sanctissime, nec dives B ad aliorum perniciem pecuniarum vim possidet, nec qui in paupertate vivit, causæ ex æquo dicendæ potestate ob egestatem privatur: verum is quidem, qui juris et æqui opibus munitus est, veritatis thesaurum possidere judicatur; qui autem his caret, etiamsi Crœsi thesauros habeat, inops esse censetur: ac neque sermonis facultas incorruptam prudentiam a recto judicio abstrahit, nec oratoris eloquentia veritatem eludit, verum anima tua firma consistit, purum jus iis, qui in judicium adducti sunt, tribuens. Porro cum in ferendis sententiis talis sis, benignitate rursum magis teipsum superasti, quam quantum justitiæ laude alios præteris. Ac propterea vicem suam lugent urbes eæ, quæ tyrannide opprimuntur: quarum C una est Pelusium. Etenim contraria experientes, eos quidem qui tibi subsunt, beatos judicant, se autem miseros et infelices. Nam qui sexcentis supplicüis dignus est, si opes habeat, conspicuus apud illos et potens est: qui autem virtute floret, si pauper sit, non modo inter infames censetur, sed etiam insidiis appetitur. In judiciis autem quo aurum vergit, illuc etiam sententia propendet: ac jus quidem violatur, iniquitas autem dominatur, atque in omne contumeliæ genus prorumpit. Quæ cum ita sint, Deum precare, ut aut ejusmodi pestes ad *meliorem* mentem se convertant, aut ii, qui ipsis subsunt, in libertatem asserantur.

ΡΒ'. — ΑΜΜΩΝΙΩ.

Ἐπειδὴ οὐκ ἔξω ὑποψίας εἶναι δοκεῖ ἡ ἄγαν φιλία, κιρνάσθω τῷ θείῳ φόβῳ, ἵν' ἀμφότερα βρύῃ ἐν ἡμῖν, καὶ ὁ τοῦ Θεοῦ φόβος, καὶ ὁ τῶν φίλων πόθος· ὁ μὲν τὰς πονηρὰς ὑποψίας ἐξοστρακίζων· ὁ δὲ τὴν ἀγάπην, τὴν πάντων τῶν ἀγαθῶν μητέρα τίκτων. Ὅταν γὰρ κεκραμένον φόβῳ Θεοῦ τὸν πόθον ἔχωμεν, πάντ' ἐν ἡμῖν βλαστάνει τὰ ἀγαθά.

CII. — AMMONIO.

Quoniam nimia amicitia suspicione carere mi- D nime videtur, divino metu temperetur: ut utrumque in nobis abundet, **169** nempe et Dei metus, et amicorum amor: ille improbas suspiciones eliminans, hic charitatem ac benevolentiam bonorum omnium matrem pariens. Nam cum Dei metu temperatum atque permistum amorem habemus, omne bonorum genus in nobis pullulat.

ΡΓ'. — ΘΕΟΔΩΡΩ ΣΧΟΛΑΣΤΙΚΩ.

Ὅτι ἡ πίστις χωρὶς τῶν ἔργων οὐ σώζει τὸν ἄνθρωπον.

Οὐχ ὁ δεινότητι καὶ δυνάμει λόγων, ὦ σοφὲ, τὰλη-

CIII. — THEODORO SCHOLASTICO.

Quod fides sine operibus non salvat hominem.

Non qui vi copiaque dicendi verum propulsat,

VARIÆ LECTIONES ET NOTÆ.

(96) Pro συμβαλεῖται duo codd. Vatic. 649 et Alt. habent συμβάλλεται. Vers. pen. pro σοφίας cod. Alt. legit φιλοσοφίας. Possin.

(97) Codd. Vatic. 649 et Alt. legunt ἐστέρηται. Id.

Digitized by Google

o sapiens, laudem meretur : sed qui pure planeque illud eloquitur. Eaque de causa, ipse quoque, quod scire aves, perspicue dicam. Facilia et prona per divinum adventum certamina reddita sunt, ut pugnantes victoriam adipiscamur, non autem ut gratiæ magnitudine ad ignaviæ occasionem abutamur.

A θὲς διακρουόμενος, ἐπαίνων ἄξιος· ἀλλ' ὁ ἀτεχνῶς αὐτὸ φράζων. Διὸ δὴ καὶ αὐτὸς σαφῶς ὃ βούλει μαθεῖν, λέξω. Εὔκολα γέγονεν ἐκ τῆς θείας ἐπιφοιτήσεως τὰ παλαίσματα, ἵνα νικήσωμεν ἀγωνιζόμενοι, οὐχ ἵνα τῷ μεγέθει τῆς χάριτος πρὸς ῥᾳθυμίας ὑπόθεσιν ἀποχρησώμεθα.

CIV. — SERENO.

De arrogantia.

Ne illud te ad arrogantiam erudiat, quod hostem superaris. Compluribus enim præ jactantia furentibus, ut qui per omne vitæ tempus tropæa statuissent, eoque nomine gloriantibus, nec unquam inferiores se fore atque expugnatum iri exspectantibus, felicitas ea quæ videbatur, perspicue in pejus cessit.

ΡΔ'. — ΣΕΡΙΝΩ.

Περὶ ἀλαζονείας.

Μὴ τὸ ἐχθροῦ κεκρατηκέναι, εἰς ἀλαζονείαν σε παιδοτριβείτω. Πολλοῖς γὰρ ὑπὸ μεγαλαυχίας μεμηνόσι, ὡς ἅπαντα τὸν χρόνον τρόπαια στήσασι, καὶ φιλοτιμουμένοις ἐπὶ τούτοις, καὶ μὴ νομίζουσιν ἔλαττον ἔξειν, μηδὲ ἁλώσεσθαί ποτε προσδοκήσασιν, ἡ δοκοῦσα εὐπραγία εἰς τὸ χεῖρον περιφανῶς προεχώρησε.

CV. — EIDEM.

Multis secundi successus, quibus primum usi fuerant, infinitorum malorum causam attulerunt. Nam cum unum aut alterum nullo suo merito tropæum erexissent, propterea quod eorum temeritas eum, quem sperabant eventum habuisset, inopinata felicitate elati, atque in majores actiones sese projicientes, de superioribus quoque rebus præclare gestis in extremum periculum venerunt. Quapropter nobis faciendum est, ut humanius consultemus, atque, cum quid præclare atque ex sententia gerimus, misericordiam nobis ob oculos proponamus, nec præter modum sentiamus ac loquamur : cum autem ab officio aberramus, humanam imbecillitatem corrigamus, nec illud postulemus ut res nostræ Dei instar immortales fixæ sint.

B

ΡΕ'. — ΤΩ ΑΥΤΩ.

Πολλοῖς αἱ ἐξ ἀρχῆς ἐπιτυχίαι κακῶν ἀμυθήτων γεγόνασι πρόξενοι. Ἓν γάρ που ἢ δεύτερον παρὰ τὴν ἀξίαν στήσαντες τρόπαιον, ἅτε χωρησάσης αὐτοῖς εἰς ἐλπίδα τῆς τόλμης, ἐπαρθέντες τῇ ἀδοκήτῳ (98) εὐπραγίᾳ, καὶ εἰς μείζους ἑαυτοὺς ῥίψαντες πράξεις, ἐκινδύνευσαν ἐσχάτως καὶ περὶ τῶν ἐξ ἀρχῆς κατορθωμάτων. Διὸ χρὴ ἀνθρωπινότερον βουλεύεσθαι, καὶ κατορθοῦντες μὲν εἰς οἶκτον βλέπειν, καὶ τὰς ὀξυῤῥόπους ἐκλογίζεσθαι μεταβολάς, καὶ μὴ πέρα τοῦ μέτρου φρονεῖν τε καὶ φράζειν· διαμαρτάνοντας δὲ παιδεύεσθαι τὴν ἀνθρωπίνην ἀσθένειαν, καὶ μὴ ὡς Θεῷ πεπηγέναι τὰ πράγματα ἀθάνατα ἀξιοῦν.

CVI. — PAULO.

Ne ea, quæ vix, atque cum infinitis sudoribus ac certaminibus capiuntur, te cursim capturum existima ! verum a laboribus et precibus exorsus, ad aucupandos Scripturæ sacræ sensus, qui animorum nostrorum solertiam ad majorem celeritatem exacuunt, te confer.

C

ΡϚ'. — ΠΑΥΛΩ.

Μὴ τὰ μόλις, ὦ βέλτιστε, καὶ μετὰ μυρίων ἱδρώτων καὶ ἀγώνων θηρώμενα, ἐξ ἐπιδρομῆς θηρᾶν νόμιζε· ἀλλ' ἐκ πόνων καὶ προσευχῶν προοιμιασάμενος, ἐπὶ τὴν θήραν τῶν νοημάτων τῆς ἱερᾶς χώρει Γραφῆς, τῶν τὴν ἡμετέραν σύνεσιν εἰς πλείονα ὀξύτητα ἀκονώντων.

170 CVII. — EUTONIO DIACONO.

Mentem oportet, velut reginam summum imperium obtinentem, horrendas atque armis omni ex parte munitas et instructas rationes ad sensuum portas demittere, quæ obviam prodeant, insidiasque ante struant, hostesque prohibeant : non autem aditu ipsis primum concesso, dubiam postea pugnam suscipere, quæ persæpe in alteram partem propendebit, hostibusque tropæum porriget. Ob eam enim causam salutaris quoque sermo eum qui impudico oculo aliquem perspiciat, supplicio affecturum se comminatus est, cum alii legum latores facinus duntaxat puniant : ne difficile ac nimis arduum bellum sit, verum facile ac proclive.

D

ΡΖ'.—ΕΥΤΟΝΙΩ ΔΙΑΚΟΝΩ

Χρὴ τὸν νοῦν οἷα βασιλέα αὐτοκράτορα λογισμοὺς φοβεροὺς καὶ πάντοθεν ὅπλοις πεπραγμένους πρὸς τὰς τῶν αἰσθήσεων καταπέμψαι πύλας προαπαντησομένους, καὶ προλοχιοῦντας (99), καὶ εἰρξοντας τοὺς πολεμίους, καὶ μὴ πρῶτον συγχωρήσαντας τὴν εἴσοδον, ὕστερον ἀμφήριστον ἀναδέχεσθαι μάχην· ἥτις πολλάκις καὶ ἑτεροκλινὴς γενήσεται, τοῖς ἀντιστρατευομένοις τὸ τρόπαιον ὀρέγουσα. Διὰ γάρ τοι τοῦτο καὶ ὁ σωτήριος λόγος τὸν ἀκολάστως ὁρῶντα, κολάσειν ἠπείλησε, τῶν ἄλλων νομοθετῶν τὴν πρᾶξιν μόνην κολαζόντων· ἵνα μὴ δυσκαταγώνιστος καὶ ἀπρόσμαχος ὁ πόλεμος γένηται, ἀλλὰ ῥᾴδιος καὶ εὐχερής.

VARIÆ LECTIONES ET NOTÆ.

(98) Pro ἀδοκήτῳ solus cod. Vat. 649 legit εὐδοκήτῳ. Lectio tamen edita præterquam sua satis probabilitate stat, etiam nititur suffragio codd. duorum Sfort. et Alt. Vers. 8 κατορθοῦντες in quartum casum flectit cod. Sfort. scribens, κατορθοῦντας, idemque vers. 10 et 11 pro διαμαρτάνοντας legit διαμαρτόντας. Possin.

(99) Cod. Vat. 649 ex προλοχιοῦντας primam syllabam pro tollit. Id.

Digitized by Google

ΡΗ'. — ΖΩΣΙΜΩ ΠΡΕΣΒΥΤΕΡΩ.

CVIII. — ZOSIMO PRESBYTERO.

Πολλοὶ, μᾶλλον δὲ πάντες, ὡς ἔπος εἰπεῖν, ἄνθρωποι καὶ πλεονεκτήματα ἔχουσι καὶ ἐλαττώματα, καὶ τοῖς μὲν ἐναβρύνονται, τοῖς δὲ ἐγκαλύπτονται. Σὺ δὲ, ὥς φασιν, ἐλαττωμάτων ἀνάπλεως ὢν, κατορθωμάτων ἔρημος εἶ καὶ γυμνός. Τὸ μὲν οὖν γαστρός σε ἡττώμενον, καὶ τοῖς μετὰ γαστέρα κεχειρῶσθαι πάθεσι, θαυμαστὸν οὐδέν. Ταῦτα γὰρ ἐκείνῃ ὡς τὰ πολλὰ ἕπεται. Ὁ γὰρ γαστρὸς ἄρξας, καὶ συνουσίας ἄρχειν δυνήσεται. Ἐπειδὴ καὶ τἄλλα πάντα ἐλαττώματα ἐν σοὶ χορεύειν φασὶ, καὶ ταμεῖόν σε καλοῦσι κακίας, καὶ θησαυρὸν ἀναισχυντίας· τοῦτο θαυμαστὸν εἶναι δοκεῖ, καὶ πᾶσαν ἔμπληξιν ὑπερβαίνειν. Εἰσὶ γάρ τινες ὠμοὶ μὲν, σώφρονες δὲ, ἢ αἰσχροκερδεῖς μὲν, μέτριοι δὲ, ἢ ἀσελγεῖς μὲν, ἥμεροι δέ. Σὲ δὲ διὰ πάντων χωρεῖν κωμῳδοῦσι· γλῶτταν μὲν γὰρ ὁπλίζειν σέ φασι κατὰ τῶν φιλαρέτων, αἰσχροῖς δὲ κέρδεσιν ἐγκαλινδούμενον καὶ σεμνύνεσθαι, πάντας δὲ τοὺς πώποτε ἐπὶ λαγνείᾳ βεβοημένους ἀποκρύψαντα καὶ ἐναβρύνεσθαι, κάτω δὲ τὴν ὀφρὺν ἔχειν ὀφείλοντα, διὰ τὰς πράξεις, ἃς οὐδὲ εἰπεῖν θέμις, ἄνω κρεμάσαντα αὐτὴν ἐπαίρειν. Καὶ συλλήβδην εἰπεῖν, πᾶν μέλος τοῦ σώματος τὴν τῆς ψυχῆς ἐμφαίνει ῥᾳθυμίαν τε καὶ ἀπόνοιαν. Καίτοι θάτερον θατέρῳ ἐναντίον ἐστὶν, ἀλλ' εἰς σὲ συνδεδραμηκέναι δισχυρίζονται. Εἰ τοίνυν ἀληθεύουσι, μετανόει ἐνταῦθα, ἵνα μὴ ἐκεῖσε ἀνονήτως αὐτὸ πράξειας.

Permulti, imo, ut sic loquar, omnes homines, et virtutes et vitia habent : atque illis quidem gloriantur, his autem erubescunt. Tu vero, ut aiunt, cum vitiis plenus sis, virtutibus prorsus cares. Ac profecto quod ventris illecebris cedens, libidinis quoque affectibus succumbas, nihil mirandum est. Nam illi magna ex parte ventrem sequuntur. Etenim qui ventrem imperio tenuerit, libidini quoque imperare poterit. Quoniam autem alia etiam omnia vitia in te sedem habere aiunt, teque vitii promptuarium atque impudentiæ thesaurum appellant, hoc vero mihi mirandum videtur, atque adeo admirationem omnem excedens. Sunt enim nonnulli sævi et crudeles, verum modestia præditi : aut impuri quidem ac libidinosi, cæterum faciles ac mansueti. At te per omnia grassari criminantur. Etenim et linguam adversus homines probos ac virtutis amantes armare dictitant, et turpibus lucris involutum, hinc etiam gloriari : et cum omnes, qui unquam ob libidinem celebres exstiterunt, superes atque obscures, hoc quoque nomine tibi placere : cumque ob tua facinora, quæ ne commemorare quidem fas est, supercilium demittere debeas, id tamen supra tempora efferre : atque, ut summatim dicam, omne corporis membrum animi socordiam et contumaciam indicare. Quanquam enim alterum cum altero pugnat : utrumque tamen in te concurrisse affirmant. Quocirca, si vera loquuntur, hic pœnitentiam age : ne in altero ævo citra ullam utilitatem id facias.

ΡΘ'. — ΜΑΡΚΩ.

CIX. — MARCO.

Διὰ τί, ἔφης, οὐ πάντας τοὺς προσφερομένους αὐτὸν, ὁμοίως ὁ οἶνος διατίθησιν· ἀλλὰ τοὺς μὲν εὐμενεῖς ποιεῖ, τοὺς δὲ θυμώδεις· καὶ τοὺς μὲν φιλικοὺς, τοὺς δὲ μαχίμους· καὶ τοὺς μὲν ἡμέρους, τοὺς δὲ θηριώδεις; Οἶμαι τοίνυν, ἐπειδὴ καὶ φυσιολογεῖν ἡμᾶς ἀναγκάζεις, ταῦτα συμβαίνειν, ἢ ἀπὸ τῆς τοῦ σώματος διαθέσεως, τῷ ἢ αὔξεσθαι, ἢ μειοῦσθαι ἀπὸ τοῦ οἴνου τὰς αἰτίας τῶν τοιούτων συμπτωμάτων, ἢ ἀπὸ τῶν λανθανόντων τοὺς πολλοὺς τῆς ψυχῆς κινημάτων. Ἐπειδὴ γὰρ μόνων τῶν ὑγρῶν ἠθοποιὸν ὁ οἶνός ἐστι, κίρναται τρόπον τινὰ τοῖς τρόποις τῶν χρωμένων. Πρὸς ὁποῖον γὰρ ἂν ἦθος προσενεχθῇ, τοιαῦτα καὶ τὰ πάθη ἀποφαίνει, οὐ μὴ ὄντα αὐτὰ κατασκευάζων, ἀλλὰ κεκρυμμένα γυμνῶν. Τὸ γὰρ πεπλασμένον ἦθος ἀπαμφιάσας, ἐκφαίνει τὰ λανθάνοντα. Ὅθεν καὶ εἰς παροιμίαν κεχώρηκε τὸ τοιοῦτο, λεγόντων πολλῶν· Ἐν οἴνῳ ἡ ἀλήθεια. Τοὺς μὲν γὰρ δοκοῦντας σεμνότητος δόξῃ ἐναβρύνεσθαι, ἐκλαλητικοὺς τῶν ἀπορρήτων πολλάκις ἔδειξε, καὶ ὅπερ ἄρρητον ἄμεινον, εἰπεῖν παρεσκεύασε· τοὺς δὲ ἀπὸ μισοπονηρίας πολλάκις εἰς ὀργὴν ἐκτραπέντας, μειλιχίους τε καὶ πράους ἤλεγξεν ὄντας· τῶν μὲν, τὴν ἐπὶ σεμνότητι δόξαν· τῶν δὲ, τὴν ἐπὶ τῇ ὀργῇ αἰτίαν ἐξαφανίσας. Οὐ γὰρ τὰ μὴ ὄντα κατασκευάζει, ἀλλὰ τὰ ὄντα μὲν, λανθάνοντα δὲ, δημοσιεύει.

Quæris cur vinum omnes, a quibus adhibetur, non eodem modo afficiat, verum alios placidos ac faciles, alios iracundos reddat, alios ad amicitiam, alios ad pugnam proclives, alios denique blandos, alios **171** belluinos. Existimo igitur, quoniam nos de rebus quoque naturalibus disputare cogis, hæc vel a corporis affectione contingere, nempe quod hujusmodi eventuum causæ a vino augeantur, vel imminuantur, vel ab animi impulsionibus, quæ plerosque latent. Quoniam enim vinum humidorum duntaxat mores informat, utentium moribus, quodammodo miscetur. Etenim pro iis moribus quibus adhibetur, eosdem quoque affectus ostendit : non quidem eos, cum non essent, efficiens, verum abstrusos et occultos denudans. Siquidem fictis moribus detectis, ea, quæ in obscuro erant, patefacit. Unde etiam illud in proverbium abiit, dicentibus multis in vino veritatem sitam esse. Quippe eos, qui gravitatis existimatione gloriari videbantur, arcanorum enuntiatores sæpenumero demonstravit, ut, effecitque quod tacitum tenere præstiterat, effutirent. Ac rursum eos qui improbitatis odio persæpe ad iracundiam concitati fuerant, blandos ac mansuetos esse ostendit. Atque ita et famam illam gloriamque gravitatis, qua illi florebant, et iracundiæ culpam, qua isti laborabant, exstinxit ac delevit. Neque enim quæ non sunt, efficit : verum quæ occulta et abstrusa sunt, evulgat.

Digitized by Google

CX. — EUSTATHIO DIACONO

De his qui neglectis suis peccatis, aliena curiosius scrutantur.

Magna me admiratio tenet, quonam pacto tyrannicus, ac sævus morbus, voluptatisque omnis expers, et cruciatum parturiens, tum omnes cujusvis ætatis superarit, tum omnes cujuslibet dignitatis subegerit, ac denique ornamentum omne ac modestiam labefactarit. Unusquisque enim, prætermissis peccatis suis, et quidem gravissimis, veniaque persæpe majoribus, aliorum errata, tametsi leviora, veniaque sæpenumero digna curiose inquirit, ac sua quidem supputans mœrore * afficitur : de alienis autem verba faciens, exsultat, lætitiaque perfunditur, atque in aliorum actionibus perscrutandis et condemnandis tempus omne suum conterit. Ac sibi ipsi quidem falsas etiam defensiones purgationesque comparat : aliorum autem acerbus et inexorabilis judex sedet, etiamsi alioqui justis excusationibus affluere videantur. Quocirca iis, qui hujusmodi morbo medicinam excogitare cupiunt, faciendum est, ut animi oculum ab alienis rebus ad delicta sua convertant, linguamque suam assuefaciant, non ad alios, sed seipsos acri et vehementi oratione insectandos. Hoc enim justitiam parturit (dic enim tu prior, inquit, iniquitates tuas, ut justificeris), illud autem majorem condemnationem parit. Grave est enim, atque absurditatem omnem excedens, **172** eos qui magnis criminibus se devinciunt, iis qui nihil, aut parum peccant, succensere.

ΡΙ'. — ΕΥΣΤΑΘΙΩ ΔΙΑΚΟΝΩ

Περὶ τῶν τὰ ἴδια πλημμελήματα ἐώντων, τὰ ἀλλότρια πολυπραγμονούντων.

Αἶαν θαυμάζω, ὅπως νόσημα τυραννικὸν καὶ ἀνήμερον, ἡδονῆς μὲν ἄμοιρον, κόλασιν δὲ ὠδῖνον, κεκράτηκε μὲν πάσης ἡλικίας, ἐχειρώσατο δὲ πᾶσαν ἀξίαν, ἐλυμήνατο δὲ πᾶσαν εὐκοσμίαν. Ἕκαστος γὰρ τὰ ἑαυτοῦ πταίσματα παρεὶς μέγιστα ὄντα, καὶ συγγνώμης πολλάκις μείζονα, τὰ τῶν πέλας ἐλάττονα ὄντα, πολλάκις δὲ καὶ συγγνώμης ἄξια, πολυπραγμονεῖ· καὶ λυπεῖται μὲν περὶ τῶν οἰκείων λογιζόμενος (1), ἀγάλλεται δὲ περὶ τῶν ἀλλοτρίων διαλεγόμενος, καὶ εἰς τὸ τὰ τῶν ἄλλων πολυπραγμονεῖν καὶ καταδικάζειν δαπανᾷ τὸν οἰκεῖον χρόνον· καὶ ἑαυτῷ μὲν καὶ τὰς οὐκ οὔσας ἀπολογίας πορίζεται, τῶν δὲ πλησίον πικρὸς καὶ ἀπαραίτητος κάθηται δικαστής, κἂν δοκοῖεν ἀπολογίαις εὐλόγοις πλουτεῖν. Χρὴ τοίνυν τοὺς βουλομένους θεραπείαν τῷ τοιούτῳ ἐπινοῆσαι νοσήματι, στρέφειν τὸ τῆς ψυχῆς ὄμμα ἀπὸ τῶν ἀλλοτρίων ἐπὶ τὰ οἰκεῖα πλημμελήματα, καὶ τὴν γλῶτταν ἐθίζειν μὴ κατὰ τῶν πέλας, ἀλλὰ καθ' ἑαυτῶν καταφορικῶς λέγειν. Τοῦτο μὲν γὰρ δικαιοσύνην ὠδίνει (λέγε γὰρ σὺ τὰς ἁμαρτίας σου πρῶτον (2), ἵνα δικαιωθῇς), ἐκεῖνο δὲ μείζονα κατάκρισιν τίκτει. Δεινὸν γὰρ, καὶ πάσης ἀτοπίας ἐπέκεινα, τοὺς μεγάλα πταίοντας, τοῖς οὐδὲν ἢ μικρὰ πλημμελοῦσιν ἐπιτιμᾶν.

CXI. — ZENONI DIACONO.

De exercitatione.

Ne illis, o amice, te compares qui læto quidem atque alacri animo divinam prædicationem susceperunt, verum semen in animi penetralia minime transmiserunt. Nam cum leviter duntaxat atque in superficiem consiti, nec radicibus alte defixi essent, dicto citius exaruerunt, nec maturum ullum fructum extulerunt, verum ipsi a tentationibus oppressi sunt. At vero illis alte defixis, culmisque ac fructibus abundantibus, quorum spicæ uberes ac fructu graves propendent et inclinantur, ob maturum messis tempus, messorum falcem tantum non vocantes. Etenim probe norunt Christum angelis, ut hujusmodi homines in cœlestes sedes comportent, præcepisse : quo nimirum una festum celebrent, ac regnent, sempiternaque animi lætitia perfruantur.

ΡΙΑ'. — ΖΗΝΩΝΙ ΔΙΑΚΟΝΩ.

Περὶ ἀσκήσεως.

Μὴ ἐκείνοις, ὦ φιλότης, σαυτὸν παράβαλλε, τοῖς περιχαρῶς μὲν τὸ θεῖον ὑποδεξαμένοις κήρυγμα, μὴ ἐν βάθει [δὲ] τῆς διανοίας παραπέμψασι τὸν σπόρον. Ἐπιπολαιόφυτοι γὰρ καὶ ἐπιπολαιόριζοι γεγονότες, θᾶττον ἢ λόγος ἀπεξηράνθησαν, καρπὸν μὲν ὥριμον μὴ ἐνηνοχότες, τῶν δὲ πειρασμῶν ἔργον γεγενημένοι. Ἀλλ' ἐκείνοις τοῖς βαθυῤῥίζοις, καὶ πολυῤῥίζοις, καὶ πολυκαλάμοις, καὶ πολυκάρποις, ὧν οἱ ἀστάχυες κομῶντες, καὶ ὑπὸ τοῦ καρποῦ βριθόμενοι καρηβαροῦσι καὶ κέκλινται, ὑπὸ τῆς πρὸς ἄμητον ὥρας μονονουχὶ ἐφ' ἑαυτοὺς καλοῦντες τὴν τῶν θεριστῶν δρεπάνην. Εὖ γὰρ ἐπίστανται, ὅτι τοὺς τοιούτους ὁ Χριστὸς εἰς τὰς οὐρανίους λήξεις ἀποκομίσαι τοῖς ἀγγέλοις προσέταξε, συνεορτάσοντας καὶ συμβασιλεύσοντας, καὶ ἀτελευτήτου θυμηδίας μεθέξοντας.

CXII. — EUTONIO DIACONO.

Quandoquidem oculus universum corpus moderatur, faciemque exhilarat et exornat, atque omnium membrorum lucerna est, propterea velut in regia

ΡΙΒ'. — ΕΥΤΟΝΙΩ ΔΙΑΚΟΝΩ.

Ἐπειδὴ ὁ ὀφθαλμὸς τὸ πᾶν διακυβερνᾷ σῶμα, φαιδρύνει τε καὶ κοσμεῖ τὴν ὄψιν, καὶ λύχνος ἐστὶν ἁπάντων τῶν μελῶν· διὰ τοῦτο ὥσπερ ἔν τινι βασι-

VARIÆ LECTIONES ET NOTÆ.

(1) Ἀναπεῖται μὲν περὶ τῶν οἰκείων λογιζόμενος. Bill., *sua quidem* (scil. errata) *supputans, mœrore afficitur.* Atqui hoc falsum est : corrigeret enim si doleret. Rectius itaque in Bav. cod. negatio additur, λυπεῖται μὲν οὐ, *mœrore non afficitur.* Huc pertinet illud Horatianum :

Egomet mi ignosco, Mœvius inquit.

Et Nazianzenus inquit, εὐγνώμων ἕκαστος τῶν ἑαυτοῦ κριτής. Confer Isidori nostri epist. 25 lib. IV. Rittr.

(2) Solus Vat. 649 legit, πρῶτος. Possin.

Digitized by Google

λικῷ χωρίῳ ἔδρυται, τὴν ἄνω λῆξιν λαχὼν, καὶ τῶν ἄλλων αἰσθήσεων προκαθήμενος. Ὅνπερ γὰρ τρόπον ὁ ἥλιος ἐν τῇ οἰκουμένῃ, οὕτω καὶ ὁ ὀφθαλμὸς ἐν τῷ σώματι. Καὶ ὥσπερ ἐκεῖνος, εἰ τῷ λόγῳ σβεσθείη, πάντα συνταράξειεν· οὕτω καὶ ὁ ὀφθαλμὸς εἰ ἀποσβεσθείη, καὶ πόδες ἄχρηστοι, καὶ χεῖρες, καὶ ἅπαν σχεδὸν τὸ σῶμα. Τοῦ χάριν δὴ ταῦτ' ἔφην; Ὅτι καὶ ὁ διδάσκαλος ὀφθαλμός ἐστι τοῦ σώματος τῆς Ἐκκλησίας. Ἐὰν οὖν οὗτος φωτεινὸς ᾖ, τοῦτ' ἔστι, ταῖς τῶν ἀρετῶν ἀκτῖσι μαρμαίρων, ὅλον τὸ σῶμα φωτεινὸν ἔσται, ὑπ' ἐκείνου κυβερνώμενον, καὶ τῆς προσηκούσης ἐπιμελείας ἀξιούμενον· ἐὰν δὲ σκοτεινὸς, τοῦτ' ἔστι, τὰ σκότους ἄξια δρῶν (3), [ὅλον] σχεδὸν τὸ σῶμα σκοτίζεται. Εἰ γὰρ καὶ εἴέν τινες τῶν ἐν τάξει μελῶν ὑγιαίνοντες, καὶ τὰ πρέποντα αὐτοῖς ἀνύοντες, καὶ μηδὲν ὑπὸ τῆς τοῦ διδασκάλου μοχθηρίας παραβλαπτόμενοι· ἀλλ' οὐδὲν τοσοῦτον ἰσχύουσι, τῆς βλάβης τὰ καίρια νεμομένης, καὶ τῆς κακίας, καὶ τοὺς λοιποὺς εἰς τὸν τοῦ καθηγητοῦ ζῆλον ἐρεθιζούσης, καὶ τοὺς ὑγιαίνοντας κατηγορούσης, καὶ πάντα τρόπον ὅπως καὶ αὐτοὺς εἰς τὸ νοσεῖν ἐμβάλ[λ]οι πραγματευομένης. Διὰ τοῦτ' εἴρηται· Εἰ οὖν τὸ φῶς τὸ ἐν σοὶ, σκότος ἐστὶ, τὸ σκότος πόσον; Οἷον, ἐάν τις εἴποι Ἐκκλησίᾳ τυραννικαῖς ἐπιθυμίαις ἐχούσῃ ὑφηγητήν (4)· Εἰ ὁ ὠφελεῖν καὶ φωτίζειν ὀφείλων, οὐδὲ φωτισθῆναι ἀνέχεται, ἀλλὰ καὶ τοὺς ὠφελεῖν προῃρημένους ἐξοστρακίζει· οἱ ὑπ' αὐτοῦ τελοῦντες, τί οὐκ ἂν δράσοιεν;

quadam sede collocatus est, ut qui supernam sedem nactus sit aliisque sensibus præsideat. Quemadmodum enim sol in terrarum orbe, sic quoque oculus in corpore est. Et quemadmodum ille, si exstinguatur, omnia perturbabit, sic etiam exstincto oculo, et pedes et manus, ac totum pene corpus inutile redditur. Quorsum hæc dixi? Nempe quia magister quoque corporis Ecclesiæ oculus est. Quare si hic lucidus fuerit, hoc est, virtutum radiis splendeat, totum corpus lucidum erit, utpote quod ipso regatur et gubernetur, eamque, quam par est, curam consequatur. Si autem tenebrosus sit, hoc est, ea, quæ tenebris digna sunt, perpetret, universum propemodum corpus obscuratur. Nam etiamsi quidam sint in membrorum classe, qui recte valeant, eaque, quæ ipsorum officio consentanea sunt, præstent, nec ex magistri improbitate ac nequitia detrimenti quidquam contrahant : at nihil tantum possunt, labe nimirum ac vitio potissimas partes depascente, reliquosque ad præceptoris imitationem exstimulante, ac sanos et incolumes maledica oratione insectante, omnique ratione, ut ipsos quoque in morbum conjiciat, moliente. Ob eamque causam dictum est : Si ergo lumen, quod in te est, tenebræ sint, tenebræ ipsæ quantæ erunt? Velut si quispiam dicat Ecclesiæ, tyrannicis cupiditatibus devictum magistrum habenti : Si is qui aliis prodesse, ac lumen afferre debet, ne **173** illuminari quidem sustinet, verum eos quoque qui prodesse instituunt, amolitur, qui sub ipsius imperio sunt, a quo tandem flagitio absti-neant?

ΡΙΓ'. — ΖΩΣΙΜΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Περὶ ἀκτημοσύνης.

Εἰ καὶ ὑπὸ τῆς τῶν πολλῶν σκαιότητός τε καὶ ἀπιστίας εἰς ἀδύνατον δοκεῖ περιεστάναι τὸ τῆς ἀκτημοσύνης κατόρθωμα, καὶ οὐδὲ πιστεύεταί τις παρὰ σοὶ κατορθῶν· εἰσί μέν[τοι], καὶ οἰδά τινας. Εἰ δὲ αὐτὸς ἀγνοεῖς, θαυμαστὸν οὐδέν. Ὑπὸ γὰρ φιλοχρηματίας μεθύων, εἰκότως ἀγνοεῖς τοὺς καθαρῶς νήφοντας. Πλὴν ζήλωσον τοὺς τῇ αὐταρκείᾳ χρωμένους, τοὺς ἀπὸ δικαίων πόνων ζῶντας, τοὺς τοῖς οἰκείοις πόνοις ἀρκουμένους (5). Ἢ οὐδὲ τούτους ὁρᾷς διαλάμποντας, καὶ καθάπερ λαμπτῆρας ἀστράπτοντας; Ζήλωσον τούτους τέως, καὶ παῦσαι κατὰ τῶν ἀλλοτρίων οὐσιῶν τε καὶ χρημάτων τὰς μιαρὰς σαυτοῦ καὶ ἀπλήστους ῥίπτων χεῖρας· καὶ οὕτω δυνήσῃ κἀκείνους κατεδεῖν. Νῦν μὲν γὰρ ἀκούσας, οὔτε πεισθήσῃ, ἀλλὰ καὶ φλυαρήσεις αὐτοὺς καὶ κωμῳδήσεις, ἅτε μανίαν ἀνήκεστον νοσῶν. Εἰ δὲ εἰς ματρίαν ὑγίειαν ἔλθοις, ῥᾳδίως ἂν καὶ τοὺς εἰλικρινῶς ὑγιαίνοντας κατόψει·

CXIII. — ZOSIMO PRESBYTERO.

De paupertate.

Etsi ob multorum improbitatem, inexplebilemque cupiditatem, voluntariæ paupertatis virtus eo redacta esse videtur, ut vires humanas excedat, nec quenquam esse credis qui eam consequatur ac præstet : quosdam tamen esse novi. Ac si tu ignoras, nihil mirum. Nam cum præ opum ac pecuniarum cupiditate ipse temulentia labores, haud mirum est, eos qui pure atque integre sobrii sunt, tibi ignotos esse. Cæterum eos, qui suis rebus contenti sunt, imitare, quique justis laboribus victum sibi quæruerunt, nec quidquam præterea requirunt. Anne hos quidem lucentes perspicis, ac luminarium instar rutilantes? Hos, inquam, aliquantisper ad imitandum tibi propone, atque alienis opibus et pecuniis impuras et inexplebiles manus tuas injicere desine, ac sic illos quoque contueri poteris. Nam nunc, hoc audito, nec ad credendum adduceris, verum eos

VARIÆ LECTIONES ET NOTÆ.

(3) Post δρῶν codd. Vatic. 649 et Alt. addunt ἅπαν. Idem vers. penult. pro ὑπ' αὐτοῦ legunt ὑπ' αὐτῶν. Possin.

(4) Ἐκκλησίᾳ τυραννικαῖς ἐπιθυμίαις ἐχούσῃ ὑφηγητήν. B. C. addit ἁλωκότα, εἶτα, omissis εἰ ὁ. Addidi igitur etiam interpretationi, *devictum*. Cæterum pro εἶτα malo retinere, εἰ ὁ. Ritt.

(5) *Τοὺς τοῖς οἰκείοις πόνοις ἀρκουμένους.* Puto legend. πόροις, tum quia librarii sæpe ν sive r Latinum ἀντὶ τοῦ ρ posuerunt; tum quia in B G reperi ν finale in medio scriptum, quod ad similitudinem τοῦ ρ quam proxime accedit. Sunt autem πόροι proventus sive reditus. Aristot. *Œconomic. et Politic.* Ia.

Digitized by Google

quoque traduces ac sugillabis, nec incurabili furore teneri desines. At si ad mediocrem sanitatem veneris, tum vero eos etiam qui prorsus integra valetudine præditi sunt, facile perspicies : atque etiam quandoque ipsos optimæ hujusce viæ duces ac præmonstratores habebis.

A ἔσθ' ὅτε δὲ καὶ ἀγωγοὺς καὶ ἡγεμόνας αὐτοὺς ἕξεις τῆς ἀρίστης ταύτης ὁδοῦ.

CXIV. — CARPO PRESBYTERO.

De iis qui virtute præditos aversantur.

Perditæ ac profligatæ improbitatis esse mihi ille videtur, non qui eum, a quo injuriam atque contumeliam accepit, ulciscitur (sæpe enim illi venia impertitur), verum qui meliorem, atque omnium laudibus celebratum odio et cavillis insectatur. Ille enim, etsi ad philosophiæ fastigium minime ascendit : at justam odii causam habere videtur. Ilic autem cum nulla causa subsit, non tam cum homine quam cum virtute bellum gerit, ac bona omnia funditus evellere conatur. Quod si Eustathius hoc facit, aut ab hujusmodi odio reprimendus est, aut ut impurus ac nefarius abdicandus ac proscribendus. Una enim demum hæc virtus est, absurdæ improbitatis hominem semper fugere : ac præsertim cum nihil turpe ac fœdum existimat, nisi castum ac temperantem esse.

ΡΙΔ'. — ΚΑΡΠΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Περὶ τῶν βδελυττομένων τοὺς ἐναρέτους.

Σκαιότατος εἶναί μοι δοκεῖ καὶ ἀλιτήριος, οὐχ ὁ τὸν ἀδικήσαντα καὶ ὑβρίσαντα (συγγνώμη γὰρ τῷ τοιούτῳ πολλάκις παρέπεται), ἀλλ' ὁ τὸν ἀμείνονα τυγχάνοντα, καὶ ὑπὸ πάντων ἀνυμνούμενον, μισῶν τε καὶ κωμῳδῶν. Ἐκεῖνος μὲν γὰρ, εἰ καὶ μὴ εἰς κορυφὴν τῆς φιλοσοφίας ἀναβέβηκεν, ἀλλ' οὖν γε ἔχειν δοκεῖ τοῦ μίσους εὔλογον αἰτίαν. Οὗτος δὲ μηδεμιᾶς B αἰτίας ὑποκειμένης, οὐ τοσοῦτον ἀνθρώπῳ, ὅσον τῇ ἀρετῇ πολεμεῖ, καὶ πάντα τὰ καλὰ ἐκ βάθρων ἀνασπάσαι πειρᾶται. Εἰ δὲ Εὐστάθιος τοῦτο δρᾷ, ἢ παυστέον αὐτὸν τοῦ μύσους, ἢ ἐκκηρυκτέον ὡς ἐναγῆ. Μία γάρ ἐστιν ἀρετὴ, τὸ φεύγειν τὸν ἄτοπον ἀεὶ, καὶ μάλιστα ὅταν μηδὲν αἰσχρὸν ἡγῆται, ἢ τὸ σωφρονεῖν.

CXV. — DOROTHEO.

De circumcisione.

Ecquis sempiternam illam mentem atque ab omni labe alienam, id quod decorum est minime assecutam esse censebit? Ecquis usque adeo ultra omnem temeritatem procedere audeat, ut sapientiam erroris et culpæ accuset? Hoc enim haud abs re ei acciderit, si alia quidem animantia, uti consentaneum **174** erat, procreavit, solum autem hominem (quem terrenorum omnium regem ac principem creare proposuerat) supervacaneo onere, quod postea per circumcisionem detrahi jusserit, gravari voluerit. Quod si hoc dictu nefas est (quis enim tam excors, ac naturalis mentis expers est, ut divinam scientiam imperitiæ insimulet?) profecto huic quoque congruentem habitum ac speciem servavit. Quod si eum ut consentaneum erat fabricatus est, idque et statuarii, et lapicidæ, et fictores ac pictores ostendunt, qui vetus figmentum sequuntur, et id quod honestum ac decorum est, ei quod postea certam ob causam abscissum est, anteponunt, qui circumcisionem, plusquam par sit, admirantur, hujus usum et utilitatem quærunt. Ac siquidem circumcisionem quæ in occulto est, indicat, admirationem suam augeant, ac tum eos prædicent, qui sine circumcisione cupiditates suas circumcidunt. Si autem signi loco, ut ne gentibus admiscerentur, ipsis data est, non secus atque contumacibus ac ferocibus equis frenum ac sigillum, haud magnopere ob eam, qua eorum stoliditas et insciția notatur, animos efferant. Nam cum et Abel, et Enoch, et Noe, et Abraham antequam

ΡΙΕ'. — ΔΩΡΟΘΕΩ.

Περὶ τῆς περιτομῆς.

Τίς τὸν ἀκήρατον νοῦν ἐν διαμαρτίᾳ τοῦ πρέποντος γεγενῆσθαι ψηφιεῖται; Τίς οὕτω τόλμης ἀπάσης ἐπέκεινα χωρεῖν τολμήσειεν, ὡς τὴν σοφίαν πταίσασαν αἰτιάσασθαι; Τοῦτο γὰρ ἂν εἰκότως πείσοιτο, εἰ C τὰ μὲν ἄλλα ζῶα μὴ ἔξω τοῦ πρέποντος ἐδημιούργησε, μόνον δὲ τὸν ἄνθρωπον, καίτοι βασιλέα καὶ ἄρχοντα αὐτὸν τῶν ἐπιγείων ἁπάντων χειροτονῆσαι προηρημένη, περιττῷ ἄχθει βρίθεσθαι πεποίηκεν, ὃ ὕστερον διὰ τῆς περιτομῆς ἀφαιρεῖν προσέταξεν. Εἰ δὲ τοῦτ' οὐκ ἔστιν εἰπεῖν (τίς γὰρ οὕτως ἀνόητος καὶ τῶν κατὰ φύσιν φρενῶν ἐνδεής, ὡς τὴν θείαν ἐπιστήμην ἀτεχνίας γράψασθαι;), τὸ πρέπον σχῆμα καὶ τούτῳ ἐφύλαξεν. Εἰ δὲ πρεπόντως ἐδημιούργησε, καὶ δηλοῦσι καὶ ἀνδριαντοποιοὶ, καὶ λιθοξόοι, πλάσται τε καὶ γραφεῖς τῇ ἀρχαίᾳ πλάσει ἀκολουθοῦντες, καὶ τὸ εὔπρεπὲς τοῦ ὕστερον διά τινα αἰτίαν πεπισθέντας (6) προτιμῶντες· ζητείτωσαν οἱ τὴν περιτομὴν πέρα τοῦ μέτρου θαυμάζοντες, τὴν ταύ- D της χρείαν. Καὶ εἰ μὲν τὴν ἐν τῷ κρυπτῷ μηνύει περιτομὴν, ἐπιτεινέτωσαν τὸ θαῦμα, καὶ τότε κρατείτωσαν τοὺς ἄνευ περιτομῆς τὰς ἐπιθυμίας περιτέμνοντας. Εἰ δὲ σημεῖον αὐτοῖς δέδοται πρὸς τὸ μὴ ἐπιμίγνυσθαι τοῖς ἔθνεσιν, ὡς ἵπποις δυσηνίοις καὶ ἀγερώχοις χαλινὸς καὶ σφραγὶς· μὴ μέγα ἐπὶ ταύτῃ φρονείτωσαν, τῇ τὴν ἀπαιδευσίαν αὐτῶν στηλιτευούσῃ. Εἰ γὰρ καὶ Ἄβελ, καὶ Ἐνὼχ, καὶ Νῶε, καὶ Ἀβραὰμ, πρὸ τοῦ ὀφθῆναι ἢ λεχθῆναι περιτομὴν, εὐδοκίμησαν, οὐκ εὐδοκιμήσεώς ἐστιν ὑπόθεσις, ἀλλ' ἡ ἄρα εὐδοκιμήσεως σφραγίς. Ὁ τοίνυν ἔχων πλοῦ-

VARIÆ LECTIONES ET NOTÆ.

(6) Pro πεπισθέντας cod. Alt. legit πεπισθέντος. Videtur rescribendum πεπεισθέντος. Vers. deinde quarto pro κρατείτωσαν idem cod. recte legit κριτείτωσαν. Possin.

Digitized by Google

τον ἀριστῆς, ἐχέτω καὶ σφραγῖδα. Ὁ δὲ πενίαν ἐσχάτην ὀδυρόμενος, γέλωτα ὀφλισκάνει, σφραγῖδα μὲν ἐπιφερόμενος, πλούτου δὲ ἐνδεὴς ὤν. Ἀκουέτω δὲ καὶ τοῦτο ὁ ἐπὶ ταύτῃ μέγα φρονῶν· Εἰ μὲν σὸν τὸ κατόρθωμα, φρόνει ὡς φρονεῖς, οὐ διοισόμεθα· εἰ δὲ ἐν ἀώρῳ γέγονεν ἡλικίᾳ (διὸ καὶ ἡμεῖς εὐχαριστοῦμεν, ἀκερδοῦς πόνου ἀπηλλαγμένοι), δι' ἣν αἰτίαν ἐπὶ τοῖς ἀλλοτρίοις σεμνύνῃ; Ἕκαστος γὰρ ἐξ οἰκείων πόνων ἐναβρύνεσθαι δίκαιος, οὐκ ἀφ' ὧν ἄλλοι ἐπιτιθέασι σημείων. A circumcisio aut visa aut audita esset, cum laude atque gloria vixerint, ea certe non laudis et gloriæ materia, sed sigillum. Quare qui virtutis opes habet, sigillum quoque sane habeat. Qui autem extremam paupertatem lamentis prosequitur, ridiculus certe est, sigillum quidem secum ferens, opibus autem carens. Quin istud quoque audiat qui ob eam gloriatur : si tuum est hoc decus, gloriare sane, ut facis, de eo nullam litem tibi movebo. Si autem in immatura ætate exstitit (unde etiam nos gratias Deo agimus infrugifero labore liberati), quam ob causam ob aliena gloriaris? Unusquisque enim ob suos labores exsultare ac sibi placere debet, non autem ob ea signa, quæ ipsi ab aliis imponuntur.

ΡΙϚ'. — ΠΑΥΛΩ.

Περὶ ἑορτῶν.

Τὰς ἀρετὰς τίμα, μὴ τὰς εὐημερίας θεράπευε. Αἱ μὲν γὰρ ἀθάνατόν εἰσι χρῆμα, αἱ δὲ ῥᾳδίως σβέννυνται. Καὶ ταῦτα μὲν εἰς τοσοῦτον. Μὴ ἀγνόει δὲ, ὅτι ὁ Θεὸς ταῖς ἑορταῖς καὶ πάλαι καὶ νῦν ἐγκατέδησε τῶν εὐεργεσιῶν τὰ ὑπομνήματα, ἵν' οἱ πανηγυρίζοντες ἔναυλον τὴν τούτων μνήμην ἔχοντες, μὴ εἰς μέθην, ἀλλ' εἰς εὐχαριστίαν καὶ ἀρετὴν τρέποιντο. B

CXVI. — PAULO.

De festis.

Virtutes honori habe, non autem lætos rerum successus cole atque observa. Nam illæ immortales quædam res sunt : hi autem facile exstinguuntur. Atque hæc hactenus. Illud autem ne sis nescius, Deum beneficiorum suorum monimenta festis et olim et nunc astrinxisse, ut qui festos dies agitant, eorum memoriam auribus suis insonantem habentes, non ad temulentiam, sed ad gratiarum actionem et virtutem sese convertant.

ΡΙΖ'. — ΘΕΟΦΙΛΩ.

Μάλιστα μὲν εἰ ἐρωτηθείη τις παρά τινος συκοφαντεῖν τολμῶντος τὴν ἀλήθειαν· Πάντα δυνατὰ τῷ Θεῷ; καὶ ἀποκρίνεται· Ναί· εἶτα ἐκεῖνος ἐπενέγκοι· Οὐκοῦν καὶ τὰ κακὰ ἀμαθίας ὀφλῆσαι γέλωτα δίκαιος ἂν εἴη, οὐχ ὁ ἀποκρινάμενος, ἀλλὰ μᾶλλον ὁ ἐρωτήσας. Οὐ γὰρ ἐν πᾶσι τοῖς Θεῷ δυνατοῖς ἀριθμεῖται τὰ κακά. Ὅπου γὰρ ὁ Θεὸς ὀνομάζεται, τὸ καλὸν ὁραρότως ἕπεται. Καὶ οὐδ' ἐννοήσειέ τις ὑγιαίνων τὸν νοῦν, ὅτι τῷ Θεῷ τὰ κακὰ δυνατά, οὐδ' ἀσθένειάν τις καλέσειε τὸ μὴ δύνασθαι τὰ κακὰ δρᾶν. Ἀσθένεια γὰρ κυρίως, ἡ τῶν κακῶν πρᾶξις. Διὸ καὶ ὁ ταῦτα μάλιστα ἀκριβῶς ἐπιστάμενος Παῦλος, ἀσθενείας τὰς ἁμαρτίας ἐκάλει, λέγων· Εἰ γὰρ (7) Χριστὸς ὄντων ἡμῶν ἀσθενῶν, κατὰ καιρὸν ὑπὲρ ἀσεβῶν ἀπέθανε. Καὶ ὁ τοῦ Μελῳδοῦ δὲ λόγος τοῦτ' ἐγγυᾶται. Ἐπληθύνθησαν γάρ, φησὶν, αἱ ἀσθένειαι αὐτῶν, τοῦτ' ἔστιν αἱ ἁμαρτίαι. Ἀλλ' οὐδὲ ἐκεῖνό τις ἀνθυπενεγκὼν τῷ λέγοντι, Πάντα Θεῷ δυνατά, νοῦν ἔχειν νομισθήσεται. Ποῖον δὴ τοῦτο; Φλυαρεῖν γὰρ εἰώθασι, καὶ λέγειν· Ἆρ' οὖν καὶ τὸ γεγονὸς ποιῆσαι μὴ γεγονέναι, Θεῷ δυνατόν ἐστιν; Ἀχρεῖον γὰρ δὴ πάλιν τὸ τοιοῦτο. Οὐδ' οὐδὲν ἀχρεῖον ἐπὶ τῆς θείας δυνάμεως παραλαμβάνεται. Περιττὰ μὲν οὖν καὶ εἰσὶ, καὶ ἀπεδείχθησαν αἱ κατὰ τοῦ τοιούτου λόγου συκοφαντίαι, πλὴν ἀλλ', ἵνα μηδὲ ταύτας ἀνακινεῖν ἔχοιεν, καὶ τὰς ἠχοὰς τῶν ἀκροωμένων λυμαίνεσθαι, εἰ ἐρωτηθείημεν, εἰ πάντα τῷ Θεῷ δυνατὰ, ἀποκρινώμεθα· Τὰ πρέποντα αὐτῷ· καὶ πᾶσα λύεται ἀνωφελὴς ζήτησις. Δύναται μὲν γὰρ πάντα, βούλεται δὲ τὰ ἅριστα. C D

CXVII. — THEOPHILO.

Maxime quidem si quispiam a quodam veritati calumniam struere conanti interrogetur, omniane Deo possibilia sint, illeque respondeat, Ita; se deinde ipse inferat, Ergo etiam mala : dignus erit cujus **175** inscitia merito rideatur, non qui respondit, sed potius qui interrogavit. Neque enim inter ea omnia, quæ Deus potest, mala recensentur. Nam ubi Deus nominatur, bonum firmiter ac certo sequitur. Nec quisquam mente præditus illud unquam in animum admiserit, mala Deo possibilia esse ; nec quisquam imbecillitatem appellarit, mala perpetrare non posse. Imbecillitas enim proprie est malorum perpetratio. Unde etiam Paulus, qui hæc compertissima habebat, peccata infirmitates appellabat, his verbis utens : Si enim Christus, cum adhuc infirmi essemus, secundum tempus pro impiis mortuus est[31]. Atque etiam Psalmistæ sermo hoc ipsum confirmat. Multiplicatæ sunt enim, inquit[32], infirmitates eorum, hoc est, peccata. Qui ne illud quidem inferens quispiam ei qui Deo possibilia omnia esse ait, mentis compos esse censebitur. Quidnam tandem hoc? Nugari enim solent, ac dicere : Num etiam hoc in Dei potestate situm est, ut quod factum est, infectum reddatur? Nam hoc rursus cassum atque irritum est. Nihil porro cassum et irritum in divina potentia usurpatur. Supervacaneæ itaque et sunt et demonstratæ sunt eæ calumniæ, quæ adversus hujusmodi sermonem intentantur. Cæterum, ut ne has rursum excitare, atque audientium aures

[31] Rom. v, 6. [32] Psal. xv, 14

VARIÆ LECTIONES ET NOTÆ

(7) Pro εἰ γὰρ codd Vatic. 649 et Alt. habent ἔτι γάρ. Possin.

Digitized by Google

labefactare possint, si ex nobis quæratur, an omnia Deo possibilia sint, respondeamus eum omnia hæc posse, quæ ipsius naturæ consentanea sunt : atque ita inutilis omnis quæstio soluta erit. Potest enim omnia, vult autem optima.

CXVIII. — THEOPHILO.

De imperitia.

Ne eum, qui solers aliquid fecisse visus est, accuses, verum eum, qui ne tanta quidem facilitate ac mansuetudine melior factus est. Nam illo, quod existimasset eum, qui in manifesto crimine deprehenderetur, in impudentiam conversum iri, ultro ac sponte ei latendi potestatem dedit. Hic autem sapientiam stultitiam esse arbitratus, quod se minime deprehensum esse existimasset, impudentiam suam aluit, hominem de se bene meritum contumeliis remunerans.

ΡΙΗ'. — ΘΕΟΦΙΛΩ.

Περὶ ἀγνωμοσύνης.

Μὴ τὸν δόξαντα σοφόν τι πεποιηκέναι αἰτιῶ, ἀλλὰ τὸν μηδὲ τῇ τοσαύτῃ ἐπιεικείᾳ σωφρονισθέντα. Ὁ μὲν γὰρ νομίσας τὸν ἐπ' αὐτοφώρῳ καταληφθησόμενον, εἰς ἀναισχυντίαν τρέπεσθαι, ἑκὼν δέδωκε τοῦ λαθεῖν ἐξουσίαν. Ὁ δὲ τὸ σοφὸν νομίσας ἠλίθιον, τῷ μὴ δόξαι πεφωρᾶσθαι, τὴν ἀναισχυντίαν ἔθρεψεν, ὕβρεσι τὸν εὐεργέτην ἀμειψάμενος.

CXIX. — OPHELIO GRAMMATICO.

De natura animalium.

Quoniam te novæ auditionis siti flagrare compertum habeo, nec omnino abstiturum, nisi addiscas, breviter explicabo, etsi humani ingenii limites excedere videtur id quod abs te quæsitum est. Ex animantibus, eæ quæ cibum masticant animalia pariunt; quæ autem bibunt, ova procreant. Atque illæ quidem primo partu contentæ sunt, ut perfecto et absoluto : hæ autem secundum etiam repetunt. Nam cum tempus, ut ova in animalia mutentur, exposcit, certis dierum spatiis ovis incubantia, naturalem quamdam vim ipsis immittunt, ut, quæ **176** prius inanima peperererant, anima donentur. Etenim seminales rationes, quæ a summo illo Effectore naturis primum insitæ sunt, suffumigantes, si velut flatu quodam excitentur, scintillarum instar per temporum incrementa in materia inflammari consueverunt. Quamobrem ea quidem quæ fiunt admirari ac suspicere oportet : verum miraculum illud ad sapientissimum Opificem referre. Hæc enim non animantium in sui conservatione providentiam declarant (siquidem eorum natura imaginatione, non ratione utitur), verum naturam eam, quæ omnia regit ac moderatur. Etenim animalia ingenio ac mente nihil efficiunt : at natura illa variorum generum effectrix, cuique animanti ad ea, quæ ipsi utilia sunt, numeris omnibus absolvenda, impetus atque appetitiones inserit.

ΡΙΘ'. — ΩΦΕΛΙΩ ΓΡΑΜΜΑΤΙΚΩ.

Περὶ φύσεως ζώων.

Ἐπειδὴ οἶδά σε καινοτέρας διψῶντα ἀκοῆς, καὶ οὐκ ἀφεξόμενον εἰ μὴ μάθοις (8), φράσω συντόμως, εἰ καὶ πέρα τῶν τῆς ἀνθρωπίνης διανοίας ὅρων εἶναι δοκεῖ τὸ παρὰ σοῦ ζητηθέν. Τῶν ζώων, τὰ μὲν διαμασσώμενα τὴν τροφὴν, ζωοτοκεῖ (9)· τὰ δὲ καταπίνοντα, ὠοτοκεῖ. Καὶ τὰ μὲν ταῖς πρώταις ἀρκεῖται ὠδῖσιν, ὡς τελεσφόροις· τὰ δὲ, καὶ δευτέρας ἀνακινεῖ· Ὅταν ὁ καιρὸς καλῇ τὴν εἰς ζῶα τῶν ὠῶν μεταβολὴν, ἐπωάσαντα ἐπὶ ῥηταῖς ἡμέραις, δύναμίν τινα ἐνίησι φυσικὴν, ὥστε ἃ πρώην ἔτεκον ἄψυχα, ψυχωθῆναι. Οἱ γὰρ σπερματικοὶ λόγοι, οἱ παρὰ τοῦ Δημιουργοῦ ἐξαρχῆς ταῖς φύσεσιν ἐντεθέντες, ὑποτυφόμενοι, εἰ ἀναῤῥιπισθείεν, σπινθήρων τρόπον ἐν ὕλῃ κατὰ τὰς τῶν χρόνων συναυξήσεις ἐξάπτεσθαι φιλοῦσιν. Ὥστε θαυμάζειν μὲν χρὴ τὰ γιγνόμενα, εἰς τὸν πάνσοφον Δημιουργὸν ἀναφέρειν τὸ θαῦμα. Ταῦτα γὰρ ἐμφαίνει, οὐ τὴν τῶν ζώων τῆς οἰκείας διαμονῆς πρόνοιαν (φανταστικὴ γάρ ἐστιν αὐτῶν ἡ φύσις, οὐ λογικὴ), ἀλλὰ τῆς τὰ ὅλα διοικούσης φύσεως. Τὰ μὲν γὰρ οὐδὲν ἐργάζεται διανοίᾳ· ἡ δὲ, ποικίλων οὖσα γενῶν δημιουργὸς, τὰς ὁρμὰς ἑκάστῳ ἐνδίδωσιν εἰς τὴν τῶν συντελούντων ἐκπλήρωσιν.

CXX. — AUSONIO CORRECTORI.

Ad principes.

Ad eorum, qui paupertate, vel alicujus potentia premuntur, deprecationes, apertas ac celeres aures habe, vir admirande ; per lenitatem ac facilitatem etiam, qui tardius locuti sint, ad loquendi viam

ΡΚ'. — ΑΥΣΟΝΙΩ ΚΟΡΡΙΚΤΟΡΙ.

Πρὸς ἄρχοντας.

Πρὸς μὲν τὰς ἱκεσίας τῶν ὑπὸ πενίας ἢ δυναστείας πολιορκουμένων, ἀναπεπταμένας ἔχε καὶ ἱππηλάτους (10), ὦ θαυμάσιε, τὰς ἀκοὰς, διὰ τῆς ἡμερότητος καὶ τοὺς βραδύτερον φράζοντας ὁδηγῶν ἐπὶ

VARIÆ LECTIONES ET NOTÆ.

(8) Pro μάθοις codd. Vatic. 649 et Alt. legunt πάθοις. Possin.

(9) *Τῶν ζώων τὰ μὲν διαμασσώμενα τὴν τροφὴν ζωοτοκεῖ, τὰ δὲ καταπίνοντα ὠοτοκεῖ.* Billius, *ex animantibus ea quæ cibum ruminant, animalia pariunt; quæ autem bibunt, ova procreant.* Bis hallucinatur hæc versio. Plures enim animantes sunt viviparæ quam quæ ruminant. Deinde si omnes quæ bibunt animantes, oviparæ sunt, et vaccæ igitur, et oves, et equæ, etc. Taceo quod aliud sit διαμασσᾶν τὴν τροφὴν, aliud μηρυκᾶν· ut Latinis aliud masticare, aliud ruminare : aliud item πίνειν, aliud καταπίνειν· quorum illud *bibere*, hoc significat *deglutire*. Præstat igitur sic vertere : *Animantium eæ quæ cibum masticant atque comminuunt viviparæ sunt; quæ vero deglutiunt integrum, oviparæ.* Vide Aristot. *De historia animalium.* Ritt.

(10) *Καὶ ἱππηλάτους.* Hoc omisit interpres doctissimus, addidi ergo, *ac celeres.* Elegans metaphora. Ἱππήλατος proprie est equo vectus, qui equis fertur, ut ait Virgilius, in quo simul intelligitur inesse celeritas. Ip.

Digitized by Google

τὴν τοῦ λέγειν ὁδόν· πρὸς δὲ τὰς τῶν κακηγόρων καὶ συκοφαντῶν λογοποιίας, κεκλεισμένας ταύτας καὶ ἀβάτους διαφύλαττε, διὰ βλοσυροῦ βλέμματος ἀναστέλλων αὐτῶν τὴν ἐπὶ τὸ χείρονα λέγειν ὁρμήν.

ducem te præbens [33]. Contra ad maledicorum et calumniatorum fictos sermones easdem clausas atque invias custodi, eorum ad improbe loquendum impetum per torvum atque horrendum aspectum coercens ac reprimens.

ΡΚΑ'. — ΘΕΩΝΙ ΕΠΙΣΚΟΠΩ.

Περὶ ἱερέων.

Οὐ Ζώσιμον καὶ Παλλάδιον, Μάρωνά τε καὶ Εὐστάθιον, καὶ τοὺς ἄλλους, οὓς κατηριθμήσω, τοσοῦτον ἂν ἔγωγε αἰτιασαίμην, οὕτως ἐξορχησαμένους τὴν εὐσέβειαν, καὶ εἰς τὴν ἱερωσύνην ἐξυβρίσαντας, ὡς Εὐσέβιον, τὸν τούτοις ἅπασι τὴν αἰτίαν δεδωκότα. Εἰ γὰρ μὴ αὐτὸς αὐτοῖς πέπρακεν, ὡς φῂς, τὴν ἱερωσύνην, οὐκ ἂν ἐκεῖνοι εἰς τοσαύτην ἐξώκειλαν κακίαν. Εἰ γὰρ καὶ κάκιστοι ἦσαν πρὸ τῆς χειροτονίας, ἀλλ' οὐ ταυτόν ἐστι, λαϊκὸν ἁμαρτάνειν καὶ ἱερέα, καὶ δῆλον ἐκ τοῦ νόμου. Τοσαύτην γὰρ προστάττει θυσίαν ἀνάγεσθαι ὑπὲρ τοῦ ἁμαρτόντος ἱερέως, ὅσην ὑπὲρ παντὸς τοῦ λαοῦ. Εἰ δὲ μὴ ἦν ἀντίρροπος ἡ ἁμαρτία, οὐκ ἂν τὴν αὐτὴν θυσίαν ἀνάγεσθαι ἐθέσπισε. Μείζων δὲ γίνεται, οὐ τῇ φύσει, ἀλλὰ τῇ ἀξίᾳ τοῦ δρῶντος. Ὁ γὰρ τοὺς ἄλλους ῥυθμίζων, εἰ πταίσειεν, μεῖζον ἀπὸ τῆς ἀξίας ἀποφαίνει τὸ πταίσμα. Εἰ τοίνυν ὁ δοὺς τὸ σπέρμα, τῶν φυτῶν αἴτιος, εἰκότως καὶ Εὐσέβιος πλέον ἐκείνων θρηνεῖσθαι ἂν εἴη δίκαιος.

Quocirca si is qui semen dedit stirpium causa est, merito quoque Eusebium majoribus luctibus ac lamentis, quam illos, prosequi convenit.

CXXI. — THEONI EPISCOPO.

De sacerdotibus.

Zosimum et Palladium, Maronem item et Eustathium, aliosque, quos enumerasti, qui pietatem ita ejurarunt, atque sacerdotii dignitatem contumeliis affecerunt, non tam accusarim, quam Eusebium qui omnibus istis causam præbuit. Nam nisi ipse illis sacerdotium, ut ais, vendidisset, in tantum scelus illi haudquaquam sese devolvissent. Nam etiamsi prius quoque, quam in sacrosanctum ordinem cooptarentur, flagitiosissimi ac sceleratissimi essent : tamen non idem est laicum peccare quod sacerdotem, idque ex lege perspicue constat. Tantum enim ea pro sacerdote peccante sacrificium offerri præcipit, quantum pro universa plebe [34]. Quod si par non esset peccatum, idem utrique sacrificium minime indixisset. Majus porro peccatum efficitur, non ob naturam, sed ob perpetrantis dignitatem. Nam qui id sibi sumpsit, ut aliorum mores componat ac moderetur, si ipse labatur, majus ob dignitatis suæ gradum peccatum reddit.

ΡΚΒ'. — ΛΑΜΠΕΤΙΩ ΕΠΙΣΚΟΠΩ.

Περὶ τῶν κακῶς τὴν ἱερωσύνην μετερχομένων.

Ἀποδέχομαι μέν σου τὸν θεῖον ζῆλον, ὅτι τὴν ἱερωσύνην ὑβριζομένην ὑπὸ Εὐσεβίου, τοῦ κατ' ἀντίφρασιν τῆς εὐσεβείας οὕτως ἑαυτὸν κεκληκότος, θεώμενος ἀγανακτεῖς. Ἐξ ὧν γὰρ ἱερωσύνης ἀνέξως ὤν, οὐκ οἶδ' ὅπως εἰς ταύτην εἰσεκώμασεν, ἐκ τούτων καὶ τοῖς ἐπιτυχοῦσιν αὐτὴν νέμει (11), εὐωνον καὶ πεπατημένον πρᾶγμα τὴν θείαν λειτουργίαν ἡγούμενος (12). Ἀλλ' ἐπειδὴ τῷ θείῳ καὶ ἀδεκάστῳ ταῦτα ἀνήκει κριτῇ, τῷ νυνὶ μὲν μακροθυμοῦντι, ἵν' εἰς μετάνοιαν τοὺς πταίοντας ἀγάγῃ, ὕστερον δὲ οὐκ οἴσοντι τὰ γιγνόμενα, ἀλλ' ἀφορήτους ὁριοῦντι τὰς κολάσεις· ἑαυτῶν ἐπιμελόμενοι τὰς, ἡσυχίας ἄγωμεν. Εἰ μὲν γὰρ ἦν τι ἐκ τοῦ παῤῥησιάσασθαι κέρδος, οὐδενὶ ἂν παρεχώρησα, καίτοι διὰ τοῦτο πολλάκις ἐπιβουλευθείς. Ἀλλ' ἐπειδὴ σιγῆς ὁ καιρὸς, ἀναμείνωμεν (13) τὸν κριτήν.

CXXII. — LAMPETIO EPISCOPO.

De iis qui sacerdotium male tractant.

Divinum quidem tuum zelum probo, qui **177** sacerdotii dignitatem ab Eusebio (qui per antiphrasim a pietate sibi nomen imposuit) contumelia affici perspiciens, indigneris ac stomacheris. Nam quia cum sacerdotio indignus esset, nescio quo pacto in illud irrumpit : hinc fit, ut quibusvis etiam cupientibus illud tribuat, vilem scilicet ac protritam quamdam rem divinum ministerium existimans. Verum quoniam hæc ad divinum et incorruptum judicem spectant [35], qui nunc quidem animi æquitate ac lenitate utitur, ut peccantes ad pœnitentiam adducat, postea autem ea quæ fiunt minime feret, verum intolerantes cruciatus constituet, nostros ipsi animos curantes quietem agamus. Nam si quis fructus ex reprehendendi libertate oriretur, nemini ipse hac in re cessissem, etiamsi ob eam causam insidiis persæpe appetitus. Verum cum hoc tempus silentium postulet, judicem exspectemus.

[33] Eccl. VII, 13. [34] Luc. IV, 3. [35] II Petri III, 9.

VARIÆ LECTIONES ET NOTÆ.

(11) *Τοῖς ἐπιτυχοῦσιν αὐτὴν νέμει.* Bill., *quibusvis etiam illud tribuat.* Præfero quod est in B C τοῖς ἐπιθυμοῦσιν, ideoque addidi Lat. versioni, *cupientibus.* Aliud est τοῖς ἐπιτυχοῦσιν, aliud τοῖς τυχοῦσιν. Οἱ τυχόντες sunt qui rem aliquam sunt consecuti esve potiti. Ritt.

(12) *Ἡγούμενος.* In B C hæc adjiciuntur, quæ ab ed. Paris. et Billiana interpretatione absunt, καὶ μικρῷ λήμματι τὸν θεοτίμητον τῆς ἱερωσύνης ἐναμείβων βαθμὸν, quæ insignis est accessio, sic vertenda, *et exiguo quæstu divino honore dignum sacerdotii gradum commutans.* Id.

(13) Cod. Alt. mavult ἀναβλέψωμεν. Possin.

Digitized by Google

CXXIII. — MARONI.

Ne consequendæ veniæ spe atque exspectatione perpetuo pecca, verum a peccato abstinendo securitatem tibi compara. Multi enim veniæ spe multis sceleribus admissis veniam minime assecuti sunt, ut qui nec ad meliorem frugem se receperint, nec etiam veniam impetrarint.

CXXIV. — MARTINIANO, ZOSIMO, MARONI, EUSTATHIO.

Ad sacerdotes.

Quandoquidem admirandus Paulus, vas, inquam, illud electionis, ille Christi sensuum promus, qui terram ac mare composuit, qui barbaros ad philosophicum vitæ genus amplectendum adduxit, gentilibus deteriores eos esse pronuntiavit, qui proximos negligunt, his verbis utens : *Si quis suorum ac maxime domesticorum curam non habet, fidem negavit, et est infideli deterior* [35] ; ob eam causam ipse quoque, ut ad vos scriberem, adductus sum. Quid enim hoc loco per curæ vocabulum significari existimatis ? An ciborum subministrationem ? Equidem enim ipse animæ curam intelligendam censeo. Quod si refragemini, sic quoque id quod dixi magis confirmabitur. Nam si de corpore res ita se habet, eumque qui necessariam alimoniam proximo minime porrigit, gentilibus crudeliorem esse pronuntiavit, qui quod majus ac magis necessarium est, hoc est animæ curam, aspernatur, quo tandem loco ponetur ? Quamobrem consilio meo parete, atque e furore vestro emergite.

CXXV. — THEODOSIO PRESBYTERO.

Ad eos qui sacerdotium detrectantes accusant.

Episcopatus quidem et nomen, et res ipsa, cum divinum quiddam sit, atque omni alio munere ac dignitate præstantius, paucis quibusdam convenit, hoc est iis, qui paternam curam, non autem tyrannicam vitæ licentiam, hanc dignitatem esse **178** existimant. Quoniam autem nonnulli eam in imperium, vel potius, si libere loquendum est, in tyrannidem commutarunt, illud scito, cum conspicuum istud imperium maximaque contentione ac dimicatione expetitum, acrem nunc, si alias unquam, sui amorem hominum pectoribus injiciat, seque facile amantibus fruendum præbeat, apud cordatos omnes viros parvi haberi. Siquidem illud pœnam potius pendentium, quam honorem accipientium esse arbitrantur. Ut plurimum enim aliis præsunt, aliis ministrant, aliis serviunt : aliis imperant, aliis ministrant : alios male mulctant, aliis commodant : aliis insunt, aliis succumbunt : alios metuunt, aliis odio atque acerbitati sunt. Quocirca ne mirum tibi videatur, quod Hierax presbyter, vir mente præditus, hoc munus tanquam gravem quemdam ac difficilem morbum defugerit.

CXXVI. — TIMOTHEO LECTORI.

De vitando scandalo.

Illud, o amice, quam maxime time, ne cuiquam offensionis causam præbeas. Temulentum est enim quodammodo inter mortales bonum : ac, nemine etiam concutiente, vix consistit.

[35] I Tim. v, 8

ΡΚΓ'. — ΜΑΡΩΝΙ.

Μὴ τῷ συγγνώμης τυχεῖν προσδοκᾶν, διὰ παντὸς πλημμέλει, ἀλλὰ τῷ μὴ πλημμελεῖν τὴν ἀσφάλειαν πορίζου. Πολλοὶ γὰρ τῇ προσδοκίᾳ τῆς συγγνώμης πολλὰ δράσαντες, τῆς συγγνώμης διήμαρτον, μήτε γνωσιμαχήσαντες, μήτε συγγνωσθέντες.

ΡΚΔ'. — ΜΑΡΤΙΝΙΑΝΩ, ΖΩΣΙΜΩ, ΜΑΡΩΝΙ, ΕΥΣΤΑΘΙΩ.

Πρὸς ἱερεῖς.

Ἐπειδὴ ὁ θεσπέσιος Παῦλος, τὸ σκεῦος τῆς ἐκλογῆς, ὁ τῶν τοῦ Χριστοῦ νοημάτων ταμίας, ὁ γῆν καὶ θάλασσαν ῥυθμίσας, ὁ βαρβάρους φιλοσοφεῖν ἀναπείσας, Ἑλλήνων χείρους ἀπεφήνατο εἶναι τοὺς τῶν πέλας ὀλιγωροῦντας, φήσας· *Εἰ δέ τις τῶν ἰδίων, καὶ μάλιστα τῶν οἰκείων, οὐ προνοεῖ, τὴν πίστιν ἤρνηται, καὶ ἔστιν ἀπίστου χείρων*· διὰ τοῦτο καὶ αὐτὸς ἐπὶ τὸ γράψαι ὑμῖν παρῆλθον. Τί γὰρ ἡγεῖσθε τὴν πρόνοιαν ἐνταῦθα δηλοῦν ; Ἆρα τὴν τῶν τροφῶν χορηγίαν ; Ἐγὼ μὲν γὰρ ἡγοῦμαι τὴν τῆς ψυχῆς ἐπιμέλειαν. Εἰ δ' ἀντείποιτε, καὶ οὕτως ὁ ἔφην κυρωθήσεται μᾶλλον. Εἰ γὰρ περὶ σώματος τοῦτ' ἔχει, φησὶ, καὶ τὸν μὴ ὀρέγοντα τὴν ἀναγκαίαν τροφὴν, Ἑλλήνων ἔφησεν εἶναι ὠμότερον, ὁ τὸ μεῖζον καὶ ἀναγκαιότερον, φημὶ δὴ τὴν τῆς ψυχῆς ἐπιμέλειαν, παρορῶν, ποῦ κείσεται ; Οὐκοῦν πείσθητε, καὶ ἀνενέγκατε ἐκ τῆς μανίας.

ΡΚΕ'. — ΘΕΟΔΟΣΙΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Πρὸς τοὺς ἐγκαλοῦντας ἐπὶ τῷ φεύγειν τὴν ἱερωσύνην.

Τὸ μὲν τῆς ἐπισκοπῆς καὶ ὄνομα καὶ πρᾶγμα θεῖον ὄν, καὶ κρεῖττον πάσης πολιτείας τε καὶ ἀξίας, ὀλίγοις δή τισι πρέπει, τοῖς πατρικὴν κηδεμονίαν, ἀλλ' οὐ τυραννικὴν αὐτονομίαν, εἶναι αὐτὸ οἰομένοις. Ἐπειδὴ δὲ εἰς ἀρχὴν, μᾶλλον δὲ, εἰ χρὴ μετὰ παῤῥησίας εἰπεῖν, εἰς τυραννίδα αὐτὸ μετερῥύθμισάν τινες· ἴσθι, ὅτι τῆς περιβλέπτου καὶ περιμαχήτου ἀρχῆς, νῦν, εἴπερ ποτὲ, σφοδρὸν ἑαυτῆς ἔρωτα τοῖς ἀνθρώποις ἐμβαλ[λ]ούσης, καὶ ῥᾳδίως ἑαυτὴν τοῖς ἐρῶσι παρεχούσης, μικρὸς αὐτῆς ἅπασι τοῖς εὖ φρονοῦσι λόγος. Τιμωρίαν γὰρ διδόντων, οὐ τιμὴν λαμβανόντων, ταύτην εἶναι ἡγοῦνται. Ὡς τὰ πολλὰ γὰρ τῶν μὲν ἄρχουσι, τοῖς δὲ δουλεύουσι· καὶ τοῖς μὲν ἐπιτάττουσι, τοῖς δὲ ὑπηρετοῦσι· καὶ τοῖς μὲν κακῶς ποιοῦσι, τοῖς δὲ χαρίζονται· τοῖς μὲν ἐπίκεινται, τοῖς δὲ ὑποπεπτώκασι· καὶ φοβοῦνται μὲν ἐκείνους, μισοῦνται δὲ ὑπὸ τούτων. Μὴ θαύμαζε τοιγαροῦν, εἰ καὶ Ἱέραξ ὁ πρεσβύτερος, νοῦν ἔχων, ἔφυγε τὸ πρᾶγμα, καθάπερ νόσημα ἀργαλεώτατον.

ΡΚϚ'. — ΤΙΜΟΘΕΩ ΑΝΑΓΝΩΣΤΗ.

Περὶ τοῦ μὴ σκανδαλίζειν.

Φοβοῦ ὅτι μάλιστα, ὦ φιλότης, σκανδαλίσαι τινά. Μεθύει γάρ πως ἐν ἀνθρώποις τὸ ἀγαθόν· καὶ οὐδενὸς κατασείοντος, ἔστηκε μόλις.

Digitized by Google

ΡΚΖ'. — ΚΥΡΙΛΛΩ ΕΠΙΣΚΟΠΩ.

CXXVII. — CYRILLO EPISCOPO.

Ὅτι οὐ δεῖ τῶν παραινέσεων ἀμελεῖν ἢ ἀπογινώσκειν τινὸς, καὶ ὅτι, εἴ τινες νουθετούμενοι μένουσιν ἀδιόρθωτοι, τοῦτο οὐ τῶν παραινούντων, ἀλλὰ τῆς αὐτῶν προαιρέσεως ἔγκλημα· καὶ μάλιστα ὅταν ἐκεῖνοι οὐδὲν παραλείποιεν.

Quod non oportet adhortationes negligere, nec de quoquam desperare, et quod si quidam admoniti non emendentur, non admonentium, sed eorum voluntatis culpa est : præsertim si illi nihil omittant.

Τῆς σῆς ἐστιν, ὦ πάντων ἄριστε, συνέσεώς τε καὶ αὐθεντίας, ταῖς κακίαις τῶν ἀρχόντων κεκμηκυῖαν τὴν Ἐκκλησίαν τὴν κατὰ τὸ Πηλούσιον δυνάμεως καθαρότητι καὶ σπουδῇ ἀνακτήσασθαι. Πᾶσαν μὲν οὖν ἦν (14) ὑπέμεινεν ἀδικίαν τε καὶ παροινίαν, ληζομένη τε καὶ ὑβριζομένη ὑπὸ μοχθηρῶν καὶ κακούργων ἀνθρώπων, οἷς ἂν τις οὐδ' ἀλόγων ζώων ἀγέλην ἐγχειρίσειεν (15), μήτοιγε λογικῶν ἀνθρώπων, ὑπὲρ ὧν δεῦρο ἐφοίτησε καὶ τὸ τίμιον ἑαυτοῦ B αἷμα ἐξέχεεν ὁ Χριστός· οὐ τοῦ παρόντος φράσαι καιροῦ, μᾶλλον δὲ οὐδενὸς καιροῦ. Εἰ γὰρ καὶ ὁ καιρὸς ἀπῄτει, πάντα λόγον ὑπερέβαινε· τὰ ὑπὸ τούτων σκαιωρηθέντα· ὀλίγα δὲ ἐπὶ τοῦ παρόντος ἀναγκαῖον ἂν εἴη εἰπεῖν, ἃ μηδὲ βουλομένοις σιγῆσαι ἀτιμώρητον (16). Ἀλλὰ γὰρ ἔοικας, ὦ θαυμάσιε, ἤδη ἀπαιτεῖν τὴν διήγησιν. Διὸ δὴ καὶ αὐτὸς τῶν προοιμίων παυσάμενος, ἐπὶ τὸ δρᾶμα τῷ λόγῳ βαδιοῦμαι. Τοσοῦτον εἰπών, μὴ τοῖς λόγοις μετρεῖν τὰ γεγενημένα (οὐ γὰρ ἂν εὕροιμεν λόγους ἐφαμίλλους τοῖς πεπραγμένοις, νικωμένης ἁπάσης γλώττης ὑπὸ τῆς τῶν πραγμάτων ἀληθείας), ἀλλὰ τοῖς ἀκοιμήτοις τῆς διανοίας ὀφθαλμοῖς κατοπτεῦσαι τὰ δραματουργηθέντα. Τὸ μὲν οὖν δεδυσφημῆσθαι τὸ Θεῖον, καὶ πεπορθῆσθαι C τὴν πόλιν, καὶ πεπρᾶσθαι τὴν ἱερωσύνην, καὶ τετυραννῆσθαι τὴν Ἐκκλησίαν (τῶν μὲν σπουδαίων ἐξοστρακιζομένων, τῶν δὲ μήτε τῶν οὐδῶν αὐτῆς ἐπιβῆναι ὀφειλόντων, ἐγκρινομένων, καὶ τὰ θεῖα καὶ ἀπόῤῥητα αὐτῆς ἐμπιστευομένων μυστήρια· οὐχ ἡγοῦντο γὰρ ψυχὰς ἐμπεπιστεῦ[σ]θαι, ἀλλὰ τυραννίδα πατρῴαν παρειληφέναι), καὶ ὅτι τῶν μὲν πενήτων λόγος ἦν αὐτοῖς οὐδείς, τά τε ἐκκλησιαστικὰ χρήματα ἐληΐζοντο, καὶ εἰς οἰκείας ἀνηλίσκοντο φιλοτιμίας· καὶ ὅτι τοὺς ῥύξαι ὑπὲρ ἀρετῆς τολμῶντας ἕως αἵματος ἠμύναντο, καὶ ὅσα τοιαῦτα, παραλείψω, τοῦτο ἀποδεικνὺς, ὡς ἄκων εἰς τούτους ἐξηνέχθην τοὺς λόγους. Τὸ δὲ νῦν σκαιωρηθὲν, ἐπειδήπερ οὔτε βουλομένῳ ἀκίνδυνος ἡ σιωπὴ, ὡς ἂν οἷός τε ὦ, διὰ βραχέων ἀμυδρῶς (οὐ γὰρ ἂν φαίην σαφῶς) διηγήσομαι· Μαρτινιανὸς, ὁ ἐπὶ λύμῃ τῆς θειοτάτης θρησκείας πρεσβύτερος χειροτονηθεὶς (εἶγε χρὴ πρεσβύτερον καλεῖν τὸν τῷ ὀνόματι τῆς ἱερωσύνης εἰς τὰ μέγιστα καὶ συγγνώμης μείζονα δύνασθαι κακουργεῖν ἀποχρησάμενον), οὐκ ἔχω λέγειν ἐκ τίνων καταγόμενος, ἢ ἀπὸ ποίας πόλεως ὁρμώμενος· (τὸ γὰρ δοῦλον αὐτὸν τυγχάνοντα,

Tuæ, vir omnium præstantissime, prudentiæ atque auctoritatis est, Pelusiensem Ecclesiam præfectorum et antistitum sceleribus fractam atque confectam, potentiæ integritate ac studio recreare. Ac quidem injurias et petulantias omnes, quas ipsa perpessa est, ab improbis ac sceleratis hominibus, quibus ne brutorum quidem animantium gregem quisquam commiserit, nedum ratione utentium hominum, quorum causa Christus huc venit, ac pretiosum suum cruorem effudit, direpta, contumeliisque vexata, dicendo aperire, non est hujus temporis, imo nec ullius omnino. Nam etiamsi tempus id postularet, tamen quæ ab illis structa sunt, omnem sermonis facultatem superarent. Pauca autem in præsentia commemorare necessarium fuerit, et quæ ne si velimus quidem, silentio impune præterire possimus. At enim, vir eximie, narrationem jam mihi exposcere videris. Quocirca ipse quoque exordiendi finem faciens, ad exponendam tragœdiam me conferam. Illud duntaxat te prius admonitum velim, ne ea quæ contigerunt, sermonibus nostris metiaris (neque enim orationem, ea, quæ perpetrata sunt, adæquantem invenire queamus, cum lingua omnis rerum veritate superetur), verum ut privigilibus animi tui **179** oculis scelera ea quæ designata sunt, perspicias. Enimvero quod Deus blasphemis impiisque vocibus impetitus sit, quod direpta et expilata civitas, quod venditum sacerdotium, quod tyrannide oppressa Ecclesia (probis videlicet viris expulsis et exturbatis, iis autem, qui ne ipsius quidem limen conscendere debebant, allectis, divinaque et arcana ipsius mysteria in fidem accipientibus : non enim se animarum curam suscepisse, verum paternam tyrannidem accepisse judicabant), quod item pauperum ipsis nulla cura fuerit, verum Ecclesiæ opes diripuerint, atque in suas ambitiones insumpserint, quodque eos, qui pro virtute vel hiscere duntaxat ausi essent, ad sanguinem usque ulti sint, ac denique alia id genus omnia prætermittam, hinc nimirum illud conspicuum faciens, me invitum ad hos sermones delatum esse. Quod autem nunc designatum est (quandoquidem ne volenti quidem sine periculo reticere liceat), quam paucissimis verbis potero, non dicam plane ac dilucide, sed exiliter et obscure narrabo. Martinianus, qui ad divinissimæ religionis

VARIÆ LECTIONES ET NOTÆ.

(14) *Πᾶσαν μὲν οὖν ἦν.* Quia B. C. omittit ἦν, fort. legend., ὅσην μὲν οὖν ὑπέμεινεν, quomodo est ibidem, non ὑπέμειναν, ut Par. ed. Sequitur enim singulare, ληζομένη καὶ ὑβριζομένη. Ritt.

(15) *Ἐγχειρίσειεν.* Alii ἐγχειρήσειεν, male : nam ἐγχειρίζειν est *tradere* vel *committere;* at ἐγχειρεῖν, *aggredi* ac *suscipere.* Id.

(16) *Ἀτιμώρητον.* Plenius est et placet magis quod est in B C ἀτιμωρητὶ δυνατόν. Id.

Digitized by Google

labem ac perniciem presbyter creatus est (si tamen eum, qui ad gravissima, veniaque majora crimina designandi potentiam, sacerdotii nomine abusus est, presbyterum appellare fas est), haud scio a quibus ortum trahens, aut ex qua civitate oriundus : nam quod, cum servus ipse esset, primumque ætatis tempus haud pie sancteque exegisset, profugerit, etsi id verum sit, præteribo : neque enim, ut ipsum maledica oratione insectarer, accedo : verum ut Ecclesiam ab eo injuria affectam fuisse doceam : hic igitur, cum se Pelusium contulisset, in extrema paupertate vivens, ac multorum ope sublevatus, monachique habitum induens et probæ ac temperantis vitæ speciem præ se ferens, clerici munus, ut vere est, ipsius autem opinione imperium, captabat. Cum autem præclarus vir, ac divina sapientia plenus, Ammonius, hujus urbis episcopus, perspicacissimis mentis oculis ipsius hypocrisim percepisset, nec spem ullam ei ad id perveniendi relinqueret, animadvertens se ob ingentem antistitis prudentiam tempus incassum terere, apud alios hæc retia texere constituit. Ut autem illic quoque, deprehensa ipsius improbitate, spe sua dejectus est, tandem cum sapientem illum virum diem vitæ postremum clausisse, atque in cœlestem regionem receptum esse, atque Eusebium episcopum institutum esse rescivisset, Pelusium rursus advolavit, quod ita existimaret, se ipsius ingenium ac solertiam, ne dicam arrogantiam atque contumaciam, facile tractaturum. Et quidem quam celerrime, id quod sibi proposuerat, est assecutus. Quid enim longa oratione opus est? Quod autem is, qui semen præbuit, stirpium causa sit, nemo scilicet ignorat. **180** Cum igitur, ut presbyter crearetur, obtinuisset, ac sacrosancta mysteria impuris et scelestis manibus contrectasset, eum, quem pridem parturiebat, morbum peperit. Nam cum acerbam sibi ipsi vitam esse duxisset, nisi pauperum etiam opes averteret, pollicitusque fuisset, se omnia ea quæ acquireret, Ecclesiæ relicturum, hujus spei illecebra eam adduxit, ut se quoque procuratorem ac dispensatorem constitueret. Quocirca impurus ac nefarius homo, ac ne ingenue quidem educatus et institutus, accepta Ecclesiæ procuratione, his eam incommodis affecit, ut ne barbaricum quidem bellum signa omnia ad virtutem spectantia, deletis ipsius ornamentis, æque pervastaturum fuerit. Fraudibus enim et machinis, callidisque artibus et perjuriis in negotiorum administratione utens, nihil quidem, quod simplex et justum esset, fecit, improbitatem autem arrogantia animique elatione definiens, iis qui ingenue ac pie vivere proposuerant, infestus erat, stolidos eos, quos veri amor tenebat, appellans, prudentes autem ac sagaces, qui subdole ac veteratorie negotia tractabant : ac stultos quidem et exordes

A καὶ πρώτην ἡλικίαν οὐκ εὐαγῶς βεβιωκότα ἀποδεδρακέναι, καίπερ ἀληθὲς ὂν, παραλείψω. Οὐ γὰρ ἥκω κακῶς αὐτὸν λέξων, ἀλλ' ὡς ἠδίκησε τὴν Ἐκκλησίαν διδάξων· Οὗτος τοίνυν ἐλθὼν ἐπὶ τὴν Πηλουσιωτῶν πενίᾳ ἐσχάτῃ συζῶν, καὶ παρὰ πολλῶν ἐπικουρούμενος, τό τε τοῦ μονάζοντος σχῆμα περιβαλλόμενος, καὶ σωφρόνως ζῆν ὑποκρινόμενος, τὴν τοῦ κληρικοῦ, λειτουργίαν μὲν οὖσαν, ἀρχὴν δὲ δοκοῦσαν ἐθηρᾶτο. Ὡς δὲ ὁ ἀοίδιμος καὶ θείας σοφίας ἔμπλεως Ἀμμώνιος, ὁ ταύτης ἐπίσκοπος, τοῖς διορατικωτάτοις τῆς διανοίας ὀφθαλμοῖς τὴν ὑπόκρισιν κατειληφὼς, οὐδὲ ἐλπίδα αὐτῷ τοῦ πράγματος κατελίμπανεν· ἐννοῶν, ὡς εἰκῇ δαπανᾷ τοὺς χρόνους, συνετοῦ κομιδῇ ὄντος τοῦ ἡγουμένου, παρ' ἄλλοις ταῦτα πλέκειν διέγνω τὰ δίκτυα. Ὡς δὲ B κἀκεῖσε ψωραθεὶς, διήμαρτε τῆς ἐλπίδος, τέλος πυθόμενος τὸν μὲν πάνσοφον ἐκεῖνον κεκοιμῆσθαι, καὶ εἴσω οὐρανίων χώρων (17) γεγενῆσθαι, Εὐσέβιόν τε κεχειροτονῆσθαι, ἐπέπτη πάλιν τῇ Πηλουσιωτῶν, ῥᾳδίως αὐτοῦ τὴν ἀγχίνοιαν, ἵνα μὴ τὴν ἀπόνοιαν φράσω, μεταχειρίσασθαι οἰόμενος. Καὶ δὴ ὡς τάχιστα τυγχάνει τοῦ σκοποῦ. Οὐ χρὴ γὰρ μακρηγορεῖν. Ὅτι δὲ ὁ τὸ σπέρμα παρασχὼν, τῶν φυτῶν αἴτιος, οὐδεὶς ἀγνοεῖ δήπου. Τυχὼν τοίνυν τῆς χειροτονίας, καὶ τῶν ἱερῶν μυστηρίων μιαραῖς χερσὶν ἐφαψάμενος, ἣν πάλαι ὠδινεν, ἀπέτεκε νόσον. Νομίσας γὰρ ἀβίωτον εἶναι ἑαυτῷ τὸν βίον, εἰ μὴ καὶ τὰ τῶν πενήτων χρήματα σφετερίσοιτο, ἐπαγγειλάμενος πάντα ὅσα ἂν προσπορίσοιτο, τῇ Ἐκκλησίᾳ καταλείψειν, καὶ ταύταις δελεάσας ταῖς ἐλπίσι, πείθει καὶ οἰκο- C νόμον ἑαυτὸν καταστῆσαι. Παραλαβὼν τοίνυν ἄνθρωπος ἐναγὴς, καὶ οὐδὲ ἐλευθερίως ἀχθεὶς, τὴν τῆς Ἐκκλησίας οἰκονομίαν, οὕτως αὐτὴν διέθηκεν, ὡς οὐδ' ἂν βαρβαρικὸς πόλεμος· πάντα τὰ εἰς ἀρετὴν βλέποντα σημεῖα τοῦ κάλλους αὐτῆς ἀφανίσας ἐλυμήνατο. Δόλοις γὰρ καὶ μηχαναῖς, σκαιωρίαις τε καὶ ἐπιορκίαις χρώμενος ἐν τῷ μεταχειρίζεσθαι τὰ πράγματα, ἁπλοῦν μὲν οὐδὲν οὐδὲ δίκαιον ἔπραξε, τὴν δὲ κακοεργίαν φρονήμασιν ὁριζόμενος, τοῖς ἐλευθερίως καὶ εὐλαβῶς ζῆν προῃρημένοις ἐπεφύετο· εὐήθεις μὲν τοὺς φιλαλήθεις καλῶν, συνετοὺς δὲ τοὺς κακούργως μεταχειριζομένους τὰ πράγματα· καὶ τοὺς μὲν φιλοσοφοῦντας, ἠλιθίους· τοὺς δὲ παλιγκαπήλους, δραστηρίους. Καὶ οὐκ ἔλεγε μὲν D ταῦτα, οὐκ ἐποίει δὲ, ἀλλὰ δὲ τοῖς ἔργοις τοὺς λόγους ἀπέκρυπτε· τὰ μὲν ἐκκλησιαστικὰ οἰκειούμενος χρήματα, τὰς δὲ χειροτονίας πιπράσκων, καὶ τοὺς μὲν φιλαρέτους ἐκβάλλων, τοὺς δὲ τὰ αὐτὰ δρῶντας αὐτῷ συγκρυτῶν. Ἥττο γὰρ οὐκ ἄλλως ἔξειν τὴν τῆδε ἀσφάλειαν (κρίσεως γὰρ αὐτῷ λόγος ἦν οὐδὲ εἷς), εἰ μὴ πᾶν εἶδος ἀρετῆς ἐξορίσειε. Ταῦτα δὲ ἔπραττεν, ὑποχείριον τὸν ἐπίσκοπον οὐκ οἶδ' ὅπως πεποιηκώς. Οὕτω γὰρ αὐτῷ δεδούλωτο (λελέχθω γὰρ τἀληθὲς μετὰ παῤῥησίας· καὶ γὰρ οὐκ ἂν ἄλλως δυναίμην), ὡς εὐτελὲς καὶ ἀργυρώνητον ἀνδράπο-

VARIÆ LECTIONES ET NOTÆ.

(17) *Εἴσω οὐρανίων χώρων.* Bill., *in cœlestem regionem.* Præstat B. C. lectio, χορῶν, id est, *in cœlestes choros.* Ritt.

Digitized by Google

δον (17') κεχειροτονημένον, ἵν' ἅπερ ἂν Μαρτινιανὸς ἐπιτάττοι, ποιήσειεν. Εἰς τοσαύτην γὰρ αὐτὸν μανίαν ἐξεβάκχευσεν (εἰρήσεται γὰρ τῶν κακῶν αὐτῶν ὁ κολοφὼν, καὶ τῆς τραγῳδίας τὸ κεφάλαιον), ταῖς ἐπαγγελίαις ἐκείναις δελεάσας, ἃς νῦν διαῤῥήδην βοᾷ ὁ ἐπίσκοπος τὴν οἰκείαν ἄνοιαν ἐκπομπεύων, ἢ ἀναγκάσας, ἢ πείσας (οὐ γὰρ οἶδ' ὅ τι φῶ διὰ τὴν ὑπερβολὴν τῆς ἀτοπίας), ὡς καὶ καθυπογράψαι ἐν τοῖς ἐκκλησιαστικοῖς λόγοις, καὶ χρεωστεῖν τὴν ἀδικηθεῖσαν Ἐκκλησίαν. Ἄλλως γὰρ οὐκ ᾤετο ἀσφαλῶς ἔχειν, ἃ οὐ δεόντως ἐκτήσατο, εἰ μὴ καὶ τὴν Ἐκκλησίαν ὑπόχρεων δείξειεν, οὐκ ἀπαιτῆσαι προσδοκῶν μὲν ἃ ἐσύλησεν (18), ἀλλὰ τὸ μὴ ἀπαιτηθῆναι παρ' αὐτῆς θηρώμενος. Ὡς δ' ἡ ἀθλία πόλις ᾔσθετο ταῦτα μηχανώμενον (οὐ γὰρ ἦν ἀφανῆ· τὸ γὰρ καὶ εἰς γοητείαν αὐτὸν, ἐκ τῆς ὑπερβολῆς τῶν δρωμένων, διαβεβλῆσθαι, καὶ τὸ ἐπ' αἰσχροῖς καὶ ὑπερορίοις πταίσμασι πεφωρᾶσθαι, οὐ φράσω), ὥρμησε μὲν αὐτὸν πολλάκις καὶ ἀνελεῖν, ὅμως δὲ ἐκράτησε τῆς ὁρμῆς. Ἐγκαλούμενος δὲ παρὰ πάντων καὶ κατηγορούμενος, πᾶσι μὲν τὸν ἐπίσκοπον, αὐτῷ δὲ πάντας διέβαλλε· τὸν μὲν ἐξοπλίζων κατὰ τῶν φιλαρέτων, ἵνα πάντων σβέσῃ τὴν παῤῥησίαν· τοὺς δὲ διδάσκων, ὅτι αὐτός ἐστιν ὁ τὰς χειροτονίας πιπράσκων, καὶ τοῖς σώφροσιν ἐπιβουλεύων, καὶ τὰ τῆς Ἐκκλησίας σφετεριζόμενος. Χρυσίον γὰρ λαμβάνων, τοῖς λόγοις τοῖς ἐκκλησιαστικοῖς ὑπογράφει. Ταῦτα δὲ ἔλεγε, διὰ τούτων τῶν μηχανημάτων τὴν ἐφ' οἷς ἔδρα ὀργὴν (19) τῶν ἀνθρώπων σβέσειν οἰόμενος. Ὡς δέ τινες καὶ αὐτῷ ἐπισκόπῳ ταῦτα κατεμήνυσαν, πλέον οὐδὲν ἤνυσαν· πιθανῶς δῆθεν αὐτοῦ φήσαντος, ἄνευ κατηγόρων μηδὲν δύνασθαι διαπράξασθαι. Ὡς δὲ καὶ κατήγοροι, νομίζοντες ἀληθεύειν αὐτὸν, ἀνεφάνησαν, καὶ πολλοὶ καὶ ἀξιόπιστοι, καὶ ἀποδεῖξαι δυνάμενοι, οὐδ' οὕτως ἐπεξῆλθεν, ὡς λοιπὸν πάσης σκήψεως ἐλεγχθείσης, κοινωνὸν τῶν δρωμένων παρὰ πάντων εἰκότως ὑπονοεῖσθαι. Μάλιστα μὲν γὰρ, οὐδ' εἰ μυριάκις ἀπὸ κερδῶν αἰσχρῶν ἐκεῖνος ἐπηγγείλατο πάντα τὰ προσπορίζόμενα τῇ Ἐκκλησίᾳ προσοίσειν, ἐχρῆν πάσας τὰς ἐκκλησιαστικὰς αὐτῷ παραδοθῆναι ἀφορμὰς, καὶ μυρίας ψυχὰς ἐκ τῶν δρωμένων σκανδαλίσαι. Εἰ δὲ καὶ ταῖς ἐπαγγελίαις ἐδελεάσθη, ἀλογοθέτητον οὐκ ἐχρῆν καταλεῖψαι. Εἰ δὲ καὶ λογοθετῆσαι ἔδει, μετὰ ἀκριβείας ἐχρῆν, βασανίσαντα μετὰ συνετῶν τινων καὶ ἐμπείρων τοὺς λόγους. Αὐτὸς γὰρ καὶ τούτων, ὥσπερ οὖν καὶ τῶν ἄλλων καλῶν, ἄπειρος εἶναι λέγει. Εἰ δὲ ἐν παραδύστῳ, καὶ μηδενὶ ἀνακοινούμενος τοὺς λόγους καθυπέγραφε, δῆλός ἐστιν οὐκ ἀπατηθεὶς (ὡς διαῤῥήδην βοᾷ, τὴν κατάγνωσιν διὰ τοῦτο ἀποτρίψασθαι οἰόμενος), ἀλλὰ τὰ ἐκκλησιαστικὰ κακουργήσας, καὶ πᾶσαν [μετ'] ἐκείνων τὴν Ἐκκλησίαν (20) ἀπεμπωλήσας. Ὅσπερ πριάμενος, καὶ

A eos, qui philosophiæ studebant, dextros autem et ad agendum aliquid idoneos, qui ad cauponum morem vitam suam moderabantur. Nec vero hæc ita dicebat, ut tamen non faceret : verum operibus ipsis sermones superabat, quippe qui ecclesiasticas quidem opes sibi vindicaret, sacras autem ordinationes pretio addictas haberet, probisque viris expulsis, eos, qui eadem, quæ ipse, perpetrarent, asciscret. Neque enim aliter se in hac vita (nam futuri judicii nulla omnino cura tangebatur) securitatem habiturum existimabat, nisi omne virtutis genus exterminaret. Hæc porro perpetrabat, cum sibi episcopum haud scio quo pacto addictum atque obnoxium reddidisset. Ita enim ipsi addictus ac mancipatus erat (dicam enim libere quod verum
B est : neque enim aliter queam) ut vile ac pretio emptum mancipium, ideirco creatum et institutum, ut quidquid Martinianus imperaret, exsequeretur. Etenim ad tantam insaniam eum adegit (dicetur enim quod malorum ab ipsis commissorum summum est, totiusque tragœdiæ caput), his videlicet promissis quæ nunc episcopus, amentiam suam prodens, aperte clamat eo inescato, aut coacto, aut persuaso (neque enim ob absurditatis magnitudinem quo vocabulo utar, scio), ut etiam in ecclesiasticarum rationum libro, Ecclesiam, quæ injuria affecta fuerat, ipsius ære obstrictam esse subscripserit. Aliter enim tuto se habiturum minime putabat, quæ malis rationibus quæsiverat, nisi Ecclesiam quoque sibi obæratam atque obnoxiam esse demonstraret : non quod ea quæ
C ipse sacrilega manu subripuerat, ab ipsa repetere in animo haberet, sed quod id ageret ac moliretur, ne ipsa a se reposceret. Ut autem misera civitas hæc eum machinari sensit : **181** neque enim hæc ob scura erant (nam quod etiam ob eorum, quæ perpetrabat, magnitudinem, præstigiarum quoque insimulatus fuerit, quodque in fœdis flagitiis crimini busque deprehensus, minime dicam), sæpe quidem ipsum interficiendi ac de medio tollendi impetum cepit, verum se repressit. Cum autem ab omnibus accusaretur et incesseretur, apud omnes quidem episcopum, apud ipsum autem omnes in odium atque invidiam vocabat : illum nimirum adversus probos viros armans, ut eam loquendi libertatem,
D qua omnes utebantur, exstingueret : eos autem docens, se esse, qui sacras ordinationes venderet, et castis ac frugi hominibus insidias moliretur, et Ecclesiæ opes interverteret. Nam cum aurum ipse acciperet, ecclesiasticis rationibus ascribebat. Hæc autem eo dicebat, quod se his artibus hominum iracundiam, ob ea, quæ perpetrabat, inflammatam exstincturum arbitraretur. Ut autem nonnulli hæc ipsi quoque episcopo indicarunt, nihil tamen pro-

VARIÆ LECTIONES ET NOTÆ.

(17') Post ἀνδράποδον suppie quod deest καὶ διὰ τοῦτο κεχειροτονημένον, etc. Possin.

(18) *Προσδοκῶν μὲν ἃ ἐσύλησεν.* Pro his ambo codd. Vat. 649 et Alt. melius habent, προσδοκῶν ἣν ἐσύλησεν· nam relativus ἣν recte respicit ἐκκλησίαν paulo ante memoratam. Possin.

(19) Solus cod. Vat. 649 legit ὁρμήν. Id.

(20) Codd. ambo Vat. 649 et Alt. legunt, τὴν ἐκκλησιαστικήν. Versu postea nono pro προέπεμψεν fidem codd. habent ἐξέπεμψε. Id.

Digitized by Google

pterea perfecerunt : quod nimirum ille se absque accusatoribus nihil efficere posse dixisset. Postea quam autem accusatores etiam, eum vera loqui existimantes, præsto fuerunt, et quidem multi, ac fide digni, quique quod dicerent, probare possent, ne sic quidem tamen in eum animadvertit : ita ut jam omni simulatione patefacta, eorum, quæ gerebantur, socius ac particeps esse ab omnibus existimaretur. Primum enim nec si millies ille se omnia ea, quæ turpibus lucris collegisset, Ecclesiæ domo daturum recepisset, omnes tamen Ecclesiæ opes ipsi tradi, atque innumeris animis, per ea quæ fiebant, offensionem afferre oportebat. Deinde, etiamsi ipsius promissis illectus est, tamen eum, a rationibus referendis immunem relinquere minime conveniebat. Quod si ab eo rationes quoque reposcere oportebat, id accurate ac diligenter faciendum erat, nimirum ad perpendendas et excutiendas rationes, prudentes quosdam et peritos viros adhibendo. Nam ipse harum rerum, quemadmodum et aliarum bonarum, rudem se atque imperitum esse ait. Cum autem in latebris, nec communicatis cum quoquam rationibus subscripserit, perspicuum est eum non deceptum ac circumscriptum fuisse (quemadmodum aperte clamat, dum se reprehensionem atque condemnationem hac ratione a se depulsurum existimat), verum ecclesiastica bona versute atque improbe labefactasse, cum iisque Ecclesiam universam commutasse. Itaque iste, ut qui emisset, et quidem scelerate emisset, sceleratius adhuc emptis rebus uti constituit, malo videlicet malum sanare studens. Nam cum ecclesiasticas omnes facultates et copias in sinum condidisset, vel ut ipse dixit, cum eo, qui hujusmodi administrationem ipsi commiserat, tantæque tragœdiæ causam materiamque præbuerat, partitus esset, nuper quidem aurum Alexandriam præmisit, episcopatum (cum ne sui quidem ipse curam gerere posset) aucupans. **182** Quod cum sanctitas tua comperisset, pro eo atque eum ab Ecclesia proscribere debebat, per litteras comminata est atque affirmavit, se eum, si rursus idem aggrederetur, ut ingens divinissimæ religioni dedecus inurentem, in tota Ægyptiaca regione proscripturum et abdicaturum. Atqui nunc idem, litteris tuis minisque contemptis ac pro nihilo habitis, Alexandriam perrexit, sibi quidem episcopatum captans, tuæ autem famæ atque existimationi (ut qui sacras ordinationes pecunia addicas) labem inferens. Quæ cum ita sint, tuæ (o quonam te satis digno nomine nuncupem) animi magnitudinis atque præstantiæ est, plenam quidem et exactam scelerum ipsius pœnam ad incorruptum illud tribunal reservare (nec enim hic fieri potest, ut quas meritus est pœnas pendat), commoveri autem et incitari, ac primum Ecclesiam inique læsam ac vexatam ulcisci ; deinde autem existimationi tuæ consulere, minas nimirum in opus perducendo, eumque ab Ecclesiæ gremio abdicando. Nam si, quod ut credam minime adducor, non modo nihil hujusmodi patiatur, verum etiam episcopus creetur, arcanum illud, quod rumoribus spargitur, verum esse invenietur : ac postea eum una cum piis quibusdam episcopis ac quæstus inimicis, huc mittendo, ut ecclesiasticorum proventuum rationes

A παρανόμως πριάμενος, παρανομώτερον τοῖς κτηθεῖσι χρήσασθαι διέγνω, κακῷ τὸ κακὸν ἰάσασθαι σπεύδων. Πάντα γὰρ τὰ ἐκκλησιαστικὰ χρήματα ἐγκολπωσάμενος, ἢ, ὡς αὐτὸς ἔφη, μερισάμενος μετὰ τοῦ ἐγχειρίσαντος αὐτῷ τὴν οἰκονομίαν, καὶ τῇ τοσαύτῃ τραγῳδίᾳ τὴν ὑπόθεσιν δεδωκότος, πρώην μὲν εἰς τὴν Ἀλεξάνδρειαν χρυσίον προέπεμψεν, ἐπισκοπὴν, ὁ μηδὲ ἑαυτοῦ ἐπιτροπεῦσαι δυνηθείς, θηρώμενος. Ὅπερ μαθοῦσα ἡ σὴ ἁγιωσύνη, ὀφείλουσα αὐτὸν ἀποκηρύξαι, διὰ γραμμάτων ἠπείλησε, καὶ διεβεβαιώσατο, εἰ τοῖς αὐτοῖς αὖθις ἐπιχειρήσειεν, ἀποκήρυκτον τὸν τοσαύτην ἀδοξίαν τῇ θειοτάτῃ θρησκείᾳ προστριβόμενον ἐν ὅλῃ τῇ Αἰγυπτιακῇ διοικήσει. Νῦν δὲ καὶ τῶν γραμμάτων, καὶ τῶν ἀπειλῶν καταφρονήσας, τὴν Ἀλεξάνδρειαν μαθὼν

B ἐξώρμησεν (21), ἑαυτῷ μὲν ἐπισκοπὴν μνηστευόμενος, τὴν δὲ σὴν λυμαινόμενος δόξαν, ὡς ἐπὶ χρήμασι χειροτονοῦσαν. Τῆς σῆς τοίνυν ἐστὶν, ὦ τί σε καλέσας ἀξίως; προσείπω, μεγαλονοίας, τὴν μὲν ἀκριβῆ τῶν πλημμελημάτων αὐτοῦ δίκην τῷ ἀδεκάστῳ δικαστηρίῳ τηρῆσαι (οὐδὲ γὰρ οἷόν τε αὐτὸν ἐνταῦθα τὴν ἀξίαν τιμωρίαν δοῦναι), κινηθῆναι δὲ, καὶ πρῶτον μὲν τῇ παρανομηθείσῃ Ἐκκλησίᾳ ἀμῦναι, δεύτερον δὲ τῇ οἰκείᾳ ὑπολήψει βοηθῆσαι, τῷ τὰς ἀπειλὰς εἰς ἔργον ἀγαγεῖν καὶ ἀποκηρύξαι τοῦτον. Εἰ γὰρ, ὅπερ οὐ πιστεύω, πρὸς τῷ μηδὲν τοιοῦτον παθεῖν, καὶ χειροτονηθείη, τὸ θρυλλούμενον ἀπόῤῥητον ἀληθὲς ἂν εὑρεθήσεται· ἔπειτα μετά τινων ἐπισκόπων εὐλαβῶν, οἷς τὸ κέρδος πολέμιον καθέστηκεν, ἐνταῦθα ἐκπέμψαι, λόγον τῶν

C ἐκκλησιαστικῶν προσόδων δώσοντα, καὶ ἃ χρεωστεῖ ἀποδώσοντα. Καὶ εἰ δέδωκέ τι τῷ ἐπισκόπῳ (λέγει γὰρ μὴ δεδέχθαι μὲν, ἡπατῆσθαι δὲ), ἐλέγξοντα. Ὅτι γὰρ καὶ τῷ (22) μὲν πρωτοστάτῃ τοῦ δράματος, τῷ ἢ συγκεκλοφότι, ἢ ἀπερισκέπτως ὑπογεγραφότι, ἄδατον τὴν ἐπισκοπὴν καταστήσειας, ἦγουν συγγνοὺς ἐπίτροπον χειροτονήσειας, τὸν οὐκ ἐπιτρέψοντα αὐτῷ μείζονα συγγνώμης ἁμαρτάνειν· τῷ δὲ τριταγωνιστῇ τὸ σοφὸν σκαιώρημα ἠλίθιον δείξας, ἄκυρα ποιήσειας, ἃ λέγει ἑαυτῷ χρεωστεῖσθαι (πόθεν γὰρ τοσοῦτος πλοῦτος τῷ πενίαν ἐσχάτην νοσήσαντι, καὶ ἀπὸ τῶν τῆς Ἐκκλησίας χρηματισαμένῳ προσόδων,), οὐκ ἔστιν ἀμφίβολον.

VARIÆ LECTIONES ET NOTÆ.

(21) *Τὴν Ἀλεξάνδρειαν μαθὼν ἐξώρμησεν.* Bill., *Alexandriam perrexit.* Plenius ac melius B. C. εἰς τὴν Ἀλεξ. λαθὼν ἐξώρμ., hoc est, *clanculum esse Alexandriam proripuit.* Ritt.

(22) Edit., ὅτι γὰρ καὶ τῷ, etc. ; sed illud γὰρ abest a duobus codd. modo laudatis. Vers. sequenti pro ἀπερισκέπτως lidem codd. scribunt ἀπαρισκέπτως. Possin

Digitized by Google

reddat, ac quæ debet, restituat ; ac num quid episcopo dederit (nam ipse nihil se accepisse, verum imposturam sibi factam esse ait) planum faciat. Nam quin et tragœdiæ principi, qui vel furti socius fuit, vel inconsiderate subscripsit, episcopalis muneris administratione interdicturus sis, aut, si veniam ipsi impertias, procuratorem saltem, qui ipsi graviora, quam quibus ignosci debeat, scelera perpetrare minime permittat, instituturus sis : et postremo histrioni, callidum ipsius commentum vesanum ac stolidum esse ostendens, ea, quæ ipse sibi deberi contendit, cassa et irrita redditurus sis (unde enim ei tantæ opes, qui extrema paupertate laboravit, atque ab Ecclesiæ facultatibus divitias sibi comparavit ?), haudquaquam dubium est.

ΡΚΗ'. — ΑΘΑΝΑΣΙΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Περὶ κολακείας.

Πυνθάνομαι ὅτι κόλακες ἐξήρτηνται τῆς σῆς γλώττης, ὀμνύντες μὲν, ὅτι πάντων ἄριστον εἴη, εἰ καί τι τῶν ἀτοπωτάτων ἔλοιο θαυμάσαι κακῶν· κακίζοντες δὲ (23) ᾗ τάχος, εἰ καὶ αὐτὴν ἐκκακύνοις τὴν ἀρετήν. Εἰ τοίνυν μὴ ἐθέλεις ἡμῖν πεισθῆναι, ἀλλά γε κἂν Ἰσοκράτει πείσθητι, παραινέσαντι μισεῖν τοὺς κολακεύοντας, ὥσπερ τοὺς ἐξαπατῶντας. Ἀμφότεροι γὰρ πιστευθέντες, τοὺς πιστεύσαντας ἀδικοῦσι.

CXXVIII. — ATHANASIO PRESBYTERO.

De adulatione.

Adulatores ex tua lingua pendere audio, qui omnium optimum esse jurent, si quid etiam absurdissimorum vitiorum laudare atque admirari in animum induxeris; ac rursum, si virtutem quoque ipsam vituperandam susceperis, eamdem quam celerrime vituperent et insectentur. Quocirca si nobis obtemperare minime vis, at Isocrati saltem obtempera, qui ut adulatores quemadmodum eos, a quibus decipimur, odio habeamus, admonet. Nam utrique, si fidem nanciscantur, eos, qui ipsis fidem habuerunt, injuria afficiunt.

ΡΚΘ'. — ΠΑΥΛΩ.

Περὶ Ἰούδα τοῦ προδότου (24).

Ἔοικας θαυμάζειν, πῶς τὸν προδότην οὐκ ἔπεισεν ὁ Χριστὸς, καλὸν ἡγεῖσθαι τὴν ἀρετὴν, καίτοι πολλάκις περὶ ἀρετῆς, μᾶλλον δὲ οὐκ ἔστιν ὅτε οὐχ ὑπὲρ ταύτης, ἐν συνουσίαις ἀκούσαντα. Ἐγὼ δὲ θαυμάζω, πῶς τὸν ὅρον τῆς αὐτεξουσιότητος ἐπιστάμενος, περὶ τούτου ἐθαύμασας. Οὐ γὰρ βίᾳ καὶ τυραννίδι, ἀλλὰ πειθοῖ καὶ προσηνείᾳ ἡ τῶν ἀνθρώπων σωτηρία κατασκευάζεται. Διὸ καὶ τὸ κῦρος ἔχει ἕκαστος τῆς οἰκείας σωτηρίας· ἵνα καὶ οἱ στεφανούμενοι, καὶ οἱ τιμωρούμενοι, δικαίως ὑπομένοιεν ὅπερ ἦρηνται.

CXXIX. — PAULO.

De Juda proditore.

Mirari videris, qui factum sit, ut Christus **183** proditorem minime adduxerit, ut virtutem rem bonam esse existimaret : idque cum de virtute persæpe, imo nunquam non de ea in ipsius colloquiis audisset. Ego contra miror, quonam pacto cum liberi arbitrii legem perspectam habeas, hujus rei admiratione tenearis. Neque enim vi et coactione, sed persuasione, ac lenitate, hominum salus comparatur. Unde etiam suæ quisque salutis arbitrium habet : ut et qui corona donantur, et qui suppliciis afficiuntur, juste quod elegerint, percipiant.

ΡΛ'. — ΠΑΜΠΡΕΤΙΩ ΔΙΑΚΟΝΩ.

Περὶ ἐλεημοσύνης.

Ἐλεήμονα, ὦ φίλος, ἔχειν χρὴ τὴν ψυχήν. Ὁ γὰρ τὴν πηγὴν τὴν τοιαύτην ἔχων, πάντα ἀναβλύσεια τὰ καλά. Κἂν χρήματα ἔχῃ, προήσεται· κἂν ἐν συμφοραῖς ἴδῃ τινά, κλαύσεται· κἂν ἐπηρεαζομένῳ περιτύχῃ, χεῖρα ὀρέξει. Καὶ οὐδὲν παραλείψει τῶν εἰς αὐτὸν ἡκόντων.

CXXX. — PAMPRETIO DIACONO.

De eleemosyna.

Ad miserationem propensam, o amice, animam habere oportet. Nam qui ejusmodi fontem habet, nullum boni genus est, quod non ex eo scaturiat. Sive enim pecunias habeat, eas profundet : sive aliquem in calamitatibus videat, lamentabitur : sive in quempiam, cui injuria inferatur, incidat, manum porriget. Denique nihil eorum, quæ ad ipsum attinent, prætermittet.

ΡΛΑ'. — ΑΝΤΙΟΧΩ.,

Παράθεσις ἀρετῆς καὶ κακίας.

Ἡ κακία καὶ Θεοῦ τοὺς ἀνθρώπους ἀπέστησε, καὶ ἀλλήλων διέστησε. Ταύτην οὖν προτροπάδην φεύγειν χρὴ, καὶ διώκειν τὴν ἀρετὴν, τὴν καὶ Θεῷ προσάγουσαν, καὶ ἀλλήλοις συνάπτουσαν. Ἀρετῆς δὲ καὶ φιλοσοφίας ὅρος, τὸ μετὰ συνέσεως ἁπλαστον.

CXXXI. — ANTIOCHO.

Collatio virtutis et vitii.

Vitium et homines a Deo avertit, et eos inter se disjunxit. Quamobrem illud quam celerrime fugere oportet, ac virtutem consectari, quæ et nos Deo conciliat, et inter nos connectit. Virtutis porro ac philosophiæ regula est, simplicitas cum prudentia conjuncta.

VARIÆ LECTIONES ET NOTÆ.

(23) Δὶ abest a codice Vatic. 649. Possin.

(24) Confer Irenæum lib. IV, c. 71 et seq. Ritt.

Digitized by Google

CXXXII. — EUTONIO DIACONO.

Etsi Zosimus, qui presbyteri speciem præfert, petulanti admodum tyrannide in te debacchatur : at tu tamen ea, quæ a Judæis adversus Dominum perpetrata sunt, cum animo tuo perpendens (quo tempore terra quoque ipsa movebatur[36], et concutiebatur, locum, quo fugeret, quærens, ut ne scelus illud perspiceret, quod adversus Deum quidem suscipiebatur, verum carnem duntaxat attingebat), fac strenuo ac generoso animo feras.

CXXXIII. — TIMOTHEO LECTORI.

Illud, Oculum pro oculo, et dentem pro dente[37], Judæis a mansuetissima illa natura idcirco præscriptum ac lege sancitum esse opinor, non ut iis, a quibus injuriam accepissent, veniam negarent crudelesque se præberent, quemadmodum censent Manichæi, qui Vetus Testamentum insectantur : sed ut eadem, quæ agunt, perpeti metuentes, ab injuria abstineant. Quod quanquam quam justum et rationi consentaneum est, tamen divina tranquillitas ad lenitatem et bonitatem spectans, hominesque ad eam acuens, per id quod eum, qui injuriam intulit, ulcisci sunxit, supplicii metu peccata repressit et coercuit. Nisi enim sit, qui facessat, ne quidem erit qui ulciscatur. Quamobrem sapientiæ legislatoris altitudinem animadvertant, **184** ac non prompte temereque ipsum ut sævum et crudelem accusent. Nam quod in Evangeliis dictum est : « Si quis te percusserit in dextram maxillam, obverte illi et alteram[38], » non cum lege illa pugnat, sed majus ac præstantius est, summæque philosophiæ meta. Illa etenim, ut ne quidem omnino quispiam faceret, lege præscripta sunt (nam ut æquo ac libenti animo paterentur haudquaquam audire sustinuissent homines cruoris siti flagrantes) : hæc autem, ut etiam prompto animo patiatur, tradita et promulgata sunt. Porro comparationis nota, ea, quæ comparantur, in contrariam classem haudquaquam contrudit : verum in iis, quæ ejusdem classis et ordinis sunt, quid præstantius, quid inferius sit, ostendit. Etenim bonum quidem est malum minime perpetrare : at melius, prompto quoque ac libenti animo perpeti. Bonum est matrimonium, at melior virginitas. Pulchra est luna, at sol præclarior. Quemadmodum igitur et pulchræ lunæ et præstantioris solis unus idemque Effector est : eodem modo et Veteris et Novi Testamenti unus atque idem est legislator, qui sapienter et ad tempora accommodate ac consentanee leges tulit.

CXXXIV. — EIDEM.

Virtus quidem moribus quoque decus suum probro atque ignominia minime afficit. At te, ea quæ asse-

ΡΛΒ'. — ΕΥΤΟΝΙΩ ΔΙΑΚΟΝΩ.

Εἰ καὶ Ζώσιμος ὁ δοκῶν εἶναι πρεσβύτερος, σφόδρα τῇ κατὰ σοῦ τυραννίδι μεθύων (25), παροινεῖ, ἀλλὰ σὺ τὰ κατὰ τοῦ Δεσπότου δραματουργηθέντα παρὰ τῶν Ἰουδαίων ἐννοῶν, ὅτε καὶ ἡ γῆ αὐτὴ ἐδονεῖτο καὶ ἐκραδαίνετο, φυγῆς ζητοῦσα χώραν, ἵνα μὴ θεάσηται τὸ δρᾶμα τὸ κατὰ Θεοῦ μὲν τολμώμενον, σαρκὸς δὲ ἁπτόμενον, φέρε γενναίως.

ΡΛΓ'. — ΤΙΜΟΘΕΩ ΑΝΑΓΝΩΣΤΗ (26).

Τὸ, Ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, καὶ ὀδόντα ἀντὶ ὀδόντος, οἶμαι νενομοθετῆσθαι τοῖς Ἰουδαίοις παρὰ τῆς ἡμερωτάτης φύσεως, οὐχ ἵνα ἀσύγγνωστοι ὦσι, καὶ πικροὶ τοῖς ἀδικοῦσιν, ὡς νομίζουσι Μανιχαῖοι, διασύροντες τὴν Παλαιὰν Διαθήκην· ἀλλ' ἵνα τῷ δέει τοῦ παθεῖν ἃ δρῶσιν, ἀπέχωνται τοῦ τολμᾶν. Εἰ καὶ δίκαιον καὶ εὔλογον (27), ἀκόλουθόν ἐστιν. Ἀλλ' ἡ θεία γαληνότης εἰς ἡμερότητα βλέπουσα, καὶ εἰς ἀγαθότητα ὁρῶσα, καὶ τοὺς ἀνθρώπους εἰς ταύτην ἀλείφουσα, διὰ τοῦ τεθεσπικέναι ἀμύνεσθαι τὸν δρῶντα, τῷ φόβῳ τῆς τιμωρίας προανέστειλε τὰ πταίσματα. Τοῦ γὰρ δρῶντος μὴ ὄντος, οὐδ' ὁ ἀμυνόμενος ἔσται. Συνοράτωσαν οὖν τὸ βάθος τῆς σοφίας τοῦ νομοθέτου, καὶ μὴ ἐκ τοῦ προχείρου, ὡς ὠμὸν καὶ ἀπάνθρωπον αἰτιάσθωσαν. Τὸ γὰρ ἐν Εὐαγγελίοις εἰρημένον, « Ἐάν τίς σε ῥαπίσῃ εἰς τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην, » οὐκ ἔστιν ἐναντίον, ἀλλὰ μεῖζον, καὶ κρεῖττον, καὶ τῆς ἀκροτάτης φιλοσοφίας ὅρος. Ἐκεῖνα γὰρ μὲν ὑπὲρ τοῦ μηδ' ὅλως δρᾶσαι, νενομοθέτηται· τὸ γὰρ ἀσμένως πάσχειν οὐκ ἂν ἤκουσαν αἱμάτων διψῶντες ἄνθρωποι· ταῦτα δὲ καὶ ὑπὲρ τοῦ προθύμως πάσχειν περιλοσόφηται. Ὁ δὲ συγκριτικὸς χαρακτὴρ οὐκ εἰς τὴν ἐναντίαν ἐξωθεῖ τάξιν τὰ συγκρινόμενα, ἀλλ' εἰς τὴν αὐτὴν μὲν ὑπεροχὴν δείκνυσι καὶ ἐλάττωσιν. Καλὸν μὲν γὰρ τὸ μὴ δρᾷν τι κακὸν, κρεῖττον δὲ τὸ καὶ προθύμως πάσχειν. Καλὸς ὁ γάμος, ἀλλὰ κρεῖττον ἡ παρθενία. Καλὴ ἡ σελήνη, ἀλλὰ κρεῖττον ὁ ἥλιος. Ὥσπερ οὖν τῆς μὲν σελήνης καλῆς οὔσης, τοῦ δὲ ἡλίου κρείττονος, εἷς ἐστιν ὁ Δημιουργός· οὕτω καὶ Παλαιᾶς καὶ Καινῆς Διαθήκης εἷς νομοθέτης, ὁ σοφῶς καὶ προσφόρως, καὶ καταλλήλως τοῖς καιροῖς νομοθετήσας.

ΡΛΔ'. — ΤΩ ΑΥΤΩ.

Ἀρετὴ μὲν, καὶ τρόποις, οὐ καταισχύνει τὴν ὁμοτιμίαν (28)· χρὴ δέ σε τῶν ἀδυνάτων μὴ ἐρᾷν,

[36] Matth. xxvii. [37] Exod. xxi, 24; Matth. v, 38. [38] Matth. v, 39.

VARIÆ LECTIONES ET NOTÆ.

(25) *Τυραννίδι μεθύων.* Hæc una est species τῆς ἀοίνου μέθης, quæ dicitur, et latius patet : fere enim de omnibus vitiis ita loquuntur boni auctores, nec non de plagis et doloribus, ut docui ad Oppianum. Ritt.

(26) Confer epist. 86 et 209 libri iv. Id.

(27) Post εὔλογον codd. Vat. 649 et Alt. addunt καί. Possin.

(28) *Ἀρετὴ μὲν, καὶ τρόποις, οὐ καταισχύνει τὴν ὁμοτιμίαν.* Bill., *Virtus quidem moribus quoque decus suum probro atque ignominia minime afficit.*

Digitized by Google

ἀλλ' ἐκείνων ἀφέμενον, τὰ εἰκότα εὔχεσθαι. Ἐπεὶ καὶ Μωσῆς ὁ ἱεροφάντης, καὶ Παῦλος ὁ θεσπέσιος, ἐν ἐνίοις, οὐχ ὧν ᾔτησαν, ἔτυχον· ἀλλ' ὅτι μὴ καλῶς ᾔτησαν, ἐδιδάχθησαν.

A qui non potes, amare haudquaquam oportet : verum his omissis, ea quæ consentanea sunt, optare. Quandoquidem etiam ille divinarum rerum interpres Moses, ac divinus Paulus in nonnullis rebus ea, quæ postulabant, haud obtinuerunt : verum quod non recte postulassent, didicerunt.

ΡΛΕ'. — ΝΕΜΕΣΙΩ.

Εἰς τό, « Ἄνθρωπος ἐν τιμῇ ὢν οὐ συνῆκε (29).»

Τὸ, Ἄνθρωπος ἐν τιμῇ ὢν οὐ συνῆκε, παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς, οὐ καταφορικῶς κατὰ τῶν ἀνθρώπων ἡ ἱερὰ Γραφὴ ῥητορεύουσα, καὶ τὸ λογικὸν διασύρουσα γένος, εἴρηκεν· ἀλλὰ καὶ πάνυ πεφεισμένως. Εἰ γὰρ τὴν ἀκρίβειαν ἐξετάσοιμεν, οὐ τοῖς κτήνεσι μόνον, ἀλλὰ καὶ τοῖς ἀτιθάσσοις θηρίοις κινδυνεύει ἐοικέναι. Μᾶλλον δὲ καὶ ὑπερβάλλει ταῦτα, ὁ τῶν αἰσχρῶν παθῶν ἐραστής. Καὶ τὸ δὴ θαυμαστὸν καὶ παράδοξον τοῦτ' ἔστιν, ὅτι ἕκαστον μὲν τῶν θηρίων ἑνὶ ἐλαττώματι δουλεύει· ὁ δὲ δοκῶν ἄνθρωπος εἶναι, πάνθ' ὁμοῦ συμφορήσας, πορρώτερω τῆς ἐκείνων ἀλογίας ὁδεύει. Καὶ ἵνα μὴ ὑπερβολῆς εἶναι νομίσῃς τὰ ῥήματα, αὐτὰ τὰ πράγματα ἀδεκάστως βασανίσωμεν. Ὅταν γάρ τις σκιρτᾷ μὲν ὡς ταῦρος, λακτίζῃ δὲ ὡς ὄνος, χρεμετίζῃ δὲ ἐπὶ γυναιξὶν, ὡς ἵππος θηλυμανής, καὶ γαστριμαργῇ μὲν ὡς ἄρκτος, πιαίνῃ δὲ τὸ σῶμα ὡς ἡμίονος, μνησικακῇ δὲ ὡς κάμηλος, καὶ ὀργίζηται μὲν ὡς λέων, ἁρπάζῃ δὲ ὡς λύκος, πλήττῃ δὲ ὡς σκορπίος, καὶ ὕπουλος μὲν ὑπάρχῃ ὡς ὄφις, ἰὸν δὲ πονηρίας διατηρῇ ὡς ἔχις, χρήματα δὲ, μᾶλλον δὲ ἁμαρτήματα, συνάγῃ ὡς ὁ κάνθαρος τὴν κάνθαρον· πῶς δυνήσεταί τις μετὰ ἀνθρώπων τὸν θηριόφρονα τοῦτον ἀριθμεῖν, οὐχ ὁρῶν ἐν αὐτῷ τῆς ἡμέρου φύσεως τοὺς χαρακτῆρας, ἀλλὰ Σκύλλης τινὸς καὶ Χιμαίρας καὶ Ὕδρας, κατὰ τοὺς ἔξωθεν μύθους, δυσωδίαν θεώμενος ; Εἰ δὲ φαίης, Τί οὖν ποιητέον ; φήσαιμι, ὅτι τὸ κάτοπτρον τὸ πνευματικὸν συνεχῶς μεταχειριστέον· φημὶ δὴ τὰς θείας Γραφὰς (30), ἐν αἷς καὶ τῶν ἀγαθῶν ἀνδρῶν ἐστιν ἡ ἱστορία, καὶ οἱ παρὰ τοῦ Θεοῦ τεθέντες σωτηριώδεις νόμοι. Τοῦτο γὰρ τὸ κάτοπτρον οὐ δείκνυσι τὴν ἀμορφίαν μόνον, ἀλλὰ καὶ μετατίθησιν, ἂν ἐθέλωμεν, εἰς κάλλος ἀμήχανον.

Illud, Homo cum in honore esset, non intellexit, comparatus est jumentis insipientibus, et similis factus est illis, non acriter et vehementer adversus homines declamans, genusque ratione præditum insectans, divina Scriptura dixit : verum admodum etiam parce atque indulgenter. Nam si rem accurate atque exacte perpendere velimus, non jumentis duntaxat, sed etiam truculentis feris comparari posse videtur. Imo etiam eas superat, qui turpium affectionum ac libidinum amator est. Quodque mirum, atque ab hominum opinione alienum est, quæque fera uni tantum vitio servit : at qui hominis speciem habet, omnibus vitiis in unum congestis et cumulatis, ultra eorum temeritatem et amentiam progreditur. Ac ne me hyperbolice loqui putes, res ipsas incorrupta mente perpendamus. Cum enim quispiam ut taurus subsaltat, ut asinus calcitrat, ut salacissimus equus in feminas hinnit, ut ursus voracitati studet, ut mulus corpus saginat, **185** ut camelus injuriarum memoriam retinet, ut leo irascitur, ut lupus rapit, ut scorpius ferit, ut serpens subdolus est, improbitatis venenum ut vipera conservat, opes denique, vel, ut rectius loquar, peccata cumulat, ut scarabeus scarabeas : quonam pacto quispiam hunc belluino animo præditum, inter homines recensere poterit, cum mitis ac placidæ naturæ lineamenta in eo minime perspicial, verum Scyllæ cujusdam et Chimæræ, atque Hydræ, juxta externas fabulas, fœtorem cernat ? Quod si quæras, Quidnam igitur faciendum est ? illud respondeam : spirituale speculum, hoc est, sacras Scripturas, in quibus et prohorum virorum historia, et salutares leges a Deo positæ continentur, perpetuo in manibus habendum esse. Hoc enim speculum non modo deformitatem ostendit, verum etiam, si velimus, in incomparabilem quamdam pulchritudinem immutat.

VARIÆ LECTIONES ET NOTÆ.

Quæ quidem tolerabilis videri poterat sententia, absque meliori lectione quam in B C inventam hic proponam, et versionem ei convenientem subjiciam ἀρετῇ μὲν καὶ τρόποις οὐκ αἰσχύνεις (vel composite, ut Paris. ed., οὐ καταισχύνεις) τὴν ὁμωνυμίαν. Hoc est, *virtute quidem ac moribus nobilitatem tuam non dedecoras. Sed et hoc oportet addas, ne ea quæ assequi nequeas, concupiscas*, etc. Τὴν ὁμωνυμίαν vocat, quod ei nomen sit Timothei. Ex quibus apparet, non esse hanc generalem gnomen, qualem repræsentat Billiana versio, sed laudationem ejus ad quem Isid. scribit. Vel ab hoc exemplo disce, quantum lucis afferat vera et emendata scriptoris lectio ! — Cum Bavarico ms. consentiunt codd. Vat. 649 et Alt. ap. Possinum. Rᴛᴛ.

(29) Illustris epistola, de comparatione hominum vitiosorum cum jumentis, imo etiam cum feris bestiis ; cum qua conferes utiliter hæc loca : Basilium Magnum homil. 10 in *Hexaemer.* ; Joan. Chrysostom. homil. 23 ad pop. Antiochen. et in Epist. ad Ephesios ; Hieronym. in cap. xviii Isaiæ, Augustin. *De Genesi ad litteram*, lib. vii, cap. 10 ; Claudianum lib. ii, *in Rufinum*, et Boethium lib. iv, *De consolat. philosoph.*, prosa 3. Vide et Commentarium nostrum ad Oppian. Id.

(30) *Φημὶ τὰς θείας Γραφάς.* Insignis commendatio sacræ Scripturæ, quam alibi vocat regulam veritatis, alibi viaticum salutis. Id.

Digitized by Google

CXXXVI. — TIMOTHEO CLARISSIMO.

Ad principes.

Pietate, optime vir, nihil utilius atque conducibilius. Nam ea laureatis quoque imperatoribus sartam tectamque subditorum obedientiam servat. Hanc igitur ante oculos propositam habens, da operam, ut imperii scapham modereris : quo tranquilli, quantum in te situm erit, ii, quibus præes, perstent. Quod si hoc negotium labores habet, jucunditates etiam animique voluptates habet. Quod si dixeris, Non simul atque eodem tempore, respondeam : Nec enim fieri potest. Quandoquidem enim dum bellum gerunt, in mutuam gratiam redire non sustinent, ideirco per summitates copulantur. Nam ad quem labores accesserint, voluptates etiam atque oblectamenta postea subsequentur.

A

ΡΛϚ'. — ΤΙΜΟΘΕΩ ΛΑΜΠΡΟΤΑΤΩ.

Πρὸς ἄρχοντας.

Εὐσεβείας οὐδὲν, ὦ ἄριστε, ὠφελιμώτερον. Αὕτη γὰρ σώζει καὶ τοῖς τροπαιούχοις βασιλεῦσι τὸ ὑπήκοον. Πρὸς ταύτην τοιγαροῦν βλέπων, εὐθύνειν πειρῶ τὸ τῆς ἀρχῆς σκάφος, ὅπως ἀχείμαστοι, τό γε σὸν μέρος, οἱ ἀρχόμενοι διαμείναιεν. Εἰ δὲ πόνους ἔχει τὸ πρᾶγμα, ἔχει καὶ θυμηδίας. Εἰ δὲ φαίης, Οὐ κατὰ ταυτὸν· φαίην, Οὐ γὰρ οἷόν τε. Ἐπειδὴ γὰρ πολεμοῦντα διαλλαγῆναι οὐκ ἀνέχονται, διὰ τῶν κορυφῶν συνήφθησαν. Ὧ γὰρ οἱ πόνοι παραγένωνται, ἐπακολουθοῦσιν ὕστερον καὶ αἱ θυμηδίαι.

CXXXVII. — HERMINO COMITI.

Quod improbus homo secunda omnia habeat, ac contra vir probus, atque omnibus laudibus, quæ in hominem cadere possunt, cumulatus, in acerbissimis malis versetur, res profecto est conjectu atque comprehensu difficilis, atque humanæ naturæ modulum quam longissime excedens. Id enim divinis judiciis permittere necesse est. Ac si recte sentire velimus, soli summæ illi atque ab omni labe alienæ menti consilii hujusce cognitione appensa relictaque, ad ea, quæ in manibus nostris sunt (quæ etiam vix a nobis reperiri solent) nos conferemus. Quoniam autem rectæ doctrinæ, quantum per vires licet, opem ferre oportere censes, in eo libro quem adversus gentiles edidimus, nos quoque pro virili nostra parte opem tulimus. Quem si legeris, quæstionis hujusce solutionem intelliges.

B

ΡΛΖ'. — ΕΡΜΙΝΩ ΚΟΜΗΤΙ.

Τὸ εὐημερεῖν τὸν πονηρὸν, καὶ τὸ ἐν τοῖς εἰς ἄκρον χαλεποῖς γίνεσθαι τὸν ἐπιεικῆ καὶ τῶν εἰς λῆξιν ἡκόντων ἐπαίνων ἔμπλεω, δυστόπαστόν ἐστιν ἀληθῶς καὶ δυσέφικτον, καὶ τῶν τῆς ἀνθρωπότητος μέτρων ἐπέκεινά τε καὶ ποῤῥωτάτω. Θείοις γὰρ κρίμασι παραχωρεῖν ἀναγκαῖον. Καὶ εἴπερ βουλόμεθα φρονεῖν ὀρθῶς, μόνῳ τῷ ἀκηράτῳ (31) νῷ τῆς οἰκονομίας τὴν γνῶσιν ἀνάψαντες, πρὸς τὰ ἐν χερσὶ βαδιούμεθα, ἃ καὶ μόλις πρὸς ἡμῶν εὑρίσκεσθαι φιλεῖ. Ἐπειδὴ δὲ οἷόν δεῖν κατὰ τὸ ἐνδεχόμενον ἐπαμῦναι τῷ λόγῳ, ἐπημύναμεν, ὡς γε ἠδυνήθημεν, ἐν τῷ πρὸς Ἕλληνας ἡμῖν γραφέντι λόγῳ (32), ᾧ ἐντυχὼν εἴσῃ τὴν λύσιν τοῦ προβλήματος.

186 CXXXVIII. — APHRODISIO PRESBYTERO.

In illud, « *Factus sum Judæis ut Judæus.* » *Et quid sit,* « *Cum non essem sine lege Dei, sed sub lege Christi*[39]. »

Nisi persuasissimum haberem, prudentiam tuam, id quod linguæ meæ deerit, suppleturam, has, ut opinor, ad te litteras minime cudissem. Quidnam igitur est, quod tibi explicari cupis? Quam ob causam ab Apostolo dictum sit, « Factus sum Judæis tanquam Judæus, ut Judæos lucrifacerem : his qui sine lege erant, tanquam sine lege essem (cum tamen sine lege Dei non essem, sed sub Christi lege essem), ut eos qui sine lege essent, lucrifacerem. » Sane hæc accuratam ac diligentem examinationem requirunt, quoadusque veritas, sub iis delitescens, perspicue eluceat. Quam paucissimis autem dicam quod sentio. Factus est Judæis tanquam Judæus, cum in templo purificatus est, atque sacrificium obtulit : circumcisoque Timotheo, eum ad Judæos magistrum misit,

C

D

ΡΛΗ'. — ΑΦΡΟΔΙΣΙΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Εἰς τὸ, « *Ἐγενόμην τοῖς Ἰουδαίοις ὡς Ἰουδαῖος. Καὶ τί ἐστι,* « *Μὴ ὢν ἄνομος Θεῷ, ἀλλ' ἔννομος Χριστῷ.* »

Εἰ μὴ ἀκριβῶς ἐπεπείσμην, ὅτι τὸ λεῖπον τῇ ἡμετέρᾳ γλώττῃ ἡ σὴ ἀπεπλήρου σύνεσις, οὐκ ἂν μοι δοκῶ τάδε χαράξαι τὰ γράμματα. Τί οὖν ἐστιν ὃ ἠθέλησας μαθεῖν; Δι' ἣν ὁ Ἀπόστολος αἰτίαν ἔφη· « Ἐγενόμην τοῖς Ἰουδαίοις ὡς Ἰουδαῖος, ἵνα Ἰουδαίους κερδήσω· τοῖς ἀνόμοις ὡς ἄνομος, μὴ ὢν ἄνομος Θεοῦ, ἀλλ' ἔννομος Χριστοῦ, ἵνα κερδήσω ἀνόμους. » Μάλιστα μὲν ἀκριβοῦς ταῦτα βασάνου δεῖται, ἕως ἂν ἡ κεκρυμμένη ἐν αὐτοῖς ἀλήθεια, σαφῶς ὑποπέσῃ. Συντόμως δὲ εἰρήσεται· Ἐγένετο τοῖς Ἰουδαίοις ὡς Ἰουδαῖος, ὅτε ἐν τῷ ἱερῷ ἡγνίσατο, καὶ ἔθυσε· καὶ περιτεμὼν Τιμόθεον, Ἰουδαίοις πέπομφε διδάσκαλον, διὰ περιτομῆς τὴν περιτομὴν ἀναιρῶν. Διὸ οὐκ εἶπεν, Ἰουδαῖος, ἀλλ', ὡς Ἰουδαῖος· τοῖς ἀνόμοις ὡς ἄνομος, ὅτε Ἀθηναίοις δημηγορῶν,

[39] I Cor. IX, 20.

VARIÆ LECTIONES ET NOTÆ.

(31) Ἀκηράτῳ in ἀκράτῳ recte mutat cod. Vat. 649. Possin.

(32) Eumdem librum et infra nominat epist. 228 hujus libri II, et est fortassis idem cum oratione quam contra fatum scripsit et laudat epist. 253 lib. III. Recte igitur Suidas Isidorum nostrum præter epistolas divinam Scripturam interpretantes, alia quoque nonnulla scripsisse testatur. Confer eum hac epist. Senecam *De providentia Dei*, cap. 1 et 2; Augustin. lib. XX, *De civitate Dei*, cap. 1, et Salvianum Massiliens. lib. I, *De Provident.* Rittr.

Digitized by Google

οὐκ ἀπὸ προφητῶν, οὐδ' ἀπὸ τοῦ νόμου διελέχθη, ἀλλ' ἀπὸ βωμοῦ τὴν παραίνεσιν ἐποιήσατο, ἀπὸ τῶν οἰκείων αὐτοὺς χειρούμενος δογμάτων. Διὸ οὐκ εἶπεν, ἄνομος, ἀλλ', ὡς *ἄνομος*· Τὸ δὲ, *μὴ ὢν ἄνομος Θεοῦ, ἀλλ' ἔννομος Χριστοῦ*, ἢ ὡς ἀδιάφορον εἶπεν (ἐπὶ γὰρ μιᾶς οὐσίας, οὐκ ἔστι διαφορὰ· τοῦτο γὰρ ἀλλαχοῦ δεῖξαι βουλόμενος ἔφη· Ὥστε καὶ « ὁ ἐσθίων, Κυρίῳ ἐσθίει, καὶ εὐχαριστεῖ τῷ Θεῷ »)· ἢ, εἰ τοῦτο βεβιασμένον ἠγῇ, οἶμαι τοῦτο μηνύειν, τὸ μὴ μόνον κατὰ τὸν νόμον πεπολιτεῦσθαι, τὸν τῷ Πατρὶ παρά τινων ἐπιγραφόμενον, καὶ διὰ τὴν ἕξιν τῶν μανθανόντων, οὐ διὰ τὴν ἀξίαν τοῦ νομοθέτου, νηπίοις μᾶλλον ἁρμόττοντα, καὶ στοιχειωθέντα, ἀλλὰ καὶ κατὰ τὸν τοῦ Χριστοῦ οὐράνιον καὶ τέλειον νόμον· οἷον οὐκ ἄνομος κατὰ τὸν παλαιὸν νόμον, ἀλλὰ καὶ ἔννομος κατὰ τὸ Εὐαγγέλιον· οὐκ ἔξω τοῦ νόμου, ἀλλὰ καὶ εἴσω τῆς χάριτος· οὐκ ἄπειρος τοῦ γάλακτος, ἀλλὰ καὶ ἔμπειρος τῆς στερεᾶς τροφῆς· οὐκ ἀμελέτητος τῆς παλαίστρας, ἀλλὰ καὶ ἐν τοῖς Ὀλυμπίοις διαλάμψας. Οὐκ ἐμοίχευσα διὰ τὸν νόμον, ἀλλ' οὔτε εἶδον ἀκολάστως γυναῖκα διὰ τὸ Εὐαγγέλιον. Οὐκ ἐφόνευσα διὰ τὸν φόβον, ἀλλὰ καὶ ὀργῆς ἐκράτησα διὰ τὸν πόθον. Ὁ μὲν γὰρ (33). τὸν παλαιὸν φυλάξας οὐκ ἦν ἄνομος Θεοῦ, οὐδὲ τὸν νέον, ἔστιν ἔννομος Χριστοῦ. Ταῦτα δὲ ἔλεγεν οὐκ ἀποκληρῶν τῷ μὲν Πατρὶ τὸν νόμον, τῷ δὲ Υἱῷ τὸ Εὐαγγέλιον· ἀλλὰ πρὸς τὴν τῶν πολλῶν ὑπόνοιαν καὶ δόξαν ἀφορῶν. Πάντα γὰρ τὰ τοῦ Πατρὸς, τοῦ Υἱοῦ ἐστι· καὶ τὰ τοῦ Υἱοῦ, τοῦ Πατρός.

A per circumcisionem videlicet circumcisionem abrogans atque convellens. Quocirca non dixit, *Judæus*, verum, tanquam Judæus. Rursum iis qui sine lege essent, tanquam sine lege essem, cum apud Athenienses concionem habens, non a prophetis, nec a lege disseruit, verum ab ara materiam eos admonendi traxit : ut nimirum eos ex suismet dogmatibus subigeret atque expugnaret. Eaque de causa non dixit, sine lege, sed, tanquam sine lege. Illud autem, cum sine Dei lege non essem, sed, sub Christi lege, vel pro eodem posuit (nam in una et eadem essentia discrimen non est. Hoc enim alio loco demonstrare cupiens, dixit : Igitur et qui « manducat, Domino manducat, et gratias agit Deo [39] »); aut, si id coactum atque contortum esse existimas, illud ab eo indicari arbitror, quod non tantum juxta legis præscriptum (quæ a nonnullis Patri ascribebatur, ac propter discentium habitum et affectionem, non autem ob legislatoris dignitatem atque amplitudinem, parvulis potius conveniebat) vitam suam moderatus sit, verum etiam juxta cœlestem, ac numeris omnibus absolutam Christi legem, hoc est, non tanquam absque lege esset, juxta veterem legem : at etiam in lege juxta Evangelium : Non extra legem : at etiam intra gratiam : non lactis expers ; at etiam solidi cibi particeps : palæstræ non rudis et imperitus, at etiam in Olympicis certaminibus luculenter ac splendide versatus. Non mœchatus sum, quod lex id vetaret : at ob Evangelium ne impudicis quidem oculis mulierem conspexi. Non ductus, iræ quoque imperavi. Nam ut qui veterem qui novam servat, in Christi lege est. Illis porro legem, Filio Evangelium attribueret, sed quod alioqui omnia, quæ Patris sunt, Filii quoque sunt ; ac rursum quæ Filii sunt, Patris sunt.

B

ΡΛΘ'. — ΕΡΜΟΓΕΝΕΙ ΕΠΙΣΚΟΠΩ.

Εἰς τὸ γεγραμμένον, « Τίς ὠφέλεια ἐν τῷ αἵματί μου ; »

Ἡ ἀγάπη, ὡς πάντα πικρὰ πρὸς σὲ φθέγξασθαι (34), οἴχεται, πρᾶγμα ἔντιμον καὶ μέγα, καὶ λαμπρὸν, καὶ περὶ οὗ ὁ μὲν προφητικὸς χορὸς προεμήνυσεν, ὁ δὲ Σωτὴρ δεῦρο ἐπεφοίτησε, καὶ οἱ ἀπόστολοι ἐκήρυξαν, τῷ οἰκείῳ αἵματι τὰ θεσπισθέντα σφραγίσαντες. Τοιγάρτοι τὰ ἑαυτῶν μόνον σκοποῦν-

C

187 CXXXIX. — HERMOGENI EPISCOPO

In illud, « Quæ utilitas in sanguine meo ? »

Charitas, ut acerba omnia ad te loquar, perit et evanescit, res ingentis pretii, ac præclara et splendida, et de qua, tum propheticus chorus vaticinatus est, tum Servator huc venit, ac denique apostoli conciones habuerunt, eaque quæ sanxerunt cruore suo consignarunt. Ac proinde nostris duntaxat commodis quisque

[39] Rom. XIV, 6.

VARIÆ LECTIONES ET NOTÆ.

(33) Post γὰρ adde, τὸν νόμον et totum locum sic emendate scribe : Ὁ μὲν γὰρ τὸν νόμον τὸν παλαιὸν φυλάξας, οὐκ ἦν ἄνομος Θεοῦ· ὁ δὲ τὸν νέον, ἔστιν ἔννομος Χριστοῦ, ex codd. Vat. 649 et Alt., nisi quod οὐδὲ in ὁ δὲ suasit ratio sententiæ mutare. Possin.

(34) Ὡς *πάντα πικρὰ πρὸς σὲ φθέγξασθαι*. Billius, cum verterit, *ut omnia acerbu ad te loquar*, legisse videtur, ὡς πάντα πικρὰ π. σ. φθ. Sed quia non solum in Paris. ed., verum etiam in B C est, ᾧ πάντα πρὸς σὲ μικρὰ φθέγξασθαι, puto veriorem esse hanc lectionem, cujus hic sensus : O Hermogenes, de quo quidquid dixero, minus erit quam pro tuis virtutibus, etc. Confirmari potest hujus lectionis veritas collatione aliarum similium compellationum sive salutationum. Crebro enim tali formula auctor noster utitur, ut epist. 166 et 217 h. l. II, ᾧ τί σε καλέσας ἀξίως προσείπω, et epist. 171, ᾧ τί σε καλέσας ὑμᾶς, etc. ; et epist. 251 ᾧ τί σε καλέσας τῆς ἀξίας ἐφάψομαι, et epist. 73 lib. III, ᾧ τί σε καλέσας ἀξίως προσονομάσω. Usque adeo vix est interpres, ut doctissimus et diligentissimus sit, cui per omnia fidere possis! Ritt.

— Principium hujus ep. duas habet in codd. Vat. 649 et Alt. varias lectiones ; nam illic ᾧ pro ὡς et μικρὰ pro πικρὰ scribitur. Ego ex his solam priorem admiserim totumque adeo sic exprimi locum velim, ἡ ἀγάπη, ᾧ πάντη πικρὰ πρὸς σὲ φθέγξασθαι, οἴχεται. *Charitas, o plane acerbum quo te compello verbum ! funditus e rebus perit ; res pretii quantivis, magna et splendida*, etc. Ultimum hujus ep. vocabulum non οὐδαμοῦ sed οὐδαμῶς in cod. Vat. est. Possin.

Digitized by Google

consulentes, omisso hoste communi alii adversus alios arma induimus. Ac periculum est, ne ille, qui victus ac profligatus est, ob dissidia nostra collecto robore, acceptam cladem sarciat, victoriamque adipiscatur. Etenim ille quidem jacet, etiamsi audacia stolide efferatur, at nostra ignavia, mutuumque bellum, nervos jacenti ac robur attulerunt : ita ut quantum quidem ad nostram socordiam attinet, metuendum sit, ne præclarum illud facinus quod a Salvatore editum est (etsi enim id dictu audax est, tamen quia verum est, dicetur) prorsus pereat. Unde etiam hoc fortasse, quod tibi exponi cupis, per Psalmistam prædixit, his verbis utens : « Quæ utilitas in sanguine meo, dum descendo in corruptionem [40]? » hoc est, ad hominum naturam multis corruptionibus obnoxiam. Etsi enim alia quoque nonnulla indicat (nam si moralem sensum spectes, de Davide, si naturalem, de Adamo intelligitur), at ad hunc quoque scopum plerisque sanctis viris tendere visus est. Ego enim, inquit, usque eo me demisi, ut etiam, ob ingentem demissionem multi ad credendum adduci nequeant, tyrannumque subegi ac prostravi. Idque Seraphinorum spectator his verbis clamat : « Discite justitiam facere, qui habitatis terram : compressus est enim impius [41]. » Vos autem facinus omni spe majus, excellensque atque omnem admirationem excedens tropæum per inertiam vestram prodidistis. Quænam igitur vobis excusatio, quæ venia, quæ misericordia relinquetur, cum hæc a vobis vita reposcetur, quam in Scripturis duntaxat sitam perspicio, alibi autem, atque in operibus, haudquaquam.

τες, τὸν κοινὸν ἐχθρὸν ἀφέντες, κατ' ἀλλήλων ὁπλιζόμεθα. Καὶ κινδυνεύει ὁ κατὰ κράτος ἡττηθεὶς, τῇ ἡμετέρᾳ διαστάσει νευρωθεὶς ἀναμάχεσθαι καὶ νικᾷν. Πέπτωκε μὲν γὰρ, εἰ καὶ ἀπερισκέπτως θασύνεται· ἡ δὲ ἡμετέρα ῥᾳθυμία καὶ ὁ πρὸς ἀλλήλους πόλεμος νεῦρα τῷ πεπτωκότι, καὶ ῥώμη γέγονεν, ὡς κινδυνεύειν, τό γε τῶν ῥᾳθύμων μέρος, τὸ γεγενημένον παρὰ τοῦ Σωτῆρος κατόρθωμα (εἰ γὰρ καὶ τολμηρὸν εἰπεῖν, ἀλλά γε ἀληθὲς ὂν λελέξεται), σῴζεσθαι. Διὸ καὶ τυχὸν ἴσως τοῦτο ὅπερ ἐζήτησας μαθεῖν, διὰ τοῦ Μελῳδοῦ προεμήνυσε· « Τίς ὠφέλεια ἐν τῷ αἵματί μου, ἐν τῷ καταβῆναί με εἰς διαφθοράν; » τοῦτ' ἔστιν, εἰς τὴν πολύφθορον τῶν ἀνθρώπων φύσιν. Εἰ γὰρ καὶ ἄλλα τινὰ μηνύει· ἠθικώτερον μὲν γὰρ εἰς τὸν Δαβὶδ, φυσικώτερον δὲ εἰς τὸν Ἀδὰμ ἐκλαμβάνεται· ἀλλά γε καὶ πρὸς τοῦτον βλέπειν ἔδοξε πολλοῖς ἁγίοις τὸν σκοπόν. Ἐγὼ μὲν γὰρ, φησὶ, τοσοῦτον κατέβην, ὡς καὶ ἀπιστεῖσθαι παρὰ πολλῶν διὰ τὴν πολλὴν συγκατάβασιν, καὶ τὸν τύραννον ἐχειρωσάμην, καὶ βοᾷ ὁ τῶν Σεραφὶμ λέγων θεωρός· « Δικαιοσύνην μάθετε ποιεῖν οἱ ἐνδυκοῦντες ἐπὶ τῆς γῆς· πέπαυται γὰρ ὁ ἀσεβής. » Ὑμεῖς δὲ τὸ πάσης ἐλπίδος κρεῖττον κατόρθωμα, καὶ τὸ ὑπερφυὲς, καὶ παντὸς ἐπέκεινα θαύματος τρόπαιον διὰ τῆς οἰκείας ῥᾳθυμίας προεδώκατε. Τίς οὖν ὑμῖν λελείψεται ἀπολογία, ποία συγγνώμη, τίς ἔλεος, ὅταν τοῦτον ἀπαιτηθείητε τὸν βίον, ὃν μόνον ἐν ταῖς Γραφαῖς κείμενον ὁρῶ, ἀλλαχοῦ δὲ, καὶ ἐπὶ τῶν ἔργων, οὐδαμοῦ;

CXL. — MARONI PRESBYTERO.

Ad eos qui indignam sacerdotii vitam degunt.

Ingentem hoc omnibus admirationem movet, quod cum ipse in sceleribus ac flagitiis solutus sis, ac neque freno pareas, nec objurgatione castigeris, miserum tamen Zosimum, quem maxime imitaris, sannis ac dicteriis incessas. Nam si non eadem, quæ ille, perpetrares, eum corrigere, non autem traducere, ac maledictis insectari oportebat. Cum autem pictoribus accuratius et expressius eum in hoc imitatus sis, ea videlicet quæ imitari minime conveniebat, imitando consecutus, quid tu, cum ipsius duntaxat stuporem ac vecordiam evulgare putes, tuum quoque stuporem in publicum effers? **188** Nam qui hæc audiunt, utrumque qui lapidibus obruatur, dignum esse existimant, alterum minirum ut vitiorum architectum, alterum vero, ut genuinum discipulum. Duorum igitur alterum tibi faciendum est, nempe ut aut peccare desinas, aut ne cavillis impetas. Hoc enim quavis re gravius est.

ΡΜ'. — ΜΑΡΩΝΙ ΠΡΕΣΒΥΤΕΡΩ.

Πρὸς τοὺς ἀναξίως τῆς ἱερωσύνης βιοῦντας.

Αἶαν θαυμάζουσιν ἅπαντες, πῶς ἄφετος ὢν ἐν τοῖς πλημμελήμασι, καὶ μήτε χαλινῷ πειθόμενος, μήτε ἐλέγχῳ σωφρονιζόμενος, Ζώσιμον τὸν δείλαιον κωμῳδεῖς, ὃν μάλιστα ζηλοῖς. Εἰ μὲν γὰρ τὰ αὐτὰ αὐτῷ μὴ διέπραττες, διορθοῦν ἐχρῆν, οὐ μὴν κωμῳδεῖν. Εἰ δὲ τῶν ζωγράφων ἀκριβέστερος μιμητὴς εἰς τοῦτο γέγονας, τὰ ἀζήλωτα ζηλώσας, τί τὴν ἐκείνου μόνον νομίζων ἐκπομπεύειν ἀναλγησίαν, καὶ τὴν σαυτοῦ δημοσιεύεις; Οἱ γὰρ ἀκούοντες, ἀμφοτέρους καταλευσθῆναι δίκαιον εἶναι νομίζουσι, τὸν μὲν ὡς ἀρχιτέκτονα τῶν κακῶν, τὸν δὲ ὡς γνήσιον φοιτητήν. Δυοῖν τοιγαροῦν θάτερον δίκαιόν σε ποιεῖν, ἢ παύσασθαι ἁμαρτάνοντα, ἢ τὸν ταυτά σοι δρῶντα, μὴ κωμῳδεῖν. Τοῦτο γὰρ δεινῶν ἐστι δεινότερον.

CXLI. — THEODOSIO PRESBYTERO.

Simile.

Si dicere fas est (fas est autem vera loqui, cum quis pro veritate pugnat), periculum est ne divina prædicatio ab iis ipsis, qui eam tueri videntur, evertatur. Nam cum contraria iis, quæ loquuntur,

ΡΜΑ'. — ΘΕΟΔΟΣΙΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Ὅμοιον.

Εἰ θέμις εἰπεῖν (θέμις δὲ ἀψευδεῖν ὑπὲρ ἀληθείας ἀγωνιζόμενον), κινδυνεύει τὸ θεῖον κήρυγμα ὑπ' αὐτῶν τῶν δοκούντων αὐτῷ συνηγορεῖν ἀνατετράφθαι. Τἀναντία γὰρ ὧν φράζουσι δρῶντες, πολλοὺς, ὡς μύθοις,

[40] Psal. xxix, 10. [41] Isa. xxvi, 9.

Digitized by Google

τοῖς λεγομένοις προσχεῖν ἀνέπεισαν. Χρὴ τοίνυν αὐτοὺς ἐννοοῦντας, ὡς ὁ κίνδυνος αὐτοὺς ὁρᾷ, ἅπαντα πρᾶξαι, ὅπως τούτου ἀπείρατοι διαμείνωσιν.

faciunt, multos adduxerunt, ut sermonibus, quos habent, non secus ac fabulis attendant. Quocirca operæ pretium est, ut ipsi periculum, quod sibi imminet, cogitantes, nihil non agant, quo illius expertes maneant.

ΡΜΒ'. — ΠΑΥΛΩ.

Περὶ δογμάτων· περὶ τῆς ἁγίας Τριάδος.

Ἥκιστα μὲν χρὴ [τὴν] τῆς θεότητος φύσιν συστέλλειν Ἰουδαϊκῶς, εἰς μόνον τὸν ἕνα Θεὸν καὶ Πατέρα· κατευρύνειν δὲ, ὥσπερ εἰς ἁγίαν καὶ ὁμοούσιον Τριάδα. Προσώπων γὰρ ποιότητι καὶ ὑποστάσεων ἰδιότητι διαστέλλοντες, εἰς ἕνα πάλιν συστελοῦμεν Θεὸν, διὰ τὸ τῆς οὐσίας ταὐτόν.

CXLII. — PAULO.

De dogmatibus, et de sancta Trinitate.

Minime quidem oportet divinitatis naturam Judæorum more in unum Deum ac Patrem contrahere, verum in sanctam atque ejusdem essentiæ Trinitatem quasi dilatare. Siquidem personarum qualitate atque hypostaseon proprietate distinguentes, per essentiæ identitatem, eam rursum in unum Deum contrahimus.

ΡΜΓ'. — ΤΩ ΑΥΤΩ.

Περὶ αὐτοῦ (35).

Ἄγαμαι τὴν ἀλήθειαν, τὴν τῶν συνετῶν τὰς ψυχὰς εἰς τὸ καὶ τῇ τῶν οἰκείων δογμάτων προλήψει μαχήσασθαι περιστήσασαν. Οὕτω γὰρ σαφῆ καὶ λαμπρὰν τοῖς βουλομένοις κατοπτεῦσαι τὴν περὶ τῆς ἁγίας Τριάδος ἔννοιαν ἔσχεν. Ὁ λέγων γὰρ ὅτι εἷς ἐστιν ὁ Θεὸς, οὐ πρὸς τὸν ἀριθμὸν κατέδραμε τῆς μονάδος, ἀλλὰ πρὸς τὸ μυστήριον τῆς Τριάδος· οὗ καὶ ἐν τῇ Παλαιᾷ Διαθήκῃ ἐγκατέσπαρται ἡ διδασκαλία· ὡς καὶ Φίλωνα, καίτοι Ἰουδαῖον ὄντα καὶ ζηλωτὴν, δι' ὧν ἀπολέλοιπε συγγραμμάτων ἀπομαχήσασθαι τῇ οἰκείᾳ θρησκείᾳ. Βασανίζων γὰρ τὸ εἰρημένον παρὰ τοῦ Θεοῦ, ἐν εἰκόνι Θεοῦ ἐποίησε τὸν ἄνθρωπον, ἠναγκάσθη ὑπὸ τῆς ἀληθείας καὶ ἐξεβιάσθη, καὶ τὸν τοῦ Θεοῦ Λόγον θεολογῆσαι. Τί γάρ; Εἰ καὶ δεύτερον τὸν συναίδιον τῷ Πατρὶ, καὶ ἀριθμοῦ καὶ χρόνων ὄντα ἀνώτερον καλεῖ, τῆς ἀκριβείας μὴ ἐφικνούμενος, ὅμως ἔννοιαν ἔσχε καὶ ἑτέρου προσώπου. Καὶ οὐκ ἐνταῦθα μόνον τοῦτο ἔπαθεν, ἀλλὰ καὶ τὸ, Θεὸς καὶ Κύριος, ἑρμηνεῦσαι πειρώμενος, τῆς βασιλικωτάτης Τριάδος, τὸ τῶν μὲν πάντη διαιρετῶν ἐνικώτερον, τῶν δὲ ὄντως μοναδικῶν ἀφθονώτερον· καὶ οὕτως κατὰ κράτος εἶλεν αὐτοῦ τὴν ψυχὴν, ὡς ἀναγκασθῆναι τοῦτο διαῤῥήδην καὶ εἰπεῖν, καὶ ἐν συγγράμμασι καταλεῖψαι. Δύο γὰρ ἔφησεν εἶναι τὰς ὄντως δυνάμεις (36), ὧν ἡ μὴν ποιητικὴ [καὶ εὐεργετικὴ, φησὶ, καλεῖται Θεός· ἡ δὲ, βασιλικὴ καὶ τιμωρητικὴ], Κύριος. Οὐ πόῤῥω βαίνων τοῦ εἰπόντος, « Χριστὸς Θεοῦ δύναμις, καὶ Θεοῦ σοφία· » δύναμις οὐκ ἀνυπόστατος, ἀλλ' ἐνυπόστατος, καὶ παντοδύναμος, καὶ ὑποστάσεων δημιουργὸς, καὶ ἰσοσθενὴς ἐκείνου, οὗ δύναμίς ἐστιν. Καὶ πάλιν ὁ Φίλων περὶ τοῦ θεάματος οὗ εἶδε Μωσῆς ἐκφράζων, φησί·

CXLIII. — EIDEM.

De eodem.

Veritatem admiror, quæ prudentum ac sagacium hominum animos eo redegit, ut etiam iis dogmatibus, quibus prius imbuti fuerant bellum indixerint. Sic enim luculentam ac dilucidam, iis qui prospicere volunt, sanctæ Trinitatis notionem habuit. Nam qui unum Deum esse dicit, non ad unitatis numerum, verum ad Trinitatis mysterium concurrit, cujus in Veteri quoque Testamento doctrina inspersa est, adeo ut etiam Philo, licet alioqui Judæus, et quidem ingenti zelo præditus, per ea ingenii monumenta quæ reliquit, cum sua religione pugnam inierit. Illud enim quod a Deo dictum est, perpendens, Ad imaginem Dei fecit hominem [49], a veritate ipsa compulsus atque adactus est, ut Dei quoque Verbi divinitatem assereret. Quid enim? Etiamsi eum, qui eumdem cum Patre æternitatem habet, ac tempore omni sublimior est, secundum vocat (quod exactam veritatis doctrinam minime assequeretur), tamen alterius quoque personæ notionem habuit. Neque id hoc duntaxat loco ipsi contigit : verum etiam cum illa verba, Deus et Dominus, exponere conatur, regiam Trinitatem hoc haberi dixit, ut et ea, quæ omnino divisioni subjiciuntur, unitate ac singularitate superet, et ea, quæ vere singularia sunt, copia vincat. Atque usque adeo animum veritas subegit, ut id aperte et dicere, et litterarum monumentis consignatum relinquere coactus sit. Duas enim veras **189** potentias esse dixit, ex quibus ea quæ efficiens est, atque ad beneficia danda propensa, Deus vocatur : ea autem, quæ regia est, ac scelerum vindex, Dominus. Quibus verbis non longe ab eo recedit, qui

[49] Gen. I, 8.

VARIÆ LECTIONES ET NOTÆ

(35) Insignis hæc epistola insigniter emendata et suæ integritati a me restituta est ope B C. Multa enim in Paris. edit. alieno loco posita erant cum jactura sententiæ, nempe illa, εὔνοιαν ἔσχε, usque ad τὸ μυστήριον τῆς Τριάδος, quæ poni debent post τῆς βασιλικωτάτης Τριάδος, et secundum hanc lectionem etiam corrigenda est Billii interpretatio. RITT.

(36) *Τὰς ὄντως δυνάμεις*. Cum in B C invenerim, τὰς τοῦ ὄντος δυνάμεις, puto veram esse lect., τὰς τοῦ ὄντως ὄντος δυν. Sic de Deo loqui amat Plato, quem Philo, Hebræorum ille Plato, æmulatur. RITT.

Digitized by Google

dixit, « Christus Dei virtus et Dei sapientia [43] : » virtus, inquam, non hypostasis expers, verum reipsa et vere consistens, atque omnipotens, et hypostasium architecta, eique, cujus virtus est, viribus par. Ac rursum idem auctor spectaculum illud quod Moses vidit [44], explanans, his verbis utitur : « Spectaculum maxime stupendum cernit. » Ac paucis interjectis : « In medio autem flammæ forma quædam erat insigni pulchritudine, nulli earum rerum quæ in oculorum aspectum cadunt similis, divinissimum simulacrum, quovis igne splendidius rutilans, quod quispiam ejus, qui est, imaginem esse haud abs re sibi finxisset. » Quod si de imagine accurate ac certo audire cupiam cordi est, audiat Paulum de Christo ad hunc modum loquentem : « Qui est imago Dei invisibilis [45]. » Itaque ille quoque orthodoxam divinitatis doctrinam attingit. Neque enim exactam ac numeris omnibus absolutam doctrinam ab eo requiras, qui omnino ob puram ac sinceram ingenii sagacitatem, et veritatem obtueri, et religionem suam oppugnare potuit. Verum illud cogita, quod divinitatis doctrinam haudquaquam in unam personam conclusi, quemadmodum imperiti Judæorum magistri, anticipata quadam opinione detenti, profitentur. Nec vero ex his duntaxat, tametsi ad percellendum animum vim maximam habentibus; in hanc, ut opinor, sententiam inductus est, verum etiam ex hoc loco, « Faciamus hominem ad imaginem nostram et similitudinem [46]; » et ex hoc : « Pluit Dominus a Domino [47] ; » et ex hoc : « Vocavit Dominus in nomine Domini [48] ; » et ex hoc : « Dixit Dominus Domino meo : Sede a dextris meis [49] ; » et ex hoc : « In te Deus, et tu es Deus [50]. » Nam eos qui Deum millies sanctum esse dicunt, et eos qui hæc verba, « Sanctus, sanctus, sanctus, Dominus Sabaoth [51], » perverse interpretari audent, istud luculenter refutat, « Exquisivi faciem tuam, faciem tuam, Domine, requiram. Ne avertas faciem tuam a me [52]. » Nisi enim is, qui his verbis usus est, sanctam Trinitatem prædicaret, superfluitatis haud immerito accusari posset. Neque in hoc duntaxat loco (opus enim esse existimo ad aliud apertius dictum me conferre), sed etiam in isto, « Immola Deo sacrificium laudis, et redde Altissimo vota tua. Et invoca me in die tribulationis : et eruam te, et honorificabis me [53]. » Nisi enim hic Trinitas aperte prædicaretur, dicendum erat, Immola Deo sacrificium laudis, et redde ipsi vota tua. Et invoca eum in die tribulationis : et eruet te, et honorificabis eum. Verum ad hunc

A « Θέαμα πληκτικώτατον ὁρᾷ. » Εἶτα μετ' ὀλίγα· « Κατὰ μέσην δὲ τὴν φλόγα μορφή τις ἦν περικαλλεστάτη τῶν ὁρατῶν ἐμφερὴς οὐδενί, θεοειδέστατον ἄγαλμα, ᾧ αὐγοειδέστερον τοῦ πυρὸς ἀπαστράπτουσα, ἣν ἄν τις ὑπετύπωσεν (37) εἰκόνα τοῦ ὄντος εἶναι. » Εἰ δέ τις περὶ τῆς εἰκόνος ἀκριβῶς βούλεται μαθεῖν, ἀκουέτω φράζοντος Παύλου περὶ τοῦ Χριστοῦ. « Ὅς ἐστιν εἰκὼν τοῦ Θεοῦ τοῦ ἀοράτου. » Οὐκοῦν κακεῖνος θεολογίας ὀρθοδόξου ἅπτεται. Μὴ γὰρ [δὴ] τὴν ἀκρίβειαν ζήτει παρὰ τοῦ δυνηθέντος ὅλως διὰ σύνεσιν εἰλικρινῆ, καὶ κατοπτεῦσαι τὴν ἀλήθειαν, καὶ τῇ οἰκείᾳ θρησκείᾳ ἀπομαχέσασθαι. Ἀλλ' ἐκεῖνο ἐννόει, ὅτι εἰς ἓν πρόσωπον οὐ συνέκλεισε τὴν θεολογίαν, ὡς οἱ ἀπαίδευτοι (38) τῶν Ἰουδαίων καθηγηταί, προλήψει τινὶ κατεχόμενοι, δογματίζουσιν.

B Οὐκ ἐκ τούτων δὲ [μόνον πληκτικωτάτων] ὄντων εἰς τοσαύτην προήχθη, ὥς γε ἡγοῦμαι, τὴν ἔννοιαν, ἀλλὰ καὶ ἐκ τοῦ. « Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν· » καὶ ἐκ τοῦ. « Ἔβρεξε Κύριος παρὰ Κυρίου· » καὶ ἐκ τοῦ « Ἐκάλεσε Κύριος ἐν ὀνόματι Κυρίου· » καὶ ἐκ τοῦ. « Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου· Κάθου ἐκ δεξιῶν μου· » καὶ ἐκ τοῦ· « Ἐν σοὶ [ὁ] Θεὸς, καὶ σὺ εἶ [ὁ] Θεός· » Τοὺς γὰρ λέγοντας, ὅτι μυριάκις ἐστὶν ἅγιος ὁ Θεὸς, καὶ τὸ, « Ἅγιος, ἅγιος, ἅγιος Κύριος Σαβαὼθ, » παρερμηνεῦσαι τολμῶντες (39), λαμπρῶς ἐλέγχει τὸ, « Ἐξεζήτησα τὸ πρόσωπόν σου, τὸ πρόσωπόν σου, Κύριε, ζητήσω. Μὴ ἀποστρέψῃς τὸ πρόσωπον ἀπ' ἐμοῦ. » Εἰ μὴ γὰρ τὴν ἁγίαν Τριάδα

C ἀνεκήρυττεν ὁ φράσας, περιττολογίας δίκαιος ἂν εἴη ἀπαιτηθῆναι δίκας. Οὐ μόνον δὲ ἐν τούτῳ· Χρῆναι γὰρ οἶμαι ἐπὶ σαφέστερον ὁρμῆσαι ῥητόν· ἀλλὰ καὶ ἐν τῷ. « Θῦσον τῷ Θεῷ θυσίαν αἰνέσεως, καὶ ἀπόδος τῷ Ὑψίστῳ τὰς εὐχάς σου, καὶ ἐπικάλεσαί με ἐν ἡμέρᾳ θλίψεως, καὶ ἐξελοῦμαί σε, καὶ δοξάσεις με. » Εἰ μὴ γὰρ ἡ Τριὰς ἐνταῦθα σαφῶς ἐκηρύττετο, ἐχρῆν ῥηθῆναι· Θῦσον τῷ Θεῷ θυσίαν αἰνέσεως, καὶ ἀπόδος αὐτῷ τὰς εὐχάς σου, καὶ ἐπικάλεσαι αὐτὸν ἐν ἡμέρᾳ θλίψεώς σου, καὶ ἐξελεῖταί σε, καὶ

D δοξάσεις αὐτόν. Ἀλλ' οὕτω μὲν οὐκ ἐῤῥέθη· εἴρηται δὲ ὡς εἴρηται. Σαφῶς γὰρ, καὶ διὰ τούτων, καὶ (40) δι' ἄλλων πολλῶν, ἅπερ (ἵνα μὴ μακρὸν ποιήσω τὸν λόγον, νῦν παραλείψω τοῖς ἀκούειν δυναμένοις) κηρύττει ἡ Παλαιὰ Διαθήκη, ὅτι οὐχ ἑνὸς προσώπου κηρύττει δεσποτείαν, ἀλλὰ τριῶν μὲν ὑποστάσεων, μιᾶς δὲ οὐσίας, ἵνα καὶ Ἰουδαίων στηλιτεύσῃ τὴν ὡς ἐφ' ἑνὸς προσώπου οὐχ ὑγιῆ ἔννοιαν· οἷς καὶ Σαβέλλιος ἠκολούθησεν, ἴσως ἐκ τῆς ἄγαν τοῦ Υἱοῦ πρὸς τὸν Πατέρα ἰσότητος, εἰς τὸ μίαν ὑπόστασιν δογματίσαι νευρωθείς· καὶ Ἑλλήνων ἐξοστρακίσαι τὴν πολυθείαν

[43] II Cor. I, 24. [44] Exod. III, 2 seqq. [45] Coloss. I, 15. [46] Gen. I, 26. [47] Gen. VII, 12. [48] Exod. XXXIII, 19. [49] Psal. CIX, 1. [50] Psal. XXIV, 5. [51] Isa. VI, 3. [52] Psal. XXVI, 8, 9. [53] Psal. XLIX, 14, 15.

VARIÆ LECTIONES ET NOTÆ.

(37) Pro ὑπετύπωσεν non male cod. Alt. subjicit ὑπετύπασεν. Possin.

(38) Pro ἀπαίδευτοι ambo codd. Vat. et Alt. scribunt εὐπαίδευτοι, parum commode. Id.

(39) Iidem ambo cod. τολμῶντας in quarto casu ponunt, ut cohæreat cum τοὺς γὰρ, unde periodus incipit. Placet et hoc quod versu post quarto supplent pronomen σου post nomen πρόσωπον. Id.

(40) Καὶ ut superfluum eradunt iidem codd. Id.

Digitized by Google

ὧν Ἄρειος καὶ Εὐνόμιος ἐάλωσαν εἶναι φοιτηταί, τὴν τῶν ὑποστάσεων διαφορὰν, εἰς τὴν οὐσίαν παραλόγως ἐλκύσαντες. Εἰ δέ τις φαίη· Διὰ τί γὰρ μὴ σοφῶς καὶ διαῤῥήδην ἐξ ἀρχῆς ταῦτα κεκήρυκται; φαίην ὅτι μάλιστα μὲν τοῖς συνετῶς ἀκούουσι, λαμπρά ἐστιν αὕτη καὶ ἀπόδειξις, καὶ διδασκαλία, ὡς καὶ τῷ σοφῷ ἔδοξε Φίλωνι. Εἰ δὲ καὶ συνεσκιασμένως ἐῤῥέθη, ἐκεῖνο λογίζεσθαι χρὴ, ὅτι Ἰουδαίοις τοῖς εἰς πολυθεΐαν ῥέπουσι νομοθετῶν οὐκ ἐδοκίμασε διαφορὰν προσώπων εἰσαγαγεῖν· ἵνα καὶ μὴ διάφορον φύσιν ἐν ταῖς ὑποστάσεσιν εἶναι δογματίσαντες, εἰς εἰδωλολατρίαν ἐκκυλισθῶσιν· ἀλλὰ τὸ τῆς μοναρχίας ἐξ ἀρχῆς μαθόντες μάθημα, κατὰ μικρὸν τὸ τῶν ὑποστάσεων ἀναδιδαχθῶσι δόγμα, τὸ πάλιν εἰς ἑνότητα φύσεως ἀνατρέχον· ὡς εἶναι τὰ μὲν ἑνικῶς λεγόμενα τῆς ταυτότητος τῆς φύσεως παραστατικά· τὰ δὲ ὑπερβαίνοντα τὸν ἑνικὸν ἀριθμὸν, τῆς τῶν ὑποστάσεων ἰδιότητος τῆς εἰς μίαν οὐσίαν συναγομένης. Τὸ μὲν γὰρ διαφόρους φύσεις ὑποτίθεσθαι, Ἑλληνικόν· τὸ δὲ ἓν πρόσωπον, ἤγουν μίαν ὑπόστασιν, Ἰουδαϊκόν. Τὸ δὲ πλατύνοντα εἰς τὴν ἁγίαν Τριάδα τὰς ὑποστάσεις εἰς μίαν οὐσίαν συνάγειν, ὀρθότατόν ἐστι καὶ ἀληθέστατον δόγμα.

A modum minime dictum est, sed ut superius commemoravi. Perspicue enim tum per hæc, tum per alia multa, **190** quæ (ne nimis longam orationem habeam, iis qui audire possunt, relinquo) Vetus Testamentum prædicat, non personæ principatum, sed trium personarum et unius essentiæ : quo nimirum hac ratione et Judæorum haud rectam ac sanam de una persona sententiam proscindat (quorum etiam vestigiis hæsit Sabellius ob ingentem Filii cum Patre æqualitatem, ad unam personam profitendam fortasse confirmatus) : et gentilium, quorum Arius et Eunomius discipuli esse deprehensi sunt (ut qui personarum discrimen ad essentiam stulte atque absurde traxerint), errorem, quo plures deos colunt, submoveat. Quod si quis quærat B quidnam causæ sit, quamobrem non aperte ac dilucidis verbis hæc principio prædicata fuerint, hoc illi responderim : primum quidem ac maxime, iis qui prudenter et acute audiunt, claram ac lucidam esse hanc demonstrationem atque doctrinam, quemadmodum etiam erudito viro Philoni visa est. Atque ut etiam demus eam obscure et adumbrate traditam fuisse, illud considerare operæ pretium fuerit, quod quoniam Judæis, qui ad plurium deorum cultum propendebant, leges præscribebat, personarum discrimen esse minime dixit : ut ne ipsi diversam quoque in personis naturam esse profitentes in idolorum cultum laberentur : verum de unius principatus atque imperii dogmate prius eruditi, personarum doctrinam paulatim addiscerent. Sic nempe, ut quæ unice ac singulariter dicerentur, eamdem naturam esse declararent, quæ autem singularem numerum excederent, personarum proprietatem, quæ in unam essentiam colligeretur, indicarent. Etenim varias ac dissidentes naturas docere, gentilitium est : unam autem personam seu hypostasim, Judaicum. At personas in sanctam Trinitatem dilatare, atque in unam essentiam colligere, rectissimum ac verissimum dogma est.

ΡΜΔ'. — ΕΥΤΟΝΙΩ ΔΙΑΚΟΝΩ.

Εἰς τὸ γεγραμμένον· « Ὁ μὲν ἑκατὸν, ὁ δὲ ἑξήκοντα, ὁ δὲ τριάκοντα. »

Τὸ, « Ὁ μὲν ἑκατὸν, ὁ δὲ ἑξήκοντα, ὁ δὲ τριάκοντα, » δύναται μὲν τὴν παρθενίαν καὶ τὴν ἐγκράτειαν, καὶ τὸν τίμιον γάμον μηνύειν. Δύναται δὲ καὶ τῆς ψυχῆς τὴν διδασκαλίαν, τοῦ δὲ σώματος τὴν διακονίαν, τῶν δὲ χρημάτων τὴν ἐπίδοσιν δηλοῦν. Μᾶλλον γάρ ἐστι τὸ σώζειν ψυχὴν, τοῦ διὰ σώματος τὴν διακονίαν πληροῦν, ὥσπερ καὶ αὐτῆς τῆς τῶν χρημάτων χορηγίας. Ἡ μὲν γὰρ μεθ' ἱδρώτων καὶ πόνων γίνεται· ἡ δὲ ἐκ τῶν ἔξωθεν προσόντων πληροῦται.

CXLIV. — EUTONIO DIACONO.

In illud : « Alius quidem centum, alius vero sexaginta [84], » etc.

Illud, « Alius centum, alius sexaginta, alius triginta, » virginitatem et continentiam et matrimonium significare potest. Potest etiam rursum animæ institutionem et corporis ministerium, et pecuniarum largitionem designare. Majus enim ac præstantius est animæ salutem afferre, quam per corpus ministerium præstare, aut etiam pecunias largiri. Illud enim cum laboribus ac sudoribus efficitur ; hoc autem ex rebus externis et adventitiis præstatur.

ΡΜΕ'. — ΠΑΛΛΑΔΙΩ ΔΙΑΚΟΝΩ.

Μὴ τῇ ἀρνήσει τὸ μὴ ἐσφάλθαι δοκεῖν θηρώμενος εἰς ἄλλο ἐκπέσῃς πλημμέλημα· οὐδεὶς γὰρ κακῷ τὸ κακὸν ἰᾶται· ὑπερβολὴ γὰρ ἀτοπίας τοῦτό γε, καὶ παρὰ τοῖς ἔξωθεν εἶναι κέκριται· ἀλλὰ τῇ μετανοίᾳ τὸ πταῖσμα ἰασάμενος, εἰς τὸ μηκέτι ἁμαρτάνειν κατάστησον σαυτόν.

CXLV. — PALLADIO DIACONO.

Ne dum per inficiationem id aucuparis, ut minime errasse videaris, in aliud peccatum incidas (nemo enim malo malum curat, incredibilis enim cujusdam absurditatis **191** hoc quidem etiam apud externos ac profanos esse censetur), verum per pœnitentiam allata peccato medicina in eum statum te adducas, ut non jam amplius pecces.

ΡΜϚ'. — ΚΑΣΙΩ ΣΧΟΛΑΣΤΙΚΩ.

Περὶ φιλαργυρίας, καὶ περὶ πλείστων ἀρχαίων ἀσκησάντων.

Αὐτὸς μὲν [ὡς] ἔοικας χρημάτων ἐρᾷν, καὶ διὰ τὸ

CXLVI. — CASIO SCHOLASTICO.

De avaritia, et de plurimis veteribus monachis.

Tu quidem pecuniarum atque opum desiderio

[84] Matth. XIII, 23.

Digitized by Google

teneri videris, et cum incurabili morbo labores, excusationemque hujus culpæ captes, Demosthenem (qui his verbis usus sit : Opibus autem ac pecuniis opus est, ac sine iis nihil eorum, quæ in rem sunt, fieri potest) adversus nos armis instruxisse, ut qui invicto oratori reluctari minime audeamus. Ego vero, quoniam tu in multis quidem tuis verbis merito paucus et exiguus es, in oratoris autem illius multus atque ingens (si quidem ille in gravi et amarulento, et commoto ac pugnaci dicendi genere, atque, tum quantum ad sensus, tum quantum ad dictiones attinet, plurimum ab aliis dissidenti, omnes a tergo reliquit) libens ex te scisciter, huncne ut disertum oratorem, quique artis præstantia vim veritati afferre queat, nobis objeceris, an potius ut idoneum testem cui fides habeatur? Si enim ut disertum oratorem quique affectus tui turpitudinem verbis exornare possit, ei certe (tametsi alioqui hominem veneremur) minime cedemus, verum antiquiorem eo veritatem habebimus. Si autem ut fide dignum testem, nos quidem nihil molesti atque acerbi dicimus (alii enim fortasse ipsum, ut orationis artificio verum obscurare conantem, ac propterea ne dignum quidem qui in testimonium proferatur, repudiarint) ; verum iis qui contraria ipsi et dixerint, et fecerint, in aciem contra eductis, lectorum judicio calculum permittemus. Usque adeo videlicet nos ab arrogantia et contumacia remotos esse confidimus. Quoniam igitur te, ut gentilem, ac gentilium dogmata profitentem ex tuis libris subigere oportet, adversus invictum oratorem opponenda nobis est verissima et sapientissima Isocratis admonitio, quæ est hujusmodi : Divitiæ autem vitii potius quam probitatis ac virtutis ministræ sunt : ut quæ licentiam quidem inertiæ afferant, juvenes autem ad voluptates cohortentur. Hic enim, meo quidem judicio præclarior illo est, non quidem eloquentia (nam ille hac superior est), verum si quis veritatem expendat. Hæc enim ubique apud cordatos viros eloquentiæ laudi antefertur. Quod si pares inter se nonnullis illi videantur, de hoc contentio minime excitanda est, verum illud ostendendum præclaros omnes viros Isocrati assentiri. Ac primum quidem vetus consuetudo proferenda est. Apud veteres enim hoc in more positum erat, ut post convivium lyram

A ἀνηκέστῳ νοσήματι κεκρατῆσθαι, ἀπολογίαν τε τοῦ τοιούτου πταίσματος θηράσθαι, τὸν Δημοσθένην εἰρηκότα· δεῖ δὲ χρημάτων, καὶ ἄνευ τούτων οὐδὲν ἔστι γενέσθαι τῶν δεόντων· ἐφωπλικέναι, ὡς ἀντειπεῖν οὐ τολμῶσιν ἀμάχῳ ῥήτορι. Ἐγὼ δὲ ἐπειδὴ σοῦ μὲν τοῖς πολλοῖς λόγος εἰκότως ὀλίγος, τοῦ δὲ ῥήτορος πολὺς, ἅτε ἐν τῷ πικρῷ τε καὶ δεινῷ, καὶ παθητικῷ, καὶ ἐναγωνίῳ, καὶ πολὺ τὸ ἐξηλλαγμένον ἔχοντι κατὰ τὰς νοήσεις, καὶ τὰς λέξεις ἅπαντας ὑπερβαλλομένου, ἡδέως ἄν σε ἐροίμην, πότερον ὡς δεινὸν ῥήτορα τοῦτον ἡμῖν ἐπετείχισας, καὶ δυνάμενον τέχνῃ τ' ἀληθὲς βιάσασθαι, ἢ ὡς ἀξιόπιστον μάρτυρα. Εἰ μὲν γὰρ ὡς δεινὸν ῥήτορα, καὶ δυνάμενον τὴν αἰσχρότητα τοῦ σοῦ πάθους κοσμῆσαι, οὐκ ἄν αὐτῷ παραχωρήσαιμεν, εἰ καὶ αἰδούμεθα τὸν B ἄνδρα, ἀλλὰ τὴν ἀλήθειαν αὐτοῦ προτιμήσαιμεν. Εἰ δὲ ὡς ἀξιόπιστον μάρτυρα, ἡμεῖς μὲν οὐδὲν δυσχερὲς ἐροῦμεν· ἄλλοι γὰρ ἴσως αὐτὸν παραγράψοιντο, ὡς τέχνῃ λόγων τἀληθὲς ἀμαυροῦν πειρώμενον, καὶ διὰ τοῦτο, οὐδὲ εἰς μαρτυρίαν προφέρεσθαι δίκαιον ὄντα· τοὺς δὲ τἀναντία αὐτῷ καὶ φράσαντας, καὶ πράξαντας ἀντιστρατεύσαντες, τῇ τῶν ἐντυγχανόντων κρίσει ἐπιτρέψωμεν τὴν ψῆφον, τοσοῦτον αὐθαδείας ἑαυτοὺς πόρρω εἶναι πειθόμεθα. Οὐκοῦν ἐπειδὴ Ἕλληνά τε ὄντα, καὶ τὰ Ἑλλήνων πρεσβεύοντα, χρὴ ἐκ τῶν σῶν σε χειρώσασθαι, ἀντιτακτέον τῷ ἀμάχῳ ῥήτορι, τὴν τοῦ Ἰσοκράτους ἀληθεστάτην καὶ σοφωτάτην παραίνεσιν, τὴν φάσκουσαν· πλοῦτος δὲ κακίας μᾶλλον ἢ καλοκαγαθίας ὑπηρέτης ἐστὶν, ἐξουσίαν μὲν τῇ ῥᾳθυμίᾳ παρασκευάζων, ἐπὶ δὲ τὰς C ἡδονὰς τοὺς νέους παρακαλῶν. Οὗτος γὰρ παρ' ἐμοὶ κριτῇ (41) ἐνδοξότερός ἐστιν ἐκείνου, οὐ δεινότητι· ἐν ταύτῃ γὰρ ἐκεῖνος κρατεῖ· ἀλλὰ τὴν ἀλήθειαν ἐξετάζοντι. Αὕτη γὰρ πανταχοῦ τῆς δεινότητος τοῖς ἐχέφροσι προτιμοτέρα. Εἰ δὲ ἐφάμιλλοί τισι εἶναι δόξοιεν, οὐ φιλονεικητέον, ἀλλὰ δεικτέον πάντας τοὺς ἐνδόξους ἀνθρώπους τῷ Ἰσοκράτει συνάδοντας καὶ πρῶτόν γε τὸ παλαιὸν ἔθος προενεκτέον. Ἔθος γὰρ ἦν παλαιὸν μετὰ τὴν συνεστίασιν, ἅπτεσθαι λύρας καὶ ᾄδειν. Ἀπόλοιο, ὦ πλοῦτε, καὶ μήτε ἐν γῇ φανείης, μήτε ἐν θαλάσσῃ. Εἰ δὲ καὶ ἑτέρου δεήσει μάρτυρος, μαρτυρήσει καὶ Ἀριστείδης ὁ δίκαιος (42), ὃς γε οὗτος καίτοι δυνάμενος χρηματίσασθαι, τὴν πενίαν ἠσπάσατο, ὡς τὴν Ἀθηναίων [μὲν] (43) πόλιν D αὐτὸν μὲν τελευτήσαντα θάψαι, τὰς δὲ θυγατέρας προοικίσασαν ἐκδοῦναι. Εἰ δὲ καὶ τρίτου, ψηφιεῖται

VARIÆ LECTIONES ET NOTÆ.

(41) Memorabile est hoc judicium et hæc comparatio duorum maximorum oratorum. Vide de iisdem et Ciceronis judicia in *Bruto* et alibi. Locus autem hic de divitiis exstat in Parænesi Isocratis ad Demonicum. Ritt.

sus, qui eam non audierit Dixit se piscium captatores, hominum piscatores effecturum : et ad hunc usque diem rete homines captat. Crucem et mortem prædixit, et hoc impletum est. Resurrectionem et ascensionem prædixit, et exstitit. Verum si oracula omnia in medium proferre cōner, ne si sermonem quidem finire velim, id queam. Cum igitur hæc omnia dixit, atque in finem adduxit; hic de clarissimo suo secundo adventu atque incorrupto judicio locutus fidem non nanciscetur? Et quis tandem eorum qui mente ac prudentia minime destituti sunt, hoc ferat? Nam si oracula illa in opus minime excesserunt, ne huic quidem fides arrogetur. Si autem cuncta eum, quem par erat, finem acceperunt, quid afferri potest quamobrem huic soli fides denegetur? Quin ne hoc quidem, quod non parvi, sed meo quidem judicio, maximi momenti est, prætermittam, nempe cum in his rebus, in quibus hominum opinio ab ipsius verbis dissidebat, fidem invenerit, quid est causæ cur in iis, in quibus cum eo multis probe convenit, ipsius verbis diffidatur? Nam quod divina natura ad res nostras descendisset, tantamque administrationem obiisset, tot miracula designasset, vitiosasque perpessiones per passionem curasset ac mortem per mortem exstinxisset, cum minime crederetur, per res ipsas demonstrationem accepit. Non enim, si simplex homo exstitisset, mortales omnes post mortem subegisset, nec infinitum deorum examen ex orbe depulisset, nec celebribus oraculis silentium indixisset, nec piscatores universæ terræ magistros creasset, nec feras et inhumanas nationes cicurasset. Quod autem cum judicium fore prædixerit (quæ res apud plurimos et clarissimos quosque doctorum virorum extra controversiam est, ac præterea æqua et consentanea, rationeque prædictis congruens, ac divinæ providentiæ conveniens, et de rebus hujus vitæ, quæ plerisque præpostere fieri videntur, eam purgans) fidem tamen hoc minime inveniat, haud sane scio. Nam cum ea, quibus non eveniet, quod fidem nanciscetur? Cum enim

A σαγήνη θηρᾷ. Προεῖπε τὸν σταυρὸν, καὶ τὸν θάνατον, καὶ πεπλήρωται. Εἶπε τὴν ἀνάστασιν, καὶ τὴν ἀνάληψιν, καὶ γέγονεν. Ἀλλ' εἰ πάντας τοὺς χρησμοὺς εἰς μέσον ἀγαγεῖν πειράσομαι, οὐδ' εἰ παύσασθαι βουλοίμην, δυναίμην. Ὁ τοίνυν ταῦτα πάντα εἰρηκὼς, καὶ εἰς τέλος ἀγαγὼν, οὗτος περὶ τῆς ἐπιφανεστάτης ἑαυτοῦ δευτέρας παρουσίας καὶ ἀδεκάστου κρίσεως εἰρηκὼς, οὐ πιστευθήσεται; Καὶ τίς ἀνέξεται τῶν νοῦ καὶ φρονήσεως οὐκ ἀμοιρούντων; Εἰ μὲν γὰρ ἐκεῖνοι οἱ χρησμοὶ εἰς ἔργον οὐκ ἐκβεβήκασι, μηδ' οὗτος πίστεως ἀξιούσθω. Εἰ δὲ πάντες τέλος εἰλήφασι τὸ προσῆκον, δι' ἣν αἰτίαν οὗτος μόνος ἀπιστεῖται, οὐδὲ τοῦτο δὲ παραλελείψεται, οὐ μικρὸν ὄν, ἀλλὰ παρ' ἐμοὶ κριτῇ μέγιστον ὅτι εἰ ἐν οἷς αὐτῷ συνηνέχθησαν, δι' ἣν αἰτίαν ἀπιστεῖται (63);

B Τὸ μὲν τὴν θείαν φύσιν εἰς τὰ καθ' ἡμᾶς καταβῆναι πράγματα, καὶ τοσαύτην οἰκονομίαν ἐργάσασθαι, καὶ σημεῖα τοιαῦτα καινουργῆσαι, καὶ τὰ πάθη διὰ πάθους ἰάσασθαι, καὶ τὸν θάνατον διὰ θανάτου θανατῶσαι, ἀπιστούμενον διὰ τῶν πραγμάτων τὴν ἀπόδειξιν ἔλαβεν. Οὐ γὰρ ἂν εἰ ἄνθρωπος ψιλὸς ἦν, μετὰ θάνατον πάντας ἂν ἐχειρώσατο· καὶ μυρίων Θεῶν ἑσμοὺς ἐκ τῆς οἰκουμένης ἐξήλασε, καὶ τὰ διαβόητα χρηστήρια ἐπεστόμισε, καὶ ἁλιεῖς παιδευτὰς τῆς ὑφ' ἡλίῳ ἐχειροτόνησε, καὶ τὰ ἀνήμερα καὶ ἀπάνθρωπα φῦλα ἐτιθάσσευσε. Τὸ δὲ κρίσιν ἔσεσθαι προειπὼν, ὁμολογούμενον πρᾶγμα παρὰ τοῖς πλείστοις καὶ ἐνδοξοτάτοις τῶν σοφῶν, καὶ δίκαιον ὂν καὶ ἀκόλουθον, καὶ λογικοῖς πρέπον, καὶ τῇ θείᾳ

C προνοίᾳ ἁρμόττον, καὶ περὶ τῶν τῇδε δοκούντων πολλοῖς ἀνωμάλως γίγνεσθαι πραγμάτων ἀπολογούμενον, οὐκ οἶδ' ὅπως ἀπιστεῖται. Εἰ γὰρ τὰ ἀπιστούμενα ἐξέβη, ποίᾳ μηχανῇ τὸ πιστευόμενον οὐκ ἐκβήσεται (64); Εἰ γὰρ ἐν οἷς διηνέχθη, οὐκ ἠλέγχθη, ἐν ᾧ συνηνέχθη, πίστεως ἄξιος ἂν εἴη. Εἰ γὰρ τὰ λογικὴν ὑπερβαίνοντα ζήτησιν γέγονε, τὸ κατὰ λόγον πολλῷ μᾶλλον γενήσεται. Τῶν γὰρ ὑπὲρ λόγον γεγενημένων, τὸ εὔλογον καὶ ἀκόλουθον συμβήσεται.

fides detrahitur evenerint, quonam tandem pacto in iis in quibus dissidebat, falsi minime convictus

VARIÆ LECTIONES ET NOTÆ.

(63) *Οὐδὲ τοῦτο δὲ* (malim *δὴ*) *παραλελείψεται..... δι' ἣν αἰτίαν ἀπιστεῖ.* Præclare dexterrimus interpres sententiam expressit ex loco quamvis manco in ed. Paris.; sed faciem ei prælucere potuerunt illa seqq., εἰ γὰρ ἐν οἷς διηνέχθη, οὐκ ἠλέγχθη ἐν ᾧ συνηνέχθη, πίστεως ἄξιος ἂν εἴη; Christus, inquit Isidorus, non est falsi convictus in ulla re, sed potius veracissimus in omnibus deprehensus, respondente nimirum eventu ipsius prædictionibus, quantumvis illæ res, quæ prædicerentur, ejusmodi essent, ut omnium hominum opiniones ab illis resilirent atque abhorrerent. Ergo multo magis fidem merentur illa quæ cum opinionibus hominum etiam a fide Christi alienorum et qui sunt extra Ecclesiam, consentientia prædixit : quale videlicet est dogma de futuro judicio, quod etiam sanioribus ethnicis extra Ecclesiam receptum ac persuasum fuit, et est rationi humanæ consentaneum. Proponam autem locum integriorem ope B C., οὐ μικρὸν, ἀλλὰ παρ' ἐμοὶ κριτῇ καὶ μέγιστον ὄν, ὅτι, εἰ ἐνοῖς ἠπίστησαν οἱ τοῦ κόσμου σοφοὶ, τέλος αἴσιον ἐπήγαγεν. Sequitur apodosis quæ etiam est in edit. Paris., ἐν οἷς αὐτῷ συνηνέχθησαν, δι' ἣν αἰτίαν ἀπιστεῖται. Sententia jam intelligitur ex iis quæ dixi. Tantum pro illis in Bill. versione, *cum in his rebus in quibus hominum opinio ab ipsius verbis dissidebat, fidem invenerit*, reponi velim quæ sint lectioni B C propiora, nempe, *si illis rebus quibus sapientes hujus mundi fidem non habebant, tamen finem prædictioni consentaneum ac respondentem adduxit* (*Christus*), *quam ob rem in illis ei non creditur, in quibus sapientes mundi cum eo consenserunt?* Rittr.

(64) *Ποίᾳ μηχανῇ τὸ πιστευόμενον οὐκ ἐκβήσεται.* Tolerabilis lectio : elegantior tamen, si quid judico, est altera ista B C, ποία μηχανὴ τὸ πιστευόμενον μὴ ἐκβήσεσθαι. Hoc dicit : Si id quod erat omnibus incredibile, evenit tamen, quid obstat quominus etiam illud eveniat, quod a plerisque creditur? Rittr.

Digitized by Google

sit in ea re, in qua concors est, dignus profecto est, cui fides habeatur. Nam cum ea, quæ rationalem omnem investigationem superabant, facta sint, quod rationi consentaneum est multo magis fiet. Iis enim effectis quæ rationem excedunt, id quod cum ratione conjunctum atque consentaneum est, profecto etiam continget.

PNH'. — ΤΟΙΣ ΑΥΤΟΙΣ.

Τῆς ἐπιστολῆς Ἰακώβου, εἰς τὸ εἰρημένον, « Ἡ γλῶσσα πῦρ, ὁ κόσμος τῆς ἀδικίας. »

Οὐ συνᾴδει, ὦ βέλτιστοι, ἀλλὰ καὶ κομιδῇ ἀπᾴδει τῷ ὑφ' ὑμῶν νενομημένῳ τὸ θεῖον γραφεῖον. Ὑμεῖς γὰρ ἔφατε ὑπὸ τῆς εἱμαρμένης τὴν γλῶτταν κινεῖσθαι καὶ συνταράττεσθαι. Τὸ δ' ἱερὸν λόγιον, τοὐναντίον φάσκει, ὑπὸ τῆς γλώττης συγχεῖσθαι τὸν χρόνον τῆς ζωῆς ἡμῶν. Τροχοειδὴς γὰρ ὁ χρόνος εἰς ἑαυτὸν ἀνακυκλούμενος. Οὐδὲν δὲ οἷον αὐτῆς ἀκοῦσαι τῆς Γραφῆς· τί οὖν φησιν; « Ἡ γλῶσσα καθίσταται ἐν τοῖς μέλεσιν ἡμῶν φλογίζουσα ὅλον τὸ σῶμα, καὶ σπιλοῦσα τὸν τροχὸν τῆς ζωῆς ἡμῶν. » Οὐ γὰρ εἶπεν, ὅτι Ὁ τροχὸς σπιλοῖ τὴν γλῶτταν, ἀλλ' Ἡ γλῶττα τὸν τροχὸν, τὸν τροχοειδῆ δηλονότι χρόνον. Τὴν γὰρ προαίρεσιν αἰτιᾶται, καὶ τὴν προπέτειαν ἀναστέλλει. Ὑφ' οἷς ὁ βίος ἡμῶν ἐκτραχύνεται, καὶ μυρίαις ἀνωμαλίαις ὑποπίπτει. Διὸ καὶ ἐπήγαγε, « Καὶ φλογιζομένη ὑπὸ τῆς γεέννης. » Οὐκ ἂν τοῦτο προσθεῖσα, εἴγε ἄκουσα ἡ γλῶττα ἐκινεῖτο. Ὅτι δὲ τροχὸν τὸν χρόνον ἐκάλεσε, διὰ τὸ τροχοειδὲς καὶ κυκλικὸν σχῆμα· εἰς ἑαυτὸν γὰρ ἀνελίττεται· ἐγγυᾶται ὁ Μελῳδὸς, στέφανον αὐτὸν καλέσας, καὶ εἰπὼν πρὸς τὸν Θεόν· « Εὐλογήσεις τὸν στέφανον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου. » Κἀνταῦθα γὰρ ἀπὸ τοῦ κυκλικοῦ σχήματος, στέφανος εἰκότως ὁ χρόνος ὠνόμασται εἰ τοίνυν βούλεσθε γέλωτα μὴ ὀφλισκάνειν, μὴ τὸ ἐναντίον τοῖς οἰκείοις βουλήμασι λόγιον ὡς συνᾴδον προφέρετε. Ἀλλὰ μυρίοις χαλινοῖς τὴν γλῶσσαν ἄγχετε.

PNΘ'. — ΩΡΙΩΝΙ ΜΟΝΑΖΟΝΤΙ.

Ἢ μᾶλλον, ἢ οὐχ ἧττον τῶν σῶν φίλων ἥσθημεν, ὅτι ἡ σὴ σύνεσις τοῖς βιωτικοῖς χαίρειν φράσασα, εἰς τὸν τῆς θείας φιλοσοφίας ἀπεδύσατο ἀγῶνα. Καὶ πιστεύομεν, ὡς τῆς θείας συμπραττούσης ῥοπῆς, καὶ ἀναῤῥήσεων, καὶ στεφάνων τεύξεται.

PΞ'. — ΝΕΙΛΩ.

Πολλάκις ἐθαύμασα τῶν τὴν τοῦ Θεοῦ μακροθυμίαν ἐφόδιον ποιουμένων κακίας. Δέον γὰρ τοσαύτης χρηστότητος πολιτευομένης, τὴν κακίαν μὴ αὔξεσθαι, ἀλλ' ἐλέου καὶ συγγνώμης τυχόντας, τὴν εὐεργεσίαν αἰδουμένους, κακίας μὲν ἀπέχεσθαι· ἀρετῆς δ' ἀντέχεσθαι· οἱ δὲ τολμῶσιν ἀτόλμητα. Ἴστωσαν οὖν ὡς οὐ διαφεύζονται τὴν δίκην τὸ γὰρ θεῖον λόγιον βοᾷ· « Λύτὸς [γὰρ] ἀποδώσει (65) ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. »

CLVIII. — IISDEM.

Ex epistola Jacobi, in illud : « Lingua ignis, universitas iniquitatis. »

Non consonat, viri optimi, sed potius vehementer **202** dissonat ab eo quod sentitis divinus calamus. Vos enim linguam a fato moveri ac perturbari dicitis. Divinum autem oraculum contra vitæ nostræ tempus a lingua conturbari ait. Tempus enim rotæ speciem imitatur, utpote quod in sese torqueatur et convolvatur. Nihil autem commodius fuerit, quam Scripturam ipsam audire. Quid igitur ait ? « Lingua constituitur in membris nostris, quæ inflammat totum corpus, et maculat rotam vitæ nostræ [56]. » Non dixit : Rota maculat linguam nostram, sed, Lingua rotam, hoc est, tempus ad rotæ speciem accedens. Etenim voluntatem accusat, et temeritatem reprimit, a quibus vita nostra exacerbatur, atque innumeris rerum varietatibus et inconstantiis succumbit. Unde etiam subjunxit : « Et inflammata a gehenna [57]. » Quod profecto non adjunxisset, si invita lingua moveretur. Quod autem tempus rotam appellarit, propter orbicularem ac rotundam figuram (in seipsum enim volvitur), confirmat Psalmista, qui coronam ipsum nominavit, dixitque ad Deum : « Benedices coronæ anni benignitatis tuæ [58]. » Nam hic quoque ab orbiculari figura tempus corona merito nuncupatum est. Quocirca, nisi risum excitare vultis, ne divinum oraculum, quod cum vestris cupiditatibus pugnat, tanquam concors et consonans proferatis ; verum id agite, ut linguam sexcentis frenis comprimatis.

CLIX. — ORIONI MONACHO.

Aut majorem, aut certe non minorem, quam amici tui, voluptatem hinc cepimus, quod prudentia tua rebus hujusce vitæ valere jussis, ad divinæ philosophiæ certamen se accinxit. Atque confidimus, te, divina ope favente, præmia quoque atque coronas consecuturum.

CLX. — NILO.

Sæpenumero eos miratus sum, qui Dei lenitatem in vitii occasionem vertunt. Nam pro eo quod oportebat eos, tanta benignitate vigente, vitium minime adaugere, verum postea quam misericordiam et veniam consecuti essent, hujusmodi beneficio commoveri, atque a vitio quidem abstinere, virtutem autem amplexari : ipsi contra nefaria quoque scelera, perpetrare minime dubitant. Sciant igitur illi, se pœnam haudquaquam vitaturos. Clamat enim divinum oraculum : « Ipse reddet unicuique juxta opera sua [59]. »

[56] Jac. III, 6. [57] Ibid. [58] Psal. LXIV, 12. [59] Rom. II, 6.

VARIÆ LECTIONES ET NOTÆ.

(65) Pro αὐτὸς γὰρ ἀποδώσει cod. Sfort. legit ὅτι σὺ ἀποδώσεις. Possin.

Digitized by Google

CLXI. — APHRASIO PRESBYTERO.

Etsi nobis adversus carnem et sanguinem colluctatio non est, at ab his tamen qui adversus carnem et sanguinem luctantur, palæstræ leges edocendæ sunt. Quemadmodum igitur illi non modo exutis vestibus (certandi enim principium est vestes deponere), verum etiam detonsa **203** coma, corporeque oleo delibuto, ne crinibus prehendantur, ac per oleum lubricas adversarii manus reddant, ita demum in certamen progrediuntur : ad eumdem nos quoque modum, si coronam referre cupimus, exuto veteri homine una cum ipsius actionibus, præcisisque atque in elcemosynas insumptis rebus externis, omni cura nudi ac vestitu carentes, ad virtutis stadium ascendamus, ut Olympicum de anima certamen obeamus. Quod si nihil horum facientes, certare nobis videamur, atque hoc nomine gloriemur, primum quidem hic quoque a prudentibus viris ridebimur : postea illic etiam certo comperiemus, nos a nobisipsis delusos ac circumscriptos fuisse : cum videlicet, non modo coronæ expertes erimus, verum etiam ad luendas pœnas abducemur.

ΡΞΑ'. — ΑΦΡΑΣΙΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Εἰ καὶ οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα· ἀλλ' οὖν γε ἀπὸ τῶν παλαιόντων πρὸς αἷμα καὶ σάρκα, διδακτέον τοὺς νόμους τοὺς ἀθλητικούς. Ὥσπερ οὖν ἐκεῖνοι οὐ μόνον ἀποδυσάμενοι (ἀρχὴ γὰρ τοῦ ἀγωνίσασθαι τὸ ἀποδύσασθαι· ἀλλὰ καὶ ἀποκειράμενοι τὴν κόμην, καὶ ἀλειψάμενοι ἐλαίῳ, ἵνα μήτε λῃφθεῖεν ταῖς θριξίν), ἀλλὰ καὶ ὀλισθῆσαι παρασκευάσωσι διὰ τοῦ ἐλαίου τοῦ ἀντιπάλου τὰς χεῖρας· οὕτως ἐπὶ τὸν ἀγῶνα χωροῦσιν, οὕτως καὶ ἡμεῖς, εἴγε στεφανῖται γενέσθαι ποθοῦμεν, ἀποδυσάμενοι τὸν παλαιὸν ἄνθρωπον σὺν ταῖς πράξεσιν αὐτοῦ, καὶ τὸ ἔξωθεν ἀποκειράμενοι, καὶ εἰς ἐλεημοσύνας καταναλώσαντες, γυμνοὶ πάσης φροντίδος, καὶ ἀχίτωνες εἰς τὸ στάδιον τῆς ἀρετῆς ἀναβῶμεν, τὰ περὶ ψυχῆς Ὀλύμπια ἀγωνισάμενοι. Εἰ δὲ μηδὲν τούτων ὁρῶντες, νομίζομεν (66) καὶ ἀγωνίζεσθαι, καὶ ἐναβρυνόμεθα ἐπὶ τούτῳ, πρῶτον μὲν κανταῦθα παρὰ τῶν ἐγκεφρόνων γελασθησόμεθα. Ἔπειτα δὲ κἀκεῖσε ἀκριβῶς εἰσόμεθα, ὅτι ἑαυτοὺς παρελογισάμεθα, ὅταν μὴ μόνον ἀστεφάνωτοι, ἀλλὰ καὶ δίκας ὑφέξοντες ἀπαγώμεθα.

CLXII. — ATHANASIO PRESBYTERO.

Quoniam mirum tibi videri scripsisti, qui fiat ut cum grave atque atrox facinus sit, Zosimum, qui presbyteri speciem gerit, sacris operari, ei tamen, a quo scelerate ordinatus est, haudquaquam grave esse videatur, hoc responderim. Tu quidem pro tuo in improbos odio atque in probos amore juste stomacharis (neque enim quisquam inficias iverit), ego vero illud quoque te monere justum esse censui, ut linguam tuam a maledicentia puram ac liberam conserves. Etsi enim ille innumeris, ut scripsisti, mortis generibus dignus est, ut qui ne honore quidem melior factus sit, verum sacerdotii dignitate tanquam armis quibusdam ad vitium abutatur : unde etiam, nisi resipiscat gravissimas ab eo incorruptus judex pœnas expetet : neque enim injustus est Deus : at minime tamen dignum fuerit, te os tuum impuris ipsius flagitiis exponendis et insectandis conspurcare.

ΡΞΒ'. — ΑΘΑΝΑΣΙΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Ἐπειδὴ γέγραφας θαυμάζειν, ὅπως τὸ ἱερᾶσθαι Ζώσιμον τὸν δοκοῦντα εἶναι πρεσβύτερον δεινὸν ὄν, οὐ δεινὸν εἶναι δοκεῖ τῷ παρανόμως αὐτὸν (67) χειροτονήσαντι, φήσαιμι, ὅτι αὐτὸς μὲν ἀπὸ μισοπονήρου, καὶ φιλαγάθου τρόπου δικαίως ἀγαναχτεῖς. Οὐδεὶς γὰρ πρὸς τοῦτ' ἀντερεῖ. Ἐγὼ δέ σοι κἀκεῖνο παραινέσαι δίκαιον ᾠήθην, καθαρὰν κακηγορίας τὴν γλῶτταν διατηρῆσαι. Εἰ γὰρ κἀκεῖνος μυρίων, ὡς γέγραφας, ἔστιν ἄξιος θανάτων, μηδὲ τῇ τιμῇ βελτιωθεὶς, ἀλλ' ὅπλῳ κακίας τῇ ἱερωσύνῃ χρησάμενος, καὶ τολμῶν τὰ ἀτόλμητα· διὸ καὶ παρὰ τοῦ ἀδεκάστου κριτοῦ, εἰ μὴ γνωσιμαχήσεις, σφοδροτάτας ἀπαιτηθήσεται δίκας· οὐ γὰρ ἄδικος ὁ Θεός· ἀλλ' οὖν τὸ σαυτοῦ στόμα μιαίνειν οὐκ εἴης δίκαιος, τὰς μιαρὰς ἐκείνου πράξεις ἐκκωμῳδῶν

CLXIII. — JOANNI SCHOLASTICO.

De philosophia.

Si te ad pugnam adversarius tuus exstimulat, satius quidem fuerit nihil omnino respondere. Si autem hoc te, ut qui summe philosophari minime institueris, facere posse negas, reprehensionem saltem philosophia tempera, his oratoris verbis ad eum utens : Metuo, ne ea, quæ decent, de te dicens, in eos sermones, qui me minime decent, incidam. Sic enim et mediocriter philosophaberis, et illum uleisceris.

ΡΞΓ'. — ΙΩΑΝΝΗ ΣΧΟΛΑΣΤΙΚΩ.

Περὶ φιλοσοφίας.

Εἰ ἐρεθίζει σε πρὸς μάχην ὁ σὸς διάδικος, ἄμεινον μὲν μὴ ἀποκρίνασθαι. Εἰ δὲ τοῦτ', ὡς φῂς, ἀδύνατόν σοι καθέστηκεν, ἄκρως φιλοσοφῆσαι μὴ προῃρημένῳ, κέρασον τῇ φιλοσοφίᾳ τὸν ἔλεγχον, λέγων τὰ τοῦ ῥήτορος πρὸς αὐτὸν, φοβοῦμαι μὴ τὰ προσήκοντα περὶ σοῦ λέγων, εἰς οὐ προσήκοντας ἐμαυτῷ ἐμπέσω λόγους. Οὕτω γὰρ καὶ φιλοσοφήσεις μετρίως, κἀκεῖνον [εἰς] δίκας εἰσπράξῃ.

VARIÆ LECTIONES ET NOTÆ.

(66) Pro νομίζομεν rescribe νομίζοιμεν ex codd. Vat. 649 et Alt. Possin.

(67) Pro αὐτὸν legunt, αὐτῷ codd. Vat. 649 et Alt. et vers. post tertio, ἀντερεῖν pro ἀντερεῖ. Versu item antepen. post οὖν recte addunt γε. Ib.

Digitized by Google

ΡΞΔ'. — ΗΡΑΚΛΕΙΔΗ ΠΡΕΣΒΥΤΕΡΩ.

Ὅτι ἐκ τῆς ἡμετέρας ῥαθυμίας ὁ διάβολος ἔχει τὰς ἀφορμὰς τῆς ἰσχύος.

Αὐτὸς μὲν ἔφης θαυμάζειν λίαν, ὅπως ὁ διάβολος τοὺς πλείστους τῶν ἀνθρώπων, καὶ μετὰ τὸ ἐκνευρισθῆναι, χειροῦται. Ἐγὼ δὲ τοῦτ' οὐ θαυμάζω, εἰ ἀγρυπνῶν ὁ μιαρὸς ἐκεῖνος, καὶ μηδένα καιρὸν, μηδὲ ὥραν παραλείπων, ἡμῶν ῥᾳθυμούντων καὶ κοιμωμένων περιγίνεται. Συναπολέσαι μὲν γὰρ ἑαυτῷ τοὺς ἡττηθέντας δυνήσεται, βασιλεῦσαι δὲ τὴν πρώτην βασιλείαν τὴν ὑπὸ τῆς θείας δυνάμεως ἀνατραπεῖσαν, οὐκ ἂν δυνηθείη. Τοὐναντίον γὰρ ἂν ἦν θαυμαστὸν, εἰ μηδὲν ποιοῦντες ἡμεῖς, ὧν τοῖς τροπαιούχοις προσήκει, τοῦ πάντα καθ' ἡμῶν κινοῦντος περιῆμεν. Τὸ γὰρ τοὺς πολλοὺς τῶν ἀνθρώπων συστρατεύεσθαι τῷ ἐχθρῷ κατὰ τῶν ἀδελφῶν, καὶ διὰ τοῦτο περιφανῶς τὴν ἧτταν συμβαίνειν, καίτοι ἀληθὲς ὄν, παρήσω, μὴ λίαν πικρὸν ὀφθείη τοῖς τοῦτο δρῶσιν. Ὅταν οὖν καὶ ἐξ οἰκείας ῥαθυμίας πίπτωμεν, καὶ ἐκ τοῦ ἐκείνον πάντα τὰ ὑπὲρ ἡμῶν ὀφείλοντα εἶναι καθ' ἡμῶν μηχανᾶσθαι, ὑποσκελιζώμεθα, καὶ ἐκ τοῦ τοὺς ἀδελφοὺς τοὺς ἡμετέρους ἐκείνῳ μὲν συστρατεύεσθαι, καθ' ἡμῶν δὲ ὁπλίζεσθαι, σκανδαλιζώμεθα, δι' ἣν αἰτίαν θαυμάζεις εἰ ἡττώμεθα; Εἰ δὲ φαίης, Τί οὖν ποιητέον; ἀποκρινοῦμαι, ὅτι Ἐπειδὴ, εἰ καὶ πέπτωκεν ὁ διάβολος, ἀλλ' ὅμως ἀπερισκέπτως θρασύνεται, ἀγρυπνητέον, καὶ πονητέον, καὶ κινδυνευτέον, καὶ τὴν θείαν συμμαχίαν κλητέον, καὶ πάντα πρακτέον, ὅπως καὶ τὸν στρατηγὸν αὐτὸν, καὶ τοὺς συστρατευομένους νικήσωμεν. Εἰ δὲ μηδὲν τούτων βουλόμενοι πρᾶξαι, καὶ τὰ ὑπὸ τοῦ Χριστοῦ κατορθωθέντα προδιδόμεν (68), ἑαυτοὺς αἰτιᾶσθαι ὀφείλομεν, καὶ οὐ τὴν ἐκείνου ῥώμην, ἣν ὁ Σωτὴρ μὲν ἔσβεσεν, ἡ δ' ἡμετέρα ῥαθυμία τύξησεν.

CLXIV. — HERACLIDI PRESBYTERO.

Quod ex nostra socordia diabolus vires sumit.

Illud tibi permirum videri dixisti, qui fiat ut diabolus, viribus ejus fractis et debilitatis, quamplurimos homines in potestatem suam redigat. Ego vero minime illud miror, **204** quod scelestus ille excubans, ac ne tempus ullum nec horam prætermittens, nos desidia torpentes et dormientes superet. Etenim eos quidem quos superarit in exitium secum trahere poterit : at primum illud regnum, quod a divina potentia eversum est, obtinere nullo modo queat. Imo contra illud mirandum esset, si nos, nihil eorum, quæ victores decent, facientes, eum, qui nihil non adversus nos movet ac machinatur, vinceremus. Nam quod permulti homines una cum hoste adversus fratres in aciem procedant, ac propterea clades oriatur, etsi verum sit, præteribo : ne hoc iis, qui id perpetrant, nimis grave atque acerbum videatur. Quapropter, cum et ex nostra ignavia concidamus, et per id quod ille hoc molitur, ut ea omnia quæ pro nobis esse debebant, nobis adversentur, dejiciamur, ac denique per id quod fratres nostri in illius castris versentur, atque adversum nos arma capiant, offensionem patiamur, ecquid est cur mireris nos vinci ac profligari? Quod si quæres, quidnam igitur faciendum sit? hoc respondebo : Quoniam diabolus, etsi cecidit, tamen stolide se jactat audaciaque effertur, excubandum est, laborandum, periclitandum, divinum auxilium accersendum et implorandum, ac denique quidvis agendum, ut et ducem ipsum, et eos qui cum ipso militant, superemus. Nam alioqui, si nihil horum efficere in animum inducentes, ea quoque quæ præclare a Christo gesta sunt, prodimus, nos ipsos, non diaboli robur (quod Servator quidem exstinxit, nostra autem socordia auxit) accusare debemus.

ΡΞΕ'. — ΕΥΔΑΙΜΩΝΙ ΑΝΑΓΝΩΣΤΗ.

Σκιὰ, καὶ ὄναρ (69), καὶ καπνὸς, ὦ βέλτιστε, καὶ τί γὰρ οὐχὶ τῶν θᾶττον ἀφιπταμένων, ὁ τῶν ἀνθρώπων εἰκότως κέκληται βίος. Διὸ οὐδὲ χρὴ αὐτῷ προστετηκέναι, οὐδὲ τρυφὴν ἡγεῖσθαι τὴν τρυφήν. Τὸ γὰρ πλέον ἐν ἀναισθησίᾳ ἔχει. Ἡ μὲν γὰρ πρώτη ἡλικία πολλῆς γέμει τῆς ἀνοίας, ἡ δὲ πρὸς τὸ γῆρας ὁδεύουσα πᾶσαν τὴν ἐν ἡμῖν αἴσθησιν καταμαραίνει. Καὶ ὀλίγον ἐστὶ τὸ μέσον τὸ δυνάμενον μετ' αἰσθήσεως τρυφῆς ἀπολαῦσαι. Μᾶλλον δὲ οὐδ' ἐκεῖνο εἰλικρινῶς αὐτῆς μετέχει· μυρίων φροντίδων, καὶ πόνων, καὶ λυπῶν λυμαινομένων αὐτῷ. Εἰ δὲ καὶ εἰλικρινῶς ἀπέλαυεν, ὅπερ ἀδύνατος σύγκρισις (f. σύγκρασις) εὐσηπτος, ἡ δὲ ψυχὴ ῥεμβὸς, ἡ δὲ τύχη δυστέκμαρτον, ἡ δὲ φήμη ἄκριτον· συνελόντι δὲ εἰπεῖν, πάντα τὰ μὲν τοῦ σώματος ποταμὸς, τὰ δὲ τῆς ψυχῆς ὄνειρος καὶ τῦφος, ἡ δὲ βίος πόλεμος καὶ ξένου ἐπιδημία, ἡ ὑστεροφημία δὲ λήθη. Ritt.

CLXV. — EUDÆMONI LECTORI.

Umbra, et insomnium, et fumus, optime vir, et quidvis eorum, quæ quam ocissime avolant, hominum vita merito appellata est. Ac propterea ne ipsi quidem addictum animum habere oportet, nec delicias, delicias existimare. Majorem quippe partem ita habet, ut earum sensu careat. Etenim prima ætas ingenti amentia referta est. Ea item, quæ ad senectutem tendit, omnem eum, qui nobis inest, sensum debilitat et exstinguit. Atque exiguum quiddam interjectum est, quod deliciis et voluptate cum sensu frui queat. Imo ne pars illa quidem pure ac liquide ipsius particeps est : quippe quam infinitæ curæ ac

VARIÆ LECTIONES ET NOTÆ.

(68) Coisl. iidem ambo προδίδομεν malunt quam προδιδῶμεν. Possin.

(69) *Σκιὰ καὶ ὄναρ.* Notum est illud Pindari, *Σκιᾶς ὄναρ ἄνθρωποι· τί δέ τις, τί δὲ οὔτις;* Leculenter etiam imper. Marcus *De vita sua* lib. II : Τοῦ ἀνθρωπίνου βίου ὁ μὲν χρόνος στιγμὴ, ἡ δὲ οὐσία ῥέουσα, ἡ δὲ αἴσθησις ἀμυδρὰ, ἡ δὲ ὅλου τοῦ σώμα-

Digitized by Google

labores et molestiæ labefactent. Atque etiamsi et pure ac sincere (quod fieri non potest) frueretur, tamen id quod medium est extrema superare minime deberet, verum ab utroque superari. Cum autem media vitæ pars innumeris tempestatibus, et curis, et periculis, et insidiis, et laboribus, aliisque, quæ nunc prætermitto, perturbetur, ubinam tandem delicias et voluptates mihi demonstraturus sis, velim exponas.

A τον, οὐ τὸ μέσον· κύριον ὤφειλεν εἶναι τῶν ἄκρων, ἀλλὰ τὸ συναμφότερον κρατεῖν τοῦ μέσου. Ὅταν δὲ [καὶ] τὸ μέσον μυρίοις χειμῶσι, καὶ φροντίσι, καὶ κινδύνοις, καὶ ἐπιβουλαῖς, καὶ πόνοις, καὶ τοῖς ἄλλοις ἃ νυνὶ παραλείπω, ἐκταράττηται, ποῖ τὴν τρυφήν μοι δείξεις; εἰπέ μοι.

205 CLXVI. — AMMONIO SCHOLASTICO.

Cur Christus cum ad crucem iret plangentes mulieres objurgavit.

Videris (o quonam te nomine digne appellem!) ne communes quidem notiones sequi. Nam quod per litteras quæsivisti, quamnam ob causam Christus mulieres eas, quæ ipsius vicem dolebant, non modo non collaudarit, sed etiam insectatus sit, maximo argumento est communes notiones apud te minime conservari. Cui non invito contingit passio, ei præstita commiseratio contumeliæ instar habet; nam qui inviti patiuntur, illorum demum vicem fas est deplorare; qui autem sponte ac voluntario animo pugnant, beati prædicantur. Non enim ea quæ fiunt, verum eorum qui perpetiuntur, animi perpensi et explorati aut hoc aut illud pertrahunt. Nam quod et prædones et martyres iisdem pœnis afficiantur, nec ab uno eodemque principio manat, nec ad unum eumdemque finem tendit.

ΡΞϚ'. — ΑΜΜΩΝΙΩ ΣΧΟΛΑΣΤΙΚΩ.

Διὰ τί ἐπὶ τὸν σταυρὸν ἐρχόμενος ὁ Χριστὸς ταῖς κοπτομέναις γυναιξὶν ἐπετίμησεν.

Κινδυνεύεις (ὦ τί σε καλέσας ἀξίως προσείπω!) ταῖς κοιναῖς μὴ ἕπεσθαι ἐννοίαις. Τὸ γὰρ γεγραφέναι δι' ἣν αἰτίαν τὰς συμπασχούσας γυναῖκας οὐκ ἀπεδέξατο ὁ Χριστὸς, ἀλλὰ καὶ ἐπέσκηψε, τεκμήριόν ἐστι μέγιστον τοῦ μὴ τὰς κοινὰς ἐννοίας σώζεσθαι παρὰ σοί. Ὕβρις γὰρ ἐκείνῳ τὸ συμπαθὲς, ᾧ μὴ τὸ πάθος ἀδούλητον τυγχάνει· οἱ μὲν γὰρ ἄκοντες πάσχοντες εἰκότως (70) καταθρηνοῦνται· οἱ δ' ἑκουσίως ἀθλοῦντες μακαρίζονται. Οὐ γὰρ τὰ γινόμενα, ἀλλ' αἱ τῶν πασχόντων γνῶμαι βασανιζόμεναι, ἢ τοῦτο, ἢ ἐκεῖνο ἐφέλκονται. Τὸ γὰρ καὶ λῃστὰς, καὶ μάρτυρας τὰ αὐτὰ πάσχειν (71), οὔτ' ἀπὸ μιᾶς ὁρμᾶται ἀρχῆς, οὔτε εἰς ἓν βλέπει τέλος.

B

CLXVII. — THEOPHILO.

Maximam utilitatem offerre narrationes de virtute.

Quod optimæ narrationes insita in nobis ad virtutem subsidia excitare soleant, minime te fugit. Cum igitur hoc ita se habeat, demus operam, ne inhonesti atque absurdi quidquam aut dicamus aut faciamus.

ΡΞΖ'. — ΘΕΟΦΙΛΩ.

Ὅτι μεγίστην ὠφέλειαν ἐμποιοῦσι τὰ περὶ ἀρετῆς διηγήματα καὶ τὸ συνεχῶς μεμνῆσθαι τῶν ἐν ταύτῃ λαμψάντων.

Ὅτι τὰ ἄριστα διηγήματα τὰς ἐν ἡμῖν ἐμφύτους ἀφορμὰς τὰς εἰς ἀρετὴν φημι βλεπούσας, διεγείρειν εἴωθεν, οἶσθα. Εἰ τοίνυν ταῦθ' οὕτως ἔχει, [μηδὲν] ἀπηχὲς μήτε λέγωμεν, μήτε πράττωμεν.

C

CLXVIII. — HIERACI MEDICO.

De paupertate.

Quandoquidem is, qui per comœdiam tragicum supercilium populo injecit, ipsiusque molestiam atque invidiam astrinxit, optimus tibi monitor esse visus est, ut qui ea scripserit, quæ cum ingenti gravitate auditorum animos coercere solent, audi eum dicentem: Nequaquam turpem et probrosam rem existimans paupertatem, quæ philosophiæ atque omnis artis ac scientiæ parens est.

ΡΞΗ'. — ΙΕΡΑΚΙ ΙΑΤΡΩ.

Περὶ πενίας.

Ἐπειδὴ ὁ τῷ δήμῳ διὰ τῆς κωμῳδίας ὀφρὺν ἐμβαλὼν τραγικὴν, καὶ ἐπιστύψας αὐτῆς τὸ φορτικὸν, ἄριστος εἶναί σοι παραινέτης ἔδοξεν, ἅτε γράψας ἃ μετὰ σεμνότητος πολλῆς ἐπιστύφειν τοὺς ἀκούοντας πέφυκεν, ἄκουε αὐτοῦ λέγοντος· Οὐ τὸ πένεσθαι ἐπονείδιστον πρᾶγμα ἡγούμενος (72), τὴν τῆς φιλοσοφίας καὶ πάσης ἐπιστήμης τε καὶ τέχνης μητέρα (73).

D

CLXIX. — ISIDORO DIACONO.

Lædendo vincere, Satanicarum legum est. Ac

ΡΞΘ'. — ΙΣΙΔΩΡΩ ΔΙΑΚΟΝΩ.

Τὸ νικᾷν ἀπὸ τοῦ κακῶς ποιεῖν, σατανικῶν ἐστι

VARIÆ LECTIONES ET NOTÆ.

(70) *Ἀδούλητον.... εἰκότως.* Hæc deerant in edit. Paris. et supplentur ex codice Bavarico. Confer ep. 285 h. l. II, et ep. 97 et 128 lib. IV. EDIT. PATR.

(71) Huc pertinet illud vetus: Non supplicium, sed causa martyrem facit. Item quod non carcer infamat, sed causa famosa, ob quam quis in carcere fuit. Vid. Cujac. XV, obs. 7. RITT.

(72) Sic Apollonius apud Stobæum serm. 230, Οὐ τὸ πένεσθαι κατὰ φύσιν αἰσχρὸν, ἀλλὰ τὸ δι' αἰτίαν αἰσχρὰν πένεσθαι, ὄνειδος. Similia sunt apud Senecam: in quem, cum paupertatem prædicat, illud quadrat e satyra:

Qui satur est, pleno laudat jejunia ventre. ID.

(73) Pulchre hanc sententiam explicat Aristophanes comœdia quam *Plutum* inscripsit. ID.

Digitized by Google

θεσμῶν. Διά τοι τοῦτο ἐν τοῖς ἐκείνῳ τελουμένοις A Ὀλυμπικοῖς ἀγῶσιν, οὕτω στεφανοῦνται οἱ ἀγωνιζόμενοι. Ἀλλ' ἐν τῷ σταδίῳ τοῦ Χριστοῦ ἐναντίος ἐστὶν ὁ τῶν στεφάνων νόμος. Τὸν πληττόμενον γὰρ, οὐ τὸν πλήττοντα στεφανοῦσθαι νενομοθέτηται· ὡς μὴ τῇ νίκῃ μόνον, ἀλλὰ καὶ τῷ τρόπῳ τῆς νίκης τὸ θαῦμα γίνεσθαι μεῖζον. Ὅταν γὰρ τὰ παρὰ ἀνθρώποις ὄντα νίκης, ταῦτα ἥττης ποιητικὰ ἀποφανθῇ, τότε θεία δύναμις, τότε οὐράνιον στάδιον, τότε ἀγγελικὸν θέατρον εἰκότως εἶναι πιστεύεται.

ΡΟ'. — ΕΥΣΤΑΘΙῼ ΠΡΕΣΒΥΤΕΡῼ.

Λαμπρᾶς εὐφημίας παρὰ πάντων [σοι δικαίως] ἐγειρομένης, ἀγρυπνεῖν ἂν εἴης δίκαιος, ὅπως ταύτην τοῖς μετέπειτα πραττομένοις ἱδρύσειας. B

ΡΟΑ'. — ΜΑΡΤΙΝΙΑΝῼ, ΖΩΣΙΜῼ, ΜΑΡΩΝΙ, ΕΥΣΤΑΘΙῼ.

Εἰ μὲν ἦν τις (ὢ τί καλέσας ὑμᾶς τῆς ὑμετέρας ἀναλγησίας καθάψομαι!) ὁ τὸ μέλλον ἐγγυησόμενος, καὶ καταστήσων δῆλον, ὡς οὐδεὶς ὑμῶν ἔσται ὁ τοιαῦτα ἔτι τολμήσων δρᾶσαι, οἷα ἐδράσατε, ἀσμένως ἂν τὴν ἡσυχίαν ἤγαγον, καὶ τοῖς παρελθοῦσιν ἐχαρισάμην τὸ λαθεῖν. Ἐπειδὴ δὲ οὐδείς ἐστιν ἀξιόχρεως ἐγγυητής, ἀναγκαία μοι ἔδοξεν εἶναι ἡ διὰ τῶνδε τῶν γραμμάτων παραίνεσις. Ἂν μὲν γὰρ εὕρῃ ὑμᾶς τὴν αὐτὴν νοσοῦντας νόσον, ἴσως ἐργάσεται τὸ αὐτῆς· ἂν δὲ ἀνενεγκόντας ἀπὸ τῆς μανίας, ὅπερ εὔχομαι γέγονεν. Ἐπεὶ καὶ τοῖς ἀρίστοις ἰατροῖς, C τοῖς ἐπ' ἀλλοτρίαις συμφοραῖς ἰδίας καρπουμένοις λύπας (74) (πολλοὶ γὰρ αὐτῶν κέρδους ἕνεκεν μόνον τὴν τέχνην μεταχειρίζονται) εὐχῆς ἔργον ἐστὶ μετὰ τὸ κατασκευάσαι τὰ βοηθήματα, μηδὲ εἰς χρείαν αὐτῶν τὸν κάμνοντα [ἐλθεῖν]· καὶ αὐτὸς εὔχομαι μὲν μηδενὶ ὑμῶν ταύτης χρείαν γενέσθαι τῆς παραινέσεως. Εἰ δ' ἄρα γένοιτο [ὃ μὴ γένοιτο!] ὁ δεύτερος ὑμᾶς οὐ διιππεύσει πλοῦς. Τί τοίνυν ἀναγκαῖον ὑμῖν παραινέσαι, φράσω. Ἀναγκάζομαι γὰρ εἰπεῖν, ὅπερ σαφῶς εἰπεῖν οὐ βούλομαι, ὅτι εἰς τὸν τῆς κακίας λαβύρινθον οὐκ οἶδ' ὅπως ἐμπεπτωκότες, οὐ μόνον τοὺς θείους, ἀλλὰ καὶ αὐτοὺς τοὺς τῆς φύσεως, ὥς φασιν, ἐνετρέψατε νόμους· οἱ γὰρ παροινοῦντες κατὰ τῆς ἐννόμου φύσεως (74*), δικαίως καὶ κατ' ἀλλήλων λυττῶσιν. Οὐ γὰρ κωλύεται D ῥᾳδίως ἐπιθυμία, τὸν τοῦ θείου φόβου χαλινὸν οὐκ ἔχουσα, ἀλλ' ὥσπερ χαλινῷ μὴ πειθόμενος ἵππος, ἢ καθάπερ, κυριώτερον εἰπεῖν, λοιμὸς, πᾶσαν ἡλικίαν ἐπινέμεται, καὶ πᾶν γένος, καὶ πᾶσαν ἀξίαν λυμαίνεται. Σεμνοπρεπῶν μὲν οὖν ἀνδρῶν ἀκοὴν ἐνοχλεῖν οὐ καλόν· τοῖς δὲ ἀδεῶς δρῶσιν, ἃ δρᾶν οὐ θέμις, ἐπιτιμᾶν χρησιμώτατον· ἀνανδρίας γὰρ ἂν εἴη πολλῆς μέλλοντά τι κακὸν ἐκριζοῦν, μηδὲ φωνὴν ῥῆξαι ἐπιχειρεῖν, ὡς τῆς σιγῆς αὐτομάτου ἰασομέ-

proinde in Olympicis illis certaminibus, quæ in ipsius honorem celebrantur, sic coronam consequuntur qui decertant. At in Christi palæstra contraria coronarum lex est. Sic enim lege sancitum est, ut qui percutitur, non qui percutit corona donetur, ut non ob victoriam duntaxat, sed etiam ob victoriæ modum majus miraculum exsistat. Nam cum ea, quæ apud homines victoriam conciliant, hoc afferre constet, ut quispiam superetur, tum demum divina virtus, tum cœleste stadium, tum angelorum theatrum merito esse creditur.

CLXX. — EUSTATHIO PRESBYTERO.

Cum luculenta laus ab omnibus tibi excitetur, 206 vigilandum tibi est, ut eam insequentibus recte factis firmes ac stabilias.

CLXXI. — MARTINIANO, ZOSIMO, MARONI, EUSTATHIO.

Si quispiam esset (o quo vos nomine nuncupem, ut vestrum stuporem perstringam!) qui futuri sponsorem se præberet, ac perspicuum faceret neminem vestrum fore, qui posthac ejusmodi flagitia, quæ perpetrastis, admitteret, libens fecissem ut quiescerem, ac præteritis sceleribus, ut in obscuro atque incognito jacerent, concederem. Quoniam autem hujus rei nemo satis locuples sponsor est, idcirco necessariam hanc litterariam admonitionem esse duxi. Nam si vos eodem adhuc morbo laborantes inveniat, ipsa fortasse, quod suum est, exsequetur. Si autem furore atque amentia emersos, nimirum id quod opto, contigerit. Quandoquidem etiam optimis medicis, qui ex alienis calamitatibus proprios mœrores carpunt (nam multi ipsorum quæstus duntaxat causa artem exercent), nihil optatius est, quam ut confectis medicamentis, ægroti his opus minime habeant : eodem igitur ipse quoque modo illud quidem opto, ne quis vestrum hac admonitione indigeat. Si autem (quod utinam ne accidat!) ea opus sit, secunda vobis, ut dici solet, navigatio haud inutilis erit. Quidnam igitur sit, de quo monendos vos duxerim, exponam. Cogor enim dicere, quod perspicuis verbis dicere nolo : nempe vos, in vitii labyrinthum nescio quo pacto prolapsos, non modo divinas, sed etiam ipsas, ut aiunt, naturæ leges evertisse. Nam qui adversus naturæ leges debacchantur, non mirum si ipsi quoque alii adversus alios furore ac rabie agitantur. Neque enim cupiditas, divini metus freno carens facile cohibetur : verum, quemadmodum equus freni impatiens, aut ut magis proprie loquar, pestis instar, per omnem ætatem serpit, atque omnes cujusvis sexus ac dignitatis inficit et labefactat. Enim vero honestorum quidem virorum aures offendere minime pulchrum

VARIÆ LECTIONES ET NOTÆ.

(74) Hoc ex Hippocrate sumpsit eruditissimus noster scriptor. Ritt.

(74*) Locus est in editis mutilus, τοὺς τῆς ἐννόμου φύσεως· hunc recte suppletum ex codd. Vat. 649 et Alt. plane integrum accipe. Possin.

Digitized by Google

est ; at eos, qui sine ullo metu ea quæ nefas est perpetrant, objurgare summopere conducit. Ingentis enim ignaviæ ac timiditatis esset, si is, qui malum aliquod radicitus evellere pararet, ne vocem quidem mittere conaretur, perinde atque silentio solo vitium curari ac propulsari posset. Cæterum, quam maxime licuit tecte atque adumbrate scripsi, ut, meliore mente induta, crimina ea, quæ et naturæ adversantur et modum omnem excedunt, committere desinatis, ne immodicæ quoque pœnæ a vobis expetantur. Semper enim atque omnino id contendit supplicii modus, ut flagitiorum magnitudini respondeat, Sodomorum cruciatum, si res in comparationem veniat, ludi cujusdam instar esse demonstrans.

νης τὴν κακίαν. Πλὴν ἀλλὰ καὶ οὕτως οἷός τ' ἦν, συνεσκιασμένως ἐπέστειλα, ὅπως σωφρονισθέντες παύσησθε καὶ τῶν κατὰ φύσιν εἶναι δοκούντων, καὶ τῶν ὑπερορίων πταισμάτων, ἵνα μὴ ὑπερορίους ἀπαιτηθῆτε τὰς δίκας. Πάντη γὰρ καὶ πάντως φιλονεικεῖ τῷ μεγέθει τῶν πλημμελημάτων ὁ τῆς κολάσεως τρόπος (75), τῇ παραβολῇ τὰ Σοδόμων πάθη παίγνια εἶναι ἀποφαίνων.

CLXXII. — EISDEM.

Purum quidem, ut opinor, Dei judicium est : temperatur autem juxta scelerum qualitatem **207** et quantitatem. Hæc enim maxime spectat quod a Psalmista dictum est, « Calix in manu Domini vini meri plenus misto : bibent ex eo omnes peccatores terræ [60]. » Quod autem hoc loco calix de pœna intelligendus sit, nemini dubium est (77), quemadmodum etiam apud Jeremiam dictum est : « Accipe calicem iræ, et pota omnes gentes, ac primam Jerusalem [61]. » Nam quod quidam de mystico poculo Psalmistam vaticinatum esse asserunt, eorum opinionem et Judæi et gentiles, cæterique omnes, qui hujus expertes sunt, refutant. Atque etiam eos maxime Psalmista ipsemet refellit : ut qui ante hæc verba dixerit : « Deus judex est, hunc humiliat, et hunc exaltat [62]. »

ΡΟΒ'. — ΤΟΙΣ ΑΥΤΟΙΣ.

Ἄκρατος (76) μέν ἐστιν, ὡς οἶμαι, ἡ κρίσις· κιρνᾶται δὲ πρὸς τὴν ποιότητα καὶ ποσότητα καὶ πηλικότητα τῶν ἁμαρτημάτων. Εἰς τοῦτον γὰρ μάλιστα βλέπει τὸν σκοπὸν τὸ εἰρημένον τῷ Μελῳδῷ· ὅτι « Ποτήριον ἐν χειρὶ Κυρίου, οἴνου ἀκράτου πλῆρες κεράσματος, πίονται ἐξ αὐτοῦ πάντες οἱ ἁμαρτωλοὶ τῆς γῆς. » Ὅτι δὲ ἐπὶ τιμωρίας τὸ ποτήριον ἐνταῦθα, καὶ τῷ Ἱερεμίᾳ εἴρηται· « Λάβε τὸ ποτήριον τοῦ θυμοῦ, καὶ ποτιεῖς πάντα τὰ ἔθνη, καὶ πρώτην τὴν Ἱερουσαλήμ. » Τοὺς γὰρ λέγοντας περὶ τοῦ μυστικοῦ ποτηρίου τὸν Μελῳδὸν πεπροφητευκέναι, ἐλέγχουσι μὲν καὶ Ἰουδαῖοι καὶ Ἕλληνες, καὶ ὅσοι τούτου ἄμοιροι τυγχάνουσιν. Ἐλέγχει δὲ οὐχ ἥκιστα καὶ αὐτὸς ὁ Ἱεροψάλτης, πρὸ τούτων τῶν ῥήσεων φράσας· ὅτι « Ὁ Θεὸς κριτής ἐστι, τοῦτον ταπεινοῖ, καὶ τοῦτον ὑψοῖ. »

CLXXIII. — THEODOSIO PRESBYTERO.

Cur super Lazarum lacrymatus est Dominus.

Christus (o philosophiæ simulacrum !) ob Lazarum lacrymas profudit : maxime quidem in hoc quoque, quemadmodum et in aliis rebus, regulas nobis ac terminos figens, ut ne bacchantium more præ mœstitia præcipites agamur. Ii quippe qui eum conspexerunt, dixerunt : « Ecce quomodo amabat eum [63]. » Quoniam autem minime consentaneum fuisse dixisti, ut is lacrymas emitteret, qui Lazarum ad vitam rediturum esse prænoscebat (nos enim omnes ea de causa mortuos lacrymis prosequimur, quod eos haud statim revicturos esse exspe-

ΡΟΓ'. — ΘΕΟΔΟΣΙΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Διὰ τί ἐπὶ Λαζάρῳ ἐδάκρυσεν ὁ Κύριος (78)·

Ἐδάκρυσεν, ὦ φιλοσοφίας ἄγαλμα ! ὁ Χριστὸς ἐπὶ Λαζάρῳ, μάλιστα μὲν κἀν τούτῳ ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων κανόνας ἡμῖν καὶ ὅρους πηγνύς, ἵνα μὴ ἐκβακχευώμεθα ὑπὸ τῆς λύπης. Οἱ γοῦν θεασάμενοι εἶπον· « Ἴδε πῶς ἐφίλει αὐτόν. » Ἐπειδὴ δ' ἔφης· Οὐκ ἔπρεπε τῷ προειδότι (79) ἀναστήσειν, τὸ δακρύσαι (δακρύομεν (80) γὰρ ἅπαντες τοὺς τεθνεῶτας, οὐ τοὺς αὐτίκα μάλα ἀναστήσεσθαι προσδοκωμένους), θέα εἰ δυνήσεται ὁ λόγος ἅψασθαι τῆς ἀκριβείας. Φίλος ἦν τοῦ Σωτῆρος· φίλος δ' οὖν αὐτοῦ, πάντως δίκαιος ἦν, οὐ γὰρ (81) ἂν ἐφιλεῖτο παρὰ

[60] Psal. LXXIV, 9. [61] Jerem. XXV, 15. [62] Psal. LXXIV, 7, 8. [63] Joan. XI, 36.

VARIÆ LECTIONES ET NOTÆ.

(75) Etiam Herodotus hoc agnovit, cum scripsit, Τὰ μεγάλα ἀδικήματα μεγάλας ἔχει καὶ τὰς τιμωρίας παρὰ ἀθανάτων. In hac epistola quædam supplevi ex B. C. quæ cum recte sua interpretatione expresserit Billius, fit ut putem a typographo omissa, cum in Billiano libro adessent. Ib.

(76) Pro ἄκρατος Codd. Vat. 649 et Alt. habent ἀκρατής. Possin.

(77) *Nemini dubium est.* His verbis nihil respondet in exemplaribus Græcis neque edito neque scripto, quamvis sensus integritas ea postulare videatur. Desit fortassis tale quippiam post εἴρηται, φανερόν ἐστι, vel δῆλόν ἐστι. Ritt.

(78) Cum hac quæstione de causa lacrymarum super Lazaro ad vitam resuscitato profusarum, vide etiam insignem locum ex concilio Toletano III, relatum in jus canon. cap. 28, *Qui divina*, 13, q. 2. Dominus non flevit Lazarum mortuum, sed ad vitæ hujus ploravit ærumnas resuscitandum. Ritt.

(79) Post προειδότι in ed. Paris. deesse aliquid fixa crux indicat. Id supplent codd. Vat. 649 et Alt. qui sic locum hunc exhibent, προειδότι ὅτι ἀναστήσεται. Possin.

(80) *Δακρύομεν γάρ.* B. C. δακρύουσι μὲν γάρ, quod plenius ac melius puto, tametsi quoad sensum parum intersit hoc an illo modo legas. Ritt.

(81) Locus est in editis corruptissimus, φίλος δ' οὖν αὐτοῦ, πάντως δίκαιος ἦν, οὐ γάρ, etc. Ex quibus nihil potest exculpi sanæ sententiæ. Totum locum sic, correcte, ni fallor, exhibet cod. Alt., φίλος

Digitized by Google

τῆς ἀχράντου δικαιοσύνης μὴ δίκαιος ὢν· οὐ γὰρ χάριτι οἶδε φιλεῖν, ἀλλὰ κρίσει· δίκαιος δ' ὢν, καὶ ἐξελθὼν εὐκλεῶς τὸ στάδιον τοῦδε τοῦ βίου, πάντως ἐν ἀναπαύσει ἦν καὶ τιμῇ. Τοῦτον οὖν ἔμελλε διὰ τὴν οἰκείαν δόξαν ἀναστήσειν, τοῦτον ἐδάκρυσε, μονονουχὶ λέγων· Τὸν εἴσω τοῦ λιμένος εἰσελάσαντα πάλιν ἐπὶ τὰς τρικυμίας καλῶ, τὸν ἤδη στεφθέντα πάλιν ἐπὶ τοὺς ἀγῶνας ἄγω.

A clemus), vide an quod dicturus sum exactam hujus rei causam attingere queat. Salvatoris amicus erat. Amicus porro cum esset, omnino vir probus erat. Neque enim puræ et labis omnis experti justitiæ charus fuisset, nisi justus exstitisset. Deus enim non favore, sed judicio, ad amandum duci solet. Cum autem justitia præditus esset, atque ex hujus vitæ stadio cum laude atque gloria excessisset, non est dubium, quin in requiete atque honore esset. Quoniam igitur ipsum ob suam gloriam a morte ad vitam excitaturus esset, collacrymavit his propemodum verbis utens : Eum qui ad portum jam appulerat, rursum ad fluctus et procellas voco : eum, qui jam coronam consecutus erat, ad certamina rursum duco.

ΡΟΔ'. — ΤΩ ΑΥΤΩ.

Πολλῶν λόγων γιγνομένων μικροῦ δεῖν καθ' ἑκάστην συνουσίαν περὶ ἀρετῆς, ὀλίγος μὲν αὐτῆς τοῖς πολλοῖς τυγχάνει λόγος, πολὺς δὲ τοῖς ὀλίγοις. Πλὴν πάντες οὐ μόνον οἱ ἐρασταὶ αὐτῆς, ἀλλὰ καὶ οἱ ἐχθροὶ αὐτὴν ἀνακηρύττουσι. Τοσοῦτόν ἐστιν αὐτῆς τὸ κάλλος. Τὴν δὲ κακίαν καὶ οἱ ἐχθροὶ καὶ οἱ ἐρασταὶ κακίζουσι. Τοσοῦτόν ἐστιν αὐτῆς τὸ εἰδεχθές. Ἀλλὰ τῇ παρουσίκα ἡδονῇ ὁπλιζομένη, εὐδοκιμεῖ παρὰ πολλοῖς, καίτοι θηριόμορφος οὖσα, τὴν θείῳ κάλλει ἀστράπτουσαν. Χρὴ οὖν εἰδέναι, ὅτι εἰ καὶ ἡ παρουσίκα ἡδονὴ μεῖζον δοκεῖ ἰσχύειν τοῦ ὕστερον συνοίσοντος (82), ἀλλ' εἰς ὀλέθριον καταστρέφει τέλος. Ἄμεινον οὖν ἀπὸ πόνων εἰς ἀνάπαυσιν ἰέναι, ἢ ἀπὸ ἡδονῆς εἰς τιμωρίαν.

CLXXIV. — EIDEM.

Cum in unoquoque pene congressu multi de virtute sermones habeantur, parva tamen apud multos ejus cura est, magna autem apud paucos. Cæterum omnes, non modo ipsius amantes ac studiosi, verum etiam hostes, eam laudibus efferunt. Tanta ipsius pulchritudo est. Improbitatem contra, et hostes et amatores vituperant. Tanta ipsius deformitas est. Verum præsenti voluptate tanquam armis quibusdam instructa, tametsi alioqui belluina forma prædita, eam, quæ divina pulchritudine fulget, apud plerosque superat. Operæ pretium itaque est illud nosse quod etiamsi præsens voluptas majorem vim habere videatur, quam quod in posterum utilitatem allaturum est, at in exitiosum tamen ac pestiferum finem desinit. **208** Quocirca satius ac præstabilius a laboribus ad requiem, quam a voluptate ad cruciatum proficisci.

ΡΟΕ'. — ΜΑΡΤΙΝΙΑΝΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Εἰς τὸ γεγραμμένον· « Φρόνιμοι ὡς οἱ ὄφεις, καὶ ἀκέραιοι ὡς αἱ περιστεραί. »

Ἡ φρόνησις τῇ ἁπλότητι κιρνωμένη, θεῖόν τι χρῆμα, φημὶ δὲ ἐντελεστάτην ἀρετὴν, ἀποτελεῖ. Εἰ δὲ θατέρα θατέρας χωρισθείη, ἡ μὲν εἰς πονηρίαν ἐμπίπτει, ἡ δὲ εἰς μωρίαν τελευτᾷ· ἡ μὲν γὰρ εἰς τὸ κακουργεῖν, ἡ δὲ εἰς τὸ ἀπατᾶσθαί ἐστιν ἐπιτηδεία. Καὶ διὰ τοῦτο ὁ θεῖος χρησμὸς διὰ μιᾶς εἰκόνος τοῦτο οὐ παρέστησεν· οὐ γάρ ἐστιν ἐν τοῖς ἀλόγοις ζώοις φρόνησις μετὰ ἁπλότητος, ἀλλὰ τὰ μὲν τὴν πονηρίαν, τὰ δὲ τὴν ἁπλότητα μεταδιώκει· ἀλλ' ἔρῃ· « Γίνεσθε φρόνιμοι ὡς οἱ ὄφεις, καὶ ἀκέραιοι ὡς αἱ περιστεραί. » Οὐχ ἵνα τὸ ἰοβόλον καὶ πληκτικὸν τοῦ ὄφεως μιμησώμεθα· κακίζονται γὰρ οἱ Ἰουδαῖοι, ὡς ὄφεις καὶ γεννήματα ἐχιδνῶν· οὐδ' ἵνα τὸ ὕπουλον καὶ δολερόν· οὐ γὰρ κατὰ πάντα τὸ παράδειγμα λαμβάνεται, ἀλλ' ἐκ μέρους, ἐπεὶ οὐκ ἂν εἴη ὑπόδειγμα, ἀλλὰ ταυτότης· ἀλλ' ἵνα τὸν παλαιὸν ἄνθρωπον, τουτέστι τὴν κακίαν, ὥσπερ λεβηρίδα ἀποδυσώμεθα, καὶ τὴν μὲν πίστιν, ὥσπερ

CLXXV. — MARTINIANO PRESBYTERO.

In illud, « Prudentes sicut serpentes, et simplices sicut columbæ [64]. »

Prudentia simplicitate temperata, divinam quamdam rem, hoc est numeris omnibus absolutam virtutem parit. At si altera ab altera sejungatur, illa in perversitatem incidit, hæc in stultitiam desinit. Etenim illa ad malum aliquod patrandum apta est : hæc fraudi ac deceptioni patet. Ac propterea divinum oraculum per unam imaginem hoc minime declaravit (neque enim in iis animantibus, quæ ratione carent, prudentia cum simplicitate conjuncta est ; verum alia improbitatem, alia simplicitatem consectantur) : verum his verbis usus est, « Estote prudentes sicut serpentes, et simplices sicut columbæ. » Hæc autem non eo spectant, ut serpentis venenum ac percutiendi libidinem imitemur (vituperantur enim Judæi, ut serpentes, et genimina viperarum), nec rursus ut versutiam ac fraudem (neque enim istud exemplum juxta omnem rationem accipitur, sed ex aliqua duntaxat

[64] Matth. x, 16.

VARIÆ LECTIONES ET NOTÆ.

ὃ ἦν τοῦ Σωτῆρος· φίλος δ' ὢν αὐτοῦ, πάντως δίκαιος ἦν· *amicus erat Salvatoris : amicus autem cum esset ejus, omnino justus erat.* Οὐ γὰρ ἂν ἐφιλεῖτο παρὰ τῆς ἀχράντου Δικαιοσύνης μὴ δίκαιος ὢν· *non enim amaretur ab incorrupta Justitia si justus non esset.* Poss.

(82) *Ἡ παρουσίκα ἡδονὴ μεῖζον δοκεῖ ἰσχύειν τοῦ ὕστερον συνοίσοντος.* Demosthenica est hæc quoque sententia... Rittr.

Digitized by Google

parte, alioqui exemplum non esset, sed res omnino eadem) : verum ut veterem hominem, hoc est vitium, tanquam serpentis pellem, exuamus, atque fidem quidem, ut ille caput, custodiamus, corporis autem exiguam curam geramus, cætera vero missa faciamus, atque his columbæ simplicitatem admisceamus ; non ut ipsius stoliditatem exprimamus (traducitur enim Ephraim, ut stulta columba, non habens cor), verum ut ipsius simplicitatem ab omni improbitate remotam imitemur. Quod si ita libet, per aliud etiam exemplum oratio nostra grassabitur. Leo vocatus est, non modo Christus, sed etiam vir justus, et diabolus : at non eadem ratione (ut enim ante dixi, non juxta rationes omnes exemplum usurpatur, sed juxta illam duntaxat partem, quæ instituto sermoni conducit : ac quod reliquum est jubetur valere). Christus quippe ob regiam amplitudinem atque invictum robur hoc nomine appellatus est : « Recumbens enim, inquit, dormivit ut leo [65]. » Justus autem vir ob intrepidum animum, ac nihil periculi metuentem ; justus enim confidit ut leo. Diabolus denique ob feritatem cruorisque sorbendi aviditatem. « Circuit enim ut leo, quærens quem devoret [66]. » Cumigitur ex uno animali varias imagines Scriptura sacra exhibuerit, nec tamen propterea speculationes confundamus, verum cuique quod ipsi aptum est tribuamus, quid miraris, si Paulus luti imaginem ceperit, non ut voluntatis humanæ libertatem convellat, quam ubique prædicat, verum ut non modo ingentem obedientiam, quam vir justus merito ad Deum habere debet, ostendat, **209** sed eorum etiam, qui purissimam illam, atque et sermonem omnem et cogitationem excedentem scientiam insectari non dubitant, furori medeatur.

A ἐκεῖνος τὴν κεφαλὴν, φυλάττωμεν, τοῦ δὲ σώματος ὀλίγον φροντίζωμεν· τὰ δὲ ἄλλα ἐῶμεν, καὶ κιρνῶμεν τούτοις τὴν τῆς περιστερᾶς ἁπλότητα, οὐχ ἵνα τὸ ἀνόητον αὐτῆς ἀποματτώμεθα· διαβάλλεται γὰρ Ἐφραΐμ ὡς περιστερὰ ἄνους οὐκ ἔχουσα καρδίαν· ἀλλὰ τὸ ἀφελὲς καὶ ἀπόνηρον. Εἰ δὲ βούλει, καὶ δι' ἑτέρου παραδείγματος βαδιεῖται ὁ λόγος. Λέων κέκληται οὐ μόνον ὁ Χριστὸς, ἀλλὰ καὶ ὁ δίκαιος καὶ ὁ διάβολος, ἀλλ' οὐ κατὰ ταὐτόν· ὡς γὰρ ἔφθην εἰπὼν, οὐ κατὰ πάντα λαμβάνεται τὸ ὑπόδειγμα, ἀλλὰ κατ' ἐκεῖνο μόνον τὸ μέρος τὸ χρησιμεῦον τοῖς λεγομένοις, καὶ τὸ λοιπὸν χαίρειν ἐᾶται (82*). Ὁ μὲν Χριστὸς, κατὰ τὸ βασιλικὸν καὶ ἄμαχον· « Ἀναπεσὼν γὰρ ἐκοιμήθη ὡς λέων· » ὁ δὲ δίκαιος, κατὰ τὸ ἀδεὲς καὶ ἄφοβον· δίκαιος γὰρ ὡς λέων πέποιθεν. Ὁ δὲ B διάβολος, κατὰ τὸ θηριῶδες καὶ αἱμοβόρον· « Ὡς λέων γὰρ περιπατεῖ ζητῶν τίνα καταπίῃ. » Εἰ τοίνυν ἐξ ἑνὸς ζώου διαφόρους εἰκόνας ἡ Γραφὴ παρέστησε, καὶ οὐ συγχέομεν τὰ θεωρήματα, ἀλλ' ἑκάστῳ τὸ πρέπον ἀπονέμομεν, τί θαυμάζεις εἰ τὴν τοῦ πηλοῦ εἰκόνα ἔλαβεν ὁ Παῦλος, οὐχ ἵνα τὸ αὐτεξούσιον λυμήνηται, ὃ πανταχοῦ στεφανοῖ, ἀλλ' ἵνα μὴ μόνον τὴν σφοδρὰν πειθὼ καὶ ὑπακοὴν δείξῃ, ἣν δίκαιος ἂν εἴη ἔχειν ὁ ἄνθρωπος πρὸς τὸ Θεῖον, ἀλλὰ καὶ τὴν λύτταν ἱάσηται τῶν ἐπισκῆψαι τολμώντων τῇ ἀκηράτῳ καὶ παντὸς ἐπέκεινα καὶ λόγου καὶ νοῦ ἐπιστήμῃ ;

CLXXVI. — ISIDORO DIACONO.

Cum divinum Numen victimas et cruores ob puerilitatem, in qua tum homines versabantur, tolerarit, quid miraris, quod eam quoque quæ per citharam et psalterium celebratur, musicam tolerarit ? quæ, ut nonnulli aiunt, turbulentos animi motus propulsat, simul et mœrorem lenit, et iram mitigat, et luctus per lacrymas levat. Multi enim, ut ferunt, quod lacrymas per vim compresserint, in varios morbos inciderunt.

ΡΟϚ'. — ΙΣΙΔΩΡΩ ΔΙΑΚΟΝΩ.

C Εἰ θυσιῶν καὶ αἱμάτων ἠνέσχετο τὸ Θεῖον διὰ τὴν τῶν ἀνθρώπων τὸ τηνικάδε νηπιότητα, τί θαυμάζεις εἰ καὶ μουσικῆς διὰ κιθάρας καὶ ψαλτηρίου τελουμένης, τῆς, ὥς φασί τινες, τὰ πάθη τὰ ψυχικὰ θεραπευούσης, καὶ λύπην μὲν καταπραῢνούσης, θυμὸν δ' ἐξημερούσης, καὶ τὰ πένθη διὰ τῶν δακρύων κουφιζούσης (83) ; Πολλοὶ γὰρ, ὥς φασι, δακρύσαι καρτερήσαντες, εἰς διάφορα πάθη ἐνέπεσον (84).

[65] Deut. xxxiii, 20. [66] I Petr. v, 8.

VARIÆ LECTIONES ET NOTÆ.

(82*) *Ἔᾶται.* B. ἐατέον, quod verius puto. Ritt.

(83) *Τὰ πένθη διὰ τῶν δακρύων κουφιζούσης.* Sic Plinius lib. viii, epist. 16 : « Est quædam etiam dolendi voluptas, præsertim si in amici sinu delleas, D apud quem lacrymis tuis vel laus sit parata vel venia. » Sic et Basil. Magnus in epistola ad episcopos Italiæ et Galliarum : Φέρει τινὰ παραμυθίαν ταῖς ὀδυνωμέναις ψυχαῖς καὶ στεναγμὸς πολλάκις ἐκ τοῦ βάθους τῆς καρδίας ἀναπεμπόμενος, καί που καὶ δάκρυον ἀποστάξαν τὸ πολὺ τῆς θλίψεως διεφόρησεν. Hoc est, « Affert aliquam consolationem doloribus animi gemitus sæpenumero e profundo pectoris emissus ; et lacrymula interdum destillans, multitudinem afflictionis discussit. » Et in altera ad eosdem ; Οἱ ὀδύνῃ τινὶ κατεχόμενοι διὰ τῶν στεναγμῶν κουφίζειν πως τὰς ἀλγηδόνας πεφύκασι. H. e. « Consueverunt homines doloribus aliquibus oppressi ingemiscendo quodammodo levare ægritudinem. » Quare merito ac vere exclamat Euripides *Troadibus* :

Ὡς ἡδὺ δάκρυα τοῖς κακῶς πεπονθόσιν,
Θρηνῶν τ' ὀδυρμοί, μοῦσά θ' ἡ λύπας ἔχει

Præclare, ut omnia, Chrysostomus homilia *Περὶ τοῦ ἀκαταλήπτου* · « Si apud homines, suos quempiam casus dixisse suasque calamitates narrasse affert nonnihil consolationis, quasi diffatio quædam malorum per ipsam narrationem ageretur : longe magis, cum Domino illi communi ægritudines animi tui communicas, consolationem atque remedium capies. Homo enim gravatur plerumque tædio alienæ querelæ, et luctus repellit, fugitque hominem miserum. At vero Deus non ita agit ; sed invitat, ducit, hortatur, acceptat, » etc. Ritt.

(84) Usque adeo :

Expletur lacrymis egeriturque dolor.

Digitized by Google

ΡΟΖ'. — ΘΕΟΔΟΤΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Τί ἐστι τὸ, Εἴρ, παρὰ Δανιήλ.

Ἐπειδὴ ἔφης τί ἐστι διὰ συγκρίματος *Εἴρ* ὁ λόγος (85), καὶ ῥῆμα ἁγίων τὸ ἐπερώτημα (τοῦτο γὰρ παραλελεῖφθαι τῷ Δανιὴλ εἰς τὴν ἑρμηνείαν), ἴσθι· ὅτι Ἐπειδὴ ὑπὸ τῆς ἄγαν ἐξουσίας, καὶ τοῦ ἄμαχον οἴεσθαι ἔχειν τὴν βασιλείαν ὁ βάρβαρος εἰς ὑπερηφανίαν ἐξέπεσεν, ὡς ἔξω μὲν τῶν ἀνθρωπίνων ὁρῶν (86) ἑαυτὸν εἶναι νομίσαι, εἰς δὲ θείαν λῆξιν ἐγκρίνειν, ἔμελλε δὲ κόπτεσθαι· τοῦτο γὰρ ἡ τοῦ ὀφθέντος δένδρου ἐκτομὴ διεμαρτύρετο· οὐ μόνον τῷ φόβῳ τῶν ὀφθέντων, ἀλλὰ καὶ τῷ σχηματισμῷ σωφρονέστερον αὐτὸν ἐργάσασθαι ἐθελήσας, ὥσπερ καὶ ἐπὶ βασιλικοῦ δικαστηρίου σχηματίζει τὴν διήγησιν, τοῦ μὲν βασιλέως ἀποφαινομένου, τοῦ δὲ στρατηγοῦ ἑρμηνεύοντος, τουτέστι διαγγέλλοντος τὴν ψῆφον (τὸ γὰρ *σύγκριμα* ἑρμηνείαν λέγει), τῶν δὲ στρατιωτῶν εἰς ἔργον ταύτην ἀγόντων. *Εἴρ* μὲν γὰρ τὸν τὸ κήρυγμα τῆς ἀποφάσεως ποιησάμενον ἔφησεν οἱονεὶ ἀρχάγγελον· *Εἴρ* γὰρ ἑρμηνεύεται *ἄγρυπνος*· ἁγίους δὲ τοὺς τὸ δένδρον ἐκτέμνειν προσταχθέντας ἀγγέλους. Ἐπειδὴ γὰρ μὴ τὴν ἀπόφασιν κωλύειν οἷοί τ' ἦσαν· μετὰ σπουδῆς γὰρ καὶ κραυγῆς ἐξενήνεκτο· ἐλπὶς δέ τις ὑπεφαίνετο σωτηρίας, τῶν ῥιζῶν μενουσῶν, ἐπερωτῶσι, τουτέστιν ἀξιοῦσιν, ὥστε τὸν ὡρισμένον χρόνον μαθεῖν. Ὁ δὲ οὐ τοῦτο μόνον (87), ἀλλὰ καὶ τὴν αἰτίαν αὐτοὺς ἐκδιδάσκει. Ἵνα γάρ, φησὶ, γνῶσιν οἱ ζῶντες, ὅτι κυριεύει ὁ Ὕψιστος τῆς βασιλείας τῶν οὐρανῶν (88).

CLXXVII. — THEODOTO PRESBYTERO.

Quid sit Εἴρ apud Danielem.

Quoniam quid sonet vox εἴρ quæsiisti (hoc enim a Daniele in sua interpretatione prætermissum esse), illud habe: Quoniam ob ingentem potentiam, et quia invicto robore pollere regnum suum existimabat, barbarus in superbiam atque insolentiam prolapsus fuerat (ita ut se humanos terminos excessisse, atque in divinam classem ascriptum esse duceret), mox autem abscindendus erat (hoc enim visæ arboris excisio testabatur): idcirco non modo conspectarum rerum terrore, sed etiam figurata quadam ratione moderatiorem eum ac prudentiorem reddere cupiens, tanquam in regio quodam tribunali narrationem conformat, rege nimirum sententiam proferente, exercitus autem duce eam interpretante, hoc est sententiam exponente (siquidem vox hæc σύγκριμα interpretationis significationem habet); militibus autem eam exsequentibus. Εἴρ enim eum, qui sententiam promulgavit, velut archangelum esse dixit (εἴρ porro, si interpreteris, *vigilem* sonat), sanctos autem angelos eos, quibus arboris amputatio imperata est. Quoniam enim sententiam prohibere minime poterant [celeriter enim et cum clamore prolata fuerat], spes autem aliqua salutis elucebat, propterea quod radices manerent, percunctantur, hoc est postulant, ut præfinitum tempori spatium intelligant. At ille non hoc duntaxat, sed etiam causam ipsis exponit. Ut cognoscant, inquit, ii qui vivunt, quod Altissimus cœlestis regni principatum tenet.

ΡΟΗ'. — ΕΡΜΟΓΕΝΕΙ ΕΠΙΣΚΟΠΩ.

Οἶδα μὲν ὅτι οὐ δεινότητα λόγων ἐπιδεικνύμενος, οὐδὲ τὴν ἀπ' αὐτῆς θηρώμενος δόξαν, ἐπὶ τὸ παραινέσαι τοῖς περὶ Ζώσιμον καὶ Παλλάδιον καὶ Μάρωνα, ἀλλ' ἀπὸ εὐνοίας καὶ φιλοστοργίας ὥρμησας. Εἰ δ' αὐτοὶ παρὰ πάντων ἐκκωμῳδούμενοι, ὡς παρὰ μόνου σοῦ νομίζοντες κεκωμῳδῆσθαι, δυσκόλως ἔχουσι πρὸς σὲ, μὴ δείσῃς· ἔχεις γὰρ τὴν θείαν συμμαχίαν, σοῦ μὲν ὑπερασπίζουσαν, ἐκείνους καὶ ἀμυνομένην.

CLXXVIII. — HERMOGENI EPISCOPO.

Scio te non eloquentiæ ostentandæ studio, nec ut hinc gloriam aucuperis, ad Zosimum et Palladium et Maronem admonendos te contulisse: verum benevolentia et charitate ductum hanc operam suscepisse. Quod si illi, cum ab omnibus sugillentur, **210** tamen a te solo sugillari se existiment, ac proinde adversum te stomachentur, ne timeas. Divinum enim auxilium habes, quod et tuas partes tueatur, et illos ulciscatur.

ΡΟΘ'. — ΣΤΡΑΤΗΓΙΩ ΣΧΟΛΑΣΤΙΚΩ.

Ἡ τῶν δικαίων παῤῥησία ἡ ὑπὲρ τῆς ἰδίας δικαιοσύνης, οὐκ ἀπὸ μεγαληγορίας, ὦ θαυμάσιε, ἐτέχθη, ἀλλ' ὑπ' ἀνάγκης· αὕτη γὰρ ὑπὲρ τοῦ μὴ δοκεῖν αὐτοὺς δικαίως πάσχειν, εἰς ταύτην αὐτοὺς ἐλθεῖν

CLXXIX. — STRATEGIO SCHOLASTICO.

Profanos homines, vir optime, ac divinis sermonibus indignos observa, qui ea etiam persæpe, quæ omni commendatione ac laude digna sunt, risu prosequuntur, quibus autem fas est, iis loquere. Neque enim canibus, aut porcis humana forma præditis, verum his, qui angelicam vitam ducunt, sancta porrigenda sunt, quemadmodum divinis oraculis proditum est.

ΣΙΑ'. — ΛΑΜΠΕΤΙΩ ΕΠΙΣΚΟΠΩ.

Παραφυλάττου μέν, ὦ ἄριστε, τοὺς ἀμυήτους, καὶ τῶν θείων λόγων ἀναξίους, οἵτινες καὶ γελῶσι πολλάκις τὰ πάσης εὐφημίας κρείττονα· φθέγγου δὲ οἷς θέμις (9). Οὐ γὰρ κυσὶν, οὐδὲ χοίροις ἀνθρωπομόρφοις, ἀλλὰ τοῖς ἀγγελικὸν βιοῦσι βίον, δοτέον τὰ ἅγια, κατὰ τὸν θεῖον χρησμόν.

CCXII. — THEOGNOSTO PRESBYTERO.

De tribus diebus sepulturæ Domini.

Eorum stoliditatem magnopere, atque ad stuporem usque miror, qui quam ob causam Christus ante tres dies resurrexerit, percunctantur. Nam si eum quoque omnino non resurrexisse asserunt, ecquid temporis minutias jejune ac morose urgent? Si autem eum quidem ad vitam rediisse, verum citius quam promiserat, ex hoc ipso quod ad vitam rediit, illud quoque una demonstratum esse existiment, ipsum omnino vere locutum esse. Nam cum id, quod impossibile et erat et videbatur (si quidem imbecillitatem hominum spectes) præstiterit, profecto in ea re, quæ potestatem minime excedebat, haudquaquam elanguisset, tametsi etiam tarde resurrexisse, imbecillitatis, confestim autem, maximæ potentiæ argumentum exsistat. Ac quidem ipsos, tum ex eo quod infinitum gentilitiorum deorum catalogum deleverit ac de medio sustulerit, tum quod omnia idolorum fana subverterit, et impuras ac sacrilegas aras, quæ humano cruore tingebantur, exstinxerit, atque diaboli quidem nervos ac robur infregerit, dæmones autem in fugam converterit, ac præterea truculentas et immanes nationes mitigarit: Judæos autem in maximas calamitates conjecerit, eos denique qui fidem amplexi sunt, supra cœlum evexerit, divinam ipsius invictamque potentiam adorare oportebat, non autem de aliquot horis altercari. Neque enim quæ maxima, omnique sermone præstantiora sunt ab exiguis rebus everti queant. Cæterum quoniam ingens veritatis copia et amplitudo est, ad ipsam quoque rem accedere

ΣΙΒ'. — ΘΕΟΓΝΩΣΤΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Περὶ τῶν τριῶν ἡμερονυκτίων τῆς ταφῆς τοῦ Κυρίου.

Λίαν θαυμάζω καὶ ἐκπλήττομαι τὴν ἄνοιαν τῶν ζητούντων, δι' ἣν αἰτίαν ὁ Χριστὸς πρὸ τῶν τριῶν ἡμερῶν ἀνέστη (10). Εἰ μὲν γάρ φασιν αὐτὸν μηδ' ὅλως ἐγηγέρθαι, τίνος ἕνεκεν περὶ χρόνου ἀκριβολογοῦνται; Εἰ δ' ἐγηγέρθαι μὲν, θᾶττον δὲ ἢ ἐπηγγείλατο, ἀπὸ τοῦ ἐγηγέρθαι, καὶ τὸ πάντως ἠληθευκέναι αὐτὸν συναποδεδεῖχθαι νομιζέτωσαν. Τὸ γὰρ ἀδύνατον καὶ ὃν καὶ δοκοῦν, ὅσον πρὸς τὴν τῶν ἀνθρώπων ἀσθένειαν, φημὶ, κατορθώσας, οὐκ ἂν περὶ τὸ δυνατὸν ἐξησθένησεν, εἰ καὶ ὅτι μάλιστα τὸ μὲν βραδέως ἀναστῆναι, ἀσθενείας, τὸ δὲ ταχέως, δυνάμεως μεγίστης τεκμήριον καθέστηκεν. Ἐχρῆν μὲν αὐτοὺς καὶ ἐκ τοῦ τοὺς μυρίους τῶν Ἑλληνικῶν θεῶν καταλόγους ἀφανίσαι, τά τε εἰδωλεῖα πάντα καταστρέψαι, καὶ τοὺς ἀνοσίους βωμοὺς τοὺς ὑπ' ἀνθρωπίνων αἱμάτων φοινισσομένους σβέσαι, καὶ τὸν μὲν διάβολον ἐκνευρίσαι, τοὺς δὲ δαίμονας φυγαδεῦσαι, καὶ τὰ μὲν ἀνήμερα φῦλα τιθασσεῦσαι, τοὺς δὲ Ἰουδαίους μεγίσταις συμφοραῖς περιβαλεῖν, καὶ τοὺς πιστεύσαντας αὐτῷ ὑπὲρ τὸν οὐρανὸν ἀναγαγεῖν, προσκυνῆσαι τὴν θείαν αὐτῷ καὶ ἀήττητον δύναμιν, καὶ μὴ περὶ ὡρῶν διαφέρεσθαι. Τὰ γὰρ μέγιστα καὶ κρείττονα λόγου οὐκ ἂν ὑπὸ μικρῶν ἀνατραπείη. Πλὴν ἀλλ' ἐπειδὴ τῆς ἀληθείας ἡ περιουσία πολλὴ, καὶ εἰς αὐτὸ χωρῆσαι τὸ πρᾶγμα πειράσομαι. Ἀκριβολισμοῦ τοίνυν ἕνεκεν εἰρήσεται πρὸς αὐτούς· Ἆρα εἰ χρεώστην τινὰ ἐπαγγειλάμενον τῷ οἰκείῳ δανειστῇ μετὰ τρεῖς ἡμέρας πληρώσειν τὸ χρέος, πρὸ τῆς προθεσμίας πληρώσαντα θεασοίμεθα, ὡς ψευσάμενον κρινοῦμεν, ἢ ὡς πλέον ἀληθεύσαντα θαυμασόμεθα;

VARIÆ LECTIONES ET NOTÆ.

(9) *Φθέγγου δὲ οἷς θέμις.* Manifesta allusio ad illud Orphei carmen, quo poema quoddam suum orditur :

Φθέγξομαι οἷς θέμις ἐστὶ, θύρας δ' ἐπίθεσθε, βέβηλοι.

Canlabo dignis. Procul at tos, ite, profani.

Talis et illa vetus interdictio : Ἐκὰς ἐκὰς ὅστις ἀλιτρός. Confer Clementem Alex. qui passim etiam ἀμυήτους excludit a rerum sacrarum tractatione, auscultatione, conspectu. Omitto varias formulas, προρρήσεων, quas usurpavit vetus Ecclesia ante communionem tremendorum mysteriorum cum voce præconis proclamaretur : *Quicunque catechumeni sunt, exeunto. Qui nesciunt orare, exeunto. Qui in pœnitentia sunt, exeunto*, etc. Quales formulas alibi ex Chrysostomo aliisque collegi. Talis est et illa interdictio apud Lucianum *Pseudomanti :* Ἐν τῇ πρώτῃ τῆς τελετῆς ἡμέρᾳ πρόρρησις ἦν ὥσπερ Ἀθήνησι τοιαύτη· *Εἴτις ἄθεος ἢ Χριστιανὸς, ἢ Ἐπικούρειος ἥκει κατάσκοπος τῶν ὀργίων, φευγέτω, οἱ δὲ πιστεύοντες τῷ Θεῷ τελεισθῶσαν τυχῇ τῇ ἀγαθῇ.* Ritt.

(10) Confer epist. 114, lib. 1. Sic Leo M. serm. 1 de resurrect. Domini : « Ne turbatos discipulorum animos longa mœstitudo cruciaret, denuntiatam tridui moram tam mira celeritate brevianit, ut dum ad integrum secundum diem pars primi novissima, et pars tertii prima concurrit, et aliquantum temporis spatio decideret et nihil dierum numero deperiret. Ib.

Digitized by Google

Ἐγὼ μὲν οἶμαι τοῦτο, πάντως δὲ καὶ αὐτοί. Τί τοίνυν ἄτοπον, εἰ καὶ ὁ Χριστὸς ἔφησε μὲν τῇ τρίτῃ ἀναστήσεσθαι, θᾶττον δὲ ἀνέστη, ἵν' ἑαυτοῦ μὲν δείξῃ τὴν δύναμιν, τοὺς δὲ φυλάττοντας νεκρώσῃ, καὶ τοὺς Ἰουδαίους ἐπιστομίσῃ. Τὸ μὲν γὰρ θᾶττον ἀναστῆναι, ἔγκλημα οὐκ εἶχε· τὸ δὲ βράδιον, ὑποψίας ἔγεμεν. Ἐχρῆν γὰρ παρακαθημένων αὐτῶν καὶ φυλαττόντων γενέσθαι τὴν ἀνάστασιν, ὡς εἴγε παρελθουσῶν τῶν ἡμερῶν, καὶ ἀναχωρησάντων τῶν φυλαττόντων ἐγένετο, ὕποπτον τὸ πρᾶγμα ἔμελλεν εἶναι. Εἰ δὲ μὴ ἀνέστη, πῶς ἐν τῷ ὀνόματι αὐτοῦ τοιαῦτα σημεῖα ἐπετέλεσαν οἱ ἀπόστολοι; Πῶς δ' οὐκ ἂν εἶεν ἀξιόχρεοι μάρτυρες, οἱ διὰ μυρίων κινδύνων καὶ θανάτων τὴν ἀλήθειαν τῆς ἀναστάσεως πιστωσάμενοι, καὶ οὐ μέλανι, ἀλλ' οἰκείῳ αἵματι τὴν μαρτυρίαν σφραγίσαντες; Εἰ δὲ καὶ εἰς αὐτὴν τὴν ἀκρίβειαν καταγενέσθαι χρή, ἐκεῖνο ἂν εἴποιμι· Τῇ τρίτῃ εἶπεν ἀναστήσεσθαι. Ἔχεις τὴν Παρασκευήν, ἔχεις τὸ Σάββατον, ἕως δυσμῶν ἡλίου, καὶ μετὰ τὸ Σάββατον ἀνέστη, ἑκατέρων μὲν ἁψάμενος, τὴν δὲ μέσην πληρώσας. Ἐν τρισὶ γὰρ εἶπεν ἀναστήσεσθαι, οὐ μετὰ τρεῖς ἡμέρας. « Λύσατε γάρ, φησί, τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν. » Καὶ ὁ προφήτης δὲ προχρησμῳδῶν, « Τότε (11) ὁ θάνατος πενθήσει ἰσχυροτέρῳ θανάτῳ δεθείς, ἔλεγεν. Ὑγιάσει ἡμᾶς μετὰ δύο ἡμέρας, ἐν τῇ τρίτῃ ἀναστησόμεθα, καὶ [ζησόμεθα] ἐν αὐτῷ. » Εἰ δὲ τὸ τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας προβάλοιτο (12), εἴποιμι, ὅτι τῷ ἅψασθαι αὐτῶν, πεπλήρωκε τὴν ἐπαγγελίαν. Μία γὰρ ἡμέρα λέγεται, τὸ τῶν τεσσάρων καὶ εἴκοσι ὡρῶν διάστημα. Καὶ εἴτε ἐν τῇ πρώτῃ, εἴτε ἐν τῇ τελευταίᾳ τούτων τις τεχθείη, ἢ ἂν θάνῃ, αὕτη αὐτῷ ἡμέρα λογίζεται. Οἷον εἰ μέλλοντος ἡλίου δύνειν τεχθείη τις, εἴη δὲ ἐκείνη ἡμέρα πρώτη τοῦ μηνός, αὕτη αὐτῷ λογίζεται. Εἰ δὲ καταδύντος ἕτερος τεχθείη, ἡ δευτέρα. Πῶς οὖν μιᾶς μόνης, τάχα δὲ οὐδὲ μιᾶς ὥρας μεταξὺ γενομένης, ὁ μὲν λέγεται τῇ πρώτῃ, ὁ δὲ τῇ δευτέρᾳ ἡμέρᾳ τετέχθαι; Ὅτι πᾶσι δῆλον καθέστηκε καὶ σαφὲς, ὅτι τῷ ἅψασθαι μόνον ὁ μὲν τὸ παρελήλυθὸς, ὁ δὲ τὸ ἐπιὸν, ἡμερονύκτιον ἐπλήρωσατο, τὸ διὰ εἰκοσιτεσσάρων ὡρῶν συμπληρούμενον. Εἰ τοίνυν καὶ ἡ ἀκριβὴς τῶν χρόνων κατανόησις τοῦτο βοᾷ, τί μάτην κόπτουσιν ἑαυτοὺς οἱ τὴν ἀλήθειαν μὴ ἠληθευκέναι ἰσχυριζόμενοι (13);

A conabor. Ac primum velitationis cujusdam causa ad eos hæc dicentur : Si debitorem aliquem, qui se creditori suo post tres dies debitam pecuniam persoluturum promisisset, ante præstitutum diem solvisse conspexerimus, utrum tandem eum ut mentientem condemnabimus, an potius, ut promissi fidem magis explentem admiratione prosequemur? Equidem ipse hoc posterius existimo, atque omnino vos quoque. Quidnam igitur absurdi est, si Christus item, cum se tertia die resurrecturum dixisset, citius tamen a morte ad vitam rediit, tum ut suam potentiam conspicuam redderet, tum ut custodes exanimaret, ac Judæorum ora comprimeret? Etenim quod maturius resurrexisset, a crimine ac reprehensione alienum erit : at si serius revixisset, suspicionis plena res hæc exstitisset. **221** Oportebat quippe assidentibus atque custodientibus satellitibus resurrectionem fieri; nam si exactis diebus ac remotis custodibus exstitisset, suspicionem habitura res erat. Quod si non resurrexit, quonam pacto in ipsius nomine apostoli tanta signa ediderunt? Quonam autem pacto digni, quibus fides haberetur, testes non essent, qui per sexcenta pericula et mortis genera resurrectionis veritatem confirmarunt, testimoniumque suum, non atramento, sed cruore suo consignarunt? Quod si ad exactam et accuratam hujus quæstionis explanationem descendendum est, illud dixerim : Tertio die resurrecturum se dixit. Habes Parascevem, habes Sabbatum, usque ad solis occubitum. Ac post Sabbatum resurrexit, attacto quidem utroque die, medio autem expleto atque confecto. In tribus enim diebus resurrecturum se dixit, non autem post tres dies. « Solvite namque templum hoc, inquit, et in tribus diebus excitabo illud [81]. » Atque item propheta vaticinans, his verbis utebatur : « Tunc mors lugebit, fortiore morte devicta. Sanabit nos post duos dies : in tertio resurgemus, ac vivemus in eo [82]. » Quod si tres dies ac noctes nobis objiciant, illud dixerim, quod hoc ipso quod eas attigerit, id quod pollicitus fuerat, impleverit. Unus enim dies quatuor et viginti horarum spatium appellatur : atque sive in prima, sive in postrema harum quispiam in lucem prodeat, aut e vita discedat, hic ipsi dies computatur. Verbi gratia : Si sole ad occasum vergente quispiam nascatur, sit autem dies illa prima mensis, hæc ipsi ascribetur. Si autem cum jam occiderit, alter procreetur, secunda. Qui fit igitur, ut cum unica duntaxat, imo fortasse ne unica quidem hora intercesserit, ille prima, hic secunda die in lucem editus fuisse dicatur? Nimirum quia id cunctis perspicuum et manifestum est, quod, ob attactum solum, ille quidem præteritum, hic autem insequentem diem, qui viginti quatuor horarum curriculo conficitur, explevit. Quapropter cum exacta quoque temporum consideratio hoc clamet, quid frustra seipsos contundunt qui veritatem a veritate aberrasse affirmant?

[81] Joan. II, 19. [82] Osee VI, 2, 3.

VARIÆ LECTIONES ET NOTÆ.

(11) Pro τότε duo codd. Vat. 649 et Alt. legunt πότε. Possin.

(12) Προβάλοιτο. Iidem pluraliter ponunt, προβάλοιντο. Id.

(13) *Ἰσχυριζόμενοι.* Plenior lectio B. C. magis placet, διϊσχυριζόμενοι. Ritt.

Digitized by Google

CCXIII. — PETRO.

Quomodo dictum sit illud : « Dicentes se esse sapientes, stulti facti sunt[83]. »

Illud, « Dicentes se esse sapientes, stulti facti sunt, » propterea etiam dictum est, quia apud eos quidem ingens tumor erat veritate carens, apud Scripturas autem veritas ab omni fastu pura. Quocirca tum temporis magna fortitudine ac prudentia opus erat, quæ omne verborum lenocinium scite ac venuste comparatum, mendaciumque, tanquam verum callide exhibens, denudaret. Nunc autem ab ipsis etiam rusticis ipsorum error deprehendi potest.

CCXIV. — APOLLONIO.

De eleemosyna.

Eleemosynam a probro et contumelia puram atque immunem esse oportet. Nam qui ei **222** hæc adjungunt, fragranti unguento cœnum admiscent, atque accipientium animas percutiunt. Quæ enim cum probro porriguntur, etiamsi maxima sint, accipientibus minime jucunda sunt : tametsi alioqui necessitate constricti contumelias tacite ferant. Cum autem etiam perexigua sunt, atque cum contumelia præbentur, intolerandam quamdam egentium animis tempestatem pariunt. Nam de iis qui non modo nihil largiuntur, sed etiam pauperes conviciis et maledictis incessunt, ne mentionem quidem facere opus est. Omnem quippe feritatis et crudelitatis immanitatem excesserunt. Eos enim qui ad se, tanquam ad portum, appellunt, pessumdant, dum nec ea, quorum penuria laborant, suppeditant, et præterea contumelias adjiciunt. Quocirca pauperibus leniter et placide respondere oportet, ac pro viribus præbere, atque eleemosynam, tanquam ingenuam quamdam et nobilem virginem, occultare, ac non omnibus eam propalare. Quod si quis unde supplicis hominis calamitati solatium afferat, non habeat, pacato ac leni animo ipsi respondeat. En enim, melior est sermo quam donum, et utrumque apud virum gratiosum.

CCXV. — EVOPTIO EPISCOPO.

Tu quidem, vulgi fortasse sententiam sequens, gravius eum peccasse dixisti, qui virgini vim attulit, quam qui eam ad stuprum induxit. Ego vero ipsam rei naturam attendens, sic existimo (etsi enim novum et insolens esse videbitur quod dicturus sum, tamen, quia verum est, id dicam), eum qui sermonis blanditiis eam illexit, flagitiosiorem

ΣΙΓ'. — ΠΕΤΡΩ.

Πῶς εἴρηται τό· « Φάσκοντες εἶναι σοφοί, ἐμωράνθησαν. »

Τό, « Φάσκοντες εἶναι σοφοί, ἐμωράνθησαν, » καὶ διὰ τοῦτο, ὦ σοφὲ, εἴρηται, ἐπειδὴ παρ' αὐτοῖς μὲν ὄγκος ἦν πολὺς ἀληθείας χηρεύων, παρὰ δὲ ταῖς Γραφαῖς ἀλήθεια κόμπου καθαρεύουσα. Τότε μὲν οὖν ἀνδρείας ἔδει καὶ συνέσεως πολλῆς, πᾶσαν πιθανότητα κεκομψευμένην, καὶ ἐντρεχῶς τὸ ψεῦδος ὡς ἀληθὲς παριστῶσαν ἀπογυμνούσης. Νῦν δὲ καὶ αὐτοῖς τοῖς ἀγροίκοις ἡ πλάνη αὐτῶν εὐφώρατος γέγονεν.

ΣΙΔ'. — ΑΠΟΛΛΩΝΙΩ.

Περὶ ἐλεημοσύνης.

Τὴν ἐλεημοσύνην χρὴ καθαρὰν ὕβρεως καὶ ὀνείδους εἶναι. Οἱ γὰρ ἐκείνῃ ταῦτα μιγνύντες, εὐώδει μύρῳ δυσώδη κιρνῶσι βόρβορον, καὶ τὰς τῶν λαμβανόντων πλήττουσι ψυχάς. Τὰ γὰρ μετ' ὀνείδους παρεχόμενα, κἂν μέγιστα ᾖ, οὐχ ἥδιστα τοῖς λαμβάνουσι, κἂν διὰ τὴν ἀνάγκην σιγῇ στέργωσι τὰς ὕβρεις. Ὅταν δὲ καὶ ἐλάχιστα ᾖ, καὶ μεθ' ὕβρεως παρέχηται, ἀφόρητόν τινα χειμῶνα ταῖς ψυχαῖς τῶν πενομένων τίκτει. Περὶ γὰρ τῶν μήτε παρεχόντων, ἀλλὰ καὶ λοιδορούντων, οὐδὲ μεμνῆσθαι χρή· πᾶσαν γὰρ ὑπερβεβήκασι θηριωδείας ἀγριότητα. Τοὺς γὰρ πρὸς αὐτοὺς, ὡς πρὸς λιμένα, καταίροντας καταδύουσι, μήτε τὴν ἀναγκαίαν πληροῦντες χρείαν, ἀλλὰ καὶ ὕβρεις προστιθέντες. Χρὴ τοιγαροῦν πράως ἀποκρίνασθαι τοῖς δεομένοις, καὶ κατὰ δύναμιν παρέχειν, κρύπτειν τε ἐλεημοσύνην, ὥσπερ ἐλευθέραν τινὰ καὶ εὐγενῆ καὶ σώφρονα παρθένον, καὶ μὴ πᾶσιν αὐτὴν ἐκπομπεύειν. Εἰ δὲ μὴ ἔχοι τις δι' ὧν παραμυθήσεται τὸν ἱκέτην, ἀποκρινάσθω αὐτῷ εἰρηνικὰ ἐν πραΰτητι. Ἰδοὺ γὰρ λόγος ὑπὲρ δόμα ἀγαθὸν (14), καὶ ἀμφότερα παρὰ ἀνδρὶ κεχαριτωμένῳ.

ΣΙΕ'. — ΕΥΟΠΤΙΩ ΕΠΙΣΚΟΠΩ.

Αὐτὸς μὲν τῇ τῶν πολλῶν διανοίᾳ ἴσως ἑπόμενος χαλεπώτερον ἔφης τὸν βιασάμενον παρθένον τοῦ πείσαντος. Ἐγὼ δ' αὐτῇ τοῦ πράγματος προσέχων τῇ φύσει, ἡγοῦμαι· εἰ γὰρ καὶ παράδοξον εἶναι δόξει τὸ λεχθησόμενον, ἀλλ' ὅμως ἀληθὲς ὂν λελέξεται· ὅτι ὁ πείσας τοῦ βιασαμένου ἐναγέστερος τυγχάνει (15). Ἐνταῦθα γὰρ ἡ πειθὼ τῆς βίας ἀργαλεωτέρα ἐστὶ,

[83] Rom. I, 22.

VARIÆ LECTIONES ET NOTÆ.

(14) *Ἰδοὺ γὰρ λόγος ὑπὲρ δόμα ἀγαθόν.* In B. C. est ἠδὺ γάρ. Locus exstat in Panareto seu Sapientia Syrach., cap. XVIII, v. 19, et quidem interrogationis figura prolatus : Οὐκ ἰδοὺ λόγος ὑπὲρ δόμα ἀγαθὸν, καὶ ἀμφότερα παρὰ ἀνθρώπων, non, ut apud Isidorum, ἀνδρὶ κεχαριτωμένῳ. Chrysostomus homil. 32, in I Corinth. XIII, etiam sic citat, Ἰδοὺ λόγος ὑπὲρ δόμα ἀγαθός. Et idem lib. III, *De sacerdotio*, Ὑπὲρ δόματα ἀγαθόν. Sed nusquam aliter quam ἰδοὺ legitur, nisi in Isidor. ms. Bavar., ubi est ἠδὺ, quod tamen fortasse non prorsus contemnendum sit, quamvis et Latinus interpres vetus reddiderit Ἰδού· *Nonne, ecce, verbum super datum bonum.* RITT.

(15) Locum hunc illustrat lex Solonis quam Plutarchus tangit in ejus Vita ; nam plane est sententia istorum, τὸ πεισθῆναι παρὰ τὸ βέλτιστον οὐδὲν ἡγεῖτο τοῦ βιασθῆναι διαφέρειν. Hoc solum differunt quod minus dicit Plutarchus quam Isidorus. CASAUBON., *epist. ad Rittershusium.*

Digitized by Google

τῷ τὴν μὲν κολάσεως, τὴν δὲ συγγνώμης ἀπολαύειν. Ὁ μὲν γὰρ τὸ σῶμα ὑβρίσας, τὴν γνώμην καθαρὰν διετήρησεν· ὁ δὲ τὴν ψυχὴν προδιαφθείρας, οὗτος ἐπὶ τὴν τοῦ σώματος ὕβριν ἐχώρησε· καὶ ὁ μὲν ἀνεύθυνον, ὁ δὲ ὑπεύθυνον τῇ δίκῃ πεποίηκε. Τῆς μὲν γὰρ ἡ ὕβρις μέχρι τοῦ σώματος ἔστη· τῆς δὲ καὶ εἰς ψυχὴν ἀνέδραμε. Καὶ ἡ μὲν βιασθεῖσα ἀπολογίαν, ἡ δὲ πεισθεῖσα ἀπαραίτητον ἔχει τὴν δίκην. Ἡ μὲν γὰρ καὶ δίκας εἰσπράξασθαι δύναται τὸν ὑβριστήν, ἡ δὲ τῷ διεφθάρθαι τῇ γνώμῃ ἀναπολόγητος οὖσα συνδιαφθείρεται καὶ τῇ τιμωρίᾳ. Ἡ μὲν γὰρ μέμψεως ἔξω, ἡ δὲ εἴσω καθίσταται. Κἀκείνῃ μὲν ἐλεεῖται, αὕτη δὲ μισεῖται δικαίως. Τῆς μὲν γὰρ ἡ ὕβρις, τοῦ μὲν σώματος ἥψατο, τῆς δὲ γνώμης οὐχ ὕψατο τῆς δὲ καὶ τὸ σῶμα καὶ τὴν ψυχὴν (16) μεμίανται. Εἰ δὲ λογισμοὺς οἴει ταῦτα εἶναι ἀνθρωπίνους, τὸν νόμον τοῦτον ἐκ τῶν οὐρανῶν ἀναγνωσόμεθα. Τί οὖν φησιν; « Ἐάν τις βιάσηται παρθένον ἐν ἐρήμῳ, τὸν μὲν ἀποκτείνατε, τὴν δὲ περιποιήσασθε· ἐβόησε γὰρ ἡ νεᾶνις, καὶ οὐκ ἦν ὁ βοηθῶν. » Τῇ δ' ἐν πόλει τοῦτο παθούσῃ, καὶ μὴ βοησάσῃ, ἀπαραίτητος; ἡ τιμωρία. Καὶ μάλα εἰκότως. Ἐν μὲν γὰρ ἐρημίᾳ ὁ βοηθήσων οὐκ ἦν· καὶ διὰ τοῦτο ἡ παροινηθεῖσα συγγνώμης ἀξία εἶναι κέκριται. Ἡ δ' ἐν πόλει τοῦτο παθοῦσα, καὶ τῇ σιγῇ συγκαταθεμένη, καὶ μὴ βοήσασα, μηδὲ καλέσασα τοὺς ἀναστεῖλαι τὴν βίαν δυναμένους, θανάτῳ εἰκότως κατακέκριται. Οὐκοῦν παντὶ σθένει χρὴ τὴν γνώμην καθαρὰν διατηρεῖν καὶ ἀμόλυντον, μηδεμιᾷ ὁρμῇ, μηδὲ συγκαταθέσει τοιαύτῃ μεμιασμένην, ἵνα κἂν, ὃ μὴ γένοιτο, γένοιτό τι τοιοῦτον, ἀκέραιον ἔχωσι τὴν ἀπολογίαν παρὰ τῷ ἀδεκάστῳ κριτῇ, τῷ καὶ τὰς καρδίας ἐμβατεύοντι, καὶ μαρτύρων μὴ δεομένῳ.

ac sceleratiorem esse. Hic enim persuasio vi atrocior est : quod illa plectatur, hæc veniam consequatur. Nam ille violato corpore, mentem puram atque integram servavit. Hic autem corrupta prius anima, ita demum ad inferendam corpori contumeliam se contulit. Atque ille quidem a crimine immunem, hic autem pœnæ obnoxiam eam reddidit. Etenim illius contumelia non ultra corpus progressa est : hujus autem, ad animam usque ascendit. Atque ea quidem, quæ vim perpessa est, excusationem ; ea autem quæ stuprum sibi persuaderi passa est, pœnam nulla deprecatione avertendam habet. Illa enim pœnas etiam ab eo, a quo compressa est, expetere potest : hæc vero, quod prius mente corrupta sit, excusatione cum careat, etiam punitur. Illa enim reprehensione vacat : hæc autem in reprehensione est. Atque illa quidem odio, hæc autem miserationi optimo jure est. Nam illius contumelia corpus quidem attingit, mentem autem minime attingit : hujus autem et corpus et anima contaminata sunt. Quod si rationes humanas hæc esse existimas, hanc legem e cœlis recitabimus. Quidnam igitur ait ? « Si quis virginem in solitudine compresserit, hunc extremo supplicio afficite, ipsam autem servate. Clamavit enim adolescentula, et non erat, qui succurreret [84]. » Ei autem quæ in urbe hoc perpessa fuerit, nec clamorem **223** ediderit, certissima pœna constituta est [85]. Idque optimo jure. Nam in deserto loco non erat qui opem ferret : ac propterea, quæ contumelia affecta est, venia digna esse judicata est. Quæ autem in civitate hoc pertulit, ac sceleri tacita assensit, nec exclamavit, nec eorum, qui vim cohibere poterant, opem implorarit, morte haud injuria multata est. Quæ cum ita sint, omnibus viribus est ipsis enitendum, ut puram mentem, atque ab omni macula et spurcitia liberam, ac nullo hujusmodi impetu aut assensu fœdatam et conspurcatam servent : ut si (quod Deus avertat) hujusmodi quidquam acciderit, incolumem apud incorruptum judicem, qui intimos quoque cordis secessus penetrat, nec testibus indiget, excusationem habeant.

ΣΙϚ'. — ΔΙΟΝΥΣΙΩ.

Εἰς τό· « Οὐ γὰρ ἐστιν ἐξουσία, εἰ μὴ ἀπὸ Θεοῦ. »

Ἐπειδὴ γέγραφας, τί ἐστιν, « Οὐ γάρ ἐστιν ἐξουσία εἰ μὴ ὑπὸ Θεοῦ, » καὶ ἔφης· Τί οὖν; Πᾶς ἄρχων ὑπὸ Θεοῦ κεχειροτόνηται; Φήσαιμι, ὅτι δοκεῖς μοι (καί μοι μηδὲν ὀργισθῇς· οὐδὲν γὰρ φλύαρον ἐρῶ) ἢ μὴ ἀνεγνωκέναι τὰς ἀποστολικὰς ῥήσεις, ἢ μὴ νενοηκέναι. Ὁ γὰρ Παῦλος οὐκ εἶπεν, Οὐ γάρ ἐστιν ἄρχων εἰ μὴ ὑπὸ Θεοῦ· ἀλλὰ περὶ τοῦ πράγματος αὐτοῦ διαλέγεται, λέγων· « Οὐ γάρ ἐστιν ἐξουσία, εἰ μὴ ὑπὸ Θεοῦ. » Τὸ γὰρ εἶναι ἀρχὰς ἐν ἀνθρώποις, καὶ τοὺς μὲν ἄρχειν, τοὺς δ' ἄρχεσθαι, καὶ μὴ ἁπλῶς, μηδ' ἀνέδην ἅπαντα φέρεσθαι, ὥσπερ κυμάτων τῇδε κἀκεῖσε τῶν δήμων, περιαγομένων, τῆς τοῦ Θεοῦ.

CCXVI. — DIONYSIO.

In illud : « Non enim est potestas, nisi a Deo [86]. »

Quoniam ex me per litteras sciscitatus es, quidnam illud sibi velit, « Non enim est potestas nisi a Deo, » ac dixisti : Quid igitur ? Omnisne, qui imperium gerit, a Deo institutus est ? hoc dixerim, te mihi videri (ac velim ne mihi succenseas : nihil enim futile dicam), aut apostolicas voces minime legisse, aut certe non animadvertisse atque intellexisse. Neque enim dixit Paulus, Non est præfectus nisi a Deo, verum de re ipsa disserit, his verbis utens : « Non enim est potestas nisi a Deo. » Nam quod inter homines imperia et magistratus sint, atque alii imperent, alii pareant : ac non te-

[84] Deut. xxii, 25-27. [85] ibid. 25, 24. [86] Rom xiii, 1.

VARIÆ LECTIONES ET NOTÆ.

(16) Pro τὴν ψυχήν ambo codd. Vat. 649 et Alt. scribunt, τῇ ψυχῇ. Possin.

Digitized by Google

merario et cæco impetu omnia ferantur, populis videlicet fluctuum instar huc atque illuc sese agitantibus, hoc a divina sapientia proficisci ait. Quoniam enim qui dignitate pares sunt, bellum plerumque excitare solent, idcirco populare imperium minime esse permisit, sed regnum. Ac post illud multa alia imperia effecit. Quænam tandem, inquis? Præfecti ac subditi, viri et uxoris, patris et filii, senis et juvenis, heri et servi, magistri et discipuli. Quin in brutis etiam animantibus idem perspicere liceat. Atque hoc apes comprobant, quæ regis imperio subsunt, et grues, et silvestrium pecudum greges. Quod si mare quoque consideres, ne id quidem hujusce disciplinæ expers esse comperietur. Multa enim illic piscium genera sub unius piscis principatu ac velut imperio militari censentur. Unde etiam longas peregrinationes suscipiunt. Siquidem ubique molestissima res est sublatio principatus, confusionisque ac perturbationis causa. Quo etiam fit, ut ne in corpore quidem, quod unum est, pari dignitate omnia sint, verum ex membris alia præsint, alia subsint. Quocirca rem ipsam, potestatem, inquam, hoc est imperium et regnum a Deo formatum atque institutum esse profitendum est, ut ne ornatus in statum inornatum degeneret. Quod si quis impius ac sacrilegus in illud irruperit, haudquaquam scilicet hunc a Deo creatum ac designatum esse dicimus, **224** verum permissum esse: quo nimirum aut Pharaonis in modum improbitatem omnem suam evomat, atque ita extremo supplicio excrucietur, aut eos, qui crudelitate opus habent, ad meliorem mentem revocet, quemadmodum rex Babylonis Judæos.

σοφίας ἔργον εἶναί φησιν. Ἐπειδὴ γὰρ τὸ ὁμότιμον οἶδε πολλάκις πόλεμον ἀναῤῥιπίζειν, οὐκ ἀφῆκε δημοκρατίαν εἶναι, ἀλλὰ βασιλείαν. Εἶτα μετὰ ταύτην πολλὰς ἐποίησε τὰς ἀρχάς. Ποίας φησίν; Ἄρχοντος καὶ ἀρχομένου, ἀνδρὸς καὶ γυναικός, πατρὸς καὶ παιδός, πρεσβύτου καὶ νέου, δεσπότου καὶ δούλου, διδασκάλου καὶ φοιτητοῦ. Κἀν τοῖς ἀλόγοις δὲ ζώοις τὸ παραπλήσιον ἴδοι τις ἄν. Καὶ τοῦτ' ἐγγυῶνται αἱ μέλιτται ὑπὸ βασιλεῖ ταττόμεναι, καὶ αἱ γέρανοι, καὶ αἱ ἀγέλαι τῶν ἀγρίων προβάτων. Εἰ δὲ καὶ τὴν θάλατταν σκοποίης, οὐδ' αὐτὴ ταύτης ἔρημος εὑρεθήσεται τῆς εὐταξίας· πολλὰ γὰρ κἀκεῖ τῶν γενῶν ὑφ' ἑνὶ τάττεται τῶν ἰχθύων καὶ στρατηγεῖται. Διὸ καὶ μακρὰς ἀποδημίας στέλλεται. Καὶ γὰρ παντοχοῦ ἡ ἀναρχία ἀργαλεώτατον, καὶ συγχύσεως καὶ ἀκοσμίας αἴτιον. Διὸ καὶ τῷ σώματι ἑνὶ ὄντι οὐ πάντα ὁμότιμα, ἀλλὰ τὰ μὲν ἄρχει τῶν μελῶν, τὰ δὲ ἄρχεται. Αὐτὸ δὴ οὖν τὸ πρᾶγμα, τὴν ἐξουσίαν φημί, τουτέστι τὴν ἀρχήν, καὶ τὴν βασιλείαν ὑπὸ τοῦ Θεοῦ τετυπῶσθαι λέγειν θέμις, ἵνα μὴ ὁ κόσμος εἰς ἀκοσμίαν ἐμπέσῃ. Εἰ δέ τις ἀλιτήριος παρανόμως εἰς ταύτην εἰσεκώμασεν, οὐ δήπου τοῦτον παρὰ Θεοῦ κεχειροτονῆσθαί φαμεν· ἀλλὰ συγκεχωρῆσθαι, ἢ πρὸς τὸ πᾶσαν τὴν [οἰκείαν] πονηρίαν ὥσπερ ὁ Φαραὼ ἐξεμέσαι, καὶ οὕτως δίκην δοῦναι τὴν ἐσχάτην, ἢ πρὸς τὸ σωφρονίσαι τοὺς ὠμότητος δεομένους, ὥσπερ ὁ Βαβυλώνιος τοὺς Ἰουδαίους.

CCXVII. — ISAIÆ.
De Providentia.

Vis Numinis ultrix (o quonam te nomine digne appellem!) mortalium res inspectat, eos qui scelerati aliquid admittunt, puniens. Nec res humanæ eo statu sunt, ut nemo eas curet ac moderetur. Hoc igitur cum cognitum et exploratum habeas, injustitiam fuge, ut pœnam quoque fugias.

ΣΙΖ'. — ΗΣΑΙΑ.
Περὶ Προνοίας.

Δίκη, ὦ τί σε καλέσας ἀξίως προσείπω; τὰ θνητῶν πράγματα ἐποπτεύει, τιμωρὸς τῶν ἀδίκα πραττόντων. Καὶ οὐκ ἔστιν ἀνεπιτρόπευτα τὰ τῇδε. Τοῦτο οὖν γνοὺς, φεῦγε τὸ ἀδικεῖν, ἵνα καὶ τὴν τιμωρίαν διαφύγοις.

CCXVIII. — HERMOGENI EPISCOPO.

Quoniam scripsisti, me, ut par est, omni ratione te pascere, atque a lingua mea in tuas aures doctrinam commemoratione dignam derivare, illud rescribo, quod si quid commodi atque eruditi a me scribitur, hoc divinæ ac cœlestis gratiæ esse existimare debes, quæ rudes etiam et imperitos sapientes efficit.

ΣΙΗ'. — ΕΡΜΟΓΕΝΕΙ ΕΠΙΣΚΟΠΩ.

Ἐπειδὴ γέγραφας, ὡς εὖ ποιῶ πάντα τρόπον ἐστιῶν σε (17), καὶ ἀπὸ τῆς ἐμαυτοῦ γλώττης ἐπὶ τὰς σὰς ἀκοὰς, [διὰ] διδασκαλίαν (18) ἀξιαφήγητον μετοχετεύων· ἀντεπιστέλλω, ὅτι εἴ τι ἐπιστέλλεται παρ' ἡμῶν δεξιὸν, τοῦτο τῆς ἄνωθεν εἶναι νόμιζε χάριτος, τῆς καὶ ἰδιώτας σοφιζούσης.

CCXIX. — HERMINO COMITI.
Ad principes.

Nunc cum ad imperium evectus es, majorem tibi nominis celebritatem atque admirationem comparabis, si eos, a quibus injuria affectus es, minime

ΣΙΘ'. — ΕΡΜΙΝΩ ΚΟΜΗΤΙ.
Πρὸς ἄρχοντας.

Νυνὶ μᾶλλον ὅτε ἀρχῆς ἐπέβης, ἀοίδιμος ἂν γένοιο καὶ ζηλωτὸς, εἰ τοὺς ἀδικήσαντας μὴ ἀμύνῃ, ἀλλὰ [καὶ] νῦν μάλιστα πάντων τῶν λυπηρῶν λήθην

VARIÆ LECTIONES ET NOTÆ.

(17) Ὡς εὖ ποιῶ, *πάντα τρόπον ἐστιῶν σε.* Rectius fortasse Latine, *me recte facere, dum omni ratione te pasco.* Ritt.

(18) *Διὰ διδασκαλίαν.* Billius, *per doctrinam*, a codice Bavar. rectius abest διὰ quod etiam in versione omitti debet, alioquin enim nihil hic erit quod in aures derivetur per doctrinam. Imo doctrina ipsa derivatur per aures in animum. Notanda hic est pietas et modestia Isidori, omnia Deo accepta referentis quæ bene sapienterque scripsit. Ib.

Digitized by Google

ποιήσῃ, ὅτε μάλιστα τὸ δύνασθαί σε αὐτοὺς τιμωρῆσαι παρέσχεν ἡ τῆς ἀρχῆς ἐξουσία.

A ulciscaris : ac nunc maxime omnes molestias oblivioni mandes, cum maxime ipsos ulciscendi potestatem imperii licentia tibi præbuit.

ΣΚ'. — ΗΡΑΚΛΕΙΔΗ ΕΠΙΣΚΟΠΩ.

Ὁ τῇ πείρᾳ τὴν φήμην ὑπερβαίνων, καὶ κρειττων ἀκοῆς εἰς θέαν ἐρχόμενος, οὗτος εἰκότως καὶ ἐγκωμίων κρειττων ἐστὶν, ἐλέγχων τοὺς λόγους, ὡς τῆς ἑαυτοῦ ἀξίας καταδεεστέρους. Ἀλλ' ἐπειδὴ εἰ καὶ ἡττῶνται οἱ λόγοι, χρὴ τὴν γνώμην νικᾶν [τολμᾷν], χρὴ καὶ τὰ προσόντα ἐγκώμια τοῖς φιλαρέτοις λέγειν τε καὶ γράφειν. Τρία γὰρ ἐκ τούτου συμβαίνει καλά· τό τε γνησίως ἔχειν πρὸς τὴν ἀρετήν· οὐδεὶς γὰρ φαῦλος τοὺς σπουδαίους ἐπαινεῖν ὑπομένει· τό τε φθόνου καθαροὺς εἶναι, μὴ κρύπτοντας τῶν ὑπὲρ ἡμᾶς τὰ πλεονεκτήματα· τό τε πονηροὺς ἢ καταισχύνεσθαι, ἢ σωφρονίζεσθαι, ὧν ἑκάτερον αὐτοῖς λυσιτελεῖ.

B

CCXX. — HERACLIDI EPISCOPO.

Qui experimento famam superat, cujusque aspectus et præsentia rumorem antecellit, hic demum merito laudes etiam vincit, sermones coarguens, ut dignitate sua inferiores. Verum quoniam, etsi sermones vincuntur, mentem tamen victoriam adipisci oportet, audendum est ac faciendum, ut laudes eas, quæ probis et virtute præditis viris insunt, exponamus, ac litteris mandemus. Triplex enim hinc commodum oritur, nempe ut et sincero animi affectu virtutem complectamur (nemo enim improbus viros probos laudare sustinet), et ab invidia puri atque immunes simus, utpote eorum, a quibus superamur, virtutum prærogativas minime prementes et occultantes : ac denique improbi aut pudore suffundantur, aut ad officium revocentur. Quorum utrumque ipsis utile est.

ΣΚΑ'. — ΛΑΜΠΕΤΙΩ ΕΠΙΣΚΟΠΩ.

Μὴ ἀγανάκτει, ὦ μισοπονηρίας περίβλεπτον θρέμμα, εἰ Εὐσέβιος ὁ ἀσεβείας, ὡς γέγραφας, ἀνάπλεως, ἄσπονδον ἔχων καὶ ἀκήρυκτον πρὸς τοὺς ἀρετῇ συζῶντας πόλεμον, πρὸς τοὺς κακίαν ἀσπαζομένους σπένδεται·, μηδ' ὅτι ἢ πολεμεῖ τοὺς ἔχοντας, εἰ μὴ λάβῃ χρήματα, ἢ ἵνα μὴ πολεμήσῃ λαμβάνει, ὅσα πολεμῶν λῃσασθαι ἠδύνατο, ἀλλὰ τὴν θείαν ἀνάμενε ψῆφον.

CCXXI. — LAMPETIO EPISCOPO.

Ne hoc nomine indigneris (o conspicue improborum odii alumne), quod Eusebius, impietatis, ut scripsisti, plenus, immane atque implacabile cum his qui recte et ex virtute vivunt, bellum gerens, cum his qui vitium amplectuntur, amicitiæ fœdus init : nec quod aut habentibus, si pecunias non accipiat, bellum infert, aut, ne bello eos lacessat, tanta accipit, quanta, si bellum intulisset, diripere potuisset. Verum divinam sententiam exspecta.

C

ΣΚΒ'. — ΤΩ ΑΥΤΩ.

Ἐπειδὴ πλείονα ἡ θεία πρόνοια ποιεῖται τὴν φειδὼ τῶν ἁμαρτανόντων, ἢ ὅσον ἐκείνους ὁρᾷ ἑαυτῶν ἀφειδοῦντας, διὰ τοῦτο βασιλικῷ καὶ φιλανθρώπῳ μακροθυμίας χρωμένη κηρύγματι βοᾷ· « Μετανοεῖτε, ἤγγικεν ἡ βασιλεία τῶν οὐρανῶν. » Εἰ δ' οἱ ἁμαρτάνοντες παρ' οὐδὲν θέμενοι τὴν παραίνεσιν, τῆς μακροθυμίας, ὡς ἀμελείας καταψηφίσονται, ἴσως μὲν καὶ νῦν, πάντως δ' ὅτε ὁ καιρὸς ἐπιστῇ τῆς δίκης, οὐκ ἔτι φείσεται τῶν ἑαυτοὺς φειδοῦς μὴ ἀξιωσάντων, ἀλλὰ δίκας σφοδροτάτας εἰσπράξεται τοὺς τῆς μακροθυμίας καταφρονήσαντας. Διὸ καὶ τοῦτ' ἐῤῥήθη, ὅπερ ἠθέλησας μαθεῖν· « Ἐσιώπησα, μὴ καὶ ἀεὶ σιωπήσομαι, καὶ ἀνέξομαι; Καὶ ἐκστήσω καὶ ξηρανῶ ἅμα. » Δίκαιον γὰρ τοὺς τῇ τοσαύτῃ μακροθυμίᾳ μὴ ὠφεληθέντας, ἀλλ' ἐφόδιον αὐτὴν μειζόνων ἁμαρτημάτων πεποιημένους, ταῖς τῆς δίκης ἐναλῶναι τιμωρίαις.

D

225 CCXXII. — EIDEM.

Quandoquidem divina providentia, quo magis suæ salutis prodigos eos, qui peccant, esse conspicit, eo magis ipsorum saluti consulit, idcirco regio et humano lenitatis præconio utens, clamat : « Pœnitentiam agite, appropinquavit regnum cœlorum [67]. » Quod si ii, qui peccant, admonitionem hanc contemnentes ac pro nihilo putantes, lenitatem hanc, ut incuriam, damnarint, fortasse quidem in hac quoque vita, prorsus autem cum vindicandorum scelerum tempus advenerit, non jam iis parcet, qui sibi ipsis parcere recusarunt, verum acerbissimas ab iis, a quibus ipsius lenitas contempta est, pœnas exiget. Eoque spectat illud Scripturæ, quod ex me intelligere cupiisti : « Tacui, num etiam semper tacebo, ac sustinebo? Emovebo atque exsiccabo simul [68]. » Æquum est enim eos qui nullam ex tanta lenitate utilitatem acceperunt, verum ab ea graviorum scelerum occasionem traxerunt, divinæ justitiæ suppliciis atque tormentis constrictos teneri.

ΣΚΓ'. — ΑΛΥΠΙΩ ΕΠΙΣΚΟΠΩ.

Εἰ τὰς τιμωρίας μεγίστας εἶναι τῷ πλήθει τῶν συνειδότων εἰκότως κρίνομεν (αἱ γὰρ λανθάνουσαι κουφότεραί πως εἶναι πεφύκασιν), ὁποίαν εἰκὸς εἶναι τὴν κόλασιν, ὅταν παρόντων τῶν οὐρανίων δήμων, καὶ πάσης τῆς ἀνθρωπότητος ὁρισθείη;

CCXXIII. — ALYPIO EPISCOPO.

Si gravissimas eas pœnas esse merito judicamus, quarum multi conscii sunt (nam occultæ leviores quodammodo esse solent), qualem hunc cruciatum esse verisimile est, cum præsentibus cœlestibus populis atque in hominum omnium oculis et aspectu constituetur?

[67] Matth. III, 2 [68] Isa. XLII, 14

Digitized by Google

CCXXIV. — ISIDORO EPISCOPO.

De invidia.

Cum in nulla alia re bona, aut boni speciem habente (vir mihi cognominis) lenis est invidia, verum acerba et truculenta : tum vero in virtute, quæ boni naturam proprie sortita est, consolationem prorsus omnem respuit. Ac quidem invidia flagrare, molestiæ quidem expers fortasse fuerit, at minime præclarum et luculentum (nam ita se gerere, ut merito ipsi invideatur, velim nec mihi unquam nec amicis meis contingat). Oportet autem eum, cui invidetur, invidiæ malignitates prudenti animo perferre.

ΣΚΔ'. — ΙΣΙΔΩΡΩ ΕΠΙΣΚΟΠΩ.

Περὶ φθόνου.

Οὐδὲ ἐπ' ἄλλῳ μὲν οὐδενὶ, [ὦ] ὁμώνυμε, τῶν ὄντων ἢ δοκούντων καλῶν, πραῦς ὁ φθόνος, ἀλλ' ἄγριος καὶ ἀργαλέος· ἐπὶ δ' ἀρετῇ, ἥτις κυρίως τὴν τοῦ καλοῦ κεκλήρωται φύσιν, καὶ πάμπαν ἀπαραμύθητος. Τὸ μὲν οὖν μὴ φθονεῖσθαι, ἄλυπον μὲν ἴσως, οὐ μὴν εὐκλεές. Φθόνου γὰρ ἂν ἀξίως πράττειν (19), μήτ' ἐμοί ποτε μήτε φίλοις ἐμοῖς συμβαίη. Χρὴ δὲ φθονούμενον, σώφρονι λογισμῷ τὰς τοῦ φθόνου κακοηθείας φέρειν.

CCXXV. — EIDEM.

De charitate erga Deum.

Ego iis, quibus earum rerum, quæ ad virtutem adipiscendam fieri debent, nihil deest (multi quippe, tametsi virtutem maximum bonum, ut revera est, esse statuant, ipsius tamen haud magnam curam gerunt), hoc dico, ipsos, si modo virium suarum fiducia minime nitantur, verum ea quæ recte et cum laude gerunt, ad divinam opem referant, et turbulentos animorum motus profligaturos esse, et ad virtutis metam perventuros. Nam etsi id quod humano robore præstantius est, hoc præbet ut adversarios quispiam superet : tamen cui divinum numen auxilio est, **226** victoriam scilicet ipsi acceptam ferenti, huic contra si sibi laudem ascribat, minime mirandum est, si quominus victoriam adipiscatur, impedimentum afferat.

ΣΚΕ'. — ΤΩ ΑΥΤΩ.

Περὶ τῆς εἰς Θεὸν ἀγάπης.

Ἐγώ φημι τοῖς οἷς οὐδὲν ἐλλείπεται τῶν ὀφειλόντων πρὸς ἀρετὴν πραχθῆναι· πολλοὶ γὰρ μέγιστον ἀγαθὸν, ὥσπερ οὖν καὶ ἔστιν, ὁριζόμενοι τὴν ἀρετὴν, οὐ πάνυ φροντίζουσιν αὐτῆς· τούτους, εἰ μὴ τῇ οἰκείᾳ δυνάμει θαῤῥοῖεν, ἀλλ' ἀναφέροιεν πρὸς τὴν θείαν ῥοπὴν τὰ κατορθούμενα, καὶ τῶν παθῶν περιέσεσθαι, καὶ εἰς τέλος πάντως ἥξειν ἀρετῆς. Εἰ γὰρ καὶ τὸ κρατεῖν δίδωσι τῶν ἀντιπάλων τὸ ἀνθρωπίνης ῥώμης κρεῖττον, ὡς μηδὲν ἐμποδὼν εἶναι τῇ τοῦ ἀθλητοῦ προθυμίᾳ, ἀλλ' οὖν γε ᾧ τὸ θεῖον ἐπικουρεῖ, ἀναφέροντι δῆλον ὅτι πρὸς αὐτὸ τὴν νίκην, τούτῳ οὐδὲν κρεῖττον, εἰ ἐμποδὼν εἴη πρὸς τὴν νίκην.

CCXXVI. — EIDEM.

Breviter dicere volo, quod perspicuis verbis eloqui nolo. Si malus esset, qui ab insidiantibus contumelia afficitur (scis de quo loquar), eos, a quibus nunc maledictis incessitur, summos laudum suarum præcones nunc haberet.

ΣΚϚ'. — ΤΩ ΑΥΤΩ.

Συντόμως φράσαι βούλομαι, ὃ φράσαι σαφῶς οὐ βούλομαι. Εἰ κακὸς ἦν ὁ παρὰ τῶν ἐπιβουλευόντων παροινούμενος· οἶσθα δ' ὃν λέγω· τοὺς νῦν λέγοντας κακῶς εἶχεν ἂν ἄκρους.

CCXXVII. — EIDEM.

Quisquis probitatis particeps est, huic virtutem honore affici gratissimum erit. Quemadmodum enim si legislator quispiam maximas flagitiis pœnas constituat, haudquaquam ipse ad perpetrandum flagitium paratus esse existimandus est : eodem modo cum quis eximia et singularia virtutis præmia audiens, voluptate afficitur, ad omne virtutis genus propensus ac paratus esse existimatur : atque bonis quidem omnibus refertus, nullo autem malo infectus. Nec vero mirum atque absurdum est, quod probi viri virtutem admirentur, atque amore complectantur.

ΣΚΖ'. — ΤΩ ΑΥΤΩ.

Πᾶς ὅτῳ μέτεστι καλοκαγαθίας, ἀσμενίσει τῆς ἀρετῆς τιμωμένης. Ὥσπερ γὰρ εἴ τις νομοθέτης μεγίστας κολάσεις τῶν παρανομιῶν τάττοι, οὐκ ἂν αὐτός γε παρασκευάζεσθαι παρανομεῖν νομισθείη· οὕτως ὅταν τις ὑπερφυεῖς τὰς τῆς ἀρετῆς ἀμοιβὰς ἀκούων ἡσθείη, πρὸς πᾶσαν ἀρετὴν ἕτοιμος εἶναι δόξει· καὶ ἀγαθῶν μὲν πάντων ἔμπλεως, κακοῦ δὲ οὐδενός. Καὶ θαυμάζεσθαι γὰρ καὶ φιλεῖσθαι τὴν ἀρετὴν παρὰ τῶν σπουδαίων οὐκ ἀπεικός.

CCXXVIII. — ARPOCRÆ SCHOLASTICO.

De vaticinandi arte.

Quod divinandi ars apud gentiles nugarum plena erat, atque incassum omnium ore celebrabatur, in

ΣΚΗ'. — ΑΡΠΟΚΡΑ ΣΧΟΛΑΣΤΙΚΩ.

Περὶ μαντικῆς.

Ὅτι ἡ μαντικὴ ὕθλος ἦν παρ' Ἕλλησι, καὶ μάτην ἐθρυλλεῖτο, δέδεικται μέν μοι ἐν τῷ *Πρὸς Ἕλληνας*

VARIÆ LECTIONES ET NOTÆ.

(19) *Φθόνου γὰρ ἂν ἀξίως πράττειν.* Malæ lectionis non potuit alia quam consimilis fieri interpretatio. B. C. longe melius ἀναξίως. Itaque sic corrigenda versio : *Nam illa agere, quæ invidia non sunt digna, nec mihi nec amicis meis usquam contingat.* Fortasse pro ἀναξίως legend. ἀνάξια. Adi ad explicat. Proverbii : *Invidia serpit ad habentem.* Rittr.

Digitized by Google

λόγῳ. Ἐπειδὴ δ' Ὅμηρον ὡς σοφώτατον μάρτυρα προβάλλῃ, τὸν αὐτὸν ἀντιπροβαλοῦμαι. Σεμνὴ γὰρ καὶ ἡ παρὰ τῶν ἐχθρῶν μαρτυρία (20). Ὅταν γὰρ ποιῇ τὸν Ἕλενον μάντιν ὄντα, Ἀλεξάνδρῳ τ' ἀδελφῷ παρακελευόμενον, τῆς μὲν μάχης ἀποπτῆναι, εὔξασθαι δὲ τῇ Ἀθηνᾷ μετὰ τῶν γυναικῶν ἐν ἄστει γενόμενον· εἶτα τὰς μὲν εὐχομένας, τὴν δὲ ἀνανεύουσαν· αὖθις δὲ τὸν μὲν μάντιν παρακελευόμενον εἰς μάχην προκαλεῖσθαι τὸν ἄριστον τῶν Ἑλλήνων, τὸν δὲ πειθόμενον, καὶ προκαλούμενον, ἠττώμενον δὲ καὶ τιτρωσκόμενον, καὶ διαλυθῆναι δεόμενον, ἆρ' οὐ δῆλός ἐστι καὶ τοῖς κομιδῇ νηπίοις, τὴν μαντικὴν οἷον ἐπὶ κόρρης ῥαπίζων, ἢ καὶ καταγελῶν τῆς ἀβελτηρίας αὐτῆς καὶ ἀλαζονείας, ὡς θρασυνομένης μὲν ἐν τῷ προαγορεύειν καὶ ἐλπίδας χρηστὰς ὑποτίθεσθαι, ἐνδὲ τοῖς πέρασιν ἐλεγχομένης καὶ διαμαρτανούσης· παντί που δῆλόν ἐστιν. Εἰ δὲ πολλαχοῦ μάντεις φάσκει, καὶ θυοσκόπους, καὶ ὀνειροπόλους, θαυμαστὸν οὐδέν. Ἡ γὰρ ποιητικὴ, ἔστιν ὅπου τὸ μυθῶδες ἐπιποθοῦσα, ὕλην ἔχει τὸ ψεῦδος, ὑφ' ἡδονῆς (21) ἀκρίτου θρασυνομένη ἐξυβρίζει καὶ ὑλομανεῖ τὸ μυθῶδες καὶ θεατρικὸν ἐπιδεικνυμένη. Τοσοῦτον γὰρ αὐτῇ οὐ μέλει τῆς ἀληθείας, ὡς καὶ τοὺς παῖδας Ἀλῶνος εἰσάγουσαν ματαιοπονοῦντας μᾶλλον ἢ μεγαλουργοῦντας, φάναι·

libro *Adversus gentiles* a me demonstratum est. Quoniam autem Homerum ut sapientissimum testem producis, eumdem vicissim adversum te producam. Grave enim atque auctoritatis plenum illud etiam testimonium est, quod ab hostibus sumitur. Nam cum Helenum, qui vaticinandi artem profitebatur, inducit, Alexandrum fratrem monentem, ut pugna evolet, profectusque in urbem Minervæ una cum mulierculis vota faciat, ac postea eas quidem precantes, ipsam autem eorum preces aspernantem, ac deinde vatem eum hortantem ut Græcorum præstantissimum ad singulare certamen provocet, cui cum ipse morem gessisset, ac provocasset, victus sit, vulnusque acceperit, atque aliquo, qui pugnam dirimeret, opus habuerit, annon vel pueris ipsis admodum perspicuum est, eum divinationi velut alapam in malam impingere, aut etiam ipsius stoliditatem atque arrogantiam irridere, ut quæ in prædicendo quidem, ac læta spe ostentanda, temeritate atque insolentia efferatur, cæterum in fine coarguatur : atque a vero aberret, id certe cuivis manifestum est. Quod si compluribus locis vatum et aruspicum, atque eorum, qui somnia interpretantur, mentionem facit, haud mirum videri debet. Poesis enim figmenta interdum expetens, mendacium pro materia habet, atque præ voluptate præpostera judiciique experte insolescens petulanter se jactat et luxuriat, fabulosum ac theatricum narrationis genus ostentans. Adeo enim veritatem nihil curat, ut etiam Halonis filios inani potius labore se cruciantes, quam ingens aliquod facinus perpetrantes inducens, his verbis utatur :

Ὅσσαν ἐπ' Οὐλύμπῳ μέμασαν θέμεν. Αὐτὰρ ἐπ' [*Ὄσσῃ*

Πήλιον εἰνοσίφυλλον, ἵν' οὐρανὸς ἄμβατος εἴη.

227 *Ossæum his montem studio fuit addere Olympo. Ac rursum excelso superaddere Pelion Ossæ,*

Æthereas possent ut sic conscendere ad arces.

Εἶτα πιστεύουσα αὐτοὺς κρατήσειν εἰ ἡβήσειαν, γνώμην ἀποφαίνεται ἀπαίδευτον καὶ ἀφιλόσοφον, φράζουσα,

Ac deinde illud credens, eos, si ad florentem ætatem pervenissent, victoriam adepturos fuisse, inscitam ac philosophiæ expertem sententiam pronuntiat, dicens :

Καί νύ κεν ἐξετέλεσσαν, εἰ ἥβης μέτρον ἵκοντο.

Idque peregissent, nisi mors truculenta, prinsquam Crevissent, Stygias ambos misisset ad umbras.

Οὐ φημι γὰρ τρία ὄρη, ἀλλ' οὐδ' εἰ πᾶσα ἡ γῆ πλασθείη καὶ μετεωρισθείη τρόπον κίονος, ἐφάψεται τῆς οὐρανίου ἁψίδος· καὶ μάλιστα κατὰ τοὺς λέγοντας, τὴν γῆν κέντρον εἶναι τοῦ οὐρανοῦ. Κέντρον γὰρ περιφερείας οὐκ ἄν ποτε ἅψοιτο.

Non enim dicam tres montes, sed nec si terra universa effingeretur, atque columnæ in modum erigeretur, cœlestem axem attingeret : ac præsertim, juxta eorum sententiam, qui terram centrum cœli esse asserunt. Centrum quippe circumferentiam haud unquam attigerit.

ΣΚΘ'. — ΘΕΟΔΟΣΙΩ ΣΧΟΛΑΣΤΙΚΩ.

Περὶ ἀληθείας.

Ὁ ἐν ἀρχῇ τῆς ἀληθείας ἐκπίπτων, πάντως ἐκκυλισθήσεται τοῦ προκειμένου, καὶ εἰς αἰσχρὸν καταστρέψει τέλος.

CCXXIX. — THEODOSIO SCHOLASTICO.

De veritate.

Qui in principio a veritate excidit, prorsus ab eo quod sibi proposuit exturbabitur, atque in fœdum finem desinet.

VARIÆ LECTIONES ET NOTÆ.

(20) Ab hoste testimonium vim magnam habet. Hanc sententiam alibi iterat auctor, totidem fere verbis, ut lib. III ep. 335, et ep. 225, lib. IV. Sic Basilius Magnus in homilia *De nativit. Christi* : Αἱ παρὰ τῶν ἐχθρῶν μαρτυρίαι ἀξιοπιστότεραί εἰσιν. Lactant. lib. IV, c. 12 : « Satis firmum testimonium est ad probandam veritatem quod ab ipsis perhibetur inimicis. » Sic vera est laus, quam Hectori Agamemnon *Iliad.* K. et Lucullo Mithridates (uterque hosti) tribuit apud Ciceron. proœm. *Acad. Quæst.* Vide Pet. Victor. lib. XXIX *Var. lect.*, c. 11, et Just. Reub. J. C. doctiss. tractatu *De testib.*, pag. 65 et 127. RITT.

(21) Pro τὸ ψεῦδος, ὑφ' ἡδονῆς, etc., duo codd. Vat. 649 et Alt. scribunt, τὸ ψεῦδος ἐφ' ἡδονῆς, etc. POSSIN.

Digitized by Google

CCXXX. — ZOSIMO, MARONI.

Aiunt nonnulli, ne Metrodorum quidem Epicureum ita per res ipsas Epicuri, qui ab omnibus sapientibus abdicatus et proscriptus est, dogmata confirmasse, ut misera vestra trinitas confirmat. Quamobrem si vera loquuntur, impudicitiæ vestræ ac lasciviæ finem imponite. Sin minus, pudicitiæ hærete.

ΣΛ'. — ΖΩΣΙΜΩ. ΜΑΡΩΝΙ.

Φασί τινες, ὡς οὐδὲ Μητρόδωρος ὁ Ἐπικούρειος, οὕτως διὰ πραγμάτων ἐβεβαίωσεν Ἐπικούρου, τοῦ παρὰ πάντων τῶν σοφῶν ἀποκηρυχθέντος, τὰ δόγματα, ὡς ἡ ἀθλία ὑμῶν τριττύς. Εἰ τοίνυν ἀληθεύουσι, παύσασθε τῆς λαγνείας. Εἰ δὲ μή, ἔχεσθε τῆς σωφροσύνης.

CCXXXI. — THEODOSIO EPISCOPO.

Vereor quidem dicere, ne adulari videar (omnium enim leviorum vitiorum turpissimum esse adulationem existimo), dicam tamen a veritate coactus. Nemo, ut opinor, imo ut persuasum habeo, eas animi dotes atque virtutes, quæ in te insunt, verbis ullis consequi possit, ne si decem quidem linguas, ac decem ora, paremque linguis animarum numerum habeat.

ΣΛΑ'. — ΘΕΟΔΟΣΙΩ ΕΠΙΣΚΟΠΩ.

Ὀκνῶ μὲν εἰπεῖν, διὰ τὸ μὴ δόξαι κολακεύειν· πάντων γὰρ τῶν λεπτῶν παθῶν τὴν κολακείαν αἰσχροτέραν ἡγοῦμαι· φράσω δὲ, ὑπὸ τῆς ἀληθείας ἀναγκαζόμενος, ὅτι οὐδείς, ὡς οἶμαι, μᾶλλον δὲ πέπεισμαι, τῶν σοι προσόντων πλεονεκτημάτων ἐφικέσθαι δυνηθείη, οὐδ' εἰ δέκα μὲν γλῶττας, δέκα δὲ στόματα ἔχοι (22), καὶ ψυχὰς ταῖς γλώσσαις ἰσαρίθμους.

CCXXXII. — DIONYSIO PRESBYTERO.

Qui, cum nullum in se bonum agnoscat, verborum modestia utitur, ignoscens, vel agnoscens potius, ac non modestus est. At qui post multas virtutes submisse de se sentit, is demum proprie est, qui modestum se præbere novit.

ΣΛΒ'. — ΔΙΟΝΥΣΙΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Ὁ [μὲν] μηδὲν ἑαυτῷ, ὦ σοφὲ, συνειδὼς ἀγαθὸν, μετριολογῶν, συγγνώμων, μᾶλλον δὲ ἐπιγνώμων, οὐ ταπεινόφρων ἐστίν. Ὁ δὲ μετὰ πολλὰ κατορθώματα ταπεινοφρονῶν, οὗτός ἐστι κυρίως ὁ μετριάζειν εἰδώς.

CCXXXIII. — MARTINIANO.

De avaritia.

Corporum amorem, ut qui acris quidem sit, verum celeriter exstinguatur, ob eam causam pictores cum facibus et pennis depingunt : quoniam nunc libidinem inflammat, nunc rursus ob saturitatem avolat. At pecuniarum amorem nemo unquam aut fingere, aut scribere ausus est. Cujus rei hæc fortasse causa est, quia ne amor quidem est, sed insanabilis furor. **228** Aut hæc fortasse, quia nec fingi nec describi potest. Neque enim quinquaginta duntaxat capita habet, ut fabulosa illa hydra, per quæ ad inexplebilem ventrem cibos transmittat, nec insaturabilis illius portenti instar afflicitur, nec denique Briarei in modum centum duntaxat manibus armatus est. Quin ne pennas quidem habet, satiari enim atque expleri nescit. Quonam itaque modo quispiam hujusmodi monstrum effingere aut pingere queat, cum quo Scylla comparata fidem invenisset, etsi alioqui incredibilis? Verum quoniam oratio quovis colore expressior est, ac quavis cera ad effingendum mollior, quantum licebit, eam delineare conabitur : non quod id perfecte atque absolute consequi possit, sed ut belluinam ipsius et

ΣΛΓ'. — ΜΑΡΤΙΝΙΑΝΩ.

Περὶ φιλαργυρίας.

Τὸν μὲν τῶν σωμάτων ἔρωτα, ἅτε δριμὺν μὲν ὄντα, ταχέως δὲ σβεννύμενον, διὰ τοῦτο οἱ ζωγράφοι σὺν λαμπάσι καὶ πτέρυξι γράφουσιν, ὅτι ποτὲ μὲν ὑπεκκαίει τὰ πάθη καπνίζων, ποτὲ δὲ διὰ κόρον ἀφίπταται. Τὸν δὲ τῶν χρημάτων οὐδεὶς οὔτε πλάσαι, οὔτε γράψαι ἐτόλμησε, τάχα μὲν ἐπειδὴ οὐδὲ ἔρως ἐστὶν, ἀλλὰ μανία ἀνήκεστος· τάχα δὲ ἐπειδὴ οὔτε πλασθῆναι, ἀλλ' οὔτε γραφῆναι αὐτὸν οἷόν τε. Οὔτε γὰρ πεντήκοντα μόνον ἔχει κεφαλὰς, κατὰ τὴν μυθευομένην ὕδραν, δι' ὧν τῇ ἀπλησιάστῳ γαστρὶ τὴν τροφὴν παραπέμπει. Οὐδὲ κατὰ τὸ ἀχόρταστον τέρας διάκειται, οὐδὲ κατὰ τὸν Βριαρέω ἑκατὸν χερσὶ μόναις ὅπλισται. Ἀλλ' οὐδὲ πτερὰ ἔχει, κόρον γὰρ οὐκ οἶδε, πλησμονὴν οὐκ ἐπίσταται. Πῶς οὖν τις τοιοῦτο τέρας ἢ πλάσαι, ἢ γράψαι δυνηθῇ, ᾧ καὶ τὸ τῆς Σκύλλης παραβαλλόμενον ἐπιστεύθη ἄν, καίτοι ἄπιστον ὄν; Ἀλλ' ἐπειδὴ ὁ λόγος παντὸς μὲν χρώματος ἐναργέστερός ἐστι, παντὸς δὲ κηροῦ εὐπλαστότερος (23), ὡς ἂν οἷός τε ᾖ, ὑπογράψαι τοῦτον πειράσεται (24)· τῆς μὲν ἀκριβείας ἐφικέσθαι ἀδυνατῶν, τὴν δὲ θηριόμορφον αὐτοῦ καὶ ἀτερπῆ τοῖς ἐαλωκόσι στηλιτεύων μανίαν. Ἐμοὶ γὰρ δοκεῖ οὐ

VARIÆ LECTIONES ET NOTÆ.

(22) *Οὐδ' εἰ δέκα μὲν γλώσσας, δέκα δὲ στόματα ἔχοι.* Manifesta imitatio Homeri, quem et Virgilius expressit in VI divini operis :

Non, mihi si linguæ centum sint oraque centum,
Omnia pœnarum percurrere nomina possem. RITT.

(23) Cicero proœmio *Paradoxorum* : « Nihil est tam incredibile, quod non dicendo fiat probabile; nihil tam horridum, tam incultum, quod non splendeat oratione et tanquam excoletur. » RITT.

(24) *Ὡς ἂν οἷός τε ᾖ, ὑπογράψαι τοῦτον πειράσεται.* B. C. mutat tertiam personam in primam, pro ᾖ legens ὦ, et pro πειράσεται, πειράσομαι. Utraque lectio ferri potest, quarum prior ad orationem refertur, altera ad auctorem sive oratorem. Verumtamen prior, id est edit. Paris., mihi nescio quomodo venustior videtur; ut quæ ex re inanimata faciat animatam κατὰ πρόσωπον ποιᾶν. Iv.

Digitized by Google

παιδὶ ἐοικέναι· οὐ γὰρ ἔρως ἐστὶ, μανία δὲ σαφής· ἀλλὰ γυναικὶ (καὶ τοῦτο γὰρ τῆς τε ἀνοίας αὐτῆς καὶ τῆς μοχθηρίας ἔστω τεκμήριον) θηριομόρφῳ τινὶ, καὶ πῦρ πνεούσῃ (25), μυρίας μὲν ἔχεις ἀντὶ τριχῶν ἐπὶ τῆς κεφαλῆς ἐχούσῃ διὰ παντὸς συριττούσας, καὶ θανατηφόρον ἰὸν ἐρευγομένας· μυρίας δὲ χεῖρας ὄνυξι κομώσας, δι' ὧν τοὺς μὲν σπαράττει, τοὺς δὲ κατατοξεύει, παρ' ὧν δ' ἀφαρπάζει (26) χρήματα· μυρία δὲ στόματα. Οὐδὲ γὰρ ἀπειλεῖ μόνον, οὐδὲ συκοφαντεῖ, ἀλλὰ καὶ κολακεύει, καὶ δουλοπρεπῶς διαλέγεται, καὶ ἐπιορκεῖ, καὶ μυρίας ἐπινοεῖ προφάσεις, αἰσχρῶν κερδῶν ἕνεκα. Καὶ ὀφθαλμοὺς ἔχει οὐ κατὰ φύσιν ὁρῶντας, οὐδ' αἰδουμένους τινὰ, οὐ φίλον, οὐκ ἀδελφὸν, οὐ συγγενῆ, οὐκ εὐεργέτην, ἀλλὰ τραχὺ, καὶ δριμὺ, καὶ ὠμὸν, καὶ ἀπάνθρωπον, καὶ πυρῶδες βλέποντας. Οὐ γὰρ τὴν τῶν πραγμάτων ὁρᾷ φύσιν, οὐδὲ συνίησιν, ὅτι πολλάκις μυρία κινήσασα, εἰς τὰς τῶν ἐχθρῶν τὰ χρήματα παρέπεμψε χεῖρας. Διὸ μυρίας προσετρίψατο τῷ ἁλόντι τὰς ἁμαρτίας, ἀκοὰς δὲ τοσοῦτον πεφραγμένας, ὡς μήθ' ἱκετειῶν, μήτε στεναγμῶν, μήτ' ὀλοφυρμῶν, μήτε κατηγοριῶν ἐπακούειν. Τοσοῦτον δ' ἀπέχει τοῦ πτερὰ ἔχειν, ἃ τὸν κόρον δηλοῖ, ὅτι οὐδὲ πόδας αὐτῇ σωφρονῶν ἄν τις ἀπονέμοι. Οὐδὲ γὰρ οἶδε βαδίζειν, οὐδὲ μετακινεῖσθαι ἀπὸ τοῦ ἁλόντος, ἀλλὰ κατὰ πάντων τὰς χεῖρας πέμπουσα, σιδήρου παντὸς καὶ μολύβδου βαρυτέρα οὖσα ἐγκάθηται, πάντα μὲν δεχομένη, καὶ πάντας ληϊζομένη, οὐδέποτε δὲ πληρουμένη, ἀλλὰ τὸ πλῆθος τῶν λαμβανομένων, ὕλην ὑπεκκαύματος ἔχουσα, καὶ τὴν τελευτὴν τῶν ληφθέντων, ἀρχὴν τῶν ληφθησομένων ποιουμένη. Τίς οὖν τοιαύτῃ μανίᾳ δριμυτάτῃ καὶ ἀκορέστῳ, καὶ μυρίας ἁμαρτίας καὶ κατηγορίας, ἀδοξίας τε καὶ ἀκολασίας προστριβομένῃ ἁλοίη ἄν; τίς ἂν ἕλοιτο ἐνταῦθα μὲν ζῆν οὕτως ἀθλίως, μαστιζόμενος νύκτωρ τε καὶ μεθ' ἡμέραν, καὶ ἀνάπαυσιν οὐκ εἰδὼς, οὐδ' ὕπνον, ἐκεῖσε δὲ ἀρχὴν τῶν τιμωριῶν ληψόμενος; Τί λέγω ἀρχήν; Ἐνταῦθα μὲν οὖν κολάζει καὶ τιμωρεῖται τοὺς ἁλόντας, παντὸς τυράννου πικρότερον, ἐναλλομένη καὶ τῶν καιρίων ἁπτομένη, καὶ μηδὲ μικρὸν ἀναπνεῦσαι συγχωροῦσα, ἀλλὰ τῶν εἰς τὰ μέταλλα (26*) τὴν χαλεπωτάτην ἐκείνην τινόντων κόλασιν, πικροτέραν ἐπάγουσα τὴν δίκην. Τοῖς μὲν γὰρ ἔξεστι μετὰ τὸ ἔργον ὕπνῳ χρῆσθαι καὶ ἀναπαύλῃ, τοῖς δὲ καὶ τὸν τοῦ ὕπνου προχωννῦσα λιμένα, καὶ νύκτωρ ἐπιτάττει τὰ ὠμὰ καὶ ἀπάνθρωπα ἐπιτάγματα ἐκεῖνα. Τοὺς μὲν γὰρ ἐπὶ λῃστείας ἐξάγει, τοὺς δὲ ἐπ' ἀνδροφονίας, καὶ οὐδὲ τὴν ὁσίαν αὐτὴν αἰδεῖται (27), ἣν καὶ βάρβαροι καὶ δαίμονες τιμῆς ἀξιοῦσιν· ἀλλὰ καὶ κατὰ νεκρῶν σωμάτων τὰς μιαρὰς τῶν ἁλόντων ὁπλίζει δεξιὰς, καινὸν καὶ πα-

A inamœnam insaniam iis, qui eo capti sunt, invectiva oratione proscindat. Mihi enim puero haudquaquam similis esse videtur (non enim amor, sed perspicuus furor), verum feminæ cuidam (nam hoc quoque amentiæ ipsius atque improbitatis indicium sit) belluina forma præditæ, ignemque spiranti, ac sexcentas viperas crinium loco in capite habenti, perpetuo sibilantes ac mortiferum venenum evomentes, sexcentas item manus unguibus abundantes, quarum opera et adjumento alios lacerat, alios sagittis impetit, ab aliis pecunias extorquet, ac denique sexcenta ora. Neque enim minatur duntaxat, aut calumnias struit : verum etiam adulatur, ac servilem in modum alloquitur, et pejerat, turpisque quæstus causa innumeras occasiones excogitat. B Quin oculos habet, non, ut naturæ consentaneum est, cernentes, aut quemquam verentes, non amicum, non fratrem, non cognatum, non benefactorem, verum asperum quiddam, et acre, atque crudele et inhumanum, igneumque obtuentes. Neque enim rerum naturam perspicit, nec illud animadvertit, quod persæpe, cum permulta moverit, ad hostium manus pecunias transmiserit. Unde etiam innumeras ei, qui captus est, peccatorum notas inussit. Porro autem aures usque adeo septas et obturatas habet, ut nec supplices preces, nec gemitus, nec fletus, nec vituperationes habeat. Tantum vero ab eo abest ut pennas habeat (quæ saturitatem designant), ut ne pedes quidem ipsi vir ullus cordatus tribuere queat. C Neque enim ingredi, atque ab eo qui captus est, secedere potest : verum manus in omnes immittens, ferro quovis ac plumbo gravior insidet, atque ita comparata est, ut omnia quidem accipiat, atque omnes expilet, nunquam autem expleatur, verum eorum, quæ accipit, multitudinem fomitis atque incitamenti materiam habeat, rerumque acceptarum finem accipiendarum initium efficiat. Ecquis igitur acerrimo hujusmodi et inexplebili furore, atque innumera peccata et maledicta et dedecora, et intemperantias ac petulantias nobis conflante, capiatur? **229** Ecquis animum inducat, tum in hac vita tam misere vivere, ut dies noctesque velut flagris quibusdam laceretur, nec requiem ullam aut somnum sentiat, et in futura suppliciorum D atque cruciatuum initium accipere? Quid autem initium dico ? Hic enim eos, quos ceperit, tyranno quovis acerbius torquet et excruciat, in eos insultans, ac præcipuas partes attingens, ac ne tantillum quidem interquiescere sinens, verum graviorem ipsis pœnam inferens, quam ii luant, qui ad metalla (quæ atrocissima pœna est) damnati sunt.

VARIÆ LECTIONES ET NOTÆ.

(25) *Πῦρ πνεούσῃ*. Sic infra ead. ep. καὶ πῦρ πνέουσα. Notum proverb., Πῦρ πνέειν, *Ignem spirare*. Ritt.

(26) Pro ἀφαρπάζει cod. Vat. 649 et Alt. habent ἀφαρπάζει, et versu sequenti ἀπειλεῖ pro ἀπειξεῖ. Poss.

(26*) *Εἰς τὰ μέταλλα*. Vide Jac. Cujac. Observat. Ritt.

(27) *Καὶ οὐδὲ τὴν ὁσίαν αὐτὴν αἰδεῖται*. Ὁσία quid sit, vide supr. ad ep. 146, h. lib., quam cum ista utiliter contuleris, ut et Novellam Theodosii et Valentiniani. Id.

Digitized by Google

(45) Δαίμονος φάλαγξ, codd. Ambo in contextu, δαίμονος φύλαξ. Sane ut suspecta videatur editi lectio facit quod statim sequitur, οὐκ αὐτὸς ὁ διάβολος. Annon enim dæmon diabolus est? Cur igitur in secundo augendi gradu post dæmonis phalangem, ponitur tanquam majus quidpiam ipse diabolus? Non me latet dici posse diaboli nomine κατ' ἐξοχὴν significatum dæmonem principem Luciferum, in quo uno plus maleficæ potentiæ ac terroris sit quam in universo dæmonum minorum grege. Hæc dubia tamen sunt. Et duorum codd. haud facile spernenda videtur auctoritas. Quid si, eorum admissa lectione, δαίμονος φύλακα dicamus vocari propugnatorem idololatricæ superstitionis? Viderit et statuat lector sapiens. Non omittam fateri, cod. Alt. in ora marginali lectionem editam ut probabilem offerre. Possin.

(46) Ambo codd. addunt εἰκότως. Ib.

Digitized by Google

lum. fallent, cui, a vitio et improbitate præcipites acti, contraria profiteri minime dubitarunt.

CCLV. — OPHELIO GRAMMATICO.

Multi sophistæ per eam gloriam, quam prius adepti sunt, detrimenta ea, in quæ postea incidunt, obtegere conantur, ut qui prius quidem res superarint, nunc autem earum magnitudine victi sint.

CCLVI. — OLYMPIODORO.

Labore virtutem exerceri.

Demiror qui fiat, ut cum Platonem admireris, ejus tamen consilia et præcepta parvipendas. Ille enim virtutis surculos non sine labore ac sudore seri ait : tu autem, quonam pacto haud scio, genus vitæ laboris expers suscepisti.

CCLVII. — EUTONIO DIACONO.

Ex iis qui plus habendi cupiditate flagrant, atque inferendis injuriis delectantur, qui peccare se sciunt, graviter ægrotant : qui autem ne peccatum quidem suum agnoscunt, perdite ac deplorate. Hoc ipsum enim non sentire morbum in quo versantur, insensibilitatis incrementum est, atque in perfectum stuporem ac mortem desinit. Quocirca hos maxime lugere convenit. Malum enim inferre miserius est, quam malo affici. Nam illis de animæ salute periculum imminet : his autem detrimentum in pecuniis subsidit, nec ultra progreditur. Quin alioqui etiam duplicem mortem non sentiunt. Imperfecti enim ac puerilis animi documentum præbent. Quandoquidem ii quoque qui tenera admodum aut puerili ætate sunt, ea quæ vere horrenda et pertimescenda sunt, nihil curant, imo etiam manus persæpe in ignem injiciunt, inanes autem larvas ac spectra conspicientes, metu percelluntur, et contremiscunt. His porro non dissimiles esse videntur homines pecuniæ ac rapacitatis studiosi : ut qui paupertatem quidem, quæ non modo nihil habet, quod metuendum sit, verum etiam securitatis omnis hac modestiæ materia est, pertimescant : iniquas autem divitias plurimi ducant, quæ tamen quovis igne magis timendæ sunt. Siquidem dominorum suorum, et animos, et spes exurunt, atque in cinerem redigunt.

CCLVIII. — EIDEM.

Labore virtutem perfici.

Illud compertissimum et exploratissimum habeo, te magnos quidem esse virtutis fructus, etiamsi in periculo verseris existimare : verum eo nomine mœrere ac discruciari, quod plerisque miser esse videaris. At si non vulgi opinioni ac su-

ΣΝΕ'. — ΩΦΕΛΙΩ ΓΡΑΜΜΑΤΙΚΩ.

Πολλοὶ τῶν σοφιστῶν ἐκ τῆς προϋπαρξάσης εὐκλείας τὰς συμβαινούσας ἥττας περιστέλλειν πειρῶνται, ἅτε πρότερον μὲν τῶν πραγμάτων γεγονότες κρείττονες, νῦν δὲ ὑπὸ τούτων κρατηθέντες.

ΣΝϚ'. — ΟΛΥΜΠΙΟΔΩΡΩ.

Ὅτι πόνῳ κατορθοῦται ἡ ἀρετή.

Θαυμάζω, πῶς Πλάτωνα θαυμάζων, τὰς παραινέσεις αὐτοῦ παρὰ φαῦλον τίθεσαι. Ἐκεῖνος μὲν γάρ φησι τοὺς τῆς ἀρετῆς κλῶνας πόνῳ καὶ ἱδρῶτι φύεσθαι (47) · σὺ δ' οὐκ οἶδ' ὅπως ἄπονον ἐπανείλου βίον.

ΣΝΖ'. — ΕΥΤΟΝΙΩ ΔΙΑΚΟΝΩ.

Τῶν πλεονεκτῶν καὶ ἀδίκων (48), οἱ μὲν εἰδότες ὅτι ἁμαρτάνουσιν, οἱ δὲ μηδ' ὅτι ἁμαρτάνουσιν εἰδότες, ἀνήκεστα· τὸ γὰρ μὴ αἰσθέσθαι τῆς ἀῤῥωστίας ἐν ᾗ εἰσιν, ἐπίτασις ἀναισθησίας ἐστὶ, καὶ εἰς ἀναλγησίαν παντελῆ καὶ νεκρότητα τελευτᾷ. Τούτους τοίνυν χρὴ μάλιστα ἐλεεῖν. Τὸ γὰρ κακῶς ποιεῖν τοῦ κακῶς πάσχειν ἐστὶν ἐλεεινότερον (49) · τοῖς μὲν γὰρ περὶ τῶν ἐσχάτων ὁ κίνδυνος σαλεύει· τοῖς δὲ μέχρι χρημάτων ἐστὶν ἡ ζημία. Ἄλλως τε δὲ καὶ διττῆς οὐκ αἰσθάνονται νεκρώσεως. Ἀτελοῦς γὰρ καὶ παιδικῆς διανοίας ἐκφέρουσι δεῖγμα. Ἐπεὶ καὶ τὰ κομιδῇ νήπια, τῶν μὲν ὄντως (50) φοβερῶν, οὐδένα ποιεῖται λόγον, ἀλλὰ καὶ πυρὶ πολλάκις ἐπαφίησι τὰς χεῖρας, προσωπεῖα δὲ διάκενα καὶ μορμολύκια θεώμενα δεδίττεται καὶ τρέμει· τούτοις κινδυνεύουσιν ἐοικέναι, καὶ οἱ τῆς πλεονεξίας ἐρασταὶ, πενίαν μὲν δεδιότες, ἥτις οὐκ ἔστι φοβερὰ, ἀλλὰ καὶ ἀσφαλείας ἁπάσης, καὶ μετριοφροσύνης ὑπόθεσις· πλοῦτον δ' ἄδικον περὶ πολλοῦ ποιούμενοι· οὕτως πυρός ἐστι φοβερώτερος. Τεφροῖ γὰρ τῶν ἐχόντων καὶ τὰ φρονήματα καὶ τὰς ἐλπίδας.

ΣΝΗ'. — ΤΩ ΑΥΤΩ.

Ὅτι πόνῳ κατορθοῦται ἡ ἀρετή.

Μάλα ἀκριβῶς οἶδα, ὅτι τοὺς μὲν τῆς ἀρετῆς καρποὺς μεγάλους εἶναι, κἂν κινδυνεύῃς, νομίζεις, ἀθυμεῖς δὲ τοῖς πολλοῖς νομιζόμενος δυστυχεῖν. Ἀλλ' ἐὰν μὴ τῇ τῶν πολλῶν ὑπονοίᾳ, καὶ δόξῃ, ἀλλ' ἀκριβεῖ (51) λογισμῶν ἐξετάσει τὸ πρᾶγμα ἐπιτρέψεις,

VARIÆ LECTIONES ET NOTÆ.

(47) *Τοὺς τῆς ἀρετῆς κλῶνας πόνῳ καὶ ἱδρῶτι φύεσθαι.* Cum hac Platonica sententia conferes utiliter aureos Hesiodi versus, quos Cicero Leptæ filio ediscendos commendat, et Quintus Smyrnæus æmulatus est lib. XII, qui et lib. V. *Paralipom.* eodem allusit. Cæterum occurrit hic ἐναντιοφανές quoddam ex collatione hujus epist. cum 147 et 240 sup. hoc lib., quod discutiet ac conciliabit ep. 267 infra. RITT.

(48) Post ἀδίκων recte ἀνδρῶν, supplet Cod. Vat. 649. Idem verba paulo post sequentia hæc omnia omittit, ὅτι ἁμαρτάνουσιν, οἱ δὲ μηδ' ὅτι ἁμαρτάνουσιν εἰδότες. Sed sine his mutilus locus est. Cod. Alt. cum edito consentit. POSSIN.

(49) *Τὸ γὰρ κακῶς ποιεῖν.... ἐλεεινότερον.* Platonicum hoc est dogma, de quo vide ipsius *Gorgiam*, pag. 509. RITT.

(50) Pro ὄντως ambo codd. scribunt ὄντων, et vers. antepenult. pro οὕτως substituunt ὅστις. POSSIN.

(51) Pro ἀκριβεῖ ambo codd. Vat. 649 et Alt. legunt ἀκριβείας. POSSIN.

Digitized by Google

ἡ ἀθυμία φρούδη οἰχήσεται· μᾶλλον δὲ θυμηδίας πρόξενος γενήσεται· ἀναλόγως γὰρ τοῖς ἐνταῦθα ἀγῶσι καὶ οἱ τῆς ἀρετῆς πλέκονται στέφανοι.

A spicioni, verum accurato rationis examini rem permiseris, hujusmodi mœror evanescet, imo etiam lætitiæ causam tibi allaturus est. Siquidem pro certaminum hujus vitæ ratione, virtutis quoque coronæ nectuntur.

ΣΝΘ'. — ΘΕΟΔΟΣΙΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Παρὰ μὲν ἀνθρώποις ἴσον εἶναι δοκεῖ τὸ εὐεργέτας [μὴ] ἀμείβεσθαι, καὶ ἐχθροὺς [μὴ] ἀμύνεσθαι (52). Παρὰ δὲ τῇ θείᾳ φιλοσοφίᾳ τὸ μὲν ἀμείβεσθαι τοὺς εὐεργέτας κρατεῖ· τὸ δὲ ἀμύνεσθαι τοὺς ἐχθροὺς οὐχί· ἀλλὰ παντὶ μὲν τρόπῳ τὸ ἀνεξικακεῖν, εἰ δ' οἷόν τε, καὶ εὐεργετεῖν.

CCLIX. — THEODOSIO PRESBYTERO.

Apud homines par culpa esse videtur, iis, a quibus beneficium acceperis vicem non rependere, et hostes minime ulcisci. At apud divinam philosophiam illud quidem obtinet, ut bene de nobis meritos remuneremur; at non item illud, ut injurios ulciscamur : verum omnino quidem patientiam adhibeamus : si autem fieri possit, eos etiam beneficiis persequamur.

ΣΞ'. — ΘΕΩΝΙ ΕΠΙΣΚΟΠΩ.

Ὥσπερ ἀνδρεῖος καὶ φιλάνθρωπος βασιλεὺς τοῖς νόμοις τὰ ὅπλα μίξας, πᾶσαν ὕβρεως μελέτην τρέπεται· τὸ μὲν τῇ ἀκροάσει τῶν νόμων πειθόμενον, δίχα κολάσεως ἐπιστρέφων· τὸ δ' ἀνήκοον, τῇ διὰ τῶν ὅπλων ἀνάγκῃ παιδαγωγῶν· οὕτω καὶ εὐαγὴς καὶ ἐπιεικὴς ὁ ἱερεὺς τοῖς θεσμοῖς τὸν φόβον μίξας, καὶ τῇ ἀρχῇ τὴν ἐπιείκειαν κεράσας, πᾶσαν κακίας μελέτην, τό γε ἧκον εἰς αὐτὸν, τρέπεται· τῶν ὑπηκόων τὸ μὲν λόγοις εἶκον λόγοις θεραπεύων· τὸ δ' ἀνήκοον τῷ διὰ τῶν θεσμῶν σωφρονισμῷ εἰς τὸ μηκέτι ἁμαρτάνειν χειραγωγῶν.

B

CCLX. — THEONI EPISCOPO.

Quemadmodum fortis et humanus rex legibus cum armis conjunctis omne contumeliæ ac petulantiæ studium profligat, eos nimirum qui legum auditioni morigeros se præbent, citra pœnam ac officium revocans, eos autem qui præfracto et contumaci animo sunt, vi atque armis coercens : eodem modo pius ac mansuetus sacerdos legibus metum adjungens, atque imperium lenitate condiens, omne improbitatis studium, quantum quidem in ipso situm est, fugat : eos nempe subditorum, qui sermonibus cedunt, sermonum ope atque adjumento curans, eos autem, qui pervicaces, et immorigeri sunt, legitimis animadversionibus eo, velut porrecta manu, ducens, ut posthac minime peccent.

ΣΞΑ'. — ΖΩΣΙΜΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Περὶ κρίσεως.

Εἰ καὶ τοὺς ἀνθρώπους οὐκ ἐρυθριᾷς, οὐδὲ ὑπολήψεως ἀντιποιῇ, κἂν τὴν παρὰ τοῦ Θείου τοῖς τοιούτοις τολμήμασιν ἐπομένην φοβήθητι δίκην. Εἰ γὰρ καὶ αὐτίκα δὴ μάλα μακροθυμεῖ, εἰς μετάνοιαν καλοῦσα· ἀλλὰ μικρὸν ὕστερον, πικρότερον μετελεύσεται τοὺς μηδὲ τὴν τοσαύτην φιλανθρωπίαν αἰδεσθέντας. Πολλοὶ μὲν οὖν κἀνταῦθα τὴν ἀήττητον οὐ διαπεφεύγασι χεῖρα, ἀλλ' ὑπὸ τοιούτων κατελήφθησαν συμφορῶν, ὡς ἀποκρύψαι τῷ μεγέθει τὰς τραγῳδίας. Πολλοὶ δὲ ἐνταῦθα δόξαντες διαπεφευγέναι κολαστήρια, τῶν ἐκεῖσε πικροτέρων (53) ἀπέλαυσαν, τῆς δίκης δικαίως αὐτοῖς ἀντιμετρησάσης τὴν δίκην (54).

C

D

CCLXI. — ZOSIMO PRESBYTERO.

De judicio.

Etsi nec homines erubescis, nec famæ atque existimationis rationem ullam habes : at eam tamen, quæ hujusmodi flagitia divinitus consequitur pœnam fac pertimescas. Quanquam enim ea in præsens moratur atque conquiescit (ad pœnitentiam scilicet invitans), tamen aliquando post, eos, quos ne tanta quidem benignitas ullo pudore commoverit, arcerbius persequetur. Ac multi ne in hac quidem vita invictam illam manum effugerunt, verum ejusmodi calamitatibus correpti sunt, ut ipsas quoque tragœdias magnitudine sua obscurarent. Multi autem qui hujus vitæ tormenta effugisse videbantur, in amarulentiores alterius vitæ cruciatus inciderunt, nimirum vi illa scelerum vindice juste ipsis pœnam remetiente.

ΣΞΒ'. — ΕΡΜΟΓΕΝΕΙ ΕΠΙΣΚΟΠΩ.

Οἱ φίλοι, περὶ ὧν γέγραφας, οὔτε παραινέσεως δέονται, οὔτε προτροπῆς. Ἔοικασι γὰρ [οὐ] παυσαμένοις οὐδέποτε τῆς ἐπὶ τοῖς καλλίστοις ἁμίλλης, ἀλλ' ἕως τέλους, ἅτε δὴ τῶν οὐρανίων γερῶν δεινῶς

CCLXII. — HERMOGENI EPISCOPO.

Amici illi, de quibus ad me scripsisti, nec consilio, nec cohortatione opus habent. Videntur enim contentioni huic, qua de præclarissimis rebus inter se certant, nunquam finem imposituri, verum ad

VARIÆ LECTIONES ET NOTÆ.

(52) Videtur opposita esse Isocratiæ cuidam sententiæ. Sed a B. C. bis abest μὴ negativum. Rittr.

(53) Pro πικροτέρων ambo iidem codd. habent πικρότερος. Possin.

(54) *Τῆς δίκης δικαίως αὐτοῖς ἀντιμετρησάσης τὴν δίκην.* Hæc a B. C. absunt, non recte. Notari hic potest præter πολύπτωτον, etiam πλοκὴ elegans in δίκης et δίκην. Prius significat justitiam Dei ultricem scelerum, alterum pœnam seu ultionem. Rittr.

Digitized by Google

extremum usque (ut qui cœlestium præmiorum de iderio vehementer æstuent) de victoria sollicitudinem habituri.

A ἐφιέμενοι, τὴν ἐπὶ τῇ νίκῃ ἀγωνίαν ἕξοντες (35).

241 CCLXIII. — ISIDORO EPISCOPO.

De Joseph et Ægyptia : nec non de vitanda calumnia et accusatione.

Quo tempore Ægyptia illa, libidinosa, inquam, illa mulier, quæ ut persuasu facilis, ita etiam ad persuadendum miram vim habebat (ut plurimum enim ejusmodi ingenio esse videtur mulier), insano pudicissimi juvenis Josephi amore deflagravit, cumque eum nullis sermonibus ad stuprum inducere posset ad vim ei inferendam se convertit, atque ille, strenui cujusdam athletæ instar, exuta veste (arreptam enim eam tenebat illa, libidine temulenta), indumentis quidem nudus, verum ab adulterio purus excedens pudicitiæ coronam adeptus est : tum vero illa mœrens sedebat, revera quia, quod cupiebat, minime assecuta fuerat : falsa autem specie, ob fictam castitatem. Cum itaque maritus venisset, aut quod accusari metueret, aut quod Josephum ulcisci vellet, acerbissime irascitur, ac cupiditatem omnem, mœrorem, metum, contumeliam, et iracundiam admiscens, animo volvebat, quonam pacto de eo supplicium sumeret. Et quidem ejus criminis quo ipsa accusari debebat, eum insimulat. Maritus autem ne facta quidem ipsi pro se dicendi potestate, in carcerem eum conjicit. At vero incorruptus ille oculus pudicitiæ legislator et arbiter ad regium thronum ipsum evexit. Quocirca nos quoque nec calumniam, nec obtrectationem, aliud quidquam eorum quæ gravia et acerba esse videntur, grave ita omnino aut in hac, aut in altera vita pretiosissimas coronas consequemur.

B

C

ΣΞΓ'. — ΙΣΙΔΩΡΩ ΕΠΙΣΚΟΠΩ.

Εἰς τὸ κατὰ τὴν Ἰωσὴφ καὶ τὴν Αἰγυπτίαν. Καὶ περὶ τοῦ μὴ συκοφαντεῖν, καὶ μήτε κατηγορεῖν.

Ὅτε ἡ Αἰγυπτία, τὸ ἀκόλαστον ἐκεῖνό φημι γύναιον, τὸ ὀξὺ μὲν πεισθῆναι, πεῖσαι δὲ δεινότατον (τοιοῦτον γὰρ χρῆμα, ὡς τὰ πολλὰ, εἶναι δοκεῖ ἡ γυνὴ), τῷ σωφρονεστάτῳ Ἰωσὴφ ἐπεμάνη, καὶ λόγοις πείθειν οὐχ οἷά τε οὖσα, ἐπὶ τὸ βιάσασθαι τὸν νεανίαν ἐτράπη· κἀκεῖνος, ὥσπερ ἀθλητὴς γενναῖος, τὴν ἐσθῆτα ἀποδυσάμενος (εἶχετο γὰρ αὐτῆς ἐκείνη ὑπὸ τοῦ πάθους μεθύουσα) γυμνὸς μὲν ἱματίου (36), καθαρὸς δὲ μοιχείας ἐξελθὼν, τοὺς τῆς σωφροσύνης ἀνεδήσατο στεφάνους· τότε δὴ, τότε ἐκαθέζετο ἐκείνη κατηφὴς τὸ μὲν ἀληθὲς, ὅτι διήμαρτε τῆς ἐπιθυμίας· τὸ δὲ ψεῦδος, ἐπὶ τῇ ἐπιπλάστῳ σωφροσύνῃ. Ἐλθόντος γοῦν τοῦ ἀνδρὸς, ἢ δεδοικυῖα γραφὴν ὑπομεῖναι, ἢ ἀμύνασθαι αὐτὸν βουλομένη, ἐν ὀργῇ ἀκατασχέτῳ γίνεται, καὶ ἀναμίξασα πάντα, πόθον, λύπην, φόβον, ὕβριν, ὀργὴν, ἐνενόει ὅπως αὐτὸν τιμωρήσεται· καὶ δὴ γραφὴν αὐτὸν γράφεται, ἣν γραφῆναι ὤφειλεν. Ὁ δὲ μηδ' ἀπολογίας μεταδοὺς, εἰς δεσμωτήριον ἐμβάλλει· ἀλλ' ὁ ἀδέκαστος ὀφθαλμὸς, ὁ τῆς σωφροσύνης καὶ νομοθέτης καὶ βραβευτὴς, εἰς τὸν θρόνον ἀνήγαγεν αὐτὸν τὸν βασιλικόν. Τοιγαροῦν καὶ ἡμεῖς μήτε συκοφαντίαν, μήτε κατηγορίαν, μητ' ἄλλο τι τῶν δοκούντων εἶναι δεινῶν, δεινὸν ἡγώμεθα, ἀλλὰ τὴν ἁμαρτίαν μόνην· καὶ πάντως ἢ ἐνταῦθα, ἢ ἐκεῖσε, τῶν τιμαλφεστάτων στεφάνων τευξόμεθα.

A

B

C

CCLXIV. — LAMPETIO EPISCOPO.

Unusquisque eorum, qui hanc epistolam lecturi sunt, de eo quod dicturus sum, ut volet sentiat. Ego vero non sacerdotii regulam nunc informare proponens, sed viam ad illud ferentem statuens, hoc aio, eum qui ad hoc imperium ante prosiliit, quam ecclesiasticarum sanctionum imperium sustinuerit, haudquaquam ad subditorum utilitatem hujusmodi provinciam persequi : hunc autem qui in subditi gradu atque ordine sese cum laude in iis virtutibus, quæ antistitem decent, exercuit, maximum ad muneris sui administrationem bonum, hoc est experimentum habentem venire. Nam ille priusquam ipsemet mores suos composuerit, alios componere ac moderari aggrediens, a veritate aberrat : hic autem compositis primum suis moribus, factoque rei periculo, ad moderandam aliorum vitam aptus et idoneus reperietur. Quandoquidem ille, antequam armis assueverit, imperator creari cupit : hic au-

D

ΣΞΔ'. — ΛΑΜΠΕΤΙΩ ΕΠΙΣΚΟΠΩ.

Ἕκαστος μὲν τῶν ἐντευξομένων τῷδε τῷ γράμματι, ὡς ἔχει δόξης περὶ τοῦ λεχθησομένου, ἐχέτω. Ἐγὼ δὲ ὅρον μὲν ὑπογράψαι ἱερωσύνης νῦν οὐ διεγνωκὼς, τὴν δ' ὁδὸν τὴν ἐπὶ ταύτην φέρουσαν ὁριζόμενος, φημὶ, ὅτι ὁ μὲν ἐπὶ ταύτην θᾶττον ἐλθὼν τὴν ἀρχὴν, πρὶν τῆς τῶν θεσμῶν ἀρχῆς ἀνασχέσθαι, οὐκ ἐπ' ἀγαθῷ τῶν ἀρχομένων τὴν οἰκονομίαν μέτεισιν· ὁ δ' ἐν ὑπηκόου τάξει ταῖς ἀρχικαῖς ἐγγυμνασάμενος καὶ εὐδοκιμήσας ἀρεταῖς, εἰς τὴν τῆς λειτουργίας διαχείρησιν, μέγιστον ἀγαθὸν τὴν ἐμπειρίαν ἔχων, ἔρχεται. Ἐκεῖνος μὲν γὰρ πρὶν [ῥυθμισθῆναι] ῥυθμίζειν ἄλλους ἐπιχειρῶν, τῆς ἀληθείας διαμαρτάνει. Οὗτος δὲ ῥυθμισθεὶς πρότερον, καὶ τοῦ πράγματος ἐν πείρᾳ γεγενημένος, ἐπιτήδειος ἐπὶ τὸ ῥυθμίζειν ἄλλους εὑρεθήσεται· ἐπειδήπερ ἐκεῖνος μὲν πρὸ τοῦ ἐμμελετῆσαι τοῖς ὅπλοις, στρατηγὸς οἴεται κεχειροτονῆσθαι· οὗτος δὲ εὐδόκιμος στρατιώτης γενόμενος, εὐδοκιμώτερος ἔσται καὶ στρατηγός. Καὶ ὁ μὲν

VARIÆ LECTIONES ET NOTÆ.

(35) Ἕξοντες. B., ἕξουσιν, quod puto melius, ut respondeat præcedenti illi, παυσομένοις. Atqui mutavit in ἕξοντες, fortasse respexit ad ἅτε ἐφιέμενοι, non recte. Ritt.

(36) Pro ἱμάτιον ambo iidem cod. legunt ἱματίων. Possin.

Digitized by Google

τῶν τακτικῶν ἄπειρος ὤν, ταξίαρχος εἶναι ἡγεῖται· ὁ δὲ ἐν γυμνασίοις τοιούτοις ἀσκηθείς, τακτικὸς χειροτονεῖται.

tem probi et clari militis officio functus, præstantior quoque et illustrior erit imperator. **242** Atque ille quidem instruendi in aciem exercitus expers et ignarus, tribuni militaris gradum sibi vindicat; hic autem in ejusmodi studiis versatus et excultus, tribunus designatur.

ΣΞΕ'. — ΜΑΡΩΝΙ.

Πηλίκον ἀγαθὸν τὸ ἀφιλαργυρίας, καὶ περὶ αὐταρκείας.

Εἰ καὶ μυρίας ἀνατέμοις εὐπορίας ὁδοὺς, οὗ φημι τὸν κόρον, ἀλλ' οὐδὲ τὰς ὁδοὺς, ἃς ἐπιπορεύεται, εὑρήσεις. Μισεῖ γὰρ τοὺς ἁπλήστως τὰ χρήματα διώκοντας, καὶ ἐπιφοιτᾷν αὐτοῖς οὐκ ἀνέχεται. Φιλεῖ δὲ μάλιστα πάντων τοὺς ὀλιγοδεᾷ καὶ αὐταρκείᾳ τὸν ἑαυτῶν κοσμοῦντας βίον, ἀσμένως αὐτοῖς ἐπιφοιτᾷ.

CCLXV. — MARONI.

Quantum bonum sit avaritia vacuum esse, et de sufficientia.

Etiamsi sexcentas opum vias aperias, tamen, non dicam satietatem, sed ne vias quidem, quas illæ peragrant, invenies. Siquidem eos odio habent, qui inexplebili aviditate pecunias consectantur, nec ad eos venire sustinent. Contra omnium maxime illos amant qui parcimonia et frugalitate vitam suam ornant, libenterque ad ipsos ventitant.

ΣΞϚ'. — ΣΤΡΑΤΗΓΙΩ ΜΟΝΑΧΩ.

Ὅταν εὐβουλίας προκαθηγουμένης πᾶσα ἡ τοῦ ἀνθρώπου δύναμις ὑπουργήσῃ εἰς τὴν ἀρετὴν, πᾶσαν ἐκποδὼν ποιησαμένη σκῆψιν καὶ μέλλησιν· τότε δὴ, τότε ὁ Θεὸς εἰς τέλος ταύτην ἄγει, ὁ καὶ τοὺς μὴ βουλομένους αὐτὴν ἐλέσθαι εἰς τὸ ἑλέσθαι παραθήγων. Οὐ γάρ ἐστι τοῦ αὐτοῦ, τοὺς μὲν ἀποδιδράσκοντας αὐτὴν, εἰς αὐτὴν συνελαύνειν, τοῖς δ' ἀφ' ἑαυτῶν ἑλομένοις χεῖρα βοηθείας μὴ ὀρέγειν.

CCLXVI. — STRATEGIO MONACHO.

Cum probo consilio præcunte omnis hominis vis, omni excusatione ac mora de medio sublata, ad virtutem inservit, tum vero Deus, qui ad eam amplectendam etiam nolentes ac recusantes incitat, ad finem usque perducit. Neque enim consentaneum est, qui ipsam fugientes ad eam compellat, eumdem iis qui sponte ipsam sibi amplexandam proposuerunt, auxiliarem manum minime porrigere.

ΣΞΖ'. — ΑΝΤΙΟΧΩ.

Ἔοικας ἀγνοεῖν, ὅτι ὁ συνεχῶς τὰ λυττῶντα πάθη τοῦ σώματος νικῶν, τοῖς τροπαίοις ἀγαλλόμενος, τοὺς πόνους ὑπὸ τῆς εὐφροσύνης λανθάνει (56) κλεπτόμενος.

CCLXVII. — ANTIOCHIO.

Illud ignorare videris, eum, qui rabida corporis vitia perpetuo vincit, ob ejusmodi tropæa exsultantem, præ voluptate ne labores quidem sentire.

ΣΞΗ'. — ΩΡΙΩΝΙ ΜΟΝΑΖΟΝΤΙ.

Πυνθάνομαι, ὅτι τῷ μὲν σχήματι τῆς ἀγωνίας, ἑνὸς· τῷ δ' ἀληθεῖ, πάντων ἐκράτησας τῶν ὁμηλίκων. Ὁ γὰρ τῶν μὲν ἄλλων εἰς ταπεινοφροσύνην προκριθεὶς, δεύτερος δέ σου πεφηνὼς, πάντας ἡττημένους ἔδειξεν.

CCLXVIII. — ORIONI MONACHO.

Audio te certaminis quidem specie unum, revera autem omnes æquales tuos superasse. Nam qui humilitatis ac modestiæ nomine aliis prælatus, te inferior esse compertus est, hic scilicet omnes a te superatos esse demonstravit.

ΣΞΘ'. — ΑΠΟΛΛΩΝΙΩ ΕΠΙΣΚΟΠΩ.

Εἰς τὸ γεγραμμένον ἐν τῷ νόμῳ· « Πένητα οὐκ ἐλεήσεις ἐν κρίσει. »

Ἡ πενία, ὅταν τὴν ἱκεσίαν ἀτιμάσασα ἐπὶ κατηγορίαν τραπείῃ, καὶ τῇ συμφορᾷ εἰς φιλοπραγμοσύνην καταχρήσηται, καὶ διαδίκου κατηγόρου ἀνθ' ἱκέτου καὶ πρόσφυγος πρόσχημα ἀναδέξηται, ἐλεεῖσθαι οὐκ ἂν εἴη δικαία. Διὸ καὶ ἡ τῆς δικαιοσύνης πηγὴ ἔφη· « Οὐκ ἐλεήσεις πτωχὸν ἐν κρίσει. » Ἐλεεῖσθαι μὲν γὰρ δεόμενον καὶ ἀντιβολοῦντα χρὴ, ἐγκαλοῦντα δὲ καὶ κατηγοροῦντα οὐχί. Οὐ γὰρ χάριν ἀπαιτεῖ, ἀλλ' ἀδικεῖσθαι διαβεβαιοῦται.

CCLXIX. — APOLLONIO EPISCOPO.

In illud, « Pauperis non misereberis in judicio [92]. »

Paupertas, cum supplicibus verbis contemptis ad accusandum se convertit, atque calamitate ad negotium aliis facessendum abutitur, adversariique et accusatoris, non supplicis et opem implorantis speciem assumit, misericordia haudquaquam digna est. Unde etiam ipsemet justitiæ fons his verbis utitur : « Non misereberis pauperis in judicio. » Ejus enim calamitate commoveri oportet, cum orat atque obsecrat : at cum accusat et criminatur, non item. Non enim gratiam postulat, sed se injuria affectum affirmat.

ΣΟ'. — ΤΩ ΑΥΤΩ.

Πῶς νοητέον τὸ γεγραμμένον· « Μή ποτε τοῖς ὀφθαλμοῖς αὐτῶν ἴδωσι, καὶ τοῖς ὠσὶν ἀκούσωσι. »

Ἡ μεταβολὴ τῶν προσώπων, τὸν νοῦν τῶν εἰ-

CCLXX. — EIDEM.

Quomodo sit intelligendum, « Nequando suis oculis videant, et auribus audiant [93]. »

Personarum mutatio, eorum, quæ dicta sunt,

[92] Exod. xxiii, 3. [93] Isa. vi, 10; Matth. xiii, 15.

VARIÆ LECTIONES ET NOTÆ.

(57) Solus cod. Vat. 649 pro λανθάνει scribit λαμβάνει. Possin.

Digitized by Google

mentem luculenter prædicat. Nam si **243** ad populum omnia referenda erant, ad hunc modum dictum fuisset : Vade ad populum istum, et dic ei : Auditu audietis, et non intelligetis, et videntes videbitis, et non scietis. Incrassatum est enim cor vestrum, et auribus graviter audiistis, et oculos vestros clausistis, nequando videatis oculis, et auribus audiatis, et corde intelligatis, et convertamini, et vos sanem. Cum autem haud ita dictum sit, verum trium personarum mutationem hic sermo demonstret, nimirum a quo, et ad quem, et de quo oratio habeatur, hujusmodi quamdam sententiam hæc verba habent : « Vade, et dic populo huic : Auditu audietis, et non intelligetis, et videntes videbitis, et non scietis. » Deinde tanquam propheta causam sciscitaretur, aut ea ipsi minime sciscitanti exponeretur, dictum est : « Incrassatum est enim cor populi hujus, et auribus graviter audierunt, et oculos clauserunt. » Si igitur ipsi suæ, ut quispiam dixerit, saluti obluctantur : Ecquid me prædicare jubes ? fortasse inquit (hoc enim hic significat vocula hæc, nequando) « videbunt oculis, et auribus audient, et corde intelligent, et convertentur, et sanabo eos. » Hæc enim particula, *nequando*, hoc loco non auditionis sublationem, sed obedientiæ spem subindicat. Nam quod hoc quoque sensu hæc vox usurpetur, audi quid Judæorum turba de Salvatore dicat, « Nonne hic est quem quærebant Pharisæi interficere? Ecce palam loquitur, et nihil ei dicunt. Num forte (μή ποτε) cognoverunt, quod hic est Christus [96] ? » Solent enim sapientes et eruditi (quorum in numero Philo etiam esse videtur) particulam hanc, *nequando*, pro, *fortasse*, aut *nonnunquam*, collocare. Neque id immerito. Quod si hoc viri quoque divinitus inspirati testimonio confirmari cupis, audi quid Paulus scribat : « Servum autem Domini non oportet litigare, sed mitem esse ad omnes, docibilem, patientem, in lenitate docentem eos qui contradicunt : nequando det ipsis Deus agnitionem ad salutem [97]. » Hæc enim vox, *nequando*, hoc quoque loco, pro *nonnunquam*, aut *fortasse*, usurpata est. Spem enim pœnitentiæ, non sublationem significat. Quin alio item loco scriptum est : « Corripe amicum nequando fecerit [98]. » Nam si ad eumdem modum prophetæ locus intelligatur, Deo quoque, qui partes suas exsequi cupit, id quod ipsius naturæ consentaneum est, servabitur. Omnino enim eos, qui in vitii cœno infixi sunt, salutem consequi vult, atque homines, a quibus medicina ipsis afferatur, mittit : non quod nescius sit fore ut morbo intereant, sed ut ipsis excusationem præcidat. Etsi enim illi a furore minime revocati sunt, **244** hinc tamen

A ρημένων λαμπρῶς κηρύττει. Εἰ μὲν γὰρ πρὸς τὸν λαὸν ἅπαντα ῥηθῆναι ἐχρῆν, οὕτως ἂν ἐρρήθη· Πορευθείς, εἶπον τῷ λαῷ τούτῳ· Ἀκουῇ ἀκούσετε, καὶ οὐ μὴ συνίητε (58), καὶ βλέποντες βλέψετε, καὶ οὐ μὴ ἴδητε. Ἐπαχύνθη γὰρ ἡ καρδία ὑμῶν, καὶ τοῖς ὠσὶ βαρέως ἠκούσατε, καὶ τοὺς ὀφθαλμοὺς ὑμῶν ἐκαμμύσατε, μή ποτε ἴδητε τοῖς ὀφθαλμοῖς, καὶ τοῖς ὠσὶν ἀκούσητε, καὶ τῇ καρδίᾳ συνῆτε, καὶ ἐπιστρέψητε, καὶ ἰάσωμαι (59) ὑμᾶς. Εἰ δ' οὕτω μὲν οὐκ ἐρρήθη, μεταβολὴν δὲ ἐμφαίνει προσώπων τριῶν τὰ λεγόμενα, παρ' οὗ τε καὶ πρὸς ὃν καὶ περὶ οὗ ὁ λόγος, τοιοῦτόν τινα ὠδίνει νοῦν τῶν προκειμένων ἡ δύναμις· « Πορευθείς εἶπον τῷ λαῷ τούτῳ· Ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε, καὶ βλέποντες βλέψετε, καὶ οὐ μὴ ἴδητε. » Εἶτα ὡς τοῦ προφήτου πυθομένου τὴν αἰτίαν, ἢ μὴ

B πυθομένου μέν, διδασκομένου δὲ, ἐρρήθη· « Ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου, καὶ τοῖς ὠσὶ βαρέως ἤκουσαν, καὶ τοὺς ὀφθαλμοὺς ἐκάμμυσαν. » Εἰ τοίνυν τῇ ἑαυτῶν, ὡς ἄν τις εἴποι, ἀντιπράττουσι σωτηρίᾳ· Δι' ἣν αἰτίαν, κηρύξαι με προστάττεις (60); τάχα πῶς φησι· τοῦτο γὰρ ἐνταῦθα μηνύει τό· « Μή ποτ' ἴδωσι τοῖς ὀφθαλμοῖς, καὶ τοῖς ὠσὶν ἀκούσωσι, καὶ τῇ καρδίᾳ συνῶσι, καὶ ἐπιστρέψωσι, καὶ ἰάσομαι αὐτούς. » Τὸ γὰρ *μήποτε* ἐνταῦθα, οὐκ ἀναίρεσιν ἀκοῆς, ἀλλ' ἐλπίδα ἐμφαίνει ὑπακοῆς. Καὶ ὅτι καὶ οὕτως λαμβάνεται, ἄκουσον τῶν ὄχλων τῶν Ἰουδαϊκῶν, τί φασι περὶ τοῦ Σωτῆρος· « Οὐ τοῦτον ἐζήτουν οἱ Φαρισαῖοι ἀποκτεῖναι; Ἰδοὺ (61) παῤῥησίᾳ λαλεῖ, καὶ οὐδὲν αὐτῷ λέγουσι· μήποτε ἀληθῶς ἔγνωσαν,

C ὅτι οὗτός ἐστιν ὁ Χριστός; » Ἔθος δὲ τοῖς σοφοῖς, ὧν [εἷς] εἶναι δοκεῖ Φίλων, τὸ *μήποτε*, ἀντὶ τοῦ *ἴσως*, ἢ *ἴσθ' ὅτε*, τάττειν. Τὸ γὰρ *μήποτε*, εἰκότως ἀντὶ τοῦ *ἴσως*, εὐλόγως τάττουσιν. Εἰ δὲ καὶ παρὰ θεοπνεύστου ἀνδρὸς θέλεις τὴν μαρτυρίαν ταύτην λαβεῖν, ἄκουε τοῦ Παύλου γράφοντος· « Δοῦλον δὲ Κυρίου οὐ δεῖ μάχεσθαι, ἀλλ' ἤπιον εἶναι πρὸς πάντας, διδακτὸν, ἀνεξίκακον, ἐν πραότητι παιδεύοντα τοὺς ἀντιδιατιθεμένους, μήποτε δώῃ αὐτοῖς ὁ Θεὸς ἐπίγνωσιν εἰς σωτηρίαν. » Τὸ γὰρ *μήποτε* κἀνταῦθα εἴρηται ἀντὶ τοῦ *ἴσθ' ὅτε*, *ἴσως*, *τάχα*, *πως*. Ἐλπὶδα γὰρ μετανοίας ἐμφαίνει, οὐκ ἀναίρεσιν. Καὶ ἑτέρωθι δὲ γέγραπται· « Ἔλεγξον φίλον, μήποτε οὐκ ἐποίησεν. »

D Εἰ γὰρ οὕτω νοηθείη τὸ προφητικὸν χωρίον, καὶ τῷ Θεῷ τὸ πρέπον φυλαχθείη, τὰ αὐτοῦ πράττειν προῃρημένῳ. Σώζεσθαι γὰρ ἐκ παντὸς τρόπου τοὺς εἰς κακίαν καλινδουμένους βούλεται, καὶ πέμπει τοὺς θεραπεύσοντας, οὐκ ἀγνοῶν μὲν ὅτι διαφθαρήσονται ὑπὸ τῆς νόσου, τὴν δ' ἀπολογίαν αὐτῶν ὑποτεμνόμενος. Εἰ γὰρ κἀκεῖνοι οὐκ ἀνήνεγκαν ἐκ τῆς μανίας, ἀλλὰ τό γε αὐτὸν τὰ αὐτοῦ πράττειν, ἐκ τούτου περιγέγονε. Καὶ τῷ Θεῷ τοίνυν τὸ πρέπον φυλαχθείη, καὶ ὁ προφήτης οὐ δόξει μάτην ἀπεστάλθαι, οὐδὲ

[96] Joan. VII, 25, 26. [97] II Tim II, 24, 25. [98] Eccli. XIII, 15.

VARIÆ LECTIONES ET NOTÆ.

(58) Pro συνίητε cod. Alt. habet συνῆτε. Possin.

(59) Pro ἰάσωμαι lege ex eodem ἰάσομαι. Vers. postea 2. ambo codd. omittunt δέ. Id.

(60) Pro προστάττεις cod. Alt. legit προστάττης. Id.

(61) Pro ἰδοὺ ambo codd. scribunt εἰ δέ. Vers. inde tertio ante Φίλων uterque codex inserit καί. Id.

Digitized by Google

ὕβρεως διάκονος νομισθήσεται, ἀλλὰ θεραπείας καὶ ἴασεως ὑπηρέτης εὑρεθήσεται. Ἀπεστάλη γὰρ οὐχ ὑβρίσων [ἁπλῶς,] ἀλλ' ἐγκαλέσων μὲν τοῖς πλημμελοῦσι, προσοίσων δὲ καὶ δείξων τὰ πταίσματα, καλέσων δὲ εἰς μετάνοιαν, ἐπιστρέφουσι δὲ θεραπείαν εὐαγγελιζόμενος (62).

illud contigit, quod ipse munus suum sit exsecutus. Quocirca et Deo, id quod ipsius naturæ consentaneum est, retinebitur, et propheta minime frustra missus fuisse videbitur, neque contumeliæ, sed curationis ac medicinæ minister exstitisse censebitur. Non enim ob eam causam missus est, ut contumeliæ notam duntaxat ipsis inureret, verum ut peccantes quidem objurgaret, sceleraque ostenderet, atque ad pœnitentiam vocaret, iisque, qui ad meliorem mentem se reciperent, medicinam nuntiaret.

ΣΟΑ'. — ΑΝΥΣΙΩ.

Τὸ παρὰ τοῦ νομοθέτου εἰρημένον· « Οὐκ ἐλεήσεις πτωχὸν ἐν κρίσει· οὐκ ἀπανθρωπίας, ὡς ἠγῇ, ἀλλὰ φιλανθρωπίας καὶ δικαιοσύνης ἁπάσης ἐστὶν ἀνάμεστον. Δύο γὰρ κατορθοῖ τὰ μέγιστα· ἓν μὲν, τὸ μὴ τοὺς πένητας εἰς φιλοπραγμοσύνην ἀλεῖψαι· ἕτερον (63) δὲ, τὸ τοὺς ἀδίκως κρίνοντας, καὶ τοῖς πλουσίοις τὴν τῆς νίκης ὀρέγοντας ψῆφον, ἐκ πολλοῦ τοῦ περιόντος φοβῆσαι. Εἰ γὰρ τοῖς πολαίουσι τῷ ἀτιθάσσῳ καὶ δυσνουθετήτῳ τῆς πενίας θηρίῳ, ὅταν ἀντὶ τοῦ παρακαλεῖν ἐγκαλῶσιν, οὐ χρὴ χαρίζεσθαι, πολλῷ μᾶλλον τοῖς ὑπὸ πολλῆς χλιδῆς εἰς τοὺς πένητας ἐξυβρίζουσιν.

CCLXXI. — ANYSIO.

Illud quod a legislatore dictum est: « Non misereberis pauperis in judicio [97], » non inhumanitatis, ut existimas, sed benignitatis et justitiæ plenum est. Duas enim maximas res præstat: unam, quod pauperes ad negotium aliis facessendum minime acuit, alteram, quod eos, qui inique judicant, ac divitibus et copiosis hominibus victoriæ calculum porrigunt, maximopere terret. Nam si iis, qui cum truculenta, et admonitionem ægre admittente, paupertatis bellua colluctantur, cum obsecrationis loco aliis litem intendunt, minime gratificari atque indulgere oportet, multo profecto minus iis qui præ luxuria et deliciis contumeliam egentibus inferunt.

ΣΟΒ'. — ΙΣΙΔΩΡΩ ΔΙΑΚΟΝΩ.

Εἰς τό· « Οὗτος ἥμαρτεν, ἢ οἱ γονεῖς αὐτοῦ;»

Οἱ ἀπόστολοι, ἅτε σοφίας φοιτηταὶ, καὶ ἀληθείας ὄντες ἐρασταὶ, ἀτενῶς ὁρῶντες τὸν Σωτῆρα προσέχοντα τῷ τυφλῷ, καὶ μόνον οὐχὶ εἰς ἐρώτησιν αὐτοὺς ἐκκαλούμενον, δύο θρυλλούμενα δόγματα, καὶ παρὰ ἀνθρώποις ζητούμενα αὐτῷ προσφέρουσιν. Ἐπειδὴ γὰρ Ἑλλήνων [μὲν] παῖδες ἔφασαν ἐσφάλθαι τὴν ψυχὴν, καὶ διὰ τοῦτ' εἰς σῶμα καταπεπέμφθαι κολασθησομένην (64), Ἰουδαῖοι δ' ἡγοῦντο τὰ τῶν προγόνων πταίσματα εἰς τοὺς ἐγγόνους διαβαίνειν, διὰ τὸ γεγράφθαι· « Ἁμαρτίαι πατέρων ἐπὶ τέκνα ἕως τρίτης καὶ τετάρτης γενεᾶς· » ἔφαταν αὐτῷ, ἅτε πάντα εἰδότι πρὶν γενέσεως αὐτῶν· « Τίς ἥμαρτεν, οὗτος (ὡς φασιν Ἕλληνες), ἢ οἱ γονεῖς αὐτοῦ (ὡς φασιν Ἰουδαῖοι), ἵνα τυφλὸς γεννηθῇ; » Ἡ δ' ἀλήθεια οὐ λοξὴν οὐδὲ πλαγίαν, οὐδ' αἰνίγματος μεστὴν τὴν ἀπόκρισιν πεποίηται, ἀλλ' ὀρθὴν, καὶ σαφηνείας ἁπάσης λαμπροτέραν. Ἀμφότερα γὰρ ἀνέτρεψε, φήσασα· « Οὔτε οὗτος ἥμαρτε (πῶς γὰρ πρὸ τοῦ γενέσθαι;) οὔτε οἱ γονεῖς αὐτοῦ, » δῆλον ὅτι, ἵνα τυφλὸς γεννηθῇ. Πρὸς γὰρ τὴν ἐρώτησιν ἀπεκρίνατο. Εἰκὸς μὲν γὰρ αὐτοὺς ἡμαρτηκέναι, μᾶλλον δὲ ἡμαρτήκασι μὲν, οὐ μὴν τούτῳ αἴτιοι τῆς συμφορᾶς εἰσι. Τίνος οὖν ἕνεκεν τυφλὸς ἐγεννήθη; Ἵνα φανερωθῇ τὰ ἔργα τοῦ Θεοῦ ἐν αὐτῷ, τουτέστι, συνεχωρήθη σκάσαι ἡ φύσις, ἵν' ἀνακηρυχθῇ ὁ τεχνίτης.

CCLXXII. — ISIDORO DIACONO.

In illud, « Hicne peccavit, aut parentes ejus [98]? »

Apostoli, utpote sapientiæ discipuli, ac veritatis amantes, Salvatorem defixos in cæcum oculos habentem, ac propemodum eos ad interrogandum provocantem conspicientes, duo pervulgata dogmata, et de quibus magnæ apud homines quæstiones excitantur, ipsi proponunt. Quoniam enim Græci animam peccasse, ac propterea luendarum pœnarum causa in corpus demissam esse tradiderunt: ac rursum Judæi majorum peccata ad nepotes transire existimabant, quod videlicet scriptum sit, « Peccata patrum in filios usque ad tertiam et quartam generationem [99]; » idcirco ad eum, ut omnia priusquam oriantur, noscentem, hæc verba habuerunt: « Quis peccavit? hic (ut gentiles aiunt) an parentes ejus (ut Judæi astruunt), ut cæcus nasceretur? » Veritas autem non obliquum et sinuosum, nec ænigmatum involucris plenum responsum dedit, verum rectum ac quavis perspicuitate dilucidius et splendidius. Utrumque enim his verbis evertit: « Neque hic peccavit (quonam enim pacto, priusquam in ortum prodiisset?) nec parentes ejus [1]; » in hoc videlicet, ut cæcus nasceretur. Ad interrogationem enim respondit. Verisimile namque est eos peccasse, imo plane peccaverunt: at non propterea ipsi calamitatis causam præbuerunt. Quid igitur affertur, quamobrem cæcus natus sit? **245** Nimirum ut manifestentur opera Dei in illo, hoc est, claudicare permissa est natura, ut artificis gloria prædicetur.

[97] Exod. xxiii, 3. [98] Joan. ix, 2. [99] Exod. xx, 5. [1] Joan. ix, 3.

VARIÆ LECTIONES ET NOTÆ.

(62) Uterque cod., εὐαγγελιούμενος. Possin.

(63) Pro ἕτερον unus cod. Vatic. 649 legit ὕστερον. Id.

(64) Hoc Origenianum dogma refellit pluribus noster Isidorus lib. iv, ep. 165. Ejus vestigia licet etiam apud Ciceronem animadvertere. Britt.

Digitized by Google

CCLXXIII. — OPHELIO GRAMMATICO.

ΣΟΓ'. — ΩΦΕΛΙΩ ΓΡΑΜΜΑΤΙΚΩ.

Quod multa nobis obscura sint, atque humano ingenio vix pervestigari queant, perspicuum est. Quod autem ea demum, et quidem utiliter captum nostrum effugiant, quæ nobis ad salutem haudquaquam conducunt, id quoque liquet. Consideremus itaque quid nobis ad beatitudinem adjumento sit, quid secus : atque ita, quæ dicuntur, exploremus. Cœlum aut sphæræ, aut dimidiæ sphæræ speciem imitari affirmare, atque item celerrimum solis cursum, ac lunæ incrementa et decrementa, siderumque situm curiose indagare, ac præterea de terra quærere, cylindri an coni speciem teneat, mundique centrum sit, ac denique et solis et lunæ intervalla cognita et explorata habere, quid ad bene beateque vivendum utilitatis afferat, equidem non video. Quod si quis id dicere possit, dicet quidem fortasse : verum minime persuadebit. At vero justitiam et fortitudinem, ac prudentiam et temperantiam, et si quid his affine est, scire atque exsequi, hoc vero eos, qui id callent, ad beatitudinis arcem evehit. Quocirca faciendum est, ut ab his, ex quibus nihil commodi nobis oritur abstineamus : ea autem ex quibus emolumentum percipitur, amplectamur.

Ὅτι μὲν πολλὰ ἄδηλά ἐστιν ἡμῖν, καὶ λογισμῷ οὐκ εὐθήρατα ἀνθρωπίνῳ, δῆλον. Ὅτι δὲ ἐκεῖνα ἡμᾶς, διαφεύγει (65), καὶ τοῦτο χρησίμως, τὰ μὴ συντελοῦντα ἡμῖν εἰς σωτηρίαν, καὶ τοῦτο δῆλον. Σκοπήσωμεν οὖν, τί ἡμῖν λυσιτελεῖ εἰς μακαριότητα, τί δ' οὔ· καὶ οὕτως βασανίσωμεν τὰ λεγόμενα. Τὸ λέγειν ἢ σφαῖραν εἶναι τὸν οὐρανὸν, ἢ ἡμισφαίριον· καὶ τὸ πολυπραγμονεῖν, ἡλίου μὲν τὸν ὠκύτατον δρόμον, σελήνης δὲ μειώσεις τε καὶ αὐξήσεις, καὶ τῶν ἄστρων τὴν θέσιν· καὶ τὸ ζητεῖν περὶ γῆς, ἢ κύλινδρός ἐστιν ἢ λικνοειδὴς, ἢ κέντρον τοῦ παντὸς, καὶ τὸ τὰ ἐκείνου ἢ ταύτης διαστήματα εἰδέναι, τί συμβάλλεται εἰς ἀρίστην πολιτείαν, ἐγὼ μὲν οὐ συνορῶ. Εἰ δέ τις λέγειν ἔχοι, λέξει μὲν ἴσως, οὐ πείσει δέ. Τὸ δὲ δικαιοσύνην, καὶ ἀνδρείαν, καὶ φρόνησιν, καὶ σωφροσύνην, καὶ εἴ τι τούτων συγγενὲς, εἰδέναι τε καὶ πράττειν, τοῦτ' εἰς τὴν κορυφαιοτάτην μακαριότητα ἀναπέμπει τοὺς ἐπιστήμονας. Χρὴ οὖν τῶν μὲν μηδὲν ἡμῖν λυσιτελούντων ἀπέχεσθαι, τῶν δὲ λυσιτελούντων ἀντέχεσθαι.

CCLXXIV. — GOTTO.

De polygamia duorum patriarcharum, Abraham et Jacob.

Quod duo patriarchæ plures uxores habuerint (nam Isaac cum una duntaxat uxore consuetudinem habuit), non a segnitie, aut libidinis studio profectum est, verum a rerum necessitate, ut quispiam dixerit, contextum et expressum. Perspice enim, Scripturæ vestigiis hærens, quemadmodum id contigerit. Abraham quippe, nisi ipse ab uxore sua, quæ etiam zelotypia teneri debebat, rogatus fuisset, ut ad ancillam accederet, haudquaquam accessisset. Non enim voluptati indulgens (siquidem id demonstrat præteritum tempus admodum longum), verum liberorum cupiditate flagrans, pulcherrima et formosissima muliere, quæque universam Ægyptum pulchritudine sua in admirationem traxerat, relicta, aliud et deforme et ignobile arvum serere cogebatur. Usque eo enim ab omni libidinis affectu purus erat, ut etiam puellam, posteaquam concepisset, atque eo fortasse nomine dominam suam contempsisset, quod principatus ad eum, quem ipsa in lucem editura erat, deventurus esset, domo expulerit. quo scilicet tempore ipsa, necessitatis ductum sequens in desertum abscessit. Quod si etiam Ceturam duxit, at istud post Agaris et Saræ mortem ab eo factum est, **246** Jacob autem, si ea quam amabat primo potitus fuisset, fortasse ne aliam quidem

ΣΟΔ'. — ΓΟΤΤΩ (66).

Περὶ τῆς τῶν δύο πατριαρχῶν πολυγαμίας, Ἀβραάμ τε καὶ Ἰακώβ.

Ἡ πολυγαμία τοῖν δυεῖν πατριάρχοιν (ὁ γὰρ Ἰσαὰκ μιᾷ ὡμίλησε γυναικὶ) οὐκ ἀπὸ ῥᾳθυμίας ἢ φιλοπαθίας ἐγένετο, ἀλλ' ἐκ τῆς τῶν πραγμάτων ἐπλάκη, ὡς ἄν τις εἴποι, ἀνάγκης. Διὸ καὶ συνεγνώσθησαν. Θέα γὰρ, τῇ Γραφῇ ἀκολουθῶν, ὅπως ἐγένετο. Ὁ μὲν γὰρ Ἀβραὰμ, εἰ μὴ παρεκλήθη ὑπὸ τῆς γυναικὸς, τῆς καὶ ζηλοτυπεῖν ὀφειλούσης, πλησιάσαι τῇ παιδίσκῃ, οὐκ ἂν ἐπλησίασεν· οὐ γὰρ ἡδυπαθῶν (καὶ δείκνυσιν ὁ παρεληλυθὼς χρόνος μακρὸς ὤν), ἀλλὰ παίδων ἐπιθυμῶν τὴν εὐμορφοτάτην καὶ εὐειδεστάτην, καὶ πᾶσαν τὴν Αἴγυπτον τῷ κάλλει ἀναπτερώσασαν ἀφεὶς, ἄλλην [καὶ] δύσμορφον καὶ δυσγενῆ ἠναγκάζετο σπείρειν ἄρουραν (67). Οὕτω γοῦν καθαρὸς ὢν πάθους παντὸς, ὅτι καὶ μετὰ τὸ κυῆσαι τὴν παῖδα, καὶ βασιλίζουσαν ἴσως ἀτιμάσαι τὴν δέσποιναν, ὡς τῆς ἡγεμονίας εἰς τὸν ἐξ αὐτῆς τεχθησόμενον περιστησομένης, ἐξήλασε τῆς οἰκίας, ὅτε καὶ ἀπῆλθεν ἐκείνη εἰς τὴν ἔρημον ὁδηγῷ τῇ ἀνάγκῃ χρησαμένη. Εἰ δὲ καὶ τὴν Χεττούραν ἔσχεν, ἀλλὰ μετὰ [τὴν] τῆς Ἄγαρ καὶ τῆς Σάρας τελευτήν. Ὁ δ' Ἰακὼβ, εἰ ἦς ἦρα [ἐξ ἀρχῆς] ἔτυχεν, ἴσως οὐδ' [ἂν] ἄλλης ἥψατο γυναικός. Καὶ ὅτι οὐκ ἔστι στοχασμὸς τὸ λεγόμενον, ἐκ τούτου δῆλον. Ὁ μὲν γὰρ κηδεστὴς τὴν πρεσβυτέραν ἄμορφον οὖσαν, ἀντὶ τῆς νεωτέρας τῆς ἀμήχανον κάλλος ἐχούσης αὐτῷ παρακατέκλινεν. Ὁ

VARIÆ LECTIONES ET NOTÆ.

(65) Pro διαφεύγει ambo codd. Vatic. 649 et Alt. clarissime scribunt διαφεύγει. Possin.

(66) Hæc epistola in cod. Vat. 649 et Alt. inscribitur non Γόττῳ, *Gotto*, sed Γόττῳ, *Gottho*. Ib.

(67) *Σπείρειν ἄρουραν*. Honesta metaphora, a multis auctoribus usurpata, de eo quod Latinis est, *liberis dare operam*. Sic Theognis μάργον ἄνδρα detestatur, ὅστις ἀρ' ἀλλοτρίην βούλετ' ἄρουραν ἀροῦν, quive, est apud Plautum, fundum alienum colit, inultum familiarem deserit. Talis erat vetus Attica formula contrahentium matrimonia, ἐπὶ νομίμων παίδων σπορᾷ, de qua alibi Isidorus. Bitt.

Digitized by Google

δὲ ὀψέ ποτε γνοὺς τὴν ἀπάτην, ἠγανάκτησε μὲν, οὐκ ἐξέβαλε δὲ, ἄτοπον ἡγούμενος τὴν ὅπως δήποτε παρ' αὐτοῦ νυμφευθεῖσαν ἀποπέμψασθαι. Εἶτ' ἐκεῖνος ἐγκαλούμενος ὡς ἀπατεὼν, αὐτεπάγγελτος ἐπὶ τὸ καὶ τὴν ἄλλην αὐτῷ δοῦναι ὥρμησε, νενομισμένου πάντως τοῦ τοιούτου, καὶ συγκεχωρημένου ὑπὸ συνηθείας ἀρχαίας. Τοῦ δὲ καταδεξαμένου, ἡ μὲν πρεσβυτέρα, καίτοι μὴ καταθύμιος αὐτῷ οὖσα, ἔτικτεν· ἡ δὲ χειρωσαμένη αὐτὸν τῷ φίλτρῳ, οὐδ' ἐλπίδα τοῦ πράγματος εἶχεν· ἦτις καὶ τῇ λύπῃ κατακράτος ἁλοῦσα, ἐπείλει ἀναιρήσειν ἑαυτὴν, εἰ μὴ τέκοι. « Δός μοι γάρ, φησὶ, τέκνα· εἰ δὲ μὴ, τελευτήσω ἐγὼ, » τουτέστιν, ἐμαυτὴν χειρώσομαι. Ὡς δ' ἀπέγνω, παρακέκληκεν αὐτὸν τῇ θεραπαινίδι ἑαυτῆς πλησιάσαι, ἵνα τὰ ἐξ ἐκείνης τικτόμενα τεκνοποιήσηται, καὶ ὄζῃ παραμυθίαν τινὰ ἔχειν τῆς τοιαύτης συμφορᾶς (68). Ἐδόκει γὰρ τότε μέγιστον κακὸν εἶναι ἡ ἀτεκνία. Ὁ δὲ (69) οὐ πάθει δουλωθεὶς (οὐ γὰρ ἂν τὴν ἄλεκτον κάλλος ἔχουσαν ἀφεὶς, θεραπαινίδι ἑαυτὸν ἐξεδίδου), ἀλλ' ἐκείνην ἀθυμίας ἀπαλλάξαι βουλόμενος, πείθεται. Ὡς δ' ἔτεκεν ἡ θεράπαινα, πάλιν ἡ πρεσβυτέρα ζηλοτυπήσασα, καίτοι παῖδας ἔχουσα πολλοὺς, ἠνάγκαζεν αὐτὸν καὶ πρὸς τὴν αὐτῆς εἰσελθεῖν παιδίσκην. Ὁ δὲ στάσεως καὶ φιλονεικίας ἀπάσης ἀφορμὴν ἐκβαλεῖν ἐκ τῆς οἰκίας βουλόμενος, πείθεται. Καὶ ἡ σειρὰ αὐτῷ τῶν συμβεβηκότων ἀπὸ τοῦ περὶ τὴν Ῥαχὴλ ἐπλάκη φίλτρου. Εἰ γὰρ ταύτην παρὰ τὴν ἀρχὴν εἰλήφει, ἴσως ἂν αὐτῇ ἠρκέσθη. Ἐπειδὴ δὲ ἀπάτην ὑπέμεινεν, οὐχ ἡδυπαθῶς (70), ἀλλὰ παρ' αὐτῶν τῶν ζηλοτυπῆσαι ὀφειλουσῶν γυναικῶν, ποτὲ μὲν παρακαλούμενος, ποτὲ δὲ ἀναγκαζόμενος, εἰς τοῦτ' ἐλθεῖν ἐξεβιάσθη. Ὁ μὲν οὖν Ἰσαὰκ, ὡς ἔφθην εἰπὼν, εἰς τοιαύτην μὴ (71) ἐμπεσὼν ἀνάγκην, μιᾷ ὡμίλησε γυναικὶ, καὶ ἀρκεσθεὶς ταύτῃ, καὶ ὑπὲρ τοῦ Ἀβραὰμ, καὶ ὑπὲρ τοῦ Ἰακὼβ ἀπελογήσατο. Ὁ δὲ Ἀπόστολος καὶ εἰς θεωρίαν ἕλκει τὰ γεγενημένα, εἰς τὰς δύο διαθήκας, τὴν Ἄγαρ ἄγων καὶ τὴν Σάῤῥαν. Μηδεὶς τοιγαροῦν τῶν ἀκρασίᾳ καὶ λαγνείᾳ δεδουλωμένων, καὶ τὰς μὲν ἑαυτῶν γυναῖκας ἀφιέντων, εἰς δὲ χαμαιτυπεῖα καλινδουμένων, καὶ στάσεις καὶ φιλονεικίας ἐν ταῖς ἑαυτῶν οἰκίαις ἐμβαλλόντων, τὰ τῶν ἀοιδίμων ἐκείνων, καὶ πάσῃ τῇ ἄλλῃ ἀρετῇ κεκοσμημένων, δι' ἀνάγκην πραγμάτων παρακολουθήσαντα ἐλαττώματα προφέρων, ἀπολογίαν νομιζέτω ἔχειν τῆς αὐτοῦ κακίας, μηδὲ τοὺς πρὸ τοῦ νόμου πολιτευσαμένους τοῖς μετὰ τὸν νόμον καὶ τὴν χάριν πολιτευομένοις παραβάλλειν ἐπιχειρείτω. Εἰ γὰρ ἄγραφον οὖσαν τὴν ἀρετὴν ἀσμένως ἀσπασάμενοι, καὶ διὰ γραμμάτων μεμαθήκεσαν, πάντως ἂν πλέον διέλαμψαν. Τίς γὰρ υἱὸν μονογενῆ καὶ ὀψίγονον, ἐν αὐτῷ τῆς ἡλικίας τῷ ἄνθει σφάξαι καταδέξοιτο, ὥσπερ ὁ Ἀβραάμ; Τίς

A mulierem attigisset. Quodque non mera conjectura sit, quod dico, hinc constat. Etenim socer majorem natu, quæ deformitate laborabat, junioris loco, cujus incredibilis quædam pulchritudo erat, sibi adjunxit. Ipse autem, tandem aliquando, cognita fraude, indigne quidem id tulit, haud tamen eam ejecit: quod scilicet absurdum esse judicaret eam quam quoquo modo despondisset, ablegare. At socer, cum ut deceptor accusaretur, sua sponte eo processit, ut ipsi alteram quoque daret. Nam id prorsus usitatum ac veteri consuetudine permissum erat. Quod cum ille accepisset, antiquior, etsi alioqui parum ipsi grata, pariebat: ea autem quæ ipsum amoris illecebris devinctum tenebat, ne in spe quidem ulla hujus rei erat. Ac proinde gra-
B vissimo mœrore correpta, se vim suæ vitæ allaturam minabatur, nisi pareret. « Da enim mihi liberos, inquit, alioqui moriar [2], » hoc est, mortem mihi ipsi consciscam. Posteaquam autem pariendi desperatione affecta est, ab ipso petiit, ut cum ancilla sua rem haberet: quo liberos eos, qui ex ipsa nascerentur, adoptaret, ac nonnullum hujusce calamitatis solatium habere videretur. Nam tum sterilitas maximum malum esse censebatur. Ipse itaque non libidine subactus (neque enim alioqui eam, quæ incredibili pulchritudine prædita erat, relinquens, ancillæ seipsum dedidisset), sed ut eam mœrore liberaret, ut id faceret, adductus est. Ut autem ancilla peperit, rursum natu major zelotypia
C percita, tametsi multos filios haberet, ipsum ad ancillam quoque suam ingredi coegit. Ille autem ut dissidii omnis et contentionis materiam e domo sua ejiceret, ipsius cupiditati obsequitur. Ita eorum, quæ evenerunt, catena non aliunde ipsi, quam a Rachelis amore contexta est. Nam si eam principio accepisset, ea fortasse contentus fuisset. Posteaquam autem fraudem pertulit, non quod libidini deditus esset, sed quia ab ipsismet mulieribus, quas zelotypia laborare oportebat, nunc rogabatur, nunc etiam necessitate constringebatur, eo venire coactus est. Ac quidem Isaac, ut superius dixi, in ejusmodi necessitatem minime prolapsus, cum unica duntaxat uxore consuetudinem habuit, eaque contentus fuit: hincque et Abrahamum et Jacobum a culpa vindicavit. At vero Apostolus ea quæ
D contigerunt, ad allegoriam trahit, Agarem videlicet et Saram ad duo Testamenta ducens [3]. Quocirca nemo ex iis qui libidini et lasciviæ sese in servitutem addixerunt, uxoribusque suis relictis in prostibulis volutantur **247** ac dissidia et contentiones in domos suas injiciunt, clarorum illorum virorum, atque omnibus aliis virtutibus instructo-

[2] Gen. xxx, 1. [3] Galat. iv, 24.

VARIÆ LECTIONES ET NOTÆ.

(68) Huc pertinet, quod etiam in jure nostro adoptio dicitur solatii causa inventa esse. Rittr.

(69) Uterque cod. legit ὃς δέ. Id.

(70) Pro ἡδυπαθῶς ambo codd. habent ἡδυπαθῶν. Id.

(71) Μὴ abest ab utroque codice. Id.

Digitized by Google

lum. fallent, cui, a vitio et improbitate præcipites acti, contraria profiteri minime dubitarunt.

A

λήσονται, οὗ τἀναντία ἐκβαχχευθέντες ὑπὸ τῆς κακίας δογματίσαι ἐτόλμησαν.

CCLV. — OPHELIO GRAMMATICO.

Multi sophistæ per eam gloriam, quam prius adepti sunt, detrimenta ea, in quæ postea incidunt, obtegere conantur, ut qui prius quidem res superarint, nunc autem earum magnitudine victi sint.

ΣΝΕ'. — ΩΦΕΛΙΩ ΓΡΑΜΜΑΤΙΚΩ.

Πολλοὶ τῶν σοφιστῶν ἐκ τῆς προϋπαρξάσης εὐκλείας τὰς συμβαινούσας ἥττας περιστέλλειν πειρῶνται, ἅτε πρότερον μὲν τῶν πραγμάτων γεγονότες κρείττονες, νῦν δὲ ὑπὸ τούτων κρατηθέντες.

CCLVI. — OLYMPIODORO.

Labore virtutem exerceri.

Demiror qui fiat, ut cum Platonem admireris, ejus tamen consilia et præcepta parvipendas. Ille enim virtutis surculos non sine labore ac sudore seri ait: tu autem, quonam pacto haud scio, genus vitæ laboris expers suscepisti.

ΣΝΣ'. — ΟΛΥΜΠΙΟΔΩΡΩ.

Ὅτι πόνῳ κατορθοῦται ἡ ἀρετή.

Θαυμάζω, πῶς Πλάτωνα θαυμάζων, τὰς παραινέσεις αὐτοῦ παρὰ φαῦλον τίθεσαι. Ἐκεῖνος μὲν γάρ φησι τοὺς τῆς ἀρετῆς κλῶνας πόνῳ καὶ ἱδρῶτι φύεσθαι (47)· σὺ δ' οὐκ οἶδ' ὅπως ἄπονον ἐπανείλου βίον.

B

CCLVII. — EUTONIO DIACONO.

Ex iis qui plus habendi cupiditate flagrant, atque inferendis injuriis delectantur, qui peccare se sciunt, graviter ægrotant: qui autem ne peccatum quidem suum agnoscunt, perdite ac deplorate. Hoc ipsum enim non sentire morbum in quo versantur, insensibilitatis incrementum est, atque in perfectum stuporem ac mortem desinit. Quocirca hos maxime lugere convenit. Malum enim inferre miserius est, quam malo affici. Nam illis de animæ salute periculum imminet: his autem detrimentum in pecuniis subsidit, nec ultra progreditur. Quin alioqui etiam duplicem mortem non sentiunt. Imperfecti enim ac puerilis animi documentum præbent. Quandoquidem ii quoque qui tenera admodum C aut puerili ætate sunt, ea quæ vere horrenda et pertimescenda sunt, nihil curant, imo etiam manus persæpe in ignem injiciunt, inanes autem larvas ac spectra conspicientes, metu percelluntur, et contremiscunt. His porro non dissimiles esse videntur homines pecuniæ ac rapacitatis studiosi: ut qui paupertatem quidem, quæ non modo nihil habet, quod metuendum sit, verum etiam securitatis omnis hac modestiæ materia est, pertimescant: iniquas autem divitias plurimi ducant, quæ tamen quovis igne magis timendæ sunt. Siquidem dominorum suorum, et animos, et spes exurunt, atque in cinerem redigunt.

ΣΝΖ'. — ΕΥΤΟΝΙΩ ΔΙΑΚΟΝΩ.

Τῶν πλεονεκτῶν καὶ ἀδίκων (48), οἱ μὲν εἰδότες ὅτι ἁμαρτάνουσιν, οἱ δὲ μηδ' ὅτι ἁμαρτάνουσιν εἰδότες, ἀνήκεστα· τὸ γὰρ μὴ αἰσθέσθαι τῆς ἀῤῥωστίας ἐν ᾗ εἰσιν, ἐπίτασις ἀναισθησίας ἐστὶ, καὶ εἰς ἀναλγησίαν παντελῆ καὶ νεκρότητα τελευτᾷ. Τούτους τοίνυν χρὴ μάλιστα ἐλεεῖν. Τὸ γὰρ κακῶς ποιεῖν τοῦ κακῶς πάσχειν ἐστὶν ἐλεεινότερον (49)· τοῖς μὲν γὰρ περὶ τῶν ἐσχάτων ὁ κίνδυνος σαλεύει· τοῖς δὲ μέχρι χρημάτων ἐστὶν ἡ ζημία. Ἄλλως τε δὲ καὶ διττῆς οὐκ αἰσθάνονται νεκρώσεως. Ἀτελοῦς γὰρ καὶ παιδικῆς διανοίας ἐκφέρουσι δεῖγμα. Ἐπεὶ καὶ τὰ κομιδῇ νήπια, τῶν μὲν ὄντως (50) φοβερῶν, οὐδένα ποιεῖται λόγον, ἀλλὰ καὶ πυρὶ πολλάκις ἐπαφίησι τὰς χεῖρας, προσωπεῖα δὲ διάκενα καὶ μορμολύκια θεώμενα δεδίττεται καὶ τρέμει· τούτοις κινδυνεύουσιν ἐοικέναι, καὶ οἱ τῆς πλεονεξίας ἐρασταὶ, πενίαν μὲν δεδιότες, ἥτις οὐκ ἔστι φοβερὰ, ἀλλὰ καὶ ἀσφαλείας ἀπάσης, καὶ μετριοφροσύνης ὑπόθεσις· πλοῦτον δ' ἄδικον περὶ πολλοῦ ποιούμενοι· οὕτως πυρός ἐστι φοβερώτερος. Τεφροῖ γὰρ τῶν ἐχόντων καὶ τὰ φρονήματα καὶ τὰς ἐλπίδας.

CCLVIII. — EIDEM.

Labore virtutem perfici.

Illud compertissimum et exploratissimum **240** habeo, te magnos quidem esse virtutis fructus, D etiamsi in periculo verseris existimare: verum eo nomine mœrere ac discruciari, quod plerisque miser esse videaris. At si non vulgi opinioni ac su-

ΣΝΗ'. — ΤΩ ΑΥΤΩ.

Ὅτι πόνῳ κατορθοῦται ἡ ἀρετή.

Μάλα ἀκριβῶς οἶδα, ὅτι τοὺς μὲν τῆς ἀρετῆς καρποὺς μεγάλους εἶναι, κἂν κινδυνεύῃς, νομίζεις, ἀθυμεῖς δὲ τοῖς πολλοῖς νομιζόμενος δυστυχεῖν. Ἀλλ' ἐὰν μὴ τῇ τῶν πολλῶν ὑπονοίᾳ, καὶ δόξῃ, ἀλλ' ἀκριβεῖ (51) λογισμῶν ἐξετάσει τὸ πρᾶγμα ἐπιτρέψεις,

VARIÆ LECTIONES ET NOTÆ.

(47) *Τοὺς τῆς ἀρετῆς κλῶνας πόνῳ καὶ ἱδρῶτι φύεσθαι.* Cum hac Platonica sententia conferes utiliter aureos Hesiodi versus, quos Cicero Leptæ filio ediscendos commendat, et Quintus Smyrnæus æmulatus est lib. XII, qui et lib. V. *Paralipom.* eodem allusit. Cæterum occurrit hic ἐναντιοφανές quoddam ex collatione hujus epist. cum 147 et 240 sup. hoc lib., quod discutiet ac conciliabit ep. 267 infra. RITT.

(48) Post ἀδίκων recte ἀνδρῶν, supplet Cod. Vat. 649. Idem verba paulo post sequentia hæc omnia omittit, ὅτι ἁμαρτάνουσιν, οἱ δὲ μηδ' ὅτι ἁμαρτάνουσιν εἰδότες. Sed sine his mutilus locus est. Cod. Alt. cum edito consentit. POSSIN.

(49) *Τὸ γὰρ κακῶς ποιεῖν.... ἐλεεινότερον.* Platonicum hoc est dogma, de quo vide ipsius *Gorgiam*, pag. 509. RITT.

(50) Pro ὄντως ambo codd. scribunt ὄντων, et vers. antepenult. pro οὕτως substituunt ὅστις. POSSIN.

(51) Pro ἀκριβεῖ ambo codd. Vat. 649 et Alt. legunt ἀκριβείας. POSSIN.

Digitized by Google

ἡ ἀθυμία φροῦδη οἰχήσεται· μᾶλλον δὲ θυμηδίας προξενος γενήσεται· ἀναλόγως γὰρ τοῖς ἐνταῦθα ἀγῶσι καὶ οἱ τῆς ἀρετῆς πλέκονται στέφανοι.

A spicioni, verum accurato rationis examini rem permiseris, hujusmodi mœror evanescet, imo etiam lætitiæ causam tibi allaturus est. Siquidem pro certaminum hujus vitæ ratione, virtutis quoque coronæ nectuntur.

ΣΝΘ'. — ΘΕΟΔΟΣΙΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Παρὰ μὲν ἀνθρώποις ἴσον εἶναι δοκεῖ τὸ εὐεργέτας [μὴ] ἀμείβεσθαι, καὶ ἐχθροὺς [μὴ] ἀμύνεσθαι (52). Παρὰ δὲ τῇ θείᾳ φιλοσοφίᾳ τὸ μὲν ἀμείβεσθαι τοὺς εὐεργέτας κρατεῖ· τὸ δὲ ἀμύνεσθαι τοὺς ἐχθροὺς οὐχί· ἀλλὰ παντὶ μὲν τρόπῳ τὸ ἀνεξικακεῖν, εἰ δ' οἷόν τε, καὶ εὐεργετεῖν.

CCLIX. — THEODOSIO PRESBYTERO.

Apud homines par culpa esse videtur, iis, a quibus beneficium acceperis vicem non rependere, et hostes minime ulcisci. At apud divinam philosophiam illud quidem obtinet, ut bene de nobis meritos remuneremur; at non item illud, ut injurios ulciscamur : verum omnino quidem patientiam adhibeamus : si autem fieri possit, eos etiam beneficiis persequamur.

ΣΞ'. — ΘΕΩΝΙ ΕΠΙΣΚΟΠΩ.

Ὥσπερ ἀνδρεῖος καὶ φιλάνθρωπος βασιλεὺς τοῖς νόμοις τὰ ὅπλα μίξας, πᾶσαν ὕβρεως μελέτην τρέπεται· τὸ μὲν τῇ ἀκροάσει τῶν νόμων πειθόμενον, δίχα κολάσεως ἐπιστρέφων· τὸ δ' ἀνήκοον, τῇ διὰ τῶν ὅπλων ἀνάγκῃ παιδαγωγῶν· οὕτω καὶ εὐαγὴς καὶ ἐπιεικὴς ὁ ἱερεὺς τοῖς θεσμοῖς τὸν φόβον μίξας, καὶ τῇ ἀρχῇ τὴν ἐπιείκειαν κεράσας, πᾶσαν κακίας μελέτην, τό γε ἧκον εἰς αὐτὸν, τρέπεται· τῶν ὑπηκόων τὸ μὲν λόγοις εἶκον λόγοις θεραπεύων· τὸ δ' ἀνήκοον τῷ διὰ τῶν θεσμῶν σωφρονισμῷ εἰς τὸ μηκέτι ἁμαρτάνειν χειραγωγῶν.

CCLX. — THEONI EPISCOPO.

B Quemadmodum fortis et humanus rex legibus cum armis conjunctis omne contumeliæ ac petulantiæ studium profligat, eos nimirum qui legum auditioni morigeros se præbent, citra pœnam ac officium revocans, eos autem qui præfracto et contumaci animo sunt, vi atque armis coercens : eodem modo pius ac mansuetus sacerdos legibus metum adjungens, atque imperium lenitate condiens, omne improbitatis studium, quantum quidem in ipso situm est, fugat : eos nempe subditorum, qui sermonibus cedunt, sermonum ope atque adjumento curans, eos autem, qui pervicaces, et immorigeri sunt, legitimis animadversionibus eo, velut porrecta manu, ducens, ut posthac minime peccent.

ΣΞΑ'. — ΖΩΣΙΜΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Περὶ κρίσεως.

C Εἰ καὶ τοὺς ἀνθρώπους οὐκ ἐρυθριᾷς, οὐδὲ ὑπολήψεως ἀντιποιῇ, κἂν τὴν παρὰ τοῦ Θείου τοῖς τοιούτοις τολμήμασιν ἑπομένην φοβήθητι δίκην. Εἰ γὰρ καὶ αὐτίκα δὴ μάλα μακροθυμεῖ, εἰς μετάνοιαν καλοῦσα· ἀλλὰ μικρὸν ὕστερον, πικρότερον μετελεύσεται τοὺς μηδὲ τὴν τοσαύτην φιλανθρωπίαν αἰδεσθέντας. Πολλοὶ μὲν οὖν κἀνταῦθα τὴν ἀήττητον οὐ διαπεφεύγασι χεῖρα, ἀλλ' ὑπὸ τοιούτων κατελήφθησαν συμφορῶν, ὡς ἀποκρύψαι τῷ μεγέθει τὰς τραγῳδίας. Πολλοὶ δὲ ἐνταῦθα δόξαντες διαπεφευγέναι κολαστήρια, τῶν ἐκεῖσε πικροτέρων (53) ἀπέλαυσαν, τῆς δίκης δικαίως αὐτοῖς ἀντιμετρησάσης τὴν δίκην (54).

CCLXI. — ZOSIMO PRESBYTERO.

De judicio.

Etsi nec homines erubescis, nec famæ atque existimationis rationem ullam habes : at eam tamen, quæ hujusmodi flagitia divinitus consequitur pœnam fac pertimescas. Quanquam enim ea in præsens moratur atque conquiescit (ad pœnitentiam scilicet invitans), tamen aliquando post, eos, quos ne tanta quidem benignitas ullo pudore commoverit, arcerbius persequetur. Ac multi ne in hac quidem vita invictam illam manum effugerunt, verum ejusmodi calamitatibus correpti sunt, ut ipsas quoque tragœdias magnitudine sua obscurarent. Multi autem qui hujus vitæ tormenta effugisse videbantur, in amarulentiores alterius vitæ cruciatus inciderunt, nimirum vi illa scelerum vindice juste ipsis pœnam remetiente.

ΣΞΒ'. — ΕΡΜΟΓΕΝΕΙ ΕΠΙΣΚΟΠΩ.

Οἱ φίλοι, περὶ ὧν γέγραφας, οὔτε παραινέσεως δέονται, οὔτε προτροπῆς. Ἔοικασι γὰρ [οὐ] παυσαμένοις οὐδέποτε τῆς ἐπὶ τοῖς καλλίστοις ἀμίλλης, ἀλλ' ἕως τέλους, ἅτε δὴ τῶν οὐρανίων γερῶν δεινῶς

Qui pretiosissima sacerdotii corona redimiti sunt, virtutibus potiusquam pecuniis et opibus affluere debent, et voluptatem instituto suo congruentem existimare temperantiam, ac non ventri, nec iis, qui ventrem sequi solent, affectibus cedere. Neque enim potestatem in cupiditatum subministratione, sed in patientia et laborum tolerantia sitam esse arbitrari convenit. Quod si prō veritate quoque aut pietate periculum proponatur, eos mortem fugere minime par est : risum enim sui exci- B tarent, si metu frangerentur, ac non libenter eo pergerent, quo cum pervenerint, spes est fore, ut ea re, quem per omnem vitæ cursum expetebant, potiantur. Divinam autem societatem expetebant.

Σιδ'. — ΣΕΡΗΝΩ ΤΡΙΒΟΥΝΩ ΝΟΤΑΡΙΩ.

Ἡ μὲν ἀληθὴς εὐγένεια ἀπὸ τρόπων χρηστῶν συνίστασθαι πέφυκε, καὶ τὸ βέβαιον ἀξίωμα ἀπὸ ἀρετῆς προσγίνεται. Εἰ δέ τις μήτε ἐκ προγόνων λαμπρῶν φῦς, μήτε ὑπὸ τρόπων ὀρθῶν κοσμούμενος, ἀξίωμα ἑαυτῷ ἀγοράσειεν, ὅπερ εὐνοῦχοι πιπράσκουσι (86), καὶ βασιλέων ἴσως οὐδ' εὐγενῶν χαρίζονται χεῖρες· οὗτος οὐκ ἂν εἴη δίκαιος σεμνύνεσθαι. Εἰ δὲ μὴ μόνον ἐναβρύνοιτο, ἀλλὰ καὶ τοὺς ἔχοντας τὸ τῆς ἀρετῆς ὑπέρλαμπρον ἀξίωμα διαπτύει· οὗτος οὐ μόνον ἑαυτὸν, ἀλλὰ καὶ τοὺς προγόνους ἅτε ἀσήμους καὶ ἀφανεῖς κωμῳδεῖσθαι παρασκευάζει. Οὐκοῦν ἵνα μηδὲν τοιοῦτο πάθοις, γνῶθι σαυτόν.

CCXCI. — SERENO TRIBUNO NOTARIO.

Vera nobilitas a probis moribus conflari nata est, ac firma et stabilis dignitas virtute comparatur. Quod si quis nec a splendidis majoribus ortum trahens : nec morum probitate ornatus dignitatem, quam spadones vendunt, atque imperatorum, ne nobilium quidem fortasse, manus largiuntur, pecunia sibi comparet, haud est, quamobrem ille merito glorietur. Quod si non modo glorietur, sed etiam eos, qui splendidissima virtutis dignitate præditi sunt, contemnat, ac nihilo putet, hic ut non tantum ipse, sed etiam majores sui, velut obscuri atque ignobiles, traducantur, efficit. Quamobrem ne quid C ejusmodi tibi accidat, fac teipsum noscas.

Σιε'. — ΗΣΑΙΑ ΣΤΡΑΤΙΩΤΗ.

Οὐ φημὶ χρῆναι τοὺς, ὥσπερ σὺ, ἐξ ἀφανῶν καὶ ἀσήμων γονέων, ἀλλ' οὐδὲ τοὺς ἐκ λαμπρῶν καὶ περιφανῶν φύντας, εἰς τοσαύτην ἀλαζονείαν ἐλαύνειν, καὶ τοὺς τῆς φύσεως ὑπερβαίνειν ὅρους. Ἵν' οὖν μὴ ὑπερόρια πταίσας, ὑπερορίους ἀπαιτηθείης δίκας, ταῖς τῆς μετριοφροσύνης ἡνίαις τὴν τῆς ἀλαζονείας ἀναστειράζειν σπούδαζε μανίαν, καὶ ῥύθμιζε σαυτὸν, πρὸς τὸ πρέπον ἀνδρὶ ἐπιεικεῖ σχῆμα, καὶ μήτε δι' ὀφθαλμῶν, μήτε δι' ὀφρύων, μήτε διὰ γλώττης, μήτε διὰ βαδίσματος ἴχνος [ἐσ]τι τῆς τοιαύτης ἐμφαινέσθω νόσου.

CCXCII. — ISAIÆ MILITI.

Nego oportere, non eos duntaxat, qui instar tui obscuris et ignobilibus parentibus nati sunt, verum eos quoque, qui ab illustribus et splendidis ortum traxerunt, in tantam arrogantiam prorumpere, **254** ac naturæ terminos transilire. Quamobrem, ne præter modum peccans, immodicis etiam pœnis multeris, arrogantiæ furorem modestiæ freno reprimere stude : teque ad speciem probo atque honesto viro congruentem compone : illudque cura ut, nec per oculos, nec per supercilia, nec per linguam, nec per incessum ullum hujusmodi morbi vestigium in te appareat.

VARIÆ LECTIONES ET NOTÆ.

(85) Vide ad hanc rem elegantissimam D. Augustini ep. 180, ad Honoratum, cui junge cap. 30 Vitæ Augustini. Ritt.

(86) *Ἀξίωμα ἑαυτῷ ἀγοράσειεν ὅπερ εὐνοῦχοι πιπράσκουσι.* Eunuchi, quorum maxima fuit in aulis plerorumque veterum impp. Romanorum potentia, dignitates (sæpe etiam fumos) vendere solebant, ut non est obscurum historias impp. Romanorum legenti. Ex quibus nunc ista succurrebant quæ ad hanc rem adnotarem. Æl. Lamprid. in *Alexandro Severo*, prope finem : « Eunuchos nec in consiliis nec in ministeriis habuit, qui soli principes perdunt, dum eos more gentium aut regum Persarum volunt vivere : qui a populo etiam amicissimum principem semovent : qui internuntii sunt, aliud quam respondetur, sæpe referentes, claudentes principem suum, et agentes omnia ne quid sciat; qui cum empti sint et pravi fuerint, quid tandem possunt boni sapere. » Et multo ante idem scriptor, cum diceret, (Alexander Severus) « nolle ab aulicis suas vendi dispositiones, quod factum fuerat sub Heliogabalo, cum ab eunuchis omnia venderentur : quod genus hominum idcirco secreta omnia in aula nosse cupiunt, ut soli aliquid scire videantur, et habeant unde vel gratiam vel pecuniam requirant. » Idem Lampridius Heliogabalum imperatorem mancipium eunuchorum fuisse scribit. Vide et Claudianum, et ipsum Isidorum lib. I, ep. 36. Ib.

Digitized by Google

CCXCIII. — THEOGNOSTO PRESBYTERO.

Discite bonum facere[7].

Quoniam plerique sermonibus philosophantes, operibus coarguuntur (divina enim oracula in medio hominum cœtu decantantes, clam ea, quæ nefas est, faciunt), idcirco dictum est : « Discite bene facere. » Siquidem probe loqui, probo opere remoto, non modo vanum quiddam et inane esse cernitur, verum etiam, et segnibus ac languidis risum, et gravioribus molestiam parit.

CCXCIV. — EUTONIO DIACONO.

De mutatione et restitutione in regnum Nabuchodonosori.

Si Babylonio regi, qui tot crimina perpetrarat, et naturæ terminos excesserat, stultaque cogitatione parem se Deo esse sibi finxerat, calamitatis terminus fuit summi numinis agnitio (posteaquam enim naturam suam agnovit, atque incomparabilem cœlestis Regis præcellentiam confessus est, imperium suum recuperavit) ; quonam pacto temere nobis, ac non utilitatis cujusdam causa, supplicia inferri existimas?

CCXCV. — MARTINIANO, MARONI, ZOSIMO EUSTATHIO.

Refugit mihi quidem calamus ea scribere quæ nec scire vellem. Quoniam autem eos quoque, qui ad extremum improbitatis gradum processerunt, ad meliorem mentem revocare oportet, idcirco scribo, ac moneo, ut ea perpetrare desinatis, quæ ipse, ne linguam commaculem, dicere nolo. Vos autem, haud scio quonam pacto facere minime dubitatis.

CCXCVI. — EUSTATHIO PRESBYTERO.

Quamvis indepinata prosperitas insolentem, ut scribis, Zosimum reddiderit (solent enim homines, quibus præter omnem exspectationem prosperitas quædam accidit, in insolentiam ac petulantiam labi) : at tu tamen patientem ac philosophicum animum præsta. Sic enim et ipsum ulcisci poteris (nihil quippe contumeliosos homines tam excruciat, quam eorum, quibus contumelia infertur, patientia) et optimum apud omnes calculum feres, et ea, quæ de te commemorantur, falsa esse demonstrabis. Nam qui indignatur et excandescit, hoc ipso veras esse contumelias ostendit ; **255** qui autem eas irridet, ac pro nihilo ducit, perspicuum argumentum præbet, se nullius sceleris sibi conscium esse.

CCXCVII. — EIDEM.

Accepi a quibusdam viris, quibus hostili odio mendacium est, veritas autem in lingua habitat, te, cum tibi a Zosimo contumeliæ inferuntur, tum quidem patientiam adhibere, post autem ipsum tra-

ΣιΓ'. — ΘΕΟΓΝΩΣΤΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Μάθετε καλὸν ποιεῖν.

Ἐπειδὴ πολλοὶ λόγοις φιλοσοφοῦντες, τοῖς ἔργοις ἐλέγχονται (τοὺς γὰρ θείους χρησμοὺς ἐν μέσῳ περιῴδοντες, λάθρα ἃ μὴ θέμις πράττουσι)· διὰ τοῦτο εἴρηται· « Μάθετε καλὸν ποιεῖν. » Τὸ γὰρ εὖ λέγειν, τοῦ ὀρθῶς πράττειν ἀπόντος, οὐ μόνον μάταιόν τι φαίνεται καὶ κενὸν, ἀλλὰ καὶ γέλωτα μὲν τίκτει τοῖς ῥᾳθύμοις, ὄχλησιν δὲ τοῖς (87) σεμνοτέροις.

ΣιΔ'. — ΕΥΤΟΝΙΩ ΔΙΑΚΟΝΩ.

Περὶ τῆς ἀλλοιώσεως καὶ ἀποκαταστάσεως τοῦ Ναβουχοδονόσωρ.

Εἰ τῷ Βαβυλωνίῳ, τοσαῦτα πταίσαντι, καὶ τοὺς ὅρους τῆς φύσεως ὑπερβάντι, καὶ ἰσοθεΐαν παραλόγως φαντασθέντι, ὅρος ἦν τῆς συμφορᾶς, ἡ τοῦ κρείττονος ἐπίγνωσις (μετὰ γὰρ τὸ ἐπιγνῶναι τὴν οἰκείαν φύσιν, καὶ τοῦ τῶν οὐρανῶν Βασιλέως ὁμολογῆσαι τὴν ἀσύγκριτον ὑπεροχὴν (88), τῆς οἰκείας ἐπελάθετο ἀρχῆς)· πῶς σὺ νομίζεις ἁπλῶς, καὶ οὐκ ἐπὶ κέρδει τινὶ ἐπιφέρεσθαι ἡμῖν τὰς κολάσεις;

ΣιΕ'. — ΜΑΡΤΙΝΙΑΝΩ, ΜΑΡΩΝΙ, ΖΩΣΙΜΩ, ΕΥΣΤΑΘΙΩ.

Ὀκνεῖ μέν μοι γράφειν ὁ κάλαμος, ἅπερ οὐδὲ μαθεῖν ἐβουλόμην. Ἐπειδὴ δὲ χρὴ καὶ τοὺς εἰς ἀκροτάτην κακίαν ἐληλακότας ἀνακαλεῖσθαι, γράφω, ὅπως παύσησθε, ὧν ἐγὼ μὲν οὐκ ἂν εἴποιμι, διὰ τὸ μὴ μολῦναι τὴν γλῶτταν. Αὐτοὶ δ' οὐκ οἶδ' ὅπως διαπράττεσθαι τολμᾶτε.

ΣιΣ'. — ΕΥΣΤΑΘΙΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Εἰ καὶ ἡ ἀπροσδόκητος εὐπραγία ὑβριστὴν ἀπετέλεσε Ζώσιμον, ὡς γέγραφας, τὸν πρεσβύτερον (εἰώθασι γὰρ ἄνθρωποι, οἷς ἀδόκητος μάλιστα εὐημερία ἐπιπίπτει, εἰς ὕβριν χωρεῖν)· ἀλλὰ σὺ φιλοσόφει. Οὕτω γὰρ κἀκεῖνον ἀμύνασθαι δυνήσῃ· οὐδὲν γὰρ οὕτω κολάζει τοὺς ὑβριστὰς, ὡς ἡ τῶν ὑβριζομένων ἀνεξικακία· καὶ ἀρίστην ψῆφον παρὰ πᾶσιν ἀποίσῃ, καὶ τὰ λεγόμενα ψευδῆ ἐπιδείξεις. Τὸ γὰρ ἀγανακτεῖν καὶ δυσχεραίνειν, τοῦ ἀληθεῖς εἶναι τὰς ὕβρεις· τὸ δὲ καταγελᾷν αὐτῶν, τοῦ μηδὲν συνειδέναι πονηρὸν, ἀπόδειξίς ἐστιν ἐναργεστάτη.

ΣιΖ'. — ΤΩ ΑΥΤΩ.

Ἐπυθόμην παρ' ἀνδρῶν, οἷς τὸ μὲν ψεῦδός ἐστι πολέμιον, ἡ δ' ἀλήθεια ἐπὶ γλώσσης οἰκεῖ, ὡς ὑβριζόμενος μὲν παρὰ Ζωσίμου, φιλοσοφεῖς μὲν παραχρῆμα, μετὰ δὲ ταῦτα αὐτὸν ἐκπομπεύεις, παρὰ

[7] Isa. I, 17.

VARIÆ LECTIONES ET NOTÆ.

(87) Ed. Paris., γέλωτα μὲν τίκτει τοῖς σεμνοτέροις. Locus restituitur ex codd. Vat. 649 et Alt. ap. Possinum. Edit. Patr.

(88) Edit. Paris., καὶ τῶν οὐρανῶν βασιλέως ὁμολογῆσαι τὸν ἀσύγκριτον. Emend. ex codd. Vatic. 649 et Alt. Id.

Digitized by Google

πεῖσι διαβάλλων, ὡς οἰκέτης ὢν καὶ ἐξ οἰκετῶν φύς, τοὺς καὶ εὐλαβείᾳ καὶ εὐγενείᾳ κεκοσμημένους λοιδορεῖ. Εἶθ' ὅτι καὶ μνημονεύεις ἐκείνων τῶν παρὰ τῶν ἀρχαίων περὶ τῶν τοιούτων εἰρημένων. Ἀφόρητος γάρ ἐστιν εὐπραγῶν μαστιγίας (89), καὶ ὅτι τὸ εὖ πράττειν παρὰ τὴν ἀξίαν, ἀφορμὴ τοῦ κακῶς φρονεῖν τοῖς ἀνοήτοις γίνεται (90). Καὶ λίαν θαυμάζω, πῶς ὅταν μὲν ἡ πυρὰ τοῦ θυμοῦ κορυφοῦται, κρατεῖ τῆς ὀργῆς· ὅτε δὲ δοκεῖ λήγειν, ἠττᾶσαι. Τὸ μὲν γὰρ ἐξ ἀρχῆς ὀργισθῆναι τὸν μὴ πάνυ φιλοσοφεῖν ἐσπουδακότα, οὐκ ἀπεικός· τὸ δὲ μετὰ τὸ λῆξαι ἢ καὶ σβεσθῆναι τὴν πυρὰν, ἀνάπτειν ἑαυτῷ τὴν κάμινον, ἀπεικός. Εἰ δ' ἡ μνήμη τῶν λεχθέντων ἀνάπτει τὸ πῦρ, τὸ πεφιλεσοφηκέναι σε μᾶλλον εὐφραινέτω, καὶ ἐν γαλήνῃ διατηρείτω. Οὐ γὰρ τί ἐκείνῳ πρέπει ἀκοῦσαι, ἀλλά τί σοι πρέπει εἰπεῖν, λογίσασθαι δίκαιος ἂν εἴης. Μὴ τοίνυν ἐκείνῳ φιλονεικῶν σαυτὸν καθύβριζε, μηδὲ τὸν βίον ἐκείνου ἐκκωμῳδῶν, τὴν σαυτοῦ γλῶτταν μολύνεσθαι παρασκεύαζε, ἀλλ' εἰς τέλος φιλοσόφει. Τοῦτο γάρ σοι μυρίον κλέος γεννήσει.

A ducere, atque eo nomine criminari, quod cum ipse servus sit, atque a servis genus duxerit, eos tamen, qui pietate ac nobilitate insignes et ornati sunt, convitiis afficiat. Deinde etiam ea commemorare, quæ de hujusmodi hominibus a priscis viris dicta sunt, nimirum intolerabilem esse servum prosperis rerum successibus utentem, et immeritam felicitatem vecordibus ac stolidis male sentiendi occasionem præbere. Ac vehementer miror, qui fiat, ut cum furoris rogus in altum attollitur, iram imperio teneas: cum autem sopiri videtur, ipse supereris. Nam quod initio irascatur, qui patientiam præstare non admodum studuit, haud mirum atque absurdum est. At post sopitum, aut etiam exstinctum incendium, fornacem sibi ipsi accendere, B præposterum sane atque inconcinnum fuerit. Quod si eorum, quæ ille dixerit, recordatio ignem excitat, fac patientia ea quam præstitisti, magis te oblectet, atque in tranquillitate conservet. Non enim quid illum audire, sed quid te loqui deceat cum animo tuo reputare debes (92). Quocirca noli committere, ut, dum cum eo rixaris, tibi ipsi contumeliæ notam inuras, ac dum ipsius vitam traducis, lingua tua contaminetur: verum ad extremum usque philosophare. Hoc enim tibi infinitam gloriam allaturum est.

ΣΗ'. — ΖΩΣΙΜΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Λίαν ἀλγῶ τὴν ψυχὴν, ὅτι ὀξὺ πρὸς τὰ χείριστα ὁρῶν, τυφλώττεις πρὸς τὴν ἀρετὴν, καὶ ὅτι ὑπερορίων πταισμάτων ἐραστὴς ὤν, ἔτι καινοτέρων ἀδικημάτων ἀνεφάνης εὑρετής. Εἰ τοίνυν κἀμὲ λύπης, καὶ σαυτὸν δίκης ἐλευθερῶσαι βούλει, θᾶττον μεταβαλοῦ, εὖ εἰδὼς, ὅτι ὃς ἂν ἀμύητος καὶ ἀτέλεστος ἀρετῆς ἐντεῦθεν ἀπέρῃ, ἐν πυρὶ κείσεται· ὁ δὲ τετελεσμένος τε καὶ κεκαθαρισμένος ἐκεῖσε ἀφικόμενος, μετὰ τῶν θείων δυνάμεων χορεύσει.

CCXCVIII. — ZOSIMO PRESBYTERO.

Magno animi dolore afficior, te cum ad pessima [quam] acute cernas, ad virtutem caligare: et cum C deterrimorum scelerum amans et studiosus sis, novorum adhuc criminum inventorem exstitisse. Quocirca si et me mœrore, et te cruciatu liberare vis, ratione vitæ statum commuta, illud pro certo habens, quod qui virtutis sacris minime initiatus hinc excesserit, in flammis jacebit: qui autem omnibus virtutum numeris perfectus ac purgatus ad alterum ævum venerit, una cum divinis ac cœlestibus virtutibus choros aget.

Σιθ'. — ΘΕΟΔΟΣΙΩ ΣΧΟΛΑΣΤΙΚΩ.

Ὅτι τῶν θείων Γραφῶν ἡ ἀνάγνωσις, καὶ τοῖς ἑστῶσι, καὶ τοῖς πεσοῦσι, καὶ πᾶσιν ἁπλῶς ἐστιν ὠφέλιμος, ἑκάστῳ χρησιμῳδοῦσα.

Αἱ ἱεραὶ Γραφαὶ, οὐ πλαγίαν καὶ ἀμφίβολον, ἀλλ' ὀρθὴν καὶ λαμπρὰν, καὶ ἀραρυῖαν, ἀσάλευτόν τε καὶ ἀπαρέγκλιτον, οἴονται δεῖν ἐγκεῖσθαι πᾶσιν ἀνθρώποις τὴν περὶ τοῦ Θεοῦ πίστιν. Κινδυνεύουσι μὲν ἀγαθὴν ἐλπίδα ὑπισχνούμεναι, εὖ πράττουσι δὲ θάρσος ὀρέγουσαι· καὶ δυσπραγοῦσι μὲν παραμυθίαν προτεινόμεναι, πλημμελοῦσι δὲ φόβον ἐπανατεινόμεναι· ἵνα μὴ μόνον ἄχρις ὀνόματος νοσοῦντες (91), πᾶσαν ἔννοιαν χρηστὴν ἐξαμβλώσωσιν, ἀλλὰ ποιητὴν καὶ ἄρχοντα, καὶ ἔφορον καὶ προνοητὴν, καὶ κηδεμόνα· ἀμειδόμενον μὲν τοὺς ἀγαθοὺς, ἀμυνόμενον

CCXCIX. — THEODOSIO SCHOLASTICO.

Divinarum Scripturarum lectionem cum stantibus, tum lapsis, et, ut verbo dicatur, omnibus esse utilem, cum unicuique res divinas revelet.

Sacrosanctæ Scripturæ non obliquam et dubiam, sed rectam et luculentam, atque inconcussam, minimeque vacillantem de Deo fidem in omnium hominum animis insitam esse oportere censent, **256** periclitantibus lætam spem ostendentes ac felicem exitum pollicentes, prospere agentibus fiduciam porrigentes, calamitosis solatium proponentes, ac denique peccantibus metum intentantes, ut non nomine tenus ipsum considerantes, probam omnem notionem velut per abortum egerant, verum et effectorem, et imperatorem, et inspectorem, et procu-

VARIÆ LECTIONES ET NOTÆ.

(89) *Ἀφόρητος γάρ ἐστιν εὐπραγῶν μαστιγίας.* Si demas γάρ, iambicus erit senarius, et vetus quidem, laudatus etiam Dioni lib. LVIII, *Histor.* RITT.

(90) *Τὸ εὖ πράττειν... τοῖς ἀνοήτοις γίνεται.* Sententia Demosthenica *Olynth.* I. ID.

(91) Pro νοσοῦντες cod. Vat. 649 leg. νοσοῦντες. Poss.

(92) *Non quid illum audire* etc. Sententia Terentiana, qua et alibi usus est Isidorus. Chrysostomus: Οὐ γὰρ ἐσκόπει ὁ Δαβὶδ, τί παθεῖν ἐκεῖνος ἄξιος ἦν, ἀλλ' ἐσκόπει, τί καὶ ποιῆσαι καὶ εἰπεῖν τί αὐτῷ πρέπον ἦν. Et mox: Οὐ γὰρ τί παθεῖν δίκαιός ἐστιν οὗτος ὁρῶ νῦν, ἀλλὰ τί ποιῆσαί μοι προσῆκεν. RITT,

Digitized by Google

ratorem ac moderatorem, probos quidem viros remunerantem, de improbis autem supplicium sumentem esse credentes (nam hæc demum exactissima de Deo doctrina est), vitium fugiant, ac virtutem amplectantur. At vero ipsius essentiam explorare, nec necessarium est, nec in humani ingenii captum cadit. Sciendum enim ac credendum est Deum esse : non autem quid sit, curiose investigandum. Quocirca missa facta de ipsius essentia disputatione, ut quæ nullo modo percipi atque comprehendi queat, verum omnem explorationem et investigationem superet, vitam nostram et mores componamus, ut qui omnino rationem reddituri simus

A δὲ τοὺς πονηροὺς (93) (οὗτος γὰρ ὁ κυριώτατος καὶ ἐνδοξότατος περὶ Θεοῦ λόγος,) φύγωσι μὲν κακίαν, ἕλωνται δὲ ἀρετήν. Ἡ δὲ περὶ τῆς οὐσίας αὐτοῦ βάσανος, οὔτ' ἀναγκαία, οὔτ' ἐφικτὴ ἀνθρώποις. Εἰδέναι γὰρ χρὴ καὶ πιστεύειν, ὅτι ἔστι Θεὸς, οὐ τὸ τί ἐστι πολυπραγμονεῖν. Ἀφέμενοι τοίνυν τοῦ περὶ τῆς οὐσίας λόγου ὡς ἀνεφίκτου, καὶ μηδαμῶς ἁλωσίμου, ἀλλὰ πᾶσαν βάσανον ὑπερνηχομένου, τὸν βίον ἑαυτῶν καὶ τὸν τρόπον ῥυθμίσωμεν, ὡς λόγον πάντως ἀποδώσοντες.

CCC.—EIDEM.

In illud Joannis Epistolæ: « Videte ne perdatis quæ fecistis [a]*. »*

Cum opus omne lucet, si studio et meditatione excultum sit (nam quod studio et exercitatione minime compingitur, facile exstinguitur) : tum virtus potissimum quotidiana exercitatione colenda est. Nisi enim excolatur, defluit, ac fructum amittit. Quo etiam illud scilicet spectat, quod mihi explicandum proposuisti, « Videte ne perdatis quæ operati estis. » Languor enim atque inertia labores ante susceptos, quantumvis clari et illustres sint, exstinguet : studium autem ac diligentia præcedentem quoque desidiam et socordiam abolebit.

Γ'. — ΤΩ ΑΥΤΩ.

Τῆς Ἰωάννου Ἐπιστολῆς, εἰς τὸ γεγραμμένον, « Βλέπετε μὴ ἀπολέσητε ἃ εἰργάσασθε. »

Πᾶν μὲν ἔργον λάμπει μελέτῃ θεραπευθὲν (τὸ γὰρ μὴ ὑπὸ μελέτης συγκροτούμενον, ῥᾳδίως σβέννυται)· μάλιστα δ' ἡ ἀρετὴ, καθ' ἡμέραν ἀσκήσει θεραπεύεσθαι ὀφείλει. Μὴ γεωργουμένη γὰρ, φυλλορροεῖ, καὶ τὸν καρπὸν ἀπόλλυσι. Καὶ τοῦτ' ἔστιν ἄρα, ὃ ἐθέλησας μαθεῖν, « Βλέπετε μὴ ἀπολέσητε ἃ εἰργάσασθε. » Ἡ μὲν γὰρ ῥᾳθυμία τοὺς προγεγενημένους πόνους, κἂν λαμπροὶ εἶεν, σβέσει· ἡ δὲ σπουδὴ, καὶ τὴν προγεγενημένην ῥᾳθυμίαν ἀφανίσει (94).

ΤΩΝ ΤΟΥ ΑΓΙΟΥ

ΙΣΙΔΩΡΟΥ ΤΟΥ ΠΗΛΟΥΣΙΩΤΟΥ

ΕΠΙΣΤΟΛΩΝ ΒΙΒΛΙΟΝ Γ'.

—

S. ISIDORI PELUSIOTÆ

EPISTOLARUM

LIBER TERTIUS.

—

I.—ZOSIMO PRESBYTERO.

Si nec gehennæ, nec cœlestis regni cura ulla te afficit, id saltem te operam dare æquum fuerit, ut præsentis vitæ dicteria propulses.

II.—MARONI.

Non dubium, sed clarum atque cognitum, et

C

Α'. — ΖΩΣΙΜΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Εἰ οὔτε γεέννης, οὔτε βασιλείας σοι λόγος οὐδεὶς, ἀλλά γε κἂν τὰς παρούσας δίκαιος ἂν εἴης ἀποτρίψασθαι κωμῳδίας.

Β'. — ΜΑΡΩΝΙ.

Οὐκ ἀμφίδοξον, ἀλλ' ἔνδοξον ὄντα, καὶ γνώριμον,

[a] II Joan., 8.

VARIÆ LECTIONES ET NOTÆ.

(93) Ed. Paris., ἀμειβόμενον δὲ τοὺς πον. Corr. ex codd. Vat. 649 et Alt. EDIT. PATR.

(94) Confer ep. 96 libri III, et ep. 89 libri IV, et elegans dictum Anacleti ep. 1 : « Sicut artium in suo quoque opere invenitur mater instantia, ita noverca eruditionis est negligentia. » Refertur in can. 6, *Nihil*, distinct. 38. RITT.

Digitized by Google

καὶ ἀληθῆ, καὶ παρὰ πάντων τῶν σοφῶν καὶ τῶν ἱερῶν Γραφῶν ὁμολογούμενον, καὶ πάντως ἐσόμενον τῆς κρίσεως λόγον, ἐν στέρνοις δίκαιος ἂν εἰης ἔχειν, καὶ παύσασθαι ὧν κρίσιν μὴ εἶναι νομίζων πράττεις, ἵνα καὶ σαυτὸν κολάσεως, καὶ τοὺς ὁρῶντας σκανδάλου, καὶ ἡμᾶς λύπης, καὶ τοὺς ῥαθύμους ἀπογνώσεως ἀπαλλάξῃς.

A verum, ab omnibusque viris eruditis, et sacris Scripturis confessum, atque omnino futurum extremi judicii dogma pectore conditum habere sane debebas, ab iisque abstinere, **257** quæ, dum judicium minime fore existimas, committis, ut hac ratione, et teipsum pœna, et eos, qui te intuentur, offensione; et nos mœrore, et languentes ac torpidos desperatione liberes.

Γ'. — ΑΜΜΩΝΙΩ.

Εἰς τὸ, « Ὁ μὴ ὢν καθ' ἡμῶν, ὑπὲρ ἡμῶν ἐστιν. »

Ἐν καιρῷ πολέμου οὐ μόνον τὸν συντοξεύοντα, ἀλλὰ καὶ τὸν ἐν τοῖς ἐναντίοις μὲν τετάχθαι δοκοῦντα, μὴ κατατοξεύοντα δὲ, φίλον τρόπον τινὰ ἠγητέον. Διὸ καὶ ὁ θεῖος χρησμὸς βοᾷ· « Ὁ μὴ ὢν καθ' ὑμῶν, ὑπὲρ ὑμῶν ἐστιν. »

B

Δ'. — ΕΥΤΟΝΙΩ ΔΙΑΚΟΝΩ.

Καὶ ἔπεσε ἐπὶ τὴν γῆν ἀπὸ τῶν ἀστέρων, καὶ ἀπὸ τῆς δυνάμεως.

Ἐπειδὴ καὶ τοὺς κομιδῇ προσέχοντας τῇ ἀναγνώσει τὸν νοῦν τοῦτο διέλαθεν, οὐκ ἂν σε αἰτιασαίμην, ὡς μὴ ἀναγινώσκοντα· ἀλλὰ συντόμως φράσαιμι· Ὥσπερ ὁ Ἀπόστολος ἀστέρας καλεῖ τοὺς διὰ τῆς ἀρίστης πολιτείας τοὺς θεωμένους φωτίζοντας, γράφων· « Ἐν οἷς ἐστε ὡς φωστῆρες ἐν κόσμῳ· » οὕτω καὶ ὁ Δανιὴλ ἀστέρας καλεῖ τοὺς λαμπροὺς μὲν δι' εὐσέβειαν, ἀρίστους δὲ διὰ πολιτείαν. Φησὶ γάρ· « Καὶ ἔπεσεν ἐπὶ τὴν γῆν ἀπὸ τῶν ἀστέρων καὶ ἀπὸ τῆς δυνάμεως· » οὐχ ὡς τῶν ἄστρων πεπτωκότων, ὡς ᾠήθησάν τινες· ἄπαγε· ἀλλ' ὡς Ἀντιόχου τοῦ Ἐπιφανοῦς (περὶ γὰρ αὐτοῦ ἦν τῷ ἀγγέλῳ ὁ λόγος) ὑπὸ τῶν Μακκαβαίων λαμπρῶς ἡττηθέντος, καὶ τῆς Ἰουδαϊκῆς ἀρχῆς ἐκπεπτωκότος. Οὐ γὰρ εἶπεν· Οἱ ἀστέρες ἔπεσαν· ἀλλ' ἐκεῖνος ὑπὸ τῶν ἀστέρων λαμπρῶς ἀγωνισαμένων πέπτωκε, τουτέστιν ἡττήθη. Εἰ δέ τις τὸ *ἔπεσεν*, *ἐπάταξεν* ἐκλάβοι· (καὶ οὕτως γὰρ πολλάκις λέγεται, ὡς τὸ « Ἔπαισεν, » ἀντὶ τοῦ *ἐπάταξε*, « καὶ αἱ χεῖρες αὐτοῦ ἰάσαντο, » τῆς δευτέρας συλλαβῆς [διὰ] διφθόγγου γραφομένης, δύναται λέγειν, ὅτι ἐπάταξε τοὺς ἑπτὰ ἀδελφοὺς καὶ τὴν μητέρα, Ἐλεάζαρόν τε τὸν *ἱερέα*, λαμπρὰν καὶ ἀστράπτουσαν πολιτείαν ἐπιδειξαμένους, καὶ καθάπερ ἀστέρας ἐν γῇ φανέντας. Μακκαβαῖος γὰρ ἑρμηνεύεται, οἱονεὶ παρὰ Πέρσαις, *κοίραρος*, τουτέστι *δεσπότης*. Ἐν τοῖς καιροῖς τοιγαροῦν ἐκείνοις, ἐν οἷς ἡ κατὰ τῶν εὐδοκιμωτάτων ἐκείνων ἀνδρῶν ἐτολμήθη τῷ Ἀντιόχῳ τραγῳδία, οἱ Μακκαβαῖοι συστάντες, ἐξήλασαν ἐκεῖνον τῆς χώρας. Διὸ καὶ τοῖς βασανισθεῖσι τοὔνομα ἐξενίκησε. Μακκαβαῖοι γὰρ ἐκλήθησαν καὶ οἱ ἐν τοῖς Μακκαβαϊκοῖς χρόνοις τὰ ἀνήκεστα ὑπομεμενηκότες, καὶ μὴ ἐξομοσάμενοι τοὺς πατρῴους νόμους.

C

D

Ε'. — ΤΩ ΑΥΤΩ.

Εἰς τὸ εἰρημένον παρὰ τοῦ Σωτῆρος περὶ τῆς Ἐκκλησίας, ὅτι « Πύλαι ᾅδου. »

Οὐχ ὡς μηδενὸς πολεμήσοντος, καὶ σβέσαι ἐπι-

III. — AMMONIO.

In illud: « Qui non est pro nobis, est contra nos[9]. »

Bello grassante, non modo eum, qui simul sagittas mittit, sed etiam eum, qui quamvis ab hostium partibus stare videatur, tamen sagittas contra minime mittit, in amicorum numero quodammodo habere oportet. Quocirca etiam divinum oracultum clamat: « Qui non est contra vos, pro vobis est. »

IV. — EUTONIO DIACONO.

Et cecidit in terram a stellis, et a virtute[10].

Quandoquidem eos etiam qui Scripturarum lectioni animum valde addictum habent hoc fugit, haud te accusabo, quasi in earum lectione minime verseris: verum breviter hoc dixerim, quod quemadmodum Apostolus stellas eos appellat, qui per optimam vivendi rationem spectantium animos illuminant, his verbis utens, « Inter quos estis ut luminaria in mundo[11]; » sic etiam Daniel stellas eos vocat, qui et pietate clari sunt, et vitam optime constituunt. Ait enim: « Et cecidit in terram a stellis, et a virtute. » Non quod stellæ ceciderint, ut quidam opinati sunt, (absit!) sed quod Antiochus Epiphanes (nam de eo angelus sermonem habebat) a Machabæis insigniter superatus sit, ac Judaico imperio exturbatus. Non enim dixit: Stellæ ceciderunt, verum ille a stellis præclare pugnantibus cecidit, hoc est, victus ac profligatus est. Quod si quis vocabulum istud ἔπεσεν, pro ἐπάταξεν, id est, percussit, accipiat (nam hoc quoque sensu persæpe usurpatur, ut in hoc loco, « Ἔπαισε, » id est, percussit, « et manus ejus sanaverunt, » secunda videlicet syllaba per diphthongum scripta, potest illud dici, quod septem fratres, ac matrem, et sacerdotem Eleazarum, qui præclaram ac fulgidam vitam ostenderunt, atque siderum instar in terra exstiterunt, percusserit. Machabæus enim Persica lingua *dominum* sonat. Ea igitur tempestate, qua adversus clarissimos illos viros audacia præceps actus Antiochus hujusmodi tragœdiam excitavit, Machabæi coacti copiis e regione propulerunt. Unde etiam iis qui tormentis excruciati sunt, nomen ob victoriam remansit. Machabæi enim illi quoque appellati sunt, qui Machabæorum temporibus horrendos et immanes cruciatus pertulerunt, nec paternas leges ejurarunt.

V. — EIDEM.

In illud dictum a Salvatore de Ecclesia: quod « Portæ inferi[12]. »

Non tanquam nemo Ecclesiæ bellum indicturus,

[9] Matth. xii, 30. [10] Dan. viii, 10. [11] Philipp ii, 15. [12] Matth. xvi, 18.

Digitized by Google

atque exstinguere adnixurus esset **258**; verum quod multi quidem adversus eam pugnaturi, sed tamen vincendi ac profligandi essent, dictum est. « Et portæ inferi non prævalebunt adversus eam, » subaudi *Ecclesiam*. Sic quippe contigit. Oppugnata enim est, sed non oppressa. Verum iis ipsis, qui eam exstinguere tentaverunt, splendidior emicuit. Quid igitur miraris, si sancti etiam viri bello exagitentur? Ex bellis enim præclariora tropæa, atque ornatiora spolia esse videntur.

A χειρήσοντος, ἀλλ' ὡς ἀντιστησομένων μὲν πολλῶν, ἡττηθησομένων δὲ κατὰ κράτος, εἴρηται· « Καὶ πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτῆς, » τῆς Ἐκκλησίας δὲ δηλονότι. Οὕτω γοῦν καὶ γέγονεν. Ἐπολεμήθη μὲν γὰρ, οὐχ ἡττηθη δέ (95). Ἀλλ' αὐτῶν τῶν σβέσαι ἐπιχειρησάντων λαμπροτέρα ἐπεφάνθη. Τί τοίνυν θαυμάζεις, εἰ καὶ οἱ ἅγιοι ἐνταῦθα πολεμοῦνται; Ἐκ γὰρ τῶν πολέμων λαμπρότερα φαίνεται τὰ τρόπαια, καὶ σεμνότερα τὰ σκῦλα.

VI. — HERONI SCHOLASTICO.

Cum Deus loquitur, aut aliquid promittit, et rationes et argumenta, et verborum lepores ac probabilitates facessant. Nullius enim hæc omnia momenti sunt, si cum ejus, qui loquitur, auctoritate B comparentur.

Ϛ'. — ΗΡΩΝΙ ΣΧΟΛΑΣΤΙΚΩ.

Ὅταν ὁ Θεὸς διαλέγηται (96) ἢ ἐπαγγέλληται, καὶ λογισμοὶ καὶ συλλογισμοὶ, καὶ πιθανότητες ῥημάτων, ἐκποδὼν οἰχέσθωσαν. Ταῦτα γὰρ πάντα οὐδὲν, παραβαλλόμενα τῷ τοῦ λέγοντος ἀξιώματι.

VII. — ANTIOCHO SCHOLASTICO.

Acceptarum injuriarum memoriam retinere, haud generosi animi est, verum improbi, ac miseri. Quoniam autem non omnes de iisdem rebus eamdem sententiam ferunt, verum alii, si is qui contumeliam accepit, confestim curetur, hinc ipsum ea, quæ dicta sint, agnoscere conjiciunt; alii contra, ipsum ea minime agnoscere hoc argumento colligunt prudentem virum sapientiores potius sequi, eorumque judicium certum ac firmum existimare convenit. Illud autem est, ut medicinam quam celerrime admittat. Nam falsum probrum non ultra aurem progreditur. Quoniam autem scripsisti, « Quid igitur, si nulla eum, qui contumeliam infert, satietas capit, verum ejus, quem contumelia affecit, patientia pejor atque insolentior redditur? » respondeo, primum incredibile hoc esse; deinde hujusmodi hominem, tanquam indomitam belluam, aversandum et fugiendum esse. Nam quod abs te scriptum est, tanquam a quodam dictum sit: « Et cum eo versor, et patientiam adhibeo; majorem enim mihi laudem conciliat: » est quidem magni viri (vere enim loqui oportet), si modo rebus ipsis atque operibus philosophetur, atqui tamen præstantium virorum virtutem minime superarit. Apud nos enim sancti viri coronas suas ex alienis calamitatibus texere minime volunt: verum plerumque commoda sua negligunt, ut aliorum errata corrigant. Non enim, ut majorem sibi gloriam comparent, alios in præceps agunt: verum, si prodesse queant, admonent: sin secus, aufugiunt, ne illi in majorem voraginem prolabantur. Non enim laudis atque honoris studio, sed ut hominum saluti consulant, ea agunt, quæ agunt.

Ζ'. — ΑΝΤΙΟΧΩ ΣΧΟΛΑΣΤΙΚΩ.

Γενναίας μὲν οὐκ ἔστιν ἔργον ψυχῆς, τὸ μνησικακεῖν, ἀλλὰ ταλαιπώρου καὶ φαύλης. Ἐπειδὴ δὲ οὐ πάντες περὶ τῶν αὐτῶν πραγμάτων τὴν αὐτὴν φέρουσι ψῆφον, ἀλλ' οἱ μὲν τῷ ταχέως θεραπευθῆναι τὸν παροινηθέντα τοῦ συνειδέναι, οἱ δὲ τοῦ μὴ συνειδέναι τοῖς εἰρημένοις, τεκμήριον ποιοῦνται· χρὴ τὸν ἔμφρονα τοῖς σοφωτέροις μᾶλλον ἀκολουθεῖν, καὶ τὴν ἐκείνων ψῆφον βεβαίαν ἡγεῖσθαι. Ἔστι δ' αὕτη, τὸ ταχίστην δέχεσθαι τὴν ἰατρείαν. Τὸ γὰρ ψευδὲς ὄνειδος οὐ περαιτέρω τῆς ἀκοῆς ἀφικνεῖται. Ἐπειδὴ δὲ γέγραφας· « Τί οὖν εἰ μὴ λαμβάνει κόρον ὁ ὑβριστὴς, ἀλλ' ἐπιτρίβεται τῇ τοῦ παροινηθέντος φιλοσοφίᾳ; » φαίην, ὅτι μάλιστα μὲν ἄπιστόν ἐστι τοῦτο· πλὴν τὸν τοιοῦτον ὡς θηρίον ἀτίθασσον φευκτέον. Τὸ γὰρ γραφὲν παρὰ σοῦ ὡς λεχθὲν (97) παρά τινος, ὅτι « Καὶ συντυγχάνω καὶ φιλοσοφῶ· μεῖζον γάρ μοι τὸν ἔπαινον παρασκευάζει », μεγάλου μὲν ἐστι (χρὴ τἀληθῆ λέγειν) ἀνδρὸς, εἴ γε τοῖς ἔργοις φιλοσοφοίη, οὐ μὴν τὴν τῶν ἁγίων ἀνδρῶν ὑπερβεβηκότος ἀρετήν. Οἱ γὰρ ἅγιοι παρ' ἡμῖν, οὐ τοὺς οἰκείους στεφάνους ἀπὸ τῶν ἀλλοτρίων πλέκεσθαι βούλονται συμφορῶν, ἀλλὰ τῶν καθ' ἑαυτοὺς πολλάκις ἀμελοῦσιν, ἵνα τὰ τῶν πλησίον ἐπανορθώσωνται. Οὐ γὰρ ἵνα ἑαυτοῖς μεῖζον κατασκευάσωσι τὸ κλέος, ἄλλους εἰς κρημνὸν τρέπουσιν· ἀλλ' εἰ μὲν ὠφελεῖν δυνηθεῖεν, συμβουλεύουσιν· εἰ δὲ μὴ, ἀποφεύγουσιν, ἵνα μὴ ἐκεῖνοι εἰς μεῖζον ὀλισθήσοιεν βάραθρον. Οὐ γὰρ φιλοτιμούμενοι, ἀλλὰ τῆς σωτηρίας τῶν ἀνθρώπων φροντίζοντες, δρῶσιν ἃ δρῶσιν.

VIII. — APRODISIO PRESBYTERO.

Quandoquidem ei, qui mœrore obrutus et profli-

Η'. — ΑΠΡΟΔΙΣΙΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Ἐπειδὴ φέρει τινὰ παραμυθίαν τῷ ὑπὸ λύπης

VARIÆ LECTIONES ET NOTÆ.

(95) *Ἐπολεμήθη μὲν γὰρ, οὐχ ἡττήθη δέ.* In eamdem sententiam plurima exstant apud SS. Patres quæ referre longum esset Cf. Alcimi Aviti carmina lib. IV, *De diluvio mundi*; Chrysost. orat. *de incomprehensibili Dei natura*, orat. *adversus Judæos* etc. Ritt.

(96) Similiter Chrysostomus *contra Judæos*. In.

(97) Phrasis manca in ed. Paris. quæ sic habet, τὸ γὰρ γραφὲν παρά τινος, ὅτι. Restituitur ex codd. Vat. 619 et Alt. ap. Possinum. Edit. Pata.

Digitized by Google

βεβαπτισμένῳ τῶν λυπηρῶν ἡ ἀφήγησις, καὶ μάλισθ' ὅταν πρὸς γνησίους γίνεται (ἡ γὰρ σιωπὴ(98) πολλοὶ γοῦν καρτερήσαντες, καὶ σιγῇ ταῦτα παραδεδωκότες, εἰς χαλεπὰ περιέπεσον πάθη)· χρὴ τοὺς βουλομένους τὰς ἑαυτῶν διηγεῖσθαι συμφορὰς, ἡμέρως προσίεσθαι, καὶ μετὰ τὸ κουφισθῆναι διὰ τῶν λόγων τὸ πάθος, τότε τὴν ἐνδεχομένην προφέρειν θεραπείαν. Εἰ μὲν γὰρ ἐξ ἀρχῆς αὐτοὺς ἐπιστομίσομεν, καὶ ἀσυμπαθῶν κτησόμεθα δόξαν, καὶ τὸ βοήθημα ἀσθενὲς ἀποφανοῦμεν, τῆς ἀκμῆς αὐτὸ παρωθουμένης. Εἰ δὲ μετὰ τὸ κουφισθῆναι τὸν πόνον ἐπιθείημεν τὸ φάρμακον, δύο κερδανοῦμεν, καὶ τὸ συμπαθεῖς εἶναι, καὶ τὸ μὴ διαμαρτεῖν τῆς θεραπείας.

gatus est, molestorum narratio solatii non nihil affert, ac præsertim cum ad sinceros amicos fit (silentio quippe ingravescit calamitas: **259** permulti siquidem ob pectore pressas ac silentio traditas miserias suas, in graves et periculosos morbos inciderunt), idcirco eos qui calamitates suas commemorare cupiunt, blande ac suaviter admittere oportet, ac posteaquam illi per hujusmodi sermonem dolore levati fuerint, tum demum, eam quam par est medicinam adhibere. Nam si confestim ipsis ora obstruamus, tum inhumaniorum hominum existimationem colligemus, tum remedium imbecille atque invalidum reddemus, nimirum ipsa doloris flamma illud repellente. At si mitigato dolore pharmacum imponamus, duplex lucrum consequemur, alterum quod humani ac misericordes erimus, alterum quod morbum depellemus.

Θ'. — ΑΥΣΟΝΙΩ, ΔΙΟΝΥΣΙΩ ΚΟΡΡΙΚΤΟΡΙ.

Χρὴ τοὺς τῶν πραγμάτων κριτὰς, ὀξυτάτους εἶναι περὶ τὸ νοεῖν, ἵνα καὶ τὴν τῶν λεγόντων δεινότητα, καὶ τὴν τῶν λεγομένων πιθανότητα παρέντες, εἰς αὐτὸ τὸ βάθος τῶν νοημάτων χωρῆσαι δυνηθεῖεν, κἀκεῖθεν θηρεύσαντες, ἀνιμήσασθαι τὴν ἀλήθειαν.

IX. — AUSONIO, DIONYSIO CORRECTORI.

Eos qui de rebus judicant, acutissimo ingenio esse oportet, ut et eorum, qui loquuntur facundiam, et eorum, quæ dicuntur, probabilitatem ac verisimilitudinem missam facientes, sensa ipsa introspicere, atque hinc expiscantes, veritatem haurire queant.

Ι'. — ΗΡΑΚΛΕΙΔΗ ΕΠΙΣΚΟΠΩ.

Τί σημαίνει τὸ λόγιον τὸ ἐπὶ τοῦ στήθους τοῦ ἱερέως.

Τὸ *λόγιον*, ὦ ἐλλογιμώτατε, οὐ τὸ αὐτὸ μηνύει. Ἀλλ' ὅταν μὲν ἡ πρώτη ὀξύνηται συλλαβὴ, χρησμὸν δηλοῖ· ὅταν δ' ἡ δευτέρα, τὸ ἐπὶ τοῦ στήθους τοῦ ἀρχιερέως ἐπιτεθῆναι θεσπισθὲν, οἷον *λόγου ἱερὸν*, ἢ οἶκον, ἢ τέμενος. Ἐπειδὴ δὲ φῄς· « Καὶ τίνος ἕνεκεν τῷ στήθει τοῦ ἀρχιερέως ἐπετίθετο; » φημὶ, ὅτι πρῶτον μὲν ἐχρῆν τῷ θυμικῷ καὶ ἐπιθυμητικῷ τὸν λογισμὸν, ὥσπερ ἡνίοχον ἐποχεῖσθαι. Ἔπειτα ὅτι τῷ ἱερωμένῳ χρὴ τὴν ἀλήθειαν καὶ τὴν σαφήνειαν ἐγκαλλώπισμα εἶναι. *Τῷ γὰρ λογίῳ* ἐπέκειτο ἡ δήλωσις καὶ ἡ *ἀλήθεια*· ἡ μὲν τὴν σαφήνειαν, ἡ δὲ τἀληθὲς ἐμφαίνουσα. Εἰ δὲ καὶ ἄλλως βούλει νοῆσαι· Ἐπειδὴ τῷ μὲν ἐνδιαθέτῳ λόγῳ πρέπει ἡ ἀλήθεια· τῷ δὲ προφορικῷ, ἡ σαφήνεια. Τάχα δὲ ἐπειδὴ καὶ ἔκλαμψίς τις ἐγίνετο, ὡς φασιν, ἐν τοῖς λίθοις ἐκείνοις, ὅτε εἰς τὰ ἄδυτα ἐστέλλετο ἱερουργήσων, καὶ ἐδήλου ἀληθῶς τὰ ἐσόμενα (99), τούτοις κέκληνται τοῖς ὀνόμασι.

X. — HERACLIDI EPISCOPO.

Quid significet rationale quod erat super pectus sacerdotis.

Vox hæc λόγιον, vir eruditissime, non unam duntaxat significationem habet: cum enim prima syllaba acuitur, oraculum significat. Cum autem secunda, id quod ex divino præscripto pontificis pectori impositum erat, quasi λόγου ἱερόν, id est, rationis sacrum, aut domum, aut delubrum. Quoniam autem: Cur pontificis pectori imponeretur, ex me quæris, hoc primum respondeo, quia iræ et cupiditati rationem aurigæ in modum insidere oportebat. Deinde quia ei, qui sacerdotii munere fungitur, veritatem ornamenti loco esse convenit. Siquidem τῷ λογίῳ, id est, rationali, δήλωσις et ἀλήθεια inhærebant, quarum altera perspicuitatem, altera veritatem significat. Quod si alio adhuc sensu id explicari cupis, id ea ratione fiebat, quia internæ rationi veritas congruit: ei autem, quæ sermone profertur, perspicuitas. Denique quia splendor quidam ut nonnulli aiunt, in lapillis illis exsistebat, cum ad Sancta sanctorum sacrificandi causa se conferret, atque ea, quæ eventura erant, vere declarabat, his fortasse nominibus appellatæ sunt.

ΙΑ'. — ΘΕΟΚΤΙΣΤΩ.

Βασάνισον ἀκριβῶς, ὦ βέλτιστε, καὶ εὑρήσεις αὐτὸν δικαιοσύνης γέμοντα· οὐ γὰρ εἶπεν, Ὁ ἁπλῶς καὶ ἐκ παρόδου ἰδών τινος καὶ ἐπιθυμήσας, ὡς μοιχὸς τιμωρηθήσεται (ἦ γὰρ ἂν καὶ ἀνήνυτον ἦν τὸ πρᾶγμα, καὶ ἄλογος ἡ ἀπειλή)· ἀλλ', « Ὁ βλέπων γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι, » τουτέστιν, ὁ ἐκ

XI. — THEOCTISTO.

Perpende diligenter, optime vir, ac videbis eum æquitate ac justitia refertum esse. Non enim dixit, Qui simpliciter ac per transitum aliquam viderit, eamque concupierit, ut adulter punietur (sic enim res irrita fuisset, ac nulla ratione nixa comminatio), verum: « Qui viderit mulierem ad concu-

VARIÆ LECTIONES ET NOTÆ.

(98) Ἡ γὰρ σιωπή. Deesse videtur tale quid: αὐξητικὴ τῆς συμφορᾶς, *silentio ingravescit calamitas*. Vid. ep. 176 libri II. Rittr.

(99) Ed. Paris., λεγόμενα. Corr. ex iisdem codd. Edit. Patr.

Digitized by Google

piscendam eam, » hoc est, qui ex antecedente cogitatione libidinis affectum attrahit, qui nihil aliud operis sibi proponit, **260** qui sine intermissione insidiatur, atque assiduo prospectu affectum fovet, « Jam mœchatus est in corde suo [1]. » Particula enim ista, *jam* omnibus, nisi qui perexigua et hebeti mente sint, perspicuum illud facit, hæc verba de iis dicta esse, qui res eas aggrediuntur, quas nullo modo consequi possunt. Quid enim, si illa et viro copulata sit et pudicitia præstet, et a multis custodiatur, quonam pacto ab amante facile subigi queat? Merito itaque dictum est : « Jam mœchatus est, » quia videlicet ab actione minime abstinuisset, si ea in ipsius potestate sita fuisset. Nisi enim universum animæ robur amori succubuisset, haudquaquam corpori quoque persuasum fuisset, ut continenter incederet, ac libidinosis oculis affectum suum pasceret ; quippe cum multi etiam, quamvis amore teneantur, eas tamen, quas amant, cernere præ pudore minime sustineant. Quod si gloriæ amor oculum comprimit, atque corporeum amorem superat, multo profecto magis id divinus timor efficiet. Quod si dixerit quispiam : Quid igitur, si cum actio in ipsius potestate sit, tamen abstineat? hic responderim : Magna quidem certe ac divina quædam res istud fuerit, ac vere virginitatis argumentum. Atque hujusmodi vir, et si viderit, atque obiter vulnus acceperit, haudquaquam eam assidue intueri studebit, verum quam longissime sese removebit, ne continuus aspectus materiam igni subministret. Quod si intueri studet, eum per hujusmodi aspectum affectus prodit. Jam si continenter etiam aspiciens, nullo incommodo hinc se affici contendat, a Jobo, viro omni laude præstantiori, coarguetur, his verbis utente : « Pepigi fœdus cum oculis meis, ut ne cogitarem quidem de virgine [14]. » Quod si eum, qui diaboli vires concidit, minorem esse existimet, quam ut secum certare possit, hoc ipso quoque nomine dignus fuerit, cui fides abrogetur, cum ait se etsi cernere non desinat, nullo tamen libidinis sensu affici. Atque ut etiam eum vera loqui concedamus, tamen eumdem divinum miraculum perperam interpretari constat. Non enim dixit, Vide quidem, at ne concupiscas : vel, Concupisce quidem, at cupiditatem comprime. Quod si eo quoque impudentiæ prorumpat, erubescat is oportet qui dixit : « Vivo autem non jam ego, vivit autem in me Christus [15]. » Nam qui hæc omni philosophia præstantiora verba protulit, quique divinarum gratiarum opes tanquam in fictili ærario circumferebat, anxius et sollicitus erat, cum hoc bellum sibi ob oculos proponeret, ac dicebat : « Castigo corpus meum, et in servitutem redigo, ne forte, cum aliis prædicavero, ipse reprobus efficiar [16]. » Cum igitur tantus vir carnis rabiem tanquam habenis quibusdam cohibeat, unusquisque oculos a mulieribus removendo, securitatem sibi comparare studeat, ne alioqui materia igni admota flammam excitet.

A προενθυμήσεως τὸ πάθος ἐπισπώμενος, ὁ τοῦτ' ἔργον τιθέμενος, ὁ συνεχῶς ἐφεδρεύων, καὶ τῇ συνεχεῖ καὶ ἀκαταπαύστῳ θέᾳ θεραπεύων τὸ πάθος, « Ἤδη ἐμοίχευσεν ἐν τῇ καρδίᾳ αὐτοῦ. » Τὸ γὰρ ἤδη, τοῖς μὴ βραχύτατον (1) ἔχουσι τὸν νοῦν, ἐμφαίνει περὶ τῶν ἀδυνάτοις ἐπιχειρούντων εἰρῆσθαι. Τί γὰρ εἰ καὶ ὕπανδρος εἴη ἐκείνη καὶ σώφρων, καὶ ὑπὸ πολλῶν φυλάττοιτο ; πῶς τῷ ἐρῶντι εὐχείρωτος εἴη ; Οὐκοῦν εἰκότως εἴρηται· « Ἤδη ἐμοίχευσεν, » ὁ τῆς πράξεως οὐκ ἀποσχόμενος ἄν, εἴ γε οἷα τε ἦν· εἰ μὴ πᾶσα ἡ τῆς ψυχῆς ῥώμη τῷ ἔρωτι ἦν παραχωρήσασα, οὐκ ἄν καὶ τὸ σῶμα ἐπείσθη συνεχῶς φοιτᾷν, καὶ ἀκράτοις (2) ὀφθαλμοῖς ἑστιᾷν τὸ πάθος· ὅπου γε πολλοὶ καὶ ἐρῶντες, ἐρυθριῶσιν εἰς ἐκείνας βλέπειν. Εἰ δὲ δόξης ἔρως ὀφθαλμοὺς χαλινοῖ, καὶ ἔρωτος κρατεῖ B σωματικοῦ, πολλῷ μᾶλλον ὁ θεῖος φόβος τοῦτο ποιήσει. Εἰ δὲ φαίη τις· Τί οὖν, εἰ δυνατῆς οὔσης τῆς πράξεως ἀπόσχοιτο ; φαίην, ὅτι Μέγα μὲν ὄντως καὶ θεῖον, καὶ παρθενίας ὄντως ἀπόδειξις. Καὶ ὁ τοιοῦτος εἰ καὶ εἶδε, καὶ ἐτρώθη ἐκ παρόδου, οὐκ ἄν συνεχῶς σπουδάσοι θεάσασθαι· ἀλλὰ καὶ πόρρω ἑαυτὸν ἀποικίσει, ἵνα μὴ ἡ συνεχὴς θέα ὕλην τῷ πυρὶ παράσχοι. Εἰ δὲ σπουδάζει θεάσασθαι, ἐλέγχει ἑαυτὸν δι' ὧν θεᾶται τὸ πάθος. Εἰ δὲ καὶ θεώμενος διηνεκῶς, λέγει μηδὲν πάσχειν δεινὸν, ἐλεγχθήσεται παρὰ τοῦ παντὸς ἐπαίνου κρείττονος Ἰὼβ, λέγοντος· « Διαθήκην διεθέμην τοῖς ὀφθαλμοῖς μου, καὶ οὐ μὴ συνήσω ἐπὶ παρθένον. » Εἰ δὲ μικρὸν ἑαυτῷ πρὸς ἄμιλλαν ἡγεῖται τὸν τοῦ διαβόλου συγκόψαντα τὴν ἰσχὺν, μάλιστα μὲν καὶ δι' αὐτὸ τοῦτο ἀπι- C στηθῆναι ἄν εἴη δίκαιος, λέγων, ὁρᾷν μὲν συνεχῶς, μὴ πάσχειν δέ. Εἰ δὲ καὶ δοίημεν αὐτὸν ἀληθεύειν, ἐλέγχεται τὸν θεῖον παρερμηνεύων χρησμόν· οὐ γὰρ εἶπεν, Ὅρα μὲν, μὴ ἐπιθύμει δέ· ἢ, Ἐπιθύμει μὲν, καρτέρει δέ. Εἰ δὲ καὶ οὕτως ἀναισχυντοίη, ἐρυθριᾶσαι ὀφείλει τὸν εἰρηκότα· « Ζῶ δὲ οὐκ ἔτι ἐγὼ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός. » Ὁ γὰρ ταῦτα τὰ πάσης φιλοσοφίας κρείττονα ῥήματα φράσας, ὁ τὸν τῶν χαρισμάτων πλοῦτον ὥσπερ ἐν ὀστρακίνῳ θησαυρῷ παραφέρων, ἐναγώνιος ἦν πρὸς τὸν πόλεμον τοῦτον ἀφορῶν, καὶ ἔλεγεν· « Ὑπωπιάζω μου τὸ σῶμα καὶ δουλαγωγῶ, μή πως ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι. » Εἰ τοίνυν ὁ τηλικοῦτος ἀνὴρ τὴν τῆς σαρκὸς ἀνεσείραζε λύτταν, σπουδαζέτω ἕκαστος, διὰ τοῦ μὴ ὁρᾷν τὴν ἀσφάλειαν ἑαυτῷ D πορίζεσθαι, μήποτε πλησιάζουσα ἡ ὕλη τῷ πυρὶ ἀνάψῃ τὴν φλόγα.

Quapropter cum tantus vir carnis rabiem tanquam habenis quibusdam cohibeat, unusquisque oculos a mulieribus removendo, securitatem sibi comparare studeat, ne alioqui materia igni admota flammam excitet.

[13] Matth. v 28. [14] Job xxxi, 1. [15] Galat. ii, 20. [16] I Cor. ix, 27.

VARIÆ LECTIONES ET NOTÆ.

(1) *Βραχύτατον*. B, βραδύτατον, quod præfero. Sic alias quoque βραχυτῆτα legi in Paris. ed., in B. autem βραδυτῆτα. Ritt.

(2) Pro ἀκράτοις duo iidem codd. scribunt, ἀκρατέσιν. Possin.

Digitized by Google

ΙΒ'. — ΤΩ ΑΥΤΩ (3).

Λίαν δγαμαι τὴν σὴν ἁπλότητα, ἐκθειάσασαν μὲν τὴν ἑρμηνείαν τοῦ εὐαγγελικοῦ χρησμοῦ· ἀντεπιστεῖλασαν δέ· « Τί οὖν πρὸς τὴν θεαθεῖσαν, εἰ ὁ θεασάμενος ἐτρώθη; » Ἐχρῆν γὰρ ἐννοῆσαι, ὅτι ἡ μὲν σωφρόνως καὶ κοσμίως βαδίζουσα, καὶ μὴ θηρῶσα τοὺς ἐντυγχάνοντας, οὐδέν· ἡ δὲ θρυπτομένη, καὶ τὰ δίκτυα τῆς ἡδονῆς ἀναπετάσασα, καὶ τὸ δηλητήριον κεράσασα, καὶ μάλιστα. Ταῦτα δέ φημι, ἐπειδὴ ἐνόμισας τοῖς ἄρρεσι μόνοις τοῦτον εἰρῆσθαι τὸν χρησμὸν, ἀγνοῶν ὅτι καὶ γυναιξὶν ἐρρήθη (4). Κοινοὶ γὰρ ἑκατέρῳ γένει οἱ νόμοι, πλὴν ἐκείνων μόνων τῶν ἰδικῶς ἑκάστῳ γένει τεθεσπισμένων. Εἰ μὲν οὖν μὴ ἐρῶσιν, οὐ πρὸς αὐτὰς ὁ χρησμός. Ἐπειδὴ δὲ καὶ αὗται τούτῳ ἁλίσκονται τῷ πάθει, καὶ πρὸς αὐτὰς βλέπει. Ὡς γὰρ τό· « Μακάριος ἀνὴρ ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν· » καὶ, « Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον· » καὶ ὅσα τοιαῦτα, οὐ περὶ ἀνδρῶν μόνον εἴρηται, ἀλλὰ καὶ περὶ γυναικῶν, διὰ τοῦ ἡγεμονικωτέρου ζώου, καὶ τῷ ἀρχομένῳ εἰρημένον. Οὕτω καὶ τὸ μὴ ἐπιθυμεῖν διὰ τῆς συνεχοῦς θέας, ἑκατέρῳ γένει νενομοθέτηται. Οὐ γὰρ ὅπερ ἐπιχειροῦσί τινες κατασκευάζειν εἰς τὸ, « Θάνατος ἀνδρὶ ἀνάπαυσις, » πειρώμενοι δεικνύναι τοῖς ἀνδρείοις καὶ γενναίοις ἀνάπαυλαν εἶναι τὸν θάνατον, οὐ τοῖς ἄλλοις τοῖς λεγομένοις ἀνθρώποις, τοῦτο κἀνταῦθα νομιστέον. Μάλιστα μὲν γὰρ κἀκεῖνό μοι ξῶλον φαίνεται. Εἰ γὰρ καὶ ὄντως ἀνάπαυσίς ἐστι τοῖς ἀνδρείοις καὶ γενναίοις ὁ θάνατος, τέλος μὲν ὧν τῶν ἄθλων, ἀρχὴ δὲ τῶν ἐπάθλων· διὸ καὶ περὶ γυναικὸς ἀνδρείας εἴρηται· « Γυναῖκα ἀνδρείαν τίς εὑρήσει; » Καὶ ἵνα μή τις ἐπὶ τοῦ ἀδυνάτου τοῦτ' εἰρῆσθαι νομίσειεν, ἐρρήθη ἑτέρωσε· « Γυνὴ ἀνδρεία, στέφανος τῷ ἀνδρὶ αὐτῆς. » Τό τε τοῦ *ἀνδρὸς* ὄνομα τὸ ἀνδρεῖον πολλάκις μήνυει)· ἀλλ' οὖν γε οὐ περὶ γενναίων ἦν τῷ ἀοιδίμῳ Ἰὼβ ἐνταῦθα ὁ λόγος, ἀλλὰ περὶ παντὸς ἁπλῶς ἀνθρώπου, συμφοραῖς ἀφύκτοις περιπαρέντος. Εἰ δέ τις ἀπιστεῖ, ἐκ τῆς συμφράσεως ῥᾳδίως γνοίη. Περιέχει γάρ· « Ἵνα τί γὰρ δέδοται τοῖς ἐν πικρίᾳ φῶς, ζωὴ δὲ ταῖς ἐν ὀδύνοις ψυχαῖς, οἳ ἱμείρονται τοῦ θανάτου, καὶ οὐ τυγχάνουσι; Περιχαρεῖς δὲ ἐγένοντο, ἐὰν κατατύχωσι. Θάνατος γὰρ ἀνδρὶ ἀνάπαυσις. Συνέκλεισε γὰρ ὁ Θεὸς κατ' αὐτοῦ. » Ὅταν, φησὶ, πάντοθεν οἱ πειρασμοὶ οὐρανομήκεις ὦσι καὶ ἀφύλακτοι, ὡς καὶ ἀλλαχοῦ ἔφη· « Ὀχύρωμα δὲ αὐτοῦ ἐπ' ἐμὲ ὕψωσε· » τότε ὁ θάνατος ἀσπαστὸς καὶ εὐκταῖός ἐστιν. Εἰ δὲ διὰ τὸ εἰρῆσθαι *ἀνδρὶ*, μὴ καταδέξοιντο ταύτην τὴν ἑρμηνείαν, δυνατὸν μὲν αὐτοὺς ἐλέγξαι, ὅτι οὐ μόνον ἐπὶ ἄρρενος τὸ τοῦ *ἀνδρὸς* εἴρηται ὄνομα, ἀλλὰ καὶ ἐπὶ γυναικός. Ἀνδροφόνος γὰρ λέγεται οὐ μόνον ὁ ἄνδρα, ἀλλὰ καὶ ὁ γυναῖκα ἀποκτείνας· ἀνδοιὰς δ' οὐ μόνον ὁ τοῦ ἀνδρὸς,

261 XII. — EIDEM.

Simplicitatem tuam demiror, qui evangelici quidem oraculi explicationem mirifice probaveris: rescribens autem his verbis usus sis : « Quid igitur ejus, quæ conspecta est, refert, si is qui eam conspexit, vulneratus est? » Oportebat enim te istud cogitare, illam quidem quæ modeste atque honeste incedit, nec obvios quosque aucupatur, omni culpa carere : eam autem, quæ luxu et deliciis diffluit, ac voluptatis retia expandit, et venenum miscuit, vel maxime in culpa esse. Hæc autem idcirco a me dicuntur, quia ad solos masculos hoc oraculum pertinere censuisti, ignorans ad mulieres quoque spectare. Communes enim utrique sexui leges sunt, iis duntaxat exceptis, quæ privatim unicuique sexui latæ sunt. Quocirca, si illæ amoris aspectu minime tangantur, oraculum ad eas minime pertinet; si autem ipsæ quoque huic affectui obnoxiæ sunt, eas quoque hæc lex respicit. Ut enim istud : « Beatus vir qui non abiit in consilio impiorum [17]; » et rursum istud : « Beatus vir, qui timet Dominum [18], » aliaque id genus; non de viris tantummodo, sed etiam de mulieribus dicta sunt (quod videlicet per animal principatum obtinens, ad id etiam quod subest, referantur) : eodem modo per assiduum aspectum ad concupiscendum non incitari, utrique sexui legis præscripto indictum est. Non enim quod nonnulli efficere conantur, ut ex hoc Scripturæ loco : « Mors viro requies, strenuis duntaxat et fortibus viris [19] » ac non item aliis, qui hominum nomine appellantur, mortem requiem esse demonstrent, hoc id quoque existimandum est. Primum enim illud etiam futile ac putidum esse videtur. Etsi enim mors, ut quæ laboribus finem imponat, ac præmia auspicetur, fortibus ac strenuis vere requies est (unde etiam de muliere forti dictum est : « Mulierem fortem quis inveniet [20]? » ac ne quis istud idcirco dictum esse existimet, quod nulla ejusmodi inveniri possit, alio loco dictum est, « Mulier fortis corona est viro suo [21], » ac *viri* vocabulum **fortitudinem** sæpe significat) : at hoc loco de fortibus et generosis clarissimo viro Job sermo non erat, verum absolute de quovis homine, calamitatibus hisce, quarum nullum exitum videat, transfixo atque oppresso. Quod si quis mihi diffidit, ex illius loci contextu facile id intellexerit. Hoc enim continet : « Quare data est misero lux? et vita his qui in amaritudine sunt? **262** Desiderant mortem et ea non potiuntur, ac lætitia exsultant, si potiantur. Mors enim viro requies. Conclusit enim Deus adversus eum [22]. » Quod perinde est ac si diceret . Cum ingentes omni ex

[17] Psal. I, 1. [18] Psal. CXI, 1. [19] Eccli. XXII, 11. [20] Prov. XXXI, 10. [21] Prov. XII, 4. [22] Job III, 20-23.

VARIÆ LECTIONES ET NOTÆ

(3) Hæc et seq. epistola non parum conducit illustrandæ l., D. *De verb. signif.*, docentique ambæ quod regulariter leges utrique sexui sint communes. RITT.

(4) Pro ἐρρήθη cod. Vat. 649 habet ἐρρέθη, ut etiam infra. POSSIN.

Digitized by Google

parte, quæque nulla ratione vitari queant, tentationes sæviunt (quemadmodum alio quoque loco dixit : « Præsidium suum adversum me sustulit [22] »), tum demum grata et votis exoptanda mors est. Quod si propterea quod dictum sit *viro*, idcirco hanc interpretationem repudient. possunt quidem hinc convinci, si ipsis ostendatur, *viri* vocabulum, non modo de viro, sed etiam de muliere dictum esse (ἀνδροφόνος enim, id est, viricida dicitur, non solum qui viro, sed etiam qui feminæ necem attulit : ἀνδριὰς item, id est statua, non tantum viri, sed etiam mulieris simulacrum dicitur) : verum iis omissis ut non admodum validis et efficacibus, a divinis oraculis eorum sententiam obterere conabor. Quid igitur dixerint, si audiant : « Vir flagitiosus ingreditur vias non bonas [23] ? » Quid item cum dicetur : « Vir insipiens non intelliget [24] ? » Quid denique cum illud rursus audierint : « Assimilabitur viro insipienti [25] ? » Nam si illic vir non hominem, sed fortem ac generoso animo præditum significat, quonam pacto hoc loco flagitiosus, et insipiens, et stultus dictus est ? Verum his missis factis ad institutum accedam. Quandoquidem igitur et legis mandata, et evangelica oracula partim peccata prohibentia, partim beatitudines describentia, et viris et mulieribus in commune dicta sunt, proinde ipsæ quoque oculos custodiant, ac velut injecto freno reprimant, ne per impudicum aspectum adulterarum pœnas subeant. Ut enim venerei congressus cupiditas par in utroque esse dicitur (sunt enim qui viri, sunt rursus qui mulieris acriorem ac violentiorem esse asserant), attamen ille serit, hæc seritur; ille gignit, hæc parit; ille agricolæ, hæc terræ vir mulieris, nec mulier viri officiis fungi potest, vero omnes communes sunt. Ut enim lege sancitum est : « Non mœchaberis [27], » nec vir solum, si in eo crimine deprehensus sit, sed etiam femina supplicio afficitur ; eodem modo hic quoque (præsertim cum dictum sit : « Quicunque viderit mulierem ad concupiscendum, jam mœchatus est in corde suo [28], » cuivis perspicuum est, mulierem etiam omnem, quæ cupiditatis causa virum conspexerit adulterium jam in corde suo commisisse.

A ἀλλὰ καὶ ὁ τῆς γυναικός. Πλὴν ταῦτα παρεὶς ὡς οὐ λίαν δραστήρια, ἀπὸ τῶν θείων αὐτοὺς συλλογίσασθαι πειράσομαι λογίων. Τί τοίνυν φαῖεν, ἐὰν ἀκούσωσιν· « Ἀνὴρ παράνομος πορεύσεται ὁδοὺς οὐκ ἀγαθάς ; » Τί δὲ ὅταν λέγηται· « Ἀνὴρ ἄφρων οὐ γνώσεται ; » Τί δ' ὅταν· « Ὁμοιωθήσεται ἀνδρὶ μωρῷ ; » Εἰ γὰρ ἐκεῖ ὁ ἀνὴρ οὐ τὸν ἄνθρωπον, ἀλλὰ τὸν ἀνδρεῖον καὶ γενναῖον μηνύει· πῶς ἐνταῦθα ὁ παράνομος καὶ ἄφρων καὶ μωρὸς ἀνὴρ εἴρηται ; Ἀλλὰ τούτων ἀφέμενος, ἐπὶ τὸ προκείμενον ἥξω. Ἐπεὶ τοίνυν καὶ αἱ νομικαὶ ἐντολαὶ, καὶ οἱ εὐαγγελικοὶ χρησμοὶ, αἱ μὲν τὰ ἁμαρτήματα ἀπαγορεύουσαι, οἱ δὲ τοὺς μακαρισμοὺς ὑπογράφοντες, καὶ ἀνδράσιν εἴρηνται καὶ γυναιξὶ, φυλαττέσθωσαν καὶ αὗται, καὶ χαλινούτωσαν τοὺς ὀφθαλμοὺς, ἵνα μὴ διὰ τῆς ἀκολάστου θέας, τὰς B τῶν μοιχαλίδων τιμωρίας ὑπόσχοιεν. Εἰ γὰρ καὶ ἡ ἐπιθυμία τῆς συνουσίας ἴση εἶναι δοθείη (οἱ μὲν γὰρ τὴν τοῦ ἀνδρὸς, οἱ δὲ τὴν τῆς γυναικὸς τυραννικωτέραν εἶναί φασιν), ἀλλ' οὖν γε, ὁ μὲν σπείρει, ἡ δὲ σπείρεται· ὁ μὲν γεννᾷ, ἡ δὲ τίκτει· ὁ μὲν γεωργοῦ χώραν ἐπέχει, ἡ δὲ γῆς. Ἐν αὐτοῖς δὴ οὖν τούτοις, ἐν οἷς μήθ' ὁ ἀνὴρ δύναται ποιεῖν τὰ τῆς γυναικὸς, μήθ' ἡ γυνὴ τὰ τοῦ ἀνδρὸς, ἰδικοὶ ἐτέθησαν νόμοι. Οἱ δ' ἄλλοι πάντες, κοινοὶ πᾶσίν εἰσι καὶ ἀδιαίρετοι. Ὥσπερ γὰρ νενομοθέτηται· « Οὐ μοιχεύσεις· » καὶ οὐ μόνον ὁ ἀνὴρ, εἰ ἁλοίη, ἐπὶ τούτῳ δίκας δίδωσιν, ἀλλὰ καὶ ἡ γυνή· οὕτω δὴ κἀνταῦθα, μάλιστ' ἐπειδὴ εἴρηται· « Πᾶς ὁ βλέπων γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι, ἤδη ἐμοίχευσεν ἐν τῇ καρδίᾳ ἑαυτοῦ· » δῆλόν ἐστιν ἅπασιν, ὅτι πᾶσα ἡ βλέπουσα ἄνδρα πρὸς τὸ C ἐπιθυμῆσαι, ἤδη ἐμοιχεύθη ὑπ' αὐτοῦ ἐν τῇ καρδίᾳ ἑαυτῆς.

locum obtinet. Quocirca in his rebus in quibus nec privatæ leges positæ atque constitutæ sunt : aliæ vero omnes communes sunt. Ut enim lege sancitum est : « Non mœchaberis [27], » nec vir solum, si in eo crimine deprehensus sit, sed etiam femina supplicio afficitur ; eodem modo hic quoque (præsertim cum dictum sit : « Quicunque viderit mulierem ad concupiscendum, jam mœchatus est in corde suo [28], » cuivis perspicuum est, mulierem etiam omnem, quæ cupiditatis causa virum conspexerit adulterium jam in corde suo commisisse.

XIII. — EIDEM.

Cur, quædam communiter viris et mulieribus in lege præscripta sunt, quædam vero peculiariter.

Scripturas sacras lectitare debes, ac non de
263 omnibus rebus alios interrogare. Nam si in earum lectione versareris, cognitum profecto haberes, quod viro de genitali excremento nonnulla privatim sancita sunt, ac mulieri de menstruis : atque item illi de eo, ut ne naturæ leges evertat, atque insano masculorum amore teneatur, nec in sterilem rabiem præceps ruat ; huic autem de aqua indicii, si in adulterii suspectionem veniat. Denique illum si per somnum corpus contaminarit, hanc autem et cum purgatur, et cum peperit impuram esse lex ait, ambosque, quoad purificati fuerint, a sacro ambitu removet. Quin alia quoque nonnulla privatim sancita et instituta sunt, quæ in præsentia commemorare minime necesse est cum ex his, quæ

ΠΓ'. — ΤΩ ΑΥΤΩ.

Διά τί, τινὰ μὲν τοῦ νόμου κοινῇ καὶ ἀνδράσι καὶ γυναιξὶ νενομοθέτηται, τινὰ δὲ καὶ ἰδίως.

Ἀναγινώσκειν τὰς Γραφὰς ὀφείλεις, καὶ μὴ περὶ
D πάντων ἐρωτᾷν. Εἰ γὰρ ἀνεγίνωσκες, ἐγίνωσκες ἄν, ὅτι τῷ μὲν ἀνδρὶ περὶ σπερματικῆς ἐκκρίσεώς τινα ἰδικῶς νενομοθέτηται, τῇ δὲ γυναικὶ περὶ καταμηνίων· καὶ τῷ μὲν, περὶ τοῦ μὴ τοὺς τῆς φύσεως ἀνατρέπειν θεσμοὺς, καὶ ἄῤῥεσιν ἐπιμαίνεσθαι, καὶ ἄκαρπα λυττᾷν· τῇ δὲ περὶ τοῦ ὕδατος τοῦ ἐλεγμοῦ, εἰ ὑποπτευθείη μεμοιχεῦσθαι· καὶ τὸν μὲν ὀνειρώξαντα, τὴν δὲ καθαιρομένην καὶ τεκοῦσαν, ἀκάθαρτον εἶναί φησι, καὶ ἔξω ἱερῶν περιβόλων ἵστησιν, ἕως ἂν καθαρθῶσι. Καὶ ἄλλα τινὰ ἰδικῶς νενομοθέτηται, ἃ οὐκ ἀναγκαῖον ἐπὶ τοῦ παρόντος εἰπεῖν, δυναμένου σου ἐκ τοῦ ῥηθησομένου γνῶναι, ὅτι ἐν ἐκείνοις μόνοις, ἐν οἷς μήτε γυναικὶ οἷόν τε ποιεῖν τἀνδρὸς, μητ' ἀνδρὶ τὰ γυναικὸς, ἰδιάζοντες ἐτέθησαν

[22] Job VI, 13. [23] Prov. XVI, 29. [24] Psal. XCI, 7. [25] Matth. VII, 26. [27] Exod. XX, 14. [28] Matth. V, 28.

Digitized by Google

νόμοι. Οἱ δ' ἄλλοι πάντες κοινοί εἰσιν ἑκατέρῳ γένει· οἷον τό· « Ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐξ ὅλης καρδίας σου, καὶ τὸν πλησίον σου ὡς ἑαυτόν· » τό· « Οὐ φονεύσεις. Οὐ μοιχεύσεις. Οὐ κλέψεις. Οὐ ψευδομαρτυρήσεις. Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα. Οὐκ ἐπιορκήσεις. Οὐκ ἐπιθυμήσεις ὅσα τῶν πλησίον σού ἐστι, » καὶ ὅσα τούτοις συγγενῆ. Εἰ δὲ καὶ ἐπὶ τοὺς εὐαγγελικοὺς ἔλθῃς χρησμούς, πάλιν τὸ ἴσον εὑρήσεις· Μακάριοι γὰρ οἱ πτωχοὶ τῷ πνεύματι, οἱ πραεῖς, οἱ ἐλεήμονες, οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, οἱ καθαροὶ τῇ καρδίᾳ, οἱ εἰρηνοποιοί, καὶ ὅσα τοιαῦτα. Καὶ τὸ περὶ ἁγαμίας δὲ καὶ ἁγνείας εἰρημένον, ἑκατέρῳ γένει εἴρηται, κἂν ἀῤῥενικῷ χαρακτῆρι ἐξενήνεκται, διὰ τὸ πρέπον τῇ χρησμῳδίᾳ καὶ τὸ ἡγεμονικώτερον εἶναι τὸ ζῷον. Ὁ δυνάμενος γὰρ χωρεῖν, χωρείτω. Καὶ δῆλον ἐντεῦθεν, τῷ πολλὰς καὶ κεχωρηκέναι καὶ κατωρθωκέναι.

A mox dicturi sumus, intelligere queas, in iis duntaxat, in quibus nec mulier, quæ viri sunt, nec vir, quæ mulieris sunt, exsequi potest, privatas leges positas esse, alias autem omnes ad utrumque sexum in commune pertinere. Verbi gratia hanc : « Diliges Dominum Deum tuum ex toto corde tuo, et proximum tuum sicut teipsum [39]. » Et hanc : « Non homicidium facies. Non mœchaberis. Non furaberis. Non falsum testimonium dices. Honora patrem tuum et matrem. Non pejerabis. Non concupisces quidquam ex his quæ proximi tui sunt [40]. » Quod etiam de omnibus legibus quæ his cognatæ ac similes sunt, intelligi debet. Quod si ad evangelica etiam oracula veneris, idem rursum invenies. Beati enim pauperes spiritu, mites, misericordes, esu- B rientes et sitientes justitiam, mundi corde, pacifici, aliaque id genus omnia [41]. Quin illud quoque quod de cœlibatu ac virginitate dictum est, ad utrumque sexum pertinet (tametsi mascula loquendi forma enuntiatum sit, propterea quod id apostolico oraculo conveniret, et quia hoc animal majus imperium obtinet.) Qui potest enim capere capiat. Idque hinc constat, quod permultæ hoc et ceperint, et præstiterint.

ΙΑ'.— ΤΩ ΑΥΤΩ.

Διὰ τοῦτο ὁ νόμος, καὶ τὰς φυσικὰς καὶ ἀβουλήτους ἐκκρίσεις καθαρσίων ἠξίωσεν, ἵνα τὰς ἑκουσίους καὶ παρὰ φύσιν, ἐκ πολλοῦ τοῦ περιόντος φύγωμεν. Ὁ γὰρ τοῖς τὰ δοκοῦντα μὲν, οὐκ ὄντα δὲ ἁμαρτήματα ὑπομένουσιν, ἀποκλείσας τὴν εἰς τὸ ἱερὸν εἴσοδον, ἕως ἂν καθαρθεῖεν, τοῖς ἑκοντὶ ἁμαρτάνουσι, μείζονα μὲν κατασκευάζει τὸν φόβον, χαλεπωτέραν δ' ἀπειλεῖ τιμωρίαν. Εἰ γὰρ τὸ ἀκούσιον οὐχ C ἁπλῶς, συνεγνώσθη, τὸ ἑκούσιον δηλονότι ἀσύγγνωστον εἴη, εἰ μὴ μετανοίᾳ εἰλικρινεῖ θεραπευθείη.

XIV. — EIDEM

Lex hac de causa naturales etiam, minimeque in voluntate nostra sitas excretiones expiari voluit, ut voluntarias ac naturæ repugnantes multo magis fugiamus. Nam quæ iis, qui ea perpetiuntur, quæ speciem quidem peccati habent, nec tamen revera peccata sunt, aditum ad templum, quoadusque purgati fuerint, intercludit ; eadem quoque iis qui sponte atque consulto peccant, majorem metum incutit, acerbioremque pœnam minitatur. Nam cum id quod minime sponte factum est, veniam haud simpliciter impetrarit, id procul dubio, quod voluntarie admittitur, veniam haudquaquam obtinebit, nisi vera et sincera pœnitentia curetur.

ΙΕ'. — ΕΛΙΣΣΑΙΩ ΜΟΝΑΧΩ

Τὸ μὲν πταίειν ἐν τοῖς ὑπηκόοις τελοῦντα, δεινόν· τὸ δὲ τὸν ἱερωμένον, δεινότερον· τὸ δὲ τὸν τὴν ἀρχιερωσύνην κεκληρωμένον, πάντη δεινότατον. Ὅσῳ γὰρ ταῖς τιμαῖς προύχουσι, τοσούτῳ καὶ τὸ ἁμάρτημα. Εἰ γὰρ καὶ τὸ αὐτὸ εἴη, ἀργαλεώτερον γίνεται, οὐ τῇ φύσει, ἀλλὰ τῇ ἀξίᾳ τοῦ δράσαντος μετρούμενον. Καὶ τί τῷ ὑπηκόῳ παραβάλλω τὸν ὑφηγητὴν, ὁπότε ὅλου τοῦ λαοῦ ἀντίῤῥοπον ἔφη εἶναι τὸ τοῦ ἀρχιερέως D πταῖσμα ὁ νομοθέτης, καὶ τοσαύτην αὐτὸν ἐθέσπισεν προσενεγκεῖν θυσίαν, ὅσην ἂν ὁ λαὸς ἅπας, εἰ πλημμελήσειε, προσενεγκεῖν προστέτακται; Εἰ δὲ μὴ ἴσον ἦν μηδ' ἀντίῤῥοπον τὸ τραῦμα, οὐκ ἂν ἀντίπαλον ὥρισε τὴν θεραπείαν.

XV. — ELISÆO MONACHO.

Grave est, eum, qui inter subditos censetur, peccare ; gravius autem, eum qui divino cultui consecratus est ; longe vero gravissimum, eum qui pontificis dignitatem nactus sit. Quanto enim honoribus alios antecellunt, tanto quoque ipsorum peccatum, etiamsi alioqui idem sit, gravius efficitur : quippe quod non ad naturæ, sed ad ejus, qui illud perpetravit dignitatem perpendatur. Quid autem magistrum et antistitem cum subdito comparo : cum legislator pontificis peccatum totius populi peccato par esse dixerit, tantumque ab ipso sacrificium lege lata exegerit, quantum si plebs universa deliquisset, offerri præcepit ? Quod si æquale ac par vulnus non esset, haud parem certe medicinam constituisset.

ΙϚ'.—ΤΩ ΑΥΤΩ.

Νόμος οὗτος καὶ θεσμὸς περὶ τῆς θείας φύσεως νενίκηκε, πρὸς μὲν τὴν ἀξίαν αὐτῇ τὰς τιμὰς παρὰ τοῦ γενητοῦ γένους μὴ νέμεσθαι (οὐδὲ γὰρ οἷόν τε), τῇ δὲ τῶν συντελούντων δυνάμει τὴν εὐσέβειαν με-

XVI. — EIDEM

Lex hæc et sanctio de divina natura obtinuit, non ut ipsi pro ipsius dignitate ab humano genere honores tribuantur (neque enim id fieri potest), verum ut pietas, eorum, qui conferunt, potentia

[39] Deut. vi, 5 ; Matth. xxii, 37-39. [40] Exod. xx, 12 17. [41] Matth. v,3-10.

Digitized by Google

ponderetur. Quamobrem nemo ex iis qui paupertate conflictantur, mœsto animo sit : verum potius lætetur. Nam quod solum divina natura requirit (hoc autem potissimum virtus est) prorsus offerre poterit.

τρεῖσθαι. Μηδεὶς τοιγαροῦν τῶν πενίᾳ παλαιόντων ἀλυέτω, ἀλλὰ μᾶλλον εὐφραινέσθω. Ὃ γὰρ μόνον ἡ θεία φύσις ἐπιζητεῖ, τοῦτό ἐστιν ἀρετὴ, μάλιστα πάντων προσαγαγεῖν δυνήσεται.

XVII. — THEODOSIO EPISCOPO.

Quod Eusebius, voluntariæ paupertatis suasor, ac cœlestium dogmatum interpres, in terrenis rebus infixus, congerendis pecuniis studeat, quamvis grave sit, haud tamen scio quonam pacto minime grave esse videatur. Quod autem nunc abs te indicatum est, ac multorum fide dignorum virorum testimonio confirmatur, atque incredibile fortasse posteris videbitur, ejusmodi est, ut nihil atrocius fingi possit. Quis enim adduci facile queat, ut credat, eum illos quidem, qui paupertatem colunt, atque omni alio philosophiæ genere fulgent, ut qui ad quæstum faciendum haudquaquam ipsi utiles sint, velut nullius usus homines aspernari, sacerdotioque indignos judicare : divites contra, quod eorum opes demetat, quamvis etiam omni scelere coopertos ad sacerdotium proferre : perinde atque non virtuti, sed divitiis sacerdotium deberi existimet? Ac quidem oportebat, ut scribis, eos qui ab his vitiis remoti sunt, eam quam convenit medicinam excogitare. Quoniam autem perpauci sunt ejusmodi homines, atque aliorum multitudine obteguntur, multorumque inimicitiam sibi conflare metuentes, lacrymas quidem profundunt, verum nullum fortis ac strenui animi facinus edunt, ob eam causam iisdem, quibus illi, vitiis laborare existimantur. **265** Neque enim arbitreris velim, o improborum odii delubrum, omnes in iisdem vitiis versari : verum nonnullos esse qui apostolicæ vitæ typum retineant (quorum numerum ipse quoque auges), in quorum gratiam adversus eos, qui peccant, nondum prolata est sententia.

ΙΖ'. — ΘΕΟΔΟΣΙΩ ΕΠΙΣΚΟΠΩ.

Τὸ μὲν τοῖς γηΐνοις πράγμασιν ἐγκαλινδούμενον χρηματίζεσθαι Εὐσέβιον, τὸν τῆς ἀκτημοσύνης ὑφηγητὴν, καὶ τῶν οὐρανίων δογμάτων ἐξηγητὴν δεινὸν, οὐ δεινὸν εἶναι δοκεῖ, οὐκ οἶδ' ὅπως (5). Τὸ δὲ νῦν μηνυθὲν μὲν παρὰ σοῦ, παρὰ δὲ πολλῶν ἀξιοπίστων ἀνδρῶν μαρτυρούμενον, ἄπιστον δ' ἴσως τοῖς μεθ' ἡμᾶς ὀφθησόμενον, ὑπερβολὴν οὐκ ἔχει· Τίς γὰρ ἐθελήσει ῥᾳδίως πιστεῦσαι, ὅτι τοὺς μὲν ἀκτημοσύνην ἀσκοῦντας, καὶ τῇ ἄλλῃ φιλοσοφίᾳ διαλάμποντας, ἅτε λυσιτελεῖν αὐτῷ πρὸς χρηματισμὸν μὴ δυναμένους, ἀχρήστους ὑπολαμβάνων, ἀτιμάζει, καὶ ἱερωσύνης οὐκ ἀξιοῖ· τοὺς δὲ πλουσίους, διὰ τὸ δρέπεσθαι αὐτῶν τὸν πλοῦτον, εἰς ἱερωσύνην προφέρει, κἂν ἁπάσης κακίας εἶεν ἀνάπλεοι· οὐ τῇ ἀρετῇ, τῷ δὲ πλούτῳ χρεωστεῖσθαι τὴν ἱερουργίαν οἰόμενος; Ἐχρῆν μὲν οὖν, ὡς ἔφης, τοὺς τούτοις μὴ ἁλόντας τοῖς πάθεσι, τὴν δέουσαν θεραπείαν ἐπινοῆσαι. Ἐπειδὴ δ' ὀλίγοι ὄντες κομιδῇ τῷ πλήθει καλύπτονται, καὶ τὴν τῶν πολλῶν ἀπέχθειαν δεδιότες, δακρύουσι μὲν, γενναῖον δ' οὐδὲν, οὐδὲ νεανικὸν ἐπιδείκνυνται· διὰ τοῦτο τὰ αὐτὰ ἐκείνοις νοσεῖν ὑποπτεύονται. Μὴ γὰρ δὴ πάντας, ὦ μισοπονηρίας τέμενος, ἡγοῦ τοιούτους εἶναι, ἀλλ' εἶναί(6) τινας τοὺς τὸν ἀποστολικὸν σώζοντας χαρακτῆρα, ὧν εἷς καὶ αὐτὸς τυγχάνεις, δι' οὓς οὐδέπω ἡ κατὰ τῶν ἁμαρτανόντων ἐξενήνεκται ψῆφος.

XVIII. — AGATHO PRESBYTERO.

Divinissimus Patris terminus ac sermo, vir sapientissime (citra proœmium enim ad interpretationem accedam : gestit quippe animus quod animo concepi eloqui), si, ut illi aiunt, tempore posterior est, sempiternus non est : si autem sempiternus, ut ipsi dicimus, haudquaquam tempore posterior. Nihil enim divinæ naturæ tam proprium ac peculiare est, nec quod expressius eam notet et insigniat, quam æternitas. Ac quidem splendoris vocabulum æternitatem indicat. Character autem substantiæ, substantiam : Verbum item impassibilitatem, quodque ab omni corporea mole secretum sit : Filius denique, proprietatem et consubstantialitatem. Ex unoquoque enim quod commodum et utile est, cor-

ΙΗ'. — ΑΓΑΘΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Ὁ θειότατος τοῦ Πατρὸς, ὦ σοφώτατε, ὅρος τε καὶ λόγος (ἄνευ γὰρ προοιμίου ἐπὶ τὴν ἑρμηνείαν χωρήσω· ὠδίνω γὰρ τὸ νενοημένον εἰπεῖν), εἰ μεταγενέστερος, ὥς φασιν, οὐκ ἀΐδιος· εἰ δ' ἀΐδιος, ὡς φαμεν, οὐ μεταγενέστερος. Οὐδὲν γὰρ οὕτως ἴδιον καὶ χαρακτηριστικὸν τῆς θείας φύσεως, ὡς τὸ ἀΐδιον (7). Τὸ μὲν οὖν ἀπαύγασμα, τὸ συναΐδιον ἐμφαίνει· ὁ δὲ χαρακτὴρ τῆς ὑποστάσεως, τὸ ἐνυπόστατον· ὁ δὲ Λόγος, τὸ ἀπαθές τε καὶ ἀσώματον· ὁ δὲ Υἱὸς, τὴν ἰδιότητα καὶ τὴν ὁμοουσιότητα. Ἐξ ἑκάστου γὰρ τὸ χρήσιμον ἐρανιζόμενοι, τὸ λοιπὸν χαίρειν ἐῶμεν, ὅσον τῇ θείᾳ οὐ πρέπει φύσει. Ἐπὶ μὲν γὰρ τῶν γεννητῶν, τὸ *πρὸ* καὶ *μετὰ*, χώραν ἐχέτω· ἐπὶ δὲ τῆς σεπτῆς καὶ βασιλικωτάτης Τριάδος, τὸ

VARIÆ LECTIONES ET NOTÆ.

(5) Pro illis verbis, ἐξηγητὴν δεινὸν, οὐ δεινὸν εἶναι δοκεῖ, οὐκ οἶδ' ὅπως, hæc solum habet cod. Vat. 649, ἐξηγητὴν δεινὸν εἶναι δοκεῖ οὐκ οἶδ' ὅπως. Lectio tamen edita magis placet, quam et cod. Alt. comprobat. Possin.

(6) Verba ἀλλ' εἶναι omittebat ed. Paris. Edit.

(7) *Οὐδὲν οὕτως ἴδιον καὶ χαρακτηριστικὸν τῆς θείας φύσεως, ὡς τὸ ἀΐδιον.* Divinitatis propria nota æternitas. Repetit hanc sententiam inf. ep. 65 et ep. 149. Ritt.

Digitized by Google

πρῶτον καὶ δεύτερον, οὐκ ἔχει χώραν. Καὶ ἀριθμοῦ γὰρ καὶ χρόνων, τὸ θεῖον ἀνώτερον. A rogantes, quod reliquum est, nec divinæ naturæ convenit, valere jubemus. Etenim in rebus procreatis his duabus vocibus, *ante*, et, *post*, sit sane locus. At in veneranda, summeque regia Trinitate, *primum*, ac *secundum*, locum non habet. Divinum quippe numen et numero et tempore sublimius est.

ΙΘ'. — ΑΘΑΝΑΣΙΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Εἰ μηδὲν πλέον τοῦ γράμματος νομίζει τὸν νομοθέτην εἰρηκέναι ὁ πρὸς σὲ, ὡς ἔφης, διενεχθεὶς Ἰουδαῖος, εἰπὲ πρὸς αὐτὸν, ὅτι Ἐλέγχουσιν ὑμῶν τὴν ἀπαιδευσίαν οἱ δύο ἄνδρες οἱ μετὰ τὴν τοῦ Χριστοῦ παρουσίαν συγγραφεῖς παρ' ὑμῖν γεγονότες· Φίλων ὁ θεωρητικώτατος, καὶ Ἰώσηπος ὁ ἱστορικώτατος. Ὁ μὲν πᾶσαν σχεδὸν τὴν Παλαιὰν εἰς ἀλληγορίαν τρέπων· ὁ δὲ διαῤῥήδην γράφων, τὰ μὲν αἰνιττομένου τοῦ νομοθέτου δεξιῶς· τὰ δὲ, ἀλληγοροῦντος B μετὰ σεμνότητος· ὅσα δ' ἐξ εὐθείας λέγεσθαι συνέφερε, ταῦτα ῥητῶς ἐμφανίζοντος. Εἰ μὲν γὰρ προενέγκειμεν προφητικὰς ῥήσεις τοῦτο ἐγγυωμένας, παρερμηνεῦσαι καὶ παραποιῆσαι οὐκ ὀκνήσουσιν· εἰ δ' ἀποστολικὰς ἀποφάσεις τε, καὶ ἀποδείξεις, καὶ ἑρμηνείας, παραγράψασθαι τολμήσουσι δυσσεβῶς· τὰς δὲ τῶν παρ' αὐτοῖς δοξάντων σοφῶν μαρτυρίας παραγράψασθαι οὐκ ἂν εἶεν δίκαιοι.

XIX. — ATHANASIO PRESBYTERO.

Si legislatorem nihil aliud præter litteram dixisse Judæus is existimat, qui tecum rixatus est, his ad eum verbis utere : Inscitiam vestram duo viri refutant, qui post Christi adventum apud vos litterarum monumenta condiderunt, nimirum Philo contemplator egregius, et Josephus insignis historicus : ille, dum universum pene Vetus Instrumentum ad allegoriam trahit; hic dum ad hunc modum loquitur, legislatore alia commode ac scite innuente, alia cum gravitate allegorico sensu exponente, ea denique omnia, quæ recte ac plane dici utile erat, ad litteram indicante. Nam si propheticas voces, quibus id confirmetur, proferamus, eas perversa interpretatione intorquere ac depravare minime verebuntur. Atque item si apostolicas sententias, et demonstrationes atque interpretationes, eas impie rejicere haudquaquam dubitabunt. At eorum, qui apud ipsos sapientiæ atque doctrinæ existimatione floruerunt, testimonia ab ipsis repudiari, haud profecto æquum fuerit.

Κ'. — ΕΡΜΟΓΕΝΕΙ ΕΠΙΣΚΟΠΩ.

Τῆς θείας καὶ τῆς ἀνθρωπίνης φύσεως ἡ ἱερωσύνη ὥσπερ μέση καθέστηκεν, ἵνα τὴν μὲν θεραπεύῃ, τῇ C δὲ μεταβολὴν ἐργάζηται κρείττονα. Εἴ τις τοιγαροῦν ταύτης μεῖζον φρονεῖ, οὐδὲ φρόνησιν ἔχειν μοι δοκεῖ.

XX. — HERMOGENI EPISCOPO.

Inter divinam et humanam naturam sacerdotium **266** velut medium interjectum est, ut illam colat atque observet, hanc autem in melius commutet. Quocirca si quis eo sublimius sentit, ne mentis quidem et prudentiæ particeps esse mihi videtur.

ΚΑ'. — ΤΩ ΑΥΤΩ.

Οἱ ἅγιοι, ὦ σοφώτατε, τὰς ὑπὲρ τῆς ἀρετῆς τῶν κινδύνων ὑπερβολὰς, ἐφόδιον μείζονος εὐδοκιμήσεως ἔχουσιν.

XXI. — EIDEM.

Viris sanctis, sapientissime vir, gravissima quæque pericula, quæ virtutis causa adeunt, majoris gloriæ materiam præbent.

ΚΒ'. — ΙΣΙΔΩΡΩ ΔΙΑΚΟΝΩ.

Ὥσπερ, ἵνα καὶ ἐναργεῖ παραδείγματι χρήσωμαι, Ἱερουσαλὴμ, ὅτε μὲν τῇ θείᾳ συμμαχίᾳ ὡπλίστο, ὀρθὴ ἑστῶσα ἀπονητὶ καὶ ἀναιμακτὶ τὰ τρόπαια ἵστη· ὅτε δὲ ταύτης διὰ τὸ ἐπιλυττῆσαι κατ' αὐτῆς, ἐστέρητο, πῦρ πολέμιον αὐτὴν ῥᾳδίως ἔκλινεν· οὕτω καὶ ψυχὴ, ὅταν μὲν τῇ ἄνωθεν ῥοπῇ δι' εὐστάθειαν τρόπων περιφράττηται, ῥᾳδίως τοὺς πολεμίους καταγωνιεῖται· ὅταν δ' ἁμάρτῃ, ἐνταῦθα μὲν τῷ πυρὶ τῶν παθῶν ἁλώσεται, ἐκεῖσε δὲ τῷ τῆς κρίσεως τιμωρηθήσεται. D

XXII. — ISIDORO DIACONO.

Quemadmodum Jerusalem (ut perspicuo exemplo utar) cum divino auxilio munita et armata erat, recta stans citra laborem et cruorem tropæa statuebat; cum autem hoc, propterea quod adversus ipsum insaniisset, sese spoliabat, hostilis flamma eam nullo negotio prosternebat : eodem modo anima quoque, si divina ope propter morum constantiam ac modestiam septa et munita fuerit, hostes facile superabit; si autem in peccatum proruperit, hic quidem turbulentorum affectuum igne conflagrabit, illic autem judicii flamma cruciabitur.

ΚΓ'. — ΑΣΚΛΗΠΙΩ ΣΟΦΙΣΤΗ.

Εἰ Ξέρξης, ὦ σοφιστά· ἀπὸ γὰρ τῶν σῶν σοι διαλέξομαι· τὸν Ἑλλήσποντον ζεύξας, τὸ τῶν Ἀθηναίων φρόνημα οὐκ ἠδυνήθη ζεῦξαι τῷ τῆς δουλείας ζυγῷ, ἀλλὰ πάντα μὲν ἐκίνει, καὶ τὸν ταγέντα τοῖς στοιχείοις ἐκαινοτόμει θεσμὸν· ἐκείνους δὲ τῶν δεδογμένων οὐ μετεκίνει· σὺ ἀπὸ συμβουλῆς ψιλῆς ἐνόμισας ἡμῶν μετακινεῖν τὸ φρόνημα, καὶ εἰς θωπείαν

XXIII. — ASCLEPIO SOPHISTÆ.

Cum Xerxes, o sophista (nam a tuis historiis tecum agam), juncto ratibus Hellesponto Atheniensium animos servitutis jugo premere minime potuerit, verum quamvis nihil non tentaret, atque etiam impositam elementis legem innovaret, eos tamen ab animi proposito haudquaquam dimoverit, tu tamen solo consilio perfecturum existimasti, ut

Digitized by Google

animum nostrum dimoveas, atque ad blandiendum et adulandum inflectas. Annon autem hoc absurdum est? Quocirca ejusmodi quædam consilia nobis dare desine. Sin minus, ex amicorum choro te secernemus.

A τρέπειν καὶ πῶς οὐκ ἄτοπον; πέπαυσο τοίνυν τοιαῦτά τινα ἡμῖν παραινῶν· εἰ δὲ μή, τοῦ χοροῦ τῶν φίλων σε ἀποκρινοῦμεν.

XXIV. — MARTYRIO LECTORI.

Acris atque ad omnia audax pecuniarum amor, nec satietatem ullam sentiens, animam eam, quam ceperit, in extremum malorum præcipitem agit. Quocirca maxime in primordiis eum abigamus. Nam si semel vicerit, nulla postea ratione vinci poterit.

ΚΔ'. — ΜΑΡΤΥΡΙΩ ΑΝΑΓΝΩΣΤΗ.

Ὁ δεινὸς καὶ πάντολμος τῆς φιλοχρηματίας ἔρως, κόρον οὐκ εἰδὼς, ἐπὶ τὸ ἔσχατον τῶν κακῶν τὴν ἁλοῦσαν ψυχὴν ἐλαύνει. Οὐκοῦν μάλιστ' ἐν προοιμίοις αὐτὸν ἀπελάσωμεν. Κρατήσας γὰρ, ἀχείρωτος ἔσται.

XXV. — SYRIONI.

Generosus ille Paulus, præstantissimus, inquam, ille dux, qui regis electioni minime dedecori fuit, B atque, ut nihil omnino aliud quam Ecclesiæ utilitatem ob oculos propositam habens, privata commoda negligebat, et aliorum errata corrigebat, omnia ad Ecclesiæ ædificationem fieri oportere clamabat. Nos contra (ut qui gloriam nostram spectemus), id quod nostris rebus conducere videtur, Ecclesiæ utilitati anteponimus. Atqui Ecclesiæ gloria omnino ad nos quoque redundat, nostra autem non omnino ad commune commodum transit. Nam si, ut nosipsos commendare videamur, **267** proximorum ædificationem nihili pendamus, annon jactura lucrum superabit?

ΚΕ'. ΣΥΡΙΩΝΙ.

Ὁ γενναῖος Παῦλος ὁ ἄριστος στρατηγὸς, ὁ τοῦ βασιλέως τὴν χειροτονίαν μὴ ἀτιμάσας, ὁ τὰ καθ' ἑαυτὸν παριδὼν, ἵνα τὰ τῶν ἄλλων ἐπανορθώσηται, ἅτε μηδὲν πλέον ὁρῶν τοῦ τῆς Ἐκκλησίας συμφέροντος, ἐπεβόα χρῆναι πάντα πρὸς οἰκοδομὴν γίνεσθαι τῆς Ἐκκλησίας. Ἡμεῖς δὲ τὸ φαινόμενον ἡμῖν συμφέρον, πρὸς δόξαν γὰρ ἑαυτῶν ὁρῶμεν, τοῦ τῆς Ἐκκλησίας προτιμῶμεν. Καίτοι τὸ τῆς Ἐκκλησίας κλέος, πάντως καὶ εἰς ἡμᾶς ἀνατρέχει· ἡ δὲ ἡμῶν δόξα, οὐ πάντως εἰς τὸ κοινὸν διαβαίνει. Εἰ γὰρ ἵν' ἑαυτοὺς δόξωμεν συνιστᾶν τῆς τῶν πέλας ὀλιγωροῦμεν οἰκοδομῆς, πῶς οὐ μείζων ἔσται τοῦ κέρδους ἡ ζημία;

XXVI. — CASIO PRESBYTERO.

Contra eos qui dicunt esse nativitatem sive fatum, seu fortunam.

Haud grave est, optime vir, eos qui gravia perpetrarunt, gravibus quoque pœnis affici. At eos, qui nihil grave commiserunt, gravia perpeti, prorsus gravissimum est. Quonam igitur modo iis, qui hoc nomine conqueruntur, satisfaciamus? Non alia nimirum, ut opinor, ratione, quam si de prioribus dicamus, quod juste: de posterioribus autem, quod explorandæ ipsorum virtutis causa perpetiantur. Divina enim justitia illos ulciscitur, his autem coronarum materiam et segetem subministrat. Nam qui Fatum constituunt, de utrisque quid respondeant, non habebunt. Neque enim æquum est, aut eum qui aliquid perpetrare coactus est, aut eum qui nihil grave perpetravit, gravia perpeti. At nos qui Providentiam esse affirmamus, et proba dicimus, et pietatem colimus, et causas rationi consentaneas habemus.

ΚΣ'. — ΚΑΣΙΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Κατὰ τῶν λεγόντων, εἶναι γένεσιν, ἤτοι εἱμαρμένην, ἢ τὴν λεγομένην τύχην.

Οὐκ ἔστιν, ὦ βέλτιστε, δεινὸν, τὸ δεινὰ πράξαντας, δεινὰ καὶ παθεῖν. Τὸ δὲ μηδὲν δεῖνον πράξαντας, δεινὰ παθεῖν, πάντη δεινότατον. Πῶς οὖν τοῖς ἐγκαλοῦσι περὶ τούτου ἀπολογησαίμεθα; Οἶμαι οὐδαμῶς ἄλλως, ἢ περὶ μὲν τῶν πρώτων λέγοντες, ὅτι δικαίως· περὶ δὲ τῶν δευτέρων, ὅτι δοκίμως. Ἡ γὰρ δίκη τοὺς μὲν ἡμύνατο, τοῖς δὲ στεφάνων ὑπόθεσιν προὐξένησεν. Οἱ γὰρ γένεσιν ὁριζόμενοι περὶ ἀμφοτέρων ἀπορήσουσιν ἀποκρίνασθαι. Οὐ γὰρ δίκαιον, οὔτε τὸν ἀναγκασθέντα δρᾶσαί τινα, οὔτε τὸν μηδὲν δράσαντα δεινὸν, δεινὰ παθεῖν. Οἱ δὲ Πρόνοιαν εἶναι διαβεβαιούμενοι, καὶ εὐστομοῦμεν, καὶ εὐσεβοῦμεν, καὶ αἰτίας εὐλόγους λέγομεν.

XXVII. — AGATHO PRESBYTERO.

De sancta Trinitate.

Quæ singularem numerum in sacra Scriptura superant, personarum differentiam indicant. Quæ autem singulariter enuntiata sunt, naturæ identitatem. Illa enim idcirco dicta sunt, ut Sabellio et Judæis ora obstruantur; hæc autem ut Arius et Eunomius ac gentiles obterantur. Nam qui proprietatum numerum in sanctam Trinitatem porrigunt, ac rursum in unam substantiam contrahunt, ii rectissime sentiunt, ac cœlestium oraculorum doctrinam sequuntur, ut qui nec per naturarum

ΚΖ'. — ΑΓΑΘΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Περὶ τῆς ἁγίας Τριάδος.

Τὰ μὲν τὸν ἑνικὸν ὑπερβαίνοντα ἀριθμὸν ἐν τῇ ἱερᾷ Γραφῇ, τῆς τῶν ὑποστάσεων διαφορᾶς ἐστι παραστατικά· τὰ δ' ἑνικῶς ἐξενηνεγμένα, τῆς ταυτότητος τῆς φύσεως. Τὰ μὲν γὰρ εἴρηται, ἵνα Σαβέλλιος καὶ Ἰουδαῖοι ἐπιστομισθῶσι· τὰ δ' ἵνα Ἄρειος καὶ Εὐνόμιος, καὶ Ἕλληνες στηλιτευθῶσιν. Οἱ γὰρ πλατύνοντες μὲν εἰς τὴν ἁγίαν Τριάδα τὸν τῶν ἰδιοτήτων ἀριθμὸν, συστέλλοντες δὲ εἰς μίαν οὐσίαν, ὀρθότατα δογματίζουσι, καὶ ταῖς τῶν οὐρανίων χρησμῶν ἕπονται διδασκαλίαις, μήτ' εἰς πολυθεΐαν διὰ

Digitized by Google

τῆς φύσεως διαφορὰν ἐκπίπτοντες, μετ' εἰς Ἰουδαϊσμὸν, διὰ τὴν τοῦ ἑνὸς προσώπου σύστασιν ὀλισθαίνοντες. A discrimen in plurium deorum cultum cadant, nec per unius personæ assertionem in Judaismum prolabantur.

ΚΗ'. — ΑΦΘΟΝΙΩ ΕΠΙΣΚΟΠΩ.

Ἀπὸ τῶν ὁμολογουμένων τὰ ἀμφίβολα χρὴ κρίνεσθαι, οὐκ ἀπὸ τῶν ἀμφιβόλων τὰ ὁμολογούμενα. Οἷόν τι λέγω· ὀπηνίκα ἀπὸ τοῦ Βαβυλωνίου τὸ ὄναρ τῆς εἰκόνος ἀπέπτη, καὶ ἐζήτει μαθεῖν οὐ μόνον τὴν ἑρμηνείαν τοῦ δειχθέντος, ἀλλὰ καὶ αὐτὴν τὴν ὄψιν, καὶ πάντες ἠπόρησαν, τότε ὁ Δανιὴλ οὐ πρῶτον τὰ ζητούμενα ἔφη, πρὶν περὶ τῶν δήλων ποιήσασθαι τὴν ἐξήγησιν· τὰ γὰρ κατὰ διάνοιαν αὐτῷ βουληθέντα ὑφηγησάμενος, ἀξιόπιστον ἑαυτὸν καὶ ἀνύποπτον περὶ τῶν ἀμφισβητουμένων καθίστη. Ἡ γὰρ περὶ τῶν ὁμολογουμένων διδασκαλία, τὴν τοῦ πλάττεσθαι τὰ λεγόμενα κατηγορίαν ἀνῄρει. B

XXVIII. — APHTHONIO EPISCOPO.

Per ea quæ certa et confessa sunt, de dubiis judicandum est, non autem per dubia et ambigua de certis et indubitatis. Verbi gratia : cum imaginis somnium a regis Babylonii animo avolavit, atque ipse non modo ejus rei, cujus species ipsi objecta fuerat, interpretationem, sed hoc ipsum quoque quod viderat, scire cuperet, et omnes hæsitarent, tum Daniel non prius ea, quæ quærebantur, exposuit, quam ea, quæ perspicua et manifesta erant, enarrasset : atque ita de rebus dubiis fidem sibi conciliavit, omnemque a se suspicionem propulit [33]. Siquidem de certis atque confessis rebus doctrina, ficta et commentitia interpretationis accusationem de medio tollebat.

ΚΘ'. — ΕΡΜΟΓΕΝΕΙ ΕΠΙΣΚΟΠΩ.

Εἰ δεῖγμα σαφὲς τῶν ἑκάστου τρόπων ἡ τῶν συνόντων ἐστὶ πολιτεία, μὴ θαύμαζε εἰ Εὐσέβιος τοὺς περὶ Μαρτινιανὸν καὶ Ζώσιμον καὶ Μάρωνα, καὶ τοὺς ἄλλους τοὺς ὁμοτρόπους αὐτοῖς, διὰ τιμῆς ἔχει. Ὅσπερ γὰρ εἰ ἀρετῆς ἦν ἐραστὴς, οὐκ ἂν τῶν φιλαρέτων ἑτέρους προετίμησεν· οὕτως ἐπειδὴ σύντροφον καὶ φίλην τὴν κακίαν ἔχει, τοῖς ὁμοτρόποις χρῆται.

XXIX. — HERMOGENI EPISCOPO.

268 Cum morum uniuscujusque ac vitæ perspicuum argumentum sit, eorum, qui cum ipso degunt, vitæ ratio, ne mireris, si Eusebius Martinianum, Zosimum, Maronem, aliosque ejusdem farinæ honore afficit. Quemadmodum enim si virtutis amore teneretur, probis viris haudquaquam alios anteferret : sic quia collactanea et chara ipsi est improbitas, iisdem quoque hominibus utitur.

Λ'. — ΑΡΧΟΝΤΙΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Ὁ μὴ διὰ τὴν τῶν ἀντιπάλων ἀσθένειαν περιγινόμενος, ἀλλὰ διὰ τὸ μέγεθος τῆς οἰκείας ῥώμης τῶν ἰσχυρῶν κρατῶν, ἀοίδιμός ἐστι, καὶ ἀναῤῥήσεως ἄξιος. Μὴ τοίνυν ἐναβρύνου, εἰ ἑνὸς καὶ δευτέρου κεκράτηκας. Εἰ γὰρ τῶν ἄκρων εἰς ἀρετὴν περιγένοιο, ὄντως τροπαιοῦχος ἀνακηρυχθήσῃ. C

XXX. — ARCHONTIO PRESBYTERO.

Qui non ob adversariorum imbecillitatem victoriam assequitur, sed ob virium suarum magnitudinem fortes viros superat, clarus atque illustris est, dignusque qui publico præconio celebretur. Quare ob unum aut alterum superatum ne glorieris. Nam tum denique victor vere prædicaberis, si summa virtute præditos superes.

ΛΑ'. — ΟΦΕΛΙΩ ΓΡΑΜΜΑΤΙΚΩ.

Πῶς εἴρηται τό· « Πρωτότοκος πάσης φύσεως. »

Τὰ καθημαξευμένα παρεὶς, σαφῶς εἴποιμι τὸ νενοημένον, εἰ καὶ δόξαιμί τισι καινοτέραν ἑρμηνείας ἀνατέμνειν ὁδόν. Ὁ πρωτότοκος, εἰ μὲν ἡ δευτέρα ὀξύνοιτο συλλαβὴ, τὸν τεχθέντα πρῶτον· εἰ δ' ἡ παρεσχάτη, τὸν πρώτως τεκόντα μηνύει. Καὶ τοῦτ' ἀκριβῶς ἴστε μάλιστα ὑμεῖς οἱ ὁμηρίζοντες. Πρωτοτόκος γὰρ ἡ πρώτως τεκοῦσα ἐκείνῳ εἴρηται. Εἰκὸς οὖν, μᾶλλον δ' ἀναγκαῖον ἐννοεῖν, ὅτι κἀνταῦθα τοιαύτῃ τινὶ ἐννοίᾳ ὁ θεσπέσιος ἐχρήσατο Παῦλος, οὐ πρῶτον τῆς κτίσεως αὐτὸν ἐκτίσθαι δογματίζων, ἄπαγε, ὃς γε ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτῆρα τῆς ὑποστάσεως τῆς πατρικῆς αὐτὸν καλεῖ· ἀλλὰ πρῶτον τετοκέναι, τουτέστι, πεποιηκέναι τὴν κτίσιν, ἵν' ᾖ (8), τῆς τρίτης συλλαβῆς ὀξυνομένης, πρωτογόνος, οὐ πρωτογενής· πρωτοκτίστης, οὐ πρωτόκτι- D

XXXI. — OPHELIO GRAMMATICO.

Quomodo dictum sit illud : « Primogenitus omnis naturæ. »

Tritis ac pervulgatis omissis, aperte quod sentio, dicam, etiamsi quibusdam videri possim novam interpretationis viam inire : ὁ πρωτότοκος [id est, primogenitus], si secunda syllaba acuatur, eum qui primus natus est, significat. Si autem penultima, eum qui primum genuit. Atque id vobis præsertim, quos Homeri lectio delectat, compertum et exploratum est. πρωτοτεκοῦσα enim, ea quæ primum peperit, ab ipso dicta est. Probabile itaque, imo necessarium fuerit animadvertere, hujusmodi quodam sensu hic quoque divinum Paulum usum fuisse, cum Christum omnis creaturæ primogenitum dixit [33]. Hoc quippe vocabulo non eum primum ex omnibus rebus conditis creatum esse docet (absit), quippe qui splendorem gloriæ, et paternæ

[32] Dan. II, 29 seqq. [33] Coloss. I, 15.

VARIÆ LECTIONES ET NOTÆ.

(8) Pro ἵν' ᾖ codd. Vatic. 619 et Alt. legunt ἐν ᾗ. Possin.

Digitized by Google

substantiæ characterem ipsum appellet : verum eum res conditas primo peperisse, hoc est effecisse : ita ut (tertia syllaba acuto accentu notata) πρωτογόνος non πρωτογενής, id est, *primo gignens*, non *primo genitus*, πρωτοκτίστης, non πρωτόκτιστος, id est, *primo creans*, non *primo creatus*. Quod autem ὁ τόκος, hoc loco pro creatione accipiatur, non est quod quisquam miretur, cum alio etiam loco dictum sit : « Deum, qui te genuit, dereliquisti [34]; » atque alio, item : « Filios genui, et exaltavi [35], » ac rursum : « Ego dixi : Dii estis, et filii Excelsi omnes [36]. » Quoniam enim et cum Deus genuit, citra passionem ullam genuit, et cum creat, citra omnem passionem, et modo divinitati consentaneo, ac sine ullo labore creat : idcirco Scriptura his vocabulis usa est, non ut per generationem creationem, et per creationem generationem intelligamus (quemadmodum improbe ac veteratorie hæretici affirmare videntur), sed ut facilitatem,

269 Deique ab omni perpessione vacuitatem ostendat. Quod si quis ei duntaxat, qua prius ipsius animus imbutus est, opinioni addictus, ac non veritatem sibi ante oculos proponens, verbis meis refragetur, nec mihi ipse judex ero, nec item ipsum sibi ipsi judicem esse æquum fuerit. Quocirca incorruptis judicibus negotium committamus, ac nostræ disputationis arbitri sint auditores. Itaque si ille aliquid demonstrare queat, demonstret. Sin autem a me demonstrationem exigit, hunc ipsum qui his verbis usus est, testem proferam. Postquam enim dixit, «Primogenitus omnis creaturæ,» mox hæc verba subjunxit, « Quoniam in ipso creata sunt omnia, quæ in cœlis sunt, et quæ in terra [37]. » Quamobrem si dixit, Post eum creata sunt, quin secundum adversarium pronuntietis, causam haud dico. Si autem, in ipso (etenim in Creatore rerum omnium procreatio et conservatio est. Quod quidem etiam alio loco explanans, dixit : «In ipso enim vivimus, et movemur, et sumus [38]), » sine controversia, ut opinor, nostra est victoria. Quod si ea etiam, quæ sequuntur, narravero, luculentius adhuc tropæum erit. Ait enim : «Et ipse est ante omnia.» Non dixit, Ipse factus est ante omnia, sed, «Est ante omnia. Et omnia in ipso constituta sunt [39].» Non dixit, Cum ipso, nec : Post eum creata sunt. Quid autem est, quamobrem eos rejiciunt, qui eum divinitatis ratione unigenitum dictum esse aiunt, humanæ autem naturæ respectu primogenitum omnis creaturæ ? Nam si nec ita intelligatur, nec item πρωτοκτίστης vocetur, *primogeniti* vox, siquidem *unigenito* copuletur, nobilitatem designare potest, potest enim quispiam et primogenitus et unigenitus filius esse ; si autem rebus creatis,

A στος. Εἰ δ' ὁ τόκος ἐνταῦθα ἀντὶ τῆς κτίσεως παρελήφθη, θαυμαζέτω μηδείς, ἐπεὶ καὶ ἑτέρωσε εἴρηται· « Θεὸν τὸν γεννήσαντά σε ἐγκατέλιπες· » καί· « Υἱοὺς ἐγέννησα καὶ ὕψωσα· » καί· « Ἐγὼ εἶπα· Θεοί ἐστε καὶ υἱοὶ Ὑψίστου πάντες. » Ἐπειδὴ γὰρ καὶ γεννήσας ὁ Θεὸς ἁπαθῶς ἐγέννησε, καὶ κτίζων ἀπαθῶς καὶ θεοπρεπῶς καὶ ἀμογητὶ δημιουργεῖ, τούτοις τοῖς ὀνόμασι κέχρηται ἡ Γραφή, οὐχ ἵνα τὴν γέννησιν κτίσιν, καὶ τὴν κτίσιν γέννησιν ὑπολάβωμεν, ὡς κακουργοῦντες οἱ αἱρετικοὶ κατασκευάζειν δοκοῦσιν· ἀλλ' ἵνα τὴν εὐκολίαν καὶ τὴν ἀπάθειαν τοῦ Θεοῦ παραστήσῃ. Εἰ δέ τις προλήψει μόνῃ δουλεύων, καὶ μὴ τἀληθὲς σκοπῶν, ἀντείποι, οὔτ' ἐγὼ τὴν ψῆφον ἐμαυτῷ θήσομαι, οὔτ' ἐκεῖνος ἑαυτῷ ἂν εἴη δίκαιος. Οὐκοῦν ἐπιτρέψωμεν B τὸ πρᾶγμα ἀδεκάστοις κριταῖς, καὶ ἔστωσαν κριταὶ οἱ ἀκροαταί. Εἰ μὲν οὖν ἐκεῖνος ἔχει δεῖξαι, δειξάτω. Εἰ δὲ ἐμὲ ἀπαιτεῖ τὴν ἀπόδειξιν, αὐτὸν τὸν τοῦτ' εἰρηκότα, παρακομίσω μάρτυρα. Μετὰ γὰρ τὸ εἰπεῖν, « Πρωτοτόκος πάσης κτίσεως, » ἐπήγαγεν· « Ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα, τὰ ἐν τοῖς οὐρανοῖς, καὶ τὰ ἐπὶ τῆς γῆς. » Εἰ μὲν οὖν εἶπε, Μετ' αὐτὸν ἐκτίσθη, ψηφίσασθε τῷ κατηγόρῳ. Εἰ δ' *Ἐν αὐτῷ*· ἐν γὰρ τῷ κτίστῃ ἐστὶν ἡ πάντων δημιουργία καὶ διαμονή· ὅπερ καὶ σαφηνίζων ἀλλαχόσε ἔφη· « Ἐν αὐτῷ γὰρ ζῶμεν καὶ κινούμεθα καὶ ἐσμέν· » ἀναντίῤῥητος ἡμῶν, ὡς οἶμαι, ἡ νίκη. Εἰ δὲ καὶ τὰ ἑξῆς φράσαιμι, ἐπιφανέστερόν ἐστι τὸ τρόπαιον. Φησὶ γάρ· « Καὶ αὐτός ἐστι πρὸ πάντων. » Οὐκ C εἶπεν, Αὐτὸς γέγονε πρὸ πάντων, ἀλλ', « Ἔστι πρὸ πάντων, καὶ τὰ πάντα ἐν αὐτῷ συνέστηκεν. » Οὐκ εἶπε, Μετ' αὐτοῦ, οὐδὲ, Μετ' αὐτὸν ἐκτίσθη· διὰ τί δὲ παραγράφονται τοὺς λέγοντας, μονογενὴς μὲν κατὰ τὴν θεότητα, πρωτότοκος δὲ τῆς νέας κτίσεως κατὰ τὴν ἀνθρωπότητα ; εἰ γὰρ μήτε οὕτω νοηθείη, μήτε μὴν *πρωτοκτίστης* κληθείη, τὸ *πρωτότοκον*, εἰ μὲν τῷ *μονογενεῖ* συναφθείη, δύναται τὴν εὐγένειαν ἐμφῆναι· δύναται γὰρ εἶναί τις καὶ πρωτότοκος, καὶ μονογενὴς υἱός· εἰ δὲ τοῖς κτίσμασιν, οὐκ ἔχει χώραν. Ἢ γὰρ μονόκτιστος, ἢ πρωτογενής. Θάτερον γὰρ θατέρου ἀναιρετικόν ἐστι. Τί δ' ἄρα ἐκώλυε σαφῶς αὐτὸν εἰπεῖν, Πρωτόκτιστος πάσης κτίσεως ; Πῶς δὲ, εἰ πρωτόκτιστος νοεῖται, μονογενής ἐστι ; Τὸ μὲν γὰρ μόνον, ἄλλο οὐ προσίεται· τὸ δὲ πρῶτον, D τὸ μόνον παραγράφεται. Τί δὲ διαφέρει τῶν κτισμάτων κατ' αὐτὸ τοῦτο, εἴ γε καὶ αὐτὸς ἐκτίσθη ; Πῶς δὲ οὐκ ἐρυθριῶσι, κτίσματι προσκυνοῦντες, καὶ ταῖς ἑαυτῶν μαχόμενοι ψήφοις ; Ἀπαγορεύοντες (9) καὶ τὸ τῇ κτίσει προσκυνεῖν, ὡς Ἑλληνικὸν αὐτοὶ τοῦτο ὁρῶντες ἑαυτοὺς λανθάνουσι. Χρὴ δὲ καὶ τοῦτ' εἰδέναι, ὅτι οὐ τὰ αὐτὰ ὀνόματα πάντως καὶ τὰ αὐτὰ μηνύει πράγματα· οὕθ' ἡ ὁμωνυμία συνωνυμίαν ἐκ

[34] Deut. xxxii, 18. [35] Isa. i, 2. [36] Psal. lxxxi, 6. [37] Coloss. i, 16. [38] Act. xvii, 28. [39] Coloss. i, 17.

VARIÆ LECTIONES ET NOTÆ.

(9) Iidem codd. habent ἀπαγορέυοντες γὰρ τὸ τῇ κατ., etc., et versu inde tertio pro πάντως scribunt πῶς. Ib.

Digitized by Google

παντὸς τρόπου ἐμφαίνει. Ἐπὶ μὲν γὰρ τοῦ Υἱοῦ κυρίως λέγεται ἡ γέννησις· ἐπὶ δὲ τῶν κτισμάτων καταχρηστικῶς. Ἐπ' ἐκείνου τῆς ἀληθείας ἕνεκεν καὶ τῆς ὁμοουσιότητος· ἐπὶ δὲ τούτων τιμῆς ἕνεκεν καὶ υἱοθεσίας. Βουληθεὶς γὰρ ἀπεκύησεν ἡμᾶς λόγῳ ἀληθείας. Μὴ τοίνυν ἡ ὁμωνυμία τὴν ὁμοτιμίαν ἐνταῦθα τικτέτω, μηδὲ τὰ καταχρηστικῶς εἰρημένα κυρίως λελέχθαι νομιζέσθω (10). Ἐπεὶ καὶ τὸν θυμὸν, καὶ τὴν ὀργὴν, καὶ τὰ ἄλλα πάντα τὰ τῇ θείᾳ μὴ πρέποντα φύσει, καταχρηστικῶς λελεγμένα οὐκ ἄν τις εὐφρονῶν κυρίως πεφράσθαι φαίη. Δῆλον γάρ ἐστιν ὅτι ἑκάστῳ χωρίῳ καὶ ἑκάστῃ λέξει ἡ πρέπουσα καὶ ἁρμόζουσα ἑρμηνεία προσαγομένη τὴν ἀλήθειαν ὠδίνει.

A locum non habet. Aut enim μονόκτιστος, id est, *solus creatus*, aut primogenitus erit. Alterutrum enim alterutrum de medio tollit. Quid autem prohibebat, quominus aperte ipse diceret, πρωτόκτιστος omnis creaturæ. Jam si πρωτόκτιστος, id est, *primus creatus*, intelligatur, quonam pacto unigenitus est? Nam quod solum est, aliud haudquaquam admittit. Ac primum item, solum repudiat. Quidnam autem juxta hoc ipsum rebus conditis præstat, si ipse quoque creatus est? Quin autem erubescant, creaturam adorantes, ac suismetipsi sententiis adversantes: quippe qui, cum res creatas adorari vetent, ut gentilium errorem, ipsi tamen se hoc facere minime animadvertant? Quin illud quoque nosse operæ pretium est, eadem vocabula non semper easdem res significare, neque homonymiam synonymiam omni modo designare. De Filio enim generatio proprie dicitur, de conditis autem rebus, improprie: de illo, inquam, ob veritatem eamdemque substantiam: de his autem, honoris et adoptionis causa. **270** Volens enim genuit nos verbo veritatis. Quocirca homonymia hoc loco honoris æqualitatem ne pariat: nec quæ improprie dicta sunt, proprie dicta esse quisquam existimet. Quandoquidem nec furorem, nec iram, nec alia omnia, quæ, cum divinæ naturæ minime conveniant, per abusum dicta sunt, quisquam mentis compos proprie usurpata esse dixerit. Perspicuum enim est, quod unicuique loco, et cuilibet dictioni, congrua et consentanea interpretatio adhibita, veritatem parturit.

ΛΒ'. — ΗΣΑΙΑ ΣΤΡΑΤΙΩΤΗ.

Λίαν ἐκπλήττομαι πῶς μάλα ἀκριβῶς ἐπιστάμενος τὴν μὲν θείαν δύναμιν ἄμαχον οὖσαν, καὶ ἀεὶ κατὰ τὸ αὐτὸ καὶ ὡσαύτως ἔχουσαν, τῶν δ' ἀνθρωπίνων βέβαιον οὐδὲν, οὐδ' ἀσφαλὲς, ἀλλὰ κἂν ἄγαν δυνατὸν εἶναι δοκοῖη, ἀμφίβολόν ἐστιν. Ὁμολογουμένην γὰρ κέκτηται τὴν εἰς τοὐναντίον μεταβολήν· ὅταν μὴ τὴν ἄνωθεν ἔχῃ ῥοπὴν, καὶ πτῶσιν ἐξαίσιον ὠδίνει, οὐ μετρεῖς αὐτοῦ τὸ φρόνημα, ἀλλ' ὑπερφυῶς ἐξογκούμενος τὴν ἐναντίαν προκαλῇ μεταβολήν.

B

XXXII. — ISAIÆ MILITI.

Magna me admiratio tenet, qui fiat, ut cum tibi illud expioratissimum sit, divinam quidem potentiam insuperabilem, suique semper similem esse, humanam autem nihil certi ac stabilis habere, verum quamlibet, licet valida esse videatur, dubiam tamen et ancipitem esse, utpote quæ nisi divino subsidio fulciatur, certissimam mutationem habeat, atque horrendam ruinam parturiat, tu tamen animo tuo minime modereris, verum immodico fastu intumescens, mutationem in contraria provoces.

ΛΓ'. — ΠΑΥΛΩ.

Τί σημαίνει τὸ, ἐπὶ μέτρου μολύβδου τὸν προφήτην Ζαχαρίαν καθιεμένην ἰδεῖν τὴν ἁμαρτίαν.

Ἐπειδὴ ἔφης· Δι' ἣν αἰτίαν ἐπὶ μέτρου μολύβδου καθεδουμένην τὴν ἁμαρτίαν ἑώρακεν ὁ Ζαχαρίας; φημὶ, ὅτι ὁ μὲν μόλυβδος δηλοῖ τὸ βάρος τῆς ἁμαρτίας. Οὐδὲν γὰρ ἐπαχθέστερον οὐδὲ φορτικώτερον τῆς ἁμαρτίας, τῆς εἰς τὸν πυθμένα τοῦ ᾅδου καταικοντιζούσης τοὺς ἁλόντας. Τὸ δὲ μέτρον, τὸ τέλος μηνύει τῆς περὶ τοὺς ἁμαρτήσαντας μακροθυμίας, καὶ τῆς τιμωρίας τὴν ἀρχήν. Οὐ γὰρ ἀμέτρως, οὐδ' ἀεὶ ἁμαρτάνειν συγχωρηθήσονται· ἀλλ' ὅσον οὐδέπω πικροτάτας εἰσπραχθήσονται δίκας.

C

XXXIII. — PAULO.

Quid significet, quod super mensuram plumbi Zacharias propheta sedens viderit peccatum [46].

Quoniam quæris quidnam causæ sit, cur Zacharias iniquitatem super mensuram plumbi sedentem viderit, respondeo, hoc ideirco contigisse, quia plumbum peccati pondus et gravitatem designat. Neque enim quidquam peccato gravius, atque onerosius est, quippe quod ad ima inferni eos, quos ceperit, deturbet. Per mensuram autem, divinæ erga eos qui peccarunt lenitatis et patientiæ finis, pœnæque principium significantur. Neque enim absque mensura, nec semper vitiis indulgere permittentur: verum jamjamque acerbissimis suppliciis mulctabuntur.

ΛΔ'. — ΕΥΤΟΝΙΩ.

Δεινὸν ὄντα καὶ δραστήριον τὸν τῆς φιλοτιμίας ἔρωτα, καὶ δεινῶς κρατοῦντα τοῦ ἀνθρωπίνου γένους, ὁ σωτήριος Λόγος σοφῶς τε καὶ ἐπιστημόνως καταστέλλων, καὶ πρὸς τὸ κρεῖττον μετοχετεύων,

D

XXXIV. — EUTONIO.

Ambitionis amorem, suapte natura vehementem et acrem, atque humanum genus mirum in modum superantem, scite ac sapienter reprimens, atque in melius derivans Salvator, his verbis utitur: « Atten-

[46] Zachar. v, 7 seqq.

VARIÆ LECTIONES ET NOTÆ.

(10) *Μηδὲ τὰ καταχρηστικῶς εἰρημένα κυρίως λελέχθαι νομιζέσθω.* Improprie et abusive dicta non sunt quasi essent proprie dicta accipienda. Ritt.

Digitized by Google

dite ne justitiam vestram faciatis coram hominibus, ut videamini ab eis. Alioqui non habebitis partem apud Patrem vestrum qui est in cœlis [61].» Quoniam enim, ut creator et effector, ambitionis semina hominum animis primum insita esse probe norat, non frustra et sine causa, sed ut ingenti honoris cupiditate flagrantes in melius proficeremus (optimum videlicet, ad servile turpium ac sordidorum affectuum jugum propellendum, amuletum et præsidium in gloriæ desiderio positum habentes), verum nos beneficium nobis insitum in contrarium flexisse, **271** ac cœlestis honoris oblivione ad terrenum conversos esse: idcirco rursum, optimi cujuspiam agricolæ instar, animæ curam suscipiens, vitiosos stolones amputat, atque improbissimorum hominum ubertatem ad insanum humanæ gloriæ studium vehementer B luxuriantem reprimit; quidquid autem in ea suave atque ad cœlestium honorum feracitatem vitale ac fecundum est, id non modo relinquit, sed etiam exsuscitat, ac fecundius reddit: dum nempe ostentationem, quam humanæ gloriæ cupidi et appetentes faciunt, funditus evellit, eam autem, quæ Deum solum intuetur, studiosissime appeti merito permittit.

φησί· « Προσέχετε τὴν δικαιοσύνην ὑμῶν μὴ ποιεῖν ἔμπροσθεν τῶν ἀνθρώπων πρὸς τὸ θεαθῆναι αὐτοῖς· εἰ δὲ μή γε, μισθὸν οὐκ ἔχετε παρὰ τῷ Πατρὶ ὑμῶν τῷ ἐν τοῖς οὐρανοῖς. » Ἐπειδὴ γὰρ ἤδει ἅτε ποιητὴς ὢν καὶ δημιουργὸς, καλῶς ἐξ ἀρχῆς ἐμπεφυτευμένα τοῖς ἀνθρώποις τὰ τῆς φιλοτιμίας σπέρματα, οὐχ ἁπλῶς, οὐδ' εἰκῇ, ἀλλ' ἵνα διάπυροι τῆς τιμῆς τυγχάνοντες ἐρασταὶ ὦμεν πρὸς τὸ βέλτιον ἐπιδοῖεν, κάλλιστον κεκτημένοι φυλακτήριον, πρὸς τὸ μὴ δουλεύειν τοῖς ἀνελευθέροις πάθεσι, τὸν τῆς δόξης πόθον· μετοχετεύσαντας δὲ πρὸς τοὐναντίον τὸ ἔμφυτον δῶρον, καὶ πρὸς τὴν γηΐνην τιμὴν τραπέντας, λήθη τῆς οὐρανίου, πάλιν ὥσπερ ἄριστος γεωργὸς ἐπιμελόμενος τῆς ψυχῆς, τὰς μὲν πρὸς τὸ χεῖρον βλάστας ἐκκόπτει, καὶ τῶν κακίστων πρὸς τὴν ἀνθρωπίνην δοξομανίαν δεινῶς ὑλομανοῦσαν ἐπέχει τὴν φοράν· ὅσον δὲ αὐτῆς ἡμερόν τε καὶ γόνιμον πρὸς τὴν τῶν ὑπερκοσμίων τιμῶν καρποφορίαν, οὐ μόνον ὑπολείπεται, ἀλλὰ καὶ ζωπυρεῖ, καὶ γονιμώτερον κατασκευάζει, τὴν μὲν ἐπίδειξιν, ἣν οἱ τῆς ἀνθρωπίνης ὀρεγόμενοι δόξης ποιοῦνται, αὐτόπρεμνον ἀνασπάσας, τὴν δὲ πρὸς Θεὸν μόνον ὁρῶσαν, εἰκότως κατὰ κράτος φιλοτιμεῖσθαι ἐπιτρέψας.

XXXV. — HIERACI PRESBYTERO.

Aut magis, aut certe non minus, quam tibi, id nobis curæ fuit, ut quantum in nobis esset, Chæremon et Zosimus et Maro resipiscerent, ac meliore mente recepta, probro et dedecore se liberarent. Quoniam autem, ut apparet, in pene insuperabilem improbitatem prolapsi, nondum ex ea emergere C animum induxerunt (quo etiam nomine a nonnullis quidem, ut ex ea quandoque emersuri, atque ad meliorem mentem redituri lugentur, a nonnullis rursum ut in indolentiam pervoluti pro desperatis habiti ac relicti sunt), operam certe rursum dabimus, ne, quod nostrarum partium est, ulla ex parte desi leretur. Sic enim fortasse fiet, ut tandem aliquando resipiscant, atque cum virtute (cui cum inexpiabile bellum gerere non verentur, id unum pro serio opere habentes, cætera autem velut obiter ac defunctorie agentes) in gratiam redeant.

ΛΕ'. — ΙΕΡΑΚΙ ΠΡΕΣΒΥΤΕΡΩ.

Ἢ (11) μᾶλλον, ἢ οὐχ ἧττον τῆς σῆς μεγαλονοίας ἐφροντίσαμεν, ὅπως τό γε ἡμέτερον μέρος, Χαιρήμων τε καὶ Ζώσιμος καὶ Μάρων μεταγνοῖεν, καὶ ἀμείνονα γνώμην ἀναλαβόντες, ἀπαλλαγεῖεν τῆς αἰσχύνης. Ἐπειδὴ δὲ ὡς ἔοικεν, εἰς ἀνανταγώνιστον ἐκπεπτωκότες κακίαν, οὐδέπω ἀνενεγκεῖν ἠβουλήθησαν· διὸ καὶ παρά τινων μὲν, ὡς ταύτῃ ἀνανήψαντες, καταθρηνοῦνται, παρά τινων δ' ἀπηγορεύθησαν, ὡς εἰς ἀναλγησίαν ἐξοκείλαντες· ἀλλ' οὖν γε πάλιν οὐδὲν ἐλλείψει τῶν εἰς ἡμᾶς ἡκόντων, τάχα πως κἂν ὀψέ ποτε γνωσιμαχήσαντες, σπείσονται πρὸς τὴν ἀρετὴν, ἢ ἀκηρύκτως πολεμεῖν οὐκ αἰσχύνονται. Τοῦτο μὲν ἔργον, τὰ δ' ἄλλα νομίζοντες εἶναι πάρεργα

XXXVI. — CHÆREMONI, ZOSIMO, MARONI, EUSTATHIO.

Si ad ea perpetranda, quæ perpetratis, ea vos D causa impellit, quod judicium haudquaquam exspectetis, illud sciatis oportet, improbitatem, etiamsi nullum aliud supplicium accedat, supplicium per se esse: virtutem contra, etiam citra coronas coronam esse. Ac quidem maxime, ex his quoque qui scelerum pœnas in hac vita pependerunt, futuri judicii dogma fidem nanciscitur, verumqué est, atque apud omnes certum et indubitatum. Quod si vos improbitas in tantam amentiam præcipites egit, ut hoc ex animis vestris deleveritis: at certe (ut illud

ΛΣ'. — ΧΑΙΡΗΜΩΝΙ, ΖΩΣΙΜΩ, ΜΑΡΩΝΙ, ΕΥΣΤΑΘΙΩ.

Εἰ κρίσιν μὴ προσδοκῶντες, ὁρᾶτε ἃ ὁρᾶτε, ἀλλὰ τοῦτ' εἰδέναι ὀφείλετε, ὅτι ἡ μὲν κακία, καὶ χωρὶς ἑτέρας κολάσεως, κόλασίς ἐστιν· ἡ δ' ἀρετὴ, καὶ δίχα στεφάνων, στέφανος. Μάλιστα μὲν γὰρ κἀκ τῶν κἀνταῦθα κολασθέντων, ὁ περὶ τῆς μελλούσης κρίσεως λόγος ἀξιόπιστός ἐστι καὶ ἀληθὴς, καὶ παρὰ πάντων ὁμολογούμενος. Εἰ δὲ εἰς τοσαύτην ὑμᾶς ἡ κακία φρενοβλάβειαν ἐξεβάκχευσεν, ὡς τοῦτον ἐκ τῆς ὑμετέρας γνώμης ἀνελεῖν· ἀλλ' οὖν γε ἵνα παρῶ τὸ πολλοὺς κἀνταῦθα δεδωκέναι δίκην, μὴ μικρὰν εἶναι νομίσητε κόλασιν, τὸ ἐνταῦθα παρὰ πάντων κωμῳ-

[61] Matth. VI, 1.

VARIÆ LECTIONES ET NOTÆ.

(11) Abest Ἢ a cod. Vatic. 649, tamen id Alt. exhibet, et videtur retinendum. Possin.

Digitized by Google

δεῖσθαι καὶ μισεῖσθαι, μηδὲ μικρὸν στέφανον, τὸ εὐσχημόνως καὶ σεμνῶς, καὶ μετ' ἐγκωμίων τὸν ἐνταῦθα διανύσαι βίον.

A omittam, multos hic quoque pœnas dedisse) ne leve esse supplicium existimetis, hic ab omnibus suggillari atque odio haberi : nec rursum exiguam coronam, graviter et honeste atque cum laude curriculum vitæ confecisse.

ΛΖ'. — ΑΡΠΟΚΡΑ ΣΟΦΙΣΤΗ.

Ἀτοπώτατον εἶναί μοι φαίνεται, τὸ ἐκείνων μὲν ἐν οἷς διηνέχθησαν οἵ τ' ἔξωθεν σοφοὶ καὶ αἱ ἱεραὶ Γραφαί, πολὺν ποιεῖσθαι λόγον· ἐν οἷς δὲ συνήχθησαν, ὀλίγον. Ὁ μὲν γὰρ τῆς κρίσεως λόγος καὶ εὔλογος ὢν καὶ δίκαιος, καὶ λογικοῖς πρέπων, καὶ παρ' ἡμῶν καὶ παρ' ἐκείνων ὁμολογούμενος, ὀλίγους δή τινας ἐπισπᾶται εἰς τὸ τὰ δέοντα πράττειν. Οἱ γὰρ πολλοί (καὶ μή τις θυμοῦ τὸ λεγόμενον εἶναι νομιζέτω) ὡς μήτε κρίσεως οὔσης, μήτε προνοίας ἐφεστώσης καὶ καθορώσης τὰ δρώμενα, καθάπερ ἐν ἀσελήνῳ νυκτὶ δρῶσιν ἃ δρῶσιν. Ὁ δ' ἀμφισβητήσιμος καίτοι ἀπίθανος ὢν τοὺς πολλοὺς χειροῦται. Πολιτείας μὲν γὰρ ἀκριβοῦς ὀλιγωροῦσι, τὴν δὲ γλῶτταν ὑπὲρ τὸ δέον θήγουσι, καὶ σωφροσύνης μὲν αὐτοῖς λόγος οὐδείς· περὶ δὲ ὕλης ἀγεννήτου, καὶ ἄλλων τινῶν φλυαροῦσιν, ἃ μήτε γινωσκόμενα μέγα τι εἰς σωτηρίαν συντελεῖ, μήτ' ἀγνοούμενα καταβλάπτει τοὺς μὴ πεπαιδευμένους. Μανθανέτωσαν οὖν πρῶτον τὸν παρά τε ἡμῶν καὶ αὐτῶν ὁμολογούμενον τῆς κρίσεως λόγον ἀνακινεῖν, καὶ βίου ὀρθοῦ ἔχεσθαι· ἀτοπώτατον γὰρ τὸ μὲν ἐν οἷς συνέβησαν, σιωπᾷν (12)· τὰ δ' ἐν οἷς διενέχθησαν, ἄνω καὶ κάτω θρυλλεῖν.

XXXVII. — HARPOCRÆ SOPHISTÆ.

Absurdissimum, meo quidem judicio, illud est, eorum quidem, in quibus externi sapientes et sacræ Scripturæ inter se dissident, magnam rationem habere : eorum autem, **272** in quibus consentiunt, exiguam. Etenim Judicii extremi dogma, tametsi et rationi consentaneum, et justum, et rationi præditis congruens, atque a nobis et ab ipsis confessum ac receptum sit, tamen paucos admodum inducit, ut ea, quæ officii ratio postulat, faciant. Plerique enim (nec vero me quisquam iracundia commotum hæc dicere arbitretur) non secus ac si nec judicium futurum sit, nec providentia ulla rebus præsit, atque humanas actiones conspiciat, velut in densissimis noctis tenebris ea faciunt, quæ faciunt. At vero dubium et controversum dogma, quamvis probabilitate carens, permultos tamen expugnat. Etenim optimam quidem et accuratam vivendi rationem contemnunt ac pro nihilo ducunt : linguam autem supra quam par sit, acuunt. Ac temperantiam quidem nihil omnino curant : de increata autem materia, nonnullisque aliis nugantur, quæ nec cognita magnum aliquod ad virtutem adjumentum afferunt : nec ignorata, eos, qui in his rebus haudquaquam eruditi sunt, detrimento ullo afficiunt. Primum igitur discant, judicii dogma, quod et apud nos et apud illos extra controversiam est, discutere, ac rectam vitam amplecti. Absurdissimum enim est illud, de quo inter utrosque convenit, tacere : ea autem, de quibus inter se dissenserunt, sursum deorsumque jactare, ac de iis perpetuo garrire.

B

ΛΗ'. — ΣΕΡΙΝΩ.

Ἐν τοῖς κοινοῖς καὶ ἀνηκέστοις κακοῖς κλῆρον οὐκ ἔχει ὁ οἶκτος. Πάντες γὰρ τὰ οἰκεῖα στένοντες πάθη, σχολὴν οὐκ ἄγουσι τοὺς πέλας ἐλεεῖν.

C

XXXVIII. — SERENO.

In publicis et gravissimis malis commiserationi locus non est. Omnes enim privatas calamitates deplorantes, non tantum otii habent, ut ipsis alienas miserias luctu ac lamentis prosequi vacet.

ΛΘ'. — ΧΑΙΡΗΜΟΝΙ ΔΙΑΚΟΝΩ.

Τὸν ἀναγῆ οὐ φημι περὶ δογμάτων, ἀλλ' οὐδὲ περὶ ἄλλου τινὸς χρῆναι ἀνοίγειν στόμα, ἕως ἂν δι' εἰλικρινοῦς μετανοίας καθαρθείη· εἰ γὰρ τῷ ἁμαρτωλῷ εἶπεν ὁ Θεός· « Ἵνατί σὺ διηγῇ τὰ δικαιώματά μου; » πολλῷ μᾶλλον τὸν οὕτω διακείμενον, καὶ τὰ δόγματα ἐρευνᾷν τολμῶντα ἐπεστόμισε. Τοσοῦτον γὰρ τὰ δόγματα τῶν δικαιωμάτων ἐστὶν ἀνώτερα, ὅσον οὐρανὸς γῆς, καὶ ψυχὴ σώματος. Πέπαυσο τοίνυν τῷ βίῳ μὲν ἡττώμενος, περὶ δὲ δογμάτων ἀμιλλώμενος· ἵνα μὴ καὶ τῷ δόγματι ἥττων προξενήσῃς. Εἰώθασι γὰρ πολλοὶ ἀπὸ τῆς τῶν λεγόντων δόξης τοῖς λεγομένοις ψηφίζεσθαι (13).

D

XXXIX. — CHÆREMONI DIACONO.

Impurum ac sceleratum hominem nego, non modo de fidei doctrina, sed etiam de ulla re alia os aperire debere, quoad per sinceram pœnitentiam animi maculas absterserit. Nam cum peccatori dixerit Deus : « Quare tu enarras justitias meas [14] ? » multo certe ei, qui animo ita constitutus est, ac fidei dogmata perscrutari non veretur, silentium indixit. Tanto enim dogmata justificationibus sublimiora sunt, quanto cœlum terra, et anima corpore. Quocirca cum vitæ integritas tibi desit, de fidei dogmatibus certamen instituere desine : ne alioqui, ut dogma quoque superetur, in causa sis. Solent enim complures ab eorum, qui loquuntur, existimatione, de iis, quæ dicuntur, sententiam ferre.

[14] Psal. XLIX, 16.

VARIÆ LECTIONES ET NOTÆ.

(12) Similem sententiam habet inf. lib. IV, ep. 16. Rttt.

(13) Nimirum non tam quid dicatur, quam quis dicat, attendientes. Ita fit, ut una eademque oratio

Digitized by Google

XL. — THEODORO SCHOLASTICO.

Frater quidem tuus, vir eximie, ob mores in admiratione est; tu ob sermonem: ille ob animi integritatem; tu ob linguæ facundiam: ille ob morum moderationem; tu ob verborum fastum ac tumorem: **273** ille, ut fructu scatens; tu, ut foliis abundans. Quamobrem si ita est, fratrem tuum imitare, ut utroque nomine laudem et gloriam consequaris. Neque enim tam tuis ille, quam tu ipsius dotibus opus habes.

XLI. — EIDEM.

Quidam te ob ingenii acumen ac dicendi facultatem admirantes, ut contentiosum atque ad audiendum difficilem et morosum accusant. Nam cum ad inferiores te demittere debeas, tu contra ne superioribus quidem ac præstantioribus cedis. Quocirca, si res ita se habet, ne eruditionem eam, quæ in te summa est, per animi sinisteritatem atque improbitatem probro ac dedecore affice: verum egregiæ indoli benignitatem, et eloquentiæ morum suavitatem et facilitatem admisce: quo utrinque laudem tibi ac nominis celebritatem concilies.

XLII. — EIDEM.

Eloquentem ego hunc esse statuerim, qui id, quod animo concepit, perspicua oratione demonstrare potest, non qui doctissimis et sublimibus verbis, ea etiam quæ clara et dilucida sunt, obscurat. Ille siquidem, quod latet, in lucem profert: hic, illud etiam quod omnibus perspicuum est, in tenebris occultat. Eoque nomine ille, ut qui auditoribus prodesse cupiat, amplissimis laudibus celebratur: hic contra, ut qui gloriæ suæ cupiditate flagret, honoris ac præmii expers relinquitur.

XLIII. — PAULO.

Haud mirum istud videri debet, quod qui invidiæ facibus inflammantur, ne beneficiis quidem meliores fiunt. Acceptis enim beneficiis magis irritantur, quia sibi benignitate opus esse agnoscunt.

XLIV. — SERAPIONI EPISCOPO.

Quandoquidem demonstrationum rerum obscurarum duplex principium est (omnis enim demonstratio et confirmatio vel a sensu, vel a perspicua consideratione initium ducit), mihique aut horum altero, aut etiam utroque ad sedandam tuam iracundiam, e medio, ut ipse scripsisti, pectore ferventem, uti necesse est: sunt autem judicia ea,

Μ'. — ΘΕΟΔΩΡΩ ΣΧΟΛΑΣΤΙΚΩ.

Ὁ μὲν ἀδελφός, ὦ θαυμάστε, ὁ σὸς, διὰ τρόπον θαυμάζεται, σὺ δὲ διὰ λόγον· ἐκεῖνος δι' ὀρθότητα γνώμης, σὺ δὲ διὰ δεινότητα γλώττης· ἐκεῖνος διὰ μετριότητα ἤθους, σὺ δὲ διὰ φράσεως ὄγκον· ἐκεῖνος ὡς καρπῷ βρύων, σὺ δ' ὡς φύλλοις κομῶν. Εἰ τοίνυν τοῦθ' οὕτως ἔχει, ζήλου τὸν σαυτοῦ ἀδελφόν, ἵνα κατ' ἄμφω εὐδόκιμος εἶῃς. Οὐ γὰρ τοσοῦτον ἐκεῖνος τῶν σῶν, ὅσον σὺ τῶν ἐκείνου, χρῄζεις πλεονεκτημάτων.

ΜΑ'. — ΤΩ ΑΥΤΩ.

Θαυμάζοντές σέ τινες δι' ὀξύτητα νοῦ, καὶ γλώττης δεινότητα, γράφονται ὡς δύσερίν καὶ δυσπρόσιτον καὶ δύσκολον. Δέον γὰρ τοῖς ὑποδεεστέροις συγκατιέναι, οὐδὲ τοῖς κρείττοσι παραχωρεῖς. Οὐκοῦν εἰ ταῦθ' οὕτως ἔχει, μὴ καθύβριζε τὴν ἀρίστην παίδευσιν τῇ τῆς γνώμης σκαιότητι· ἀλλὰ κίρνα τῇ εὐφυΐᾳ τὴν εὐμένειαν, καὶ τῇ τῶν λόγων δεινότητι τὴν τῶν τρόπων ἡμερότητα, ἵνα ἑκατέρωθεν ἀοίδιμος γένοιο.

ΜΒ'. — ΤΩ ΑΥΤΩ.

Σοφὸν τῷ λόγῳ ἔγωγε ὁριοίμην, τὸν σαφῶς παραστῆσαι δυνάμενον τὸ νοηθὲν, οὐ τὸν ὑπερσόφοις καὶ ὑψηλαῖς λέξεσι καὶ τὰ σαφῆ ἐπισκιάζοντα. Ὁ μὲν γὰρ τὸ λελησθὸς εἰς φῶς ἄγει· ὁ δὲ καὶ τὸ πᾶσι δῆλον ἐν σκότῳ καταχρύπτει. Διὸ ἐκεῖνος μὲν ἅτε τῆς τῶν ἀκροατῶν ὠφελείας ἐφιέμενος, πολυύμνητος· οὗτος δὲ ἅτε τῆς ἰδίας δόξης ὀρεγόμενος, ἀγέραστος.

ΜΓ'. — ΠΑΥΛΩ.

Θαυμαστὸν οὐδὲν εἰ οἱ φθόνῳ πυρσευόμενοι, οὐδὲ ταῖς εὐεργεσίαις γίνονται βελτίους. Πρὸς γὰρ τὰς χάριτας μᾶλλον παροξύνονται, ἐπειδήπερ συνίσασιν ἑαυτοὺς δεηθέντας χρηστότητος.

ΜΔ'. — ΣΕΡΑΠΙΩΝΙ ΕΠΙΣΚΟΠΩ (14).

Ἐπειδὴ τῶν ἀποδείξεων τῶν ἀφανῶν πραγμάτων ἀρχαὶ δίττα τυγχάνουσιν (ἢ γὰρ ἐξ αἰσθήσεως ἢ ἐκ νοήσεως ἐναργοῦς πᾶσα ἀπόδειξις καὶ πίστις ἄρχεται), κἀμὲ ἀναγκαῖόν ἐστιν, ἢ θατέρῳ τούτων ἢ ἀμφοτέροις κεχρῆσθαι πρὸς τὸ κοιμίσαι σου τὸν θυμὸν, ἐκ μέσης καρδίας, ὡς γέγραφας, ζέοντα· οὐσῶν δὲ τῶν διὰ τοῦ λόγου κρίσεων, οὐχ ἅπασιν

VARIÆ LECTIONES ET NOTÆ.

a diversis hominibus, vel claris vel obscuris, prolata, non eamdem vim habeat, ut est apud sapientissimum Euripidem:

... Λόγος γὰρ ἔκ τ' ἀδεξούντων ἴσον
Καὶ τῶν δοκούντων, αὐτὸς οὐ ταὐτὸν σθένει.

Sic Marcus imp. apud Vulcatium Gallican. in Avidio Cassio: Tyrannorum etiam bona dicta non habent tantum auctoritatis quantum debent. Ritt.

(14) *Σεραπίωνι ἐπισκόπῳ.* Dubito an hic sit ille cujus et amicitia intima usus est Isidorus noster, et hæres exstitit facultatum, quæ tutis duobus vel tribus libris constabant, ut est apud Suidam in *Σαραπίων*. Imo propius est ut fuisse eumdem pernegem. Is enim anachoreta potius et homo perpaucorum hominum fuit, ut ex illa descriptione didicimus, qualis vita episcopo minime convenit. Est et alius Serapion corrector, ad quem alibi Isidorus scribit. Ritt.

Digitized by Google

ἐμοίως εὐπετῶν, οὐδὲ ῥᾳδίων· ἐπειδὴ καὶ συνετὸν εἶναι χρὴ τὸν θηρᾶσαί τι τῶν ἀδήλων βουλόμενον, καὶ γεγυμνάσθαι κατὰ τὴν πρώτην ἡλικίαν ἐν τοῖς ἀκονῶσι τὸν λογισμὸν παιδεύμασιν· ἄμεινον ἀπὸ τῆς πείρας, καὶ τῶν συμβεβηκότων εἰς τὸν Δεσπότην Χριστὸν ἄρξασθαι. Τούτοις γὰρ καὶ οἱ ἀμαθεῖς καὶ οἱ λίαν συνετοὶ παρακολουθῆσαι δύνανται. Τί τοίνυν ἀγανακτεῖς ὅτι Εὐσέβιος, ὁ δοκῶν ἐπίσκοπος, ὡς γέγραφας, μεθύει κατὰ πάσης τῆς Ἐκκλησίας, καὶ τὴν παροινίαν οὐ μόνον κατὰ πάντων, ἀλλὰ κατὰ σοῦ τοῦ πολλάκις αὐτὸν εὐεργετήσαντος προφέρει; Ἀλλὰ μακροθύμει, ὦ φιλότης. Ἀφεὶς γὰρ ἀπὸ λογισμῶν καὶ συλλογισμῶν τοῦτ' ἀποδεῖξαι, ἀπὸ τῶν Δεσποτικῶν παθῶν τὴν ἀπόδειξιν ποιησαίμην. Μάλιστα μὲν γὰρ καὶ τὰ παρὰ τῶν ἀλιτηρίων Ἰουδαίων εἰς αὐτὸν γενόμενα, ἀφόρητα ἦν, καὶ πάσης συγγνώμης μείζονα· πλὴν δεδόσθω φορητὰ εἶναι. Τί ἂν φαίης καὶ περὶ τοῦ ἀλάστορος Ἰούδα, τοῦ εἰς τὸν θεῖον ἐκεῖνον καταριθμηθέντος χορὸν, καὶ εἰς τὸν περὶ τὸν βασιλέα σύλλογον, καὶ κατὰ δαιμόνων, καὶ νοσημάτων, καὶ θανάτου ἐξουσίαν εἰληφότος, καὶ λαμπροῦ οὕτω καὶ περιφανοῦς ἐξ ἀδόξου καὶ ἀφανοῦς γεγενημένου; Οὐχὶ προῦδωκε τὸν τοσούτων αὐτῷ αἴτιον γεγενημένον ἀγαθῶν; Τὸ γὰρ ἀτίθασσον ἐκεῖνο θηρίον (οὕτω γὰρ καλεῖν θέμις τοὺς μηδὲ εὐεργεσίαις ἀμείνους γινομένους) τῆς τοῦ Σωτῆρος ὑπερεμπλησθὲν ἀνεξικακίας, κατ' αὐτοῦ τὸν κόρον ἤνεγκε. Ταύταις τοιγαροῦν ταῖς ἐπῳδαῖς πραῦνειν πειρῶ καὶ τιθασσεύειν τὸ πῦρ τῆς ὀργῆς· εἴκει γὰρ τοῖς ταῦτα κατεπᾴδουσιν.

A quæ per rationis opem fiunt, haud æque omnibus prona et facilia (propterea quod et prudentem ac sagacem eum esse oportet, qui aliquid obscuri venari vult, et in his disciplinis, quæ mentem acuunt, diu multumque in prima ætate versatum esse); idcirco satius fuerit, ab ipso experimento, iisque quæ Domino Christo contigerunt, exordiri. Hæc enim et rudes atque imperiti, et perquam ingeniosi et sagaces interjecta assequi poterunt. Quid igitur eo nomine indignaris, quod Eusebius, qui episcopi speciem gerit, ut scripsisti, adversus universam Ecclesiam debacchans, **274** suamque temulentiam et contumeliam non modo adversus alios omnes, sed etiam adversum te, a quo persæpe beneficiis affectus est, profert? Verum, o amice, lenem animum præsta. Ut enim rationes atque argumenta B omittam, quibus id tibi faciendum demonstrem, a Domini cruciatibus id probare conabor. Maxime enim ea quoque, quæ ipsi a sacrilegis et exsecrandis Judæis acciderunt, intoleranda erant, atque ejusmodi, quæ veniam omnem excederent. Verum demus ea tolerabilia fuisse. Quid autem de impio illo ac nefario Juda dixeris, qui in sacrosanctum illum chorum, et in Regis collegium aggregatus fuerat, atque adversus dæmones, et morbos, et mortem potestatem acceperat, et ex obscuro atque ignobili tam clarus et illustris exstiterat? Annon eum, qui tot bonorum ipsi causam præbuerat, prodidit? Effera enim illa bellua (sic enim eos appellare fas est, qui ne beneficiis quidem meliores redduntur), Salvatoris lenitate ac patientia saturata, adversus eum petulanter impetum fecit. His igitur velut incantationibus iracundiæ ignem lenire ac mitigare stude: iis enim, qui hæc accinunt, cedit.

ΜΕ'. — ΩΡΙΩΝΙ ΜΟΝΑΖΟΝΤΙ.

Κανόνα σε φιλίας εὐθύτατον λέγων τίς οὐκ ἂν διαμάρτοι τῆς ἀληθείας. Ἁπλοῦς γὰρ εἶ τὴν γλῶτταν, ἁπλούστερος δὲ τὴν γνώμην, ἁπλούστατος δὲ τὸν βίον.

XLV. — ORIONI MONACHO.

C Rectissimam amicitiæ normam si quispiam te esse dixerit, a vero haudquaquam aberrarit. Lingua enim simplex es, animo simplicior, vita et moribus simplicissimus.

ΜϚ'. — ΛΑΜΠΕΤΙΩ ΕΠΙΣΚΟΠΩ.

Διὰ τί ὁ νόμος τοὺς λεπρῶντας, ἢ ἑτέρους νοσήματα ἀκούσια νοσοῦντας, ἔξω εἶναι τῶν ἱερῶν περιβόλων προσέταξεν.

Τὴν ἀκρασίαν τῶν γονέων κολάζων ὁ νομοθέτης, ὦ σοφώτατε (πολλοὶ γὰρ οὐκέτι καθαιρομέναις ταῖς γυναιξὶν ὁμιλοῦσιν, ἡδονῆς μόνης, ἀλλ' οὐ παιδοποιίας ἕνεκεν νομίζοντες πεπλάσθαι τὴν γυναῖκα), ἱερῶν περιβόλων ἀπεῖρξε τοὺς ἐκ συνουσιῶν οὐ καθαρῶν τικτομένους, ἵν' εἰ μὴ ἑκόντες, ἄκοντες γοῦν σωφρονοῖεν (15), καὶ σεμνῶς βιοῦν ἑαυτοὺς ἀναγκάσειαν, ὡς τῆς τιμωρίας εἰς τοὺς ἐξ αὐτῶν τεχθησομένους βαδιουμένης. Τί γὰρ ἂν γένοιτο τοῖς τοκεῦσιν ἀλγεινότερον (16) τοῦ τοὺς παῖδας, οὓς εὔχονται εὐδοκιμωτέρους καὶ λαμπροτέρους ἑαυτῶν ἰδεῖν, θεάσασθαι μήτε κοινῶν, μήτε ἱερῶν συνόδων μετ-

XLVI. — LAMPETIO EPISCOPO.

Cur lex leprosos, et alios involuntariis morbis laborantes, extra sacra sepia esse præceperit.

Parentum intemperantiam et lasciviam coercens legislator (multi enim cum mulieribus nondum purgatis congrediuntur, perinde atque voluptatis tantum, ac non procreandæ sobolis causa effictam fuisse mulierem existiment), eos, qui in impuro D concubitu gignuntur, templi aditu prohibuit: ut si non sponte, ac certe inviti et coacti temperantes se præberent, ac sibi ipsis honeste casteque vivendi necessitatem imponerent: quod alioqui pœna ad eos, quos in lucem edituri essent, grassaretur. Quid enim parentibus gravius et acerbius accidere queat, quam ut filios suos, quos etiam seipsis

VARIÆ LECTIONES ET NOTÆ.

(15) Pro σωφρονοῖεν ambo sæpe laudati codd. scribunt σωφρονεῖν. Possin.

(16) Confer ep. 117 et 141 libri IV, ubi plura de hoc communi voto parentum dicam. Vide et supra libri II ep. 81. Rittr.

Digitized by Google

clariores et illustriores videre votis omnibus exoptant, ea conditione esse conspiciant, ut nec ad communes ac profanos, nec ad sacros conventus admittantur? Hanc igitur ipsis necessariam e vestigio pœnam intulit, ut pœnæ metu libidinosam intemperantiam coercerent. Nam corpora ea, quæ ex impuro sanguine finguntur, hujusmodi morbis obnoxia sunt. Quin multi aliam quoque etiam in hac vita pœnam, partim aperte, partim occulte luunt: atque item in futura prorsus luent. **275** Neque enim is, qui eos etiam, qui ex ipsis orti sunt, ob parentum lasciviam ignominia et dedecore affecit, illos ipsos qui deliquerunt impunitos abire sinet.

A ἔχοντας; Ταύτην μὲν οὖν ἀναγκαίαν αὐτοῖς καὶ πρὸ πόλλ' ἐπήγαγε τὴν δίκην, ἵνα φόβῳ τῆς τιμωρίας τὴν ἀκολασίαν κολάζωσι· τὰ γὰρ ἐξ ἀκαθάρτου αἵματος πλαττόμενα σώματα, ταῖς τοιαύταις νόσοις εὐάλωτα. Πολλοὶ δὲ καὶ ἄλλην κἀνταῦθα δεδώκασι δίκην, οἱ μὲν σαφῶς, οἱ δὲ λελη θότως. κἀκεῖ δὲ πάντως δώσουσιν. Οὐ γὰρ ἂν τοὺς ἐξ αὐτῶν φύντας ἀτιμάσας διὰ τὴν τῶν γονέων ἀκρασίαν, αὐτοὺς τοὺς πλημμελήσαντας ἀτιμωρήτους ἀφῆσει.

XLVII. — EIDEM.

Si iis, qui vitæ consuetudinem cum Eusebio habent, duorum alterum necesse est, nimirum ut vel in ipsius offensionem atque odium incurrant, aut intemperantiæ ipsius socii ac participes sint (siquidem graves et temperantes extrudit, eos autem qui petulanter atque inhoneste se gerere norunt, charos habet), auctor tibi fuerim ut ipsius consuetudinem et contubernium fugias, ne pestilentem morbum contrahas.

ΜΖ'. — ΤΩ ΑΥΤΩ.

B Εἰ ἀνάγκη τοῖς συνοῦσιν Εὐσεβίῳ, δυοῖν θάτερον συμπεσεῖν, ἢ μεμισῆσθαι, ἢ μετέχειν τῆς ἀκρασίας· ἐπειδὴ τοὺς μὲν σώφρονας ἀπελαύνει, τοὺς δ' εἰδότας ἀσχημονεῖν, ἀγαπᾷ· παραινέσαιμί σοι φεύγειν τὴν τῶν αὐτῶν διατριβήν (17), μὴ λοιμικοῦ νοσήματος παραπολαύσῃς.

XLVIII. — EIDEM.

Eum, o modestiæ nativum simulacrum, haudquaquam laudo, qui in privata quidem vita perquam submissum et humilem se præbet, in imperio autem ac magistratu majora quam pro naturæ humanæ conditione, opinionis errore sibi fingat (ignavi enim profecto atque ingenerosi et plebeii hoc C esse existimo): verum eum, qui, cum in privatorum numero est, sublimem et excelsum, cum autem præsul creatus est, facilem se ac modestum præstat, morbosque utrique rei insidiantes vitat, illi nimirum humilitatem, huic autem superbiam.

ΜΗ'. — Τῷ ΑΥΤΩ.

Οὐκ ἀποδέχομαι, ὦ μετριοφροσύνης αὐτόξεστον ἄγαλμα, τὸν ἐν μὲν τῷ ἰδιωτεύειν ταπεινὸν ἄγαν φαινόμενον, ἐν δὲ τῷ ἄρχειν μείζονα τῆς ἀνθρωπίνης φύσεως φανταζόμενον· ἀγεννοῦς γὰρ καὶ ἀνάνδρου καὶ ἰδιωτικῆς τῷ ὄντι τοῦθ' ἡγοῦμαι ψυχῆς εἶναι τεκμήριον· ἀλλ' ἰδιώτης μὲν ὢν, ὑψηλὸς τυγχάνοι· ἄρχων δ' ἀποφανθείς, ἐπιεικὴς καὶ μέτριος, καὶ τὰ ἑφεδρεύοντα ἑκατέρῳ πράγματι νοσήματα διαφύγοι, οὗ μὲν τὴν ταπεινότητα, οὗ δὲ (18) τὴν ὑπερηφάνειαν.

XLIX. — PALLADIO.

Cum a vitio abstinueris, tum de virtute quoque considerationem abs te iniri æquum fuerit. Si enim illud propulsaris, tum etiam quodnam virtutis genus arripere debeas, considerare licebit. Priusquam autem fundamenta recte jacta sint, de fine atque fastigio verba facere supervacaneum esse judico.

ΜΘ'. — ΠΑΛΛΑΔΙΩ.

Ὅταν τῆς κακίας ἀπόσχοιο, τότε καὶ περὶ ἀρετῆς σκοπεῖν ἂν εἴης δίκαιος. Ἐὰν γὰρ ἐκείνην ἀποτρίψαιο, τότε καὶ περὶ τοῦ τίνα τρόπον ἀρετῆς ἀντιλάβοιο, ἐξέσται σκοπεῖν. Πρὶν δὲ τὴν ἀρχὴν καὶ τὴν χρηπῖδα ὀρθῶς ὑποθέσθαι, περιττὸν ἡγοῦμαι περὶ τῆς τελευτῆς καὶ τῆς κορωνίδος διεξελθεῖν (19).

L. — THEODORO AUGUSTALIO.

Etiamsi quispiam rex sit, atque opibus circumfluat, ac voluptatibus cumuletur, invictamque potentiam obtinens ab omnibus laudetur beatusque prædicetur, ut qui omnibus (quæ bona existimantur) abundet: tamen et quid paulo ante, et quid aliquanto post futurus sit, animo volvere, ac non in contumeliam et insolentiam efferri debet. Quod si hæc omnia in unum coire nequeant (neque enim opibus prorsus voluptas quoque adjuncta est, bellis nimirum animorum oblectamento labem afferenti-

Ν'. — ΘΕΟΔΩΡΩ ΑΥΓΟΥΣΤΑΛΙΩ.

D Εἰ καὶ βασιλεύς τις εἴη, καὶ περιῤῥέοντα ἔχοι τὸν πλοῦτον, καὶ εὐφροσύνης ἔμπλεως ᾖ, ἄμαχόν τε κεκτημένος τὴν δύναμιν παρὰ πάντων ἐπαινοῖτο καὶ μακαρίζοιτο, ἅτε πᾶσι τοῖς δοκοῦσιν ἀγαθοῖς κεκομῶν, τὸ πρὸ βραχέος, καὶ τὸ μετὰ βραχὺ ἐννοῆσαι ἂν εἴη δίκαιος, καὶ μὴ πρὸς ὕβριν ἐπαίρεσθαι. Εἰ δ' οὐ δυνατὸν ταῦτα πάντα συνελθεῖν· οὐ γὰρ τῷ πλούτῳ πάντως καὶ εὐφροσύνη πρόσεστι, πολέμων ἔσθ' ὅτε λυμαινομένων τῇ ἀνέσει, οὐδ' εἰ θυμηδία καὶ πλοῦτος συνδράμοιεν, ἀσφάλεια προσέστω, τῶν

VARIÆ LECTIONES ET NOTÆ.

(17) Pro his, τὴν τῶν αὐτῶν διατριβήν, duo modo memorati codd. legunt τὴν σὴν αὐτῷ διατριβήν. Videtur legendum τὴν σὺν αὐτῷ, etc. Possin.

(18) Pro οὗ μὲν et οὗ δὲ codd. Vat. 649 et Alt. habent τοῦ μὲν et τοῦ δὲ. Ib.

(19) Sententia Demosthenis et Quintiliani. Ritt.

Digitized by Google

ἐν τέλει τινὸς τυραννίδα μελετῶντος. Ὡς τὰ πολλὰ γὰρ ἢ ἔνδοθεν φύονται ἐπιβουλαὶ, ἢ ἔξωθεν ἀναῤῥιπίζονται πόλεμοι· δι' ἣν αἰτίαν ἀφ' ἑνὸς τῶν δοκούντων ἀγαθῶν εἰς ὑπεροψίαν χωροῦμεν, καὶ κατὰ πάντων φρονοῦμεν;

A bus, nec si animi jucunditas et divitiæ in unum concurrant, securitas accedet, quod fortasse quispiam ex primariis viris maximaque dignitate præditis tyrannidem meditetur. Ut plurimum enim aut intestinæ insidiæ oriuntur, aut externa bella excitantur), quid est quamobrem ob unum duntaxat ex iis quæ speciem tantum boni habent, in superbiam ruimus, atque adversus omnes insolescimus?

ΝΑ'. — ΠΑΥΛΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Τό· « Πῶς ᾄσομεν τὴν ᾠδὴν Κυρίου ἐπὶ γῆς ἀλλοτρίας; » διττήν μοι δοκεῖ ἔχειν τὴν ἑρμηνείαν. Μάλιστα μὲν ἐπειδὴ μὴ ἐξῆν ἔξω τῆς Ἱερουσαλὴμ, μήτε Πάσχα ποιεῖν, μήτε τὰς ἄλλας ἑορτὰς· διὸ καὶ ἐνεκαλοῦντό τινες, ὡς ἀναγνόντες ἔξω νόμου (20)· ἔπειτα δὲ ἐπειδὴ καὶ ἔσβεστο αὐτῶν ἡ παῤῥησία ἀπὸ τῆς αἰχμαλωσίας, ἔφασκον· Πῶς δυνάμεθα τὰ ἐπὶ τῆς Αἰγύπτου, καὶ τῆς ἐρήμου, καὶ τῆς Παλαιστίνης γεγενημένα θαυμάσια, τά τε κατ' Αἰθιόπων, καὶ κατὰ τοῦ Ἀσσυρίου, ὅτε καὶ ἑκατὸν ὀγδοηκονταπέντε χιλιάδες ἄνευ πολέμου καὶ μάχης ἀνῃρέθησαν, διηγήσασθαι, ἀπιστούμενοι δι' ὧν νῦν ἁλόντες ἐν αἰχμαλωσίᾳ διατρίβομεν; Ἐπειδὴ γὰρ τὰ πράγματα ἀφῄρητο τῶν λόγων τὴν παῤῥησίαν, ὠνειδίζοντο γὰρ ὡς μάτην αὐχοῦντες τὰς εὐεργεσίας, ἔργοις δ' ἐλεγχόμενοι, μονονουχὶ ἔλεγον, ὅπερ καὶ οἱ παῖδες οἱ τρεῖς ἐν τῇ καμίνῳ· « Οὐκ ἔστιν ἡμῖν ἀνοῖξαι στόμα. » Τουτέστιν, Οὐ δυνάμεθα παῤῥησιάσασθαι ἐπὶ τοῖς ἀρχαίοις σεμνολογήμασιν, αἰσχύνη καὶ ὄνειδος ἐγενήθη τοῖς δοῦλοίς σου. Ἡ γὰρ συμφορὰ ἔσβεσε τὴν παῤῥησίαν. Διὸ καὶ ὀνειδιζόμενοι, ἄφωνοι διαμένομεν. Οὐ γὰρ πιστευθησόμεθα ἄδοντες μὲν τὰ τρόπαια, τεταπεινωμένοι δὲ καὶ δουλεύοντες.

276 LI. — PAULO PRESBYTERO.

Locus hic, « Quomodo cantabimus canticum Domini in terra aliena [22]? » duplici modo mihi exponi posse videtur. Primum enim ac præsertim, quia extra Hierosolymitanam civitatem, nec Pascha, nec alios festos dies celebrari fas erat (unde etiam quidam eo nomine in crimen vocabantur, quod extra eam legem lectitassent); deinde quoniam ob captivitatem libertas ipsorum animique fiducia extincta erat, dicebant: Quonam pacto miracula ea, quæ in Ægypto, et solitudine, ac Palæstina contigerunt, quæque etiam adversus Æthiopes et Assyrios edita sunt (quo tempore centum octoginta quinque millia sine pugna et dimicatione occubuerunt) commemorare possumus, cum, propterea quod nunc in captivitate degamus, fidem vobis minime faciamus? Quoniam enim adversæ eorum res loquendi libertatem ipsis eripiebant (probris enim afficiebantur, ut divina beneficia frustra jactantes, cum rebus ipsis coarguerentur), ideo iisdem pene verbis utebantur, quibus tres illi pueri in fornace: «Non est nobis os aperire [23].» Hoc est, ob vetera decora et ornamenta fidenter ac libere loqui non possumus. Probri atque ignominiæ nota servis tuis insita est. Calamitas quippe verborum libertatem oppressit. Ob idque probris affecti, constanter silemus. Neque enim fidem nanciscemur, triumphos canentes, cum interim prostrati atque abjecti simus, ac servili jugo premamur.

ΝΒ'. — ΗΣΑΙΑ ΣΤΡΑΤΙΩΤΗ.

Μὴ, ἐπειδὴ κατὰ ῥοῦν σοι φέρεται τὰ πράγματα, εἰς ὑπερηφανίαν χωρήσῃς, ὡς οὐδὲν πεισόμενος δεινὸν, ἀλλ' ἐννοῶν ὅτι φιλεῖ εἰς τοὐναντίον τὰ πράγματα μεταχωρεῖν, μέτριον ἔχε τὸ φρόνημα· καὶ μὴ ἔξω τῶν τῆς ἀνθρωπότητος ὅρων χώρει. Δίκη γὰρ ἐφορᾷ τὰ δρώμενα, ἥτις τοὺς κρείττονας κολάσεως ἔσεσθαι ἡγησαμένους, δι' ὧν ἐνόμισαν διαφεύγειν, διὰ τούτων εἰς τιμωρίαν ὑπηγάγετο.

LII. — ISAIÆ MILITI.

Quamvis res tuæ ad voluntatem tuam fluant, ne tamen propterea, tanquam nihil unquam mali perpessurus, in arrogantiam et superbiam prorumpas, verum illud tecum reputans, res in contrarium migrare atque commutari solere, fac modesto animo sis, nec ultra humanæ naturæ fines progrediaris. Vindex enim Numinis vis, ea quæ geruntur inspicit: quæ quidem eos, qui se sublimiores esse, quam ut per ea ipsa, quorum adminiculo pœnam sé vitaturos esse putabant, ad supplicium induxit.

ΝΓ'. — ΛΑΜΠΕΤΙΩ ΕΠΙΣΚΟΠΩ.

Πρὸς Ἐφεσίους· Τί ἐστι τὸ εἰρημένον· «Τὸν νόμον τῶν ἐντολῶν ἐν δόγμασι καταργήσας.»

Πολλὴ τοῦ Εὐαγγελίου πρὸς τὸν νόμον ἡ ὑπεροχή. Ὁ μὲν γὰρ νόμος εἰς τοὺς ὁμοφύλους μόνους συγκλείει τὴν φιλανθρωπίαν· τὸ δ' Εὐαγγέλιον καὶ εἰς τοὺς ἀλλοφύλους ἐπεκτείνει. Καὶ ὁ μὲν τοὺς

LIII. — LAMPETIO EPISCOPO.

Quid sit illud: « Legem mandatorum in doctrinis evacuans [24]. »

Evangelium lege multo præstantius est. Lex enim benignitatem in eos duntaxat, qui ejusdem nationis sunt, concludit: Evangelium autem ad alienas etiam nationes eam porrigit. Illa item amicos charos ha-

[22] Psal. CXXXVI, 4. [23] Dan. III, 33. [24] Ephes. II, 15.

VARIÆ LECTIONES ET NOTÆ.

(20) Codd. simbo Vat. et Alt. νόμου in νόμον mutant. Possin.

Digitized by Google

bere jubet ; hoc ut hostes etiam amemus, monet. Illa quippe, ut pueris, leges imponit ; hoc autem, ut philosophis, excellentia dogmata præscribit. **277** Atque illud est, quod, ut tibi exponerem, postulasti, « Legem mandatorum in doctrinis evacuans. » Evacuavit enim, non evertendo, sed in sublimiori philosophia eam includendo. Siquidem adulterii interdictio sub eo præcepto maxime continetur, quod impudicis oculis mulierem intueri vetat. Atque item non occidere, sub eo includitur, quo irasci prohibemur.

φίλους ἀγαπᾶν παρακελεύεται· τὸ δὲ καὶ τοὺς ἐχθροὺς ἀγαπᾶν προτρέπει. Ἐκεῖνος μὲν γὰρ ὡς παιδίοις νομοθετεῖ, τοῦτο δὲ ὡς φιλοσόφοις δόγματα ὑπερφυῆ ὑποτίθεται. Καὶ τοῦτ' ἔστιν ὃ ἠθέλησας μαθεῖν, « Τὸν νόμον τῶν ἐντολῶν ἐν δόγμασι καταργήσας. » Κατήργησεν, οὐκ ἀνατρέψας, ἀλλὰ τῇ μείζονι φιλοσοφίᾳ ἐμπεριειλημμένος. Τῷ γὰρ μὴ ἰδεῖν ἀκολάστως, καὶ τὸ μὴ μοιχεύειν μάλιστα ἐμπεριέχεται· καὶ τῷ μὴ ὀργισθῆναι, καὶ τὸ μὴ φονεύειν ἐμπεριλαμβάνεται.

LIV. — ZOSIMO PRESBYTERO.

Si nec senectute jam longe provectus, palinodiam canis, quando tandem ad meliorem mentem redibis? Moneat te saltem senectutis vocabulum, quod παρὰ τὸ γῆς ἐρᾶν, hoc est a terræ amore, ductum est. Quamobrem ut corpore jam jamque in terram delapsuro, atque anima in resurrectione acerbissimas cum eo pœnas subitura (vis enim illa ultrix eorum a quibus contempta est cruciatus expetit), resipisce. Quamvis enim ad curanda tot vulnera haud satis temporis habeas, at hoc tamen non exiguam malis illis consolationem tibi afferre queat.

ΝΔ'. — ΖΩΣΙΜΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Εἰ οὐδὲ εἰς γῆρας βαθὺ ἐληλακὼς, παλινῳδίαν ᾄδεις, πότε μετανοήσεις; Αἰδέσθητι κἂν τοὔνομα τοῦ γήρως, ὅπερ εἴρηται παρὰ τὸ γῆς ἐρᾶν (21). Ὡς τοίνυν τοῦ σώματος μὲν εἰς γῆν λοιπὸν ἀναλυθησομένου, τῆς δὲ ψυχῆς ἐν τῇ ἀναστάσει μετὰ αὐτοῦ πικροτάτας ὑποστησομένης τιμωρίας (δικὴ γὰρ ἡ δίκη τὰς κατὰ τῶν καταφρονησάντων αὐτῆς κολάσεις), γνωσιμάχησον. Εἰ γὰρ καὶ καιρὸν οὐκ ἔχεις ἀυτάρκη τὰ τοσαῦτα θεραπεῦσαι τραύματα, ἀλλ' οὖν γε οὐ μικρόν σοι τοῦτο προξενήσει ἐν τοῖς δεινοῖς ἐκείνοις παραμυθίαν.

LV. — PAULO.

Minime quidem puto te deceptum fuisse, verum de industria fucum veritati facere voluisse. Quod si vere deceptus a veritate aberrasti, re cognita, palinodiam cane. Tuus enim frater, honesta et rationi consentanea causa commemorata, ac non simulato prætextu, meliorem mentem induit.

ΝΕ'. — ΠΑΥΛΩ.

Οἶμαι μέν σε μὴ ἠπατῆσθαι, ἀλλ' οἰκοθεν σοφίσασθαι τὴν ἀλήθειαν βεβουλῆσθαι. Εἰ δ' ὄντως ἀπατηθεὶς διήμαρτες τῆς ἀληθείας, μαθὼν παλινῳδίαν ᾄσον. Ὁ γὰρ ἀδελφὸς ὁ σὸς αἰτίαν εὔλογον εἰπὼν, ἀλλ' οὐ πρόφασιν σκιάμενος (22), ἐγνωσιμάχησε.

LVI. — DOROTHEI FILIIS.

Etsi adversarius vester impetum in vos fecit, tanquam per incursionem vos superaturus atque in potestatem redacturus esset, ipse autem captus ac profligatus, a victoria quidem excidit, supplicis autem speciem atque habitum suscepit : at vos tamen lex de supplicibus lata commoveat. Sic enim et firmior vobis victoria, et luculentior gloria futura est.

ΝϚ'. — ΤΟΥ ΔΩΡΟΘΕΟΥ ΠΑΙΣΙΝ.

Εἰ καὶ ὥρμησεν ἐφ' ὑμᾶς ὁ διάδικος, ὡς αἱρήσων ἐξ ἐπιδρομῆς καὶ παρασπησόμενος· ἄλους δὲ, τῆς μὲν νίκης διήμαρτεν, ἱκέτου δὲ σχῆμα ἀνείληφεν· ἀλλ' ὑμεῖς αἰδέσθητε τὸν ἐπὶ τῶν ἱκετῶν νόμον, ἵνα καὶ βεβαιοτέρα ὑμῖν ἡ νίκη, καὶ τὸ κλέος ἀοίδιμον γένηται.

LVII. — ISIDORO SCHOLASTICO.

Vera brevitas cum perspicuitate conjuncta, non in argumentorum prætermissione, sed in earum rerum, quæ ad institutam materiam nihil opis conferunt, rejectione sita est. Ut enim ea, quæ ab orationis argumento aliena sunt, ponere supervacaneum est : ita etiam eorum, quæ ad ipsius confirmationem

ΝΖ'. — ΙΣΙΔΩΡΩ ΣΧΟΛΑΣΤΙΚΩ.

Συντομία ἀληθὴς (24) μετὰ σαφηνείας, οὐχ ἡ τῶν ἀποδείξεων παράλειψις, ἀλλ' ἡ τῶν μηδὲν τῷ προκειμένῳ συμβαλλομένων παραίτησις. Ὥσπερ γὰρ τὰ ἔξωθεν ὑποθέσεως παρέλκον τιθέναι· οὕτως ἀναγκαῖον μηδὲν τῶν πρὸς σύστασιν παραλιμπάνειν. Μὴ τοίνυν μηδ' αὐτὸς, εἰ ἀγωνιστικὸς καὶ ἀποδεικτικὸς

VARIÆ LECTIONES ET NOTÆ.

(21) *Γῆρας, παρὰ τὸ γῆς ἐρᾶν.* Etymologiam hanc non facile alibi legere memini. Ritt.

(22) Σκιάμενος per tertium pluralem inflectit casum solus cod. Vat. 649, scribens σκιαμένοις. Possin.

(23) In titulo codd. Vat. 649 et Alt. τοῦ in τοῖς mutant. Ego utramque lectionem conjungendam puto, et epigraphen ep. integre formandam, τοῖς τοῦ Δωροθέου παισίν. In.

(24) *Συντομία ἀληθής.* Confer Philemonem Comicum, Gregor. Naz. ep. 3, nec non et Plinium in ep. Philemon. ita :

Τὸν μὴ λέγοντα τῶν δεόντων μηδὲ ἓν
Μακρὸν νόμιζε, κἂν δ' ὁ εἰπὼν συλλαβάς.
Τὸν δ' εὖ λέγοντα μὴ νόμιζ' εἶναι μακρὸν,
Μηδ' ἂν σφόδρ' εἴπῃ πολλὰ καὶ πολὺν χρόνον.
Τεκμήριον δὲ τοῦδε τὸν Ὅμηρον λάβε.
Οὗτος γὰρ ἡμῖν μυριάδας ἐπῶν γράφει.
Ἀλλ' οὐδὲ εἷς Ὁμήρου εἴρηνεν μακρός. Ritt.

Digitized by Google

ἐμπέσοι λόγος, αἰτιῶ (25) τὸ μῆκος, ἀλλ' ἐκεῖνο σκόπει, ὅτι σαφηνίσαι ἄλλως οὐχ οἷόν τε ἦν τὸ ζητούμενον, εἰ μὴ πολλῇ περιδρομῇ ἐχρήσατο. Εἰ μὲν γὰρ ἀποφήνασθαι προκέοιτο, σύντομος ἔστω ὁ λόγος· εἰ δὲ ἀποδεῖξαι, ἀνάγκη καὶ εἰς μῆκος μὲν ἐκταθῆναι, πᾶσαν δὲ περιττότητα, καὶ ταυτολογίαν διαφυγεῖν.

A aliquid momenti afferunt, nihil omittere necesse est. Quocirca ne tu quoque, si in pugnacem, atque in argutatricem orationem incidas, prolixitatem accuses: verum illud cogita, non aliter eam, id quod quærebatur, perspicue declarare potuisse, nisi longo verborum ambitu uteretur. Nam si affirmandum duntaxat et pronuntiandum sit, brevis sane atque compendiosa sit oratio. Si autem probandum et demonstrandum, tum vero, ut in longum quidem extendatur, omnem autem redundantiam, atque earumdem rerum repetitionem fugiat, necesse est.

ΝΗ'. — ΑΠΟΛΛΩΝΙΩ ΕΠΙΣΚΟΠΩ.

Πρὸς Ἑβραίους. Ἑρμηνεία εἰς τό· « Ὃς ὢν ἀπαύγασμα τῆς δόξης καὶ χαρακτὴρ τῆς ὑποστάσεως. »

Εἰ μὲν τοῖς ἀνθρωπίνοις πάθεσιν, ὅπερ οὐδ' εἰπεῖν θέμις, κατὰ πάντα ἕψοιτο ὁ τὴν θείαν γέννησιν ὑπογράφων, ἀκοῦσαι ἂν εἴη δίκαιος, ὅτι εἴ σοι πάθος πλάττεται περὶ τὸν τόκον, κἀμοὶ περὶ τὴν κτίσιν. Οὐ γὰρ τὸ κτιζόμενον, εἰ τῇ τῶν ἀνθρώπων ἀκολουθήσαιμι ἀσθενείᾳ, ἀπαθῶς οἶδα κτιζόμενον. Εἰ δὲ θεοπρεπέστερον τὰ μὲν πρέποντα καταδέξοιτο, τὰ δὲ ἀπηχῆ παριππεύσειεν, ἐννοῆσαι ὀφείλει, ὅτι ἐπειδὴ ὁ θνητὸς ἐμπαθῶς γεννᾷ, ὁ ἀθάνατος ἀπαθῶς· ὥσπερ οὖν καὶ κτίζων ὁ μὲν μετὰ πόνου, ὁ δὲ ἀμογητὶ κτίζει. Ταῦτα γὰρ ἐννοήσας καὶ ὁ θεσπέσιος Παῦλος, καὶ ὥσπερ ἔνθους γενόμενος, πάντα τὰ γήϊνα παραδείγματα ὑπερνηξάμενος, ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτῆρα τῆς ὑποστάσεως τῆς πατρικῆς, τὸν Υἱὸν εἶναι ὡρίσατο· διὰ μὲν τοῦ πρώτου τὸ συναίδιον, διὰ δὲ τοῦ δευτέρου παραδείγματος, τὸ ἐνυπόστατον μηνύων.

278 LVIII. —APOLLONIO EPISCOPO.

Explicatio in illud: « Qui cum esset splendor gloriæ, et character substantiæ [28]. »

Si humanas affectiones (quod quidem dictu quoque nefas est) per omnia sequatur is, qui divinam generationem describit, hæc ad eum verba habere æquum fuerit. Si circa partum affectionem fingis: et ego item circa creationem. Neque enim quod creatur (si hominum imbecillitatem sequar) sine affectione creatur. Sin autem, ut divinitati magis consentaneum est, ea, quæ ipsius naturæ congruunt, accipiat, quæ autem absurda et inconcinna sunt, transiliat, illud cogitare debet, quod ut mortalis cum affectione gignit, ita contra immortalis sine affectione ac libidinum sensu; non secus videlicet atque ille cum labore aliquid creat, hic autem citra laborem. Hæc enim divinus quoque Paulus animo complectens, et, velut divino numine instinctus, terrena omnia exempla superans, splendorem gloriæ, ac figuram paternæ substantiæ Filium esse statuit: per prius nimirum, coæternitatem, per posterius autem exemplum, ipsius substantiam significans.

B C

ΝΘ'. — ΖΩΣΙΜΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Ποίοις ὀφθαλμοῖς εἰς τοὺς φίλους ἔτι τοὺς σαυτοῦ, εἴ γ' ἔχεις φίλους, βλέψεις, ἀνθρώπῳ εὐεργέτῃ καὶ φίλῳ ἐπιβουλεύσας; Ὁ μὲν γὰρ ἀδεέστερον (26), ὡς ἐπυθόμην, συνῆν, ἀναμφισβήτητον ἐνέχυρον οἰόμενος ἔχειν τοῦ μηδὲν ἂν ἐξ ἐπιβουλῆς παθεῖν, τὸ τῆς εὐνοίας καὶ τὸ τῆς εὐεργεσίας μέγεθος. Σὺ δὲ καὶ αὐτοὺς τοὺς θῆρας τῇ ἀγριότητι, καὶ τῇ ὠμότητι νενίκηκας· εἰσὶ γὰρ ἐν αὐτοῖς οἳ καὶ τοῖς εὐεργέταις χάριν ἴσασι (27)· καὶ ἐναβρύνῃ τῷ κακῷ. Πότε οὖν στήσῃ λοιπὸν καταποντίζων τὴν σαυτοῦ ψυχήν, τοῦ φέρεσθαι κάτω διηνεκῶς ἀνάγκην αὐτῇ ἐπιτιθείς;

LIX. — ZOSIMO PRESBYTERO.

Quibus jam oculis amicos tuos (si tamen amicos ullos habes) aspicies, qui homini de te bene merito atque amico insidias comparasti? Nam ille, ut audivi, securiori animo tecum versabatur, quod nihil se abs te ex insidiis perpessurum existimaret: ut qui hujus rei certissimum pignus sibi habere videretur, benevolentiam ac beneficii in te collati magnitudinem. Tu vero ipsas quoque feras immanitate atque crudelitate superasti (sunt enim inter eas, quæ bene de se meritis gratiam habere sciant): atque etiam ob hujusmodi scelus gloriaris. Ecquando igitur animam mergere desines, cui hanc perpetuo necessitatem affers, ut in præceps feratur?

D

Ξ'. — ΕΥΤΟΝΙΩ ΔΙΑΚΟΝΩ.

Ὁ τὴν εὐκαιρίαν τῶν πραγμάτων προϊδοὺς, σῆς τῶν καλῶν ἐκπεσεῖται θήρας. Τίς γὰρ γεωργὸν ἀπο-

LX. — EUTONIO DIACONO.

Qui rerum opportunitatem perdiderit, commoda minime assequetur. Ecquis enim agricolam probet,

[28] Hebr. I, 3.

VARIÆ LECTIONES ET NOTÆ.

(25) Ed. Paris., αὐτὸ τὸ μῆκος. Corr. ex codd. Vatic. 649 et Alt. apud Possinum. EDIT. PATR.

(26) Non ἀδεέστερον adverbialiter, sed ἀδεέστερος in recto masculino uterque codex hoc vocabulum ponit. POSSIN.

(27) Exemplum insigne præbet leo hospes hominis qui ejus fuerat medicus; de quo Agellius. Vere igitur ἀτίθασσον θηρίον, hoc est bellua mansuescere nescia, vocatur homo ingratus qui ne beneficiis quidem cicur aut melior redditur: ep. 44, supra hoc lib. III. RITT.

Digitized by Google

qui, cum arandi ac serendi tempus sit, ut postea uberem segetem habeat, otio et inertia torpet, ac pro foribus desidet? quis vinitorem, qui, cum vitem colere liceat, ut eam uvis abundantem, ac temulentum torcular habeat, aliorum laboribus insidias struit? Quis denique nautam, qui cum opportuna tempestate navigare debeat, ut majorem quæstum faciat, in portu manet, atque in cauponis volvatur? Nemo profecto. Cum igitur hæc ita se habeant, quis Christianum hunc probet, qui certaminum tempore coronas requirit? Res **279** enim hujus vitæ, certaminum ac non coronarum materiam præbent : res autem futuræ, honorum et præmiorum. Quocirca rerum occasionem et commoditatem ne prodamus : ne alioqui in futura inutili pœnitentia afficiamur.

A δέξοιτο, παρὸν ἀροῦν καὶ σπείρειν, ἵν' εὔσταχυν ἔχῃ τὸ λήϊον, ἀργοῦντα καὶ θυραυλοῦντα; τίς δ' ἀμπελουργὸν, ἐξὸν θεραπεύειν τὴν ἄμπελον, ἵν' εὐστάφυλον αὐτὴν ἔχοι, καὶ τὴν ληνὸν μεθύουσαν, τοῖς ἑτέρων ἐφεδρεύοντα πόνοις; Τίς δὲ πλωτῆρα, δέον εὐκαίρως πλεῖν, ἵνα τὴν ἐμπορίαν αὐξήσῃ, ἐν λιμέσι μένοντα, καὶ ἐν καπηλείοις καλινδούμενον; Οὐδείς δή που. Εἰ τοίνυν ταῦθ' οὕτως ἔχει, τίς ἀποδέξοιτο Χριστιανὸν, ἐν τῷ καιρῷ τῶν ἀγώνων τοὺς στεφάνους ἐπιζητοῦντα; Τὰ μὲν γὰρ τῇδε ἀγώνων ἐστὶ καὶ στεφάνων ὑπόθεσις· τὰ δὲ ἐκεῖ, γερῶν καὶ τιμῶν. Μὴ τοίνυν τὴν εὐκαιρίαν τῶν πραγμάτων προδῶμεν, ἵνα μὴ ἐκεῖ ἀνόνητα μεταμεληθῶμεν.

LXI. — MARONI, PALLADIO, ZOSIMO, EUSTATHIO.

Ethnicorum multi solius gloriæ cupiditate ducti (fortasse quod post discessum ex hac vita nihil exspectarent : vel potius, quod vitium condemnarent, ac res etiam hujusce vitæ nihil æstimarent), virtutem coluerunt, hincque clari et celebres exstiterunt, atque omnium ore circumferuntur. Vos autem, quam ob causam, nec ob gloriam, nec ob judicium, nec ob famam et existimationem, nec ob præmium, nec denique ob aliud quidquam ex his, quæ perditos etiam ac profligatos homines ad boni aliquid faciendum adigunt, ut a vitio abstineatis adduci potestis, magnopere miror.

ΞΑ'. — ΜΑΡΩΝΙ, ΠΑΛΛΑΔΙΩ, ΖΩΣΙΜΩ, ΕΥΣΤΑΘΙΩ.

Πολλοὶ τῶν παρ' Ἕλλησι δόξης μόνης ἀντιποιησαμένων, μηδὲν ἴσως προσδοκήσαντες μετὰ τὴν ἐνθένδε ἀποδημίαν· μᾶλλον δὲ καταγνόντες τῆς κακίας, καὶ τὸ μηδὲν εἶναι νομίσαντες τὰ βιωτικὰ πράγματα, ἀρετὴν ἀσκήσαντες, ἀοίδιμοι γεγόνασι, καὶ ἐν τοῖς ἁπάντων περιφέρονται στόμασιν. Ὑμεῖς δὲ δι' ἣν αἰτίαν οὔτε δόξης ἕνεκεν, οὔτε κρίσεως, οὔτε ὑπολήψεως, οὔτ' ἀμοιβῆς, οὔτ' ἄλλου οὐδενὸς, τῶν τοὺς σφόδρα ἀναλγήτως διακειμένους εἰς τὸ ποιῆσαί τι χρηστὸν ἐκβιαζομένων, προτρέπεσθε ἀποστῆναι τῆς κακίας, λίαν τεθαύμακα.

LXII. — ATHANASIO PRESBYTERO.

Palinodiam, ut dici solet, cano. A scopo enim, aut, ut verius loquar, a sententia aberravi : quippe qui haud talem te invenerim, qualem cum esse crederem, laudibus afficere conabar. Hoc autem non meum crimen est, sed tuæ mutationis, quæ in pejora studia deflexit. Nam ipse quidem, quoniam laudantibus fidem habeo, et iis, qui laudantur, faveo (propensionem enim quamdam ad bonum atque honestum habeo), idcirco adductus sum ut iis, qui te laudibus extulerunt, fidem arrogarem. Cupio quippe omnes ita se gerere ut laudem consequantur. Tu vero commutata vitæ ratione teipsum, non me coarguisti. Verum si de tua salute desperarem, non hæc scriberem. Quoniam autem optimam mutationem exspecto, idcirco scribo, teque moneo, ut ad veterem virtutem teipsum referas.

C

ΞΒ'. — ΑΘΑΝΑΣΙΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Ἄδω τὴν καλουμένην παλινῳδίαν. Ἥμαρτον γὰρ σκοποῦ, ἢ, τόγε ἀληθέστερον εἰπεῖν, γνώμης, μὴ εὑρών σε τοιοῦτον οἷον νομίζων ἐγκωμιάζειν ἐπεχείρουν. Τοῦτο δὲ οὐκ ἐμὸν, ἀλλὰ τῆς σῆς μεταβολῆς τῆς ἐπὶ τὰ χείρω νευσάσης ἐστὶν ἔγκλημα. Ἐγὼ μὲν γὰρ, ἐπειδήπερ καὶ πιστεύω τοῖς ἐγκωμιάζουσι, καὶ τοὺς ἐπαινουμένους συγκροτῶ (ἔχω γάρ τινα ῥοπὴν πρὸς τὸ καλόν), πεπίστευκα τοῖς σε ἐπαινέσασι. Βούλομαι γὰρ πάντας εὐδοκίμους εἶναι· αὐτὸς δὲ μεταβληθεὶς σαυτὸν, οὐκ ἐμὲ ἤλεγξας. Ἀλλ' εἰ μὲν ἀπεγίνωσκον, οὐκ ἂν ταῦτ' ἔγραφον. Ἐπειδὴ δὲ ἀρίστην μεταβολὴν προσδοκῶ, καὶ γράφω, καὶ προτρέπω, ὥστε εἰς τὴν ἀρχαίαν ἀρετὴν σαυτὸν ἐπαναγαγεῖν.

LXIII. — THEOPOMPO.

De Arianis et Eunomianis.

Divinæ naturæ nihil æque proprium est, atque æternitas. Quare qui Filium posteriorem Patre, ex quo sempiterne effulsit, inducit, hic illud ipsum quod substantiam illam ab omni labe purissimam insignit, quantum in ipso est, evertit. Nam et numero et tempore sublimior est : neque ante et post, nec primum ac secundum admittit. Etenim ut aliis omnibus, ita etiam his nominibus, quibus res conditæ tanquam notis quibusdam exprimuntur, nullus ad eam aditus patet.

D

ΞΓ'. — ΘΕΟΠΟΜΠΩ.

Περὶ Ἀρειανῶν καὶ Εὐνομιανῶν.

Οὐδὲν οὕτω τῆς θείας φύσεως ἴδιον, ὡς τὸ ἀΐδιον. Ὁ τοίνυν μεταγενέστερον τὸν Υἱὸν λέγων τοῦ Πατρὸς, ἐξ οὗ ἀνάρχως ἐξέλαμψεν, οὗτος αὐτὸ τὸ χαρακτηρίζον τὴν ἀκήρατον οὐσίαν, τό γε αὐτοῦ μέρος, ἀναιρεῖ. Καὶ ἀριθμοῦ γὰρ καὶ χρόνου ἐστὶν ἀνωτέρα· καὶ τοῦ πρὸ καὶ μετὰ οὐκ ἀνέχεται, οὐδὲ τὸ πρῶτον καὶ δεύτερον προσίεται· ἀπρόσιτος γάρ ἐστιν ὥσπερ τοῖς ἄλλοις ἅπασι, καὶ τούτοις τοῖς ὀνόμασι, δι' ὧν τὰ κτίσματα χαρακτηρίζεται.

Digitized by Google

παντὸς τρόπου ἐμφαίνει. Ἐπὶ μὲν γὰρ τοῦ Υἱοῦ κυρίως λέγεται ἡ γέννησις· ἐπὶ δὲ τῶν κτισμάτων καταχρηστικῶς. Ἐπ' ἐκείνου τῆς ἀληθείας ἕνεκεν καὶ τῆς ὁμοουσιότητος· ἐπὶ δὲ τούτων τιμῆς ἕνεκεν καὶ υἱοθεσίας. Βουληθεὶς γὰρ ἀπεκύησεν ἡμᾶς λόγῳ ἀληθείας. Μὴ τοίνυν ἡ ὁμωνυμία τὴν ὁμοτιμίαν ἐνταῦθα τικτέτω, μηδὲ τὰ καταχρηστικῶς εἰρημένα κυρίως λελέχθαι νομιζέσθω (10). Ἐπεὶ καὶ τὸν θυμὸν, καὶ τὴν ὀργὴν, καὶ τὰ ἄλλα πάντα τὰ τῇ θείᾳ μὴ πρέποντα φύσει, καταχρηστικῶς λελεγμένα οὐκ ἄν τις εὐφρονῶν κυρίως πεφράσθαι φαίη. Δῆλον γάρ ἐστιν ὅτι ἑκάστῳ χωρίῳ καὶ ἑκάστῃ λέξει ἡ πρέπουσα καὶ ἁρμόζουσα ἑρμηνεία προσαγομένη τὴν ἀλήθειαν ὠδίνει.

A locum non habet. Aut enim μονόκτιστος, id est, *solus creatus*, aut primogenitus erit. Alterutrum enim alterutrum de medio tollit. Quid autem prohibebat, quominus aperte ipse diceret, πρωτόκτιστος omnis creaturæ. Jam si πρωτόκτιστος, id est, *primus creatus*, intelligatur, quonam pacto unigenitus est? Nam quod solum est, aliud haudquaquam admittit. Ac primum item, solum repudiat. Quidnam autem juxta hoc ipsum rebus conditis præstat, si ipse quoque creatus est? Quin autem erubescant, creaturam adorantes, ac suismetipsi sententiis adversantes: quippe qui, cum res creatas adorari vetent, ut gentilium errorem, ipsi tamen se hoc facere minime animadvertant? Quin illud quoque nosse operæ pretium est,

eadem vocabula non semper easdem res significare, neque homonymiam synonymiam omni modo designare. De Filio enim generatio proprie dicitur, de conditis autem rebus, improprie: de illo, inquam, ob veritatem eamdemque substantiam: de his autem, honoris et adoptionis causa. **270** Volens enim genuit nos verbo veritatis. Quocirca homonymia hoc loco honoris æqualitatem ne pariat: nec quæ improprie dicta sunt, proprie dicta esse quisquam existimet. Quandoquidem nec furorem, nec iram, nec alia omnia, quæ, cum divinæ naturæ minime conveniant, per abusum dicta sunt, quisquam mentis compos proprie usurpata esse dixerit. Perspicuum enim est, quod unicuique loco, et cuilibet dictioni, congrua et consentanea interpretatio adhibita, veritatem parturit.

ΛΒ'. — ΗΣΑΙΑ ΣΤΡΑΤΙΩΤΗ.

Λίαν ἐκπλήττομαι πῶς μάλα ἀκριβῶς ἐπιστάμενος τὴν μὲν θείαν δύναμιν ἄμαχον οὖσαν, καὶ ἀεὶ κατὰ τὸ αὐτὸ καὶ ὡσαύτως ἔχουσαν, τῶν δ' ἀνθρωπίνων βέβαιον οὐδὲν, οὐδ' ἀσφαλὲς, ἀλλὰ κἂν ἄγαν δυνατὸν εἶναι δοκοῖη, ἀμφίβολόν ἐστιν. Ὁμολογουμένην γὰρ κέκτηται τὴν εἰς τοὐναντίον μεταβολήν· ὅταν μὴ τὴν ἄνωθεν ἔχῃ ῥοπὴν, καὶ πτῶσιν ἐξαίσιον ὠδίνει, οὐ μετρεῖς αὐτοῦ τὸ φρόνημα, ἀλλ' ὑπερφυῶς ἐξογκούμενος τὴν ἐναντίαν προκαλῇ μεταβολήν.

B

XXXII. — ISAIÆ MILITI.

Magna me admiratio tenet, qui fiat, ut cum tibi illud expioratissimum sit, divinam quidem potentiam insuperabilem, suique semper similem esse, humanam autem nihil certi ac stabilis habere, verum quamlibet, licet valida esse videatur, dubiam tamen et ancipitem esse, utpote quæ nisi divino subsidio fulciatur, certissimam mutationem habeat, atque horrendam ruinam parturiat, tu tamen animo tuo minime modereris, verum immodico fastu intumescens, mutationem in contraria provoces.

ΛΓ'. — ΠΑΥΛΩ.

Τί σημαίνει τὸ, ἐπὶ μέτρου μολύβδου τὸν προφήτην Ζαχαρίαν καθιεμένην ἰδεῖν τὴν ἁμαρτίαν.

Ἐπειδὴ ἔφης· Δι' ἣν αἰτίαν ἐπὶ μέτρου μολύβδου καθεδουμένην τὴν ἁμαρτίαν ἑώρακεν ὁ Ζαχαρίας; φημὶ, ὅτι ὁ μὲν μόλυβδος δηλοῖ τὸ βάρος τῆς ἁμαρτίας. Οὐδὲν γὰρ ἐπαχθέστερον οὐδὲ φορτικώτερον τῆς ἁμαρτίας, τῆς εἰς τὸν πυθμένα τοῦ ᾅδου καταικοντιζούσης τοὺς ἁλόντας. Τὸ δὲ μέτρον, τὸ τέλος μηνύει τῆς περὶ τοὺς ἁμαρτήσαντας μακροθυμίας, καὶ τῆς τιμωρίας τὴν ἀρχήν. Οὐ γὰρ ἀμέτρως, οὐδ' ἀεὶ ἁμαρτάνειν συγχωρηθήσονται· ἀλλ' ὅσον οὐδέπω πικροτάτας εἰσπραχθήσονται δίκας.

XXXIII. — PAULO.

Quid significet, quod super mensuram plumbi Zacharias propheta sedens viderit peccatum [46].

C Quoniam quæris quidnam causæ sit, cur Zacharias iniquitatem super mensuram plumbi sedentem viderit, respondeo, hoc idcirco contigisse, quia plumbum peccati pondus et gravitatem designat. Neque enim quidquam peccato gravius, atque onerosius est, quippe quod ad ima inferni eos, quos ceperit, deturbet. Per mensuram autem, divinæ erga eos qui peccarunt lenitatis et patientiæ finis, pœnæque principium significantur. Neque enim absque mensura, nec semper vitiis indulgere permittentur: verum jamjamque acerbissimis suppliciis mulctabuntur.

ΛΔ'. — ΕΥΤΟΝΙΩ.

Δεινὸν ὄντα καὶ δραστήριον τὸν τῆς φιλοτιμίας ἔρωτα, καὶ δεινῶς κρατοῦντα τοῦ ἀνθρωπίνου γένους, ὁ σωτήριος Λόγος σοφῶς τε καὶ ἐπιστημόνως καταστέλλων, καὶ πρὸς τὸ κρεῖττον μετοχετεύων,

XXXIV. — EUTONIO.

Ambitionis amorem, suapte natura vehementem et acrem, atque humanum genus mirum in modum superantem, scite ac sapienter reprimens, atque in melius derivans Salvator, his verbis utitur: « Atten-

D

[46] Zachar. v, 7 seqq.

VARIÆ LECTIONES ET NOTÆ.

(10) *Μηδὲ τὰ καταχρηστικῶς εἰρημένα κυρίως λελέχθαι νομιζέσθω.* Improprie et abusive dicta non sunt quasi essent proprie dicta accipienda. Ritt.

Digitized by Google

periculosam contentionem, piumque et æquissimum esse, divinas leges propriis rationibus antiquiores habere. Quod si quis mihi obtemperandum non putat, **281** Proverbiorum auctorem saltem audiat, qui ante oraculum evangelicum his verbis usus est : « Ne oculum tuum in ipsam defigas, verum statim avola, nec moram ullam in eo loco trahe [48]; » et item scriptorem (omni virtutis genere cumulatum), nunc quidem dicentem : « In pulchritudine mulieris multi seducti sunt [49]; » nunc autem : « Ne condiscas alienam pulchritudinem. » Non dixit : Ne spectes (potest enim id casu ac fortuito accidere), sed, Ne condiscas, meditatam videlicet considerationem, et curiosum aspectum, atque cum cupiditate conjunctam contemplationem de medio tollens. « Amicitia enim, inquit, hinc tanquam ignis exardescit, » hoc est, obscenus amor hinc oritur. Quin externis etiam hominibus, quibus hæc sinceritas haud admodum curæ fuit, hoc et consentaneum, et verum esse visum est. Ac Socrates quoque (nam eorum etiam dicta commemorabo, quoniam ad pudicitiam et castitatem incitant) cum quemdam formoso adolescenti osculum figentem conspexisset : « Hic, inquit, facile gladiorum cuspidibus innataret, atque in ignem insiliret, qui scilicet tantum in seipso incendium per osculum excitare minime dubitarit. » Diogenes item adolescentem lascivius, quam virum deceret, ornatum conspicatus, hæc ad eum verba habuit : « Si ad viros te confers, miser es; si ad mulieres, iniquus. » Etenim per nimium ornandi corporis studium, viri quidem feminas, feminæ autem et cinædi viros captant. Sed et Agesilaus puerum egregia forma, quem amabat, cum ipsum osculari vellet, inhibuit. Alexander vero Darii uxorem ne intueri quidem sustinuit : quod turpe esse censeret, eum, qui viros superasset, a feminis vinci. Quod si non modo Græcorum, sed etiam barbarorum exemplis utendum est, καὶ εὐαγὲς, καὶ δικαιότατον (28). Εἰ δε τις οὐ πείθεται, ἀκουέτω κἂν τοῦ παροιμιαστοῦ πρὸ τοῦ εὐαγγελικοῦ χρησμοῦ εἰρηκότος· « Μὴ ἐπιστήσῃς τὸ σὸν ὄμμα πρὸς αὐτὴν, ἀλλὰ ἀποπήδησον, μὴ ἐγχρονίσῃς ἐν τῷ τόπῳ· » καὶ τοῦ παναρέτου συγγραφέως (30), ποτὲ μὲν λέγοντος· « Ἐν κάλλει γυναικὸς πολλοὶ ἐπλανήθησαν· » ποτὲ δέ· « Μὴ καταμάνθανε κάλλος ἀλλότριον. » Οὐκ εἶπε, Μὴ ἴδῃς (συμβαίνει γὰρ ἀπὸ ταὐτομάτου γίνεσθαι τοῦτο), ἀλλὰ, Μὴ κατάμάνθανε, τὴν ἐκ μελέτης κατανόησιν, τὴν περίεργον ὄψιν, τὴν μετ' ἐπιθυμίας θεωρίαν ἀναιρῶν. « Φιλία γὰρ, φησὶν, ἐκ τούτου ὡς πῦρ ἀνακαίεται· » τοῦτ' ἔστιν, ἔρως αἰσχρὸς ἐκ τούτου τίκτεται. Καὶ τοῖς ἔξωθεν δὲ ἀνθρώποις, μὴ πάνυ ταύτης τῆς ἀκριβείας πεφροντικόσι, τοῦτο καὶ εἰκὸς καὶ ἀληθὲς ἔδοξεν εἶναι Καὶ Σωκράτης δὲ, λέξω γὰρ καὶ τὰ ἐκείνων, ἐπειδὴ πρὸς σωφροσύνην ἀλείφει, ἰδών τινα φιλήσαντα νέον εὔμορφον· « Οὗτος, ἔφη, ῥᾳδίως ἂν καὶ εἰς μαχαίρας κυβιστήσειεν, καὶ εἰς πῦρ ἁλοίη, ὁ τοσαύτην δηλονότι τολμήσας ἐν ἑαυτῷ ἀνάψαι διὰ τοῦ φιλήματος τὴν πυράν. » Διογένης (31) δ' ἰδών μειράκιον ἀσελγέστερον ἢ κατ' ἄνδρα κεκοσμημένον, ἔφη· « Εἰ μὲν πρὸς ἄνδρας, ἀτυχεῖς· εἰ δὲ πρὸς γυναῖκας, ἀδικεῖς. » Θηρῶσι γὰρ διὰ τοῦ καλλωπισμοῦ οἱ μὲν ἄνδρες τὰς γυναῖκας· αἱ δὲ γυναῖκες, καὶ οἱ ἀνδρόγυνοι, τοὺς ἄνδρας. Ἀγησίλαος δὲ παῖδα εὔμορφον, οὗ ἤρα, βουλόμενον αὐτὸν φιλῆσαι διεκώλυεν. Ἀλέξανδρος δὲ οὐδὲ ἰδεῖν τὴν Δαρείου ὑπέμεινεν· αἰσχρὸν νομίσας τοὺς ἄνδρας ἑλόντα γυναικὶ ἡττηθῆναι. Εἰ δὲ μὴ μόνον Ἑλληνικοῖς, ἀλλὰ καὶ βαρβαρικοῖς χρὴ παραδείγμασι χρήσασθαι, οὐδὲ τοῦτο ποιῆσαι παραιτήσομαι. Κῦρος (32) γοῦν ὁ Περσῶν βασιλεὺς οὐδὲ ἰδεῖν τὴν Πάνθειαν ἀφορισθεῖσαν αὐτῷ, καὶ ἀμήχανόν τι κάλλος ἔχειν μαρτυρουμένην, ἐτόλμησεν· ἀλλὰ καὶ τῷ ὁρῶντι συνεχῶς καὶ μηδὲν λέγοντι πάσχειν δεινὸν, παρῄνει μὴ συνεχῶς εἰς αὐτὴν ὁρᾷν. « Τὸ μὲν γὰρ πῦρ, φησὶ, τοὺς ἐγγὺς ὄντας καταλαίει· τὸ δὲ κάλλος, καὶ τοὺς πόῤῥω ἑστῶτας. »

[48] Prov. VII, 24, 25. [49] Eccli. IX, 9. [50] ibid. 8. [51] ibid. 11.

VARIÆ LECTIONES ET NOTÆ.

(29) *Τὸ τοὺς θείους χρησμοὺς τῶν οἰκείων λογισμῶν προτιμοτέρους ἄγειν, καὶ εὐαγὲς καὶ δικαιότατον.* B. C. pro τὸ habet δεῖ, quod non probo. Cum autem hic ordo invertitur, et λογισμοὶ οἰκεῖοι divinis oraculis anteponuntur, eum esse fontem omnis erroris, mali et perturbationis, alibi docet Isidorus. Vid. libri IV epist. 133. RITT.

(30) *Τοῦ τῆς Παναρέτου συγγραφέως.* Ita vocat Jesum Sirachi filium, qui idem inf. in epilogo hujus epistolæ appellatur, ὁ τὴν σοφίαν συντάξας. Libri titulus est apud Græcos geminus : Σοφία Σιρὰχ, vel etiam plenius : 1. Σοφία Ἰησοῦ υἱοῦ Σιρὰχ· 2. Ἡ πανάρετος· subauditur σοφία ἢ καὶ βίβλος. De priore constat ex Athanas. et Epiph. ac Cypriano. De posteriore, Panareto scilicet, ex eod. Epiphanio lib. *De mensura et ponderibus*, p. 534, Joanne Damasceno, p. 122, et Hieronymo ep. 115, item Commentar. in IX cap. Danielis. Cedrenus in *Annalibus* : Πτολεμαῖος ὁ Εὐεργέτης, ἐφ' οὗ τὴν πανάρετον σοφίαν συντάξας Ἑβραίοις Ἰησοῦς ὁ τοῦ Σιρὰχ ἐγνωρίζετο. Quorum locorum quædam adnotarunt etiam in suis ejus libri ad mores formandos utilissimi editionibus diligentissimi et doctissimi viri Janus Drusius, et David Hœschelius. Quæ cum ita sint, hallucinatus est interpres Isidori, cum sic vertit, *scriptorem omni virtutis genere cumulatum;* debebat potius, *scriptorem Panareti*, vel scriptorem *libri omni virtutis genere cumulati dixisse.* RITT.

— Vatic. 649 et Alt. pro his quæ exstant in edito, καὶ τοῦ παναρέτου συγγραφέως scribunt, καὶ τοῦ τῆς Παναρέτου συγγραφέως. Librum Ecclesiastici laudat hic Isidorus cui tanquam proprium nomen attribuit : ἡ Πανάρετος, subaudi βίβλος, quod de omni virtute præcipiat. Hoc ita se habere certo demonstrat quod duo testimonia statim recitata ex libro isto sunt, nempe illud, ἐν κάλλει γυναικὸς πολλοὶ ἐπλανήθησαν Ecclesiast. cap. IX, v. 9, et alterum, Μὴ καταμάνθανε κάλλος ἀλλότριον, quod exstat vers. 8 ejusd. cap. IX libri, Jesu Syrach Latinis Ecclesiastici vocati. POSSIN.

(31) Idem repetit inf. ep. 84. Vide et Laertium. RITT.

(32) Vide de eodem supra ep. 62 lib. II. ID.

Digitized by Google

Καὶ οὐκ ἐψεύσατο. Ἐάλω γὰρ ἐκεῖνος ὁ κρείττων εἶναι φήσας τῆς ἡδονῆς. Καὶ ἐπειδὴ πεῖθειν οὐκ ἠδύνατο (σώφρων γὰρ ἦν ἐκείνη)· βίαν αὐτῇ ἐπάξειν ἠπείλησεν, ἕως ἐκείνη τῷ Κύρῳ ἐμήνυσεν. Ὅστις συγγνοὺς ὅτι ἀμάχῳ θηρίῳ συγκαθειργμένος, ἔπαθεν ὅπερ ἔπαθεν, ἐδήλωσε τῷ μηδὲν ἐκ τῆς θέας βλάπτεσθαι ἁλαζονευομένῳ· « Εἰ μὲν πείθοις τὴν γυναῖκα, καὶ δή· εἰ δὲ βιάζῃ, οὐ συγχωρῶ. Εἰ τοίνυν καὶ ὁ εὐαγγελικὸς χρησμὸς καὶ ὁ τῶν Παροιμιῶν συγγραφεὺς, ὁ τὴν Σοφίαν συντάξας, καὶ τὰ Ἑλληνικὰ καὶ Περσικὰ παραδείγματα εἰς τοῦτο συμβαίνουσι, φυλακτέον παντὶ σθένει, καὶ χαλινωτέον τοὺς ὀφθαλμοὺς, καὶ ἐφεκτέον τῆς περιέργου, καὶ ἀκολάστου θέας, ὡς τῶν καιρίων καθαπτομένης. Μεγίστη γὰρ ἐκ ταύτης εἰς τὴν ψυχὴν εἰσρεῖ κακία· τὰ γὰρ καίρια αὐτῆς προκατασχοῦσα, καὶ τὸν λογισμὸν ἐξελάσασα, ὅλην αὐτὴν τοῦ πάθους εἶναι ποιεῖ.

A ne hoc quidem facere detrectabo. Cyrus igitur Persarum rex, Pantheam, quæ ipsi assignata fuerat, atque incredibili quadam pulchritudine prædita esse ferebatur, ne conspicere quidem ausus est. Quinetiam eum, qui ipsam assidue cernebat, nec se ullo propterea libidinis motu agitari dicebat ut ne eam assidue perspiceret, admonebat : « Ignis enim, inquiebat, eos duntaxat, qui propius ad eum accedunt, exurit ; pulchritudo autem eos etiam qui procul remoti sunt. » Necvero hac in re mentitus est. Nam ille, qui voluptate superiorem se esse prædicarat, captus est. Ac quia eam nulla oratione permovere poterat (pudicitiæ enim laude præstabat) vim se ipsi allaturum esse denuntiavit, quoad illa tandem de hac re Cyrum certiorem fecit. Qui cum B intelligeret, eum, propterea quod cum ejusmodi fera, cui nullæ vires pares esse queant, inclusus extitisset, in hanc fraudem incidisse, ipsi, qui se nullo ex aspectu detrimento affici nimis insolenter gloriabatur, hæc significavit : « Si mulieri, quod cupis, persuades, per me id licet; **282** si autem vim adhibes, id minime patiar. » Cum igitur et evangelicum oraculum, et Proverbiorum auctor, et qui Sapientiæ librum condidit, et tam Græca, quam Persica exempla in hoc conveniant, omnibus viribus oculos custodire, ac velut injecto freno coercere oportet, atque a curioso et impudico conspectu, ut intimas animi partes perstringente, sese abstinere. Maxima enim ex ea in animum improbitas influit. Nam cum ipsius arcem occuparit, ac rationem expulerit, totam eam libidini addictam ac mancipatam reddit.

ΞΖ'. — ΖΩΣΙΜΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Πυθόμενος ὅτι δέον σε προσδραμεῖν τῇ μετανοίᾳ, δέον αἰτῆσαι συγγνώμην ἐπὶ τοῖς πεπλημμεληκόσι, ἐπαγωνίζῃ τοῖς προτέροις, ἐπαποδύῃ τοῖς μιάσμασιν, C ἀεὶ τὰ πρότερα τοῖς δευτέροις ἀποκρύψαι φιλοτιμούμενος. Εἶτα δακρύσας ἔφην πρὸς ἐμαυτόν· Ὦ Ἰσίδωρε, τί μάτην κάμνεις, κατὰ πετρῶν σπείρων; Τί ὠφελῆσαι σπεύδεις τὸν ὠφεληθῆναι μὴ βουλόμενον; τί πονεῖς, καὶ ἀγρυπνεῖς, τοῦ, δι' ὃν ἡ ἀγρυπνία γίνεται, τῷ μὴ ποιεῖν τὰ γραφόμενα, ματαίαν αὐτὴν ἀποφαίνοντος; Παῦσαι ματαιοπονῶν, καὶ Αἰθίοπα σμήχων, καὶ εἰς πῦρ ξαίνων, καὶ λίθον ἑψῶν (33); Ὡς δὲ κόρον ἔλαβον ἐμαυτὸν αἰτιώμενος, χρηστὴ πάλιν ἐλπὶς ἦν, ἤ τις καὶ ἄκοντα ἐξεβιάσατο, καὶ ταῦτα πάλιν χαράξαι τὰ γράμματα. Αὐτὸς τοιγαροῦν σκοπήσας οἷ τῶν κακῶν ἐχώρησας, εἰς μετάνοιαν παλινδρομῆσαι προθυμήθητι.

LXVII. — ZOSIMO PRESBYTERO.

Posteaquam intellexi, te, pro eo quod ad pœnitentiam accurrere, ac scelerum tuorum veniam petere oportebat, in pristina adhuc studia et flagitia majori etiam animi conatu et contentione incumbere, iisque inhærere, id videlicet summo studio agentem, ut priora per posteriora obscures, tum ego collacrymans ad me ipsum hæc verba habui: O Isidore, quid frustra te fatigas, in petras semen jaciens? Quid ei prodesse studes qui juvari non vult? Quid laboras et excubas, cum is, propter quem excubiæ aguntur, ea quæ scribantur exsequi recusando, inanes eas reddat? Quin tu vano labore te ipsum cruciare, atque Æthiopem dealbare, et ignem verberare, ac laterem coquere desinis? Postquam autem ad satietatem usque meipsum accusavi, bona spes rursum exorta est, quæ me invitum etiam ac repugnantem ad has quoque rursum litteras cudendas adegit. Quamobrem tu, quæso, quo malorum processeris, considerans, induc animum ad pœnitentiam reverti.

ΞΗ' — ΘΕΟΓΝΩΣΤΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Λίαν θαυμάζω, πῶς οἱ μὴ ἐπισφίγγοντες τὸ χαῦνον, καὶ τὸ ἐπὶ τῷ προεδρίας ἠξιῶσθαι παρὰ τοὺς πολλοὺς οἴημα, μεῖζον τοῦ δικαίου φρονοῦσι· καὶ οὐδ' αὐτὸ (34) λοιπὸν παραχωρῆσαι ἀξιοῦσι, τῷ ἡττῆθῆναι τῷ δικαίῳ ὕβριν ἡγούμενοι.

LXVIII. — THEOGNOSTO PRESBYTERO.

D Demiror equidem, quonam pacto, ii, qui animi insolentiam ac fastum et tumorem ex eo conceptum, quod antistitii honore præ aliis affecti sint, minime astringunt, sublimius, quam par sit, de se sentiant, ac ne ipsum quidem jam relinquere velint, probro scilicet atque contumeliæ ducentes a jure et æquo superari.

VARIÆ LECTIONES ET NOTÆ.

(33) *Αἰθίοπα σμήχων, καὶ εἰς πῦρ ξαίνων, καὶ λίθον* (f. πλίνθον) *ἑψῶν.* Proverbia εἰς τὸν ματαιοπονοῦντα, in hominem qui irritum sumit laborem. Vid. hujusmodi plura apud paræmiographos. Ritt.

(34) Pro αὐτὸ duo codd. Vat. 649 et Alt. legi jubent αὐτῷ. Possin.

Digitized by Google

XL. — THEODORO SCHOLASTICO.

Frater quidem tuus, vir eximie, ob mores in admiratione est; tu ob sermonem: ille ob animi integritatem; tu ob linguæ facundiam: ille ob morum moderationem; tu ob verborum fastum ac tumorem: **273** ille, ut fructu scatens; tu, ut foliis abundans. Quamobrem si ita est, fratrem tuum imitare, ut utroque nomine laudem et gloriam consequaris. Neque enim tam tuis ille, quam tu ipsius dotibus opus habes.

XLI. — EIDEM.

Quidam te ob ingenii acumen ac dicendi facultatem admirantes, ut contentiosum atque ad audiendum difficilem et morosum accusant. Nam cum ad inferiores te demittere debeas, tu contra ne superioribus quidem ac præstantioribus cedis. Quocirca, si res ita se habet, ne eruditionem eam, quæ in te summa est, per animi sinisteritatem atque improbitatem probro ac dedecore affice: verum egregiæ indoli benignitatem, et eloquentiæ morum suavitatem et facilitatem admisce: quo utrinque laudem tibi ac nominis celebritatem concilies.

XLII. — EIDEM.

Eloquentem ego hunc esse statuerim, qui id, quod animo concepit, perspicua oratione demonstrare potest, non qui doctissimis et sublimibus verbis, ea etiam quæ clara et dilucida sunt, obscurat. Ille siquidem, quod latet, in lucem profert: hic, illud etiam quod omnibus perspicuum est, in tenebris occultat. Eoque nomine ille, ut qui auditoribus prodesse cupiat, amplissimis laudibus celebratur: hic contra, ut qui gloriæ suæ cupiditate flagret, honoris ac præmii expers relinquitur.

XLIII. — PAULO.

Haud mirum istud videri debet, quod qui invidiæ facibus inflammantur, ne beneficiis quidem meliores fiunt. Acceptis enim beneficiis magis irritantur, quia sibi benignitate opus esse agnoscunt.

XLIV. — SERAPIONI EPISCOPO.

Quandoquidem demonstrationum rerum obscurarum duplex principium est (omnis enim demonstratio et confirmatio vel a sensu, vel a perspicua consideratione initium ducit), mihique aut horum altero, aut etiam utroque ad sedandam tuam iracundiam, e medio, ut ipse scripsisti, pectore ferventem, uti necesse est: sunt autem judicia ea,

ΜΑ'. — ΘΕΟΔΩΡΩ ΣΧΟΛΑΣΤΙΚΩ.

Ὁ μὲν ἀδελφὸς, ὦ θαυμάστε, ὁ σὸς, διὰ τρόπον θαυμάζεται, σὺ δὲ διὰ λόγον· ἐκεῖνος δι' ὀρθότητα γνώμης, σὺ δὲ διὰ δεινότητα γλώττης· ἐκεῖνος διὰ μετριότητα ἤθους, σὺ δὲ διὰ φράσεως ὄγκον· ἐκεῖνος ὡς καρπῷ βρίων, σὺ δ' ὡς φύλλοις κομῶν. Εἰ τοίνυν τοῦθ' οὕτως ἔχει, ζήλου τὸν σαυτοῦ ἀδελφόν, ἵνα κατ' ἄμφω εὐδόκιμος εἶῃς. Οὐ γὰρ τοσοῦτον ἐκεῖνος τῶν σῶν, ὅσον σὺ τῶν ἐκείνου, χρῄζεις πλεονεκτημάτων.

ΜΑ'. — ΤΩ ΑΥΤΩ.

Θαυμάζοντές σέ τινες δι' ὀξύτητα νοῦ, καὶ γλώττης δεινότητα, γράφονται ὡς δύσεριν καὶ δυσπρόσιτον καὶ δύσκολον. Δέον γὰρ τοῖς ὑποδεεστέροις συγκατιέναι, οὐδὲ τοῖς κρείττοσι παραχωρεῖς. Οὐκοῦν εἰ ταῦθ' οὕτως ἔχει, μὴ καθύβριζε τὴν ἀρίστην παίδευσιν τῇ τῆς γνώμης σκαιότητι· ἀλλὰ κίρνα τῇ εὐφυΐᾳ τὴν εὐμένειαν, καὶ τῇ τῶν λόγων δεινότητι τὴν τῶν τρόπων ἡμερότητα, ἵνα ἑκατέρωθεν ἀοίδιμος γένοιο.

ΜΒ'. — ΤΩ ΑΥΤΩ.

Σοφὸν τῷ λόγῳ ἔγωγε ὁριοίμην, τὸν σαφῶς παραστῆσαι δυνάμενον τὸ νοηθὲν, οὐ τὸν ὑπερσόφοις καὶ ὑψηλαῖς λέξεσι καὶ τὰ σαφῆ ἐπισκιάζοντα. Ὁ μὲν γὰρ τὸ λελῃθὸς εἰς φῶς ἄγει· ὁ δὲ καὶ τὸ πᾶσι δῆλον ἐν σκότῳ καταχρύπτει. Διὸ ἐκεῖνος μὲν ἅτε τῆς τῶν ἀκροατῶν ὠφελείας ἐφιέμενος, πολυύμνητος· οὗτος δὲ ἅτε τῆς ἰδίας δόξης ὀρεγόμενος, ἀγέραστος.

ΜΓ'. — ΠΑΥΛΩ.

Θαυμαστὸν οὐδὲν εἰ οἱ φθόνῳ πυρσευόμενοι, οὐδὲ ταῖς εὐεργεσίαις γίνονται βελτίους. Πρὸς γὰρ τὰς χάριτας μᾶλλον παροξύνονται, ἐπειδήπερ συνίασιν ἑαυτοὺς δεηθέντας χρηστότητος.

ΜΔ'. — ΣΕΡΑΠΙΩΝΙ ΕΠΙΣΚΟΠΩ (14).

Ἐπειδὴ τῶν ἀποδείξεων τῶν ἀφανῶν πραγμάτων ἀρχαὶ δίτταί τυγχάνουσιν (ἢ γὰρ ἐξ αἰσθήσεως ἢ ἐκ νοήσεως ἐναργοῦς πᾶσα ἀπόδειξις καὶ πίστις ἄρχεται), κἀμὲ ἀναγκαῖόν ἐστιν, ἤ θατέρῳ τούτων ἢ ἀμφοτέροις κεχρῆσθαι πρὸς τὸ κοιμίσαι σου τὸν θυμὸν, ἐκ μέσης καρδίας, ὡς γέγραφας, ζέοντα· οὐτῶν δὲ τῶν διὰ τοῦ λόγου κρίσεων, οὐχ ἅπασιν

VARIÆ LECTIONES ET NOTÆ.

a diversis hominibus, vel claris vel obscuris, prolata, non eamdem vim habeat, ut est apud sapientissimum Euripidem:

... Λόγος γὰρ ἔκ τ' ἀδοξούντων ἰὼν
Καὶ τῶν δοκούντων, αὐτὸς οὐ ταὐτὸν σθένει.

Sic Marcus imp. apud Vulcatium Gallican. in Avidio Cassio: Tyrannorum etiam bona dicta non habent tantum auctoritatis quantum debent. Ritt.

(14) *Σεραπίωνι ἐπισκόπῳ.* Dubito an hic sit ille cujus et amicitia intima usus est Isidorus noster, et hæres exstitit facultatum, quæ totis duobus vel tribus libris constabant, ut est apud Suidam in *Σαραπίων*. Imo propius est ut fuisse eumdem pernegem. Is enim anachoreta potius et homo perpaucorum hominum fuit, ut ex illa descriptione didicimus, qualis vita episcopo minime convenit. Est et alius Serapion corrector, ad quem alibi Isidorus scribit. Ritt.

Digitized by Google

ἐμοίως εὐπετῶν, οὐδὲ ῥᾳδίων· ἐπειδὴ καὶ συνετὸν εἶναι χρὴ τὸν θηρᾶσαί τι τῶν ἀδήλων βουλόμενον, καὶ γεγυμνάσθαι κατὰ τὴν πρώτην ἡλικίαν ἐν τοῖς ἀκονῶσι τὸν λογισμὸν παιδεύμασιν· ἄμεινον ἀπὸ τῆς πείρας, καὶ τῶν συμβεβηκότων εἰς τὸν Δεσπότην Χριστὸν ἄρξασθαι. Τούτοις γὰρ καὶ οἱ ἀμαθεῖς καὶ οἱ λίαν συνετοὶ παρακολουθῆσαι δύνανται. Τί τοίνυν ἀγανακτεῖς ὅτι Εὐσέβιος, ὁ δοκῶν ἐπίσκοπος, ὡς γέγραφας, μεθύει κατὰ πάσης τῆς Ἐκκλησίας, καὶ τὴν παροινίαν οὐ μόνον κατὰ πάντων, ἀλλὰ κατὰ σοῦ τοῦ πολλάκις αὐτὸν εὐεργετήσαντος προφέρει; Ἀλλὰ μακροθύμει, ὦ φιλότης. Ἀφελς γὰρ ἀπὸ λογισμῶν καὶ συλλογισμῶν τοῦτ' ἀποδεῖξαι, ἀπὸ τῶν Δεσποτικῶν παθῶν τὴν ἀπόδειξιν ποιησαίμην. Μάλιστα μὲν γὰρ καὶ τὰ παρὰ τῶν ἀλιτηρίων Ἰουδαίων εἰς αὐτὸν γενόμενα, ἀφόρητα ἦν, καὶ πάσης συγγνώμης μείζονα· πλὴν δεδόσθω φορητὰ εἶναι. Τί ἂν φαίης καὶ περὶ τοῦ ἀλάστορος Ἰούδα, τοῦ εἰς τὸν θεῖον ἐκεῖνον καταριθμηθέντος χορὸν, καὶ εἰς τὸν περὶ τὸν βασιλέα σύλλογον, καὶ κατὰ δαιμόνων, καὶ νοσημάτων, καὶ θανάτου ἐξουσίαν εἰληφότος, καὶ λαμπροῦ οὕτω καὶ περιφανοῦς ἐξ ἀδόξου καὶ ἀφανοῦς γεγενημένου; Οὐχὶ προῦδωκε τὸν τοσούτων αὐτῷ αἴτιον γεγενημένον ἀγαθῶν; Τὸ γὰρ ἀτίθασσον ἐκεῖνο θηρίον (οὕτω γὰρ καλεῖν θέμις τοὺς μηδὲ εὐεργεσίαις ἀμείνους γινομένους) τῆς τοῦ Σωτῆρος ὑπερεμπλησθὲν ἀνεξικακίας, κατ' αὐτοῦ τὸν κόρον ἤνεγκε. Ταύταις τοιγαροῦν ταῖς ἐπῳδαῖς πραῦνειν πειρῶ καὶ τιθασσεύειν τὸ πῦρ τῆς ὀργῆς· εἴκει γὰρ τοῖς ταῦτα κατεπᾴδουσιν.

A quæ per rationis opem fiunt, haud æque omnibus prona et facilia (propterea quod et prudentem ac sagacem eum esse oportet, qui aliquid obscuri venari vult, et in his disciplinis, quæ mentem acuunt, diu multumque in prima ætate versatum esse); idcirco satius fuerit, ab ipso experimento, iisque quæ Domino Christo contigerunt, exordiri. Hæc enim et rudes atque imperiti, et perquam ingeniosi et sagaces interjecta assequi poterunt. Quid igitur eo nomine indignaris, quod Eusebius, qui episcopi speciem gerit, ut scripsisti, adversus universam Ecclesiam debacchans, **274** suamque temulentiam et contumeliam non modo adversus alios omnes, sed etiam adversum te, a quo persæpe beneficiis affectus est, profert? Verum, o amice, lenem animum præsta. Ut enim rationes atque argumenta B omittam, quibus id tibi faciendum demonstrem, a Domini cruciatibus id probare conabor. Maxime enim ea quoque, quæ ipsi a sacrilegis et exsecrandis Judæis acciderunt, intoleranda erant, atque ejusmodi, quæ veniam omnem excederent. Verum demus ea tolerabilia fuisse. Quid autem de impio illo ac nefario Juda dixeris, qui in sacrosanctum illum chorum, et in Regis collegium aggregatus fuerat, atque adversus dæmones, et morbos, et mortem potestatem acceperat, et ex obscuro atque ignobili tam clarus et illustris exstiterat? Annon eum, qui tot bonorum ipsi causam præbuerat, prodidit? Effera enim illa bellua (sic enim eos appellare fas est, qui ne beneficiis quidem meliores reddantur), Salvatoris lenitate ac patientia saturata, adversus eum petulanter impetum fecit. His igitur velut incantationibus iracundiæ ignem lenire ac mitigare stude: iis enim, qui hæc accinunt, cedit.

ΜΕ'. — ΩΡΙΩΝΙ ΜΟΝΑΖΟΝΤΙ.

Κανόνα σε φιλίας εὐθύτατον λέγων τίς οὐκ ἂν διαμάρτοι τῆς ἀληθείας. Ἁπλοῦς γὰρ εἶ τὴν γλῶτταν, ἁπλούστερος δὲ τὴν γνώμην, ἁπλούστατος δὲ τὸν βίον.

XLV. — ORIONI MONACHO.

C Rectissimam amicitiæ normam si quispiam te esse dixerit, a vero haudquaquam aberrarit. Lingua enim simplex es, animo simplicior, vita et moribus simplicissimus.

ΜΣ'. — ΛΑΜΠΕΤΙΩ ΕΠΙΣΚΟΠΩ.

Διὰ τί ὁ νόμος τοὺς λεπρῶντας, ἢ ἑτέρους νοσήματα ἀκούσια νοσοῦντας, ἔξω εἶναι τῶν ἱερῶν περιβόλων προσέταξεν.

XLVI. — LAMPETIO EPISCOPO.

Cur lex leprosos, et alios involuntariis morbis laborantes, extra sacra septa esse præceperit.

Τὴν ἀκρασίαν τῶν γονέων κολάζων ὁ νομοθέτης, ὦ σοφώτατε (πολλοὶ γὰρ οὐκέτι καθαιρομέναις ταῖς γυναιξὶν ὁμιλοῦσιν, ἡδονῆς μόνης, ἀλλ' οὐ παιδοποιίας ἕνεκεν νομίζοντες πεπλάσθαι τὴν γυναῖκα), ἱερῶν περιβόλων ἀπεῖρξε τοὺς ἐκ συνουσιῶν οὐ καθαρῶν τικτομένους, ἵν' εἰ μὴ ἑκόντες, ἄκοντες γοῦν σωφρονοῖεν (15), καὶ σεμνῶς βιοῦν ἑαυτοὺς ἀναγκάσειαν, ὡς τῆς τιμωρίας εἰς τοὺς ἐξ αὐτῶν τεχθησομένους βαδιουμένης. Τί γὰρ ἂν γένοιτο τοῖς τοκεῦσιν ἀλγεινότερον (16) τοῦ τοὺς παῖδας, οὓς εὔχονται εὐδοκιμωτέρους καὶ λαμπροτέρους ἑαυτῶν ἰδεῖν, θεάσασθαι μήτε κοινῶν, μήτε ἱερῶν συνόδων μετ-

Parentum intemperantiam et lasciviam coercens legislator (multi enim cum mulieribus nondum purgatis congrediuntur, perinde atque voluptatis tantum, ac non procreandæ sobolis causa effictam fuisse mulierem existiment), eos, qui in impuro concubitu gignuntur, templi aditu prohibuit: ut si D non sponte, ac certe inviti et coacti temperantes se præberent, ac sibi ipsis honeste casteque vivendi necessitatem imponerent: quod alioqui pœna ad eos, quos in lucem edituri essent, grassaretur. Quid enim parentibus gravius et acerbius accidere queat, quam ut filios suos, quos etiam seipsis

VARIÆ LECTIONES ET NOTÆ.

(15) Pro σωφρονοῖεν ambo sæpe laudati codd. scribunt σωφρονεῖν. Possin.

(16) Conser ep. 117 et 141 libri IV, ubi plura de hoc communi voto parentum dicam. Vide et supra libri II ep. 81. Rittr.

Digitized by Google

clariores et illustriores videre votis omnibus exoptant, ea conditione esse conspiciant, ut nec ad communes ac profanos, nec ad sacros conventus admittantur? Hanc igitur ipsis necessariam e vestigio pœnam intulit, ut pœnæ metu libidinosam intemperantiam coercerent. Nam corpora ea, quæ ex impuro sanguine finguntur, hujusmodi morbis obnoxia sunt. Quin multi aliam quoque etiam in hac vita pœnam, partim aperte, partim occulte luunt: atque item in futura prorsus luent. **275** Neque enim is, qui eos etiam, qui ex ipsis orti sunt, ob parentum lasciviam ignominia et dedecore affecit, illos ipsos qui deliquerunt impunitos abire sinet.

A ἐχοντας; Ταύτην μὲν οὖν ἀναγκαίαν αὐτοῖς καὶ παρὰ πόδας ἐπήγαγε τὴν δίκην, ἵνα φόβῳ τῆς τιμωρίας τὴν ἀκολασίαν κολάζωσι· τὰ γὰρ ἐξ ἀκαθάρτου αἵματος πλαττόμενα σώματα, ταῖς τοιαύταις νόσοις εὐάλωτα. Πολλοὶ δὲ καὶ ἄλλην κάνταῦθα δεδώκασι δίκην, οἱ μὲν σαφῶς, οἱ δὲ λεληθότως, κἀκεῖ δὲ πάντως δώσουσιν. Οὐ γὰρ ἂν τοὺς ἐξ αὐτῶν φύντας ἀτιμάσας διὰ τὴν τῶν γονέων ἀκρασίαν, αὐτοὺς τοὺς πλημμελήσαντας ἀτιμωρήτους ἀφήσει.

XLVII. — EIDEM.

Si iis, qui vitæ consuetudinem cum Eusebio habent, duorum alterum necesse est, nimirum ut vel in ipsius offensionem atque odium incurrant, aut intemperantiæ ipsius socii ac participes sint (siquidem graves et temperantes extrudit, eos autem qui petulanter atque inhoneste se gerere norunt, charos habet), auctor tibi fuerim ut ipsius consuetudinem et contubernium fugias, ne pestilentem morbum contrahas.

MZ'. — ΤΩ ΑΥΤΩ.

B Εἰ ἀνάγκη τοῖς συνοῦσιν Εὐσεβίῳ, δυοῖν θάτερον συμπεσεῖν, ἢ μεμισῆσθαι, ἢ μετέχειν τῆς ἀκρασίας· ἐπειδὴ τοὺς μὲν σώφρονας ἀπελαύνει, τοὺς δ' εἰδότας ἀσχημονεῖν, ἀγαπᾷ· παραινέσαιμί σοι φεύγειν τὴν τῶν αὐτῶν διατριβὴν (17), μὴ λοιμικοῦ νοσήματος παραπολαύσῃς

XLVIII. — EIDEM.

Eum, o modestiæ nativum simulacrum, haudquaquam laudo, qui in privata quidem vita perquam submissum et humilem se præbet, in imperio autem ac magistratu majora quam pro naturæ humanæ conditione, opinionis errore sibi fingat (ignavi enim profecto atque ingenerosi et plebeii hoc esse existimo): verum eum, qui, cum in privatorum numero est, sublimem et excelsum, cum autem præsul creatus est, facilem se ac modestum præstat, morbosque utrique rei insidiantes vitat, illi nimirum humilitatem, huic autem superbiam.

MH'. — ΤΩ ΑΥΤΩ.

C Οὐκ ἀποδέχομαι, ὦ μετριοφροσύνης αὐτόξεστον ἄγαλμα, τὸν ἐν μὲν τῷ ἰδιωτεύειν ταπεινὸν ἄγαν φαινόμενον, ἐν δὲ τῷ ἄρχειν μείζονα τῆς ἀνθρωπίνης φύσεως φανταζόμενον· ἀγεννοῦς γὰρ καὶ ἀνάνδρου καὶ ἰδιωτικῆς τῷ ὄντι τοῦθ' ἡγοῦμαι ψυχῆς εἶναι τεκμήριον· ἀλλ' ἰδιώτης μὲν ὢν, ὑψηλὸς τυγχάνοι· ἄρχων δ' ἀποφανθείς, ἐπιεικὴς καὶ μέτριος, καὶ τὰ ἐφεδρεύοντα ἑκατέρῳ πράγματι νοσήματα διαφύγοι, οὗ μὲν τὴν ταπεινότητα, οὗ δὲ (18) τὴν ὑπεροψίαν.

XLIX. — PALLADIO.

Cum a vitio abstinueris, tum de virtute quoque considerationem abs te iniri æquum fuerit. Si enim illud propulsaris, tum etiam quodnam virtutis genus arripere debeas, considerare licebit. Priusquam autem fundamenta recte jacta sint, de fine atque fastigio verba facere supervacaneum esse judico.

MΘ'. — ΠΑΛΛΑΔΙΩ.

Ὅταν τῆς κακίας ἀπόσχοιο, τότε καὶ περὶ ἀρετῆς σκοπεῖν ἂν εἴης δίκαιος. Ἐὰν γὰρ ἐκείνην ἀποτρίψαιο, τότε καὶ περὶ τοῦ τίνα τρόπον ἀρετῆς ἀντιλάβοιο, ἐξέσται σκοπεῖν. Πρὶν δὲ τὴν ἀρχὴν καὶ τὴν κρηπῖδα ὀρθῶς ὑποθέσθαι, περιττὸν ἡγοῦμαι περὶ τῆς τελευτῆς καὶ τῆς κορωνίδος διεξελθεῖν (19).

L. — THEODORO AUGUSTALIO.

Etiamsi quispiam rex sit, atque opibus circumfluat, ac voluptatibus cumuletur, invictamque potentiam obtinens ab omnibus laudetur beatusque prædicetur, ut qui omnibus (quæ bona existimantur) abundet: tamen et quid paulo ante, et quid aliquanto post futurus sit, animo volvere, ac non in contumeliam et insolentiam efferri debet. Quod si hæc omnia in unum coire nequeant (neque enim opibus prorsus voluptas quoque adjuncta est, bellis nimirum animorum oblectamento labem afferenti-

N'. — ΘΕΟΔΩΡΩ ΑΥΓΟΥΣΤΑΛΙΩ.

D Εἰ καὶ βασιλεύς τις εἴη, καὶ περιῤῥέοντα ἔχοι τὸν πλοῦτον, καὶ εὐφροσύνης ἔμπλεως ᾖ, ἀμαχόν τε κεκτημένος τὴν δύναμιν παρὰ πάντων ἐπαινοῖτο καὶ μακαρίζοιτο, ἅτε πᾶσι τοῖς δοκοῦσιν ἀγαθοῖς κεκομῶν, τὸ πρὸ βραχέος, καὶ τὸ μετὰ βραχὺ ἐννοῆσαι ἂν εἴη δίκαιος, καὶ μὴ πρὸς ὕβριν ἐπαίρεσθαι. Εἰ δ' οὐ δυνατὸν ταῦτα πάντα συνελθεῖν· οὐ γὰρ τῷ πλούτῳ πάντως καὶ εὐφροσύνη πρόσεστι, πολέμων ἔσθ' ὅτε λυμαινομένων τῇ ἀνέσει, οὐδ' εἰ θυμηδία καὶ πλοῦτος συνδράμοιεν, ἀσφάλεια προσέσται, τῶν

VARIÆ LECTIONES ET NOTÆ.

(17) Pro his, τὴν τῶν αὐτῶν διατριβήν, duo modo memorati codd. legunt τὴν σὴν αὐτῷ διατριβήν. Videtur legendum τὴν σὺν αὐτῷ, etc. Possin.

(18) Pro οὗ μὲν et οὗ δὲ codd. Vat. 649 et Alt. habent τοῦ μὲν et τοῦ δὲ. Ib.

(19) Sententia Demosthenis et Quintiliani. Rivt.

Digitized by Google

ἐν τέλει τινὸς τυραννίδα μελετῶντος. Ὡς τὰ πολλὰ γὰρ ἢ ἔνδοθεν φύονται ἐπιβουλαὶ, ἢ ἔξωθεν ἀναῤῥιπίζονται πόλεμοι· δι' ἣν αἰτίαν ἀφ' ἑνὸς τῶν δοκούντων ἀγαθῶν εἰς ὑπεροψίαν χωροῦμεν, καὶ κατὰ πάντων φρονοῦμεν;

A bus, nec si animi jucunditas et divitiæ in unum concurrant, securitas accedet, quod fortasse quispiam ex primariis viris maximaque dignitate præditis tyrannidem meditetur. Ut plurimum enim aut intestinæ insidiæ oriuntur, aut externa bella excitantur), quid est quamobrem ob unum duntaxat ex iis quæ speciem tantum boni habent, in superbiam ruimus, atque adversus omnes insolescimus?

ΝΑ'. — ΠΑΥΛΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Τό· « Πῶς ᾄσομεν τὴν ᾠδὴν Κυρίου ἐπὶ γῆς ἀλλοτρίας; » διττήν μοι δοκεῖ ἔχειν τὴν ἑρμηνείαν. Μάλιστα μὲν ἐπειδὴ μὴ ἐξῆν ἔξω τῆς Ἱερουσαλὴμ, μήτε Πάσχα ποιεῖν, μήτε τὰς ἄλλας ἑορτὰς· διὸ καὶ ἐνεκαλοῦντό τινες, ὡς ἀναγνόντες ἔξω νόμου (20)· Ἔπειτα δὲ ἐπειδὴ καὶ ἔσβεστο αὐτῶν ἡ παῤῥησία ἀπὸ τῆς αἰχμαλωσίας, ἔφασκον· Πῶς δυνάμεθα τὰ ἐπὶ τῆς Αἰγύπτου, καὶ τῆς ἐρήμου, καὶ τῆς Παλαιστίνης γεγενημένα θαυμάσια, τά τε κατ' Αἰθιόπων, καὶ κατὰ τοῦ Ἀσσυρίου, ὅτε καὶ ἑκατὸν ὀγδηκονταπέντε χιλιάδες ἄνευ πολέμου καὶ μάχης ἀνῃρέθησαν, διηγήσασθαι, ἀπιστούμενοι δι' ὧν νῦν ἁλόντες ἐν αἰχμαλωσίᾳ διατρίβομεν; Ἐπειδὴ γὰρ τὰ πράγματα ἀφῄρητο τῶν λόγων τὴν παῤῥησίαν, ὠνειδίζοντο γὰρ ὡς μάτην αὐχοῦντες τὰς εὐεργεσίας, ἔργοις δ' ἐλεγχόμενοι, μονονουχὶ ἔλεγον, ὅπερ καὶ οἱ παῖδες οἱ τρεῖς ἐν τῇ καμίνῳ· « Οὐκ ἔστιν ἡμῖν ἀνοῖξαι στόμα. » Τουτέστιν, Οὐ δυνάμεθα παῤῥησιάσασθαι ἐπὶ τοῖς ἀρχαίοις σεμνολογήμασιν, αἰσχύνη καὶ ἀνειδος ἐγενήθη τοῖς δούλοις σου. Ἡ γὰρ συμφορὰ ἔσβεσε τὴν παῤῥησίαν. Διὸ καὶ ὀνειδιζόμενοι, ἄφωνοι διαμένομεν. Οὐ γὰρ πιστευθησόμεθα ᾄδοντες μὲν τὰ τρόπαια, τεταπεινωμένοι δὲ καὶ δουλεύοντες.

276 LI. — PAULO PRESBYTERO.

Locus hic, « Quomodo cantabimus canticum Domini in terra aliena [43]? » duplici modo mihi exponi posse videtur. Primum enim ac præsertim, quia extra Hierosolymitanam civitatem, nec Pascha, nec alios festos dies celebrari fas erat (unde etiam quidam eo nomine in crimen vocabantur, quod B extra eam legem lectitassent); deinde quoniam ob captivitatem libertas ipsorum animique fiducia exstincta erat, dicebant: Quonam pacto miracula ea, quæ in Ægypto, et solitudine, ac Palæstina contigerunt, quæque etiam adversus Æthiopes et Assyrios edita sunt (quo tempore centum octoginta quinque millia sine pugna et dimicatione occubuerunt) commemorare possumus, cum, propterea quod nunc in captivitate degamus, fidem vobis minime faciamus? Quoniam enim adversæ eorum res loquendi libertatem ipsis eripiebant (probris enim afficiebantur, ut divina beneficia frustra jactantes, cum rebus ipsis coarguerentur), ideo iisdem pene verbis utebantur, quibus tres illi pueri in fornace: «Non est nobis os aperire [43*].» Hoc est, ob vetera decora et ornamenta fideliter ac libere loqui non possumus. Probri atque ignominiæ nota servis tuis insita est. Calamitas quippe verborum libertatem oppressit. Ob idque probris affecti, constanter silemus. Neque enim fidem nanciscemur, triumphos canentes, cum interim prostrati atque abjecti simus, ac servili jugo premamur.

ΝΒ'. — ΗΣΑΙΑ ΣΤΡΑΤΙΩΤΗ.

Μὴ, ἐπειδὴ κατὰ ῥοῦν σοι φέρεται τὰ πράγματα, εἰς ὑπερηφανίαν χωρήσῃς, ὡς οὐδὲν πεισόμενος δεινὸν, ἀλλ' ἐννοῶν ὅτι φιλεῖ εἰς τοὐναντίον τὰ πράγματα μεταχωρεῖν, μέτριον ἔχε τὸ φρόνημα· καὶ μὴ ἔξω τῶν τῆς ἀνθρωπότητος ὅρων χώρει. Δίκη γὰρ ἐφορᾷ τὰ δρώμενα, ἥτις τοὺς κρείττονας κολάσεως ἔσεσθαι ἡγησαμένους, δι' ὧν ἐνόμισαν διαφεύγειν, διὰ τούτων εἰς τιμωρίαν ὑπηγάγετο.

LII. — ISAIÆ MILITI.

Quamvis res tuæ ad voluntatem tuam fluant, ne tamen propterea, tanquam nihil unquam mali perpessurus, in arrogantiam et superbiam prorumpas, verum illud tecum reputans, res in contrarium migrare atque commutari solere, fac modesto animo sis, nec ultra humanæ naturæ fines progrediaris. Vindex enim Numinis vis, ea quæ geruntur inspicit: D quæ quidem eos, qui se sublimiores esse, quam ut in ipsos unquam animadverteretur, existimarant, per ea ipsa, quorum adminiculo pœnam sé vitaturos esse putabant, ad supplicium induxit.

ΝΓ'. — ΛΑΜΠΕΤΙΩ ΕΠΙΣΚΟΠΩ.

Πρὸς Ἐφεσίους· Τί ἐστι τὸ εἰρημένον· « Τὸν νόμον τῶν ἐντολῶν ἐν δόγμασι καταργήσας. »

Πολλὴ τοῦ Εὐαγγελίου πρὸς τὸν νόμον ἡ ὑπεροχή. Ὁ μὲν γὰρ νόμος εἰς τοὺς ὁμοφύλους μόνους συγκλείει τὴν φιλανθρωπίαν· τὸ δ' Εὐαγγέλιον καὶ εἰς τοὺς ἀλλοφύλους ἐπεκτείνει. Καὶ ὁ μὲν τοὺς

LIII. — LAMPETIO EPISCOPO.

Quid sit illud: « Legem mandatorum in doctrinis evacuans [44]. »

Evangelium lege multo præstantius est. Lex enim benignitatem in eos duntaxat, qui ejusdem nationis sunt, concludit: Evangelium autem ad alienas etiam nationes eam porrigit. Illa item amicos charos ha-

[43] Psal. CXXXVI, 4. [43*] Dan. III, 33. [44] Ephes. II, 15.

VARIÆ LECTIONES ET NOTÆ.

(20) Codd. nimbo Vat. et Alt. νόμου in νόμον mutant. Possin.

Digitized by Google

here jubet; hoc ut hostes etiam amemus, monet. Illa quippe, ut pueris, leges imponit; hoc autem, ut philosophis, excellentia dogmata præscribit. **277** Atque illud est, quod, ut tibi exponerem, postulasti, « Legem mandatorum in doctrinis evacuans. » Evacuavit enim, non evertendo, sed in sublimiori philosophia eam includendo. Siquidem adulterii interdictio sub eo præcepto maxime continetur, quod impudicis oculis mulierem intueri vetat. Atque item non occidere, sub eo includitur, quo irasci prohibemur.

A φίλους ἀγαπᾷν παρακελεύεται· τὸ δὲ καὶ τοὺς ἐχθροὺς ἀγαπᾷν προτρέπει. Ἐκεῖνος μὲν γὰρ ὡς παιδίοις νομοθετεῖ, τοῦτο δὲ ὡς φιλοσόφοις δόγματα ὑπερφυῆ ὑποτίθεται. Καὶ τοῦτ' ἔστιν ὃ ἠθέλησας μαθεῖν, « Τὸν νόμον τῶν ἐντολῶν ἐν δόγμασι καταργήσας. » Κατήργησεν, οὐκ ἀνατρέψας, ἀλλὰ τῇ μείζονι φιλοσοφίᾳ ἐμπεριειληφώς. Τῷ γὰρ μὴ ἰδεῖν ἀκολάστως, καὶ τὸ μὴ μοιχεύειν μάλιστα ἐμπεριέχεται· καὶ τῷ μὴ ὀργισθῆναι, καὶ τὸ μὴ φονεύειν ἐμπεριλαμβάνεται.

LIV. — ZOSIMO PRESBYTERO.

Si nec senectute jam longe provectus, palinodiam canis, quando tandem ad meliorem mentem redibis? Moneat te saltem senectutis vocabulum, quod παρὰ τὸ γῆς ἐρᾶν, hoc est a terræ amore, ductum est. Quamobrem ut corpore jam jamque in terram delapsuro, atque anima in resurrectione acerbissimas cum eo pœnas subitura (vis enim illa ultrix eorum a quibus contempta est cruciatus expetit), resipisce. Quamvis enim ad curanda tot vulnera haud satis temporis habeas, at hoc tamen non exiguam malis illis consolationem tibi afferre queat.

NΔ'. — ΖΩΣΙΜΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Εἰ οὐδὲ εἰς γῆρας βαθὺ ἐληλακὼς, παλινῳδίαν ᾄδεις, πότε μετανοήσεις; Αἰδέσθητι κἂν τοὔνομα B τοῦ γήρως, ὅπερ εἴρηται παρὰ τὸ γῆς ἐρᾶν (21). Ὡς τοίνυν τοῦ σώματος μὲν εἰς γῆν λοιπὸν ἀναλυθησομένου, τῆς δὲ ψυχῆς ἐν τῇ ἀναστάσει μετὰ αὐτοῦ πικροτάτας ὑποστησομένης τιμωρίας (διψᾷ γὰρ ἡ δίκη τὰς κατὰ τῶν καταφρονησάντων αὐτῆς κολάσεις), γνωσιμάχησον. Εἰ γὰρ καὶ καιρὸν οὐκ ἔχεις ἀυτάρκη τὰ τοσαῦτα θεραπεῦσαι τραύματα, ἀλλ' οὖν γε οὐ μικρὰν σοι τοῦτο προξενήσει ἐν τοῖς δεινοῖς ἐκείνοις παραμυθίαν.

LV. — PAULO.

Minime quidem puto te deceptum fuisse, verum de industria fucum veritati facere voluisse. Quod si vere deceptus a veritate aberrasti, re cognita, palinodiam cane. Tuus enim frater, honesta et rationi consentanea causa commemorata, ac non simulato C prætextu, meliorem mentem induit.

NE'. — ΠΑΥΛΩ.

Οἶμαι μέν σε μὴ ἠπατῆσθαι, ἀλλ' οἴκοθεν σοφίσασθαι τὴν ἀλήθειαν βεβουλῆσθαι. Εἰ δ' ὄντως ἀπατηθεὶς διήμαρτες τῆς ἀληθείας, μαθὼν παλινῳδίαν ᾄσον. Ὁ γὰρ ἀδελφὸς ὁ σὸς αἰτίαν εὔλογον εἰπὼν, ἀλλ' οὐ πρόφασιν σκηψάμενος (22), ἐγνωσιμάχησε.

LVI. — DOROTHEI FILIIS.

Etsi adversarius vester impetum in vos fecit, tanquam per incursionem vos superaturus atque in potestatem redacturus esset, ipse autem captus ac profligatus, a victoria quidem excidit, supplicis autem speciem atque habitum suscepit: at vos tamen lex de supplicibus lata commoveat. Sic enim et firmior vobis victoria, et luculentior gloria futura est.

NϚ'. — ΤΟΥ ΔΩΡΟΘΕΟΥ ΠΑΙΣΙΝ.

Εἰ καὶ ὥρμησεν ἐφ' ὑμᾶς ὁ διάδικος, ὡς αἱρήσων ἐξ ἐπιδρομῆς καὶ παραστησόμενος· ἁλοὺς δὲ, τῆς μὲν νίκης διήμαρτεν, ἱκέτου δὲ σχῆμα ἀνείληφεν· ἀλλ' ὑμεῖς αἰδέσθητε τὸν ἐπὶ τῶν ἱκετῶν νόμον, ἵνα καὶ βεβαιοτέρα ὑμῖν ἡ νίκη, καὶ τὸ κλέος ἀοίδιμον γένηται.

LVII. — ISIDORO SCHOLASTICO.

Vera brevitas cum perspicuitate conjuncta, non in argumentorum prætermissione, sed in earum rerum, quæ ad institutam materiam nihil opis conferunt, rejectione sita est. Ut enim ea, quæ ab orationis argumento aliena sunt, ponere supervacaneum est: ita etiam eorum, quæ ad ipsius confirmationem D

NZ'. — ΙΣΙΔΩΡΩ ΣΧΟΛΑΣΤΙΚΩ.

Συντομία ἀληθὴς (24) μετὰ σαφηνείας, οὐχ ἡ τῶν ἀποδείξεων παράλειψις, ἀλλ' ἡ τῶν μηδὲν τῷ προκειμένῳ συμβαλλομένων παραίτησις. Ὥσπερ γὰρ τὰ ἔξωθεν ὑποθέσεως παρέλκον τιθέναι· οὕτως ἀναγκαῖον μηδὲν τῶν πρὸς σύστασιν παραλιμπάνειν. Μὴ τοίνυν μηδ' αὐτὸς, εἰ ἀγωνιστικὸς καὶ ἀποδεικτικὸς

VARIÆ LECTIONES ET NOTÆ.

(21) *Γῆρας, παρὰ τὸ γῆς ἐρᾶν.* Etymologiam hanc non facile alibi legere memini. Ritt.

(22) Σκηψάμενος per tertium pluralem inflectit casum solus cod. Vat. 649, scribens σκηψαμένοις. Possin.

(23) In titulo codd. Vat. 649 et Alt. τοῦ in τοῖς mutant. Ego utramque lectionem conjungendam puto, et epigraphen ep. integre formandam, τοῖς τοῦ Δωροθέου παισίν. In.

(24) *Συντομία ἀληθής.* Confer Philemonem Comicum, Gregor. Naz. ep. 3, nec non et Plinium in ep. Philemon. ita :

Τὸν μὴ λέγοντα τῶν δεόντων μηδὲ ἓν
Μακρὸν νόμιζε, κἂν δ' ὁ εἰπὴ συλλαβάς.
Τὸν δ' εὖ λέγοντα μὴ νόμιζ' εἶναι μακρὸν,
Μηδ' ἂν σφόδρ' εἰπὴ πολλὰ καὶ πολὺν χρόνον.
Τεκμήριον δὲ τοῦδε τὸν Ὅμηρον λάβε.
Οὗτος γὰρ ἡμῖν μυριάδας ἐπῶν γράψει.
Ἀλλ' οὐδὲ εἷς Ὅμηρον εἶπεν μακρόν. Ritt.

Digitized by Google

ἐμπίσοι λόγος, αἰτιῶ (25) τὸ μῆκος, ἀλλ' ἐκεῖνο σκόπει, ὅτι σαφηνίσαι ἄλλως οὐχ οἷόν τε ἦν τὸ ζητούμενον, εἰ μὴ πολλῇ περιδρομῇ ἐχρήσατο. Εἰ μὲν γὰρ ἀποφήνασθαι προκέοιτο, σύντομος ἔστω ὁ λόγος· εἰ δὲ ἀποδεῖξαι, ἀνάγκη καὶ εἰς μῆκος μὲν ἐκταθῆναι, πᾶσαν δὲ περιττότητα, καὶ ταυτολογίαν διαφυγεῖν.

A aliquid momenti afferunt, nihil omittere necesse est. Quocirca ne tu quoque, si in pugnacem, atque in argutatricem orationem incidas, prolixitatem accuses: verum illud cogita, non aliter eam, id quod quærebatur, perspicue declarare potuisse, nisi longo verborum ambitu uteretur. Nam si affirmandum duntaxat et pronuntiandum sit, brevis sane atque compendiosa sit oratio. Si autem probandum et demonstrandum, tum vero, ut in longum quidem extendatur, omnem autem redundantiam, atque earumdem rerum repetitionem fugiat, necesse est.

ΝΗ'. — ΑΠΟΛΛΩΝΙΩ ΕΠΙΣΚΟΠΩ.

Πρὸς Ἑβραίους. Ἑρμηνεία εἰς τό· « Ὃς ὢν ἀπαύγασμα τῆς δόξης καὶ χαρακτὴρ τῆς ὑποστάσεως. »

Εἰ μὲν τοῖς ἀνθρωπίνοις πάθεσιν, ὅπερ οὐδ' εἰπεῖν θέμις, κατὰ πάντα ἕψοιτο ὁ τὴν θείαν γέννησιν ὑπογράφων, ἀκοῦσαι ἂν εἴη δίκαιος, ὅτι εἴ σοι πάθος πλάττεται περὶ τὸν τόκον, κἀμοὶ περὶ τὴν κτίσιν. Οὐ γὰρ τὸ κτιζόμενον, εἰ τῇ τῶν ἀνθρώπων ἀκολουθήσαιμι ἀσθενείᾳ, ἀπαθῶς οἶδα κτιζόμενον. Εἰ δὲ θεοπρεπέστερον τὰ μὲν πρέποντα καταδέξοιτο, τὰ δὲ ἀπηχῆ παριππεύσειεν, ἐννοῆσαι ὀφείλει, ὅτι ἐπειδὴ ὁ θνητὸς ἐμπαθῶς γεννᾷ, ὁ ἀθάνατος ἀπαθῶς· ὥσπερ οὖν καὶ κτίζων ὁ μὲν μετὰ πόνου, ὁ δὲ ἀμογητὶ κτίζει. Ταῦτα γὰρ ἐννοήσας καὶ ὁ θεσπέσιος Παῦλος, καὶ ὥσπερ ἔνθους γενόμενος, πάντα τὰ γήϊνα παραδείγματα ὑπερνηξάμενος, ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτῆρα τῆς ὑποστάσεως τῆς πατρικῆς, τὸν Υἱὸν εἶναι ὡρίσατο· διὰ μὲν τοῦ πρώτου τὸ συναΐδιον, διὰ δὲ τοῦ δευτέρου παραδείγματος, τὸ ἐνυπόστατον μηνύων.

B Si humanas affectiones (quod quidem dictu quoque nefas est) per omnia sequatur is, qui divinam generationem describit, hæc ad eum verba habere æquum fuerit. Si circa partum affectionem fingis: et ego item circa creationem. Neque enim quod creatur (si hominum imbecillitatem sequar) sine affectione creatur. Sin autem, ut divinitati magis consentaneum est, ea, quæ ipsius naturæ congruunt, accipiat, quæ autem absurda et inconcinna sunt, transiliat, illud cogitare debet, quod ut mortalis cum affectione gignit, ita contra immortalis sine affectione ac libidinum sensu; non secus videlicet atque ille cum labore aliquid creat, hic autem citra laborem. Hæc enim divinus quoque Paulus animo complectens, et, velut divino numine instinctus, terrena omnia exempla superans, splendorem glo-

C riæ, ac figuram paternæ substantiæ Filium esse statuit: per prius nimirum, coæternitatem, per posterius autem exemplum, ipsius substantiam significans.

ΝΘ'. — ΖΩΣΙΜΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Ποίοις ὀφθαλμοῖς εἰς τοὺς φίλους ἔτι τοὺς σαυτοῦ, εἴ γ' ἔχεις φίλους, βλέψεις, ἀνθρώπῳ εὐεργέτῃ καὶ φίλῳ ἐπιβουλεύσας; Ὁ μὲν γὰρ ἀδεέστερον (26), ὡς ἐπυθόμην, συνῆν, ἀναμφισβήτητον ἐνέχυρον οἰόμενος ἔχειν τοῦ μηδὲν ἂν ἐξ ἐπιβουλῆς παθεῖν, τὸ τῆς εὐνοίας καὶ τὸ τῆς εὐεργεσίας μέγεθος. Σὺ δὲ καὶ αὐτοὺς τοὺς θῆρας τῇ ἀγριότητι, καὶ τῇ ὠμότητι νενίκηκας· εἰσὶ γὰρ ἐν αὐτοῖς οἳ καὶ τοῖς εὐεργέταις χάριν ἴσασι (27)· καὶ ἐναβρύνῃ τῷ κακῷ. Πότε οὖν στήσῃ λοιπὸν καταποντίζων τὴν σαυτοῦ ψυχήν, τοῦ φέρεσθαι κάτω διηνεκῶς ἀνάγκην αὐτῇ ἐπιτιθείς;

D

LIX. — ZOSIMO PRESBYTERO.

Quibus jam oculis amicos tuos (si tamen amicos ullos habes) aspicies, qui homini de te bene merito atque amico insidias comparasti? Nam ille, ut audivi, securiori animo tecum versabatur, quod nihil se abs te ex insidiis perpessurum existimaret: ut qui hujus rei certissimum pignus sibi habere videretur, benevolentiam ac beneficii in te collati magnitudinem. Tu vero ipsas quoque feras immanitate atque crudelitate superasti (sunt enim inter eas, quæ bene de se meritis gratiam habere sciant): atque etiam ob hujusmodi scelus gloriaris. Ecquando igitur animam mergere desines, cui hanc perpetuo necessitatem affers, ut in præceps feratur?

Ξ'. — ΕΥΤΟΝΙΩ ΔΙΑΚΟΝΩ.

Ὁ τὴν εὐκαιρίαν τῶν πραγμάτων προδιδοὺς, ἧς τῶν καλῶν ἐκπεσεῖται θήρας. Τίς γὰρ γεωργὸν ἀπο-

LX. — EUTONIO DIACONO.

Qui rerum opportunitatem perdiderit, commoda minime assequetur. Ecquis enim agricolam probet,

[b] Hebr. I, 3.

VARIÆ LECTIONES ET NOTÆ.

(25) Ed. Paris., αὐτὸ τὸ μῆκος. Corr. ex codd. Vatic. 649 et Alt. apud Possinum. Edit. Patr.

(26) Non ἀδεέστερον adverbialiter, sed ἀδεέστερος in recto masculino uterque codex hoc vocabulum ponit. Possin.

(27) Exemplum insigne præbet leo hospes hominis qui ejus fuerat medicus; de quo Agellius. Vere igitur ἀτίθασσον θηρίον, hoc est bellua mansuescere nescia, vocatur homo ingratus qui ne beneficiis quidem cicur aut melior redditur: ep. 44, supra hoc lib. III. Ritt.

Digitized by Google

qui, cum arandi ac serendi tempus sit, ut postea uberem segetem habeat, otio et inertia torpet, ac pro foribus desidet? quis vinitorem, qui, cum vitem colere liceat, ut eam uvis abundantem, ac temulentum torcular habeat, aliorum laboribus insidias struit? Quis denique nautam, qui cum opportuna tempestate navigare debeat, ut majorem quæstum faciat, in portu manet, atque in cauponis volvatur? Nemo profecto. Cum igitur hæc ita se habeant, quis Christianum hunc probet, qui certaminum tempore coronas requirit? Res **279** enim hujus vitæ, certaminum ac non coronarum materiam præbent : res autem futuræ, honorum et præmiorum. Quocirca rerum occasionem et commoditatem ne prodamus : ne alioqui in futura inutili pœnitentia afficiamur.

A δέξοιτο, παρὸν ἀροῦν καὶ σπείρειν, ἵν' εὔσταχυν ἔχῃ τὸ λήϊον, ἀργοῦντα καὶ θυραυλοῦντα; τίς δ' ἀμπελουργὸν, ἐξὸν θεραπεύειν τὴν ἄμπελον, ἵν' εὐστάφυλον αὐτὴν ἔχοι, καὶ τὴν ληνὸν μεθύουσαν, τοῖς ἑτέρων ἐφεδρεύοντα πόνοις; Τίς δὲ πλωτῆρα, δέον εὐκαίρως πλεῖν, ἵνα τὴν ἐμπορίαν αὔξῃ, ἐν λιμέσι μένοντα, καὶ ἐν καπηλείοις καλινδούμενον; Οὐδείς δή που. Εἰ τοίνυν ταῦθ' οὕτως ἔχει, τίς ἀποδέξοιτο Χριστιανὸν, ἐν τῷ καιρῷ τῶν ἀγώνων τοὺς στεφάνους ἐπιζητοῦντα; Τὰ μὲν γὰρ τῇδε ἀγώνων ἐστὶ καὶ στεφάνων ὑπόθεσις· τὰ δὲ ἐκεῖ, γερῶν καὶ τιμῶν. Μὴ τοίνυν τὴν εὐκαιρίαν τῶν πραγμάτων προδῶμεν, ἵνα μὴ ἐκεῖ ἀνόνητα μεταμελῃθῶμεν.

LXI. — MARONI, PALLADIO, ZOSIMO, EUSTATHIO.

Ethnicorum multi solius gloriæ cupiditate ducti (fortasse quod post discessum ex hac vita nihil exspectarent : vel potius, quod vitium condemnarent, ac res etiam hujusce vitæ nihil æstimarent), virtutem coluerunt, hincque clari et celebres exstiterunt, atque omnium ore circumferuntur. Vos autem, quam ob causam, nec ob gloriam, nec ob judicium, nec ob famam et existimationem, nec ob præmium, nec denique ob allud quidquam ex his, quæ perditos etiam ac profligatos homines ad boni aliquid faciendum adigunt, ut a vitio abstineatis adduci potestis, magnopere miror.

ΞΑ'. — ΜΑΡΩΝΙ, ΠΑΛΛΑΔΙΩ, ΖΩΣΙΜΩ, ΕΥΣΤΑΘΙΩ.

Πολλοὶ τῶν παρ' Ἕλλησι δόξης μόνης ἀντιποιησαμένων, μηδὲν ἴσως προσδοκήσαντες μετὰ τὴν ἐνθένδε ἀποδημίαν· μᾶλλον δὲ καταγνόντες τῆς κακίας, καὶ τὸ μηδὲν εἶναι νομίσαντες τὰ βιωτικὰ πράγματα, ἀρετὴν ἀσκήσαντες, ἀοίδιμοι γεγόνασι, καὶ ἐν τοῖς ἁπάντων περιφέρονται στόμασιν. Ὑμεῖς δὲ δι' ἣν αἰτίαν οὔτε δόξης ἕνεκεν, οὔτε κρίσεως, οὔτε ὑπολήψεως, οὔτ' ἀμοιβῆς, οὔτ' ἄλλου οὐδενὸς, τῶν τοὺς σφόδρα ἀναλγήτως διακειμένους εἰς τὸ ποιῆσαί τι χρηστὸν ἐκβιαζομένων, προτρέπεσθε ἀποστῆναι τῆς κακίας, λίαν τεθαύμακα.

LXII. — ATHANASIO PRESBYTERO.

Palinodiam, ut dici solet, cano. A scopo enim, aut, ut verius loquar, a sententia aberravi : quippe qui haud talem te invenerim, qualem cum esse crederem, laudibus afficere conabar. Hoc autem non meum crimen est, sed tuæ mutationis, quæ in pejora studia deflexit. Nam ipse quidem, quoniam laudantibus fidem habeo, et iis, qui laudantur, faveo (propensionem enim quamdam ad bonum atque honestum habeo), idcirco adductus sum ut iis, qui te laudibus extulerunt, fidem arrogarem. Cupio quippe omnes ita se gerere ut laudem consequantur. Tu vero commutata vitæ ratione teipsum, non me coarguisti. Verum si de tua salute desperarem, non hæc scriberem. Quoniam autem optimam mutationem exspecto, idcirco scribo, teque moneo, ut ad veterem virtutem teipsum referas.

C

ΞΒ'. — ΑΘΑΝΑΣΙΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Ἄδω τὴν καλουμένην παλινῳδίαν. Ἥμαρτον γὰρ σκοποῦ, ἤ, τόγε ἀληθέστερον εἰπεῖν, γνώμης, μὴ εὑρών σε τοιοῦτον οἷον νομίζων ἐγκωμιάζειν ἐπεχείρουν. Τοῦτο δὲ οὐκ ἐμὸν, ἀλλὰ τῆς σῆς μεταβολῆς τῆς ἐπὶ τὰ χείρω νευσάσης ἐστὶν ἔγκλημα. Ἐγὼ μὲν γὰρ, ἐπειδήπερ καὶ πιστεύω τοῖς ἐγκωμιάζουσι, καὶ τοὺς ἐπαινουμένους συγχρωτῶ (ἔχω γάρ τινα ῥοπὴν πρὸς τὸ καλόν), πεπίστευκα τοῖς σε ἐπαινέσασι. Βούλομαι γὰρ πάντας εὐδοκίμους εἶναι· αὐτὸς δὲ μεταβληθεὶς σαυτὸν, οὐκ ἐμὲ ἤλεγξας. Ἀλλ' εἰ μὲν ἀπεγίνωσκον, οὐκ ἂν ταῦτ' ἔγραφον. Ἐπειδὴ δὲ ἀρίστην μεταβολὴν προσδοκῶ, καὶ γράφω, καὶ προτρέπω, ὥστε εἰς τὴν ἀρχαίαν ἀρετὴν σαυτὸν ἐπαναγαγεῖν.

LXIII. — THEOPOMPO.

De Arianis et Eunomianis.

Divinæ naturæ nihil æque proprium est, atque æternitas. Quare qui Filium posteriorem Patre, ex quo sempiterne effulsit, inducit, hic illud ipsum quod substantiam illam ab omni labe purissimam insignit, quantum in ipso est, evertit. Nam et numero et tempore sublimior est : neque ante et post, nec primum ac secundum admittit. Etenim ut aliis omnibus, ita etiam his nominibus, quibus res conditæ tanquam notis quibusdam exprimuntur, nullus ad eam aditus patet.

D

ΞΓ'. — ΘΕΟΠΟΜΠΩ.

Περὶ Ἀρειανῶν καὶ Εὐνομιανῶν.

Οὐδὲν οὕτω τῆς θείας φύσεως ἴδιον, ὡς τὸ ἀΐδιον. Ὁ τοίνυν μεταγενέστερον τὸν Υἱὸν λέγων τοῦ Πατρὸς, ἐξ οὗ ἀνάρχως ἐξέλαμψεν, οὗτος αὐτὸ τὸ χαρακτηρίζον τὴν ἀκήρατον οὐσίαν, τό γε αὐτοῦ μέρος, ἀναιρεῖ. Καὶ ἀριθμοῦ γὰρ καὶ χρόνου ἐστὶν ἀνωτέρα· καὶ τοῦ πρὸ καὶ μετὰ οὐκ ἀνέχεται, οὐδὲ τὸ πρῶτον καὶ δεύτερον προσίεται· ἀπρόσιτος γάρ ἐστιν ὥσπερ τοῖς ἄλλοις ἅπασι, καὶ τούτοις τοῖς ὀνόμασι, δι' ὧν τὰ κτίσματα χαρακτηρίζεται.

Digitized by Google

ΞΔ'. — ΠΑΥΛΩ.

Ἐπυθόμην ὡς σὺ μὲν σοφῶς ποιῶν, ἐκὼν δέδωκας τοῦ λαθεῖν ἐξουσίαν. Ὁ δὲ βέλτιστος Χαιρήμων ὑπὸ Ἀμμωνίου μὲν καθαιρεθείς, παρὰ δὲ Εὐσεβίου οὐκ οἶδ' ὅπως χειροτονηθείς, δόξας μὴ πεφωρᾶσθαι οὐκ ἠρυθρίασεν· ἀλλὰ καὶ φλυαρίαις τὴν σὴν ἠμείψατο φιλοσοφίαν. Μὴ τοίνυν δυσχεράνῃς, εἰ ἄνθρωπος μήτ' ἀρετῆς φροντίζων, μήτε φόβον θεῖον ἐν στέρνοις ἔχων, κατὰ τῆς σῆς ἐπιεικείας ὥπλισε τὴν γλῶτταν, ἀλλὰ προσδόκα καὶ ὑπὲρ τούτου στέφανον.

LXIV. — PAULO.

Te quidem prudenti consilio utentem, consulto, **280** ut Chæremonis flagitium in obscuro lateret, potestatem ipsi fecisse intellexi. At optimus ille vir, ab Ammonio quidem exauctoratus, ab Eusebio autem haud scio quonam pacto ordinatus, se minime deprehensum esse arbitratus, non modo non erubuit, sed etiam scitum tuum ac sapiens consilium nugacibus verbis remuneratus est. Tu vero ne hoc indigno atque acerbo animo feras, hominem nec ullam virtutis curam gerentem, nec Dei metum in præcordiis conditum habentem, linguam adversus tuam lenitatem ac facilitatem armasse. Verum hoc quoque nomine coronam exspecta.

ΞΕ'. — ΝΕΙΛΩ ΔΙΑΚΟΝΩ.

Ἡ ἀλήθεια πάσας τὰς τέχνας καὶ τὰς ἐπιστήμας κοσμεῖ· εἰ δ' αὐτὴ ἀπείη, οὐδεμίαν ἔχουσι κοσμιότητος ὥραν. Φιλοσοφία μὲν γὰρ ἡ παρ' Ἕλλησι τὴν ἀλήθειαν ἐπαγγελλομένη ζητεῖν, ταύτης ἐκπέπτωκε. Ῥητορικὴ δὲ δεινότητος καὶ ἀβρότητος μόνον φροντίζει. Γραμματικὴ δὲ τὴν τῶν λόγων ἐμπειρίαν διδάσκειν αὐχεῖ. Εἰ μὲν οὖν αὗται τῇ ἀληθείᾳ καλλωπίζονται, πρέπειναι ὀφείλουσιν εἶναι τοῖς ἐχέφροσιν. Εἰ δὲ κατ' αὐτῆς ὁπλίζοιντο, ἀτιμάζεσθαί εἰσι δίκαιαι.

LXV. — NILO DIACONO.

Veritas omnibus artibus et disciplinis ornamentum affert : quæ si absit, omni ornatu et elegantia carent. Ethnicorum enim philosophia, cum se veritatem quærere profiteatur, ab ea excidit. Rhetorica autem eloquentiam duntaxat ac verborum delicias curat. Grammatica denique sermonum peritiam se traditurum jactat. Quocirca si hæ veritate coornentur, prudentibus viris charæ esse debent. Si autem adversus eam arma capiant, optimo jure contemnendæ sunt.

ΞΣ'. — ΤΩ ΑΥΤΩ.

Πῶς νοητέον· « Εἰ ὀφθαλμός σου ἢ χεὶρ σου σκανδαλίζει σε. »

Οὐκ ἔστιν ἄλογος ὁ εὐαγγελικὸς χρησμὸς, ἀλλὰ νοῦ καὶ λογισμοῦ μεστός· μεγάλου γὰρ καὶ δοκοῦντος καὶ ὄντος τοῦ κρατεῖν ἐπιθυμίας, μεῖζόν ἐστι τὸ προνοεῖν ὅπως μὴ ἁλοίη [τις] τῇ νόσῳ. Τοῦτο γοῦν αὐτὸ κατασκευάζων ὁ Χριστὸς ἔφη· « Πᾶς ὁ βλέπων γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι, ἤδη ἐμοίχευσεν αὐτὴν ἐν τῇ καρδίᾳ ἑαυτοῦ· » οὐ τὸν ἐκ παρόδου καὶ ἐξαίφνης ἑωρακότα, καὶ τρωθέντα, καὶ ἐξελκύσαντα τὸ βέλος, καὶ τὸ τραῦμα θεραπεύσαντα, μοιχὸν ἀποφαίνων· οὐ γὰρ εἶπεν, Ὁ θεασάμενος, ἀλλ', « Ὁ θεώμενος, » ὁ ἐκ προενθυμήσεως τὸ πάθος ἐπισπασάμενος, καὶ παρ' ἑαυτῷ τρέφων καὶ συνεχῶς φοιτῶν πρὸς τὴν θεαθεῖσαν, καὶ περιεργαζόμενος κάλλος ἀλλότριον, καὶ διὰ τῆς συνεχοῦς θέας τρόπον τινὰ τῆς ἡδονῆς ἀπολαύων. Σὺ μὲν οὖν ἀσφαλῶς τὰ κατὰ σαυτοῦ οἰκονομῶν εἰκότως φρίττεις τὸν χρησμὸν, καὶ ἑρμηνευθῆναί σοι παρακαλεῖς, καὶ ἀπιστεῖς τοῖς εἰς τοσοῦτον ἥκουσιν ἀναισθησίας, ὡς λέγειν ὅτι οὐδὲν ἡ θέα βλάπτει τὸν ὁρῶντα. Ἐγὼ δέ σε μὲν ἀποδέχομαι φροντίζοντα τῆς οἰκείας σωτηρίας. Περὶ δὲ ἐκείνων φημὶ, ὅτι κρείττων ἀσφάλεια φιλοτιμίας ἐπισφαλοῦς (28). Καὶ τὸ τοὺς θείους χρησμοὺς τῶν οἰκείων λογισμῶν προτιμοτέρους ἄγειν,

LXVI. — EIDEM.

Quomodo sit intelligendum : « Si oculus tuus aut manus tua scandalizat te [46]. »

Evangelicum oraculum haudquaquam ratione caret, verum mente ac prudentia plenum est. Nam cum magnum, ut revera est, esse videatur, cupiditati imperare, majus ac præclarius est providere ne quis hoc morbo corripiatur. Hoc igitur ipsum moliens Christus his verbis usus est : « Quicunque videt mulierem ad concupiscendum, jam mœchatus est in corde suo [47]. » Quibus verbis non eum qui obiter ac repente eam vidit, ac vulnere affectus, ac telum statim extraxit, vulnusque curavit, adulterum esse pronuntiat. Non enim dixit, Qui vidit, sed, *Qui videt*, hoc est qui ex antecedente cogitatione morbum attraxit, et apud se nutrit, atque ad eam, quam aspexit, identidem commeat, alienamque pulchritudinem curiose perscrutatur, ac per continuum aspectum voluptatem quodammodo capit. Enimvero tu quidem tuto rebus tuis consulens, oraculum istud merito pertimescis : atque, ut ipsum tibi exponam, rogas, iisque diffidis, qui eo stuporis atque amentiæ procedunt, ut negent aspectum, ei, qui cernit, detrimenti quidquam importare. Ego autem, ut te hoc nomine laudo, quod salutis tuæ curam geras, ita de illis hoc dico, præstantiorem esse securitatem quam

[46] Matth. v, 29. [47] Ibid. 28.

VARIÆ LECTIONES ET NOTÆ.

(28) *Κρείττων ἀσφάλεια φιλοτιμίας ἐπισφαλοῦς.* Sic Tacitus lib. III, *Annalium* : « Brutidium artibus honestis copiosum, et, si rectum iter pergeret, ad clarissima quæque iturum, festinatio exstimulabat, dum æquales, dein superiores, postremo suasmet ipse spes anteire parat : quod multos etiam bonos pessumdedit, qui, spretis quæ tarda cum securitate, præmatura vel cum exitio properant. » Cum quo insigni loco prudentissimi historici confero hunc Leonis Magni serm. 2 *De jejunio Pentecostes* : « Melior est gradus lentior per iter rectum, quam velocitas festina per devium. » Ritt.

Digitized by Google

periculosam contentionem, piumque et æquissimum esse, divinas leges propriis rationibus antiquiores habere. Quod si quis mihi obtemperandum non putat, **281** Proverbiorum auctorem saltem audiat, qui ante oraculum evangelicum his verbis usus est : « Ne oculum tuum in ipsam deligas, verum statim avola, nec moram ullam in eo loco trahe [48]; » et item scriptorem (omni virtutis genere cumulatum), nunc quidem dicentem : « In pulchritudine mulieris multi seducti sunt [49]; » nunc autem : « Ne condiscas alienam pulchritudinem. » Non dixit : Ne spectes (potest enim id casu ac fortuito accidere), sed, Ne condiscas, meditatam videlicet considerationem, et curiosum aspectum, atque cum cupiditate conjunctam contemplationem de medio tollens. « Amicitia enim, inquit, hinc tanquam ignis exardescit, » hoc est, obscenus amor hinc oritur. Quin externis etiam hominibus, quibus hæc sinceritas haud admodum curæ fuit, hoc et consentaneum, et verum esse visum est. Ac Socrates quoque (nam eorum etiam dicta commemorabo, quoniam ad pudicitiam et castitatem incitant) cum quemdam formoso adolescenti osculum figentem conspexisset : « Hic, inquit, facile gladiorum cuspidibus innataret, atque in ignem insiliret, qui scilicet tantum in seipso incendium per osculum excitare minime dubitarit. » Diogenes item adolescentem lascivius, quam virum deceret, ornatum conspicatus, hæc ad eum verba habuit : « Si ad viros te confers, miser es; si ad mulieres, iniquus. » Etenim per nimium ornandi corporis studium, viri quidem feminas, feminæ autem et cinædi viros captant. Sed et Agesilaus puerum egregia forma, quem amabat, cum ipsum osculari vellet, inhibuit. Alexander vero Darii uxorem ne intueri quidem sustinuit : quod turpe esse censeret, eum, qui viros superasset, a feminis vinci. Quod si non modo Græcorum, sed etiam barbarorum exemplis utendum est, A καὶ εὐαγὲς, καὶ δικαιότατον (29). Εἰ δέ τις οὐ πείθεται, ἀκουέτω κἂν τοῦ παροιμιαστοῦ πρὸ τοῦ εὐαγγελικοῦ χρησμοῦ εἰρηκότος· « Μὴ ἐπιστήσῃς τὸ σὸν ὄμμα πρὸς αὐτὴν, ἀλλὰ ἀποπήδησον, μὴ ἐγχρονίσῃς ἐν τῷ τόπῳ· » καὶ τοῦ παναρέτου συγγραφέως (30), ποτὲ μὲν λέγοντος· « Ἐν κάλλει γυναικὸς πολλοὶ ἐπλανήθησαν· » ποτὲ δέ· «Μὴ καταμάνθανε κάλλος ἀλλότριον. » Οὐκ εἶπε, Μὴ ἴδῃς (συμβαίνει γὰρ ἀπὸ ταὐτομάτου γίνεσθαι τοῦτο), ἀλλὰ, Μὴ καταμάνθανε, τὴν ἐκ μελέτης κατανόησιν, τὴν περίεργον ὄψιν, τὴν μετ' ἐπιθυμίας θεωρίαν ἀναιρῶν. « Φιλία γὰρ, φησὶν, ἐκ τούτου ὡς πῦρ ἀναλαίεται· » τοῦτ' ἔστιν, ἔρως αἰσχρὸς ἐκ τούτου τίκτεται. Καὶ τοῖς ἔξωθεν δὲ ἀνθρώποις, μὴ πάνυ ταύτης τῆς ἀκριβείας πεφροντικόσι, τοῦτο καὶ εἰκὸς καὶ ἀληθὲς ἔδοξεν B εἶναι Καὶ Σωκράτης δὲ, λέξω γὰρ καὶ τὰ ἐκείνων, ἐπειδὴ πρὸς σωφροσύνην ἀλείφει, ἰδών τινα φιλήσαντα νέον εὔμορφον· « Οὗτος, ἔφη, ῥᾳδίως ἂν καὶ εἰς μαχαίρας κυβιστήσειεν, καὶ εἰς πῦρ ἁλοίη, ὁ τοσαύτην δηλονότι τολμήσας ἐν ἑαυτῷ ἀνάψαι διὰ τοῦ φιλήματος τὴν πυράν.» Διογένης (31) δ' ἰδὼν μειράκιον ἀσελγέστερον ἢ κατ' ἄνδρα κεκοσμημένον, ἔφη· « Εἰ μὲν πρὸς ἄνδρας, ἀτυχεῖς· εἰ δὲ πρὸς γυναῖκας, ἀδικεῖς. » Θηρῶσι γὰρ διὰ τοῦ καλλωπισμοῦ οἱ μὲν ἄνδρες τὰς γυναῖκας· αἱ δὲ γυναῖκες, καὶ οἱ ἀνδρόγυνοι, τοὺς ἄνδρας. Ἀγησίλαος δὲ παῖδα εὔμορφον, οὗ ἥρα, βουλόμενον αὐτὸν φιλῆσαι διεκώλυεν. Ἀλέξανδρος δὲ οὐδὲ ἰδεῖν τὴν Δαρείου ὑπέμεινεν· αἰσχρὸν νομίσας τοὺς ἄνδρας ἑλόντα γυναικὶ ἡττηθῆναι. Εἰ δὲ μὴ μόνον Ἑλληνικοῖς, ἀλλὰ καὶ Βαρβαρικοῖς χρὴ παραδείγμασι χρήσασθαι, οὐδὲ τοῦτο C ποιῆσαι παραιτήσομαι. Κῦρος (32) γοῦν ὁ Περσῶν βασιλεὺς οὐδὲ ἰδεῖν τὴν Πάνθειαν ἀφορισθεῖσαν αὐτῷ, καὶ ἀμήχανόν τι κάλλος ἔχειν μαρτυρουμένην, ἐτόλμησεν· ἀλλὰ καὶ τῷ ὁρῶντι συνεχῶς καὶ μηδὲν λέγοντι πάσχειν δεινὸν, παρῄνει μὴ συνεχῶς εἰς αὐτὴν ὁρᾷν. « Τὸ μὲν γὰρ πῦρ, φησὶ, τοὺς ἐγγὺς ὄντας καταχαίει· τὸ δὲ κάλλος, καὶ τοὺς πόρρω ἑστῶτας.»

[48] Prov. VII, 24, 25. [49] Eccli. IX, 9. [50] ibid. 8. [51] ibid. 11.

VARIÆ LECTIONES ET NOTÆ.

(29) *Τὸ τοὺς θείους χρησμοὺς τῶν οἰκείων λογισμῶν προτιμοτέρους ἄγειν, καὶ εὐαγὲς καὶ δικαιότατον.* B. C. pro τὸ habet δεῖ, quod non probo. Cum autem hic ordo invertitur, et λογισμοὶ οἰκεῖοι divinis oraculis anteponuntur, eum esse fontem omnis erroris, mali et perturbationis, alibi docet Isidorus. Vid. libri IV epist. 133. RITT.

(30) *Τοῦ τῆς Παναρέτου συγγραφέως.* Ita vocat Jesum Sirachi filium, qui idem inf. in epilogo hujus epistolæ appellatur, ὁ τὴν σοφίαν συντάξας. Libri titulus est apud Græcos geminus : Σοφία Σιρὰχ, vel etiam plenius : 1. Σοφία Ἰησοῦ υἱοῦ Σιρὰχ· 2. Ἡ πανάρετος· subauditur σοφία ἢ καὶ βίβλος. De priore constat ex Athanas. et Epiph. ac Cypriano. De posteriore, Panareto scilicet, ex eod. Epiphanio lib. *De mensura et ponderibus*, p. 534, Joanne Damasceno, p. 122, et Hieronymo ep. 115, item Commentar. in IX cap. Danielis. Cedrenus in *Annalibus* : Πτολεμαῖος ὁ Εὐεργέτης, ἐφ' οὗ τὴν πανάρετον σοφίαν συντάξας Ἑβραίοις Ἰησοῦς ὁ τοῦ Σιρὰχ ἐγνωρίζετο. Quorum locorum quædam adnotarunt etiam in suis ejus libri ad mores formandos utilissimi editionibus diligentissimi et doctissimi viri Janus Drusius, et David Hœschelius. Quæ cum ita sint, hallucinatus est interpres Isidori, cum sic vertit, *scriptorem omni virtutis genere cumulatum; debebat potius, scriptorem Panareti*, vel scriptorem *libri omni virtutis genere cumulati dixisse.* RITT.

— Vatic. 649 et Alt. pro his quæ exstant in edito, καὶ τοῦ παναρέτου συγγραφέως scribunt, καὶ τοῦ τῆς Παναρέτου συγγραφέως. Librum Ecclesiastici laudat hic Isidorus cui tanquam proprium nomen attribuit : ἡ Πανάρετος, subaudi βίβλος, quod de omni virtute præcipiat. Hoc ita se habere certo demonstrat quod duo testimonia statim recitata ex libro isto sunt, nempe illud, ἐν κάλλει γυναικὸς πολλοὶ ἐπλανήθησαν Ecclesiast. cap. IX, v. 9, et alterum, Μὴ καταμάνθανε κάλλος ἀλλότριον, quod exstat vers. 8 ejusd. cap. IX libri, Jesu Syrach Latinis Ecclesiastici vocati. Possin.

(31) Idem repetit inf. ep. 84. Vide et Laertium. RITT.

(32) Vide de eodem supra ep. 62 lib. II. Id.

Digitized by Google

Καὶ οὐκ ἐψεύσατο. Ἐάλω γὰρ ἐκεῖνος ὁ κρείττων εἶναι φήσας τῆς ἡδονῆς. Καὶ ἐπειδὴ πείθειν οὐκ ἠδύνατο (σώφρων γὰρ ἦν ἐκείνη)· βίαν αὐτῇ ἐπάξειν ἠπείλησεν, ἕως ἐκείνη τῷ Κύρῳ ἐμήνυσεν. Ὅστις συγγνοὺς ὅτι ἀμάχῳ θηρίῳ συγκαθειργμένος, ἔπαθεν ὅπερ ἔπαθεν, ἐδήλωσε τῷ μηδὲν ἐκ τῆς θέας βλάπτεσθαι ἀλαζονευομένῳ· « Εἰ μὲν πείθεις τὴν γυναῖκα, καὶ δή· εἰ δὲ βιάζῃ, οὐ συγχωρῶ. Εἰ τοίνυν καὶ ὁ εὐαγγελικὸς χρησμὸς καὶ ὁ τῶν Παροιμιῶν συγγραφεὺς, ὁ τὴν Σοφίαν συντάξας, καὶ τὰ Ἑλληνικὰ καὶ Περσικὰ παραδείγματα εἰς τοῦτο συμβαίνουσι, φυλακτέον παντὶ σθένει, καὶ χαλινωτέον τοὺς ὀφθαλμούς, καὶ ἐφεκτέον τῆς περιέργου, καὶ ἀκολάστου θέας, ὡς τῶν καιρίων καθαπτομένης. Μεγίστη γὰρ ἐκ ταύτης εἰς τὴν ψυχὴν εἰσρεῖ κακία· τὰ γὰρ καίρια αὐτῆς προκατασχοῦσα, καὶ τὸν λογισμὸν ἐξελάσασα, ὅλην αὐτὴν τοῦ πάθους εἶναι ποιεῖ.

A ne hoc quidem facere detrectabo. Cyrus igitur Persarum rex, Pantheam, quæ ipsi assignata fuerat, atque incredibili quadam pulchritudine prædita esse ferebatur, ne conspicere quidem ausus est. Quinetiam eum, qui ipsam assidue cernebat, nec se ullo propterea libidinis motu agitari dicebat ut ne eam assidue perspiceret, admonebat : « Ignis enim, inquiebat, eos duntaxat, qui propius ad eum accedunt, exurit ; pulchritudo autem eos etiam qui procul remoti sunt. » Necvero hac in re mentitus est. Nam ille, qui voluptate superiorem se esse prædicarat, captus est. Ac quia eam nulla oratione permovere poterat (pudicitiæ enim laude præstabat) vim se ipsi allaturum esse denuntiavit, quoad illa tandem de hac re Cyrum certiorem fecit. Qui cum B intelligeret, eum, propterea quod cum ejusmodi fera, cui nullæ vires pares esse queant, inclusus extitisset, in hanc fraudem incidisse, ipsi, qui se nullo ex aspectu detrimento affici nimis insolenter gloriabatur, hæc significavit : « Si mulieri, quod cupis, persuades, per me id licet; **282** si autem vim adhibes, id minime patiar. » Cum igitur et evangelicum oraculum, et Proverbiorum auctor, et qui Sapientiæ librum condidit, et tam Græca, quam Persica exempla in hoc conveniant, omnibus viribus oculos custodire, ac velut injecto freno coercere oportet, atque a curioso et impudico conspectu, ut intimas animi partes perstringente, sese abstinere. Maxima enim ex ea in animum improbitas influit. Nam cum ipsius arcem occuparit, ac rationem expulerit, totam eam libidini addictam ac mancipatam reddit.

ΞΖ'. — ΖΩΣΙΜΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Πυθόμενος ὅτι δέον σε προσδραμεῖν τῇ μετανοίᾳ, δέον αἰτῆσαι συγγνώμην ἐπὶ τοῖς πεπλημμεληκόσι, ἐπαγωνίζῃ τοῖς προτέροις, ἐπαποδύῃ τοῖς μιάσμασιν, C ἀεὶ τὰ πρότερα τοῖς δευτέροις ἀποκρύψαι φιλοτιμούμενος. Εἶτα δακρύσας ἔφην πρὸς ἐμαυτόν· Ὦ Ἰσίδωρε, τί μάτην κάμνεις, κατὰ πετρῶν σπείρων; Τί ὠφελῆσαι σπεύδεις τὸν ὠφεληθῆναι μὴ βουλόμενον; τί πονεῖς, καὶ ἀγρυπνεῖς, τοῦ, δι' ὃν ἡ ἀγρυπνία γίνεται, τῷ μὴ ποιεῖν τὰ γραφόμενα, ματαίαν αὐτὴν ἀποφαίνοντος; Παῦσαι ματαιοπονῶν, καὶ Αἰθίοπα σμήχων, καὶ εἰς πῦρ ξαίνων, καὶ λίθον ἐψῶν (33); Ὡς δὲ κόρον ἔλαβον ἐμαυτὸν αἰτιώμενος, χρηστὴ πάλιν ἐλπὶς ἔχει, ἤ τις καὶ ἄκοντα ἐξεδιάσατο, καὶ ταῦτα πάλιν χαράξαι τὰ γράμματα. Αὐτὸς τοιγαροῦν σκοπήσας οἷ τῶν κακῶν ἐχώρησας, εἰς μετάνοιαν παλινδρομῆσαι προθυμήθητι.

LXVII. — ZOSIMO PRESBYTERO.

Posteaquam intellexi, te, pro eo quod ad pœnitentiam accurrere, ac scelerum tuorum veniam petere oportebat, in pristina adhuc studia et flagitia majori etiam animi conatu et contentione incumbere, iisque inhærere, id videlicet summo studio agentem, ut priora per posteriora obscures, tum ego collacrymans ad me ipsum hæc verba habui : O Isidore, quid frustra te fatigas, in petras semen jaciens? Quid ei prodesse studes qui juvari non vult? Quid laboras et excubas, cum is, propter quem excubiæ aguntur, ea quæ scribantur exsequi recusando, inanes eas reddat? Quin tu vano labore te ipsum cruciare, atque Æthiopem dealbare, et ignem verberare, ac laterem coquere desinis? Postquam autem ad satietatem usque meipsum accusavi, bona spes rursum exorta est, quæ me invitum etiam ac repugnantem ad has quoque rursum litteras cudendas adegit. Quamobrem tu, quæso, quo malorum processeris, considerans, induc animum ad pœnitentiam reverti.

ΞΗ' — ΘΕΟΓΝΩΣΤΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Λίαν θαυμάζω, πῶς οἱ μὴ ἐπισφίγγοντες τὸ χαῦνον, καὶ τὸ ἐπὶ τῷ προεδρίας ἠξιῶσθαι παρὰ τοὺς πολλοὺς οἴημα, μεῖζον τοῦ δικαίου φρονοῦσι· καὶ οὐδ' αὐτὸ (34) λοιπὸν παραχωρῆσαι ἀξιοῦσι, τῷ ἡττῆθῆναι τῷ δικαίῳ ὕβριν ἡγούμενοι.

LXVIII. — THEOGNOSTO PRESBYTERO.

Demiror equidem, quonam pacto, ii, qui animi insolentiam ac fastum et tumorem ex eo conceptum, quod antistitii honore præ aliis affecti sint, minime astringunt, sublimius, quam par sit, de se sentiant, ac ne ipsum quidem jam relinquere velint, probro scilicet atque contumeliæ ducentes a jure et æquo superari.

VARIÆ LECTIONES ET NOTÆ.

(33) *Αἰθίοπα σμήχων, καὶ εἰς πῦρ ξαίνων, καὶ λίθον* (f. πλίνθον) *ἐψῶν.* Proverbia εἰς τὸν ματαιοπονοῦντα, in hominem qui irritum sumit laborem. Vid. hujusmodi plura apud parœmiographos. Bitt.

(34) Pro αὐτὸ duo codd. Vat. 649 et Alt. legi jubent αὐτῷ. Possin.

Digitized by Google

LXIX. — NILO.

Quando quidem ingens est humilitatis fastigium, ac contra ingens arrogantiæ ruina, idcirco te moneo, ut illud amplectaris, in hanc autem minime incidas.

LXX. — OPHELIO GRAMMATICO.

Non littora duntaxat, ut ab Homero dictum, atque a te scriptum est, eructantis maris spumam clamant : verum et terra, et mare, flagitia ea, quæ a Zosimo designata sunt, velut tragicis verbis exaggerant. Eo enim stuporis atque indolentiæ processit, ut et divina oracula, futiles quasdam nugas **283** et præstigias esse censeat, et eos, qui ipsum officii sui admonent, delirare existimet, ac denique omnes cujusvis ætatis et dignitatis petulanter insectetur. Quisnam igitur non lacrymas mittat? quis non lugeat, non ipsum duntaxat, verum etiam eum, qui sanctum sacerdotium ipsius fidei committere minime veritus est? Nam cum grave atque atrox sit, eum etiam, qui inter gregarios et obscuros censetur, tot vitiis contaminari : tum vero gravissimum et atrocissimum est, eum, qui in sacerdotium invasit. Hæc igitur scimus, atque assidue audientes, ingemiscimus, nec eum monere destitimus, nec vero, quandiu spirabimus, desistemus. Neque enim tu, ut ignaros, ea docere conaris, quæ nec oblivioni, nec silentio mandari possunt. Quidam enim eum, ut media ex parte exanimem, ad meliorem mentem revocant; quidam autem ut mortuum et exstinctum lugent. Verum, nec illi, nec isti quidquam proficiunt, sed risum ipsi excitant.

LXXI. — NILAMMONI DIACONO MEDICO.

Quod quidem Deus ad humanitatem et misericordiam propensus sit, perspectissimum habeo. Quod autem acerbissimas etiam ab iis, qui ipsius misericordiam contemnunt, pœnas exigat, tum sacræ Scripturæ docent, tum res ipsæ testantur. Quisnam enim diluvium induxit? Quis Sodomiticam terram una cum incolis concremavit? Quis Hierosolymam persecutus est? Quis Judæos in captivitatem redegit, atque in omnes terræ regiones velut fugitivos ac verberones servos circumegit? Quamobrem ne benignitate ac misericordia sola freti peccemus : verum justitiam quoque cogitantes, resipiscamus : quo illic quoque benignum ac facilem se ipse nobis præbeat. Siquidem animi resipiscentia æquam judici facilitatis ac misericordiæ viam aperit.

LXXII. — HERACLIO EPISCOPO.

Qui volentibus imperant, ii demum vere imperare mihi videntur, ac præsertim cum virtutis nomine

ΞΘ' — ΝΕΙΛΩ.

Ἐπεὶ (35) μέγα τῆς ταπεινοφροσύνης τὸ ὕψος, καὶ τῆς ὀλαζονείας τὸ πτῶμα, συμβουλεύω σοι ἐκεῖνο μὲν ἀσπάσασθαι, τούτῳ δὲ μὴ περιπεσεῖν.

Ο'. — ΟΦΕΛΙΩ ΓΡΑΜΜΑΤΙΚΩ.

Οὐκ ἠϊόνες μόναι, ὡς Ὅμηρος μὲν ἔφη, σὺ δὲ γέγραφας, βοῶσιν ἐρευγομένης ἁλὸς ἀχνην· ἀλλὰ γῆ τε καὶ θάλαττα, τὰς παρὰ Ζωσίμου καινουργηθείσας παρανομίας ἐκτραγῳδεῖ. Τοσοῦτος γάρ, ὥς φασιν, εἰς ἀναλγησίαν ἦρθη, ὡς μὲν τοὺς θείους χρησμοὺς, ἀγυρτικὰς λογοποιΐας νομίζειν· τοὺς δὲ τῶν δεόντων παραινέτας ληρεῖν ὑπολαμβάνειν, καὶ κατὰ πάσης ὁμοῦ ἡλικίας τε καὶ ἀξίας ἐπικωμάζειν. Τίς οὖν οὐ δακρύσει; τίς οὐ καταθρηνήσει οὐ μόνον αὐτὸν, ἀλλὰ καὶ τὸν τούτῳ τὴν εὐαγῆ ἱερωσύνην ἐμπιστεῦσαι τολμήσαντα; Δεινὸν μὲν γὰρ τὸ καὶ ἐν τοῖς ἀγελαίοις καὶ ἀφανέσι τελοῦντά τινα τοσούτοις καταμολυνθῆναι κακοῖς· τὸ δὲ καὶ εἰς ἱερωσύνην εἰσβιασάμενον, πάντη δεινότατον. Ἴσμεν οὖν ταῦτα, καὶ συνεχῶς ἀκούοντες, ὀλοφυρόμεθα, καὶ παραινοῦντες οὐκ ἐπαυσάμεθα· ἀλλ' οὐδὲ παυσόμεθα ἕως ἂν ἐμπνέωμεν. Μὴ γὰρ δὴ ὡς ἀνηκόους διδάσκειν πειρῶ τὰ μήτε λήθῃ, μήτε σιγῇ παραδοθῆναι δυνάμενα. Τινὲς μὲν γὰρ ὡς ἠμιθνῆτα τυγχάνοντα, ἀνακαλοῦνται· τινὲς δ' ὡς νεκρὸν καταθρηνοῦσιν. Ἀλλ' οὔτε ἐκεῖνοι, οὔτε οὗτοι ἀνύουσιν, ἀλλὰ γέλωτα παρ' αὐτῷ ὀφλισκάνουσιν.

ΟΑ' — ΝΕΙΛΑΜΜΩΝΙ ΔΙΑΚΟΝΩ ΙΑΤΡΩ.

Ὅτι μὲν φιλάνθρωπός ἐστιν ὁ Θεὸς, μάλ' ἀκριβῶς οἶδα. Ὅτι δὲ καὶ ἀπαιτεῖ δίκας σφοδροτάτας τοὺς τῆς φιλανθρωπίας καταφρονήσαντας, καὶ αἱ ἱεραὶ χρησμῳδοῦσι Γραφαὶ, καὶ τὰ πράγματα μαρτυρεῖ. Τίς γὰρ τὸν κατακλυσμὸν ἐπήγαγε; Τίς τὴν Σοδομιτῶν μετὰ τῶν οἰκητόρων ἐνέπρησε γῆν; Τίς τὴν Ἱερουσαλὴμ μετῆλθε; Τίς τοὺς Ἰουδαίους ἠχμαλώτευσε, καὶ πανταχοῦ γῆς ὡς δραπέτας καὶ μαστιγίας περιήγαγε; Μὴ τοίνυν τῇ φιλανθρωπίᾳ μόνῃ θαῤῥοῦντες ἁμαρτάνωμεν· ἀλλὰ καὶ τὴν δικαιοσύνην ἐννοοῦντες, γνωσιμαχῶμεν· ἵνα κἀκεῖσε ἡμῖν ὀφθῇ φιλάνθρωπος· ἡ γὰρ τῆς προαιρέσεως μετάνοια εὔλογον παρασκευάζει τῷ κριτῇ τῆς φιλανθρωπίας τὴν ὁδόν.

ΟΒ'. — ΗΡΑΚΛΕΙΩ ΕΠΙΣΚΟΠΩ.

Οἱ ἐκόντων ἄρχοντες (36), οὗτοί μοι δοκοῦσιν ὄντως ἄρχειν, καὶ μάλιστα ὅταν περίοπτοι ὦσι δι' ἀρετὴν

VARIÆ LECTIONES ET NOTÆ.

(35) Primum vocabulum hujus epist. in codd. Vat. 640 et Alt. non est ἐπεὶ, sed ἐπειδή. Possin.

(36) Herodianus lib. 1, oratione D. Marci ad senatum Rom. : Οὔτε χρημάτων πλῆθος οὐδὲν αὐταρκες πρὸς τυραννίδος ἀκρασίαν, οὔτε δορυφόρων φρουρὰ ἱκανὴ ῥύεσθαι τὸν ἄρχοντα, εἰ μὴ προυπάρχοι ἡ τῶν ὑπηκόων εὔνοια· μάλιστα δὲ ἐκεῖνοι εἰς ἀρχῆς μῆκος ἀκινδύνως ἤλασαν, ὅσοι μὴ φόβον ἐξ ὠμότητος, πόθον δὲ τῆς αὐτῶν χρηστότητος, ταῖς τῶν ἀρχομένων ψυχαῖς ἐνέσταξαν. Οὐ γὰρ οἱ ἐξ ἀνάγκης δουλεύοντες, ἀλλ' οἱ μετὰ πειθοῦς ὑπακούοντες, ἀνύποπτος καὶ ἔξω κολακείας προσποιήτου ὁρῶντές τε καὶ πάσχοντες διατελοῦσιν, οὐδέποτε ἀφηνιάζουσιν ἢν μὴ βίᾳ καὶ ὕβρει ἐπὶ τοῦτο ἀχθῶσι. Similis est apud Claudianum sententia. Rittr.

Digitized by Google

οἱ ἀρχόμενοι, δι' οὓς καὶ τὸ ἄρχειν ἐστὶ περιμάχητον. Οἱ δ' ἀκόντων ἄρχειν νομίζοντες, οὗτοί μοι δοκοῦσι παραπλήσιοι εἶναι τῶν τιμωρίαν διδόντων μᾶλλον, ἢ ἀρχὴν διεπόντων.

A conspicui sunt ii, qui subsunt: propter quos etiam dignum est imperium, quod certatim appetatur. Qui autem invitis imperant, eos potius similes iis esse duco, qui cruciatu afficiuntur, quam qui imperium administrant.

ΟΓ'. — ΠΑΛΛΑΔΙΩ.

Ὅτι ἡ πίστις χωρὶς τῶν ἔργων οὐ σώζει τὸν ἄνθρωπον.

Κινδυνεύεις, ὦ τί σε καλέσας ἀξίως προσονομάσω! ἀγνοεῖν τὰ καὶ τοῖς ἄγαν παισὶ πρόδηλα. Μὴ γὰρ δὴ νόμιζε, ὅτι ἡ πίστις (εἴ γε πίστιν χρὴ καλεῖν τὴν ὑπὸ τῶν ἔργων τῶν σῶν ἐλεγχομένην), σῶσαί σε δυνήσεται. Ἦ γὰρ πίστις ἡ ἐξ ἀρχῆς δικαιώσασα, πράξεις ἁρμοδίας ἑαυτῇ ἀπαιτεῖ, ὧν ἄνευ σωθῆναι οὐχ οἷόν τε. Τὸν γὰρ κατὰ χάριν προσληφθέντα, δίκαιον καὶ οἰκείοις ἐναβρύνεσθαι πλεονεκτήμασιν, εἴ γε μὴ μέλλοι καὶ ἀχαριστίας ἁλώσεσθαι.

LXXIII. — PALLADIO.

Quod fides sine operibus non servat hominem.

Videris, o quonam te nomine digne appellem! ea ignorare, quæ etiam puerulis nota et perspicua sunt. Neque enim hoc existimes, quod fides (si tamen fides dicenda est, quæ operibus tuis refutatur), salutem tibi afferre possit. Etenim fides ea, quæ primum justificavit, consentaneas sibi actiones exegit, quibus remotis nemo salutem consequi potest. B Nam eum, qui per gratiam assumptus est, propriis quoque virtutum dotibus exornari **284** convenit: ne alioqui ingrati animi notam incurrat.

ΟΔ'. — ΘΕΟΔΟΣΙΩ ΕΠΙΣΚΟΠΩ.

Ὁ τῆς ἀρχῆς ὅρος (37), ὦ ἀρχικῆς ἐπιστήμης ἀκριβέστατον βασανιστήριον, ἐκεῖνός ἐστιν ὁ πρὸς τὸ συμφέρον τῶν ὑπηκόων ἅπαντα πραγματευόμενος. Ὁ γὰρ τὴν τῆς ἀρχῆς εὐκοσμίαν εἰς τυραννίδα καὶ ἀκοσμίαν μετασχηματίσας, καὶ τοὺς μὲν πόνους τοῖς ἀρχομένοις προξενῶν· τὰς δ' ἡδονὰς ἑαυτῷ θηρώμενος, οὗτος οὐ τὸν τῆς ἀρχῆς ὅρον, ἀλλὰ τὸν τῆς τυραννίδος διὰ τῶν πραγμάτων ὑπογράφει.

LXXIV. — THEODOSIO EPISCOPO.

Imperii regula, o scientiæ imperandi explorator accuratissime, hæc demum est, quæ ad subditorum utilitatem omnia molitur. Nam qui imperii disciplinam compositumque ordinem, in tyrannidem et perturbationem immutavit, atque labores quidem subditis comparat, voluptates autem sibi aucupatur, hic non imperii, sed tyrannidis regulam ac legem describit.

ΟΕ'. — ΤΩ ΑΥΤΩ.

Εἰς τὸ, « Παραστήσατε τὰ σώματα ὑμῶν θυσίαν ζῶσαν, εὐάρεστον τῷ Θεῷ. »

Ἐκείνους, ὦ θαυμάσιε, ὁ θεσπέσιος Παῦλος ὁρίζεται ἱερέας, τοὺς μὴ θύμασι τὴν εὐσέβειαν, ἀλλὰ γυμνῇ πληροῦντας τῇ φύσει, καὶ μόνους καθαρῶς ἐκ τῶν σωμάτων οἰκοθεν σπένδοντας. Θῦμα γὰρ κάλλιστον, τὸ τὴν γνώμην ἔχειν εὐαγῆ, καὶ τὴν σάρκα ἁγνήν. Διὸ καὶ τοῦτ' ἔφη, ὅπερ μαθεῖν ἠθέλησας· « Παραστήσατε τὰ σώματα ὑμῶν θυσίαν ζῶσαν, εὐάρεστον τῷ Θεῷ, τὴν λογικὴν λατρείαν ὑμῶν. » Οὐ γὰρ ἱερεῦσι μόνοις γράφων, ὡς ἦγῇ, ἐπέστειλε ταῦτα, ἀλλ' ὁλοκλήρῳ Ἐκκλησίᾳ. Ἕκαστον γὰρ ἑαυτοῦ ἐν τούτῳ τῷ μέρει ἱερέα εἶναι προσέταξεν. Εἰ δὲ τοὺς ὑπηκόους ἡ ἁγνεία ἱερέας χειροτονεῖ, ἡ λαγνεία δηλονότι τοὺς ἱερέας ἀποχειροτονεῖ. Καὶ τοῦτο μὲν οἱ θεσμοὶ διαγορεύουσι· γίνεται δὲ τοῦτο D οὐ πάνυ· δι' ἃς δ' αἰτίας οὐκ ἐμὸν λέγειν. Οἱ δὲ τὴν θείαν ἱερωσύνην ἐστεμμένοι, καὶ τῆς προεδρίας ἀξίως τετυχηκότες, εἰ καὶ τὴν τοῦ σώματος ἁγνείαν φυλάξοιεν, ὄντως ἱερῶν εἰσιν ἱερώτεροι. Ὥσπερ γὰρ ἐπὶ τῆς Παλαιᾶς Διαθήκης ἱερᾶσθαι οὐκ ἐξῆν, εἰ μὴ τοῖς ἱερεῦσι μόνοις· ἐν δὲ τῷ καιρῷ τοῦ Πάσχα, πάν-

LXXV. — EIDEM.

In illud: «Exhibete corpora vestra hostiam viventem, placentem Deo [52]*.»*

C Eos demum, vir eximie, divinus Paulus sacerdotes esse statuit, qui non victimis et sacrificiis, sed nuda natura omnibus pietatis numeris perfunguntur, atque e corporibus suis pure ex se libant. Pulcherrima enim victima est piam mentem, et carnem castam habere. Eoque etiam illud dixit, quod tu ex me intelligere cupiisti: «Exhibete corpora vestra hostiam viventem, Deo placentem, rationabile obsequium vestrum.» Non enim ad sacerdotes solos scribens, ut ipse existimas, hæc ipsis mandabat, sed universæ Ecclesiæ. Unumquemque enim ipsorum hac in parte sacerdotem esse jussit. Quod si castitas et pudicitia subditos sacerdotes creat, libido procul dubio ac lascivia sacerdotibus D dignitatem abrogat. Atque hoc quidem leges et ecclesiastica instituta sanciunt: verum haud admodum tamen istud fit; quam autem ob causam, non est meum commemorare. At vero qui divino sacerdotio redimiti, ac præfecturam digne consecuti sunt, si corporis quoque castitatem custodiant, vere plus-

[52] Rom. XII, 1.

VARIÆ LECTIONES ET NOTÆ.

(37) Videtur hæc ep. potius Theodosio imperatori quam episcopo alicui, ut epigraphe indicat, inscripta esse, nisi quis dicat, etiam episcopum et sacerdotium requirere ἀρχικὴν ἐπιστήμην, quod verissimum est, cum regimen animarum sit ars artium; unde et Isidorus noster alibi sacerdotium et imperium inter se comparat lib. III, ep. 249. Notandum tamen et illud est quod ait Synesius, et ex eo repetiit Suidas in *Πολιτικός*· Πολιτικὴν ἀρετὴν ἱερωσύνῃ συνάπτειν, συγκλώθειν ἐστὶ τὰ ἀσυγκλωστα. RITT.

Digitized by Google

quam sacrosancti sunt. Ut enim in Veteri Testamento sacerdotii munere fungi exceptis sacerdotibus nemini licebat, Paschæ tamen tempore omnes sacerdotii honore afficiebantur (unusquisque enim pecudem immolabat), sic etiam in Novo ac successionis experte, sejunctim quidem, ac velut prærogative nomine, incruentæ victimæ sacrificium ii habent, quibus illud offerre concessum est: at interim unusquisque sui corporis sacerdos creatus est, non ut citra ordinationem et institutionem subditorum imperium arripiat, sed ut vitiis imperans, corpus suum castitatis delubrum aut templum efficiat.

τες τρόπον τινὰ ἱερωσύνῃ ἐτιμῶντο (ἕκαστος γὰρ τὸ πρόβατον ἔθυεν)· οὕτω καὶ ἐπὶ τῆς Καινῆς καὶ ἀδιαδόχου, ἔχουσι μὲν κατ' ἐξαίρετον τὴν ἱερουργίαν τῆς ἀναιμάκτου θυσίας, οἷς ἔξεστι ταύτην προσενεγκεῖν· ἕκαστος δὲ οἰκείου σώματος ἱερεὺς κεχειροτόνηται, οὐχ ἵνα ἀχειροτόνητος ἐπιπηδοίη τῇ τῶν ὑπηκόων ἀρχῇ, ἀλλ' ἵνα τῆς κακίας ἄρξας, τὸ σῶμα τέμενος ἢ ἱερὸν τῆς ἁγνείας κατασκευάσῃ.

LXXVI. — ARCHONTIO.

Cur libellum repudii dari mulieribus quæ odio habentur a viris legislator permiserit.

Divinarum legum interpretis Mosis, nec sapientiam, quam a Deo accepit, animo concepisse, **285** nec mentem ejus indagasse videris: verum tantum ab ejus mentis magnitudine, quantum a vitæ prohitate, remotus esse. Non enim, tanquam eas, quæ matrimonii legem minime violarunt, ejicere oporteret, sed ut majus et gravius malum reprimeret, minus malum non quidem lege sanxit, sed permisit: quod videlicet non modo melius existimaret furtivo adulterio, quod ab ipsis alioqui committeretur (neque enim alii aliorum uxoribus abuti dubitassent) apertum matrimonium, sed etiam præstabilius esse duceret, eas foras extrudi, quam domi obtruncari. Disjunxit enim eos, qui conjuncte vivere minime poterant. Nam qui prophetarum cruorem degustarant, ne uxoribus quidem, quibus infensi fuissent, pepercissent: nec qui ipsummet legislatorem aperte persæpe interficere tentaverant, quominus illas aut perspicue aut dolo atque astu necarent, aut adulterii arcesserent, sibi temperassent. Quocirca ut majus et atrocius malum reprimeret ac prohiberet, minis non tam edixit, quam permisit. Quod autem non temere de sapientissima illa mente conjiciam, tum hinc liquet, quod prophetæ ipsos ut cruoris siti flagrantes, atque aliena connubia perfodientes, apertissimis verbis accusent: tum etiam maxime ex eo, quod dicturus sum. Christus enim cum in terram venisset, atque ipsi hæc quæstio proposita fuisset, non modo Mosem non reprehendit, sed etiam ipsum purgavit, culpam nimirum in eos vertens, propter quos ipse quoque, id quod naturæ congruebat, negligere, atque uxoris repudium permittere coactus fuerat. Dixit enim: « Ad duritiem cordis vestri permisit vobis dimittere uxores vestras [88]; » hoc est, obcontumaciam vestram animique pervicaciam. « Ab initio autem non fuit sic. » Atque ad eumdem modum ipse quoque eas, quæ matrimonii legem violant, ejicere jussit: hoc autem nisi contingat, omnia alia uxorum vitia ferre præcepit, imo necessarium esse pronuntiavit. Neque

ΟϚ'. — ΑΡΧΟΝΤΙΩ ΠΟΜΠΕΥΟΜΕΝΩ (38).

Τίνος χάριν βιβλίον ἀποστασίου δίδοσθαι ταῖς μισουμέναις γυναιξὶ παρὰ τῶν ἀνδρῶν ὁ νομοθέτης ἐπέτρεψεν.

Ἔοικας τοῦ νομοθέτου Μωσέως, μήτε τὴν σοφίαν, ἣν ἔλαβε παρὰ τοῦ Θεοῦ, κεχωρηκέναι, μήτε τὴν διάνοιαν τεθηρευκέναι, ἀλλὰ τοσοῦτον αὐτοῦ ἀπολελεῖφθαι τῆς μεγαλονοίας, ὅσον καὶ τῆς πολιτείας. Οὐ γὰρ ὡς δέον τὰς μὴ εἰς τὸν τῶν γάμων θεσμὸν παρανομούσας ἐκβάλλειν, ἀλλὰ μεῖζον καὶ ἀργαλεώτερον βουλόμενος ἀναστεῖλαι κακὸν, τὸ ἔλαττον οὐκ ἐθέσπισεν, ἀλλ' ἐπέτρεψεν· οὐ μόνον κρεῖττονα κρίνας τῆς λαθραίου παρ' αὐτῶν ἂν τολμηθείσης μοιχείας (οὐ γὰρ ἂν ὤκνησαν ταῖς ἀλλήλων χρῆσθαι γυναιξὶ) τὸν φανερὸν γάμον, ἀλλὰ καὶ ἄμεινον ἡγησάμενος ἐκβληθῆναι αὐτὰς ἔξω, ἢ σφαγῆναι ἔνδον. Διέστησε γὰρ τοὺς συνεῖναι μὴ δυναμένους. Οἱ γὰρ προφητικῶν αἱμάτων γευσάμενοι, οὐκ ἂν γυναικῶν μισουμένων ἐφείσαντο· οὐδ' οἱ αὐτὸν τὸν νομοθέτην ἀνελεῖν πολλάκις φανερῶς ἐπιχειρήσαντες, τοῦ ἢ φανερῶς ἢ δόλοις ἀνελεῖν, ἢ μοιχείας γράψασθαι ἐκείνας ἀπέσχοντο. Τὸ οὖν μεῖζον κακὸν προαναστέλλων, τὸ ἔλαττον συνεχώρησε μᾶλλον, ἢ διηγόρευσεν. Ὅτι δὲ οὐχ ἁπλῶς καταστοχάζομαι τῆς τοῦ πανσόφου ἐκείνου διανοίας, μάλιστα μὲν ὅῆλον, καὶ ἐκ τοῦ τοὺς προφήτας ὡς αἱμάτων διψῶντας, καὶ τοὺς ἀλλοτρίους γάμους διορύττοντας, αὐτοὺς διαῤῥῆδην αἰτιᾶσθαι, οὐχ ἧκιστα δὲ καὶ ἐκ τοῦ λεχθησομένου. Ὁ γὰρ Χριστὸς δεῦρ' ἐπιφοιτήσας, ταύτης αὐτῷ πρυσενεχθείσης τῆς πεύσεως, οὐ μόνον οὐκ ἐμέμψατο τὸν Μωσέα, ἀλλὰ καὶ ὑπεραπελογήσατο, τὸ ἔγκλημα εἰς ἐκείνους τρέψας, δι' οὓς ἠναγκάσθη κἀκεῖνος τὸ πρέπον τῇ φύσει παριδεῖν, καὶ συγχωρῆσαι ἀπολῦσαι τὴν σύνευνον. Ἔφη γάρ· « Μωσῆς πρὸς τὴν σκληροκαρδίαν ὑμῶν ἐπέτρεψεν ὑμῖν ἀπολύειν τὰς γυναῖκας ὑμῶν, » τοῦτ' ἔστι, διὰ τὸ ἀπειθὲς ὑμῶν καὶ ἀνάγωγον· « Ἐξ ἀρχῆς δὲ, φησὶν, οὐκ ἐγένετο οὕτως. » Εἰς τὸν τῶν γάμων μὲν θεσμὸν παρανομούσας, καὶ αὐτὸς ἐκβάλλειν ἐκέλευσε· τούτου δὲ μὴ συμβαίνοντος, πάντα τὰ ἄλλα ἐλαττώματα τῶν γυναικῶν φέρειν προσέταξε, μᾶλλον δ' ἀναγκαῖον εἶναι ἀπεφήνατο. Οὐχ ἁπλῶς, οὐδὲ εἰκῇ. Εἰς ἕκαστον μὲν γὰρ τῶν νόμῳ γάμου συνιόντων τὰ ἄλλα ἁμαρτήματα [οὐ] βλέπει· ἡ δὲ μοιχεία εἰς τὰς τοῦ

[88] Matth. XIX, 8.

VARIÆ LECTIONES ET NOTÆ.

(38) In titulo hujus ep. duo iidem codd. mutant πομπευομένῳ in πολιτευομένῳ. Possin.

Digitized by Google

γάμων συνθήκας ὁρᾷ (39), καὶ τὴν τῶν παίδων κακοβρίζει εὐγένειαν, καὶ τὰς συγγενείας διασπᾷ, καὶ πάντα τὸν βίον ἀνατρέπει τὸν ἀνθρώπινον.

id quidem frustra et temere. Nam cætera quidem vitia unumquemque eorum qui matrimonii lege copulantur minime intuentur : adulterium ad ipsa matrimonii pacta tendit, ac filiorum nobilitatem contumelia afficit, et cognationes lacerat, ac denique humanam omnem vitam pessumdat et evertit.

ΟΖ'. — ΙΣΙΔΩΡΩ ΔΙΑΚΟΝΩ.

Πνευματικὰ ἔσεσθαι τὰ σώματα ἐν τῇ ἀναστάσει, ἔφησεν ὁ θεσπέσιος Παῦλος, διὰ δύο ταῦτα· διά τε τὸ κοῦφα, καὶ αἰθέρια, καὶ παντὸς κρεῖττονα πάθους, καὶ βάρους, μέλλειν ἔσεσθαι, καὶ διὰ τὸ τῷ θείῳ Πνεύματι μόνῳ λοιπὸν εἴκειν. Νῦν μὲν γὰρ κἂν παρῇ, τὸ κῦρος τῶν πραττομένων ἔχει ἡ ψυχή. Τότε δὲ δοχεῖα μᾶλλον ἔσται τοῦ Πνεύματος. Οὐ γὰρ μόνον αὐτὰ, ἀλλὰ καὶ ἡ ψυχὴ (40) πνευματικὴ ἔσται, ἅπαντα κατὰ τοὺς ἐκείνου νόμους διαπραττομένη. Εἰ δὲ περὶ τῶν σωμάτων τῶν ἁμαρτωλῶν ζητήσει τις, φήσομεν ὅτι ἡ κατὰ τὴν προτέραν ἐκδοχὴν κοῦφα ἔσται καὶ αἰθέρια, ἢ ὅτι ὑπὸ πυρὸς βασανισθήσεται μὲν, οὐκ ἀναλωθήσεται δέ· ἢ ὅτι κἂν ἐθελήσωσιν ἁμαρτεῖν, οὐ δυνήσονται.

LXXVII. — ISIDORO DIACONO.

Spiritualia futura esse in resurrectione corpora, duabus his de causis a divino Paulo dictum est [38]; altera, quia levia et ætherea, atque ab omni perpessione et gravitate libera futura sunt : altera, quia divino duntaxat Spiritui cessura sunt. Nunc enim, **286** quamvis ipse adsit, eorum tamen, quæ geruntur, arbitrium anima obtinet. Tunc autem Spiritus potius vasa et conceptacula erunt. Neque enim ipsa solum, verum etiam anima spiritualis erit, utpote cuncta ex illius legibus et præscriptis agens. Quod si quis de peccatorum corporibus quærat, illud dicemus, quod juxta priorem expositionem levia et ætherea erunt, vel quia ab igne quidem excruciabuntur, sed non absumentur : vel quia, etiamsi peccare velint, minime poterunt.

ΟΗ'. — ΤΩ ΑΥΤΩ.

Τί ἐστι, « Βασιλεὺς ἤμην ἐν μονοζώνοις. »

Ἐπειδὴ τὸ εἰρημένον παρὰ τοῦ ἀοιδίμου Ἰὼβ μαθεῖν ἠθέλησας, «Βασιλεὺς ἤμην ἐν μονοζώνοις,» οἶμαι δεῖ, ἐπειδὴ οἱ μονόζωνοι, ἢ στρατιωτικὰ τάγματα μηνύουσιν, ἢ βαρβαρικὰ στίφη, ἢ λῃστρικὰ συγκροτήματα, τοιοῦτόν τι εἰρηκέναι· Ἢ ὡς στρατιωτῶν νομίμως ἐπῆρχον, ἢ ὡς βαρβάρων ἀνδρείως ἐκράτουν, ἢ ὡς λῃσταῖς φόβον ἐνεποίουν, καὶ ἐκώλυον τοῖς αὐτῶν χρῆσθαι τρόποις· εἰ δὲ μὴ ἐπείθοντο, εἰς τὴν τῶν νόμων σαγήνην συνέκλειον.

LXXVIII. — EIDEM.

Quid sit, « Rex eram inter monozonos [39] »

Quoniam id quod ab illustri Jobo dictum est, « Rex eram inter monozonos, » quid significet, intelligere cupis, accipe quid sentiam. Quoniam enim monozoni vel militares ordines, vel barbaricas turmas, vel denique prædonum agmina significant, hujusmodi quiddam his eum verbis voluisse existimo : Aut ut militibus legitime imperabam, aut ut barbaros strenue superabam, aut ut latronibus metum incutiebam, et ne moribus suis uterentur, prohibebam, aut si minus obtemperabant, in legum retia eos includebam.

ΟΘ'. — ΠΑΛΛΑΔΙΩ.

Ἐπειδὴ οὐ τοῦ εἰδέναι χάριν, ἀλλὰ τῆς ἀπὸ τοῦ εἰδέναι ἀντιποιούμενος δόξης, ὡς πυνθάνομαι, δοκεῖς πονεῖν, βούλομαί σε, καὶ τοῦτο κατορθῶσαι, τὸ τῆς ἀληθείας μᾶλλον ἢ τῆς δόξης ἐφίεσθαι. Εἰ δὲ μεθύων νυνὶ τῷ τῆς φιλοδοξίας πάθει δυσχεραίνεις, εὖ οἶδ' ὅτι σωφρονήσας χάριν εἴσῃ.

LXXIX. — PALLADIO.

Quandoquidem, ut audio, non ut scias, sed ut gloriam ex scientia captes, studiorum laboribus incumbere videris, hoc quoque abs te præstari volo, ut veritatis potius quam gloriæ desiderio tenearis. Quod si nunc ambitionis affectu temulentus, hac oratione offenderis, non tamen dubito, quin ubi ad meliorem mentem redieris, gratiam mihi sis habiturus.

Π'. — ΖΩΣΙΜΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Φασί τινες ὡς ἱππήλατον σαυτὸν πᾶσι τοῖς αἰσχροῖς καὶ ἀνελευθέροις πάθεσι καταστήσας, τοῖς χρηστοῖς καὶ ἐλευθερίοις ἄβατον πάντη διατηρεῖς· οὐκ ἀπάτῃ καὶ παραλογισμοῖς, ἐκεῖνα μὲν ἀσμενίζων, ταῦτ'

LXXX. — ZOSIMO PRESBYTERO.

Aiunt nonnulli te animo ita constitutum esse, ut fœdis omnibus, atque ingenuo homine indignis affectibus pateas, ac contra ad honestos et ingenuos aditus omnes clausos teneas : non errore aliquo ac

[38] I Cor. xv, 44. [39] Job xxix, 25.

VARIÆ LECTIONES ET NOTÆ.

(39) De hujus criminis gravitate plura dixi in *Differentiis utriusque juris*. Confer. ep. 29 l. IV. RITT.

(40) Hæc verba, τότε δὲ δοχεῖα μᾶλλον ἔσται τοῦ Πνεύματος· οὐ γὰρ μόνον αὐτὰ, ἀλλὰ καὶ ψυχὴ, absunt a codd. duobus Vat. 649 et Alt., nec tamen ideo expungenda ex edito duxerim, uti nec aliam codicis Alt. solius correctionem recipio, qui pro eo quod legitur vers. seq. διαπραττομένη, scribit διαπραττομένους. POSSIN.

Digitized by Google

circumventione illos libenter amplectens, hos autem propulsans, verum judicio atque animi decreto, et quia nihil boni efficere velis. Quo etiam fit, ut difficilis tibi sit ad bonum propensio atque impetus, non enim dicam reditus. Neque enim te unquam recte quidquam aut deliberasse, aut egisse affirmant. Illud igitur tecum cogitans, brevi quod senectute jam longe progressus, procul dubio vitam cum morte commutabis, tandem aliquando tempore satiatus a vitiis absiste.

A ἀπωθούμενος· ἀλλὰ κρίσει καὶ βουλήσει, καὶ τῷ μηδὲν ὀρθὸν ἐθέλειν διαπράττεσθαι. Διὸ καὶ δύσκολός ἐστί σοι ἡ ἐπὶ τὰ καλὰ ὁρμή. Οὐ γὰρ ἂν εἴποιμι ἐπάνοδος· οὐδεπώποτε γάρ σε λέγουσιν ὀρθῶς οὔτε βεβουλεῦσθαι, οὔτε πεπραχέναι. Ἐννοήσας τοίνυν ὡς εἰς βαθὺ λοιπὸν γῆρας ἐλαύνων, πρόδηλον ἔχεις / τὸν θάνατον· κἂν ὀψὲ τοῦ καιροῦ κόρον λαβών, τῶν κακῶν ἀπόστηθι.

LXXXI. — EIDEM.

Haud miror, te, cum in aliis omnibus rebus insciitia labores, in hac quoque re imperitiam tuam demonstrasse. Nam contra illud me in admirationem rapuisset, si cum in aliis omnibus errore labereris, in hac re minime **287** aberrasses. Ac quidem fœdos et obscenos affectus per te ipse nosti, nec de his sermonem habere oportet. Quoniam autem probos et humanos ignoras, hos tibi exponam. Sunt autem hi, humanitas, misericordia, placabilitas, aliaque id genus. Quod si hoc te conturbat, quod eos affectus appellarim, hujus quoque rei testes fide dignos præbebo. Quanquam tu quidem, sat scio, ea quæ a me dicentur, intellectu minime assequeris, utpote qui imperitiæ alumnus sis: dicam tamen nihilo secius. Orator igitur Demosthenes, totius Græciæ caput, de Philippo verba faciens, cum rogaretur ut Olynthios captivos dono daret, his verbis usus est: «Ita ut Philippus affectu aliquo duceretur, ac beneficium daret.» Josephus autem, vir eruditionis et eloquentiæ nomine clarissimus, de factiosis, qui in Hierosolymitanæ urbis expugnatione viguerunt, scribens, ita locutus est: « Cum effera et implacabilis natura crudelitatis studium et exercitationem insuper assumpserit, duplici ex parte ad eam misericordiæ', ac probo et humano affectui, aditus omnis interclusus est.» Nullus porro tam lenus affectus perierat, quam misericordia. Quin Philo quoque qui ob sublime et excelsum dicendi genus, Platonis vel discipulus, vel magister esse visus est (de iis enim dictum est: Aut Plato philonizavit, aut Philo platonizavit); Mosen, ut improborum odio flagrantem, laudibus persecutus, his verbis usus est: «Ingenti autem dolore affectus, ac justa iracundia perfusus, Ægyptios quosdam, hoc est eos qui urgendis operibus a Pharaone præfecti fuerant, criminatur.» Afficitur enim quodammodo anima, atque aut ad misericordiam, aut ad placabilitatem, aut ad benignitatem, aut ad improbitatis odium propendet. Nisi enim frangeretur quispiam, supplicibus cujuspiam precibus minime commoveretur. Nisi inflecteretur, rogantem haudquaquam miseraretur. Nisi aliquo affectu tangeretur, beneficium in hostem minime conferret. Nisi justitiam læsam esse existimaret, in

B

C

D

ΠΑ'. — ΤΩ ΑΥΤΩ.

Οὐ θαυμάζω εἰ ἐν τοῖς ἄλλοις ἅπασιν ἀπαίδευτος ὤν, κἂν τούτῳ τὴν ἀμαθίαν τὴν σαυτοῦ ἐπεδείξω. Ἀλλὰ τότ' ἂν ἐθαύμασα, εἰ ἐν τοῖς ἄλλοις πταίων, ἐν τούτῳ οὐ διήμαρτες· τὰ μὲν οὖν αἰσχρὰ πάθη οἶσθα ἀπὸ σαυτοῦ, καὶ οὐδὲν δεῖ λόγων. Ἐπεὶδὴ δὲ τὰ χρηστὰ καὶ φιλάνθρωπα ἀγνοεῖς, ταῦτα φράσω. Εἰσὶ δὲ ἔλεος, φιλανθρωπία, οἶκτος, εὐμένεια, καὶ τὰ ἄλλα τὰ τούτων ἀδελφά. Εἰ δέ σε ταράττει τὸ καὶ ταῦτα πάθη λέγεσθαι, καὶ ἐγγυητὰς καὶ μάρτυρας τούτου ἀξιοπίστους ἄνδρας παρέξομαι. Οἶδα μὲν οὖν ὅτι αὐτὸς οὐ παρακολουθήσεις τοῖς λεγομένοις, ἅτε ἀπαιδευσίας τυγχάνων θρέμμα, ὅμως δ' οὖν αὐτὸς ἐρῶ. Δημοσθένης μὲν οὖν ὁ ῥήτωρ, τὸ τῆς Ἑλλάδος κεφάλαιον (41), περὶ τοῦ Φιλίππου λέγων, ὅτε παρεκαλεῖτο δοῦναι τοὺς Ὀλυνθίους αἰχμαλώτους, ἔφη· « Ὥστε τὸν Φίλιππον παθεῖν τι, καὶ δοῦναι τὴν χάριν. » Ἰώσηππος δὲ, ἀνὴρ ἐπὶ παιδεύσει καὶ εἰδήσει λόγων ἐπισημότατος, περὶ τῶν στασιαστῶν τῶν ἐν τῇ ἁλώσει τῆς Ἱερουσαλὴμ ἀκμασάντων γράφων ἔφη· « Ὅταν ἀτίθασσος καὶ ἀμείλικτος φύσις ἄσκησιν τὴν εἰς τὸ ἀνήμερον προσλάβῃ, διχόθεν ἄβατος, καὶ ἀπρόσιτος οἴκτῳ γίνεται, καὶ χρηστῷ πάθει καὶ φιλανθρώπῳ. » Οὐδὲν δὲ οὕτως χρηστὸν πάθος ἀπολώλει, ὡς ἔλεος. Καὶ Φίλων δὲ, ἄνθρωπος Πλάτωνος ἢ ὁμιλητὴς ἢ ὑφηγητής τις εἶναι δόξας, διὰ τὸ τῆς φράσεως ὕψος· ἐῤῥέθη γὰρ περὶ αὐτῶν. « Ἢ Πλάτων ἐφιλώνισεν, ἢ Φίλων ἐπλατώνισεν· » ἐγκωμιάσας μὲν τὸν Μωσέα, ὡς μισοπόνηρον, ἔφη· « Περιπαθήσας δὲ καὶ δικαίας ὀργῆς ἐμπλησθείς, διαβάλλει τινὰς Αἰγυπτίους, τοὺς ἐργοδιώκτας φημὶ τοῦ Φαραώ. » Πάσχει γάρ τι ἡ ψυχὴ, καὶ ἢ εἰς ἔλεον, ἢ εἰς εὐμένειαν, ἢ εἰς χρηστότητα, ἢ εἰς μισοπονηρίαν νεύει. Εἰ μὴ γὰρ ἐπικλασθείη τις, οὐκ ἂν τὸν ἱκέτην ἐλεήσειεν· εἰ μὴ ἐπικαμφθείη, οὐκ ἂν τὸν δεόμενον οἰκτειρήσειεν· εἰ μὴ πάθοι τι, οὐκ ἂν τὸν ἐχθρὸν εὐεργετήσειεν· εἰ μὴ νομίσει ἠδικεῖσθαι τὴν δικαιοσύνην, οὐκ ἂν εἰς μισοπονηρίαν τραπείη. Τὴν δὲ τροπὴν ταύτην καὶ πάθος καλοῦσιν. Ὥσπερ γὰρ ὁ ἀπὸ τοῦ βελτίονος ἐπὶ τὸ χεῖρον τρεπόμενος, πάσχει οὕτω καὶ ὁ ἀπὸ τῶν χειρόνων ἐπὶ τὸ ἄμεινον τρεπόμενος, πάσχει τι. Τροπῆς γάρ ἐστι τὸ πάθος ὄνομα. Τοιγαροῦν καὶ αὐτὸς, κἂν ὀψέ ποτε τῆς ἡλικίας τὰ αἰσχρὰ φεῦγε πάθη, ἵνα μὴ

VARIÆ LECTIONES ET NOTÆ.

(41) Sic Ammian. Marcel. lib. xxx: « Demosthenes perpetuum Græciæ decus, » etc. Ritt.

Digitized by Google

ποτε (42) ἐπαινέσῃς τὴν παραίνεσιν, ὅτε τῶν ἐπαίνων σοι ὄφελος οὐδέν.

enim qui a virtute in vitium sese convertit, afficitur: nonnihil afficitur. Affectus enim vocabulum, ætate turpes affectus tandem aliquando fuge, ne tibi hujusmodi laudes nihil utilitatis allaturæ sunt.

A improborum odium minime converteretur. Hanc porro conversionem, affectum etiam appellant. Ut ita rursum qui a vitio ad virtutem sese convertit, conversionis est. Quamobrem tu quoque in hac senili alioqui consilium meum tum denique laudes, cum

ΠΒ'. — ΑΜΜΩΝΙ.

Ὅτι ὁ τῆς μακαρίας μνήμης Τιμόθεος, τοῦ ἀτιθάσσου θηρίου ἐτιθάσσευε τὰς ὁρμάς, καὶ τὸ ἀμείλικτον εἰς τὸ ἐμμελὲς μετερρύθμιζεν, ἡ μετὰ τὴν ἐκείνου τελευτὴν ἐπικωμάσασα τῷ ἀλιτηρίῳ Εὐσεβίῳ μανία, σαφῶς ἔδειξεν.

LXXXII. — AMMONI.

Quod Timotheus (cujus faustum felixque sit meminisse) agrestis et indomitæ belluæ impetus cicurabat, ejusque sævitiam et immanitatem in concinnitatem quamdam et suavitatem commutabat, furor ille, qui post **288** illius e vita discessum, pestiferum et exsecrandum Eusebium invasit, perspicue demonstravit.

B

ΠΓ'. — ΕΥΤΟΝΙΩ ΔΙΑΚΟΝΩ.

Εἰ τὸ κάλλος τοῦ σώματος οὐδ' ὑπὸ τῶν ἐκπλήξεων ἀλλοιοῦται, σώζει δ' αὐτὸ κἂν ἐν δακρύοις ἦ· πολλῷ μᾶλλον ἡ τῆς ψυχῆς ὥρα ὑπὸ τῶν ἐμπιπτόντων πειρασμῶν ἀλλοιωθῆναι οὐκ ὀφείλει, κἂν ἐν συμφοραῖς τυγχάνῃ.

LXXXIII. — EUTONIO DIACONO.

Si corporis pulchritudo nec ob stupores immutatur, verum etiam inter lacrymas retinetur: quanto minus animæ decor ob incurrentes tentationes, etiamsi in calamitatibus versetur, immutari debet.

ΠΔ'. — ΑΓΑΘΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Διὰ τί προσέταξεν ὁ νόμος, Λίνον καὶ ἔριον καὶ πορφύραν μὴ συνυφαίνεσθαι, ἐν δὲ τῷ Λευϊτικῷ καὶ λέπραν ἱματίων καὶ λίθων πολυπραγμονεῖ.

Ἐπειδὴ γέγραφας τί βουλόμενος ὁ Μωσῆς ἐνομοθέτησε, λίνον μὲν καὶ ἔριον μὴ συνυφαίνεσθαι· ἐν δὲ τοῖς λινοῖς ἱματίοις πορφύραν μὴ συνυφαίνειν, λέπραν τε ἱματίων καὶ λίθων πολυπραγμονεῖν, εἶχον μὲν καὶ τὰς θεωρίας αὐτῶν μηνῦσαι. Ἔχουσι γὰρ ἀρίστας ἀλληγορίας ὠφελῆσαι δυναμένας, τοὺς μὴ ἀγύμναστον ἔχοντας πρὸς θεωρίαν τὸν νοῦν· ἀλλ' ἐπειδὴ οἶδα πολλοὺς μὲν νομίζοντας τοὺς τὰ τοιαῦτα λέγοντας, ἀμαθίᾳ τοὺς ἀγῶνας ἐκλύειν· σὲ δὲ τοῖς πράγμασι, καὶ μόνῃ τῇ ἑρμηνείᾳ τῶν Γραφῶν χαίροντα, εὐθείαν τὴν ἀπόκρισιν ποιήσομαι, κύκλων ἀπηλλαγμένην. Οἶμαι τοίνυν ὅτι εἰς φιλοσοφίαν τοὺς ὑπηκόους ἐνάγων, καὶ τῆς χρείας μόνης γενέσθαι βουλόμενος, πᾶσαν βλακείαν ἐξωστράκισε, δι' ἃ μὲν τοῦ μὴ συνυφαίνειν λίνον καὶ ἔριον, τὴν ποικιλίαν ἐξορίζων· διὰ δὲ τοῦ πορφύραν μὴ συνυφαίνειν τοῖς λινοῖς ἱματίοις, τὴν πολυτέλειαν καὶ τὸν καλλωπισμόν· διὰ δὲ τοῦ λέπραν ἱματίων καὶ λίθων περιεργάζεσθαι, τὸ πλέον τῆς χρείας κτήσασθαι, καὶ ἀποθέσθαι ἀπαγορεύων. Τοῖς γὰρ χρονίοις ἱματίοις καὶ οἰκίαις τοῦτο συμβαίνειν εἴωθε. Τῆς χρείας γὰρ ἔσο, φησὶ, μηδὲν περιττὸν, μήτε κτώμενος, μήτε ἀποτιθέμενος, ἀλλὰ μηδὲ καλλωπιζόμενος, ἀλλὰ πᾶσαν τὴν φροντίδα καὶ τὴν σπουδὴν, εἰς τὴν τῆς ψυχῆς ἐπιμέλειαν μετάστησον (43). Εἰ δὲ βουληθείης, καὶ παρὰ τῶν ἔξωθεν ὠφεληθῆναι· φασὶ γὰρ τὰς τῶν καρπῶν ἀπορρεούσας ἡμέρους συκᾶς, διὰ τῶν ὀλύνθων τῶν ἀγρίων συσφίγγεσθαι (44)· φαίην, ὅτι καὶ

LXXXIV. — AGATHO PRESBYTERO.

Cur præcepit lex ne linum cum lana et purpura contexeretur[36]*, in Levitico vero lepram vestimentorum et lapidum diligenter inquirit*[37].

Quoniam per litteras quæris, quidnam Mosem impulerit, ut lege caveret, ne quis linum cum lana contexeret, lineisque item vestibus purpuram ne attexeret, ac denique ut vestimentorum et lapidum lepra diligenter inquireretur, poteram quidem ipse harum rerum speculationes declarare. Habent enim pulcherrimas allegorias, quæque iis, qui mentem ad mysticos sensus haudquaquam rudem et inexpertam habent, utilitati esse queant. Verum quoniam plerosque novi, qui eos, qui hujusmodi sermonibus utuntur, ob inscitiam certamina defugere arbitrantur; te autem rebus ipsis ac sola Scripturarum interpretatione delectari, propterea rectum, atque ab omni verborum circuitu liberum a me responsum feres. Existimo itaque Mosem, ut eos, quibus præerat, ad philosophiam induceret, et quia ipsos necessario duntaxat curare cupiebat, mollitiem omnem eliminasse; per id nimirum, quod linum et lanam contexi vetabat, variegandarum rerum studium depellentem: per id autem, quod lineis vestibus purpuram attexi prohibebat, luxum ac profusionem, nimiumque ornandi corporis studium: per id denique; quod vestimentorum et lapidum lepram inhibebat, illud interdicentem, ne quis plura, quam opus esset, quæreret ac reconderet. Etenim vetustis indumentis et vestibus istud evenire consuevit. Rebus necessariis, inquit, contentus esto, nihil supervacanei, nec acquirens, nec recondens, nec item præ-

[36] Deut. xxii, 11. [37] Levit. xiv, 40 seqq.

VARIÆ LECTIONES ET NOTÆ.

(42) Codd. Vatic. 649 et Alt., μὴ τότε. Possin.

(43) Pro μετάστησον cod. Vatic. 649 solus habet μετάστηθι. Id.

(44) Vide Plin. *Nat. hist.* Eleganter autem sacrarum litterarum dogmata ficui, externorum scriptorum caprificо comparat. Rutt.

Digitized by Google

postero corporis ornatui studens, verum operam omnem et studium ad animæ curam converte. Quod si ab externis quoque scriptoribus utilitatem capere velis (aiunt enim sativas ficus, cum fructibus defluunt, per caprificos constringi) hoc dixerim, quod Isocrates etiam in eo libro, in quo Dæmonicum præceptis instituit, eum his verbis admonet : « Cura ut in vestitus ratione cultus atque honestus sis, non autem immodici ornatus studiosus. Honesti enim est magnificentia, lascive autem se ornantis, superfluitas et redundantia. » Quodque hoc verum sit, ex eo, quod a Diogene dictum est, perspicue ostenditur. Nam cum adolescentem quemdam lascivius, quam virum deceret, ornatum conspexisset **289** « Si ad viros, inquit, te confers, miser es ; si ad feminas, iniquus. » Cum igitur externi auctores honesti ac decori curam gesserint, an non sacrosanctus ille ac Deo clarus vir, populares suos ad philosophiam inducens, omnem variegandi artem et mollitiem, nimiumque ornatus studium e subditorum animis eliminare, atque honestatem et gravitatem, quarum opera et adjumento præstantissima vita numeris omnibus absolvitur, sancire ac præscribere debebat?

A Ἰσοκράτης, ὅτε Δημονίκῳ τοὺς παραινετικοὺς ἔπεμπε λόγους, παρῄνει· « Ἔσο περὶ τὴν ἐσθῆτα φιλόκαλος, ἀλλὰ μὴ καλλωπιστής. Φιλοκάλου μὲν γὰρ τὸ μεγαλοπρεπὲς, καλλωπιστοῦ δὲ τὸ περίεργον· » καὶ ὅτι τοῦτο ἀληθές ἐστι, δι' ὧν Διογένης εἶπε, σαφῶς δείκνυται. Θεασάμενος γάρ τινα μειρακίσκον ἀσελγέστερον ἢ κατ' ἄνδρα κεκοσμημένον, ἔφη αὐτῷ· « Εἰ μὲν πρὸς ἄνδρας, ἀτυχεῖς· εἰ δὲ πρὸς γυναῖκας, ἀδικεῖς. » Εἰ τοίνυν οἱ ἔξωθεν τοῦ πρέποντος ἐπεμελήθησαν, πῶς οὐκ ἔμελλεν ὁ ἱερὸς ἐκεῖνος καὶ θεοφιλὴς ἀνὴρ εἰς φιλοσοφίαν ἐνάγων, πᾶσαν μὲν ποικιλίαν καὶ βλακείαν, καὶ καλλωπισμὸν ἐκ τῶν ὑπηκόων ἐξορίζειν, κοσμιότητα δὲ καὶ σεμνότητα νομοθετεῖν, δι' ὧν ὁ ἄριστος κατορθοῦται βίος ;

LXXXV. — MARTINIANO PRESBYTERO.

Inexplebilem quemdam ac sævum et crudelem frumenti cauponem te esse nonnulli aiunt : ut qui tempora observes, ac de egestatibus occasionem lucrandi arripias, et de calamitatibus messem colligas. Quamobrem hoc tecum reputans, alios non tam tua, quam te, Dei ope indigere ; fac te cognatio moveat.

ΠΕ'. — ΜΑΡΤΙΝΙΑΝῼ ΠΡΕΣΒΥΤΕΡῼ.

B Ἄπληστον εἶναί σέ φασί τινες σιτοκάπηλον, καὶ ἀνάλγητον καὶ τηροῦντα τοὺς καιροὺς, καὶ κατα-πραγματευόμενον τὰς ἐνδείας, καὶ τὰς συμφορὰς γεωργοῦντα. Ἀλλ' ἴσθι ὡς ἐκείνοις μὲν σαυτοῦ σπλάγχνα, σαυτῷ δὲ τὰ θεῖα ἀποκλείεις (45). Ἐννοῶν τοίνυν, ὡς οὐ τοσοῦτον ἄλλοι σου χρήζουσιν, ὡς σὺ τοῦ Θεοῦ· τὸ συγγενὲς αἰδέσθητι.

LXXXVI. — ZOSIMO LIBRIGERO.

Librorum de quibus ad te scripsi, seriem atque ordinem amico diligenter expone : ne obrepens oblivio, tibi quidem detrimentum, ipsi autem ingrati animi notam afferat.

ΠΣ'. — ΖΩΣΙΜῼ ΒΙΒΛΙΟΦΟΡῼ.

Τὸν στιχισμὸν τῶν βιβλίων, ὧν γέγραφά σοι, τῷ φίλῳ δήλου μετ' ἀκριβείας, ἵνα μὴ ἔρψασα λήθη, σοὶ μὲν ζημίαν, αὐτῷ δὲ ψῆφον ἀγνωμοσύνης (46) ἐπαγάγῃ.

LXXXVII. — LEONTIO EPISCOPO.

Amicitiæ primordium, ac benevolentiæ igniculus, atque id quod et me, et optimum virum Eutonium, mutuo amore sauciavit, improbitatis odium fuit, quod in ipsius moribus animadverti. Posteaquam enim ipsum non modo virtutis causa, sed etiam eorum quos virtutis amor tenet, libenti atque alacri animo periculum adeuntem conspexi, hinc reliquam quoque viri illius philosophiam tanquam vestigiis odoratus, ad ipsum amandum sum incitatus. Cum autem rursum insani quidam sophistæ pietatis Christianæ dogmata convellere atque labefactare conarentur, hic vero eorum armis atque syllogismis instructi, non prius eos ferire destitimus, quam eos prorsus in fugam conjecissemus, ac perspicuam et integram victoriam retulissemus. Hic nimirum secundus nobis amicitiæ, non dicam igniculus, sed fax perspicue accensa est, ac permansit. Nam ea divini amoris lex est. Corporeus siquidem, utpote abjectus et humilis (quandoquidem a corporibus fluxis et caducis coagmentatur) fluit, atque florum

ΠΖ'. — ΛΕΟΝΤΙῼ ΕΠΙΣΚΟΠῼ.

C Τὸ τῆς φιλίας προοίμιον, καὶ ὁ τῆς ἀγάπης σπινθὴρ, καὶ τὸ τρῶσαν ἀμφοτέρους, ἐμέ τε καὶ τὸν ἄριστον Εὐτόνιον, εἰς τὸν πρὸς ἀλλήλους πόθον, τὸ μισοπόνηρόν ἐστιν ἦθος. Ἐπειδὴ γὰρ εἶδον αὐτὸν οὐ μόνον ὑπὲρ ἀρετῆς, ἀλλὰ καὶ ὑπὲρ τῶν φιλαρέτων ἡδέως κινδυνεύοντα, ἀπὸ τούτου καὶ τὴν λοιπὴν φιλοσοφίαν τἀνδρὸς ἰχνηλατήσας, ἐτρώθην πρὸς φιλίαν. Ἐπειδὴ δὲ καὶ σοφιστομανοῦντές τινες τὰ δόγματα τῆς εὐσεβείας λυμήνασθαι ἐμηχανῶντο, ἐνταῦθα φραξάμενοι τοῖς ἐκείνων ὅπλοις, καὶ τοῖς συλλογισμοῖς πατάσσοντες, οὐ πρότερον ἀνήκαμεν, ἢ τελέως τρέψασθαι, καὶ τὸ κράτος καθαρῶς ἀναδήσασθαι. Οὗτος δεύτερος ἡμῖν τῆς ἀγάπης οὐκ ἔτι σπινθὴρ, ἀλλ' ἤδη πυρσὸς περιφανῶς ἐξήφθη, καὶ παρέμηνε. Τοιοῦτος γὰρ τοῦ θείου ἔρωτος ὁ νόμος. Ὁ μὲν γὰρ σωματικὸς, ἅτε χαμαίζηλος ὢν (ἐπειδὴ ἀπὸ ῥευστῶν συνίσταται σωμάτων), ῥεύσει, καὶ δίκην ἀνθῶν μαραίνεται. Οὔτε γὰρ πῦρ μένει τῆς ὕλης τῆς τὴν ὑπόθεσιν τῇ φλογὶ δεδωκυίας ἀναλωθείσης, ἀλλὰ σὺν αὐτῇ συναπέρχεται· οὔτε πόθος ἵσταται μαραινομένου τοῦ ὑπεκκαύ-

VARIÆ LECTIONES ET NOTÆ.

(45) Cod. Vatic. 649 solus ἀποκλείεις per futurum inflectit scribens ἀποκλείσεις. Possin.

(46) Cod. unus Vat. 649 legit ἀγνωσύνης. Ed.

Digitized by Google

ματος. Ὁ δὲ κατὰ Θεὸν καὶ σώφρων, ἐπειδὴ πράγματος ἑστῶτός ἐστι, διὰ τοῦτο καὶ μόνιμος· καὶ ὅσῳ τὸ κάλλος αὐτῷ τῆς ἀρετῆς φαντάζεται, τοσούτῳ ἑαυτῷ τε καὶ ἀλλήλοις συνδεῖ τοὺς τῶν αὐτῶν ἐραστάς.

A instar marcescit. Nam neque ignis absumpta ea materia, quæ flammæ causam præbuit, manet, verum una cum ea abscedit : nec sopito atque exstincto igniculo amor consistit. At divinus et pudicus amor, quia rei firmæ ac stabilis est, proinde stabilis quoque ipse est : quoque virtutis pulchritudinem magis imaginatur, eo quoque arctius, et secum et inter se devincit eos qui earumdem rerum desiderio tenentur.

ΠΗ'. — ΤΩ ΑΥΤΩ.

Εἰ καὶ εἰσί τινες, ὡς ἔφης, τῶν τὴν προστασίαν τῶν λαῶν ἀναδησαμένων, ἀπὸ μὲν τῆς τῶν πενήτων σκήψεως ἀρχόμενοι, εἰς δὲ τὸν ἴδιον χρηματισμὸν τελευτῶντες· ἀλλά γε αὐτὸς μὴ τοῖς ναυαγοῦσι πρόσεχε, ἀλλὰ τοῖς τοὺς οἴακας ἀσφαλῶς μεταχειρίζουσι, καὶ ἐξ οὐρίας πλέουσι.

290 LXXXVIII.—EIDEM.

Quamvis ex his, qui populi curam ac præfecturam susceperunt, nonnulli sint, ut abs te dictum est, qui cum se pauperum negotium agere primo simulent, in privatum tandem quæstum desinant : tu tamen iis, qui naufragium faciunt, ne attende, verum iis, qui clavum tuto tractant, ac secunda aura navigant.

B

ΠΘ'. — ΙΣΙΔΩΡΩ ΔΙΑΚΟΝΩ.

Τὰς ἑβδομάδας τοῦ Δανιὴλ πῶς ἑρμηνεύει (47).

Ἐπειδὴ φιλόπονος ὢν καὶ φιλομαθὴς, ἠθέλησας μαθεῖν πῶς ἐπληρώθησαν αἱ παρὰ τῷ Δανιὴλ ἀναγεγραμμέναι ἑξήκοντα καὶ ἐννέα ἑβδομάδες τῶν ἐτῶν, αἱ ἀπὸ τῆς οἰκοδομῆς τῆς Ἱερουσαλὴμ ἀριθμούμεναι, καὶ εἰς τὴν ἄλωσιν αὐτῆς τελευτῶσαι· ἴσθι, ὅτι οὐκ ἐπὶ Κύρου ᾠκοδομήθη, ἀλλὰ τῷ κ' ἔτει τῆς βασιλείας τοῦ Μακρόχειρος. Τότε γὰρ, ὡς Ἔσδρας διηγεῖται, Νεεμίας ἐλθὼν, τὴν πόλιν ἔκτισε. « Πῶς οὖν, ἔφης, ἑβδομήκοντα ἑβδομάδες συνετμήθησαν ἐπὶ τὸν λαόν σου, καὶ ἐπὶ τὴν πόλιν τὴν ἁγίαν; » Ὅτι ἐν μὲν τῇ ξθ', τοῦτ' ἔστι, τῷ τρίτῳ καὶ ὀγδοηκοστῷ καὶ τετρακοσιοστῷ ἔτει, ἀρχὴν ἔσχεν ὁ πόλεμος· τῇ δ' ἑξῆς ἑβδομάδι τῶν ἐτῶν ἐτελεύτησε, συντελευτησάντων καὶ τῶν Ἰουδαϊκῶν πραγμάτων. Εἰ δὲ λέγεις· Πῶς; Ἰστέον, ὅτι μετὰ τὸ κ' ἔτος τοῦ Μακρόχειρος ἕως τελευτήσει ἡ Περσικὴ βασιλεία, ἔτη διεγένοντο ἑκατὸν δέκα τρία, μεθ' ἣν ἡ Μακεδονικὴ διήρκεσεν ἕως ἐτῶν διακοσίων ἐνενήκοντα τεσσάρων· εἶτα ἡ Ῥωμαϊκὴ, Αὐγούστου μὲν βασιλεύοντος, ἔτη τεσσαράκοντα τρία· Τιβερίου δὲ, εἰκοσιδύο· Γαΐου, τέσσαρα· Κλαυδίου, ἑπτά. Τῷ γὰρ ὀγδόῳ [αὐτοῦ] ἔτει, ἤρξατο Ἰουδαίοις ἡ τῶν πραγμάτων κίνησις, ἀφ' ἧς ὁ πρὸς Ῥωμαίους αὐτοῖς ἐξήφθη πόλεμος, ὁ τὴν ἄλωσιν ἀποτεκών. Ἐπὶ γὰρ Νέρωνος τοῦ διαδεξαμένου Κλαύδιον, λαμπρῶς καὶ κατὰ κράτος πολεμηθέντες ὑπὸ Οὐεσπασιανοῦ, τὸ τηνικάδε Νέρωνι στρατηγοῦντος, ὕστερον δὲ βασιλεύσαντος, ἐάλωσαν.

LXXXIX.—ISIDORO DIACONO.

Danielis hebdomadas quomodo interpretetur [88].

Quandoquidem pro tua industria doctrinæque studio intelligere aves, quonam pacto illæ apud Danielem perscriptæ sexaginta novem annorum hebdomades, quæ ab Hierosolymitanæ urbis ædificatione incipientes, in ipsius expugnationem desinunt, expletæ fuerint, illud habeto, eam non Cyri tempore, sed vicesimo regni Longimani anno exstructam fuisse. Nam tum, ut Esdras commemorat, profectus Neemias urbem instauravit. « Quoniam igitur modo, inquit, septuaginta hebdomadæ abbreviatæ sunt super populum tuum, et super civitatem sanctam [89]? » Nimirum quia in sexagesima nona, hoc C est anno quadringentesimo octogesimo tertio bellum geri cœptum est, sequente autem annorum hebdomada, una cum Judaicis rebus finem habuit. Quod si, unde id probetur, quæris, illud sciendum est, inter vicesimum Longimani annum et Persici imperii finem, tredecim et centum annos interfluxisse, ac deinde Macedonium usque ad ducentos nonaginta quatuor annos sese porrexisse ; post autem Romanum, Augusto imperante ad tres et quadraginta annos, Tiberio autem imperium gerente, ad duos et viginti, Caio vero quatuor ; ac denique Claudio rerum summam obtinente, ad septem propagatum fuisse. Nam octavo ipsius anno initium cœpit Judæis rerum motus, qui bellum illud adversus Romanos ipsis excitavit, ex quo urbis excidium ortum est. Neronis enim, qui Claudio successit, tempore, Judæi a Vespasiano, qui tum Neronis dux militaris erat, præclare ac fortiter oppugnati : postea, eodem imperii habenas tenente, capti sunt.

Ι'. — ΖΩΣΙΜΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Μανθάνω ὡς, ἐπὶ μὲν τοῖς δοκοῦσιν ἐπονειδίστοις, λίαν ἄχθῃ· ἐπὶ δὲ τοῖς ὄντως οὖσιν, οὐ μόνον οὐ καταδύῃ, ἀλλὰ καὶ ἀναβρύνῃ. Τὸ μὲν ἐκ δούλου σε γεγενῆσθαι πατρὸς, ὅπερ οὐκ ἔστι προαιρέσεως ὄνειδος,

D

XC. — ZOSIMO PRESBYTERO.

Audio te ob ea quidem quæ probri speciem habent vehementer angi : ob ea autem, quæ vere probrosa sunt, non modo nullo pudore suffundi, sed etiam gloriari. Nam quod servo patre ortus sis

[88] Dan. IX, 1 seqq. [89] ibid. 24.

VARIÆ LECTIONES ET NOTÆ.

(47) Ad hanc epistolam operæ pretium est legere quæ de supputatione hebdomadum LXX Danielis scripsit illustr. Jos. Scaliger lib. VI *De emendat. temporum*, et Basil. Seleuc. homil. cui titulus : *Ἀπόδειξις κατὰ Ἰουδαίων, περὶ τῆς τοῦ Σωτῆρος παρουσίας*. PITT.

Digitized by Google

(quod voluntatis institutique animi minime prorsum est, nec ullo modo curandum est) majorem in modum discruciaris. At interim eos, qui te ad virtutem hortantur, tantum reprehendis, quantum eos **291** languorem inducant. Et quidem si inter subditos censeris, tamen ne sic quidem te contemnere atque aspernari conveniret, verum te per consilia et admonitiones ex improbitatis voragine extrahere fas esset, maximeque congruum. Cæterum non tantum hinc Ecclesia detrimentum ac probrum acceptura esset. Nunc autem cum in sacerdotum numero censearis (mitto quonam pacto, neque enim id mihi studio est, ut te feriam, sed ut sanem) ne eos quidem, qui silentio uti cupiunt, quiescere permittis. Multi enim gentiles ac Judæi impetum in Ecclesiam faciunt, probra jactantes, ac vitam tuam proferentes, seque ob eam causam fidei nostræ doctrinam convellere existimantes. Quamobrem si nullo judicii metu percelleris, saltem præsentem gloriam affecta. Si nulla te cœlestis regni cupiditas tenet, saltem bonam existimationem appete. Si coronas minime desideras, saltem a probris te remove. Si laudum tuarum præconium nulla te cura afficit, saltem id stude, ut ne traducaris ac suggilleris. Si pervigilem illam Dei justitiam haud perhorrescis, humanas saltem leges metue : ne alioqui in ipso quoque fortasse scelere deprehensus, extremo supplicio mulcteris.

A οὐδ' ἐν λόγῳ τίθεσθαι, ἀλλὰ τοσοῦτον καταγινώσκειν τῶν ἐπὶ τὴν ἀρετὴν παρακαλούντων, ὅσον ἕδει τῶν ἐπὶ τὴν ῥᾳθυμίαν ἀγόντων καταψηφίζεσθαι. Καὶ εἰ μὲν εἰς τοὺς ὑπηκόους ἐτέλεις, μάλιστα μὲν οὐδ' οὕτως καταφρονῆσαι ἐχρῆν, ἀλλὰ συμβουλαῖς καὶ παραινέσεσιν ἀνιμήσασθαί σε ἐκ τοῦ βυθοῦ τῆς κακίας, καὶ θέμις ἦν καὶ πρεπωδέστατον· πλὴν ἀλλ' οὐ τοσαύτη ζημία τῇ Ἐκκλησίᾳ καὶ αἰσχύνη ἔμελλεν ἔσεσθαι. Ἐπειδὴ δὲ εἰς τοὺς ἱερέας δοκεῖς τελεῖν (τὸ δ' ὅπως παρίημι, οὐ γὰρ πλῆξαί σε, ἀλλ' ἰάσασθαι προῄρημαι)· οὐδὲ τοὺς ἐθέλοντας ἡσυχάζειν καὶ ἡρεμεῖν συγχωρεῖς. Πολλοὶ γὰρ Ἕλληνες καὶ Ἰουδαῖοι τῇ Ἐκκλησίᾳ ἐπιφύονται ὀνειδίζοντες, καὶ τὸν σὸν βίον προφέροντες, καὶ διὰ τούτου τῷ δόγματι λυμαίνεσθαι νομίζοντες. Εἰ τοίνυν τὴν κρίσιν οὐ δέδοικας, κἂν B τῆς παρούσης ἀντιποίησαι δόξης· εἰ βασιλείας οὐκ ἐρᾷς, κἂν ὑπολήψεως χρηστῆς ἐράσθητι· εἰ στεφάνων οὐκ ἐπιθυμεῖς, κἂν ὀνειδῶν ἀπαλλάγηθι. Εἰ ἐναρρήσεως οὐ φροντίζεις, κἂν μὴ τοῦ κωμῳδεῖσθαι ἀντιποιήθητι· εἰ τὴν ἀκοίμητον δίκην οὐ φρίττεις, κἂν τοὺς τῶν ἀνθρώπων νόμους φοβήθητι, μήποτε καὶ ἐπ' αὐτοφώρῳ ληφθεὶς, τὴν ἐσχάτην ὑπομείνῃς τιμωρίαν.

XCI. — THEOPHILO SUBDIACONO.

Timotheus, qui sedem illam bonis omnibus perfusam, quam cœlorum regnum appellant, nunc incolit, tantam a sua virtute, iis a quibus cernebatur, utilitatem afferebat, ut etiam sola recordatione eos, qui ipsius meminerunt, in officio contineret. Poterat enim, vel solum in animis versans, pudorem simul ipsis immittere, atque eos, quibus ipse in mentem venisset, a turpibus et absurdis affectionibus puros et immunes efficere.

ϟΑ'. — ΘΕΟΦΙΛΩ ΥΠΟΔΙΑΚΟΝΩ.

Τιμόθεος ὁ τὴν τῶν ἀγαθῶν ἁπάντων κατάρρυτον C λῆξιν, βασιλείαν οὐρανῶν προσαγορευομένην, νυνὶ νεμόμενος, τοσαύτην ἀπὸ τῆς ἀρετῆς τοῖς ὁρῶσιν ἐδημιούργει ὠφέλειαν, ὡς καὶ ἀπὸ μνήμης μόνον σωφρονίζει τοὺς μνημονεύσαντας. Ἦρκει γὰρ καὶ μόνον ἐλθὼν εἰς ἔννοιαν, αἰδῶ συνεισπέμψαι, καὶ τῶν ἀτόπων παθῶν ἀχράντους τοὺς μνησθέντας ἐργάζεσθαι.

XCII. — OPHELIO GRAMMATICO.

Apud vos, qui grammatici estis, homonymum idem est quod synonymum : apud philosophos autem non item. Verum homonyma ea dicuntur, quorum nomen duntaxat commune est, substantiæ autem ratio, quæ nomini respondet, diversa. Synonyma autem, quæ et re, et modo, et nomine inter se conveniunt. Quoniam vero, quia hujusmodi disciplinarum rudis et expers, mentemque haudquaquam exercitatam habes, idcirco a me postulasti, ut in Scripturæ verbis hujusmodi significationes notarem, loculentam tibi hujusmodi considerationum januam pro viribus meis aperire conabor. Perscrutationis vocabulum in Scripturis sacris, et de Deo, et de hominibus dicitur. Verum cum de Deo usurpatur, cognitionis certitudinem numeris omnibus absolutam indicat; cum autem de hominibus, id significat quod res ea, quæ investigatur, cum labore ac cruciatu inveniatur. **292**. Itaque in his locis, in quibus hoc nomen situm est, et in Deo, et in hominibus æquivocum est, non synonymum. Verbi gratia illud : Scrutamini Scripturas,

ϟΒ'. — ΟΦΕΛΙΩ ΓΡΑΜΜΑΤΙΚΩ.

Παρὰ μὲν ὑμῖν τοῖς γραμματικοῖς, τὸ ὁμώνυμον ταὐτόν ἐστι τῷ συνωνύμῳ· παρὰ δὲ τοῖς φιλοσόφοις, οὐχί· ἀλλ' ὁμώνυμα λέγεται, ὧν ὄνομα μόνον κοινὸν, ὁ δὲ κατὰ τοὔνομα λόγος τῆς οὐσίας ἕτερος· συνώνυμα δὲ, ὅσα καὶ πράγματι καὶ τρόπῳ καὶ ὀνόματι D συντρέχει. Ἀλλ' ἐπειδὴ ἄμοιρος ὢν τῶν τοιούτων μαθημάτων, καὶ ἀγύμναστον ἔχων τὸν νοῦν, ἠξίωσας ἐπὶ γραφικῶν ῥήσεων τὰς ἐννοίας ταύτας μεταῤῥυθμισθῆναι, ὡς ἂν οἷός τε ὦ πειράσομαι λαμπρὰν σοι ἀνοῖξαι τῶν νοημάτων τὴν θύραν. Ἡ ἔρευνα ἐν ταῖς ἱεραῖς Γραφαῖς λέγεται καὶ ἐπὶ Θεοῦ, καὶ ἐπὶ ἀνθρώπων· ἀλλ' ἐπὶ μὲν Θεοῦ τὸ ἀκριβὲς τῆς γνώσεως μηνύει· ἐπὶ δ' ἀνθρώπων, τὸ μετὰ πόνου καὶ βασάνου εὑρίσκεσθαι τὸ ζητούμενον. Ἔνθα τοίνυν τοῦνομα τοῦτο κεῖται, καὶ ἐπὶ Θεοῦ, καὶ ἐπὶ ἀνθρώπου ὁμωνυμεῖ, οὐ συνωνυμεῖ· οἷον τό· Ἐρευνᾶτε τὰς Γραφὰς, τῷ περὶ τοῦ Θεοῦ εἰρημένῳ· « Ὁ δὲ ἐρευνῶν τὰς καρδίας, οἶδε τί τὸ θέλημα τοῦ πνεύματος· » ὁμωνυμεῖ μὲν, οὐ συνωνυμεῖ δέ. Τὸ δέ· « Ὁ ἐρευνῶν τὰς καρδίας, » τῷ, « Τὸ δὲ Πνεῦμα πάντα ἐρευνᾷ καὶ τὰ βάθη τοῦ Θεοῦ· » συνωνυμεῖ, τῷ καὶ ἐπὶ τοῦ

Digitized by Google

Πατρὸς, καὶ ἐπὶ τοῦ ἁγίου Πνεύματος, τὴν ἀκριβεστάτην γνῶσιν δηλοῦσθαι. Οἶμαι μὲν οὖν σεσαφηνίσθαι τὸ νόημα. Εἰ δὲ καὶ ἐπ' ἄλλου ὀνόματος τοῦτο γυμνασθῆναι βούλει, καὶ τοῦτο ποιήσω. *Τὸ ἀγαθὸν* λέγεται μὲν ἐπὶ Θεοῦ καὶ ἐπ' ἀνθρώπων, ἀλλ' ὁμωνυμίαν ἐμφαίνει. Τὸ γὰρ, *ὁ ἀγαθὸς ἄνθρωπος*, τῷ, « Ὡς ἀγαθὸς τῷ Ἰσραὴλ, » ὁμωνυμεῖ. Τὸ δὲ, « Ὡς ἀγαθὸς ὁ Θεὸς τῷ Ἰσραὴλ, » τῷ, « Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ, » συνωνυμεῖ. Οὐ γὰρ ὀνόματός ἐστιν ἐνταῦθα κοινωνία, ἀλλὰ καὶ πράγματος. Καὶ *ὁ θυμὸς* δ' ἐπὶ Θεοῦ λεγόμενος, καὶ ἐφ' ἡμῶν, οὐ συνωνυμεῖ, ἀλλ' ὁμωνυμεῖ. Ἐπὶ μὲν γὰρ Θεοῦ μηνύει τὴν ἀπαθῶς ἐπιπεμπομένην τοῖς ἁμαρτάνουσι τιμωρίαν· ἐπὶ δὲ ἡμῶν, τὴν ἐμπαθῆ κίνησιν, καὶ τὴν τῶν λογισμῶν ταραχήν. Καὶ τὸ, « Πρόσθες ἀνομίαν ἐπὶ τῇ ἀνομίᾳ αὐτῶν, » ὁμωνυμεῖ. Ὁ γὰρ λέγει, τοῦτ' ἔστιν· Ἐπίθες τιμωρίαν ἐπὶ τὴν ἁμαρτίαν αὐτῶν. Καὶ τὸ, « Εἴ τις τὸν ναὸν τοῦ Θεοῦ φθείρει, φθερεῖ τοῦτον ὁ Θεὸς, » ὁμωνυμεῖ. Ὁ γὰρ λέγει τοιοῦτόν ἐστιν· Εἴ τις μολύνει τὸν ναὸν τοῦ Θεοῦ, τιμωρηθήσεται ὑπ' αὐτοῦ.

A ei, quod de Deo dictum est : « Qui autem corda scrutatur, novit quæ sit spiritus voluntas, » æquivocum est, non synonymum. Illud autem, « Qui corda scrutatur [61], » huic loco, « Spiritus omnia scrutatur, etiam profunda Dei [62], » synonymum est, propterea quod, cum et de Patre, et de Spiritu sancto usurpatur, perfectissimam ac certissimam cognitionem significet. Atque ipse quidem, quid sentiam, satis perspicue demonstrasse arbitror. Sed tamen si in alia rursum dictione id examinari cupis, id quoque faciam. *Bonum*, tametsi et de Deo et de hominibus dicatur, tamen homonymiam indicat. Illud etenim, *Bonus homo*, huic, « Quam bonus Israeli Deus[63], » æquivocum est. Illud autem, « Quam bonus Israeli Deus [63], huic, « Spiritus B tuus bonus deducet me in via recta [64], » synonymum est. Nam hoc loco non nominis duntaxat, sed etiam rei est societas. Eodemque modo *furoris* vocabulum, quod et de Deo et de hominibus dicitur, non est synonymum, sed æquivocum. Nam cum de Deo agitur, illatum sine ulla mentis commotione, peccatoribus supplicium declarat : cum autem de nobis, motum cum perturbatione conjunctum, ac rationis tumultum. Quin illud quoque « Appone iniquitatem super iniquitatem eorum [65], » æquivocum est. Perinde enim est ac si diceret : Appone cruciatum super iniquitatem eorum. Ac denique illud : « Si quis templum Domini disperdiderit, disperdet eum Deus [66], » æquivocum est. Hæc enim verba hanc sententiam habent : Si quis templum Dei contaminarit, pœna ab eo afficietur.

ΚΓ'.—ΤΩ ΑΥΤΩ.

Τὸ ἀγαθὸν Θεὸν μὲν ἔχει κατὰ φύσιν, οὐκ ἀβούλητον, ἀλλὰ προαιρετικὴν, οὐδὲ βιαίαν, ἀλλ' ἑκούσιον. Ἡμεῖς δὲ κατὰ ἄσκησιν καὶ προκοπὴν ἀναλαμβάνομεν. Οὐκ ἀναφαίρετον ἔχοντες τοῦτο, ὥσπερ ἡ θεία φύσις· ἀλλὰ μεταπίπτον, εἰ ῥαστώνης ἔρως ἀχορεύτως χορεύσειεν.

XCIII.—EIDEM.

C Deus bonum per naturam habet, non voluntatis expertem, sed ea præditam, nec violentam et coactam, sed spontaneam. Nos autem per exercitationem et profectum illud assumimus. Nec vero sic ipsum habemus, ut a nobis auferri nequeat, quemadmodum divina natura : verum ita ut ab eo excidamus, si inertis otii ac desidiæ amor insulsos in nobis choros agat.

ΚΔ'.—ΤΩ ΑΥΤ.

Εἰς τὸ εἰρημένον· « *Προφήτην ὑμῖν ἀναστήσει Κύριος ὁ Θεός.* »

Εἰπὲ τῷ πρὸς σὲ διενεχθέντι Ἰουδαίῳ, καὶ μηδὲν μὲν γενναῖον, μηδὲ νεανικὸν φράσαντι, ἀγυρτικὰς δὲ λογοποιίας ἐμέσαντι, καὶ φήσαντι περὶ τοῦ παιδὸς Ναυῆ εἰρῆσθαι τό· « Προφήτην ὑμῖν ἀναστήσει ὁ Θεὸς ἐκ τῶν ἀδελφῶν ὑμῶν ὡς ἐμὲ, » ὅτι κατὰ πολλὰ πλημμελεῖς, καὶ νοῶν οὐχ ὑγιῶς, καὶ φεύγων τὸ μαθεῖν, καὶ κρύπτων τὰ μείζονα ἢ κατὰ Μωσέα. Εἴρηται γάρ· « Αὐτοῦ ἀκούσεσθε κατὰ πάντα (48) ὅσα ἂν ἐντείληται. Ἔσται δὲ ψυχὴ, ἥτις ἂν μὴ ἀκούσῃ τοῦ προφήτου ἐκείνου, ἐξολοθρευθήσεται ἀπὸ τοῦ λαοῦ αὐτῆς. » Πρῶτον μὲν γὰρ μετὰ τὴν χειροτονίαν ἐκείνου, ταῦθ' ὁ Μωσῆς ἑνθους γενόμενος ἐθέσπισε.

XCIV.—EIDEM.

In illud : « *Prophetam vobis suscitabit Dominus* [67]. »

Dic ad Judæum, qui tecum rixatus est, nec generosi quidquam ac virilis locutus est, verum inanes duntaxat nugas ac verborum præstigias evomuit, atque hunc Scripturæ locum : « Prophetam vobis susD citabit Deus de medio fratrum vestrorum tanquam me, » de Jesu filio Nave dictum esse asseruit : Multis nominibus peccas, tum quod haud recte sentias, tum quod erudiri fugias, tum quod majora quam pro Mosis modulo et conditione occultes. Dictum est enim : « Eum audietis in omnibus quæcunque mandaverit. Erit autem anima, quæ non audierit prophetam illum, exterminabitur de populo suo [68]. »

[60] Joan. v, 39. [61] Rom. VIII, 27. [62] I Cor. II, 10. [63] Psal. LXXII, 1. [64] Psal. CXLII, 10. [65] Psal. LXVII 1, 28. [66] I Cor. III, 17. [67] Deut. XVIII, 15. [68] ibid. 18, 19.

VARIÆ LECTIONES ET NOTÆ.

(48) Verba hæc : Μωσέα. Εἴρηται γὰρ, Αὐτοῦ ἀκούσεσθε κατὰ, omnia absunt a cod. Vat. 649; nec propterea delenda puto, præsertim cum ea exhibeat cod. Alt. POSSIN.

Digitized by Google

Primum quippe **293** post illius electionem, Moses divino numine instinctus, hæc sanxit. Deinde si filius Nave Mosem superasset, probabilitatis aliquid haberet hujusmodi oratio. Cum autem eo multo inferior exstiterit, hanc sententiam infirmam et imbecillem esse constat. Tertio, ne legi quidem ipse quidquam adjunxit : verum ex ipsius præscriptis et institutis suum vitæ munus administravit. Quarto, si de ipso verba fecisset, minime dicendum erat, *suscitabit*, sed suscitavit. Quinto, dicendum fuisset, « Et erit, omnis anima, quæ hunc prophetam non audierit. » Cum autem dixit, *illum*, huuc profecto submovit. Sexto, quonam pacto ad Joannem post multas ætates in lucem editum, miserunt, percontantes an propheta ille esset. Ille autem dixit: « Non? » Etenim propheta quidem erat, at non ille propheta. Septimo, quonam pacto, cum Salvator in terram venisset, qui miracula videbant, his verbis utebantur, « Hic est, qui est vere propheta ille. » Animadvertat ergo ille quot sint, quæ adversus eum pugnent ac verum præcognitorem ac regem adoret.

A Δεύτερον, ὅτι, εἰ μὲν ὁ τοῦ Ναυῆ παῖς ὑπερέβη τὸν Μωσέα, πιθανὸν μὲν ἦν τὸ λεγόμενον, οὐκ ἀληθὲς δέ (49). Εἰ δὲ πολλῷ αὐτοῦ καταδεέστερος ἦν, ἀδρανὴς αὕτη ἡ ἔννοια φαίνεται. Τρίτον, ὅτι οὐδὲ προσέθηκέ τι τὸ νόμῳ· ἀλλὰ τοῖς ἐκείνου ἐπολιτεύετο θεσμοῖς. Τέταρτον, ἐχρῆν, εἴ γε περὶ αὐτοῦ ἦν ὁ λόγος, εἰπεῖν, οὐκ *ἀναστήσει*, ἀλλ', Ἀνέστησε. Πέμπτον, ὅτι ἔδει φράσαι· « Ἔσται δὲ πᾶσα ψυχή, ἥτις ἂν μὴ ἀκούσῃ τοῦ προφήτου τούτου. » Τῷ δ' εἰπεῖν, *ἐκείνου*, τοῦτον παρεγράψατο. Ἕκτον, πῶς πρὸς τὸν Ἰωάννην μετὰ πολλὰς γενεὰς τεχθέντα ἀπέστειλαν, πευσόμενοι, εἰ αὐτὸς εἴη ὁ προφήτης· κἀκεῖνος ἔφη· « Οὐκ εἰμί; » Προφήτης μὲν γὰρ ἦν· ὁ προφήτης δὲ οὐκ ἦν. Ἕβδομον, πῶς τοῦ Σωτῆρος δεῦρο φοιτήσαντος, οἱ τὰ θαύματα θεώμενοι ἔλεγον· « Οὗτός ἐστιν B ἀληθῶς ὁ προφήτης. » Συνοράτω οὖν πόσα αὐτῷ ἐναντιοῦται, καὶ τὸν ἀληθῆ προγνώστην τε καὶ βασιλέα προσκυνείτω.

XCV. — ISIDORO DIACONO.

In illud : « *Secundum imaginem et similitudinem* [69]. »

Quoniam tu, vir sapientissimus et acutissimo ingenio præditus, pervulgatissimam quæstionem breviter tibi ac perspicue, ac non per ambages quasdam et circuitum explicari petiisti, alterum autem alteri adversatur (perspicuitas enim longam orationem requirit : brevitas autem succinctam et exiguam) brevitate, quantum vires meæ ferunt, C perspicuitati admista hæc ad te scribo. Præstantius quidem faciunt, qui præstantioris hominis parti, id quod præstantius est, comparant. Quod si obscurum esse videtur quod dixi, dilucidius loquar. Rectius faciunt, qui meliori hominis parti, hoc est animæ ratione præditæ divinum numen simile esse dicunt. Nam qui illud humana forma præditum esse arbitrantur, prorsus stolidi et amentes sunt : quandoquidem iis, quæ per indulgentem demissionem dicta sunt, implicantur, nec quidquam divinius cogitare sustinent. Quonam enim modo dictum est : « In umbra alarum tuarum proteges me [70]; » et : « Septem oculi Domini, lustrantes universam terram [71], » cum homo nec alas, nec septem oculos habeat? Quonam item pacto Paulus ne cogitationi D quidem hominis divinum numen simile esse pronuntiavit? Quonam rursum modo ab Isaia dictum est : « Si omnes gentes ut gutta a situla, et velut salvia reputatæ sunt, et Libanus minime sufficit ad

ΛΕ'. — ΙΣΙΔΩΡΩ ΔΙΑΚΟΝΩ.

Εἰς τό· « *Κατ' εἰκόνα καὶ καθ' ὁμοιότητα.* »

Ἐπειδὴ ὁ σοφώτατος καὶ ὀξύτατος τὸ πολυθρύλλητον πρόβλημα ἑρμηνευθῆναί σοι συντόμως καὶ σαφῶς, καὶ μὴ διὰ κύκλων τινῶν, παρεκάλεσας, θάτερον δὲ θατέρῳ ἀντίκειται· τὸ μὲν γὰρ σαφὲς, πολλῶν δεῖται λόγων· τὸ δὲ σύντομον, ὀλίγων· ὡς ἂν οἷός τε ὦ, συγκεράσας τὴν σαφήνειαν τῇ συντομίᾳ, ἐπιστέλλω. Κρεῖττον μὲν ποιοῦσιν τῷ κρείττονι μέρει τοῦ ἀνθρώπου, τὸ κρεῖττον παραβάλλοντες. Εἰ δ' ἀσαφὲς εἶναι δοκεῖ τὸ εἰρημένον, σαφέστερον εἰρήσεται. Ἀμεινον μὲν ποιοῦσιν, οἱ τῷ βελτίονι μέρει τἀνθρώπου, τοῦτ' ἔστι τῇ λογικῇ ψυχῇ τὸ θεῖον ἐξεικονίζοντες. Οἱ γὰρ ἀνθρωπόμορφον (50-51) αὐτὸ ἡγούμενοι, πάμπαν ἠλίθιοι, ἐπειδὴ τοῖς συγκαταβατικῶς εἰρημένοις (52) περιπλέκονται· καὶ οὐδὲν θειότερον ἐννοεῖν ἀνέχονται. Πῶς γὰρ εἴρηται· « Ἐν σκέπῃ τῶν πτερύγων σου σκεπάσεις με, » καί· « Ἑπτὰ ὀφθαλμοὶ Κυρίου ἐπιβλέποντες ἐπὶ πᾶσαν τὴν γῆν, » τοῦ ἀνθρώπου μήτε πτέρυγας, μήθ' ἑπτὰ ὀφθαλμοὺς ἔχοντος; Πῶς δ' ὁ Παῦλος ἀπεφήνατο, μὴδ' ἐνθυμήσεως ἀνθρώπου τὸ θεῖον εἶναι ὅμοιον; Πῶς δ' ὁ Ἡσαΐας εἶπεν, « Εἰ πάντα τὰ ἔθνη ὡς σταγὼν ἀπὸ κάδου, καὶ ὡς σίελος (53) ἐλογίσθησαν, ὁ δὲ Λίβανος οὐχ ἱκανὸς εἰς καῦσιν, καὶ πάντα τὰ τετράποδα οὐχ ἱκανὰ εἰς ὁλοκάρπωσιν, τίνι ὁμοιώσετε Κύριον; » Πῶς δὲ Μωσῆς οὗ τὴν λέξιν κακούργως ἑρμηνεύειν πειρῶνται, ἔφησε· « Καὶ φυλάξεσθε σφό-

[69] Gen. I, 26. [70] Psal. XVI, 8. [71] Zachar. IV, 10.

VARIÆ LECTIONES ET NOTÆ.

(49) *Πιθανὸν μὲν ἦν τὸ λεγόμενον, οὐκ ἀληθὲς δέ.* Sic Aristoteles quoque ista duo distinguit passim. RITT.

(50-51) De Anthropomorphitis vid. Augustinum lib. *De hæresibus*, cap. 50, et tract. III et XL in Joannem ; Lactant. lib. IV, cap. 30, Joan. Damasc. lib. I. *De orthodoxa fide*, cap. 12. In.

(52) *Τοῖς συγκαταβατικῶς εἰρημένοις.* Talia in sacris Litteris plurima sunt, quæ per συγκατάβασιν, h. e. indulgentem demissionem sublimis Dei majestatis ad nostri captus imbecillitatem et humilitatem dicuntur. Plura de his in *Sacris Lectionibus*. In.

(53) Pro καὶ ὡς σίελος. Codd. Vat. 649 et Alt. legunt, καὶ ὡσεὶ ἔλεος. POSSIN.

Digitized by Google

δρα ταῖς ψυχαῖς ὑμῶν· ὅτι οὐκ ἴδετε πᾶν ὁμοίωμα ἐν τῇ ἡμέρᾳ, ᾗ ἐλάλησε πρὸς ὑμᾶς; » Πλὴν οὐδ' ἐκεῖνοι τὸ ἀκριβὲς, ὡς γε ἡγοῦμαι, δογματίζουσιν. Ἀρχῆς γὰρ καὶ βασιλείας ἐστὶν εἰκὼν ὁ ἄνθρωπος, οὐκ οὐσίας· εἰ δὲ εὖ πράξοι, καὶ ἀρετῆς. Εἰ γὰρ καὶ ἀθάνατον ὁριζόμεθα εἶναι τὴν νοερὰν ψυχὴν, ἀλλ' οὐ τῆς θειοτάτης ἐκείνης καὶ ἀνάρχου φύσεως ὁμοούσιον, ἀλλὰ τοσοῦτον ἀπέχουσαν, ὅσον εἰκὸς κτίσμα τοῦ Κτίσαντος. Εἰ γὰρ ἡ ψυχὴ κατ' εἰκόνα, δηλονότι καὶ ἡ τῆς γυναικός. Τί οὖν δήποτε εἶπεν ὁ Παῦλος· « Ἀνὴρ μὲν γὰρ οὐκ ὀφείλει κατακαλύπτεσθαι τὴν κεφαλὴν, εἰκὼν καὶ δόξα Θεοῦ ὑπάρχων· ἡ δὲ γυνὴ δόξα ἀνδρός ἐστι; » Τῆς γὰρ ψυχῆς τῆς γυναικὸς ἀθανάτου, καὶ ἀφθάρτου οὔσης, ὥσπερ καὶ τῆς τοῦ ἀνδρὸς, τί δήποτε μετὰ διορισμοῦ τινος τοῦτ' ἔφρασεν ὁ Παῦλος; Εἰ δὲ πρὸς ταῦτα ἀνθυπενέγκοιεν, ἀνθοπλίζοντες τὸν Μωσέα τῷ Παύλῳ, τό· « Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν, καὶ καθ' ὁμοίωσιν, » μάλιστα μὲν δυνατὸν εἰπεῖν, ὅτι ἐνικόν ἐστι τὸ εἰρημένον, καὶ οὐ περὶ ἀμφοτέρων εἴρηται. πλὴν οὐ λέξομεν. Εἰ δὲ τὸ ἑξῆς προαγάγοιεν τὸ καὶ ἀρχέτωσαν, πρὸς ἡμῶν ἔσται τὸ εἰρημένον. Δείκνυται γὰρ λαμπρῶς τὸ κατ' εἰκόνα, ἐν τῷ ἀρχικῷ χαρακτηριζόμενον. Εἰ δ' εἴποιεν· Πῶς οὖν ὁ Παῦλος, τὸν μὲν, εἰκόνα θείαν, τὴν δὲ τοῦ ἀνδρὸς ἀπεφήνατο; φήσομεν, ὅτι ἐξ ἀρχῆς μὲν ὁμότιμος ἦν ἡ γυνὴ, καὶ τῆς αὐτῆς ἠξιοῦτο ἀρχῆς· ἐπειδὴ δ' ἔπταισεν, ἠλαττώθη, καὶ ἠκρωτηριάσθη αὐτῆς ἡ ἀρχὴ, καὶ ὑπὸ τὸν ἄνδρα γεγένηται. « Οὐκ ἤνεγκας, φησὶ, τὴν ἰσοτιμίαν, δέχου τὴν ἐλάττωσιν. Πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει. » Ὥστε ἡ μὲν κοσμοποιία τὴν πρὸ τῆς ἁμαρτίας τῆς γυναικὸς δηλοῖ ἀρχήν· τὸ δ' ἀποστολικὸν λόγιον, τὴν μετὰ τὸ πταῖσμα ὑποταγήν. Ὅτι δὲ τῷ κεχειροτονῆσθαι πάντων τῶν ἐπιγείων ἄρχοντα τὸν ἄνθρωπον, τὸ *κατ' εἰκόνα* σώζεται· ἄκουσον τοῦ Μελῳδοῦ τὰς θείας δέλτους, καὶ τὰς βασιλικὰς συλλαβὰς ἑρμηνεύοντος, καὶ φράζοντος· « Δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτὸν, καὶ κατέστησας αὐτὸν ἐπὶ πάντα τὰ ἔργα τῶν χειρῶν σου. » Ὥσπερ γὰρ τὸ Θεῖον πάντων (54), οὕτω καὶ ὁ ἄνθρωπος τῶν ἐπὶ γῆς βασιλεύει. Ἔχει μὲν οὖν τὸ ἀρχικὸν σῶζον τὴν βασιλικὴν εἰκόνα. Τὸ *καθ' ὁμοίωσιν*, εἰ μὴ δοκοίη τισὶν ἐκ παραλλήλου λέγεσθαι (55), ὡς τό· « Ἐὰν [δὲ] (56) ἐκοιμήθην καὶ ὕπνωσα, » καὶ τό· « Μακάριος ὁ συνιὼν ἐπὶ πτωχὸν καὶ πένητα· » οὕτως ἑρμηνευτέον, ὅτι τὴν ἀρχὴν αὐτῷ ἐνεχείρισεν ὁ Θεὸς, ἵν' ἐπιδείξηται τὴν ἀρετὴν, καὶ σώσῃ τὴν ὁμοιότητα. Ἐδόξω, φησὶ, τὴν τιμὴν, δεῖξον τὴν ἀρετήν· ἵνα τὸ μὲν τῇ δημιουργίᾳ, τὸ δὲ τῇ προαιρέσει τοῦ δημιουρ-

A exustionem, et omnia quadrupedia minime sufficiunt ad sacrificium, cui assimilabitis Dominum[72]? » Quonam denique pacto Moses, cujus vocem improbe ac veteratorie exponere conantur, dixit : « Atque hoc studiose retinebitis in cordibus vestris, quod non vidistis omnem similitudinem in die qua locutus est ad vos[73]. » **294** Cæterum ne illi quidem, nisi opinione fallor, vere hoc astruunt. Imperii enim ac regni homo imago est, non essentiæ. Si autem probis operibus studuerit, virtutis quoque imago ac simulacrum erit. Nam etsi immortalem esse statuimus animam intelligentiæ participem, at non tamen ejusdem cum divinissima illa et sempiterna natura essentiæ : verum tantum ab ea remotam ac dissitam, quantum verisimile est rem creatam a Creatore. Si enim anima ad Dei imaginem condita est, procul dubio mulieris quoque anima. Quorsum itaque dixit Paulus : « Vir non debet velato esse capite : est enim imago et gloria Dei : mulier autem gloria viri est[74]? » Nam cum mulieris anima immortalis atque interitus expers sit, quemadmodum et viri anima, quid tandem affertur, quamobrem Paulus cum distinctione quadam istud dixerit? Quod si adversus hæc, Mosen adversus Paulum armantes, illud protulerint : « Faciamus hominem ad imaginem et similitudinem nostram[75], » maxime quidem illud dicere licet, singulare esse dictum istud, ac non de utroque enuntiatum esse. Verum hoc tamen minime esse dicemus. At si, id quod deinceps sequitur, produxerint, Et imperent, jam nobis hæc verba suffragabuntur. Hinc enim perspicue demonstratur, divinæ imaginis decus in imperio tanquam certa nota insigniri. Quod si quærant quid causæ fuerit Paulo, cur virum divinam imaginem, mulierem autem viri imaginem esse pronuntiarit, illud respondebimus, quod primum quidem pari honoris gradu mulier erat, atque divino beneficio idem imperii jus obtinebat. Postquam autem lapsa est, imminutum ac mutilatum est ipsius imperium, ac sub viri potestatem redacta est. « Honoris æqualitatem non tulisti, inferiorem gradum accipe. Ad virum erit conversio tua, et ipse dominabitur tui[76]. » Itaque liber quidem ille, qui a mundi effectione nomen ducit, mulieris ante peccatum imperium declarat. Apostolicum autem oraculum subjectionem eam, quæ peccatum consecuta est. Quod autem hinc *divinæ imaginis* decus retineatur, quod homo terrenorum omnium princeps creatus sit, audi Psalmographum, divina verba et syllabas ad hunc modum interpretantem : « Gloria et honore coro-

B

C

D

[72] Isa. xl, 15-18. [73] Deut. iv, 15? [74] I Cor. xi, 7. [75] Gen. i, 26. [76] Gen. iii, 16.

VARIÆ LECTIONES ET NOTÆ.

(54) Hæc verba, πάντα τὰ ἔργα τῶν χειρῶν σου Ὥσπερ γὰρ τὸ Θεῖον πάντων, cuncta omittuntur a cod. Vat. 649, sed repræsentantur ab Alt. et videntur retinenda. Possin.

(55) Ἐκ παραλλήλου λέγεσθαι. Hoc quoque creberrimum est in sacris litteris, ut æquipollentia, jungantur : quod in primis in lectione Psalmorum probe observandum est. Vide Adriani *Isagogen*. Rittt.

(56) Pro, ἐὰν δὲ ambo codd. legunt, ἐγὼ δέ. Possin.

Digitized by Google

nasti eum, et constituisti eum super omnia opera A manuum tuarum [77]. » Ut enim Deus omnium rerum, ita etiam homo eorum, quæ in terra sunt, principatum tenet. Quocirca regiam imaginem gerit, si principatum suum conservet. At vero hæc verba, *ad similitudinem* (nisi quidam cum præcedentibus synonyma esse existiment, velut hæc, « Ego dormivi et soporatus sum [78]; » et item hæc, « Beatus qui intelligit super egenum et pauperem [79] ») ad hunc modum exponenda sunt: nempe quod Deus imperium ipsi ob eam causam mandavit, ut virtutem ostendat. **295** Honorem, inquit, accepisti, virtutem ostende, ut alterum creationi, alterum ejus, quod creatum est, voluntati atque arbitrio ascribatur. Atque istud fortasse hinc declaratur, quod initio quidem dictum sit, « Faciamus B hominem ad imaginem nostram et ad similitudinem [80]; » postea vero: « Et fecit Deus hominem, ad imaginem Dei fecit ipsum [81], » non addito illo altero [82] *ad similitudinem*, sive quod idem ea dictio significet, ut ante dicebam, sive quod virtus ex libera voluntate animique inductione dependeat; ut tale quidpiam sit quod dicitur: Faciamus hominem ad imaginem nostram (56*), ut ex voluntate animique instituto ad similitudinem fiat. Ac proinde ante procreationem quidem utrumque dixit: post ipsam autem, alterum duntaxat. Sane unigenitus Deus, cum ad nos venit, his verbis usus est: « Estote similes Patris vestri qui in cœlis est [83]; » perinde scilicet atque procreatio imaginem, voluntas autem animique institutum similitudinem servet. Quod si C dixerint, Qui fit igitur, ut cum homo rerum omnium, quæ terræ complexu continentur, imperium acceperit, feras pertimescat? hac defensione omissa, sive illa vera, sive falsa sit, quam quidam attulerunt, asserentes in divinis libris ferarum imperium minime positum, verum a nonnullis postea adjectum fuisse, recta via respondebo, atque illud dicam: quod primum quidem cum divina imago in eo eluceret, omnia ei subjecta erant (unde etiam ipsis nomina imposuit): at postquam a divino mandato recessit, optimo jure imperium ipsi mutilatum atque imminutum est, atque non omni quidem imperii jure deturbatus est, nam alioqui frigida prorsus gratia inventa fuisset, sed tamen aliqua ex parte truncatus est ipsi principatus. Neque enim æquum erat ut is qui victus fuerat corona donaretur, verum ut belluarum terrore coerceretur, atque ad meliorem mentem revocaretur. Quod autem verum sit, hinc constat, quod cum Noe, justitiam colendo et amplectendo, hanc imaginem repurgasset, feræ omnes ad eum se contulerunt, veterem servitutem confitentes, atque eum, qui primum peccaverat, atque imperii parte mulctatus fuerat, propemodum accusantes. Quinetiam Danielem, leones, et tres pueros, ignis veritus est: nec vipera Paulum ullo modo læsit. Quamobrem ex eo quod isti avitum imperium revocarunt, perspicuum est eum integrum quidem accepisse, verum partem aliquam amisisse. Atque hæc a nobis dicta sint. Quod si quis melius aliquid habet quod proferat, dicatur sane atque audiatur.

A τηθέντος ἀνακεῖται. Καὶ τάχα τοῦτο δηλοῖ, τὸ ἐξ ἀρχῆς μὲν εἰρῆσθαι· « Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν· » ὕστερον δέ· « Καὶ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον, κατ' εἰκόνα Θεοῦ ἐποίησεν αὐτὸν, » οὐ προστεθέντος τὸ, *καθ' ὁμοίωσιν*· ἢ ὡς τὸ αὐτὸ ἐμφαινούσης τῆς λέξεως, ὡς ἔφθην (57) εἰπὼν, ἀναρτηθείσης τῆς ἀρετῆς, ἵν' ᾖ τὸ τοιοῦτον τὸ εἰρημένον, « Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν, » ἵν' ἐκ προαιρέσεως γένηται καθ' ὁμοίωσιν· διὸ πρὸ μὲν τῆς δημιουργίας ἀμφότερα εἶπε· μετὰ δὲ τὴν δημιουργίαν, θάτερον. Ὁ μονογενὴς γοῦν Θεὸς ἐπιδημήσας, φησί· « Γίνεσθε ὅμοιοι τοῦ Πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς· » ὡς τῆς [μὲν] δημιουργίας, τὸ *κατ' εἰκόνα* σωζούσης· τῆς δὲ προαιρέσεως, τὸ *καθ' ὁμοίωσιν*. Εἰ δὲ φαῖεν· B Πῶς οὖν, εἴ γε τὴν ἀρχὴν πάντων τὴν ἐπὶ γῆς εἴληφεν ὁ ἄνθρωπος, τὰ θηρία δέδοικε; παρεὶς ἐκείνην τὴν ἀπολογίαν, εἴτε ἀληθὴς εἴη, εἴτε μὴ, ἥν τινες ἔφασαν, ὅτι ἐν ταῖς θείαις δέλτοις, ἡ ἀρχὴ τῶν θηρίων οὐκ ἐνέκειτο· ἀλλ' ὕστερον παρά τινων προσετέθη· ἐξ εὐθείας τὴν ἀπολογίαν ποιήσομαι. Ὅτι ἐξ ἀρχῆς μὲν αὐτῷ ὅτε ἔλαμπεν ἡ εἰκὼν, πάντα ὑπέκειτο (διὸ καὶ ὀνόματα αὐτοῖς ἐπέθηκεν), ἐπειδὴ δὲ παρήκουσεν, ἠκρωτηριάσθη αὐτοῦ εἰκότως ἡ ἀρχὴ, καὶ πάσης μὲν οὐκ ἐξεβλήθη (ἵνα μὴ ἕωλος ἡ χάρις εὑρεθῇ), ἠκρωτηριάσθη δέ· οὐ γὰρ δίκαιον ἦν τὸν ἡττηθέντα καὶ στεφανωθῆναι, ἀλλὰ τῷ φόβῳ τῶν θηρίων σωφρονισθῆναι. Ὅτι δὲ τοῦτ' ἔστιν ἀληθὲς, ὅτε ὁ Νῶε τὴν εἰκόνα ταύτην ἀνεκάθηρε, τῷ δικαιοσύνην ἀσμενίσαι· ἦλθε πρὸς αὐτὸν πάντα τὰ θηρία, C τὴν ἀρχαίαν δουλείαν ὁμολογοῦντα, καὶ μονονουχὶ τὸν ἐξ ἀρχῆς ἁμαρτόντα, καὶ μέρος τῆς ἀρχῆς ἀπολέσαντα καταμεμφόμενα. Καὶ τὸν Δανιὴλ δὲ οἱ λέοντες ᾐδέσθησαν, καὶ τὸ πῦρ τοὺς παῖδας τοὺς τρεῖς (58). Καὶ ἡ ἔχις τὸν Παῦλον οὐδὲν ἔβλαψε. Δι' ὧν οὖν ἀνενεώσαντο τὴν προγονικὴν ἀρχὴν, δῆλός ἐστι κἀκεῖνος εἰληφὼς μὲν ὁλόκληρον, ἐκ μέρους δ' ἀπολέσας. Καὶ ταῦτα μὲν παρ' ἡμῶν. Εἰ δέ τις ἔχοι βέλτιον λέγειν (59), καὶ λεγέτω, καὶ ἀκουέσθω.

[77] Psal. VIII, 6, 7. [78] Psal. III, 6. [79] Psal. XL, 2. [80] Gen. I, 26. [81] ibid. 27. [82] Matth. V, 48.

VARIÆ LECTIONES ET NOTÆ.

(56*) Locus in editione Parisiensi [illegible] sed [illegible] culpa, [illegible] Edit. Paris.

(57) Pro [illegible] Ven. [illegible] Poss. [illegible]

(58) Confer epist. 159, infra. Ritt.

(59) [illegible] Hic [illegible] perpetuæ [illegible] modestiæ [illegible] Ib.

ιϚ'. — ΠΑΥΛΩ.

Πᾶσαι μὲν αἱ τέχναι, ταῖς μὲν μελέταις συγκροτοῦνται, καὶ μείζους γίνονται· ταῖς δ' ἀργίαις ἀπόλλυνται, μάλιστα δὲ ἡ τῶν λόγων δύναμις. Θεραπευομένη μὲν γὰρ καὶ ἀρδευομένη, μεγίστη γίνεται· ἀμελουμένη δὲ, ῥᾳδίως ἀποφοιτᾷ καὶ ἀφίπταται. Ὅτου δὲ χάριν ταῦτα λέγω, ἴσως οὐκ ἀγνοεῖς (60), ὁ τὴν θείαν σοφίαν καὶ τὴν τῆς ἀρετῆς ἐργασίαν δίκαιος ὢν ταῖς προσθήκαις αὔξειν, καὶ μείζους καθιστᾷν.

XCVI. — PAULO.

Cum omnes artes usu atque exercitatione confirmentur atque incrementa capiant, cessatione autem ac desidia intereant, tum præcipue dicendi facultas. Nam cum colitur et irrigatur, maxime crescit : cum autem 296 negligitur, facile abscedit et avolat. Quorsum autem his verbis utar, fortasse minime ignoras, qui divinam sapientiam ac virtutis cultum assiduis incrementis augere atque amplificare debes.

ιζ'. — ΖΩΣΙΜΩ.

Πρεσβύτερον ὄντα σε διὰ τὴν ἡλικίαν, καὶ καλούμενον, διὰ τὴν χειροτονίαν, φασὶ νεωτερίζειν τοῖς τρόποις, καὶ πάντα ἀκμάζοντα ἀποκρύπτειν, πράττοντα, λόγῳ μὲν αἰδοῦμαι λέγειν, αὐτὸς δ' οὐκ οἶδ' ὅπως πράττειν οὐκ ἐρυθριᾷς. Εἰ τοίνυν ἀληθεύουσιν, ἀρίστην κἂν ἐπὶ γήρως δεῖξον μεταβολήν, ἵνα κἀκεῖνοι παυσάμενοι τῶν κωμῳδιῶν, παλινῳδίαν ᾄσωσιν.

XCVII. — ZOSIMO.

Quamvis et ætate senex sis, et propter sacram ordinationem appelleris, rumor est tamen te moribus juvenem agere, atque quemvis juvenem ac florentem, improbitatis magnitudine obscurare : ea videlicet perpetrantem, quæ ipse quidem dicere præ pudore non sustineo, tu autem, haud scio quo pacto perpetrare non erubescis. Quare si verus est hic rumor, optimam in senili quoque ætate mutationem ostende : quo illi etiam qui hæc de te dictitant cavillis suis finem imponentes, orationem retexant.

ιη'. — ΣΤΡΑΤΗΓΙΩ ΜΟΝΑΧΩ.

Ἥσθην ὑπερφυῶς πυθόμενος τὴν σὴν ἐπὶ τὸ κρεῖττον προκοπὴν, καὶ τοὺς φίλους συνησθῆναι παρεσκεύασα, τὴν εὐκταιοτάτην αὐτοῖς καὶ ἐρασμιωτάτην εὐαγγελισάμενος ἀκοήν. Εἰ τοίνυν βούλει ἡμᾶς μὲν ἐπὶ πλεῖον πανηγυρίζειν (ἴδιον γὰρ τὰς σὰς ἑορτάζομεν εὐδοκιμήσεις), σαυτῷ δὲ κλέος οὐρανόμηκες κατασκευάσαι, μὴ παύσοιο ταῦτα θηρώμενος, ἃ καὶ παρὰ Θεῷ εὐδόκιμον (61), καὶ παρὰ ἀνθρώποις ἀοίδιμόν σε παρασκευάσει.

XCVIII. — STRATEGIO MONACHO.

Posteaquam tuum in virtute progressum intellexi, incredibilem quamdam ex ea re voluptatem cepi, atque optatissimo ac desideratissimo hoc nuntio ad amicos misso, ut ipsi quoque voluptate perfunderentur, effeci. Quocirca si nos diutius gaudere ac lætitia diffundi (tuas enim laudes ingenti cum animi voluptate celebramus) atque etiam amplissimam tibi gloriam comparare cupis, ea sine ulla intermissione aucupare, quæ te, et apud Deum clarum, et apud homines celebrem redditura sunt.

ιθ'. — ΕΡΜΟΓΕΝΕΙ ΕΠΙΣΚΟΠΩ.

Οἱ τῷ κανόνι τοὺς μὴ κανόνας προσάγοντες, καὶ διὰ τοῦτο τὸν καὶ τοὺς ἄλλους κανονίσαι δίκαιον ὄντα δοκιμάζοντες, οὔ μοι δοκοῦσι τὴν κρίσιν τῶν πραγμάτων ἔχειν ὀρθήν. Ἐπειδὴ γὰρ ἐκακώθησαν τὸ λογιστικὸν τῆς ψυχῆς δι' ἑκουσίας νόσου, σφάλλονται λοιπὸν καὶ περὶ τὴν κρίσιν τῶν πραγμάτων. Τὸ γοῦν δικαίῳ, καὶ ἀνδρείῳ, καὶ τοῖς ἁμαρτάνουσι φοβερῷ, τῦφον καὶ ὀφρὺν ἐπιφημίζουσι· διὰ τούτου πᾶσι τοῖς τῆς ἀρετῆς ἐρασταῖς, τὸν εἰς αὐτὴν δρόμον ἐγκόψαι μηχανώμενοι. Τῇ γὰρ σύνεγγυς κακίᾳ τὴν ἀρετὴν ὀνομάζειν (62) τολμῶσιν. Οὐκοῦν μεμφέσθωσαν οἱ τοιοῦτοι καὶ τῷ λέοντι, ὅτι βλοσυρὸν, καὶ βασιλικὸν, καὶ οὐ πιθήκειον βλέπει, καὶ τοὺς μίμους τῶν γελοίων ἀποδεχέσθωσαν, ὅτι γέλωτα κινοῦσιν ἄτοπον.

XCIX. — HERMOGENI EPISCOPO.

Qui regulæ eos, qui regulæ non sunt, admovent, ob eamque causam eum, qui alios quoque formare atque ad regulam dirigere meretur, examinant, rectum de rebus judicium habere minime mihi videntur. Quoniam enim per spontaneum morbum vitiatam eam animi partem habent, in qua rationis sedes est, idcirco fit, ut in rerum quoque judicio deinceps errore labantur. Justo quippe ac forti viro, ac sceleratis formidabili, fastum ac supercilium attribuunt : hoc scilicet omnibus virtutis studiosis cursum ad eam interrumpere molientes. Siquidem virtutem propinqui vitii nomine appellare minime dubitant. Quocirca ejusmodi homines leonem quoque reprehendant, quod rigidum quemdam ac regium, non autem simiarum similem, vultum præferat : ac contra histriones et scurras laudent, quod absurdum risum excitent.

VARIÆ LECTIONES ET NOTÆ.

(60) Pro ἀγνοεῖς ambo codd. Vat. et Alt. legunt ἀγνοεῖ. Possin.

(61) *Παρὰ Θεῷ εὐδόκιμον.* Bill., *apud Deum clarum.* Probo admonitionem cl. viri et chariss. compatris atque amici mei D. Georgii Remi, melius esse ut vertamus *acceptum*, ut sit ab εὐδοκία εὐδόκιμον. Sic ἡμέρα εὐδοκίας, *dies qua quis acceptus est.* Ritt.

(62) *Τῇ σύνεγγυς κακίᾳ τὴν ἀρετὴν ὀνομάζειν.* Vetus hæc est hominum perversitas et querela. Vide Platonem *Alcibiade* II, p. 140 : Ciceron. *Partit. orator.;* Sallustium *Catilina*, sub persona Catonis ; et Horat. Satyr. III, lib. I. Id.

Digitized by Google

C. — MARONI PRESBYTERO.

Non iis, qui injuriam accipiunt, optime vir, sed iis qui inferunt, periculum omne impendet, eosque trepidare atque contremiscere oportet. Quod si ita est, injuriam perpeti malum non est, sed eam inferre, nec illatas injurias perferre scire.

CI. — EIDEM.

Recte a quodam externorum hominum dictum est, turpe ac probrosum non esse paupertate **297** laborare, verum paupertatem forti animo minime ferre. Quamobrem si hoc ille quoque recte ac præclare existimavit, ex inopia pudore ne afficiamur, imo ne probro quidem eam ducamus, verum ad vitium hunc metum transferamus.

CII. — THEODORO SCHOLASTICO.

Quandoquidem multos probos viros laudibus efferens, fortunæ quoque mentionem fecisti, libens ex te quærerem, quonam pacto ambo hæc in unum convenire queant. Siquidem laudatio ad voluntatem spectat; fortuna vero probum virum laudari non permittit, quin autem felix ac fortunatus prædicetur, minime prohibet. Permultum enim, etiam de vestra sententia, qui gentilium religionem colitis, inter felicitatis prædicationem et laudationem est discriminis. Illa quippe a fortuna, hæc a voluntate animique inductione oritur. Scribas igitur ad me velim, vir erudite, quonam pacto ei, cujus laudes prædicantur, fortunæ sermo conveniat, aut quonam modo ei, qui fortunæ beneficio, ut dicitis, talis exstitit, laudatio congruat. Alterum enim adversus alterum pugnat. Nam si minime sponte talis est, ne laudetur; si autem sponte, nullus fortunæ sit locus. Si tropæum statuit, præconis voce celebretur: si autem fortuna hoc præstitit, laudem ne consequatur. Si dimicavit, corona donetur; si autem non pugnavit, ne laudetur.

CIII. — HERMOGENI EPISCOPO.

Si tu eo animo, ut Zosimi, Chæremonis, et Maronis petulantiam et impudicitiam per vim coerceas, ipsis occurrere in animum induxisti, magno tibi apparatu, ac divino auxilio opus est. Si autem tanquam confestim atque ad primum clamorem eos superaturus, imprudens teipsum fallis. Tantum enim subsidium sibi ipsis mutuo afferunt, cum probum aliquem virum ulcisci parant, quantum inter se bellum excitant, cum de vitiorum principatu inter se contendunt. Nam qui in communibus rebus concordes sunt, iidem in privatis dissident; et qui in exstinguenda, quantum in ipsis situm est, virtute invicti cujusdam roboris speciem edunt, iidem in contentione de principatu inexpiabile inter se bellum movent.

Γ'. — ΜΑΡΩΝΙ ΠΡΕΣΒΥΤΕΡΩ.

Οὐ τοῖς ἀδικουμένοις, ὦ βέλτιστε, ἀλλὰ τοῖς ἀδικοῦσιν ἐπικρέμαται ὁ κίνδυνος ἅπας· οὓς καὶ ἀγωνιᾷν καὶ τρέμειν δίκαιον. Εἰ δὲ ταῦτα οὕτως ἔχει, οὐ τὸ ἀδικεῖσθαι κακὸν, ἀλλὰ τὸ ἀδικεῖν, καὶ τὸ μὴ εἰδέναι φέρειν ἀδικούμενον.

ΡΑ'. — ΤΩ ΑΥΤΩ.

Εἴρηται καλῶς τινι τῶν ἔξωθεν, οὐ τὸ πένεσθαι ἐπονειδιστον, ἀλλὰ τὸ μὴ φέρειν εὐγενῶς τὴν πενίαν (63). Εἰ τοίνυν κἀκείνῳ τοῦτο εὖ καὶ καλῶς ἔδοξεν, ἐπὶ πενίᾳ μὴ αἰσχυνώμεθα, ἀλλὰ μηδ' ὀνειδος ταύτην ἡγώμεθα, ἀλλ' ἐπὶ τὴν κακίαν μετενέγκωμεν τοῦτον τὸν φόβον.

ΡΒ'. — ΘΕΟΔΩΡΩ ΣΧΟΛΑΣΤΙΚΩ.

Ἐπειδὴ πολλοὺς τῶν ἀγαθῶν ἀνδρῶν ἐγκωμιάζων, καὶ τύχης μέμνησαι, ἡδέως ἂν σου πυθοίμην, πῶς οἷόν τε ἀμφότερα συνελθεῖν. Ὁ μὲν γὰρ ἔπαινος πρὸς τὴν προαίρεσιν βλέπει· ἡ δὲ τύχη ἐγκωμιάζεσθαι μὲν τὸν ἀγαθὸν οὐκ ἐπιτρέπει· μακαρίζεσθαι δὲ οὐ κωλύει. Πάμπολυ γὰρ καὶ καθ' ὑμᾶς τοὺς τὰ Ἑλλήνων πρεσβεύοντας, μακαρισμὸς ἐπαίνου διενηνόχει (64). Ὁ μὲν γὰρ ἐκ τῆς τύχης, ὁ δὲ ἐκ τῆς προαιρέσεως τίκτεται. Γράψον τοιγαροῦν μοι, ὦ σοφὲ, πῶς τῷ ἐπαινουμένῳ ὁ τῆς τύχης ἁρμόττει λόγος· ἢ πῶς τῷ ὑπὸ τῆς τύχης τοιούτῳ, ὡς φατε, γενομένῳ ἐγκώμιον πρέπει. Θάτερον γὰρ θατέρῳ μάχεται. Εἰ μὲν γὰρ ἄκων τοιοῦτός ἐστι, μὴ ἐπαινείσθω· εἰ δ' ἑκὼν, ἡ τύχη χώραν μὴ ἐχέτω. Εἰ τρόπαιον ἔστησε, καὶ ἀνακηρυττέσθω· εἰ δὲ ἡ τύχη τοῦτο κατώρθωσε, μὴ ἀπολαυέτω ἐπαίνων. Εἰ ἠγωνίσατο, στεφανούσθω· ἰδὲ οὐκ ἠγωνίσατο, μὴ ἐπαινείσθω.

ΡΓ'. — ΕΡΜΟΓΕΝΕΙ ΕΠΙΣΚΟΠΩ.

Εἰ μὲν ὡς βίᾳ ἀνείρξων τὴν ὕβριν καὶ τὴν ἀσέλγειαν, Ζωσίμου τε καὶ Χαιρήμονος καὶ Μάρωνος, ὑπαντιάσαι αὐτοῖς προῄρησαι, πολλῆς σοι δεῖ καὶ τῆς παρασκευῆς, καὶ τῆς ἄνωθεν συμμαχίας. Εἰ δ' ὡς αὐτοβοεὶ περιεσόμενος, σαυτὸν ἀπατῶν λανθάνεις. Τοσαύτην γὰρ ἑαυτοῖς εἰσφέρουσι συμμαχίαν, ὅταν ἀγαθόν τινα ἄνδρα δέῃ ἀμύνασθαι, ὅσην κινοῦσι πρὸς ἑαυτοὺς ἅμιλλαν, ὅταν περὶ τῆς τῶν κακῶν πλεονεξίας ἀμφισβητῶσιν. Ἐν γὰρ τοῖς κοινοῖς συμβαίνοντες, ἐν τοῖς ἰδίοις διαφέρονται, καὶ ἀπρόσμαχον ἐπιδεικνύμενοι ῥώμην ἐν τῷ τὴν ἀρετὴν, τόγε ἧκον εἰς αὐτοὺς, σβέσαι, ἐν τῇ περὶ τῶν πρωτείων ἁμίλλῃ, ἄσπονδον πρὸς ἑαυτοὺς ἐγείρουσι πόλεμον.

VARIÆ LECTIONES ET NOTÆ.

(63) *Οὐ τὸ πένεσθαι ἐπονείδιστον, ἀλλὰ τὸ μὴ φέρειν εὐγενῶς τὴν πενίαν.* Plurima in hanc sententiam habent Chrysost. et Stob. Vid. adnotata ad Institutiones, tit. *De suspect. tutor.* Ritt.

(64) *Μακαρισμὸς ἐπαίνου διενήνοχεν.* Vid. Aristot. lib. I *Ethic.* Ib.

Digitized by Google

ΡΑ'. — ΑΝΤΙΟΧΩ.

Ὥσπερ ἐν οἷς χρὴ ἡττᾶσθαι τὸ νικᾷν αἰσχρὸν (65), οὕτως ἐν οἷς χρὴ νικᾷν, τὸ ἡττᾶσθαι αἰσχρότερον. Οὐ γὰρ ἐν πᾶσιν ἡ νίκη καλὸν, ἀλλ' ἡ μὲν τὴν ὑπόθεσιν ἔχουσα καλὴν καὶ γενναίαν, ἀρίστη· ἡ δὲ καὶ αἰσχρὰν καὶ φαύλην, κακίστη. Οἷον (ἵν' ἀπὸ τῶν παρ' Ἕλλησιν ἀδομένων τὴν ἀπόδειξιν ποιήσωμαι) ὁ μὲν πρὸς τοὺς ἀλλοφύλους πόλεμος καὶ νόμιμος εἶναι δοκεῖ καὶ ἀναγκαῖος· ὁ δὲ πρὸς τοὺς ὁμοφύλους, καὶ παράνομος, καὶ οὐδ' ἐγκωμίων ἀπολαύει ὁ τρεψάμενος. Τοσούτῳ γὰρ πλέον τῶν ἄλλων αἰσχύνεται, ὅσῳπερ ἂν πλέον τι τῶν ἄλλων ἐργάσηται. Ἐμφυλίου γὰρ πολέμου ἀργαλεώτερον οὐδέν (66). Εἰ τοίνυν ἔνθα σώματος ὁ θάνατος, τοσαύτη ἐστὶν ἡ διαφορά· καίτοι μιᾶς οὔσης τῆς φύσεως· οἱ τοῖς μὲν δαίμοσιν ὑποκαταχλινόμενοι, κατὰ δὲ τῶν ἀδελφῶν ὁπλιζόμενοι, ἀνεκτὰ ποιεῖν δόξαιεν; οὐκ ἔγωγε οἶμαι. Καίτοι ἐνταῦθα, οὐ σώματος θάνατος παρακολουθεῖ (ἧττον γὰρ, ἦν κακὸν), ἀλλὰ ψυχῆς ὄλεθρος, οὐκ εἰς τὸ μὴ ὂν παραπέμπων τοὺς σκανδαλισθέντας, ἀλλὰ θανάτου παντὸς παρασκευάζων χαλεπώτερον βιῶσαι βίον, καὶ τὰ τῆς συγγενείας δὲ δικαιώματα, καὶ μείζονα, καὶ θειότερα. Διὸ καὶ οὐρανῷ πρέπουσαν πολιτείαν (67), πολιτεύεσθαι προστετάγμεθα. Εἰ δὲ τῶν ἐπὶ γῆς στρατευομένων τἀναντία πράττοντες ἁλῶμεν, τῶν ὑπὲρ μὲν τῶν πατρίδων ἀναλαμβανόντων τὰ ὅπλα, κατὰ δὲ τῶν βαρβάρων χωρούντων, ποία ἡμῖν ἔσται σωτηρίας ἐλπίς; ἢ τίς πεισθῆναι· σωθήσεσθαι τοὺς πράττοντας ἐκεῖνα τὰ εἰς τὴν ἀπώλειαν σαφῶς παραπέμποντα;

CIV. — ANTIOCHO.

Quemadmodum in iis rebus, in quibus cedere oportet, vincere turpe est, ita in iis rebus in quibus vincere oportet, vinci turpius ac fœdius est. Neque enim in omnibus rebus bona est victoria : verum ea demum optima existimari debet, quæ bonam et egregiam materiam habet : quæ autem turpem ac fœdam habet, turpissima. Verbi gratia (ut ab iis quæ apud gentiles pervulgata sunt, id demonstrem), bellum adversus externos legitimum ac necessarium esse censetur, adversus autem cives et populares, sceleratum : ac ne laudibus quidem afficitur, qui adversarios fudit et profligavit. 298 Tanto enim majori pudore perfunditur, quanto plus aliquid, quam alii, gesserit. Siquidem bello civili nihil atrocius ac funestius fingi potest. Si igitur hic, ubi de corporis morte duntaxat agitur, tantum discrimen est, idque cum una duntaxat natura sit : qui dæmonibus quidem sese subjiciunt, adversus autem fratres arma induunt, facinusne tolerandum admittere videantur? Non certe meo quidem judicio. Et quidem hic non corporis mors sequitur (minus enim id malum esset), verum animæ exitium, non eos, qui offendiculum perpetiuntur, exstinguens ac de medio tollens, verum quavis morte acerbiorem vitam iis comparans. Ac propterea cognationis ac propinquitatis jura et majora sunt, et diviniora. Unde etiam cœlo dignum vitæ genus colere jussi sumus. Quod si iis, qui in terra militant, atque pro patria quidem arma sumunt, adversus Barbaros autem proficiscuntur, contraria facere convincamur, quæ tandem nobis salutis spes erit? aut quis sibi persuadebit, eos salutem consecuturos esse, qui ea faciunt, quæ perspicue ad exitium ducunt?

ΡΕ'. — ΜΑΡΩΝΙ ΠΡΕΣΒΥΤΕΡΩ.

Μανθάνω ὡς ἐλέου τυχὼν τὴν σαυτοῦ γνώμην ἄσπονδον ἤλεγξας· οὐχ ὅτι πέπονθας εὖ μετριάζων, ἀλλὰ τὸν εὖ πεποιηκότα μισῶν, ὅτι δεδύνηται δρᾶσαι. Εἰ τοίνυν ταῦτα ἀληθῆ τυγχάνει, πᾶσι προκρύττεις, ὅτι ἐλέου τυγχάνεις ἀνάξιος· εἰ γὰρ οὐκ εἰς εὐχαριστίαν τρέπεις, ἀλλ' εἰς μνησικακίαν τὴν εὐεργεσίαν, τίς ἀνέξεται εὐποιῆσαι τὸν καὶ τὴν τῶν θηρίων ἀγριότητα νικῶντα; Ἔστι γὰρ ἐν ἐκείνοις ἃ καὶ εὐεργεσίας καὶ αἴσθεται, καὶ μέμνηται, καὶ ἀμείβεσθαι, ὡς ἐνδέχεται, σπουδάζει.

CV. — MARONI PRESBYTERO.

Audio te, posteaquam misericordiam consecutus es, quod tuus animus ab omni fœdere ac reconciliatione abhorreret, commenstrasse, ut qui, non quia beneficio affectus sis, moderatius te geras, sed eum, qui de te bene meritus est, idcirco oderis, quia male te multandi potestatem habuit. Quod si verum est, omnibus illud proclamas, te misericordia indignum esse. Nam si beneficium non ingrati animi officium, sed in injuriarum recordationem atque ulciscendi studium vertis, quis in eum beneficium conferre sustinebit, qui feras etiam immanitate superat? Sunt enim inter eas, quæ beneficium et sentiunt et memoria retinent, et, quantum licet, retaliare student.

ΡΣ'. — ΙΣΙΔΩΡΩ ΔΙΑΚΟΝΩ.

Ἀκούσας μὲν ἴσως ἀπιστήσεις· νοήσας δὲ εὖ οἶδ' ὅτι οὐ μόνον θαυμάσεις, ἀλλὰ καὶ κροτήσεις. Τί οὖν ἐστι τὸ ἐξ ἀρχῆς μὲν ἄπιστον ὀφθησόμενον, μετὰ δὲ ταῦτα, οὐ μόνον θαυμαστὸν, ἀλλὰ καὶ κρότου ἄξιον φανησόμενον; Εἶποιμι συντόμως ἐν βραχέσι

CVI. — ISIDORO DIACONO.

Cum audieris, fidem fortasse minime adhibebis : cum autem intellexeris, profecto non modo miraberis, sed etiam applaudes. Quidnam igitur est, quod prima quidem fronte incredibile tibi videbitur, post autem non modo admirandum, sed etiam plau-

VARIÆ LECTIONES ET NOTÆ.

(65) *Ἐν οἷς χρὴ ἡττᾶσθαι, τὸ νικᾷν αἰσχρόν.* Sic Demosthenes cum a quodam improbo et nequam homine conviciis lacesseretur : « Non descendo, inquit, tecum in certamen, in quo victus victore melior est. » Vid. Joan. Stobæum. RITT.

(66) Idem est Ciceronis judicium, et aliorum. ID.

(67) Vocem πολιτείαν, in ed. Paris. omissam, supplemus ex codd. Vat. 649 et Alt. EDIT. PATR.

Digitized by Google

sa dignum apparebit? Dicam breviter, in paucis syllabis maxima sententiarum maria consignans. Priscis hominibus Deus non per litteras, sed per seipsum loquebatur : quod videlicet puram eorum mentem, ac doctrina internuntii experte dignam inveniret. Atque hoc ex eo perspicue liquet, quod et Noe, et Abrahamum, et optimos ac celeberrimos ipsius nepotes, quorum unus et quidem præstantissimus erat is qui universam diaboli potentiam concidit, atque ipsius sagittas consumpsit, pharetramque inanem reddidit, hoc est clarus Job, **299** citra litteras alloquebatur. Posteaquam autem Judæorum natio in ipsum vitii fundum præceps ruit, tum denique litteræ necessariæ esse judicatæ sunt, eaque submonitio quæ per eas contingebat. Quod si in Veteri duntaxat Instrumento hoc exstitisse putas, ac non in Novo confirmatum fuisse, ipse contra in Novo quoque potissimum istud ostendi assero. Neque enim divinis apostolis scripto proditum quidquam datum est : verum litterarum loco Spiritus sancti gratia promissa est. « Ille enim, inquit, suggeret vobis omnia [85]. » Quod si scriptas leges non scriptis majorem vim atque auctoritatem habere censes, audi quid ipsemet rex dicat : « Et feriam cum ipsis pactum novum, dans legem meam in mentibus eorum, et in cordibus eorum inscribam eam [86]. »—« Et erunt omnes edocti a Deo [87]. » Unde etiam Paulus, majora fidei nostræ, quam Mosi, commissa fuisse affirmans, nos non in lapideis tabulis inscriptam, sed in carnalibus cordis tabulis insculptam legem accepisse dicebat [88]. quam qui contempserit, is non, ut ex veteris legis præscripto, lapidibus opprimetur, verum longe acerbiori supplicio multabitur. Postea quam autem fluente tempore, ac celerrimi cujusdam equi instar currente, quidam ob fidei dogmata, quidam ob vitam corruerunt, necessario rursum per litteras adhibenda correctio fuit. Violatis enim non scriptis legibus, ad scriptas merito se contulit is, qui subditos omni ratione ad virtutem inducere studet. Quocirca nobis illud cogitandum est, quanto in crimine versemur, qui cum tam pure ac sincere vivere deberemus, ut ne litteris quidem nobis opus esset, sed librorum vice animas nostras divino Spiritui præbere deberemus, postquam hujusce honoris jacturam fecimus, eoque redacti sumus, ut litterarum adjumento indigeamus, rursum tamen ne secundo quidem subsidio, ut par est, utamur. Nam si crimen est litteris opus habere, ac non Spiritus sancti doctrinam per vitæ puritatem attrahere, συλλαβαῖς, μέγιστα πελαγῶν νοήματα ἐνσημηνάμενος. Τοῖς παλαιοῖς ὁ Θεὸς οὐ διὰ γραμμάτων διελέγετο, ἀλλὰ δι' ἑαυτοῦ, καθαρὰν εὑρίσκων αὐτῶν τὴν γνώμην, καὶ τῆς ἄνευ μεσίτου διδασκαλίας ἀξίαν. Καὶ τοῦτο δῆλον ἐξ ὧν γραμμάτων ἄνευ διελέγετο, καὶ τῷ Νῶε, καὶ τῷ Ἀβραάμ, καὶ τοῖς εὐδοκίμοις ἀπογόνοις ἐκείνου, ὧν εἷς ἦν καὶ ὁ κορυφαιότατος ὁ πᾶσαν τοῦ διαβόλου τὴν δύναμιν συγκόψας, καὶ τὰ βέλη αὐτοῦ ἀναλώσας, καὶ τὴν φαρέτραν κενώσας, ὁ ἀοίδιμος, φημὶ, Ἰώβ. Ὅτε δὲ εἰς αὐτὸν τῆς κακίας τὸν πυθμένα κατηνέχθη ὁ δείλαιος τῶν Ἰουδαίων δῆμος, τότε λοιπὸν τὰ γράμματα ἀναγκαῖα εἶναι ἐνομίσθη, καὶ ἡ διὰ τούτων ὑπόμνησις. Εἰ δὲ νομίζεις ἐν τῇ Παλαιᾷ μόνον τοῦτο γεγενῆσθαι, ἐπὶ δὲ τῆς Καινῆς μὴ κεκυρῶσθαι, φήσαιμι, ὅτι μάλιστα πάντων τοῦτο καὶ ἐν αὐτῇ δείκνυται. Οὐδὲ γὰρ τοῖς θεσπεσίοις ἀποστόλοις γραπτόν τι δέδοται, ἀλλ' ἀντὶ γραμμάτων ἡ τοῦ ἁγίου Πνεύματος ἐπηγγέλθη χάρις. « Ἐκεῖνος γὰρ ὑμᾶς, φησὶν, ἀναμνήσει πάντα. » Εἰ δὲ νομίζεις τοὺς ἐγγράφους τῶν ἀγράφων νόμων κυριωτέρους εἶναι (68), ἄκουσον τί φησιν αὐτὸς ὁ βασιλεύς· « Διαθήσομαι αὐτοῖς διαθήκην καινὴν, δώσω νόμους μου ἐπὶ διάνοιαν αὐτῶν, καὶ ἐπὶ καρδίας αὐτῶν ἐπιγράψω αὐτούς. » — « Καὶ ἔσονται πάντες διδακτοὶ Θεοῦ. » Ὅθεν καὶ ὁ Παῦλος Μωσέως μείζονα ἐμπεπιστεῦσθαι δισχυριζόμενος, ἔλεγεν εἰληφέναι νόμον, οὐκ ἐν πλαξὶ λιθίναις ἐγγεγραμμένον, ἀλλ' ἐν πλαξὶ καρδίας σαρκίναις ἐντυπωθέντα· οὗ ὁ καταφρονῶν οὐ καταλεύ[σ]εται κατὰ τὸν παλαιὸν νόμον, ἀλλὰ πικροτάτῃ παραδίδοται κολάσει. Ἐπειδὴ δὲ τοῦ χρόνου διιπεύοντος, καὶ καθάπερ ἵππου ὀξυτάτου θέοντος, οἱ μὲν δογμάτων ἕνεκεν ἐξώκειλαν, οἱ δὲ βίου· ἀναγκαίως πάλιν (69) ἐδέησεν τῆς ἀπὸ τῶν γραμμάτων, διορθώσεως. Παραβεβασμένων γὰρ τῶν ἀγράφων ἐπὶ τὰ ἔγγραφα εἰκότως ὥρμησεν, ὁ παντὶ τρόπῳ τὸ ὑπήκοον εἰς ἀρετὴν ἐναγαγεῖν βουλόμενος. Ἐνοεῖν τοίνυν χρὴ ἡμᾶς, ἡλίκη ἐστὶ κατηγορία, τὸ τοὺς οὕτως ὀφείλοντας ζῆν εἰλικρινῶς, ὡς μηδὲ γραμμάτων δεῖσθαι, ἀλλ' ἀντὶ βιβλίων παρέχειν τὰς ψυχὰς τ θείῳ Πνεύματι, ἐπειδὴ τὴν τιμὴν ἀπωλέσαμεν ταύτην, καὶ κατέστημεν εἰς τὴν τῶν γραμμάτων χρείαν, μηδὲ τῷ δευτέρῳ βοηθήματι χρῆσθαι πάλιν εἰς δέον. Εἰ γὰρ ἔγκλημα τὸ γραμμάτων δεῖσθαι, καὶ μὴ τὴν τοῦ ἁγίου Πνεύματος ἐπισπᾶσθαι διὰ καθαροῦ βίου διδασκαλίαν, σκοπῆσαι ἂν εἴημεν δίκαιοι, ἡλίκον ἐστὶ κακὸν, τὸ μηδὲ μετὰ τοσαύτην καὶ τηλικαύτην βοήθειαν (« Νόμον γὰρ, φησὶν, εἰς βοήθειαν ἔδωκεν »), ἐθέλειν κερδαίνειν, ἀλλ' εἰκῇ καὶ μάτην κείμενα τὰ γράμματα (70) περιορᾶν, καὶ μείζονα προκαλεῖσθαι τὴν κόλασιν.

[85] Joan. XIV, 26. [86] Jerem. XXXII, 39, 40. [87] Isa. LIV, 13. [88] II Cor. III, 3.

VARIÆ LECTIONES ET NOTÆ.

(68) *Τοὺς ἐγγράφους τῶν ἀγράφων νόμων* (B. C. *νόμους*) *κυριωτέρους εἶναι.* Qui sic existimant, scriptas leges non scriptis esse firmiores, eos hic refutat Isidorus : quocum in eadem est sententia jurisconsultus Paulus in l. XXXV, *Imo magnæ*, D. *De legibus.* RITT.

(69) Ex regione horum verborum, ἀναγκαίως πάλιν, etc., sic ambo codd. in margine adnotant : Ταῦτα πρὸς λέξιν παρὰ Χρυσοστόμῳ ἐν προοιμίῳ τῶν εἰς Ματθαῖον Ὑπομνημάτων. *Hæc ad verbum apud Chrysostomum in proœmio Commentariorum in Matthæum.* POSSIN.

(70) Ed. Paris, πράγματα. Corr. ex codd. Vatic. EDIT. PATR.

Digitized by Google

æquum est nos perpendere quantum malum sit, post tantum ac tale subsidium : « Legem enim, inquit ille, in auxilium dedit [87] : » ne lucrum quidem facere velle, sed litteras frustra et temere sitas nihili pendere, majoremque hinc cruciatum nobis accersere.

ΡΖ'. — ΕΥΤΟΝΙΩ ΔΙΑΚΟΝΩ.

Περὶ τῆς παραβολῆς τοῦ σπόρου, καὶ πῶς ὁ λόγος σπείρεται.

Ἐπειδὴ γέγραφας, Πῶς τὸν λόγον σπείρεσθαι κατ' ἀρχὰς φάμενος, εἶπεν, « Οὗτός ἐστιν ὁ παρὰ τὴν ὁδὸν σπαρείς, » οὗ ὁ πονηρὸς ἁρπάζει τὸ ἐσπαρμένον· ἔφησε δὲ καὶ ἐν τῇ τῶν ζιζανίων παραβολῇ, τὸ καλὸν σπέρμα εἶναι, τοὺς υἱοὺς τῆς βασιλείας; φημὶ ὅτι μάλιστα μὲν ἑκάστην παραβολὴν πρὸς τὸ προκείμενον ἀναζωγραφητέον, καὶ οὐ πάντως πάντα κατὰ πάντα ληπτέον (71). Πλὴν ἵνα μὴ δόξω τισὶ σκήψεις ἐπινοεῖν, τὸ ἀπορρητότερον φράσω, φήσας ὅτι καὶ ὁ λόγος σπέρμα, καὶ ὁ τὸν λόγον δεξάμενος, διὰ τὴν πρὸς αὐτὸν συγκράτησίν τε καὶ οἷον ἀναστοιχείωσιν. Διὰ γὰρ τούτου μορφοῦται μὲν ὁ Χριστὸς ἐν ἡμῖν, καὶ ἡμεῖς κατὰ Χριστὸν μορφούμεθα. Διὰ γὰρ τοῦτο καὶ τὸ σπέρμα καταβάλλεται, ἵνα ἐξομοιώσῃ τὸν ἄνθρωπον πρὸς ἑαυτό.

CVII. — EUTONIO DIACONO.

De parabola seminis [88], et quomodo sermo seminatur.

Quoniam per litteras quæris quonam pacto Christus, posteaquam principio verbum seminari dixisset, subjecit : « Hic est qui secus viam seminatus est, » ubi improbus ille, quod satum est, rapit : atque idem tamen in zizaniorum parabola filios regni bonum semen esse pronuntiavit : primum ac potissimum hoc respondeo, unamquamque parabolam **300** ad id, de quo agitur, depingendam esse, ac non omnia prorsus intelligi debere. Verum ne quibusdam obtentus quosdam excogitare videar, quod reconditius est dicam, nimirum quod et verbum semen est, et item ille qui verbum excepit, ob connexionem videlicet cum eo, ac velut transformationem. Per ipsum enim Christus in nobis formatur : ac nos rursum juxta Christum formamur. Ob hanc enim causam semen quoque jacitur, ut hominem sibi assimilet.

ΡΗ'. — ΤΩ ΑΥΤΩ.

Διὰ τί τοὺς ἀκουσίως φονεύσαντας τοῖς Λευίταις προσκατῴκισεν ὁ νόμος.

Ἐπειδὴ ἔφης μήτε παρ' ἄλλου μεμαθηκέναι, μήτ' αὐτὸς εὑρεῖν δεδυνῆσθαι τὴν αἰτίαν, δι' ἣν τοὺς ἀνιέρους τοῖς ἱερωμένοις προσκατῴκισεν ὁ νομοθέτης, τοὺς ἀκούσιον δὴ φόνον δράσαντας τοῖς Λευίταις· φαίην, ὅτι μάλιστα μὲν ἵνα τῇ συνουσίᾳ ὠφελῶνται (72), καὶ τὸ δοκοῦν ἄγος ἀποτρίβωνται. Ἔπειτα δὲ ὅτι οἱ μὲν, κατὰ συγγενικῶν αἱμάτων ὅπλισαν τὰς δεξιὰς (ἡνίκα τὸ θεῖον σέβας τῷ μόσχῳ ἐπεφήμισαν), οἱονεὶ τοῦ Θείου παροινηθέντος γεγονότες ἐκδικηταὶ (διὸ καὶ ἱερωσύνης ἔτυχον)· οἱ δὲ τρόπον τινὰ ὑπῃρέται τῆς δίκης γεγόνασι, τοὺς πάντως δοῦναι δίκας δικαίους ὄντας, εἰ καὶ ἄκοντες ἀπεκτονότες. Καὶ τοῦτ' ἐγγυᾶται αὐτὸς ὁ νομοθέτης εἰπών· « Ὁ δὲ οὐχ ἑκών, ἀλλ' ὁ Θεὸς παρέδωκεν αὐτὸν εἰς τὰς χεῖρας αὐτοῦ. » Εἰ τοίνυν ὁ Θεὸς παρέδωκε, δίκας δοῦναι οὐκ ἂν εἴη δίκαιος ὁ ἀκουσίως φονεύσας, τῆς δίκης ὑπηρέτης ὀφθείς. Εἰ γὰρ καὶ τὴν χεῖρα δοκεῖ ἔχειν μιαράν, ἀλλὰ τὴν γνώμην ἔχει καθαράν. Τίνος οὖν ἕνεκα, φησὶ, φυγὴν αὐτοῦ κατεψηφίσατο; Οὐ διὰ τὸ γεγενημένον (ἦ γὰρ ἂν ἔξω τῆς γῆς τῆς ἐπαγγελίας πάντη αὐτὸν ἀφώρισεν), ἀλλὰ διὰ τὸ μὴ ὑπὸ τῶν συγγενῶν τοῦ ἀναιρεθέντος ἀκρίτως ἀναιρεθῆναι, νικῶντος τοῦ θυμοῦ τὸν λογισμὸν, καὶ τῆς ὀργῆς τὸ ἀκριβὲς παραγραφομένης. Ἀλλ' οὐδ' οὕτως αὐτὸν εἰς τέλος ἀφῆκεν· ὅρον γὰρ

CVIII. — EIDEM.

Cur eos qui involuntariam cædem patrarent cum Levitis lex collocavit [89].

Quoniam te neque ab alio didicisse aiebas neque per te invenire potuisse causam ob quam legislator profanos homines, hoc est eos qui minime voluntariam cædem perpetrant, Levitis sacris adjunxerit, potissimum id quidem idcirco factum fuisse dixerim, ut ex eorum consuetudine atque convictu utilitatem caperent et contracti in speciem sceleris labem abstergerent. Deinde vero quod Levitæ quidem ad profundendum cognatorum sanguinem dextras armaverant (quo tempore divinum cultum vitulo attribuerunt), Deique contumelia affecti velut vindices exstiterunt (unde etiam sacerdotii dignitatem consecuti sunt), isti autem quodam item modo justitiæ ministros sese præbuerunt, cum eos qui supplicio prorsus digni erant, et si haud sponte, interemerunt. Atque hanc sententiam ipse quoque legislator his verbis confirmat : « Neque sponte, sed Deus tradidit eum in manus suas [90]. » Quocirca si Deus ipsum, ut pœnam subiret, tradidit, profecto plecti minime convenit eum, qui minime sponte interfecit, atque justitiæ administer exstitit. Quamvis enim impuram ac sceleratam manum habere videatur : animum tamen ac voluntatem puram habet. Quid igitur causæ est, inquit, quamobrem

[87] Isa. VIII, 20 sec. LXX ; Galat. III, 24. [88] Matth. XIII, 3 seqq. [89] Num. XXXV, 3 seqq. [90] Exod. XXI, 13.

VARIÆ LECTIONES ET NOTÆ.

(71) *Καὶ οὐ πάντως πάντα κατὰ πάντα ληπτέον.* Ex B. C. addidi πάντως, ut sit tanto elegantius ac plenius polyptoton.— Consentiunt codd. Vat. ap. Possinum. EDIT. PATR.

(72) Verba φαίην ὅτι .... ὠφελῶνται deerant in edit. Paris. Lacunam ex codice Bavarico supplevit Rittershusius qui et interpretationem Latinam juxta novam accessionem reformavit. EDIT. PATR.

Digitized by Google

cum exsilio multaverit? Non certe ob admissum facinus (nam alioqui extra promissionis terram omnino eum relegasset): verum ne præcipiti impetu ab interfecti hominis propinquis morte afficeretur, vincente videlicet rationem furore, atque iracundia judicii sinceritatem repudiante ac propulsante. At ne sic quidem eum perpetuo exsulantem reliquit. Pontificis enim vitam exsilii terminum ipsi præscribit: ac post ejus e vita discessum, reditum ipsi concedit, eumque patriæ restituit.

A αὐτῷ τῆς φυγῆς ὁρίζει, τὸν τοῦ ἀρχιερέως βίον· καὶ μετὰ τὸν θάνατον ἐκείνου, κάθοδον αὐτῷ χαρίζεται, καὶ ἀποδίδωσιν αὐτὸν τῇ πατρίδι.

CIX. — EIDEM.

Cur ei qui involuntariam cædem patravit exsilii terminus est pontificis vita.

Ob hanc, ni fallor, causam pontificis vitam exsilii tempus, ei, qui minime voluntariam cædem admiserat, legislator præscripsit ut perspicuo argumento hoc nobis declararet: quod si involuntaria pontificis mors, eos, **301** qui haud sponte cædem perpetrarent, patriæ restituebat, reditumque ipsis concedebat, voluntaria magni pontificis mors, quæ per resurrectionem exstincta est, voluntaria etiam crimina oblitterabit, omnesque qui ipsius verbis fidem adhibebunt, supernæ Jerusalem reddet. « Quæ enim sursum est Jerusalem, inquit divinus Paulus, libera est, quæ est mater nostra [91]. »

B

ΡΘ'. — ΤΩ ΑΥΤΩ.

Διὰ τί τῷ ἀκουσίως φονεύσαντι ὅρος φυγῆς ἡ τοῦ ἀρχιερέως ὑπάρχει ζωή.

Διὰ τοῦτ' οἶμαι τοῦ ἀρχιερέως τὸν βίον ὅρον τῆς φυγῆς τοῦ ἀκουσίως φονεύσαντος ἐθέσπισεν εἶναι, μηνύων ἐναργεῖ τεκμηρίῳ, ὅτι εἰ ὁ ἀκούσιος τοῦ ἀρχιερέως θάνατος τοὺς ἀκουσίως φονεύσαντας τῇ πατρίδι ἀποδίδωσι, καὶ κάθοδον αὐτοῖς χαρίζεται τοῦ μεγάλου ἀρχιερέως ὁ ἑκούσιος θάνατος, ὁ ὑπὸ τῆς ἀναστάσεως σβεσθείς, καὶ τὰ ἀκούσια πλημμελήματα ἀφανιεῖ, καὶ ἀποδώσει πάντας τοὺς πιστεύοντας αὐτῷ τῇ ἄνω Ἱερουσαλήμ. « Ἡ γὰρ ἄνω Ἱερουσαλήμ, φησὶν ὁ θεσπέσιος Παῦλος, ἐλευθέρα ἐστὶν, ἥτις ἐστὶ μήτηρ ἡμῶν. »

CX. — ISIDORO DIACONO.

Quidnam sit, « In Sabbato primo secundo; » et quid « Sabbata sabbatorum. »

Quandoquidem id quod in Evangeliis dictum est: « In Sabbato deuteroproto, » ut obscurum, tibi exponi rogasti, audi. Deuteroproton dictum est, quia posterius quidem die Paschæ, primum autem Azymorum. Vespere enim Pascha immolantes, postridie Azymorum festum celebrabant, quod quidem etiam deuteroproton appellabant, propterea quod, ut dixi, dies ille die Paschæ posterior esset, Azymorum autem primus. Quodque hoc verum sit, argumento illud est, quod apostoli hoc nomine accusati sunt, quia spicas vellerent ac manducarent. Hoc enim duntaxat tempore spicæ nutant, atque ob fructum, ac messis tempus deorsum propendent, ac velut falcem ad sese vocant. Tertio quippe Azymorum die, manipulus quoque Deo offerebatur. Ita et a tempore, et ab eo cum factum est, perspicuum exsistit, id quod quæris. Quod si, Sabbato, dictum est, ne tibi id mirum videatur. Sabbatum enim festum omne nuncupant. Ac propterea dictum est, Sabbata sabbatorum, quoniam interdum festi principium, aut finis in hebdomadæ Sabbatum incidebat, quemadmodum etiam apud nos plerumque contingit. Nam cum Epiphania, aut carnalis Salvatoris nativitas Dominico die occurrit, duplicem solemnitatem efficit, ac velut festum in festo. Eodem quoque modo apud illos si festum in Sabbati diem incidisset. Sabbata sabbatorum vocabatur.

C

D

ΡΙ'. — ΙΣΙΔΩΡΩ ΔΙΑΚΟΝΩ.

Τί ἐστι τὸ, « Ἐν Σαββάτῳ δευτεροπρώτῳ· » καὶ τί, « Σάββατα σαββάτων. »

Τὸ, « Ἐν Σαββάτῳ δευτεροπρώτῳ (73), » εἰρημένον ἐν τοῖς Εὐαγγελίοις, ἑρμηνευθῆναί σοι ὡς ἀσαφὲς παρακαλέσας, ἄκουε· Δευτερόπρωτον εἴρηται, ἐπειδὴ δεύτερον μὲν ἦν τοῦ Πάσχα, πρῶτον δὲ τῶν Ἀζύμων. Ἑσπέρας γὰρ θύοντες τὸ Πάσχα, τῇ ἑξῆς τὴν τῶν Ἀζύμων ἐπανηγύριζον ἑορτήν· ἣν καὶ δευτερόπρωτον ἐκάλουν· διὰ τὸ, ὡς ἔφην, δευτέραν μὲν εἶναι τοῦ Πάσχα, πρώτην δὲ τῶν Ἀζύμων. Καὶ ὅτι τοῦτ' ἔστιν ἀληθὲς, δῆλον ἐκ τοῦ τοὺς ἀποστόλους ἐγκεκλῆσθαι ὡς τίλλοντας τοὺς στάχυας, καὶ ἐσθίοντας. Ἐν ἐκείνῳ γὰρ τῷ καιρῷ μόνῳ καρηβαροῦσιν οἱ στάχυες, καὶ κέκλινται ὑπὸ τοῦ καρποῦ καὶ τῆς πρὸς ἄμητον ὥρας, οἱονεὶ τὴν δρεπάνην ἐφ' ἑαυτοὺς καλοῦντες. Τῇ τρίτῃ γοῦν ἡμέρᾳ τῶν Ἀζύμων, καὶ τὸ δράγμα προσεφέρετο. Οὕτως καὶ ἀπὸ τοῦ καιροῦ, καὶ ἀπὸ τοῦ γεγενημένου δῆλόν ἐστι τὸ ζητούμενον. Εἰ δὲ Σαββάτῳ εἴρηται, μὴ θαυμάσῃς. Σάββατον γὰρ πᾶσαν ἑορτὴν καλοῦσι. Καὶ διὰ τοῦτ' εἴρηται Σάββατα σαββάτων. Ἐπειδὴ ἔστ' ὅτε, ἢ ἡ ἀρχὴ τῆς πανηγύρεως, ἢ τὸ τέλος συνέπιπτε τῷ τῆς ἑβδομάδος Σαββάτῳ, οἷον εἰπεῖν, καὶ παρ' ἡμῖν πολλάκις γίνεται. Ὥσπερ γὰρ ὅταν τὰ Θεοφάνια ἢ ἡ τοῦ Σωτῆρος κατὰ σάρκα γέννησις ἐν Κυριακῇ ἀπαντήσειε, ποιεῖ διπλῆν τὴν πανήγυριν, οἱονεὶ ἑορτὴν ἐν ἑορτῇ· οὕτω καὶ παρ' αὐτοῖς, εἰ καὶ ἡ πανήγυρις τῷ Σαββάτῳ συνέπιπτε, Σάββατα σαββάτων ἐκαλεῖτο.

[91] Galat. IV, 26.

VARIÆ LECTIONES ET NOTÆ.

(73) De Sabbato deuteroproto vide disputationem Josephi Scaligeri lib. VI *De emendat. temporum.* RITT.

Digitized by Google

ΡΙΑ'. — ΚΑΣΙΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Πολλοὶ τὴν τῶν πενήτων φροντίδα προστησάμενοι, εἰς τὸν ἴδιον χρηματισμὸν τελευτῶσιν. Οὓς οὐ χρὴ ζηλοῦν, ἀλλ' ἢ διορθοῦν, ἢ ἐκ πολλοῦ τοῦ περιόντος ὡς λυμεῶνας φεύγειν. Ἐπιτρίβουσι γὰρ τὴν ἐκείνων πενίαν, ἣν θεραπεύειν ἐχρῆν.

CXI. — CASSIO PRESBYTERO.

Multi ex his, qui pauperum curam susceperunt, in privatum quæstum tandem desinunt. Quos haudquaquam imitari oportet, verum corrigere, aut, ut amplius aliquid dicam, tanquam pestiferos homines fugere. Illorum enim paupertatem, cui mederi debent, exulcerant.

ΡΙΒ'. — ΑΛΥΠΙΩ.

Περὶ τῆς ἁγίας Τριάδος.

Τὰ μὲν ἐνικῶς εἰρημένα ἐν ταῖς ἱεραῖς Γραφαῖς τῆς θείας φύσεώς ἐστι χαρακτηριστικά· ὁμοούσιος γὰρ ἐστιν ἡ ἁγία καὶ βασιλικωτάτη Τριάς. Τὰ δ' ὑπὲρ τὸν ἑνικὸν ἐξενηνεγμένα ἀριθμὸν, τῆς τῶν ὑποστάσεων ἐστι διαφορᾶς. Πλατύνεται γὰρ ἡ Θεότης εἰς τρεῖς ἰδιότητας, καὶ συστέλλεται πάλιν εἰς μίαν οὐσίαν· ἵνα μήτε ἡ πολυθεΐα χώραν ἔχῃ ἐκ τῆς τῶν φύσεων διαφορᾶς· μήθ' ἡ Ἰουδαϊκὴ ὑπόνοια ἐκ τοῦ ἑνὸς προσώπου. Ἡ μὲν γὰρ ταυτότης τῆς φύσεως, ὑποστάσεσι διαιρεῖται· ἡ δὲ τῶν ὑποστάσεων ἰδιότης, εἰς μίαν οὐσίαν συνάπτεται. Καὶ ἵνα μὴ πάντ' εἰς μέσον φέροντες μηκύνωμεν τὴν ἐπιστολὴν, ἓν ἢ δεύτερον μεταχειρισάμενοι, καὶ τοῖς λοιποῖς ὁδὸν ἑρμηνείας ἀνατέμωμεν. Φησὶν ὁ Θεός· « Ἐγὼ πρῶτος, καὶ ἐγὼ μετὰ ταῦτα· ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεὸς, καὶ μετ' ἐμὲ οὐκ ἔσται. » Τί οὖν ἂν φαῖεν οἱ ἑτερόδοξοι; τίς ἄρ' ἐστὶν ὁ τοῦτο φράσας; ὁ Πατὴρ ἢ ὁ Υἱός; Εἰ μὲν οὖν ὁ Πατὴρ, πῶς φησι μὴ εἶναι μετ' αὐτόν; καθ' ὑμᾶς γὰρ, μετ' αὐτόν ἐστιν ὁ Υἱός. Εἰ δὲ ὁ Υἱός ἐστιν ὁ εἰπὼν, πῶς φησιν, « Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός; » Οὐ γὰρ δὴ τολμήσετε θατέρου τὴν ὑπόστασιν ἀνελεῖν. Πρῶτον μὲν γὰρ καὶ δεύτερον ἐδογματίσατε. Τὸ δὲ μὴ εἶναι θάτερον, οὐδ' ἐννοῆσαι, ὡς οἶμαι, ἀνάσχοισθε. Ἡμεῖς μὲν γὰρ εἰς τὴν ὁμοούσιον Τριάδα, καὶ τοῦτο καὶ τὰ τοιαῦτα ἐκλαμβάνοντες εὐσεβοῦμεν· ὑμεῖς δὲ οἱ διαιροῦντες πῶς ἑρμηνεύσετε τὸ εἰρημένον; Ταῦτα μὲν οὖν περὶ τούτων εἰρήσθω. Ἤξωμεν δὲ καὶ εἰς τὰ τὸν ἑνικὸν ἀριθμὸν ὑπερβαίνοντα. « Ποιήσωμεν, φησὶν, ἄνθρωπον. Καὶ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον· κατ' εἰκόνα Θεοῦ ἐποίησεν αὐτόν. » — « Καὶ ἔβρεξε Κύριος παρὰ Κυρίου πῦρ καὶ θεῖον. » — « Καὶ Κύριος ὁ Θεός σου, Κύριος εἷς ἐστι. » Τί οὖν ἂν φαῖεν ἐνταῦθα Ἰουδαῖοι; Ἡμῖν μὲν γὰρ οὐκ ἐναντιοῦται οὐδὲν, τοῖς τρεῖς ὑποστάσεις μίαν οὐσίαν ὁριζομένοις· αὐτῶν δὲ παντελῶς ἀποκλείει τὰ στόματα. Δῆλον οὖν ἐκ τούτων ὡς ἀναμφισβήτητός ἐστιν ὁ τῆς Ἐκκλησίας στέφανος.

Quæ in Scripturis sacris singulariter dicta sunt, divinam naturam notant et insigniunt (consubstantialis enim summeque regia est sancta Trinitas); quæ autem supra singularem numerum enuntiata sunt, personarum discrimen exprimunt. Divinitas enim in tres personas dilatatur: ac rursum in unam essentiam contrahitur: quo nimirum nec plurium deorum **302** cultus ob naturarum differentiam locum habeat, nec Judaica sententia ob unam personam. Siquidem naturæ identitas per personas distinguitur, ac rursum personarum proprietas in unam essentiam copulatur. Ac ne omnia in medium proferentes, nimis prolixam epistolam reddamus, unum aut alterum duntaxat locum tractantes, reliquis etiam interpretationis viam aperiemus. Ait Deus: « Ego primus, et ego postea, ante me non fuit alius Deus, et post me non erit [91]. » Quid igitur dixerint qui secus ac nos sentiunt? Uter est qui hoc dixit? Paterne, an Filius? Si Pater, quonam modo neminem alium post se esse ait? De vestra enim sententia Filius eo posterior est. Si autem Filii hæc verba sunt, quonam pacto dixit, « Ante me non fuit alius Deus? » Non enim profecto hac audacia eritis, ut alterutrius personam tollatis. Primum enim ac secundum docuistis. Quod autem alteruter horum non sit, ne cogitatione quidem opinor, fingere sustinebitis. Nos enim de consubstantiali Trinitate tum hoc, tum alia hoc genus, accipientes, pie sentimus. Vos autem, qui essentiam distinguitis, quonam pacto hunc locum exponetis? Ac de his quidem hæc a nobis dicta sint. Veniamus jam ad ea quoque, quæ singularem numerum excedunt. « Faciamus hominem [92], » inquit, « Et fecit Deus hominem: ad imaginem Dei fecit eum [93]. » Ac rursum: « Et pluit Dominus a Domino ignem et sulphur [94]. » Et alio loco: « Dominus Deus tuus, Dominus unus est [95]. » Quid igitur hic dicere queant Judæi? Neque enim nobis, qui tres personas atque unam substantiam constituimus, hi loci quidquam adversantur. At contra ipsis ora prorsus occludunt. Ex his itaque perspicue constat indubitatam penes Ecclesiam palmam atque coronam esse.

ΡΙΓ'. — ΖΩΣΙΜΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Εἰ κινδυνεύεις, ὥς φασί τινες, ἐκ τοῦ καὶ σωτηρίας καὶ ὑπολήψεως κομιδῇ καταπεφρονηκέναι, στόμα μὲν ἀχάλινον, καὶ ἀκρατὲς, καὶ ἀπύλωτον ἔχειν, φέ-

CXIII. — ZOSIMO PRESBYTERO.

Si, ut nonnulli dictitant, ex eo quod salutem et existimationem nihil omnino pendis, effrenatum atque impotens januæque expers os habere, et ad-

[91] Isa. XLIV, 6. [92] Gen. I, 26. [93] ibid. 27. [94] Gen. XIX, 24. [95] Deut. VI, 4.

VARIÆ LECTIONES ET NOTÆ.

(74) Locus ex codd. Vatic. suppletus. Ed. Paris., ἀλλ' ἢ ἐκ πολλοῦ τοῦ, etc. EDIT. PATR.

Digitized by Google

versus eos, quos minime fas est, impetum facere videris : nos quoque fortasse operam ludimus, qui implacabilem feram monere aggredimur.

ρεσθαι δὲ καθ' ὧν οὐ θέμις· ἴσως καὶ ἡμεῖς ματαιοπονοῦμεν παραινοῦντες ἀμειλίκτῳ θηρίῳ.

CXIV. — LAMPETIO.

Beatus es, ac mirificis laudibus dignus, ut qui hoc sis, quod vocaris. Nam cum ea, quæ collibuerit, facere possis, tu tamen ea sola, quæ Scripturis sanctis, ac divinis legibus et institutis grata sunt, facere non intermittis.

ΡΙΔ'. — ΛΑΜΠΕΤΙΩ.

Μακάριος εἶ καὶ θαυμαστὸς, τοῦτο ὢν ὅπερ καλῇ. Δυνάμενος γὰρ πράττειν ἃ βούλοιο, ἃ ταῖς ἱεραῖς Γραφαῖς, καὶ τοῖς θείοις θεσμοῖς ἀρέσκει, μόνα πράττων διατελεῖς.

CXV. — EUDONI.

Cur aliis fratribus prætermissis Joseph Simeonem solum jussit ligari [97].

Quoniam per litteras ex me quæris, quam ob causam Joseph, aliis omnibus fratribus prætermissis, Simeonem solum, tanquam reditus fratrum **303** prædem et obsidem futurum in vincula conjici jusserit : hoc dico, id eum hac de causa fecisse, quod ipse, eorum, qui tragœdiam illam adversus eum struxerant, princeps exstitisset. Nam si cum natu maximo, qui optimam sententiam proposuerat, sese conjunxisset, fortasse conatum illum et insidias evertisset. Etenim junior quidem eo erat, ut qui ætate secundus esset, ac cæteris antiquior. Ac probabile est alios quoque aut metu perterritos, aut ex majorum natu consilio et sententia pudore affectos insidias compressuros fuisse : ac præsertim cum quartus facinus illud indigne ferret, ac res ipsa, ad eos ab hujusmodi scelere deterrendos permagnam vim obtineret. Quoniam igitur tuendi juris causa ne vocem quidem mittere ausus est, idcirco eum tanquam pro fratribus obsidem futurum, vinculis constringi jussit : non tam ut de ipso supplicium sumeret (haud multo post enim beneficiis eum affecit) quam ut documentum ipsi præberet, ne posthac ejusmodi quidquam moliretur. Nam cum eum in ejusmodi angore constituisset, atque ad ea, quæ inique perpetrata fuerant, animo volvenda et reputanda duxisset, postea integrum atque incolumem ad patrem misit.

ΡΙΕ'. — ΕΥΔΑΙΜΟΝΙ.

Διὰ τί τοὺς ἄλλους ἀδελφοὺς παρεὶς ὁ Ἰωσὴφ τὸν Συμεῶνα μόνον διεκέλευεν δεθῆναι.

Ἐπειδὴ γέγραφας δι' ἣν αἰτίαν τοὺς ἄλλους ἀδελφοὺς παρεὶς ὁ Ἰωσὴφ, τὸν Συμεῶνα μόνον ἐκέλευσε δεθῆναι, ὅμηρον τῆς τῶν ἀδελφῶν ἐπανόδου γενησόμενον· φημί, Ἐπειδὴ τῶν τὴν τραγῳδίαν ἐκείνην κατ' αὐτοῦ δραματουργησάντων κορυφαιότατος ἦν. Εἰ γὰρ ἐφράξατο μετὰ τοῦ πρεσβυτάτου, τοῦ γνώμην ἀρίστην εἰσηγησαμένου, ἴσως ἂν καὶ τὴν ἐπιβουλὴν ἀνέτρεψεν. Ἐκείνου μὲν γὰρ νεώτερος ἦν, δεύτερος ὢν καθ' ἡλικίαν, τῶν δ' ἄλλων πρεσβύτερος. Καὶ εἰκὸς ἦν καὶ τοὺς ἄλλους ἢ φοβηθέντας, ἢ δυσωπηθέντας τὴν τῶν πρεσβυτάτων γνώμην, σβέσαι τὴν ἐπιβουλὴν, καὶ μάλιστα καὶ τοῦ τετάρτου ἀγανακτοῦντος ἐπὶ τοῖς γινομένοις, καὶ αὐτοῦ τοῦ πράγματος ἔχοντος πολλὴν ῥοπὴν πρὸς τὸ μὴ πραχθῆναι. Ἐπεὶ τοίνυν οὐδὲ ῥῆξαι φωνὴν ὑπὲρ τοῦ δικαίου ἐτόλμησεν, ἐκέλευσεν αὐτὸν δεθῆναι, ὡς ὑπὲρ τῶν ἀδελφῶν ὁμηρεύσοντα· οὐ τιμωρούμενος αὐτὸν τοσοῦτον (μετ' οὐ πολὺ γὰρ εὐηργέτησεν), ὅσον παιδεύων μηκέτι τοῖς αὐτοῖς ἐπιχειρεῖν. Εἰς γὰρ ὀργὴν αὐτὸν τοιοῦτον καταστήσας, καὶ εἰς ἔννοιαν ἀγαγὼν τῶν οὐ δεόντως πεπραγμένων, ὕστερον ἀκέραιον τῷ πατρὶ πέπομφε.

CXVI. — MARONI PRESBYTERO.

Haudquaquam oportet, o in præclaris quidem et honestis actionibus ignavissime, ac nullius omnino usus, in fœdissimis autem actuosissime, pericula omnia, etiam quæ pro levibus rebus suscipiuntur, egregia et laudabilia existimare : verum ea demum laude atque commendatione digna ducere, quæ pro pietate ac virtute, iisque, qui virtutis causa amicitias coluerunt, subeuntur : ea autem, quæ et hæc omnia labefactant, et ea, quæ prius cum laude gesta sunt, conspurcant, turpia judicare, atque effusissimo cursu, velut probrum ac dedecus afferentia fugere. Neque enim mortales, tam pericula quam causas perpendere consueverunt : non tam fructus quam semina, non tam ramos quam rerum ac negotiorum radices. Multi quippe latrones et sicarii, pro sui similibus dimicantes, mortem oppetierunt; nec tamen proinde quisquam eos laudibus extulerit, quippe qui pro scelere dimicarint.

ΡΙΣ'. — ΜΑΡΩΝΙ ΠΡΕΣΒΥΤΕΡΩ.

Οὐ χρὴ, ὦ πρὸς μὲν τὰς ἐνδόξους πράξεις ἀχρηστότατε, πρὸς δὲ τὰς αἰσχίστας πρακτικώτατε, καλοὺς ἅπαντας ἡγεῖσθαι τοὺς ὑπὲρ τῶν τυχόντων κινδύνους, ἀλλὰ τοὺς μὲν ὑπὲρ τῆς εὐσεβείας καὶ τῆς ἀρετῆς, καὶ τῶν δι' ἀρετὴν τὰς φιλίας ἀσπασαμένων ἐπαίνων ἀξίους· τοὺς δὲ ταῦτά τε πάντα καταβλάπτοντας, καὶ τὰς πράξεις τὰς πρότερον κατωρθωμένας καταῤῥυπαίνοντας, αἰσχροὺς νομίζειν, καὶ προτροπάδην φεύγειν, ὡς ἀδοξίας αἰτίους. Οὐ γὰρ τοὺς κινδύνους τοσοῦτον, ὅσον τὰς αἰτίας, ἐξετάζειν εἰώθασιν οἱ ἄνθρωποι, οὐ τὰ φύντα, ἀλλὰ τὰ σπέρματα, οὐ τοὺς κλάδους, ἀλλὰ τὰς ῥίζας τῶν πραγμάτων. Πολλοὶ γοῦν λῃσταὶ καὶ ἀνδροφόνοι ὑπὲρ τῶν ὁμοτρόπων ἀγωνιζόμενοι τεθνήκασι, καὶ οὐκ ἄν τις τούτους ἐπαινέσειεν· ὑπὲρ γὰρ τῆς κακίας ἠγωνίσαντο. Πολλοὶ ὑπὲρ πατρίδος καὶ γονέων καὶ παίδων ἐπέδωκαν ἑαυτοὺς, καὶ οὐκ ἄν τις αὐτοὺς μέμψοιτο, ἀλλὰ καὶ ἐπαινέσειεν· ὑπὲρ γὰρ τῶν τῆς

[97] Gen. XLII, 25 seqq.

Digitized by Google

φύσεως δικαίων ἐτελεύτησαν. Διὸ ἐκείνους μὲν κακίζουσι, τούτους δὲ ἀναῤῥήσεων καὶ στηλῶν ἀξιοῦσι.

A Multi contra pro patria, et parentibus, ac liberis, morti sese objecerunt ; nec tamen propterea quisquam eos reprehenderit, verum potius laudibus ornaverit, ut qui pro naturæ jure occubuerint. Quo etiam fit, illi ut quidem vituperentur, hi autem publicis præconiis celebrentur, ac statuis donentur.

ΡΙΖ'. — ΙΣΧΥΡΙΩΝΙ.

Εἰς τό· « Εἰ οὖν ὑμεῖς πονηροὶ ὄντες. »

Μεγάλη τοῦ Θεοῦ ἡ ἀγαθότης, καὶ τῶν ἀνθρώπων ἡ ὠμότης. Ὁ γὰρ ἀναβολὴν αἰτησάμενος, καὶ ἄφεσιν κομισάμενος, οὗτος ἀναβολὴν αἰτηθεὶς, οὐ μόνον οὐκ ἔδωκεν, ἀλλὰ καὶ εἰς δεσμωτήριον καθεῖρξε τὸν σύνδουλον· καὶ ταῦτα, μηδὲ τοσαῦτα χρεωστοῦντα, ὅσα αὐτὸς ἐχρεώστησεν. Ὁ μὲν γὰρ μύρια τάλαντα εἶχεν, ὁ δὲ πεντήκοντα δηνάρια. Εἰκότως τοιγαροῦν τῇ θείᾳ χρηστότητι τὴν τῶν ἀνθρώπων ἀγαθότητα παραβάλλων ὁ εὐαγγελικὸς χρησμὸς, πονηρίαν αὐτὴν ἐκάλεσε, λέγων· « Εἰ οὖν ὑμεῖς πονηροὶ ὄντες, οἴδατε δόματα ἀγαθὰ διδόναι τοῖς τέκνοις ὑμῶν· » οὐ πάσης τῆς φύσεως πονηρίαν καταγινώσκων (ἄπαγε! γέγραπται γάρ· « Ἀγάθυνον, Κύριε, τοῖς ἀγαθοῖς. » Καὶ· « Ὁ ἀγαθὸς ἄνθρωπος ἐκφέρει ἐκ τοῦ θησαυροῦ αὐτοῦ τὰ ἀγαθὰ »), ἀλλὰ πρὸς τὴν θείαν ἀγαθότητα τὴν ἀνθρωπίνην παραβάλλων, πονηρίαν αὐτὴν ἐκάλεσε. « Πόσῳ γὰρ μᾶλλον ὁ Πατὴρ ὑμῶν, φησὶ, δώσει ἀγαθὰ τοῖς αἰτοῦσιν αὐτόν; »

CXVII. — ISCHYRIONI.

In illud : « Si igitur vos cum mali sitis [98]. »

Magna Dei bonitas est, ac contra ingens hominum crudelitas. Nam qui moram aliquam postularat, ac debitæ pecuniæ remissionem consecutus fuerat : idem, cum ab eo mora quædam peteretur, non modo eam non dedit, sed **304** etiam conservum in vincula conjecit, idque cum non tanta æris alieni mole, quanta ipse erat, constrictus teneretur [99]. Nam ipse decem millia talentorum debebat : hic B quinquaginta duntaxat denarios. Quocirca Evangelium hominum bonitatem cum divina bonitate comparans, improbitatem eam merito appellavit, his verbis utens : « Si ergo vos, cum sitis mali, nostis bona data dare filiis vestris, » etc. Quibus verbis non universam naturam improbitatis damnat (absit! scriptum est enim : « Benefac, Domine, bonis et rectis corde [1]. » Et : « Bonus homo de bono thesauro suo profert bona [2] »), verum humanam bonitatem cum divina conferens, improbitatem eam appellavit. « Quanto enim magis, inquit, Pater vester dabit bona petentibus se ? »

ΡΙΗ'. — ΙΣΙΔΩΡΩ ΔΙΑΚΟΝΩ.

Θεῖον μέν τι χρῆμα ὁ λόγος· θειότερον δὲ ἡ ἀρετή· θειότατον δὲ ἡ εὐσέβεια. Ὁ μὲν οὖν καὶ λόγῳ καὶ ἔργῳ καὶ πίστει κεκοσμημένος, ἀνυπέρβλητος, καὶ ἀοίδιμος, καὶ τῆς ἀκροτάτης μακαριότητος ἄξιος· ὁ δὲ καθ' ὁπότερον τούτων λειπόμενος, τοσοῦτον ἐλαττοῦται, ὅσον ἡ ἀναλογία τοῦ ἐλλειφθέντος ἀπαιτεῖ.

CXVIII. — ISIDORO DIACONO.

Divina quædam res est sermo : divinior autem virtus; divinissima denique, pietas. Quamobrem, qui et sermone, et opere, et fide ornatus est, insuperabilis est, et clarus ac celebris, summaque beatitudine dignus. Cui autem horum aliquid deest, tantum huic decedit, quantum ejus, quod deest, proportio requirit.

ΡΙΘ'. — ΠΑΥΛΩ.

Εἰς τό· « Πάντες ὅσοι ἦλθον πρὸ ἐμοῦ, κλέπται ἦσαν καὶ λῃσταί. »

Τὸ, « Πάντες ὅσοι ἦλθον πρὸ ἐμοῦ, κλέπται εἰσὶ καὶ λῃσταί, » οὐ περὶ τῶν προφητῶν καὶ τοῦ νόμου εἴρηται, ὡς οἱ τὴν Παλαιὰν ἀθετοῦντες βούλονται (75) (δι' αὐτῆς γὰρ καὶ εἰς τὴν πίστιν ἐχειραγωγήθημεν οἱ πιστεύσαντες, ἀκούσαντες τοῦ Χριστοῦ τὰς Γραφὰς ἄνω καὶ κάτω προτεινομένου, ὡς μαρτυρούσας περὶ αὐτοῦ), ἀλλὰ περὶ τῶν ψευδοπροφητῶν· περὶ ὧν αὐτὸς ἔφη· « Οὐκ ἀπέστελλον αὐτοὺς, καὶ αὐτοὶ ἔτρεχον. » Οὐ γὰρ εἶπε, Πάντες ὅσοι ἀπεστάλησαν, ἀλλ', « Ὅσοι ἦλθον. » Οἱ μὲν γὰρ προφῆται ἀπεστάλησαν. Μωσῆς μὲν γὰρ ἤκουσε· « Δεῦρο, ἀποστελῶ σε εἰς Αἴγυπτον. » Ἡσαΐας δὲ ἤκουε λέγοντος τοῦ Θεοῦ· « Τίνα ἀποστείλω καὶ τίς πορεύσεται πρὸς τὸν λαὸν τοῦτον; » Καὶ ἔλεγεν· « Ἰδοὺ ἐγὼ, ἀπόστειλόν με. » Οἱ δὲ ψευδοπροφῆται, καὶ οἱ εἰς ἄρχοντας καὶ προστάτας ἀναδραμόντες (οἷοι ἦσαν καὶ οἱ περὶ Θευδᾶν,

CXIX. — PAULO.

In illud : « Omnes qui ante me venerunt, fures erant et latrones [3]. »

Hic locus, « Omnes qui venerunt ante me fures sunt et latrones, » non de prophetis et Lege dictum est, quemadmodum iis placet, qui Vetus Testamentum rejiciunt (per hanc enim ad fidem quoque velut porrecta manu ducti sunt, qui fidem amplexi sunt, Christum videlicet audientes, Scripturas sursum ac deorsum proferentem, tanquam de ipso testimonium præbentes) : verum de falsis prophetis, de quibus ipse dixit, « Non mittebam eos, et ipsi currebant [4]. » Non enim dixit, Omnes qui missi sunt : sed, « Qui venerunt. » Nam prophetæ quidem missi sunt. Moses quippe audivit. « Veni, mittam te in Ægyptum. » Isaias item dicentem Deum audivit : « Quem mittam, et quis ibit ad populum hunc ? » Et dixit : « Ecce ego, mitte me [5]. » At vero pseudoprophetæ, et qui ad principes ac prae-

[98] Matth. vii, 11. [99] Matth. xviii, 23-34. [1] Psal. cxxiv, 4. [2] Matth. xii, 35. [3] Joan. x, 8. [4] Jerem. xxiii, 21. [5] Isa. vi, 8.

VARIÆ LECTIONES ET NOTÆ.

(75) Intelligit Manichæos. Rivet.

Digitized by Google

fectos currebant (quales erant Theudas, et Judas Galilæus, et Ægyptius ille sicariorum præfectus), non missi, sed ostentationis studio flagrantes, seque ipsos creantes et ordinantes, atque ambitione laborantes, suapte sponte velut transfugæ desciverunt. Quod autem de his ipsis hæc dicta sint, liquet ex eo quod sequitur. « Fur enim, inquit, non venit nisi ut furetur, et mactet, et perdat [6]. » Omnes enim ii, qui ipsis paruerunt, quod veritatem adulterare tentassent, obtruncati sunt, atque interierunt, dictoque citius omnino exstincti sunt.

καὶ Ἰούδαν τὸν Γαλιλαῖον, καὶ τὸν Αἰγύπτιον τὸν τῶν σικαρίων προστάντα [76]), οὐκ ἀποστελλόμενοι, ἀλλὰ φαντιτιῶντες, καὶ αὐτοχειροτόνητοι, καὶ σπουδαρχίδαι τυγχάνοντες, εἴκοθεν ἠτομόλησαν. Ὅτι δὲ περὶ αὐτῶν τούτων ἐρρέθη, τὸ ἑπόμενον δηλοῖ· « Ὁ κλέπτης γὰρ, φησὶν, οὐκ ἔρχεται, εἰ μὴ ἵνα θύσῃ, καὶ κλέψῃ, καὶ ἀπολέσῃ. » Πάντες γὰρ ὅσοι αὐτοῖς ἐπείσθησαν, κατεσφάγησαν, καὶ ἀπώλοντο, παραβραβεῦσαι τὴν ἀλήθειαν ἐγχειρήσαντες, καὶ λόγου θᾶττον, εἰς τὸ παντελὲς ἀποσβεσθέντες.

305 CXX. — ISIDORO DIACONO.

Facere et docere, eximiæ cujusdam ac singularis laudis est; facere autem, non autem docere, minorem laudem habet : altera enim parte claudicat. Unde etiam, λογικός, hoc est loquendi facultate præditus homo est. Nam si fecisse, docuisse esset, a Christo minime dictum fuisset, « Qui autem fecerit, et docuerit, hic magnus vocabitur in regno cœlorum [7]. » Quid enim tantum roboris optima vita habet, cum de fidei dogmatibus certamen proponitur : atque is qui adulterinæ doctrinæ patrocinium suscipit, magno conatu et impetu adversus recta dogmata fertur? At vero docere ac non facere, et si folia habere videtur, fructu tamen caret, nec risus, ac ludibrii, et condemnationis expers est.

ΡΚ'. — ΙΣΙΔΩΡΩ ΔΙΑΚΟΝΩ.

Τὸ μὲν ποιεῖν καὶ διδάσκειν, ἀνυπέρβλητον τυγχάνει· τὸ δὲ ποιεῖν μέν, μὴ διδάσκειν δὲ, ἐλαττόν ἐστι. Χωλεύει γὰρ καθ' ἓν μέρος. Διὸ καὶ λογικός ἐστιν ὁ ἄνθρωπος. Εἰ γὰρ τὸ ποιῆσαι διδάξαι ἦν, οὐκ ἂν ἐρρέθη· ὃς δ' ἂν ποιήσῃ καὶ διδάξῃ, οὗτος μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. » Τί γὰρ τοσοῦτον ἰσχύει βίος ἄριστος, ὅταν περὶ δογμάτων ἀγὼν προκέηται, καὶ ὁ τοῖς νόθοις συνηγορῶν, πολὺς κατὰ τῶν ὀρθῶν δογμάτων φέρηται; Τὸ δὲ μὴ ποιεῖν μὲν, διδάσκειν δὲ, εἰ καὶ φύλλα δοκεῖ ἔχειν, καρποῦ ἐστέρηται, καὶ γέλωτος καὶ κωμῳδίας καὶ κατακρίσεως οὐκ ἀμοιρεῖ.

CXXI. — EUTONIO DIACONO.

Quemadmodum acute quidem aut perquam graviter loqui facile est, mediocritatem autem tenere, musici habitus est : eodem modo de loquendi libertate et timiditate sentiendum est. Sunt enim qui non id agunt, ut prosint, sed ut contumeliam duntaxat inferant. Sunt rursum, qui hoc tantum sibi propositum habent, ut adulentur, ac falsas laudes contexant. At qui optima mediocritate utuntur, ii nec contumeliam inferunt, nec adulantur, sed verborum libertatem ac licentiam pudore, atque objurgationem suavitate condientes, ita demum ad eos, qui sui ignoratione laborant, curandos veniunt. Quocirca ipse quoque hac disciplina adhibita, ad Isaiæ medendum (qui præ ingenti arrogantia hoc quoque amisit, ut hominem se esse existimet) accede.

ΡΚΑ'. — ΕΥΤΟΝΙΩ ΔΙΑΚΟΝΩ.

Ὥσπερ ὀξὺ μὲν ἢ βαρὺ κομιδῇ φθέγξασθαι ῥᾴδιον, τοῦ δὲ μέσου τυχεῖν, μουσικῆς ἐστιν ἕξεως· οὕτω καὶ περὶ τὸ παῤῥησιάζεσθαι, καὶ μὴ, λογιστέον. Οἱ μὲν γὰρ οὐ τοῦ ὠφελῆσαι, ἀλλὰ τοῦ ὑβρίσαι γίνονται μόνον· οἱ δὲ τοῦ κολακεύειν, καὶ τὰ μὴ προσόντα ἐγκώμια ὑφαίνειν. Οἱ δὲ μέτρῳ ἀρίστῳ χρώμενοι, οὔτε ὑβρίζουσιν, οὔτε θωπεύουσιν· ἀλλὰ κεράσαντες τῇ παῤῥησίᾳ τὴν αἰδὼ, καὶ τῇ ἐπιτιμήσει τὴν προσηνειαν, οὕτως ἐπὶ τὸ ἰατρεύειν τοὺς ἑαυτοὺς ἀγνοοῦντας ἔρχονται. Οὐκοῦν καὶ αὐτὸς ταύτῃ τῇ ἀγωγῇ χρησάμενος ἦκε ἐπὶ τὴν θεραπείαν Ἡσαΐου, τοῦ ἐκ τῆς ἄγαν ἀλαζονείας, καὶ τὸ ἄνθρωπον ἑαυτὸν νομίζειν ἀπολωλεκότος.

CXXII. — PAULO.

In illud, « *Quod nemo rapit ea de manu ejus* [8]. »

Quandoquidem per litteras sciscitaris, cum scriptum sit, « Nemo rapit de manu Patris mei, » qui fiat, ut multi pereant; hoc respondeo, neminem quidem eos, qui per orthodoxam fidem atque optimam vivendi rationem, ut Dei sint, consecuti sunt, ex invicta illa et insuperabili manu eripere posse : decipere autem atque in fraudem impellere posse.

ΡΚΒ'. — ΠΑΥΛΩ.

Εἰς τὸ γεγραμμένον, « *Ὅτι οὐδεὶς ἁρπάζει αὐτὰ ἐκ τῆς χειρὸς αὐτοῦ.* »

Ἐπειδὴ γέγραφας· Εἰ γέγραπται, « Οὐδεὶς ἁρπάζει ἐκ τῆς χειρὸς τοῦ Πατρός μου, » πῶς πολλοὶ ἀπόλλυνται; φημὶ, ὅτι ἁρπάσαι μὲν οὐδεὶς δύναται ἐκ τῆς ἀμάχου καὶ ἀηττήτου δεξιᾶς τοὺς διὰ πίστεως ὀρθῆς καὶ πολιτείας ἀρίστης ἑαυτοὺς οἰκείους αὐτῆς εἶναι παρασκευάσαντας· ἀπατῆσαι δὲ δυνήσεται. Τοῦτ' ἔστι, βίᾳ μὲν καὶ τυραννίδι ἀποσπάσαι οὐδεὶς

[6] Joan. x, 10. [7] Matth. v, 19. [8] Joan. x, 29.

VARIÆ LECTIONES ET NOTÆ.

(76) *Τῶν σικαρίων προστάντα.* Josephus de sicariis quid scribat, vid. apud Barn. Brissonium, in *Select. Antiquit.* Lib. I.

Digitized by Google

δυνήσεται· παραλογισμοῖς δὲ καὶ ἀπάταις ἀποπλανῆσαι δυνήσεται. Ἀλλ' οὐ παρὰ τὴν ἀήττητον δεξιὰν γίνεται τοῦτο, ἀλλὰ παρὰ τὴν τῶν αὐτεξουσίων ἀνθρώπων ῥᾳθυμίαν. Οὐ γὰρ ἐκ τῆς τοῦ φυλάττοντος ἀσθενείας, ἀλλ' ἐκ τῆς τῶν φυλαττομένων εὐχερείας ἡ ἀπώλεια συμβαίνει.

A Hoc est per vim quidem ac tyrannidem neminem a quoquam abstrahi posse : per fraudes autem et imposturas in errorem agi posse. Quod tamen non invictæ illi dexteræ, sed hominum, qui arbitrii libertate præditi sunt, languori atque inertiæ ascribendum est. Non enim ob ejus, qui custodit imbecillitatem, verum ex eorum, qui custodiuntur, levitate, hujusmodi exitium contingit.

ΡΚΓ'. — ΠΕΤΡΩ.

Ἀμείνων τοῦ αἰσχρῶς μὲν βεβιωκότος, λέγειν δὲ εἰς ὑπερβολὴν δυνατοῦ, ὁ λέγειν μὲν οὐκ εὐφυὴς, τὰ δὲ κατὰ τὸν βίον λαμπρὸς, καὶ πρὸς δικαιοσύνην καὶ ἐγκράτειαν διαφέρων. Εἰ δέ τις [καὶ λόγῳ] καὶ βίῳ διαλάμποι, οὗτος ἀπαράβλητος τυγχάνει, διὰ πραγμάτων κρίσιν εἶναι ὁμολογῶν, καὶ τοὺς ἐκ τοῦ πρὸς τὴν ἐκπλήρωσιν ἐκλελῦσθαι τῶν ἐντολῶν τὰ πάντως ἐκβησόμενα ὑπερβολικῶς εἰρῆσθαι νομίζοντας, παραγραφόμενος.

CXXIII. — PETRO.

Eo qui turpiter quidem et fœde vivit, eximia autem ac singulari dicendi facultate pollet, præstantior est ille, qui ad dicendum quidem non perinde idoneus est, cæterum vita et moribus clarus est, atque justitiæ et continentiæ laude excellit. B **306** Quod si quis, et sermone, et vita exsplendescat, hic nimirum comparationem omnem excedit, per res ipsas judicium ac censuram fore confitens, atque eos, qui propterea quod ad exsequenda divina eventura sunt, hyperbolice dicta esse arbitrantur, mandata ignavi ac languidi sunt, ea, quæ omnino refutans.

ΡΚΔ'. — ΠΑΥΛΩ.

Εἰ μήτε τοῖς αἰσχροῖς ἐπιτηδεύμασι, μήτε τοῖς χρωμένοις αὐτοῖς χρῷο, λαμπράν σοι παρὰ πάντων εὐφημίαν θήσει. Τὸ μὲν γὰρ χρῆσθαι αὐτοῖς, ἀνελεύθερον· τὸ δὲ μὴ χρῆσθαι μὲν αὐτοῖς, τοῖς δὲ χρωμένοις χρῆσθαι, τὴν δόξαν λυμαίνεται. Χρὴ γὰρ μήθ' ὑπονοεῖσθαι ποιεῖν, ἃ ποιεῖν αἰσχρόν· μήτε τοῖς διαπραττομένοις αὐτὰ ἐπιτηδείοις χρῆσθαι. Δεῖ γὰρ φοβεῖσθαι τὰς κακηγορίας, κἂν μὴ ἀληθεῖς ὦσιν, C ἐπειδὴ πολλοὶ τὴν ἀκρίβειαν ἀγνοοῦντες, πρὸς τὴν δόξαν ἀποβλέπουσι· καὶ τοιοῦτον ἕκαστον εἶναι κρίνουσιν, οἵους ἂν τοὺς συνόντας θεάσωνται· οὐκ ἀπὸ τῶν πραγμάτων μόνον, ἀλλὰ καὶ ἀπὸ τῶν συνδιατριβόντων φέροντες τὴν ψῆφον. Εἰ γὰρ ἀρετὴν, φασὶν, ἀσκεῖς, τί σοι βούλεται ἡ μετὰ τῶν κακίστων συνουσία;

CXXIV. — PAULO.

Si nec turpibus studiis, nec his, qui eis utuntur, utaris, præclaram hoc tibi apud omnes laudem comparabit. Etenim turpibus studiis deditum esse, turpe atque ingenuo homine indignum est : non autem iis deditum esse, sed eos, qui his dediti sunt, familiariter adhibere, famæ atque existimationi labem affert. Providendum enim est ut ne quidem existimemur ea facere, quæ facere turpe est, nec eos, qui ea faciunt, in familiarium ac necessariorum numero habeamus. Metuendæ sunt enim vituperationes, etiamsi falsæ sint. Quandoquidem multi, veritatis ignari, ad famam oculos conjiciunt, atque unumquemque talem esse judicant, quales eos esse conspiciunt, qui cum eo versantur, non a rebus duntaxat, sed etiam ab iis qui cum eo consuetudinem habent, calculum ferentes. Si enim virtutem colis, inquiunt, quid causæ est, quod cum improbissimis hominibus vitæ societatem inis?

ΡΚΕ'. — ΙΣΙΔΩΡΩ ΔΙΑΚΟΝΩ.

Εἰς τὸ γεγραμμένον· « Οἱ κάπηλοί σου τὸν οἶνον σμίγουσιν [f. *μίσγουσιν*] *ὕδατι. »*

Πολλάκις ἐθαύμασα τῶν τὰς θείας παρερμηνευόντων Γραφὰς, καὶ τὸ οἰκεῖον μᾶλλον βούλημα, ἢ τὸ ἐν αὐταῖς κείμενον παριστᾷν πειρωμένων. Τὸ γὰρ ἄκρατον αὐτῶν καὶ εἰλικρινὲς, καὶ εὐφραίνειν ψυχὴν δυνάμενον βούλημα, τῷ φαύλῳ καὶ ἐξιτήλῳ τῶν οἰκείων δογμάτων παρακιρνῶντες ὕδατι, τὰ θεῖα καπηλεύειν τολμῶσι. Καὶ τοῦτό ἐστι τό· « Οἱ κάπηλοί σου μίσγουσι τὸν οἶνον ὕδατι. » Εἰ γὰρ καὶ δοκεῖ τισι περὶ τῶν καπηλευόντων τὸν ἐκ τοῦ προχείρου νοούμενον οἶνον λελέχθαι (ἄτοπον γὰρ κἀκεῖνο), ἀλλά γε ἀληθείας δικαζούσης, μᾶλλον περὶ τῶν καπηλευόντων τὰ θεῖα λόγια δοκεῖ μοι εἰρῆσθαι. Οὐ γὰρ ἐρρέθη· Οἱ κάπηλοί σου μίσγουσιν ὕδωρ οἴνῳ (ὅπερ ποιεῖν εἰώθασιν οἱ καπηλεύοντες), ἀλλὰ, « τὸν οἶνον ὕδατι. » Τὰς γὰρ ἀκραιφνεῖς καὶ εἰλικρι-

CXXV. — ISIDORO DIACONO.

In illud, « Caupones tui vinum miscent aqua [1]. »

Sæpenumero eos miratus sum, qui divinas Scripturas perperam interpretantur, suumque potius sensum, quam eum, qui in ipsis situs est, tueri connituntur. Siquidem puram earum et sinceram, atque oblectandi animi facultate præditam mentem malæ atque inerti dogmatum suorum aquæ admiscentes, res divinas cauponum instar quæstui habent. Atque huc pertinet illud, « Caupones tui vinum aquæ admiscent. » Quanquam enim quibusdam videatur hoc de iis, qui vinum cauponantur (ut juxta vocabuli sensum accipitur), dictum esse (nam illud quoque absurdum ac sceleratum est), tamen disceptante veritate, de iis potius, qui divina oracula cauponum in morem adulterant, intelligendum esse arbitror. Non enim dictum est,

[1] Isa. I, 22.

Digitized by Google

Caupones tui aquam vino admiscent (quod facere consueverunt, qui cauponam exercent), sed, « vinum aquæ. » Siquidem puros ac limpidos Scripturæ sacræ sensus evanidis suis dogmatibus admiscentes, doctrinam adulterant.

νεῖς τῆς ἱερᾶς Γραφῆς ἐννοίας τοῖς ἐξιτήλοις ἑαυτῶν παρακιρνῶντες δόγμασι, νοθεύουσι τὴν διδασκαλίαν.

CXXVI. — AMMONIO.

In illud : « Percutienti te in dexteram maxillam præbe et aliam [10]. »

Mundo sublimiorum ac terrenorum rex e cœlo idcirco venit, ut cœlestis vitæ symbola nobis afferret, quæ etiam in certamen proposuit, **307** olympico certamini prorsus adversum. Illic enim qui cædit, ac superat, coronam obtinet : hic autem qui cæditur, ac perfert, præconis voce celebratur. Illic qui vicissim ferit, hic qui alteram quoque maxillam præbet, in angelorum theatro prædicatur. Non enim ultione, sed patientia victoria ponderatur. Nova enim hæc coronarum lex est ; quoniam nova quoque certaminum ratio.

ΡΚϚ'. — ΑΜΜΩΝΙῼ.

Εἰς τὸ εἰρημένον· « Τῷ τύπτοντί σε ἐπὶ τὴν δεξιὰν σιαγόνα, πάρεχε καὶ τὴν ἄλλην. »

Ὁ τῶν ὑπερκοσμίων καὶ τῶν ἐπιγείων βασιλεὺς ἧκεν οὐρανόθεν, οὐρανίου πολιτείας φέρων ἡμῖν σύμβολα, ἃ καὶ ἀγῶνα προὔθηκεν ἐναντίον τῷ Ὀλυμπικῷ. Ἐκεῖ μὲν γὰρ ὁ τύπτων καὶ περιγενόμενος στεφανοῦται· ἐνταῦθα δὲ ὁ τυπτόμενος καὶ φέρων, ἀναῤῥήσεως ἀξιοῦται. Ἐκεῖ ὁ ἀντιπλήττων, ἐνταῦθα δὲ ὁ καὶ τὴν ἄλλην παρέχων σιαγόνα, ἐν τῷ τῶν ἀγγέλων θεάτρῳ ἀνακηρύττεται. Οὐ γὰρ ἐν τῷ ἀμύνασθαι, ἀλλ' ἐν τῷ φιλοσοφεῖν ἡ νίκη κρίνεται. Καινὸς γὰρ οὗτος τῶν στεφάνων ὁ νόμος· ἐπειδὴ καινὸς τῶν παλαισμάτων ὁ τρόπος.

CXXVII. — THEODOSIO EPISCOPO.

Quod sacerdotium regno præstantius sit, majoresque labores habeat (nam cum labor unus desinit, alter vicissim exoritur), ac de rebus magis necessariis periclitetur (illud enim divina, hoc terrena moderanda et administranda suscepit), neminem ignorare arbitror. Quod autem permulti, cujuslibet hominis esse, aut animis, aut corporibus imperare, inconsiderate ac stolide judicantes, seipsos in hoc projecerunt, ac cum perditis subditis ipsi tandem in exitii voraginem cum dedecore atque infamia præcipites acti sunt, ne hoc quidem cuiquam obscurum et incognitum esse existimo. Cum igitur hæc ita sint, magnopere miror, quonam pacto nonnulli, qui cum ne hoc quidem ipsum præstiterint, ut rebus suis recte consulerent, verum multis peccatis scateant, ac ne in subditorum quidem classe collocari debeant (quo in numero presbyter quoque Zosimus est, cujus vita et moribus offensus ad me scripsisti), tamen ad sacerdotium, quod regno usque adeo sublimius est, prosilire, ac rem, quam ne cum multis quidem pecuniis, cum tales essent, accipere oportebat, pecunia emere minime dubitarint. Verum fortasse ipsi se suamque vitam ignorantes, ac ne huic quidem, quod recte ab externis hominibus dictum est, « Nosce teipsum, » obtemperantes, atque etiam sacerdotii dignitatem minime agnoscentes (nempe quod magnitudini suæ par periculum habeat), illudque existimantes, sacerdotium imperium quoddam esse ab omni censura immune, non autem provinciam reddendis rationibus obnoxiam, negotium hujusmodi aggressi sunt, ad quod ipsis nullum aditum patere oportebat.

ΡΚΖ'. — ΘΕΟΔΟΣΙῼ ΕΠΙΣΚΟΠῼ.

Ὅτι μὲν βασιλείας ἡ ἱερωσύνη πολλῷ κρείττων ἐστὶ, καὶ μείζους ἔχει πόνους (πόνῳ γὰρ λήγοντι πόνος νέος ἀντανατέλλει, καὶ περὶ τῶν ἀναγκαιοτέρων ὁ κίνδυνος (ἡ μὲν γὰρ τὰ θεῖα, ἡ δὲ τὰ θνητὰ ἐμπεπίστευται), οἶμαι μηδένα ἀγνοεῖν. Ὅτι δὲ πολλοὶ ἀπερισκέπτως παντὸς ἀνδρὸς τὸ ἄρχειν ἢ ψυχῶν ἢ σωμάτων νομίσαντες, ἔῤῥιψαν ἑαυτοὺς εἰς τοῦτο, καὶ μυρίων κακῶν καὶ ἑαυτοὺς καὶ τοὺς ὑπηκόους ἐμπλήσαντες, ὕστερον εἰς βάραθρον ἀπωλείας δυσκλεῶς κατήντησαν, οὐδὲ τοῦτ' οἶμαί τινα ἀγνοεῖν. Τούτων τοίνυν οὕτω τυγχανόντων, λίαν θαυμάζω πῶς τινὲς μὲν μηδ' αὐτὸ τοῦτο τὰ καθ' ἑαυτοὺς εὖ διαθέμενοι, ἀλλὰ πολλῶν γέμοντες πραγμάτων (77), καὶ μηδὲ ἐν τοῖς ὑπηκόοις τετάχθαι ὀφείλοντες (ὧν εἷς ἐστι καὶ Ζώσιμος ὁ πρεσβύτερος, οὗ τῷ βίῳ, ὡς φῂς, σκανδαλιζόμενος γέγραφας), τῇ ἱερωσύνῃ τῇ τοσοῦτον τῆς βασιλείας ὑψηλοτέρᾳ ἐπιπηδῆσαι ἐτόλμησαν, καὶ χρήμασιν ὠνήσασθαι πρᾶγμα, ὃ μηδὲ μετὰ πολλῶν χρημάτων καταδέξασθαι ἐχρῆν τοιούτους ὄντας. Ἀλλ' ἴσως τὰ καθ' ἑαυτοὺς ἀγνοοῦντες, καὶ μηδὲ τῷ καλῶς παρὰ τῶν ἔξωθεν εἰρημένῳ ἀκολουθήσαντες, τῷ, « Γνῶθι σεαυτόν· » ἀγνοοῦντες δὲ καὶ τὴν τῆς ἱερωσύνης ἀξίαν, ὅτι πρὸς τὸ ὕψος καὶ τὸν κίνδυνον ἔχει, νομίζοντες ἀρχὴν εἶναι ἀνεξέταστον, ἀλλ' οὐ λειτουργίαν ὑπεύθυνον· ἐνεχείρησαν πράγματι ἀβάτῳ αὐτοῖς εἶναι ὀφείλοντι.

CXXVIII. — ISIDORO DIACONO.

De Judæorum captivitate.

Etsi Judæi, pro his, quæ adversus Dominum Christum perpetrarunt, haud satis dignas hic pœnas

ΡΚΗ'. — ΙΣΙΔΩΡῼ ΔΙΑΚΟΝῼ.

Περὶ τῆς τῶν Ἰουδαίων αἰχμαλωσίας.

Εἰ καὶ μὴ ἀξίαν, ὧν εἰς τὸν Δεσπότην Χριστὸν ἔδρασαν, ἔδοσαν ἐνταῦθα δίκην Ἰουδαῖοι, ἔδοσαν

[10] Matth. v, 39.

VARIÆ LECTIONES ET NOTÆ.

(77) Iidem codd. πραγμάτων mutant in τραυμάτων. Possin.

Digitized by Google

γοῦν ὅμως. Ἃ γὰρ ὡς διαφευξόμενοι ἔδρασαν, φήσαντες· « Ἐὰν ἀφῶμεν αὐτὸν, ἐλεύσονται οἱ Ῥωμαῖοι, καὶ ἀροῦσιν ἡμῶν καὶ τὴν πόλιν καὶ τὸ ἔθνος· » ταῦτ', ἐπειδὴ ἔπραξαν, οὐ διέφυγον. Τῆς γὰρ πόλεως αὐτῶν ἁλούσης ὑπὸ Ῥωμαίων, καὶ τοῦ ναοῦ καθαιρεθέντος, αὐτοὶ ὥσπερ μαστιγίαι τινὲς καὶ δραπέται, ἄτιμοί τε καὶ ἀλῆται πανταχοῦ διεσπάρησαν. Δώσουσι δὲ κἀκεῖσε τὴν ἀξίαν. Μὴ ἐπιγνόντες γὰρ τὴν φιλανθρωπίαν, εἴσονται τὴν ἐξουσίαν, ἧς κἀνταῦθα πεῖραν βραχεῖαν εἰλήφασι.

A dederunt : at tamen dederunt. Nam ea, quorum fugiendorum causa ea perpetrarant dicentes : « Si dimittimus eum, venient Romani, et tollent locum nostrum, et civitatem et gentem [11] ; » ea, inquam, posteaquam hæc designarunt, haudquaquam effugerunt. Ipsorum enim urbe a Romanis capta temploque everso ac deleto, ipsi velut verberones quidam servi et fugitivi atque errones, passim toto orbe dispersi sunt. **308** Atque etiam in futura vita meritas pœnas dabunt. Nam quia benignitatem minime agnoverunt, potentiam cognoscent, quam hic quoque nonnulla ex parte degustarunt.

ΡΚΘ'. — ΤΩ ΑΥΤΩ.

Εἰς τό· « Ἀπηνήνατο παρακληθῆναι. »

Τὴν ὑπὸ λύπης βεβαπτισμένην ψυχὴν οὐδὲν οὕτως εὐφραῖναι δύναται, ὡς ἡ θεία μνήμη. Καὶ τοῦτ' ἔστιν ἄρα ὅπερ ἠθέλησας μαθεῖν, « Ἀπηνήνατο παρακληθῆναι ἡ ψυχή μου· ἐμνήσθην τοῦ Θεοῦ, καὶ εὐφράνθην. » Ὥσπερ γὰρ τὸ ἀκένωτον, καὶ δυσμεταχείριστον ἰατροῖς, τῆς αἱμορροούσης πάθος, ἐν ἀκαριαίᾳ ῥοπῇ ἀπηλάθη (ἡ μὲν γὰρ ἥψατο, ὁ δὲ ἠνέσχετο. τὸ δὲ ἐδραπέτευσεν)· οὕτω καὶ ἡ λύπη ἀνθρωπίνη παράκλησιν ἀπωθουμένη, ἅτε πάσῃ παραμυθίᾳ δυσμεταχείριστος, ὑπὸ τῆς θείας μνήμης μόνης ῥᾳδίως οἴχεται, καὶ εἰς τὸ μὴ ὂν χωρεῖ.

B Animum mœrore oppressum et profligatum nihil perinde oblectare potest, ut Dei memoria. Atque hoc est quod ex me scire voluisti, « Renuit consolari anima mea : Memor fui Dei et delectatus sum. » Quemadmodum enim mulieris illius cruento profluvio laborantis morbus, qui nec exinaniri, nec a medicis tractari ac sedari poterat, temporis puncto depulsus est (ea enim fimbriam tetigit, Christus id passus est, ac morbus profugit [12]); sic etiam humana mœstitia consolationem propellens, ut cui nihil solatii adhiberi queat, ad solam Dei recordationem facessit et evanescit.

ΡΛ'. — ΕΡΜΟΓΕΝΕΙ ΕΠΙΣΚΟΠΩ (78).

Εἰ ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων ὁ Κύριος ἐν τῷ Δαβὶδ λέγεται, πῶς λέγει πάλιν Ἡσαΐας, « Εἴδομεν αὐτὸν, καὶ οὐκ εἶχεν κάλλος, οὐδὲ εἶδος; »

C Οὐ τἀναντία ἑαυτῇ, ὦ ἱερὰ κεφαλή, δογματίζει ἡ θεία Γραφὴ περὶ τοῦ Σωτῆρος διδάσκουσα, ἀλλ' ἑκάστῳ πράγματι τὸ οἰκεῖον καὶ πρέπον νέμει. Τὰ μὲν γὰρ πρὸς τὴν θεότητα βλέπει, τὰ δὲ πρὸς τὴν ἀνανθρώπησιν, τὰ δὲ πρὸς τὰ ἑκούσια πάθη. Φῶς μὲν γὰρ αὐτὸν ἀληθινὸν εἶπε, καὶ ἀπαύγασμα τῆς δόξης, χαρακτῆρά τε τῆς πατρικῆς ὑποστάσεως· τὸ μὲν διὰ τὸ φαιδρὸν τῆς οὐσίας, τὸ δὲ διὰ τὸ ἀΐδιον, μᾶλλον δὲ συναΐδιον· τὸ δὲ διὰ τὸ ἐνυπόστατον, καὶ διὰ τὸ γνησίοις χαρακτῆρσιν ἐμπρέπειν. Ἵνα γὰρ μὴ τὸ ἀπαύγασμα ἀνυπόστατον νομισθῇ, ὁ χαρακτὴρ τὴν ὑπόστασιν ἐγγυᾶται. Ὡραῖον δὲ παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων, καὶ ὡραῖον ἐν στολῇ, διὰ τὴν τῆς ἐνανθρωπήσεως ἔνθεον καὶ ἄπταιστον ἀρετήν· οὐκ ἔχοντα εἶδος οὐδὲ κάλλος, δυοῖν ἕνεκεν· ἑνὸς μέν, ἐπειδὴ τὴν Δεσποτικὴν μορφὴν κρύψας, τὴν τοῦ δούλου ἐπεδείκνυτο· ἑτέρου δὲ, διὰ τὸ ἐν τῷ πάθει, ὃ ἑκουσίως ὑπέστη, πᾶσαν παροινίαν κεκινῆσθαι. Ἐκρέματο γὰρ ἐπὶ τοῦ ἱκρίου, ἐν ἡμέρᾳ μέσῃ, καὶ ἐν μητροπόλει, καὶ ἐν ἑορτῇ μεγίστῃ, καὶ ἐν ᾗ οὐδένα εἰκὸς ἦν ἀπολειφθῆναι· καὶ οἱ μὲν ἐκωμῴδουν, οἱ δὲ ἐχλεύαζον· οἱ μὲν ὠνείδιζον, οἱ δὲ ὄξος προσ-

CXXIX. — EIDEM.

In illud : « Renuit consolari [12]. »

Animum mœrore oppressum et profligatum nihil perinde oblectare potest, ut Dei memoria. Atque hoc est quod ex me scire voluisti, « Renuit consolari anima mea : Memor fui Dei et delectatus sum. » Quemadmodum enim mulieris illius cruento profluvio laborantis morbus, qui nec exinaniri, nec a medicis tractari ac sedari poterat, temporis puncto depulsus est (ea enim fimbriam tetigit, Christus id passus est, ac morbus profugit [13]); sic etiam humana mœstitia consolationem propellens, ut cui nihil solatii adhiberi queat, ad solam Dei recordationem facessit et evanescit.

CXXX. — HERMOGENI EPISCOPO.

Si speciosus forma præ filiis hominum Dominus apud Davidem dicitur [14] ; quomodo dicit rursus Isaias, « Vidimus ipsum, et non habebat pulchritudinem neque formam [15] ? »

Cum Scriptura sacra de Salvatore verba facit, o sacrum caput, haudquaquam pugnantia docet : verum cuique rei, quod proprium atque congruum est, tribuit. Partim enim ad divinitatem spectat, partim ad assumptam humanitatem, partim denique ad voluntarias perpessiones. Lucem quippe veram eum, et gloriæ splendorem, ac paternæ substantiæ figuram esse dixit : primum ob essentiæ claritatem ; alterum ob æternitatem, vel, ut rectius loquar, coæternitatem ; postremum ob substantiam, et quia veris et germanis notis ornatus est. Nam ne *splendoris* vocabulum minime subsistens quiddam esse existimetur, figuræ atque characteris vox substantiam confirmat. Rursum speciosum forma præ D filiis hominum, atque item speciosum in stola sua eumdem vocat, propter divinam et lapsus omnis expertem assumptæ humanitatis virtutem. Postremo non habentem speciem neque decorem, duplici de causa : altera, quoniam herili forma occultata servilem ostendit ; altera, quia in eo supplicio, quod voluntarie ac sponte subiit, nullum non contumeliæ genus excitatum est. Pendebat quippe in pati-

[11] Joan. xi, 48. [12] Psal. lxxvi, 3. [13] Matth. ix, 20. [14] Psal. xliv, 3. [15] Isa. liii, 3.

VARIÆ LECTIONES ET NOTÆ.

(78) Ad hanc epistolam conferri velim Augustinum serm. 6 de tempore, Chrysostomum homil. de Nativit. Domini, in Lucam tom. II operum, p. 133, item Vigilium et Fulgentium. RITT.

Digitized by Google

cum exsilio multaverit? Non certe ob admissum facinus (nam alioqui extra promissionis terram omnino eum relegasset): verum ne præcipiti impetu ab interfecti hominis propinquis morte afficeretur, vincente videlicet rationem furore, atque iracundia judicii sinceritatem repudiante ac propulsante. At ne sic quidem eum perpetuo exsulantem reliquit. Pontificis enim vitam exsilii terminum ipsi præscribit: ac post ejus e vita discessum, reditum ipsi concedit, eumque patriæ restituit.

A αὐτῷ τῆς φυγῆς ὁρίζει, τὸν τοῦ ἀρχιερέως βίον· καὶ μετὰ τὸν θάνατον ἐκείνου, κάθοδον αὐτῷ χαρίζεται, καὶ ἀποδίδωσιν αὐτὸν τῇ πατρίδι.

CIX. — EIDEM.

Cur ei qui involuntariam cædem patravit exsilii terminus est pontificis vita.

Ob hanc, ni fallor, causam pontificis vitam exsilii tempus, ei, qui minime voluntariam cædem admiserat, legislator præscripsit ut perspicuo argumento hoc nobis declararet: quod si involuntaria pontificis mors, eos, **301** qui haud sponte cædem perpetrarent, patriæ restituebat, reditumque ipsis concedebat, voluntaria magni pontificis mors, quæ per resurrectionem exstincta est, voluntaria etiam crimina oblitterabit, omnesque qui ipsius verbis fidem adhibebunt, supernæ Jerusalem reddet. « Quæ enim sursum est Jerusalem, inquit divinus Paulus, libera est, quæ est mater nostra [91]. »

B

ΡΘ'. — ΤΩ ΑΥΤΩ.

Διὰ τί τῷ ἀκουσίως φονεύσαντι ὅρος φυγῆς ἡ τοῦ ἀρχιερέως ὑπάρχει ζωή.

Διὰ τοῦτ' οἶμαι τοῦ ἀρχιερέως τὸν βίον ὅρον τῆς φυγῆς τοῦ ἀκουσίως φονεύσαντος ἐθέσπισεν εἶναι, μηνύων ἐναργεῖ τεκμηρίῳ, ὅτι εἰ ὁ ἀκούσιος τοῦ ἀρχιερέως θάνατος τοὺς ἀκουσίως φονεύσαντας τῇ πατρίδι ἀποδίδωσι, καὶ κάθοδον αὐτοῖς χαρίζεται τοῦ μεγάλου ἀρχιερέως ὁ ἑκούσιος θάνατος, ὁ ὑπὸ τῆς ἀναστάσεως σβεσθείς, καὶ τὰ ἀκούσια πλημμελήματα ἀφανιεῖ, καὶ ἀποδώσει πάντας τοὺς πιστεύοντας αὐτῷ τῇ ἄνω Ἱερουσαλήμ. « Ἡ γὰρ ἄνω Ἱερουσαλήμ, φησὶν ὁ θεσπέσιος Παῦλος, ἐλευθέρα ἐστὶν, ἥτις ἐστὶ μήτηρ ἡμῶν. »

B

CX. — ISIDORO DIACONO.

Quidnam sit, « In Sabbato primo secundo; » et quid « Sabbata sabbatorum. »

Quandoquidem id quod in Evangeliis dictum est: « In Sabbato deuteroproto, » ut obscurum, tibi exponi rogasti, audi. Deuteroproton dictum est, quia posterius quidem die Paschæ, primum autem Azymorum. Vespere enim Pascha immolantes, postridie Azymorum festum celebrabant, quod quidem etiam deuteroproton appellabant, propterea quod, ut dixi, dies ille die Paschæ posterior esset, Azymorum autem primus. Quodque hoc verum sit, argumento illud est, quod apostoli hoc nomine accusati sunt, quia spicas vellerent ac manducarent. Hoc enim duntaxat tempore spicæ nutant, atque ob fructum, ac messis tempus deorsum propendent, ac velut falcem ad sese vocant. Tertio quippe Azymorum die, manipulus quoque Deo offerebatur. Ita et a tempore, et ab eo cum factum est, perspicuum exsistit, id quod quæris. Quod si, Sabbato, dictum est, ne tibi id mirum videatur. Sabbatum enim festum omne nuncupant. Ac propterea dictum est, Sabbata sabbatorum, quoniam interdum festi principium, aut finis in hebdomadæ Sabbatum incidebat, quemadmodum etiam apud nos plerumque contingit. Nam cum Epiphania, aut carnalis Salvatoris nativitas Dominico die occurrit, duplicem solemnitatem efficit, ac velut festum in festo. Eodem quoque modo apud illos si festum in Sabbati diem incidisset. Sabbata sabbatorum vocabatur.

C

D

ΡΙ'. — ΙΣΙΔΩΡΩ ΔΙΑΚΟΝΩ.

Τί ἐστι τὸ, « Ἐν Σαββάτῳ δευτεροπρώτῳ· » καὶ τί, « Σάββατα σαββάτων. »

Τὸ, « Ἐν Σαββάτῳ δευτεροπρώτῳ (73), » εἰρημένον ἐν τοῖς Εὐαγγελίοις, ἑρμηνευθῆναί σοι ὡς ἀσαφὲς παρακαλέσας, ἄκουε· Δευτερόπρωτον εἴρηται, ἐπειδὴ δεύτερον μὲν ἦν τοῦ Πάσχα, πρῶτον δὲ τῶν Ἀζύμων. Ἑσπέρας γὰρ θύοντες τὸ Πάσχα, τῇ ἑξῆς τὴν τῶν Ἀζύμων ἐπανηγύριζον ἑορτήν· ἣν καὶ δευτερόπρωτον ἐκάλουν· διὰ τὸ, ὡς ἔφην, δευτέραν μὲν εἶναι τοῦ Πάσχα, πρώτην δὲ τῶν Ἀζύμων. Καὶ ὅτι τοῦτ' ἔστιν ἀληθὲς, δῆλον ἐκ τοῦ τοὺς ἀποστόλους ἐγκεκλῆσθαι ὡς τίλλοντας τοὺς στάχυας, καὶ ἐσθίοντας. Ἐν ἐκείνῳ γὰρ τῷ καιρῷ μόνῳ καρηβαροῦσιν οἱ στάχυες, καὶ κέκλινται ὑπὸ τοῦ καρποῦ καὶ τῆς πρὸς ἄμητον ὥρας, οἱονεὶ τὴν δρεπάνην ἐφ' ἑαυτοὺς καλοῦντες. Τῇ τρίτῃ γοῦν ἡμέρᾳ τῶν Ἀζύμων, καὶ τὸ δράγμα προσεφέρετο. Οὕτως καὶ ἀπὸ τοῦ καιροῦ, καὶ ἀπὸ τοῦ γεγενημένου δῆλόν ἐστι τὸ ζητούμενον. Εἰ δὲ Σαββάτῳ εἴρηται, μὴ θαυμάσῃς. Σάββατον γὰρ πᾶσαν ἑορτὴν καλοῦσι. Καὶ διὰ τοῦτ' εἴρηται Σάββατα σαββάτων. Ἐπειδὴ ἔσθ' ὅτε, ἢ ἡ ἀρχὴ τῆς πανηγύρεως, ἢ τὸ τέλος συνέπιπτε τῷ τῆς ἑβδομάδος Σαββάτῳ, οἷον εἰπεῖν, καὶ παρ' ἡμῖν πολλάκις γίνεται. Ὥσπερ γὰρ ὅταν τὰ Θεοφάνια ἢ ἡ τοῦ Σωτῆρος κατὰ σάρκα γέννησις ἐν Κυριακῇ ἀπαντήσειε, ποιεῖ διπλῆν τὴν πανήγυριν, οἱονεὶ ἑορτὴν ἐν ἑορτῇ· οὕτω καὶ παρ' αὐτοῖς, εἰ καὶ ἡ πανήγυρις τῷ Σαββάτῳ συνέπιπτε, Σάββατα σαββάτων ἐκαλεῖτο.

[91] Galat. IV, 26.

VARIÆ LECTIONES ET NOTÆ.

(73) De Sabbato deuteroproto vide disputationem Josephi Scaligeri lib. VI *De emendat. temporum.* RITT.

Digitized by Google

ΡΙΑ'. — ΚΑΣΙΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Πολλοὶ τὴν τῶν πενήτων φροντίδα προστησάμενοι, εἰς τὸν ἴδιον χρηματισμὸν τελευτῶσιν. Οὓς οὐ χρὴ ζηλοῦν, ἀλλ' ἢ διορθοῦν, ἢ ἐκ πολλοῦ τοῦ περιόντος ὡς λυμεῶνας φεύγειν. Ἐπιτρίβουσι γὰρ τὴν ἐκείνων πενίαν, ἣν θεραπεύειν ἐχρῆν.

CXI. — CASSIO PRESBYTERO.

Multi ex his, qui pauperum curam susceperunt, in privatum quæstum tandem desinunt. Quos haudquaquam imitari oportet, verum corrigere, aut, ut amplius aliquid dicam, tanquam pestiferos homines fugere. Illorum enim paupertatem, cui mederi debent, exulcerant.

ΡΙΒ'. — ΑΛΥΠΙΩ.

Περὶ τῆς ἁγίας Τριάδος.

Τὰ μὲν ἐνικῶς εἰρημένα ἐν ταῖς ἱεραῖς Γραφαῖς τῆς θείας φύσεώς ἐστι χαρακτηριστικά· ὁμοούσιος γὰρ ἐστιν ἡ ἁγία καὶ βασιλικωτάτη Τριάς. Τὰ δ' ὑπὲρ τὸν ἑνικὸν ἐξενηνεγμένα ἀριθμὸν, τῆς τῶν ὑποστάσεων ἐστι διαφορᾶς. Πλατύνεται γὰρ ἡ θεότης εἰς τρεῖς ἰδιότητας, καὶ συστέλλεται πάλιν εἰς μίαν οὐσίαν· ἵνα μήτε ἡ πολυθεΐα χώραν ἔχῃ ἐκ τῆς τῶν φύσεων διαφορᾶς· μήθ' ἡ Ἰουδαϊκὴ ὑπόνοια ἐκ τοῦ ἑνὸς προσώπου. Ἡ μὲν γὰρ ταυτότης τῆς φύσεως, ὑποστάσεσι διαιρεῖται· ἡ δὲ τῶν ὑποστάσεων ἰδιότης, εἰς μίαν οὐσίαν συνάπτεται. Καὶ ἵνα μὴ πάντ' εἰς μέσον φέροντες μηκύνωμεν τὴν ἐπιστολὴν, ἓν ἢ δεύτερον μεταχειρισάμενοι, καὶ τοῖς λοιποῖς ὁδὸν ἑρμηνείας ἀνατέμωμεν. Φησὶν ὁ Θεός· « Ἐγὼ πρῶτος, καὶ ἐγὼ μετὰ ταῦτα· ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεὸς, καὶ μετ' ἐμὲ οὐκ ἔσται. » Τί οὖν ἂν φαῖεν οἱ ἑτεροδόξοι; τίς ἄρ' ἐστὶν ὁ τοῦτο φράσας; ὁ Πατὴρ ἢ ὁ Υἱός; Εἰ μὲν οὖν ὁ Πατὴρ, πῶς φησι μὴ εἶναι μετ' αὐτόν; καθ' ὑμᾶς γὰρ, μετ' αὐτόν ἐστιν ὁ Υἱός. Εἰ δὲ ὁ Υἱός ἐστιν ὁ εἰπὼν, πῶς φησιν, « Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός; » Οὐ γὰρ δὴ τολμήσετε C θατέρου τὴν ὑπόστασιν ἀνελεῖν. Πρῶτον μὲν γὰρ καὶ δεύτερον ἐδογματίσατε. Τὸ δὲ μὴ εἶναι θάτερον, οὐδ' ἐννοῆσαι, ὡς οἶμαι, ἀνάσχοισθε. Ἡμεῖς μὲν γὰρ εἰς τὴν ὁμοούσιον Τριάδα, καὶ τοῦτο καὶ τὰ τοιαῦτα ἐκλαμβάνοντες εὐσεβοῦμεν· ὑμεῖς δὲ οἱ διαιροῦντες πῶς ἑρμηνεύσετε τὸ εἰρημένον; Ταῦτα μὲν οὖν περὶ τούτων εἰρήσθω. Ἤξωμεν δὲ καὶ εἰς τὰ τὸν ἑνικὸν ἀριθμὸν ὑπερβαίνοντα. « Ποιήσωμεν, φησὶν, ἄνθρωπον. Καὶ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον· κατ' εἰκόνα Θεοῦ ἐποίησεν αὐτόν. » — « Καὶ ἔβρεξε Κύριος *παρὰ Κυρίου* πῦρ καὶ θεῖον. » — « Καὶ Κύριος ὁ Θεός σου, Κύριος εἷς ἐστι. » Τί οὖν ἂν φαῖεν ἐνταῦθα Ἰουδαῖοι; Ἡμῖν μὲν γὰρ οὐκ ἐναντιοῦται οὐδὲν, τοῖς τρεῖς ὑποστάσεις μίαν οὐσίαν ὁριζομένοις· αὐτῶν δὲ παντελῶς ἀποκλείει τὰ στόματα. Δῆλον οὖν D ἐκ τούτων ὡς ἀναμφισβήτητός ἐστιν ὁ τῆς Ἐκκλησίας στέφανος.

CXII. — ALYPIO.

Quæ in Scripturis sacris singulariter dicta sunt, divinam naturam notant et insigniunt (consubstantialis enim summeque regia est sancta Trinitas); quæ autem supra singularem numerum enuntiata sunt, personarum discrimen exprimunt. Divinitas enim in tres personas dilatatur : ac rursum in unam B essentiam contrahitur : quo nimirum nec plurium deorum **302** cultus ob naturarum differentiam locum habeat, nec Judaica sententia ob unam personam. Siquidem naturæ identitas per personas distinguitur, ac rursum personarum proprietas in unam essentiam copulatur. Ac ne omnia in medium proferentes, nimis prolixam epistolam reddamus, unum aut alterum duntaxat locum tractantes, reliquis etiam interpretationis viam aperiemus. Ait Deus : « Ego primus, et ego postea, ante me non fuit alius Deus, et post me non erit [93]. » Quid igitur dixerint qui secus ac nos sentiunt? Uter est qui hoc dixit? Paterne, an Filius? Si Pater, quonam modo neminem alium post se esse ait? De vestra enim sententia Filius eo posterior est. Si autem Filii hæc verba sunt, quonam pacto dixit, « Ante me non fuit alius Deus? » Non enim profecto hac audacia eritis, ut alterutrius personam tollatis. Primum enim ac secundum docuistis. Quod autem alterutrum horum non sit, ne cogitatione quidem opinor, fingere sustinebitis. Nos enim de consubstantiali Trinitate tum hoc, tum alia hoc genus, accipientes, pie sentimus. Vos autem, qui essentiam distinguitis, quonam pacto hunc locum exponetis? Ac de his quidem hæc a nobis dicta sint. Veniamus jam ad ea quoque, quæ singularem numerum excedunt. « Faciamus hominem [94], » inquit, « Et fecit Deus hominem : ad imaginem Dei fecit eum [95]. » Ac rursum : « Et pluit Dominus a Domino ignem et sulphur [96]. » Et alio loco : « Dominus Deus tuus, Dominus unus est [97]. » Quid igitur hic dicere queant Judæi? Neque enim nobis, qui tres personas atque unam substantiam constituimus, hi loci quidquam adversantur. At contra ipsis ora prorsus occludunt. Ex his itaque perspicue constat indubitatam penes Ecclesiam palmam atque coronam esse.

ΡΙΓ'. — ΖΩΣΙΜΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Εἰ κινδυνεύεις, ὥς φασί τινες, ἐκ τοῦ καὶ σωτηρίας καὶ ὁπολήψεως κομιδῇ καταπεφρονηκέναι, στόμα μὲν ἀχάλινον, καὶ ἀκρατὲς, καὶ ἀπύλωτον ἔχειν, φέ-

CXIII. — ZOSIMO PRESBYTERO.

Si, ut nonnulli dictitant, ex eo quod salutem et existimationem nihil omnino pendis, effrenatum atque impotens januæque expers os habere, et ad-

[93] Isa. XLIV, 6. [94] Gen. I, 26. [95] ibid. 27. [96] Gen. XIX, 24. [97] Deut. VI, 4.

VARIÆ LECTIONES ET NOTÆ.

(74) Locus ex codd. Vatic. suppletus. Ed. Paris., ἀλλ' ἢ ἐκ πολλοῦ τοῦ, etc. EDIT. PATR.

Digitized by Google

bulo, meridiano tempore, atque in metropolitana urbe, ac maximo festo, in quo neminem fuisse verisimile est, qui non interesset. Quinetiam alii cavillis in eum ludebant, alii sannis eum impetebant, alii probris lacerabant, alii acetum offerebant, alii contumeliis eum afficiebant, alii lancea ipsius latus fodiebant. Atque in eos quidem latrones, qui una cum ipso in crucem acti fuerant, nihil tale perpetrabant : in ipsum autem ejusmodi contumeliis, quibus ne in nocentes quidem et facinorosos uti fas est, debacchabantur.

A ἔφερον· οἱ μὲν ὄβριζον, οἱ δὲ λόγχῃ τὴν πλευρὰν ἔνυττον. Καὶ περὶ μὲν τοὺς συσταυρωθέντας λῃστὰς, οὐδὲν τοιοῦτον ἔδρων, εἰς αὐτὸν δὲ παρῴνουν, ἃ μηδ' εἰς τοὺς ὑπευθύνους παροινεῖν θέμις.

309 CXXXI. — LAMPETIO EPISCOPO.

Quomodo sit intelligendum illud Ecclesiastici, « Ne sis multum justus [16]. »

Ut corporeæ pulchritudinis norma, membrorum apta proportio est : ita etiam extrema spiritualis pulchritudinis linea in virtutum mediocritate consistit. Nam si extremitates, ut quidam sapientes viri pronuntiarunt, in vitium degenerant (cupiens enim quispiam probus rei familiaris dispensator esse, in tenacitatem et avaritiam labitur : cupiens liberalis esse, in prodigalitatem cadit. Unde etiam virtutes mediocritates esse definierunt. Inter impietatem et superstitionem medium locum pietas obtinet), haud abs re Sapiens quoque monuit : « Noli esse justus multum. » Quod si hoc quoque præcipit, caveas velim ne in iis, in quibus alii adversum te peccant, severum et acerbum judicem te præbeas : verum justitiam bonitate vince, iis nimirum, qui venia indigna peccata in te admittunt, veniam tribuens.

ΡΛΑ'. — ΛΑΜΠΕΤΙῼ ΕΠΙΣΚΟΠῼ.

Πῶς νοητέον τὸ τῷ Ἐκκλησιαστικῷ γεγραμμένον, Μὴ γίνου δίκαιος πολύ. »

Ὥσπερ τοῦ σωματικοῦ κάλλους ὅρος ἡ τῶν μελῶν συμμετρία· οὕτω καὶ τοῦ ψυχικοῦ κάλλους ἔσχατος ὅρος, ἡ τῶν ἀρετῶν συμμετρία. Εἰ γὰρ αἱ ἀκρότητες εἰς κακίαν ἐκπίπτουσιν, ὥς τινες τῶν σοφῶν ἀπεφήναντο (θέλων γὰρ εἶναί τις οἰκονομικὸς εἰς φειδωλίαν ἐκπίπτει, καὶ θέλων εἶναι μεγαλόψυχος εἰς ἀσωτίαν. Διὸ καὶ μεσότητας εἶναι τὰς ἀρετὰς ὡρίσαντο. Ἀσεβείας γὰρ καὶ δυσσεβείας μέση ἐστὶν ἡ εὐσέβεια· εἰκότως καὶ ὁ σοφὸς παρῄνεσε· « Μὴ γίνου δίκαιος πολύ. » Εἰ δὲ καὶ τοῦτο παραινεῖ, μὴ ἐν τοῖς εἰς σὲ παρὰ τῶν πέλας πλημμελουμένοις πικρὸς γίνου καὶ ἀκριβὴς δικαστής, ἀλλ' ὑπέρβαινε τὸ δίκαιον τῇ ἀγαθότητι, συγγνώμην νέμων τοῖς συγγνώμης μείζονα εἰς σὲ πταίουσι.

B

CXXXII. — EIDEM.

Quando quidem mens nostra laudum præstantissimi episcopi Hermogenis argumentum, ac rerum ab eo præclare et ex virtute gestarum amplitudinem capere nequit, idcirco mihi velim ignoscas. Nam qui aliqua etiam duntaxat ex parte prædicandis ipsius laudibus vix par sum, quonam tandem pacto omnes ipsius laudes oratione persequi possem?

ΡΛΒ'. — ΤῼΑΥΤῼ.

Ἐπειδὴ ἡ ἡμετέρα διάνοια τὴν ὑπόθεσιν τῶν ἐγκωμίων τοῦ παναρίστου Ἑρμογένους τοῦ ἐπισκόπου οὐ δύναται δέξασθαι, οὐδὲ τὴν τῶν κατορθωμάτων περιουσίαν ἡ γνώμη χωρεῖ, συγγνώμην μοι νεῖμαι μὴ παραιτήσῃ. Ὧ γὰρ μηδὲ πρὸς μέρος ἐπαρκέσαι ῥᾴδιον, πῶς πᾶσιν ἐπεξελθεῖν δυνατόν·

C

CXXXIII. — PETRO SCHOLASTICO.

Operæ pretium est, amice, relictis bonorum nominibus ad res ipsas contendere. Regnum enim, et opes ac gloria, nomina quidem sunt apud externos : res autem apud Christianos. Quemadmodum etiam contra, dedecus, et mors, et paupertas, mera quidem apud nos vocabula sunt : res autem apud illos. Ac si libet, imperium, quod tanto studio tantaque contentione ab omnibus expetitur, in medium proponentes, ab eo cætera quoque omnia confutemus, atque illud tacentes, quod breve est, ac cito exstinguitur (multi enim ex imperii thronis ad tumulum delati sunt, luctusque præconum voces excepit); istudque item omittentes, quod permulti avitis quoque bonis per proscriptionem spoliati sunt : cum floret, tum maxime illud exploremus, ac meretricis

D

ΡΛΓ'. — ΠΕΤΡῼ ΣΧΟΛΑΣΤΙΚῼ.

Χρὴ, ὦ φίλος, τὰ ὀνόματα ἀφέντας τῶν ἀγαθῶν, ἐπὶ τὰ πράγματα βαδίζειν. Βασιλεία μὲν γὰρ καὶ πλοῦτος καὶ δόξα, ὀνόματα μὲν παρὰ τοῖς ἔξωθεν· πράγματα δὲ παρὰ Χριστιανοῖς. Ὥσπερ οὖν καὶ τἀναντία, ἀδοξία, καὶ θάνατος, καὶ πενία, ὀνόματα μὲν παρ' ἡμῖν· πράγματα δὲ παρ' ἐκείνοις. Καὶ εἰ βούλει, τὴν ἀρχὴν εἰς μέσον ἀγαγόντες τὴν πᾶσι ποθεινὴν καὶ περιμάχητον, ἀπὸ ταύτης καὶ τὰ ἄλλα πάντα ἐλέγξωμεν (79), καὶ μὴ φράσαντες, ὅτι ὀλιγοχρόνιος, μηδ' ὅτι ταχέως σβέννυται (πολλοὶ γὰρ ἐξ αὐτῶν τῶν ἀρχικῶν θρόνων εἰς τοὺς τάφους ἀπηνέχθησαν, καὶ ὁ θρῆνος τὰς τῶν κηρύκων φωνὰς διεδέξατο)· ἀλλὰ κἀκεῖνο παρέντες, ὅτι πολλοὶ καὶ τῶν προγονικῶν ὑπαρχόντων ἐστερήθησαν, δημεύσει καθυποβληθέντες· ὅτε (80) μάλιστα αὐτὴν δοκιμάσωμεν,

[16] Eccle. VII, 17.

VARIÆ LECTIONES ET NOTÆ.

(79) Pro ἐλέγξωμεν. ambo iidem codd. legunt ἐλέγξομεν. Possin.

(80) Inter ὅτε et μάλιστα iidem codd. inserunt ἀνθεῖ, τότε μαλ. etc. Vers. inde quarto pro προάγωμεν iidem habent προαγάγωμεν. Id.

Digitized by Google

μὴ περιέλωμεν τῆς πόρνης τὰ ἐπιτρίμματα καὶ τὰς ὑπογραφάς, ἀλλὰ κεκαλλωπισμένην αὐτὴν εἰς μέσον ἀγάγωμεν· ἵνα τότε αὐτῆς ἐλεγχθῇ τὸ εἰδεχθές. Οὐκοῦν προσάγωμεν τὸ σχῆμα, καὶ τοὺς ῥαβδούχους, καὶ τοῦ κήρυκος τὴν φωνήν, καὶ τῶν δημίων τὴν ὑπακοήν, καὶ τὸ ὑπὸ πάντων ἀποβλέπεσθαι· καὶ βασανίσωμεν, εἰ μὴ τὰ δοκοῦντα λαμπρὰ ταῦτα καὶ ποθεινά, οὐ μόνον περιττά, οὐδ' ὑπόληψις ἀνόνητος, ἀλλὰ καὶ ἐπιβλαβῆ. Τί γὰρ ἀπὸ τούτων ἐκεῖνος ἀμείνων γίνεται, ἢ τὸ σῶμα, ἢ τὴν ψυχήν; Τοῦτο γὰρ ἄνθρωπος (81). Ἆρ' οὖν ὑψηλότερος, ἢ ὑγιεινότερος, ἢ ταχύτερος, ἢ τὰς αἰσθήσεις τρανοτέρας κεκτήσεται; Ἀλλ' οὐκ ἄν τις φαίη. Ἴωμεν τοίνυν καὶ ἐπὶ τὴν ψυχήν. Ἆρ' οὖν σωφρονέστερος, ἢ ἐπιεικέστερος, ἢ συνετώτερος ἀπὸ ταύτης γενήσεται τῆς φαντασίας; Οὐ μὲν οὖν, ἀλλὰ καὶ τοὐναντίον ἅπαν. Οὐ γὰρ ὅπερ ἐπὶ τοῦ σώματος, τοῦτο καὶ ἐπὶ τῆς ψυχῆς συμβαίνειν εἴωθεν· ἐκεῖνο μὲν γὰρ οὐδὲν εἰς τὴν οἰκείαν προσείληφεν ἀρετήν· αὐτὴν (82) δὲ καὶ κακίαν προσείληφεν. Καὶ γὰρ ἄνοιαν, καὶ κενοδοξίαν, καὶ ἀπόνοιαν, καὶ θυμόν, καὶ μυρία ἐξ αὐτῆς προστρίβεται πλημμελήματα. Εἰ δὲ χαίρει, καὶ μέγα φρονεῖ, καὶ φυσᾶται, καὶ κατὰ πάντων ἐπαίρεται, οὗτος μάλιστα τῆς κακίας ὁ κολοφών, ὅτι οὔτε ἀλγεῖ, οὔτε αἰσθάνεται, ἀλλὰ καὶ χαίρει τῶν νοσημάτων αὐξομένων αὐτῷ. Οὐδὲ γὰρ πάντη τὸ χαίρειν, καλόν. Ἐπεὶ καὶ ὁ λῃστὴς χαίρει μετὰ τὴν κλοπήν, καὶ ὁ ἁρπαξ μετὰ τὴν πλεονεξίαν, καὶ ὁ μοιχὸς μετὰ τὸ διορύξαι τὸν τοῦ πέλας γάμον, καὶ ὁ ἀνδροφόνος μετὰ τὴν σφαγήν. Μὴ τοίνυν τοῦτο λεγέτω, ὅτι χαίρει, ἀλλ' εἰ ἐπὶ χρησίμῳ δεικνύτω, καὶ συγχαρήσομαι. Ἐπεὶ τοίνυν μόνος ἐστὶν ἐλευθεριώτατος, καὶ ἀρχικώτατος (καὶ αὐτῶν γὰρ τῶν βασιλέων βασιλικώτερος), ὁ τῶν παθῶν ἀπηλλαγμένος, ἀσπασώμεθα τὴν ἀρετήν, καὶ τῆς πονηρᾶς ἐκείνης δουλείας ἀπαλλάξωμεν ἑαυτούς, μήτε ἀρχήν, μήτε πλοῦτον, μήτε τι τοιοῦτον μακαριστὸν νομίζοντες καὶ περιμάχητον, ἀλλὰ τὸ τῶν παθῶν ἀπηλλάχθαι μόνον.

A fucos et pigmenta minime detrahamus, verum ornatam et fucatam in medium producamus, ut tum etiam ipsius deformitas sese prodat. Itaque cultum ac dignitatem et actores, et præconis vocem, et populi obedientiam, eamque sui, qua omnes afficiunt, admirationem adhibeamus, ac perpendamus an non hæc, quæ præclara et expetenda videtur, non modo supervacanea sit, atque inanis quædam et utilitatis expers opinio, verum etiam noxia et cum detrimento conjuncta. Quid enim hinc **310** ille, aut corpore, aut animo (nam hoc homo est) melior efficitur? An propterea sublimior, aut sanior, aut pernicior exsistit, aut liquidioribus sensibus erit? Id profecto nemo dixerit. Ad animum igitur nos conferamus. Utrum itaque ab hac pompa temB peratior, aut suavior, aut prudentior reddetur? Minime sane, verum contra omnino. Neque enim quod in corpore, idem etiam in animo evenire solet. Nam illud quidem ad virtutem suam nihil assumpsit: hic autem vitium etiam assumpsit. Siquidem et amentiam, et inanem gloriam, arrogantiam, et iracundiam, aliaque sexcenta vitia hinc contrahit. Quod si gaudet, ac superbit et inflatur, atque adversus omnes extollitur, hoc vero præsertim totius mali caput est; quippe cum latro etiam post prædam gaudeat, et raptor post admissam fraudem, et adulter post perfossum et violatum alienum matrimonium, et sicarius post cædem perpetratam. Quamobrem, ne mihi illud quisquam commemoret, quod C gaudeat: verum an commode atque utiliter, ostendat, et ego ipsi gratulabor. Quoniam igitur solus ille liberrimus, ac summo imperio præditus est (nam ipsos quoque reges dignitatis amplitudine superat), qui a vitiis et turbulentis animi motibus immunis est, virtutem amplectamur, utque improbam illam servitutem a nobis depellamus, animisque ita constituti simus, ut nec imperium, nec opes (83) et copias, nec ejusmodi quidquam felicitatis nomine prædicandum, magnaque contentione persequendum existimemus, verum hoc duntaxat, ut vitiis ac turbidis affectibus liberemur.

ΡΛΔ'. — ΖΩΣΙΜΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Ἢ πέπαυσο τρυφῶν ἐκ τῶν ἀλλοτρίων συμφορῶν, κεκοιμημένον διεγείρων καὶ παρακαλῶν τὸ ἀκόλαστον, ἢ ταῦτα δρῶν τῷ σεπτῷ θυσιαστηρίῳ μὴ πρόσιθι. Πολλοὺς γὰρ σκανδαλίζων ἀπελαύνεις τοῦ προσιέναι, μὴ ὑπομένοντας ἰδεῖν τοσαύτην κηλῖδα τῷ ἀμιάντῳ θυσιαστηρίῳ παρεφεδρεύουσαν.

CXXXIV. — ZOSIMO PRESBYTERO.

Aut ex alienis calamitatibus delicias tibi comparare desine, sopitam jam libidinem excitans atque D accersens: aut hæc faciens ad venerandum altare ne accede. Multos quippe offendens, ab accessu removes: ut qui tantam labem ac maculam illibato altari assidentem intueri minime sustineant.

ΡΛΕ'. — ΠΑΥΛΩ.

Κατὰ τῶν λεγόντων, εἶναι γένεσιν, ἤτοι εἱμαρμένην, ἢ τὴν λεγομένην τύχην.

Εἰ πάντα, ὡς φῄς, ὦ σοφὲ, καθ' εἱμαρμένην γίνεταί τε καὶ λέγεται, εἰπὲ πῶς νῦν δι' ἡμῶν ἑαυ-

CXXXV. — PAULO.

Contra eos qui dicunt esse nativitatem, sive fatum, seu fortunam.

Si omnia, vir erudite, fatali quadam, ut ais, necessitate fiunt, ac dicuntur, exponas velim, qui fiat,

VARIÆ LECTIONES ET NOTÆ.

(81) *Animo, nam hoc homo est.* Socraticum hoc est dogma, hominem esse animum. Vid. Platonem, ex quo et Cicero id usurpavit. Rittr.

(82) Pro αὐτὴν iidem legunt αὖτη. Possin.

(83) Confer Horat. epist. 16, lib. 1. Rittr.

Digitized by Google

ut ipsa seipsam per nos evertat. Nam si ipsa omnia effecit, eadem nunc est, quæ per nos fatum haud esse prædicat. Quin ergo ipsi, quam esse dicitis, se minime esse dicenti, fidem adhibetis?

A τὴν ἀνατρέπει. Εἰ γὰρ αὐτὴ πάντα ποιεῖ, αὕτη ἂν εἴη νῦν δι' ἡμῶν κηρύττουσα μὴ εἶναι γέννησιν. Πῶς οὖν αὕτη, ἣν φατε εἶναι, φάσκουσα μὴ εἶναι, οὐ πιστεύεται παρ' ὑμῶν;

CXXXVI. — ORIONI.

Ne dicta quædam sacrarum Scripturarum **311** simpliciter proferens, ore dilaceres (alioqui enim imperitiæ ac stultitiæ nomine risum movebis. Unde etiam quidam fugiunt, ansam homini contentionis ac rixæ cupido præbere metuentes), verum investigatis diligenter argumentis, solutiones habebis. Hallucinantur enim interpretationes, argumentis ac materiis destitutæ.

ΡΛΖ'. — ΩΡΙΩΝΙ

Μὴ ἁπλῶς προφέρων τινὰς ῥήσεις τῶν ἱερῶν χρησμῶν διὰ στόματος σπάραττε (ἀπαιδευσίας γὰρ ὀφλήσεις καὶ ἀνοίας γέλωτα· διὸ καί τινες φεύγουσι, λαβὴν φιλομαχοῦντι ἀνθρώπῳ δοῦναι δεδιότες)· ἀλλὰ τὰς ὑποθέσεις ἀκριβῶς ζητήσας (84) ἕξεις τὰς λύσεις. Τυφλώττουσι γὰρ αἱ ἑρμηνεῖαι τῶν ὑποθέσεων χηρεύουσαι.

CXXXVII. — APOLLONIO EPISCOPO.

Ego adulationem timore valentiorem ac molestiorem esse assero. Nam quæ vis efficere nequit, obsequium efficit: ac frequenter eos, quos metus minime subegit, assentatio in servitutem adduxit. Quocirca nobis faciendum est, ut et adversus metum, et adversus blanditias (hoc est adversus duos serviles affectus) strenuum animum præstemus: ac veritatem solam colamus.

B

ΡΛΖ'. — ΑΠΟΛΛΩΝΙῼ ΕΠΙΣΚΟΠῼ.

Ἐγὼ τοῦ φόβου τὴν κολακείαν δυνατωτέραν καὶ ἀργαλεωτέραν εἶναί φημι. Ὅσα γὰρ μὴ δύναται ἀνάγκη, δύναται θεραπεία· καὶ τοὺς μὴ χειρωθέντας ὑπὸ φόβου, κολακεία πολλάκις κατεδουλώσατο. Χρὴ οὖν καὶ πρὸς φόβον καὶ πρὸς θωπείαν μὲν ἀνδρίζεσθαι (ἑκάτερον δὲ ἀνελεύθερον τὸ πάθος), τὴν δ' ἀλήθειαν μόνην τιμᾷν.

CXXXVIII. — EIDEM.

Probum virum, et Dei amantem, et hominum item amore præditum esse oportet, ut nec ob virtutis sublimitatem, animumque divino numini addictum et consecratum homines contemnat, nec rursum propter homines divinum numen negligat. Quamvis enim charitas erga Deum multo major sit, C tamen si cum charitate ac benevolentia erga homines connectatur, magis explendescit.

ΡΛΗ'. — ΤΩ ΑΥΤΩ.

Χρὴ τὸν εὐδόκιμον, καὶ φιλόθεον εἶναι· καὶ φιλάνθρωπον· ἵνα μήτε διὰ τὸ ὕψος τῆς ἀρετῆς, καὶ τὸ ἀνακεῖσθαι τῷ Θεῷ, τῶν ἀνθρώπων καταφρονοίη, μήτε διὰ τοὺς ἀνθρώπους τοῦ Θείου ἀμελοίη. Ἡ γὰρ ἀγάπη ἡ πρὸς τὸ Θεῖον, εἰ καὶ μείζων ἐστὶ πολλῷ, τῇ πρὸς ἀνθρώπους συμπλεκομένη, λαμπροτέρα γίνεται.

CXXXIX. — NILO.

De sapientia Daniel et trium puerorum.

Tres illi pueri, ac Daniel, curiosam et supervacaneam Chaldæorum disciplinam minime didicerunt; cave id existimes. Nam qui tantam suæ erga Deum pietatis curam gesserunt, ut ne regios quidem cibos perciperent, unquamne, etiamsi mille ipsis mortes propositæ fuissent, ad servilem doctrinam provolvi sustinuissent? Quod autem hæc vera sint, locupletissima testis est sacra Scriptura, his verbis utens: « Dedit eis Deus ingenii acumen et prudentiam in grammatica et sapientia [17], » hoc est: D Exspectatione omni ac spe celerius doctrinam in litteris sitam capiebant. Per grammaticam enim, eruditionem eam, quæ litteris continetur, intelligit. Quod autem ita sit, cum ex eo perspicuum est, quod regiam imaginem, haudquaquam adorarunt: tum etiam hinc liquet, quod hic leonibus, illi autem igni venerationi fuerunt. Quod si dixerint id

ΡΛΘ'. — ΝΕΙΛΩ.

Περὶ τῆς σοφίας Δανιὴλ, καὶ τῶν παίδων γ'.

Οὐ τὴν παρὰ Χαλδαίοις περίεργον παίδευσιν ἐμαθον οἱ παῖδες οἱ τρεῖς καὶ ὁ Δανιὴλ, μὴ τοῦτο νομίσῃς. Οἱ γὰρ τοσαύτην τῆς εἰς τὸ θεῖον εὐσεβείας τὴν ἐμμέλειαν ποιησάμενοι, ὡς μηδὲ βρωμάτων βασιλικῶν μεταλαβεῖν, πότε ἂν ἠνέσχοντο, εἰ καὶ μυρίοι ἠπειλήθησαν θάνατοι, εἰς ἀνελεύθερον παίδευσιν ἐκκυλισθῆναι (85); Ὅτι δὲ ταῦθ' οὕτως ἔχει μάρτυς ἀξιόχρεως ἡ Γραφὴ λέγουσα· « Δέδωκεν αὐτοῖς ὁ Θεὸς σύνεσιν καὶ φρόνησιν ἐν πάσῃ γραμματικῇ καὶ σοφίᾳ, » τοῦτ' ἔστι, πάσης προσδοκίας ὀξύτερον καὶ ἐλπίδος ὠκύτερον ἐδέχοντο τὴν ἐν γράμμασι παίδευσιν. Γραμματικὴν γὰρ λέγει, τὴν ἐν γράμμασι σοφίαν. Ὅτι δὲ τοῦτό ἐστιν ἀληθὲς, δῆλον μέν ἐστι καὶ ἐκ τοῦ μὴ προσκεκυνηκέναι τὴν βασιλικὴν εἰκόνα· δῆλον δὲ καὶ ἐκ τοῦ τὸν μὲν τοὺς λέοντας αἰδεσθῆναι, τοὺς δὲ τὸ πῦρ. Εἰ δὲ φαίεν, Ἐκ παιδεύσεως Περσικῆς, ἀποκρινάσθωσαν, Πῶς οὖν

[17] Dan. 1, 17.

VARIÆ LECTIONES ET NOTÆ.

(84) *Τὰς ὑποθέσεις ἀκριβῶς ζητήσας.* Bill., *investigatis diligenter argumentis.* Possis etiam, *Iis reb. de quibus agitur*, ut mox, τῶν ὑποθέσεων χηρεύουσαι, argumentis ac materiis recte addes, *de quibus agitur.* Ritt.

(85) Codd. Vatic. 649, ἐγκυλισθῆναι. Possin.

Digitized by Google

τῶν ἐν τοῖς μεγίστοις αὐτῶν ὄντων ἀξιώμασι, καὶ πάσῃ τῇ κατ' αὐτοὺς σοφίᾳ πεπαιδευμένων, τοὺς μὲν οἱ λέοντες πρὶν τοῦ ἐδάφους ἅψασθαι, κατειργάσαντο· τοὺς δὲ, τὸ πῦρ·

A ipsis Persicæ doctrinæ admiriculo contigisse, velim mihi respondeant, qui ergo factum sit ut eos qui amplissimis dignitatibus ornati, atque omni Persicæ doctrinæ genere instructi et exculti erant, partim leones, ante quam solum attigissent, confecerint, partim ignis absumpserit.

ΡΜΓ'. — ΠΑΛΛΑΔΙΩ ΕΠΙΣΚΟΠΩ.

Μὴ καταφρόνει τῶν εὐτελεῖ σχήματι προσιόντων σοι· ἀλλὰ θαύμαζε τὴν ὑπομονὴν, καὶ οἰκτειρον τὴν μεταβολὴν, λογιζόμενος, ὡς πολλοὶ βασιλικοῦ γένους τυγχάνοντες, τὴν τῶν θητευόντων ἔλαχον τάξιν. Εἰ δὲ καὶ ἀφανεῖς εἶεν καὶ ἐξ ἀφανῶν, μηδ' οὕτως ἀποστρέφου, ἀλλ' ὅρεγε, ἐν οἷς ἂν δύναιο, χεῖρα· λογιζόμενος ὅτι καὶ ἡ δοκοῦσα δυσγένεια ἀκούσιός ἐστι, καὶ οὐ μεμπτή· ἡ γὰρ ἀπὸ τῶν τρόπων, ἐστὶν ἡ μιαρά· εἰ δὲ καὶ δύστροποι εἶεν, τροφῆς ἀναγκαίας ἀπολαυέτωσαν, καὶ διὰ τὸ ἀνθρώπινον, καὶ διὰ τὸ θεῖον πρόσταγμα, τὸ μὴ μόνον παρακελευόμενον, παντὶ τῷ αἰτοῦντι διδόναι, ἀλλὰ καὶ τὸ διδόμενον οἰκειούμενον.

CXL. — PALLADIO EPISCOPO.

Eos, qui in tenui ac vili habitu ad te accedunt, ne contemne, verum fac patientiam admireris, ac de eorum mutatione misericordia commovearis, **312** illud tecum reputans, multos, regio genere ortos, in mercenariorum classem redactos fuisse. Quod si et obscuri sint, et obscuris parentibus editi, ne sic quidem tamen ab iis oculos remove, verum, B quibus in rebus potes, manum ipsis porrige : illud cum animo tuo considerans, generis etiam ignobilitatem (ut ex hominum opinione loquar) minime voluntariam esse, ac proinde nec reprehendendam. Nam quæ a moribus ortum trahit, ea demum impura et exsecranda est. Atque ut eos improbis quoque moribus esse demus, fac tamen, tum propter humanitatem, tum ob Dei præceptum, qui non modo cuivis petenti dare jubet, sed etiam, id quod datum est, sibi asciscit, necessarium ipsi abs te cibum obtineant.

ΡΜΑ'. — ΑΕΤΙΩ ΚΟΜΗΤΙ.
Κατὰ Σαβελλιανῶν.

Θειότατος καὶ ἄῤῥητος τοῦ Πατρὸς Υἱὸς, ὁ παρ' ἡμῶν προσκυνούμενος, εἰκότως Λόγος προσαγορεύεται· οὐχ ὅτι Λόγος μόνον ἐστὶ, καὶ τοῦ Πατρὸς ἑρμηνευτὴς, ὥς τινες οἴονται (86)· ἀλλ' ὅτι καὶ θᾶττον ἢ λόγος δημιουργεῖ, καὶ ἀπαθῶς ἐτέχθη. Λόγος δ' ὢν, ἐνυπόστατός ἐστι, καὶ οἰκείαν ἰδιότητα ἔχει. Ὅτι δ' οὐκ ἔστιν ἀνυπόστατος, αὐτὸς ὁ Λόγος λόγους ἔχειν φράζει λέγων· « Ὁ ἀκούων τοὺς λόγους καὶ ποιῶν αὐτούς. » Εἰ οὖν ὁ Λόγος λόγους ἔχει, οὐκ ἔστιν ἀνυπόστατος· ἀλλ' ἐνυπόστατος ὢν, διὰ τὸ ἀπαθῶς προεληλυθέναι, Λόγος προσαγορεύεται.

CXLI. — AETIO COMITI
Contra Sabellianos.

Divinissimus atque omni oratione præstantior Patris Filius, qui a nobis adoratur, merito Verbum appellatur, non quod verbum solum sit, ac Patris interpres, ut quibusdam placet, verum quia dicto C citius operatur, ac citra perpessionem ullam genitus est. Verbum autem cum sit, subsistens quiddam est, ac peculiarem proprietatem habet. Nam quod hypostasi minime careat, hinc liquet, quod ipsummet Verbum se verba habere dicat, his verbis utens : «Qui audit verba mea, et facit ea[18], » etc. Quocirca cum Verbum verba habeat, profecto hypostasi minime caret, verum cum hypostasim habeat, propterea Verbum nuncupatur, quia citra ullam perpessionem a Patre prodiit.

ΡΜΒ'. — ΘΕΟΔΟΣΙΩ ΕΠΙΣΚΟΠΩ.
Εἰς τὸ, « Λαμψάτω τὸ φῶς ὑμῶν. » Καὶ ὅτι οὐκ ἔστι τοῦτο ἐναντίον τῷ, « Προσέχετε τὴν ἐλεημοσύνην ὑμῶν, » καὶ τὰ ἑξῆς.

Δόξης ἀγαθῆς πανταχοῦ ῥεπούσης, καὶ γῆν καὶ θάλατταν περινοστούσης, οὐδὲν, ὦ θαυμάσιε, D ἄμεινον, οὐδ' ἂν τοὺς Κροίσου τις θησαυροὺς αὐτῇ παραβάλλοι. Διὸ ὁ μὲν Παροιμιαστὴς ἔφη· « Ὄνομα καλὸν ὑπὲρ πλοῦτον πολύν· ὑπὲρ ἀργύριον καὶ χρυσίον, χάρις ἀγαθή. » Ὁ δὲ Χριστὸς παρεκελεύετο· « Λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων. » Οὐχ ἵνα πρὸς φιλοτιμίαν ζῶμεν (ἄπαγε! ταύτην γὰρ πανταχοῦ ἐκριζοῖ, κελεύων μήτε τὴν εὐχὴν, μήτε τὴν ἐλεημοσύνην δημοσιεύειν, ἀλλὰ καὶ θατέραν

CXLII. — THEODOSIO EPISCOPO.
In illud, « Luceat lux vestra[19]. » Et quod non est hoc contrarium huic, « Attendite ne eleemosynam vestram[20], etc.

Bona existimatione passim sese diffundente, ac D terram et mare perlustrante, melius ac præstantius nihil est : nec Crœsi thesauros quisquam cum ea comparare queat. Ac proinde a Proverbiorum auctore dictum est : « Melius est nomen bonum quam divitiæ multæ : super aurum et argentum gratia bona[21]. » Atque Christus item suos ad hunc modum admonebat : « Luceat lux vestra coram hominibus. » Quæ quidem verba non eo tendunt, ut ad ambitionem vitam nostram ac studia referamus (absit!

[18] Matth. VII, 24. [19] Matth. V, 16. [20] Matth. VI, 2. [21] Prov. XXII, 1.

VARIÆ LECTIONES ET NOTÆ.

(86) *Ὡς τινες οἴονται.* Videtur recte reprehendere Greg. Nazianz. qui hanc reddit rationem cur Filius Dei vocetur Λόγος. RITT.

Digitized by Google

Hanc enim ubique funditus evellit, dum jubet, ut nec precationem, nec eleemosynam provulgemus, verum operam demus, ut ne quid ejus, quod factum fuerit, altera manus resciscat), verum ut nemini justam offensionis ansam porrigamus. Ad hunc enim modum, invitis etiam nobis, actionum nostrarum splendor intuentium oculos perstringet, atque ad divinæ gloriæ prædicationem convertet. Nam quod his verbis istud significetur, hinc constat, quod non dictum sit, Ut vos glorificemini : sed « ut videant opera vestra bona, et glorificent Patrem vestrum qui in cœlis est [82]. »

A χεῖρα λανθάνειν τὸ γενησόμενον.) ἵνα δὲ μηδενὶ παρέχωμεν δικαίαν σκανδάλου λαβήν. Οὕτω γὰρ καὶ ἀκόντων ἡμῶν τὸ τῶν πράξεων φῶς περιαστράψει τοὺς θεωμένους, καὶ εἰς τὴν θείαν δοξολογίαν τρέψει. Ὅτι γὰρ τοῦτο μηνύει, οὐκ ἐρρήθη, Ὅπως ἂν ὑμεῖς δοξασθῆτε, ἀλλ', « Ἵνα ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα, καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. »

313 CXLIII. — ZOSIMO PRESBYTERO.

Si corpoream pulchritudinem spectes, illud cogita, præclarum hunc florem crastino die pulverem fieri, atque hodiernum ignem postera luce in cinerem labi. Quidquid enim finem habiturum est, et quidem celerrimum, quantumvis splendidum et expetendum esse videatur, contemptui esse debet, ac præsertim, cum supplicium quoque parit.

ΡΜΓ'.—ΖΩΣΙΜΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Εἰ κάλλος θεάσοιο σωματικὸν, ἐννόει, ὅτι τὸ ἄνθος τοῦτο τὸ λαμπρὸν, αὔριον κόνις γίνεται, καὶ τὸ σήμερον πῦρ, τῇ ἑξῆς εἰς τέφραν ἀποβήσεται. Πᾶν γὰρ B ὃ τέλος ἔχει, καὶ τοῦτο τάχιστον, κἂν δοκῇ λαμπρὸν εἶναι καὶ ἐπέραστον, εὐκαταφρόνητον εἶναι ὀφείλει, μάλισθ' ὅταν καὶ κόλασιν τίκτῃ.

CXLIV. — PALLADIO SUBDIACONO.

Haud exigui momenti res est, exigui licet esse videatur, peccatum peccato minime cumulare, verum maximi quoque atque gravissimi. Est enim via, ad optimam mutationem ferens. Nam si vitii profluvium, quod ad exitium currit, interquieverit, motus utique ad virtutem initium sumet. Quemadmodum enim in stadiis, institio et quies contrarium motum parit (etenim nisi quis institerit, haudquaquam in adversum processurus est) : eodem modo in vitio nisi quis finem sibi constituerit, virtuti locum minime dabit.

ΡΜΔ'. — ΠΑΛΛΑΔΙΩ ΥΠΟΔΙΑΚΟΝΩ.

Οὐκ ἔστι μικρὸν τὸ μικρὸν εἶναι δοκοῦν, τὸ μὴ προστιθέναι ἁμαρτίαν ἐφ' ἁμαρτίᾳ, ἀλλὰ καὶ μέγιστον. Ὁδὸς γάρ ἐστιν ἐπὶ τὴν ἀρίστην φέρουσα μεταβολήν. Εἰ γὰρ τὸ ῥεῦμα τῆς κακίας, τὸ ἐπὶ τὴν ἀπώλειαν τρέχον, ἠρεμήσειεν, ἀρχὴν λήψεται ἡ ἐπὶ τὴν ἀρετὴν κίνησις. Ὥσπερ γὰρ ἡ ἐν τοῖς σταδίοις στάσις καὶ ἐπηρέμησις, τὴν ἐναντίαν τίκτει κίνησιν (εἰ μὴ γὰρ σταίη, οὐκ ἂν εἰς τοὐναντίον χωρήσειεν), οὕτω καὶ ἐπὶ τῆς κακίας, εἰ μὴ παύσοιτο, οὐκ ἂν τῇ C ἀρετῇ χώραν δοίη.

CXLV. — PETRO CORRECTORI.

Æqualitas amicitia est, vir præclarissime. Sic enim natura comparatum est, ut inæqualitas amicitiæ detrimentum ac perniciem afferat. Quamobrem cave tu quoque ne eodem homine et amico et adulatore utaris. Neque enim ille id ferret, qui æquo jure amicitiam tecum contraxit.

ΡΜΕ'.— ΠΕΤΡΩ ΚΟΡΡΗΚΤΩΡΙ.

Ἰσότης, φιλότης (87), ὦ βέλτιστε. Τὸ γὰρ ἄνισον τὴν φιλίαν βλάπτειν πέφυκε. Μὴ τοίνυν καὶ αὐτὸς φίλῳ χρῷο τ' ἀνδρὶ, καὶ κόλακι. Οὐ γὰρ ἀνέξεται ὁ (88) ἐπὶ τοῖς ἴσοις καὶ δικαίοις τὴν φιλίαν πηξάμενος.

CXLVI. — THEOGNOSTO PRESBYTERO.

Cum de claro viro Timotheo multa, quæ dicam, mihi in promptu sint, unum, ad quod omnia tendunt, referam : nempe quod cum sincero virtutis studio flagraret, adversus eam gloriam, quam obtinebat, perpetuo dimicabat, eam videlicet admirationem, quam ipsi priores actiones pepererant, posterioribus actionibus obscurans.

ΡΜϚ'. — ΘΕΟΓΝΩΣΤΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Πολλὰ ἔχων τοῦ ἀοιδίμου Τιμοθέου φράσαι, ἓν εἰς ὃ πάντα τείνει, λέξω· ὅτι τῆς ἀρετῆς γνήσιος ὢν ἐραστὴς, ἀεὶ πρὸς τὸ ὑπάρχον αὐτῷ κλέος ἀντηγωνίζετο, τὴν ἐπὶ τοῖς προτέροις ἔκπληξιν τοῖς δευτέ- D ροις ἔργοις ἀφανίζων.

CXLVII. — EUTONIO DIACONO.

Christus, ut anticipatæ opinionis, quæ genus humanum occupavit, tyrannidem exscinderet, ipsumque ab humilibus et abjectis rebus ad sedem mun-

ΡΜΖ'. — ΕΥΤΟΝΙΩ ΔΙΑΚΟΝΩ.

Τῆς κατασχούσης τὸ ἀνθρώπινον γένος προλήψεως τὴν τυραννίδα διακόπτων ὁ Σωτὴρ, καὶ ἀπὸ τῶν χαμαιζήλων πραγμάτων εἰς τὴν ὑπερκόσμιον αὐτὸ λῆ-

[82] Matth. v, 16.

VARIÆ LECTIONES ET NOTÆ.

(87) Ἰσότης, φιλότης. Pythagoras primus dixisse scribitur τὴν φιλίαν ἰσότητα εἶναι. Diog. Laertius in ejus Vita. Hic illud, Amicitia aut accipit pares aut facit. Laudat hunc Isidori locum J. Lipsius lib. II *Manuduct. ad philos. Stoic.*, Dis. 16. Vide et Aristot. lib. IX *Ethic. ad Nicom.* RITT.

(88) ὁ abest a codd. Vat. 649 et Alt. POSSIN.

Digitized by Google

ξιν ἀνάγειν σπουδάζων, ἑβόα· « Ἐγείρεσθε (89), ἄγωμεν ἐντεῦθεν. » Τῇ γὰρ φωνῇ τὴν οἰκείαν κεράσας δύναμιν, τῶν ἐθελόντων ἀναπτῆναι εἰς οὐρανὸν ἀνέῤῥωσε τὰς δυνάμεις, ὥστε πολλὰ χαίρειν τῇ προλήψει φράσαντας τῆς ἄνω πορείας ἔχεσθαι.

A do sublimiorem eveheret, clamabat, « Surgite, abeamus hinc [93]. » Huic enim voci vim suam admiscens, eorum qui in cœlum provolare cupiebant, vires confirmavit: adeo ut opinione hac, qua prius imbuti erant, longum valere jussa, cœleste iter arripiant.

PMIΓ'.—ΤΩ ΑΥΤΩ.

Ὁ τὴν τοῖς πολλοῖς ἀδίαστον εἶναι δοκοῦσαν τῶν παθῶν τυραννίδα τυραννικῶς βιαζόμενος, καὶ ὡς ἀνδρεῖος ᾄδεσθαι ὀφείλει, καὶ ὡς τυραννοκτόνος.

CXLVIII. — EIDEM.

Qui turbulentarum animi commotionum tyrannidem, quam plerique nulla vi frangi posse existimant, tyrannice premit ac subigit, hic et ut fortis ac strenuus celebrandus est, et ut tyrannicida.

PMΘ'.—ΤΩ ΑΥΤΩ.
Περὶ τῆς ἁγίας Τριάδος.

Ἡ ἀϊδιότης οἷον ἀειζωότης ἐστί· διὸ ἐπὶ μόνης τῆς ἀνάρχου φύσεως, τῆς ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἐχούσης, λαμβάνεσθαι εἴωθε. Τὸ μὲν γὰρ ἀθάνατον, καὶ ἐπὶ τοῦ γενομένου μὲν, μὴ ἀποθνήσκοντος δὲ, οἷον ἐπὶ ἀγγέλου καὶ ψυχῆς, κατηγορεῖσθαι δύναται· καὶ τὸ ἄφθαρτον, ἐπὶ τῶν πεποιημένων μὲν, κρειττόνων δὲ φθορᾶς γεγενημένων. Τὸ δ' ἀΐδιον κυρίως τῆς θείας οὐσίας ἴδιόν ἐστι. Διὸ ἐπὶ τῆς προσκυνητῆς καὶ βασιλικωτάτης Τριάδος μόνον λαμβάνεσθαι πέφυκε, τῆς τοῦ *πρό* καὶ *μετὰ* μὴ ἀνεχομένης, μηδὲ τὸ πρῶτον καὶ δεύτερον καὶ τρίτον καταδεχομένης. Ἀριθμοῦ γὰρ τὸ Θεῖον ἀνώτερον, καὶ χρόνων κρεῖττον, καὶ πάσης ἐπινοίας ὑψηλότερον. Εἰ γὰρ καὶ ταῖς ἰδιότησι διαιρεῖται, ἀλλὰ τῇ ἀξίᾳ καὶ τῇ οὐσίᾳ συνάπτεται. Διαιρεῖται μὲν, ἵνα Ἰουδαῖοι καὶ Σαβέλλιος ἐλεγχθῶσι· συνάπτεται δὲ, ἵνα Ἄρειος καὶ Εὐνόμιος καταισχυνθῶσι. Πλατυνόμενον γὰρ εἰς ὑποστάσεις, συνάπτεται κατὰ τὴν οὐσίαν, ᾗ καὶ ἡ ἀξία πάντως ἕπεται.

314 CXLIX. — EIDEM.
De sancta Trinitate.

Æternitas tanquam ἀειζωότης est, hoc est *sempiterna vita*. Eoque nomine hoc vocabulum de sola ea natura, quæ ortus expers est, semperque sui similis, usurpari consuevit. Nam immortale de eo, quod cum ortum habuerit, minime tamen moritur, hoc est de angelo, tum de anima prædicari potest. Atque item incorruptibile, de iis quæ quamvis effecta sint, ea tamen conditione fuerunt, ut a corruptione aliena essent. At æternum divinæ naturæ propric convenit. Ac proinde de adoranda duntaxat ac summe regia Trinitate, quæ nec *prius*, nec *posterius*, nec primum et secundum et tertium admittit, usurpari solet. Divinum quippe numen numero excelsius est, ac temporibus præstantius, atque omni cogitatione sublimius. Quanquam enim proprietatum ratione distinguitur, dignitate tamen et essentia copulatur. Distinguitur enim, ut Judæi et Sabellius confutentur; copulatur autem, ut Arius et Eunomius dedecore atque ignominia perfundantur. Sic enim in personas porrigitur, ut tamen quantum ad essentiam, quæ comitem prorsus dignitatem habet, copuletur.

PN'. — ΑΛΦΙΩ ΕΠΙΣΚΟΠΩ.

Ἐπειδὴ πάντες, οἷς ἀρετῆς καὶ πολὺς, καὶ ὀλίγος λόγος, ἐκ θείου νεύματος τὸ γέρας τῆς ἱερωσύνης δεδόσθαί σοι πιστεύουσι, δίκαιος ἂν εἴης πάντα ποιεῖν ὅπως μὴ τὴν θείαν χειροτονίαν τοῖς μετὰ ταῦτα *πραττομένοις* καθυβρίσῃς. Εἰ γὰρ τὴν σεαυτοῦ ψυχὴν *θεσμῷ ἱερωσύνης* διακοσμήσειας, καὶ τὸν μὲν λογισμὸν τὸν ὀρθὸν ἀποδείξειας αὐτοκράτορα, τὸν θυμὸν δὲ αὐτῷ δορυφόρον παραδώσειας, καὶ νομοθετήσειας αὐτῷ μηδὲν πράττειν, ὧν ὁ βασιλεὺς οὐ βούλεται, καὶ πᾶν ὅσον ἡδοναῖς τε καὶ λύπαις εἰς κακίαν ἐκδοτον ἐξορίσειας (90) τῆς σαυτοῦ γνώμης, τιμήσειας τὴν ἄνωθεν ψῆφον.

CL. — ALPHIO EPISCOPO.

Quandoquidem omnes, quibus virtus vel ingenti vel exiguæ curæ est, sacerdotii dignitatem divino nutu tibi concessam esse persuasum habent, quidvis agere debes, ut ne divinam electionem per insequentes actiones probro ac dedecore afficias. Nam si animum ipse tuum sacerdotii lege coornaris, ac rectæ quidem rationis imperium effeceris, iracundiam autem ipsi satellitem præbueris, edicasque ei, ne quid eorum, quæ regi minime grata sunt, efficiat, atque id omne quod per voluptates et mœrores vitio addictum est, ex animo tuo ejeceris, hac demum ratione divino calculo honor abs te habitus fuerit.

PNA'.—ΤΩ ΑΥΤΩ.

Ἐλευθερίου ψυχῆς χαρακτῆρες, τὸ ἄδολον, τὸ ἥμερον, τὸ φιλάνθρωπον, τὸ ἀνδρεῖον, τὸ δίκαιον, τὸ

CLI. — EIDEM.

Ingenuæ animæ notæ sunt, a dolo abhorrere, suavem, humanum, fortem, justum, pudicum ac

[93] Matth. xvi, 46.

VARIÆ LECTIONES ET NOTÆ.

(89) Confer epist. 48 lib. iv, quæ illud *Ἐγείρεσθε* eodem modo exponit. Rittr.

(90) Codd. Vat. 619 et Alt. ἐξορίσειας mutant in ἐξορίσας. Possin.

Digitized by Google

temperantem esse, indulgenter se ad inferiores demittere, lenitati et beneficentiæ studere, judicio, non gratia et favore superare ac decernere, aliaque his affinia. Servilis contra, contrariis affectibus subjectum esse, probamque omnem cogitationem ex seipso propellere atque ablegare.

A σῶφρον, τὸ συγκαταβατικὸν, τὸ ἥπιον, τὸ μεταδοτικὸν, τὸ μὴ χάριτι, ἀλλὰ κρίσει κρατεῖν καὶ ψηφίζεσθαι, καὶ τὰ ἄλλα τὰ τούτων ἀδελφά. Ἀνελεύθερον δὲ, τὸ τοῖς ἐναντίοις πάθεσι κεχειρῶσθαι, καὶ πᾶσαν ἀγαθὴν ἔννοιαν ἐξ ἑαυτῆς ἐξωστρακίσθαι.

CLII. — ISIDORO DIACONO.

Cur, cum Aaron et Maria maledixerint Mosi, Maria sola objurgata fuit [94].

Quandoquidem per litteras quæris, quidnam causæ sit, quamobrem cum Aaron et Maria Mosen maledictis incesserint, sola tamen Maria **315** objurgata fuerit, lepra nimirum ipsius faciei, in qua lingua delitescit, offusa, prius quidem id quod ab erudito quodam viro accepi, scribam, post autem id B quoque, quod mihi in mentem venit, subnectam : quo ipse utrum ad veritatem propensius sit, expendas. Aiebat igitur ille, quia sacerdotii principium erat, idcirco Deum sacerdotii præludio ignominiæ notam inurere minime voluisse, ne finis quoque probrosus exsisteret. Ego vero hanc rationem nec cur evertam, nec cur probem habeo. Cur, inquam, evertam non habeo, quoniam nec virtutem nec pietatem lædit. Cur item probem non habeo, quia ante Aaronem divinius et incruentum sacerdotium erat, nimirum Melchisedechi ; atque item quia integri judicis non est, ob ejus qui deliquit amplitudinem et dignitatem, juris religionem contemptui habere At vero illud potius dixerim, quia Scriptura Mariam viro [suo] ac pontifici præposuit, idcirco C mihi videri eam semen præbuisse, illum autem subsecutum fuisse. Qui autem semen porrexerit, is profecto eorum quæ exorta sunt, auctor habendus est. Ac proinde, cum omnes pene in deserto vitulum effecissent, quidam pœnas dederunt, hoc est ii fortasse qui scelus auspicati fuerant : quidam autem veniam consecuti sunt, ii nempe qui per fraudem et imposturam illorum vestigiis institerant. Neque enim tam facinus ipsum exploratur, quam qua mente perpetratum sit ; siquidem judex ille etiam ad ipsas usque cogitationes grassatur. Quamobrem ita statuo, quod Maria priore loco, pontifex autem posteriore collocatus sit, cum aliis in locis maritus priorem, uxor posteriorem locum obtineat, hoc non additamenti, sed afferendæ causæ gratia contigisse. Siquidem femineum genus magna ex parte loquax et curiosum est. Eoque etiam factum est, ut pœna in eam constituta sit. Nam alioqui, cum Scriptura reliquis in locis Aaronem antoposuisset, hoc loco eum minime postposuisset, nisi causam afferre voluisset.

ΡΝΒ'. — ΙΣΙΔΩΡΩ ΔΙΑΚΟΝΩ.

Τῶν Ἀριθμῶν. Διὰ τί Ἀαρὼν καὶ Μαρίας κατηγορησάντων Μωσέως, ἡ Μαρία μόνη ἐπετιμήθη (91).

Ἐπειδὴ γέγραφας, δι' ἣν αἰτίαν Ἀαρὼν καὶ Μαριὰμ κακηγορησάντων Μωσέα, ἡ Μαρία μόνη ἐπετιμήθη, λέπρας αὐτῆς τῷ προσώπῳ, ἔνθα ἡ γλῶσσα λοχᾷ, ἐπανθησάσης· γράφω μὲν καὶ ὃ ἤκουσα παρά τινος σοφοῦ, ὑποτάξω δὲ καὶ τὸ ἐμαυτῷ νενοημένον, B ἵν' αὐτὸς δοκιμάσειας τὸ ἀληθέστερον. Ἔφη μὲν οὖν ἐκεῖνος, ὅτι ἐπειδὴ ἀρχὴ ἱερωσύνης ἦν, οὐκ ἠθέλησεν ὁ Θεὸς ὑβρίσαι τὸ προοίμιον, ἵνα μὴ καὶ τὸ τέλος γένηται ἐπονείδιστον. Ἐγὼ δὲ οὔτ' ἀνατρέπειν τοῦτο, οὔτ' ἐγκρίνειν ἔχω. Οὐκ ἀνατρέπω μὲν, ἐπειδὴ οὐδὲν οὔτε τὴν ἀρετὴν οὔτε τὴν εὐσέβειαν παρεμβάπτει· οὐκ ἐγκρίνω δὲ, ἐπειδὴ πρὸ τοῦ Ἀαρὼν ἱερωσύνη ἦν θειοτέρα καὶ ἀναίμακτος, ἡ τοῦ Μελχισεδέχ· καὶ ὅτι οὐ κατὰ ἀδίκαστον κριτὴν, διὰ τὸ ἀξίωμα τοῦ πταίσαντος, τὸ δίκαιον παριδεῖν. Ἀλλ' ἐκεῖνο μᾶλλον φημί· ὅτι, ἐπειδὴ ἡ Γραφὴ ἐν τῇ κατηγορίᾳ τὴν Μαριὰμ προέταξε τἀνδρὸς καὶ ἀρχιερέως, οἶμαι, τὸ σπέρμα αὐτὴν δεδωκέναι, κἀκεῖνον ἐπηκολουθηκέναι. Ὁ δὲ τὸ σπέρμα παρασχὼν, τῶν φυτῶν δηλονότι αἴτιος. Διὸ καὶ πάντων σχεδὸν μοχθοποιησάντων ἐν τῇ ἐρήμῳ, τινὲς μὲν ἔδοσαν δίκην, οἱ κατάρξαντες ἴσως τοῦ πταίσματος· τινὲς δὲ συνεγνώσθησαν, οἱ κατὰ παραλογισμὸν καὶ ἀπάτην ἀκολουθήσαντες ἐκείνοις. Οὐ γὰρ τὸ γεγενημένον τοσοῦτον, ὅσον ἡ γνώμη, μεθ' ἧς γένηται, βασανίζεται (92). Χωρεῖ γὰρ ὁ κριτὴς καὶ μέχρις ἐννοιῶν. Οἶμαι οὖν ὅτι τὸ (93) προτεταχθαι μὲν τὴν Μαρίαν, ὑποτεταχθαι δὲ τὸν ἀρχιερέα, ἐν τοῖς ἄλλοις προταγέντος μὲν τἀνδρὸς, ὑποτεταγμένης δὲ τῆς γυναικὸς, οὐ κατὰ παραύξησιν γέγονεν, ἀλλὰ κατ' αἰτιολογίαν· λάλον γὰρ, ὡς τὰ πολλὰ, τὸ γυναικεῖον γένος καὶ περίεργον. Διὸ καὶ εἶπας ἀπηχήθη· ἐπεὶ οὐκ ἂν ἐν τοῖς ἄλλοις ἅπασι προτάξας τὸν Ἀαρὼν, ἐνταῦθα αὐτὸν ὑπέταξεν, εἰ μὴ αἰτιολογῆσαι ἠθέλησεν.

CLIII. — ALPHIO.

Etsi, ut scribis, Zosimus prædatorii agminis dux est, et eorum qui plebem devorant, ἔξαρχος, et eo-

ΡΝΓ'. — ΑΛΦΙΩ.

Εἰ καὶ, ὡς γέγραφας, Ζώσιμος τοῦ λῃστρικοῦ στίφους ἐστὶ καρυφαῖος, καὶ τῶν δημοδόρων ἔξαρχος,

[94] Num. XII, 10 seqq.

VARIÆ LECTIONES ET NOTÆ.

(91) Confer cum hac epist. Salvian. lib. I *De gubernatione Dei.* RITT.

(92) Est hoc quoque a jurisconsultis ex philosophia morum assumptum : non tam factum, quam causam faciendi et animum facientis esse spectandum. In.

(93) Τὸ abest a Vat. 649. Possin.

Digitized by Google

καὶ τῶν ῥᾳθύμως βιούντων συνήγορος, καὶ τῶν ὀρθῶς πολιτευομένων κατήγορος· ἀλλ' ἐγὼ οὐκ αὐτὸν μόνον αἰτιῶμαι, ἀλλὰ καὶ Παλλάδιον καὶ Μάρωνα, τοὺς, ὥς φασι, συνασπίζοντας αὐτῷ, καὶ τὴν σφῶν δύναμιν κατὰ τῆς τῶν ἐπιεικῶν πραότητος ὁπλίζοντας. Ἐκεῖνοι γάρ εἰσιν οἱ τούτου ῥωννύντες τὴν κακίαν, καὶ σβεσθῆναι μὴ συγχωροῦντες, ἀλλὰ τὴν ἐπάρατον ταύτην ἀντίδοσιν παρέχοντές τε καὶ λαμβάνοντες. Τῷ γὰρ συγκροτεῖν τοὺς φαύλους, συγκροτεῖσθαι νομίζουσι· καὶ τῷ ἐκπεπολεμῶσθαι τοῖς φιλαρέτοις, περιέσεσθαι προσδοκῶσιν. Ἀλλ' οὐκ οἴσει ταῦτα ὁ Θεὸς ὁ μισοπόνηρος καὶ φιλάγαθος.

rum, qui ignave et negligenter vivunt, patronus, ac contra eorum, qui recte munus vitæ suum administrant, insectator: at ego tamen non hunc solum accuso, verum etiam Palladium et Maronem, qui subsidiariam, ut aiunt, ipsi operam præbent, suamque potentiam adversus proborum virorum lenitatem morumque suavitatem instruunt. Etenim hi sunt, qui istius improbitatem confirmant, nec eam exstingui patiuntur, verum nefariam hanc et exsecrandam mercedem persolvunt simul et accipiunt. Siquidem tuendis improbis hoc se assequi putant, ut ipsimet muniantur: et probis oppugnandis victoriam sese adepturos sperant. At Deus, qui et improborum odio commovetur, et proborum amore flagrat, hæc minime laturus est.

ΡΝΔ'. — ΑΡΠΟΚΡΑ ΣΟΦΙΣΤΗ.

Κατὰ λεγόντων εἶναι γένεσιν, ἤτοι εἱμαρμένην, ἢ τὴν λεγομένην τύχην.

Εὖ γε πεποίηκας, καίτοι τῶν τῆς ἀῤῥωστίας λειψάνων ἔτι ἡμᾶς κατασφενδονώντων, τὴν λύραν ἀραχνιῶσαν μεταχειρίσασθαι ἀναγκάσας, καὶ μέλος ᾆσαι, εἰ καὶ μὴ γεγωνὸς καὶ ἐξάκουστον, ἀλλ' ἀμυδρὸν καὶ ἡσύχιον. Οὐκοῦν ἀκόνα σαυτοῦ τὰς ἀκοὰς, καὶ θῆγε τὸν νοῦν πρὸς εὐαισθησίαν. Ἡρέμα γὰρ ᾄδοντος, οὐ ῥᾴδιον ἀκοῦσαι. Πόθεν οὖν ἄρα, πόθεν ἄρξομαι τοῦ μέλους; Ἐντεῦθεν, ὅθεν καὶ χρή. Φημὶ τοίνυν, ὅτι ἀνθρώπων ἐστὶν, ὡς οἶμαι, μηδὲν καλὸν μήτε νυνὶ πραττόντων, μήτε μετὰ ταῦτα προσδοκώντων, ἡ περὶ τῆς εἱμαρμένης ψῆφος. Καὶ ἵνα μὴ ἀπόφασις εἶναι δόξῃ τὸ εἰρημένον, δι' ἀποδείξεων ἐναργῶν καὶ ἀναγκαστικῶν καὶ ἀδιάστων ὁ λόγος βαδιζέτω, βασανίζων τὰ πράγματα, καὶ τ' ἀληθὲς εἰς τούμφανὲς ἄγων. Θέα γὰρ πόσοις ἀντίκεινται, καὶ ὅσα καλὰ ἐκ τῆς ἑαυτῶν ἐξοστρακίσαι φιλονεικοῦσι προαιρέσεως, καὶ φρίξον τὴν ἐμβροτησίαν. Θεὸν ἢ μὴ εἶναι ὁρίζονται, ἢ εἶναι μὲν, μὴ πεποιηκέναι δὲ τὸν κόσμον· ἢ πεποιηκέναι μέν, μὴ προνοεῖν δέ· ἢ προνοεῖν μὲν, τέρπεσθαι δὲ τοῖς κακίαν ἀσπαζομένοις· ἢ μὴ τέρπεσθαι μὲν, παρακεχωρηκέναι δ' ἄλλοις τὸ κράτος· ἢ μὴ παρακεχωρηκέναι μὲν, ἄκοντα δ' ἀφῃρῆσθαι· ἢ μὴ ἀφῃρῆσθαι μὲν, μὴ βούλεσθαι δὲ ἐπεξιέναι· ἢ βούλεσθαι μὲν, μὴ δύνασθαι δέ· ἢ δύνασθαι μὲν, ῥᾳστώνην δὲ προτετιμηκέναι· ἢ ῥᾳστώνην μὲν μὴ προτετιμηκέναι, νικᾶσθαι δὲ ὑπὸ τῆς τῶν ἄστρων κινήσεως· ἢ μὴ νικᾶσθαι μὲν, ἄπρακτον δὲ καὶ ἀνενέργητον ἐθέλειν εἶναι· καὶ ἄλλα πολλὰ, ἵνα μὴ τὸ καθὲν λέγοντες, εἰς μῆκος ἐκτείνωμεν τὸ λογίδιον, ὧν ἕκαστον καὶ ἀλογίας καὶ ἀσεβείας πνεῖ τῆς ἐσχάτης. Καὶ διὰ τούτων μὲν τὴν γλῶτταν ὁπλίζουσι κατὰ τῆς θείας προνοίας, καὶ εἰς οὐρανὸν τὰ βέλη πέμπουσι· διὰ δὲ τῶν αὐτῶν καὶ τὰ ἐπὶ γῆς ἐξορίζουσι καλὰ, φιλοσοφίαν, ἰατρικὴν, πάσας τε τὰς ἐπιστήμας, καὶ τὰς τέχνας, καὶ τὰς μελέτας, τῆς ἀρετῆς τὰ γέρα, τῆς κακίας τἀπίχειρα. Εἰ γὰρ γένεσις κρατεῖ ἡ ὑπὸ τῶν οὐ δεόντως προσκυνουμένων παῤ αὐτῶν θεῶν (τὰ γὰρ ἄστρα οὐκ οἶδ' ὅπως θεοὺς ἡγοῦνται) ἀδίκως κατασκευαζομένη, οὔτε φιλοσοφητέον, οὔτε νομοθετητέον, οὔτε δικαστέον, οὔτε ἰατρευτέον, οὔτε ἐπιστήμην ἢ τέχνην μετελευστέον, οὔτε μελετητέον, οὔτε ἀρετῆς ἀνθ-

316 CLIV. — ARPOCRÆ SOPHISTÆ.

Contra eos qui dicunt esse nativitatem, sive fatum seu fortunam.

Pulchre fecisti, qui tametsi nos morbi reliquiæ adhuc infestent, citharam tamen situ jam obsitam tractare coegeris, carmenque canere, si non clarum et exaudibile, at obscurum saltem et quietum. Quamobrem aures tuas atque animum ad intelligendum acue. Neque enim leviter ac demisse canentem audire facile est. Undenam ergo, unde, inquam, carmen auspicabor? Hinc nimirum unde oportet. Hoc igitur aio, hominum esse, mea quidem sententia, nihil boni, nec nunc facientium, nec in posterum exspectantium, fatum calculis suis constituere. Ac ne mea sententia esse videatur id quod dico, age, per liquida argumenta, quæque ad fidem adhibendam adigant, nec ulla vi obteri possint, oratio nostra grassetur, res ipsas expendens, ac verum in apertum proferens. Perspice quippe quotnam hominibus adversentur, et quot bona ex animo suo eliminare studeant, ac vecordiam eorum et amentiam perhorresce. Deum aut non esse statuunt, aut esse quidem, mundum autem haudquaquam condidisse: aut, si condiderit, minime gubernare: aut, si gubernet, iis, qui vitium amplexantur, oblectari: aut si non delectetur, imperium aliis concessisse: aut si non concesserit, invito ereptum fuisse: aut si non ei ereptum sit, improbos ulcisci nolle: aut si velit, non posse: aut si possit, otium charius atque antiquius habere: aut si charius non habeat, ab astrorum motu superari: aut si non superetur, inertem ac desidem esse velle: aliaque multa, ne sigillatim loquentes orationem in longum producamus, quorum nihil est, quod extremam stultitiam et impietatem non redoleat. Atque ita et adversus divinam providentiam linguam instruunt, cœlumque sagittis petunt, et item terræ ornamenta profligant, hoc est philosophiam, medicinam, omnesque scientias et artes ac studia, atque virtutis præmia, et vitii pœnas. Nam si fatum, quod ab his, quibus divinos honores inique tribuunt (astra enim haud scio quonam pacto in deorum numero habeant), conficitur, rerum omnium imperium tenet, nec philosophiæ opera danda est, nec leges condendæ, nec judicandi munus suscipiendum, nec co-

Digitized by Google

lenda medicina, nec scientia aut ars ulla consectanda, nec meditationi studendum, nec virtus amplectenda, nec vitium fugiendum. Hæc enim omnia, vir beate, sermo ille, qui de fortuna jactatur, evertet, resque omnes honestas ac laude dignas funditus evellet. Quis autem eorum qui mentis ac prudentiæ compotes sunt, hoc ferat? **317** Quis, inquam, ab his omnibus rebus seipsum subducens, res suas fortunæ (ut appellatur) arbitrio permittat, cujus nequitiam ut scriptores ac pictores declararent, parum habuerunt ei femineam formam tribuisse (quamvis hoc quoque satis amplum amentiæ ac stoliditatis indicium erat), nisi etiam clavum ipsi in manibus præberent, pedibusque globum subjicerent, ac denique oculis eam orbarent? quo videlicet per hæc omnia ipsius dementiam, et stuporem, ac cæcitatem, et inconstantiam indicarent. Ecquis igitur dextra ea, quæ omnia gubernat, contempta et pro nihilo habita, cæco et instabili atque improbo spectro seipsum credat? Quoniam autem quærunt, quinam igitur fiat, ut nonnulli præter rationem opibus affluant: dicant vicissim qui fiat, ut nonnulli quoque merito atque modo rationi consentaneo? Quod si rursum quærant, ecquid sit, quamobrem quidam injuste puniantur: exponant velim cur quidam etiam juste. Aut enim injustitia in omnibus rebus dominetur, atque ita præposterus eorum sermo fidem nanciscatur: aut ea, quæ modo rationi consentaneo fiunt, ea quoque, quæ præter rationem fiunt, a ratione vindicent. Melius quippe ac multo congruentius et æquius est dicere, sceleratissimos homines, etiamsi pœnas in hac vita effugerint, in altera tamen omnino daturos: quam illud affirmare, virtute præditos homines injuria affectos fuisse, quod hic pœnam et cruciatum subierint, nulla autem postea ipsos ultio maneat. Illud enim et verum est, et rationi consentaneum, omniumque animos ad virtutis et pietatis studium excitat: hoc autem a ratione alienum et impium est, ac rectam omnem vitæ rationem evertit. Porro qui hæc dicunt, jam nec concinnum nec modulatum astrorum motum appellent, ut qui inconcinnam et inconditam atque inæquabilem humanam vitam reddat, ac denique nihil non absurdi efficiat: atque nec agriculturæ studeant, nec implorandi auxilii causa ad judicum tribunalia se conferant, nec medicinæ opem adhibeant, nec philosophiam laudent, nec vitium insectentur, nec meditationis opera meliores reddantur, nec ullo alio virtutis genere seipsos exornare studeant, verum fortunæ, quam semper in ore habent, totos se permittant: quo per res ipsas im-

A ἐκτέον, οὔτε κακίας ἀφεκτέον. Ταῦτ' οὖν ἅπαντα, ὦ μακάριε, ὁ θρυλλούμενος τῆς τύχης λόγος ἀνατρέψει, καὶ πάντα ἐκ βάθρων ἀνασπάσει τὰ καλά, καὶ τί, ἀνέξεται τῶν νοῦ καὶ φρονήσεως οὐκ ἀμοιρούντων; Τίς δὲ τούτων ἁπάντων ἑαυτὸν ὑπεξαγαγὼν ἐπιτρέψει τὰ καθ' ἑαυτὸν τῇ λεγομένῃ τύχῃ, ἧς τὴν μοχθηρίαν ὀηλῶσαι ἐθελήσαντες, οἱ γράφοντές τε καὶ πλάττοντες, οὐ μόνον εἶδει γυναικὸς ἐρρέσθησαν (καίτοι καὶ τοῦθ' ἱκανὸν ἦν ἀλογιστίας καὶ ἀνοίας τεκμήριον), ἀλλὰ καὶ πηδάλιον ἔδοσαν ἐν χεροῖν ἔχειν αὐτῇ, καὶ τοῖν ποδοῖν ὑπέθεσαν βάσιν σφαιρικήν, ἐστέρησαν δὲ καὶ τοῖν ὀφθαλμοῖν; διὰ τούτων ἁπάντων ἐνδεικνύμενοι τὸ ἀνόητον, καὶ ἔμπληκτον, καὶ τυφλόν, καὶ ἄστατον αὐτῆς. Τίς οὖν (94) τῆς τὰ πάντα κυβερνώσης δεξιᾶς καταφρονήσας, ἐμπιστεύσει ἑαυτὸν

B τυφλῇ, καὶ ἀστάτῳ, καὶ μοχθηρᾷ φαντασίᾳ; Ἐπειδὴ δὲ λέγουσι· Πῶς οὖν τινες παραλόγως πλουτοῦσιν; εἰπάτωσαν καὶ, Πῶς τινες καὶ κατὰ λόγον; Εἰ δὲ φαῖεν· Πῶς τινες ἀδίκως κολάζονται; φρασάτωσαν, Πῶς τινες καὶ δικαίως; Ἡ γὰρ ἡ ἀδικία ἐν πᾶσι κρατείτω, καὶ πιστευέσθω ὁ ἄλογος αὐτῶν λόγος· ἢ τὰ κατὰ λόγον γινόμενα καὶ ὑπὲρ τῶν παραλόγως γινομένων ἀπολογείσθω. Ἄμεινον γὰρ καὶ πολλῷ πρεπωδέστερον καὶ δικαιότερον εἰπεῖν, ὅτι οἱ κακιστοι, εἰ καὶ τὰ ἐνταῦθα διέφυγον, ἐκεῖ πάντως δώσουσι δίκην· ἢ τὸ φράσαι ὅτι οἱ φιλάρετοι ἠδικήθησαν ἐνταῦθα κολασθέντες, καὶ οὐδεμία ἔσται μετὰ ταῦτα ἐπεξέλευσις. Ἐκεῖνο μὲν γὰρ καὶ ἀληθές ἐστι καὶ εὔλογον, καὶ πάσας τὰς ψυχὰς εἰς ἀρετὴν καὶ

C εὐσέβειαν διεγείρει· τοῦτο δὲ καὶ ἄλογον καὶ ἀσεβές, καὶ πάντα τὸν ὀρθὸν ἀνατρέπει βίον. Οἱ μὲν οὖν ταῦτα λέγοντες, μήτε ἐναρμόνιον, μήτε μουσικὴν καλείτωσαν τὴν τῶν ἄστρων κίνησιν (95), ἄμουσον, ὡς φασι, καὶ ἀνάρμοστον, καὶ ἀνώμαλον βίον, καὶ τί γὰρ οὐχὶ τῶν ἀτόπων κατασκευάζουσαν· καὶ μήτε γεωργείτωσαν, μήτε δικαστηρίοις προσίτωσαν βοήθειαν αἰτοῦντες, μήτε ἰατρικῆς ἀπολαυέτωσαν, μήτε φιλοσοφίαν ἐπαινείτωσαν, μήτε κακίαν ψεγέτωσαν, μήτε μελέτῃ βελτιούσθωσαν, μήτ' ἄλλῃ ἀρετῇ κοσμεῖν ἑαυτοὺς φιλονεικείτωσαν· ἀλλ' ἐμπιστευέτωσαν ἑαυτοὺς τῇ θρυλλουμένῃ παρ' αὐτῶν τύχῃ (96), ἵνα διὰ τῶν πραγμάτων γνοῖεν αὐτῆς τὴν ἀσθένειαν, ὅτι οὐ μόνον πλοῦτον οὐκ ὀρέξει, ἀλλὰ καὶ ὡς ἀλάστορας καὶ

D τῆς κοινῆς φύσεως ἐχθροὺς ἐξοστρακισθῆναι παρὰ πάντων παρασκευάζει. Εἰ δὲ ταῦτα πάντα ποιοῦντες (αἰσχύνονται γὰρ τοῖς πρόδηλον ἔχουσι τὴν ὠφέλειαν ἀντιστρατεῦσαι τὴν γλῶτταν), ἐν ταῖς ἀποτυχίαις τῶν πραγμάτων δυσχεραίνουσι· μανθανέτωσαν, ὅτι πολλοῖς πολλάκις πρὸς κακοῦ γέγονε τὸ ἐν πολλοῖς ἐπιτυχεῖν. Πλοῦτος μὲν γὰρ πολλοὺς ἔβλαψε, καὶ ξίφος κατ' αὐτῶν ἀκονήσας, εἰς τὰς τῶν ἐχθρῶν μετεπή-

VARIÆ LECTIONES ET NOTÆ.

(94) Pro οὖν ascribunt νῦν codd. Vat. 649 et Alt. et proximum asteriscum tolli jubent. Possin.

(95) Alludit ad illud quorumdam dogma philosophorum, orbes cœlestes et astra conversione sua et motu concentum quemdam musicum efficere. Vid. Platon. et Cicer., item Macrobium. Ritt.

(96) Iidem pro τύτῃ recte legunt τύχῃ: at versu sequenti ubi γνοῖεν editor posuit, cod. Vat. γνῷεν uno verbo ponit; cod. autem Alt. vocem illam in duas dividit, et vocabulum sequens αὐτῆς in αὐτοῖς mutat, sic exhibens hunc locum: γνῷ ἐν αὐτοῖς, etc. Possin.

Digitized by Google

δησε χεῖρας. Ἀρχὴ δὲ καὶ βασιλεία, ἡ πᾶσι περιμάχητος, οὐ μόνον τὸ εὖ ζῆν, ἀλλὰ καὶ αὐτὸ τὸ ζῆν πολλάκις προσαφείλετο. Μὴ τοίνυν τοῦτο μόνον σκοπείτωσαν, εἰ ἀποτυχία πρόσεστι τοῖς πράγμασιν (97), ἀλλ' εἰ μὴ πολλάκις πενία πλούτου χρησιμωτέρα τοῖς ἔχουσι γέγονε, τῆς Προνοίας καταβοάτωσαν, μηδὲ ἑαυτοῖς παρεχέτωσαν τῆς κρίσεως τὴν ἐξουσίαν, ἀλλὰ τοῖς σοφοῖς τοῖς παρ' αὐτοῖς ἀδομένοις. Δι' ἣν γὰρ αἰτίαν Σωκράτης μὲν κωνείῳ κατακριθεὶς, οὐκ ἐνόμισεν ἀδικεῖσθαι; Πλάτων δ' ἀπεμποληθεὶς οὐχ ἡγεῖτο ἐκπεπτωκέναι τῆς ἐλευθερίας; Διογένης δὲ ἐν ῥακίοις ζῶν, τοῦ Περσῶν βασιλέως ἡγεῖτο ἑαυτὸν πλουσιώτερον; Ἀντισθένης δὲ ῥυπῶν καὶ αὐχμῶν ἔχαιρε, καὶ κατὰ τῶν τρυφώντων ὤπλιζε τὴν γλῶτταν; Φωκίων δὲ ἀπαγόμενος μετὰ φίλων τινῶν, καί τινος ἐξ αὐτῶν δακρύσαντος, καὶ ὀλοφυρμῶν τὴν ὁδὸν ἐμπλήσαντος, ἔλεγεν, Οὐκ ἀγαπᾷς μετὰ Φωκίωνος ἀποθνούμενος; Εἰ τοίνυν τοὺς σοφοὺς οὔτε θάνατος, οὔτε δουλεία, οὔτε πενία ἐθορύβησεν, ἀλλὰ καὶ ἐνεκαλλωπίζοντο τούτοις (ᾔδεσαν γὰρ στάδιον μὲν εἶναι τὸν τῇδε βίον, τὸν δὲ μέλλοντα τῶν ἐπάθλων τίκτοντα τὸ γέρας [98])· δι' ἣν αἰτίαν οὗτοι τρυφῇ καὶ πλούτῳ καὶ ἀρχῇ τὴν μακαριότητα ὁριζόμενοι, ἀπὸ τῶν τἀναντία ὑπομενόντων, ὀπλίζουσι κατὰ τῆς Προνοίας τὴν γλῶτταν, τῆς τὸ συμφέρον ἐπισταμένης, καὶ ἑκάστῳ ἢ συγχωρούσης, ἢ ἀπονεμούσης, ἵνα καὶ ὁ πλούσιος δοκίμια τῆς οἰκείας προαιρέσεως δοίη, καὶ ὁ πένης, ὥσπερ ἐν πυρὶ χρυσὸς, τῇ πενίᾳ βασανιζόμενος στεφθείη; Εἰ δὲ λέγοιεν· Ἐχρῆν καὶ διὰ πλούτου καὶ διὰ πενίας πάντας δοκιμασθῆναι· φήσομεν, ὅτι μάλιστα μὲν πολλοὶ καὶ οὕτως ἐδοκιμάσθησαν· καὶ ἐν μὲν πλούτῳ ὑπερήφανοι, ἐν δὲ πενίᾳ ἀνανδροι ὤφθησαν. Εἰ δὲ μὴ πάντες, μάλιστα μὲν διὰ τούτων καὶ περὶ τῶν λοιπῶν ἀπολογήσασθαι οἷόν τε. Πλὴν οὐδὲν τοιοῦτον φήσαιμι, ἀλλ' ἐκεῖνο μᾶλλον εἰποιμι, ὅτι οὐδὲν παραβλάπτονται οἱ τῇδε βασανιζόμενοι φιλάρετοι, ἐκεῖσε τῶν στεφάνων αὐτοῖς ἀποκειμένων, ἀλλὰ μᾶλλον τότε ἐλαττοῦται αὐτῶν ὁ στέφανος, ὅτε ἐνταῦθα ἀμοιβῆς τινος καὶ εὐημερίας τύχοιεν. Μὴ τοίνυν πάντα ἐνταῦθα ζητείτωσαν, ἀλλ' ἐννοείτωσαν, ὅτι κρίσις ἀδέκαστος ἔσται, ἣν καὶ λογογράφοι, καὶ ποιηταὶ, καὶ ῥήτορες, καὶ συγγραφεῖς ἀνυμνοῦσιν (99). Εἰ γὰρ τῆς ἀκριβείας οὐκ ἐφίκοντο, ἀλλά γε ὅτι πάντως ἔσται ἐδογμάτισαν.

A becillitatem ipsius agnoscant, nempe quod non modo divitias non subministrat, verum etiam eos tanquam impuros et exsecrandos homines ac communis naturæ hostes ab omnibus explodendos et exterminandos curabit. Quod si cum hæc omnia faciunt (pudore enim deterrentur, ne adversus ea quæ perspicuam utilitatem habent, linguam suam opponant), adversis rerum successibus offenduntur, illud discant, multis persæpe male cessisse, in plerisque rebus id quod cupiebant consecutos esse. Complurib us enim divitiæ detrimento fuerunt, gladioque adversus eos exacuto ad hostium manus transilierunt : **318** ac principatus et imperium, quod ab omnibus tanto animorum studio atque ardore expetitur, non modo beatam vitam, sed ipsammet B etiam vitam sæpenumero eripuit. Quamobrem ne hoc solum spectent, an infortunium rebus subsit : verum nisi paupertas iis, qui ea præditi sunt, divitiis utilior plerumque atque conducibilior fuerit, ita demum adversus Providentiam clamores edant. Nec vero judicandi potestatem atque arbitrium sibi ipsis præbeant, verum sapientibus viris, quos ipsi laude et prædicatione efferunt. Ecquid enim est, quod Socrates cicutæ poculo multatus injuria se affici haudquaquam existimavit? Plato venditus libertate se dejectum esse minime ducebat? Diogenes in pannis vivens Persarum rege copiosior ditiorque sibi esse videbatur? Antisthenes squalens ac sordidus in lætitia versabatur, linguamque adversus eos qui luxui et deliciis indulgebant, tanC quam armis quibusdam instruebat? Phocion denique, cum una cum amicis nonnullis ad mortem duceretur, quidamque in lacrymas prorupisset, viamque luctibus et lamentis implevisset, his ad eum verbis utebatur: Quid? annon bene tecum agi putas qui cum Phocione sis moriturus? Cum igitur sapientes viros nec mors, nec servitus, nec paupertas conturbarit, imo potius gloriandi materiam præbuerit (norant enim scilicet hanc vitam stadium esse, futuram autem honorum ac præmiorum parentem), quid tandem causæ est, quamobrem isti deliciis et opibus atque imperio felicitatem definientes, ob eos, qui contrariis rebus conflictantur, adversus Providentiam, quæ, quid expediat, exploratum habet, atque unicuique aut permittit, aut tribuit (ut nimirum et dives voluntatis suæ atque inductionis animi experimentum præbeat, et pauper, ut aurum igne, sic paupertate probatus et exploratus coronam assequatur), linguam suam instruunt? Quod si rursum omnes tum per opes, tum per egestatem explorari oportuisse dixerint, illud respondebimus, primum multos quoque ad hunc modum exploratos fuisse, atque in opibus superbos et insolentes, et in paupertate ignavos et effeminatos sese præbuisse : quod si non omnes, maxime quidem per hos reliqui quoque defendi possunt. Sed tamen nihil hujusmodi dixerim, verum illud potius, ex hujus vitæ cruciatibus probis viris nihil detrimenti

VARIÆ LECTIONES ET NOTÆ.

(97) *Εἰ ἀποτυχία πρόσεστι τοῖς πράγμασι.* Bill. *an infortunium rebus subsit*, quam interpretationem probarem, si vel ἀτυχία hic legeretur, vel si ἀποτυχία et ἀτυχία idem significarent, sed ἀποτυχία est *frustratio* : malim igitur vertere, *an rebus optatis frustratio adsit.* Rittr.

(98) Hanc quoque illustrem sententiam sæpe repetiit Isidorus, ut hic, et lib. II, ep. 24, et ep. 179, lib. III, ep. 60 et 154, lib. IV. Id.

(99) De unanimi consensu omnium fere, etiam ethnicorum scriptorum, quod certo futurum sit extremum judicium, vid. epist. 25 et ep. ult. lib. III, et ad eam notas. Id.

Digitized by Google

afferri, cum in altera vita ipsis coronæ recondantur: quin potius tum denique coronam ipserum imminui, cum hic præmium aliquod et felicitatem aliquam consequuntur. Quæ cum ita sint, nec hic omnia exquirant, verum illud cogitent, incorruptum judicium fore, quod et orationum scriptores, et poetæ et rhetores et historici prædicant. Quanquam enim certam et exactam ipsius cognitionem minime consecuti sunt, at ipsum tamen omnino fore docuerunt.

CLV. — ESAIÆ MILITI.

Ne eum, qui moderato cibo uti didicit, luxui indulgere doceas, ne alioqui eum ex pudico **319** lascivum et intemperantem redditum in immum vitiorum gurgitem detrahas: ubi te degere fortassis ipse non animadvertis.

PNE'. — ΗΣΑΙΑ ΣΤΡΑΤΙΩΤΗ.

Μὴ δίδασκε τρυφᾷν τὸν μετρίᾳ τροφῇ χρῆσθαι πεπαιδευμένον, ἵνα μὴ λάγνον καὶ ἀκόλαστον ἀντὶ σώφρονος δημιουργήσας εἰς τὸν πυθμένα τῶν κακῶν καταγάγοις, ἔνθα διατρίβων σαυτὸν ἴσως λανθάνεις.

CLVI. — ARCHONTIO PRESBYTERO.

Quod non habet præscientiam diabolus, sed ex motibus nostris singula conjicit.

Ea, quæ cogitatione volvuntur, vir lenissime, minime diabolo cognita sunt (hoc enim divinæ duntaxat potentiæ, quæ corda nostra sigillatim finxit, peculiare est); verum ex corporis motibus animi consilia venatur. Verbi gratia: vidit quemdam curiose intuentem, atque aliena pulchritudine oculos pascentem? ipsius cupiditatem et impetum nactus, statim aut ad adulterium, aut ad stuprum eum exstimulat. Vidit iracundum, et ad excandescentiam proclivem? statim gladium acuit, atque ad cædem incitat. Vidit turpibus lucris addictum? ad latrocinia et injurias hortatur. Vidit ventri deditum? statim eas etiam, quæ infra ventrem sunt, affectiones ipsi depingit, atque, ut quod sibi animo proponit, exsequatur, materiam ipsi porrigit. Quid enim est quamobrem omnes in easdem affectiones haudquaquam impellit? Nimirum quia hic aliud, ille aliud vult, atque hoc huic, illud illi magis arridet. Quocirca ex corporis motibus animi quoque imbecillitates conjicit: atque ita fraudes suas nectit.

PNϚ'. — ΑΡΧΟΝΤΙΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Ὅτι οὐκ ἔχει πρόγνωσιν ὁ διάβολος, ἀλλ' ἐκ τῶν ἐν ἡμῖν κινημάτων στοχάζεται τὰ καθέκαστον.

Οὐ τὰ κατὰ διάνοιαν οἶδεν, ὦ πραότατε, ὁ διάβολος· τῆς γὰρ θείας μόνης ἐστὶ τοῦτο ἐξαίρετον δυνάμεως, τῆς καὶ πλατάσης κατὰ μόνας τὰς καρδίας ἡμῶν· ἀλλ' ἀπὸ [τῶν] τοῦ σώματος (2) κινημάτων (3) τὰ τῆς ψυχῆς θηρεύει βουλεύματα. Οἷον εἴδέ τινα περιέργως ὁρῶντα, καὶ ἐστιῶντα τοὺς ὀφθαλμοὺς τοῖς ἀλλοτρίοις κάλλεσι; λαβὼν ἐκείνου τὴν ὁρμήν, εὐθὺς ἢ εἰς μοιχείαν, ἢ εἰς πορνείαν τὸν τοιοῦτον ἐρεθίζει. Εἶδεν ὀργίλον καὶ θυμώδη; εὐθὺς τὸ ξίφος ἀκονᾷ, καὶ εἰς φόνον παρορμᾷ. Εἶδεν αἰσχροκερδῆ; εἰς λῃστείας προτρέπει καὶ ἀδικίας. Εἶδε γαστρὸς ἥττονα; εὐθὺς καὶ τὰ μετὰ γαστέρων (4) αὐτῷ πάθη ὑπογράφει, καὶ ὕλας παρέχει πρὸς τὸ εἰς ἔργον χωρῆσαι τὸν οἰκεῖον σκοπόν. Διὰ τί γὰρ μὴ πάντας εἰς τὰ αὐτὰ πάθη ὠθεῖ; Ἐπειδὴ ὁ μὲν τοῦτο, ὁ δὲ ἐκεῖνο μᾶλλον προῄρηται· καὶ τῷ μὲν τοῦτο, τῷ δὲ ἐκεῖνο ἀρέσκει. Ἀπὸ τῶν κινημάτων οὖν τοῦ σώματος, καὶ τὰ τῶν ψυχῶν σαθρὰ τεκμαίρεται· καὶ οὕτω πλέκει τοὺς δόλους.

CLVII. — CASIO MAGISTRATUM GERENTI.

Præstat quidem integram et incolumem, atque ab omni perpessione liberam animi pulchritudinem habere: sin autem eam conservare difficile sit, at saltem in parvis quibusdam et quæ facile sanari queant, ac non in gravissimis et letalibus detrimentum accipere. Neque enim, quia pœnitentiam divino munere nobis concessam esse audis, idcirco ad peccandum progredere, tanquam omnino sanitatem adepturus (1): verum illud scito, primum quidem multos nec pœnitendi quidem spatium habuisse, ut qui inter ipsa flagitia pœnas persolverint,

PNZ'. — ΚΑΣΙΩ ΠΟΛΙΤΕΥΟΜΕΝΩ.

Ἄμεινον μὲν ἔχειν τὸ τῆς ψυχῆς κάλλος ἀκήραιον καὶ ἀπαθές· εἰ δὲ τοῦτο φυλαχθῆναι δύσκολον, κἂν ἐν μικροῖς τισι καὶ εὐτάτοις, καὶ μὴ ἐν τοῖς καιριοις δέχεσθαι τὴν βλάβην. Μὴ γὰρ δὴ ἐπειδὴ ἀκούεις μετάνοιαν δεδόσθαι, ἀδεῶς ἐπὶ τὸ ἁμαρτάνειν χώρει, ὡς πάντως ἰαθησόμενος, ἀλλ' ἴσθι, ὅτι πρῶτον μὲν πολλοὶ οὐδὲ μετανοίας ἔσχον καιρὸν, ἐν αὐτοῖς τοῖς πλημμελήμασι δίκην ἀπαιτηθέντες, ἔπειτα δὲ ὅτι ἡ μετάνοια πολλῷ τῷ χρόνῳ θεραπεύειν εἴωθε τὰ πάθη. Καὶ γὰρ πόνων χρεία, καὶ νηστείας καὶ ἀγρυπνίας, καὶ ἐλεημοσύνης, καὶ εὐχῶν, καὶ πάντων τῶν τοιού-

VARIÆ LECTIONES ET NOTÆ.

(1) Ad hanc epistolam observo locum similem apud Augustinum. « Juvenis sum, inquit aliquis, faciam illud quod me delectat; postea agam pœnitentiam. Idem est ac si diceres: Percutiam me gladio, postea confugiam ad medicum. Heu! nescis unius horæ puncto vulnus accipi, quod vix longo tempore ad sanitatem reducitur? Per te potes peccare, per te resurgere nequis, » etc. Ritt.

(2) Ambo codd. inter τοῦ et σώματος inserunt ευυ. Possin.

(3) *Ἀπὸ τοῦ σώματος κινημάτων*. B. C., ἀπὸ τῶν τῆς ψυχῆς κιν., quod non probo. Plane geminum in modum scribit Augustinus *De definit. ecclesiast. dogm.*: « Internas animi cogitationes diabolum non videre certi sumus: sed motu eas corporis ab illo et affectionum indiciis colligi experimento didicimus. Secreta autem cordis solus ille novit, ad quem dicitur: *Tu solus nosti corda filiorum hominum* (Psal. XLIII, et Psal. CXXXIX). » Cujus loci indicium cl. V. D. Georgio Remo JC. libenter. transcribo. Ritt.

(4) Iidem codd., γαστέρα. Possin.

Digitized by Google

των, ἵνα θεραπευθῇ τὰ προλαβόντα τραύματα. Τρίτον ἐννοεῖν χρὴ, ὅτι κἂν θεραπευθῇ, ἡ οὐλὴ ἐλέγχει τὸ πάθος. Οὐ γὰρ ταυτὸν σῶμα ἀκέραιον καὶ τεθεραπευμένον· οὐδὲ ταυτὸν ἱμάτιον ἀῤῥαγὲς καὶ διεῤῥηγμένον, κἂν δοκῇ τέχνῃ τινὶ εἰς τὸ μὴ ῥᾳδίως ἐλέγχεσθαι ἦχθαι. Εἰ δὲ καὶ εἰς τὸ ἀρχαῖον ἀποκατασταίη κάλλος, οὐχ ἁπλῶς, ὡς ἔφην, ἀποκαθίσταται, ἀλλὰ μετὰ μυρίων πόνων καὶ θρήνων, καὶ τιμωριῶν, ὧν ἑαυτῇ ἐπιφέρει ἡ ἁμαρτήσασα ψυχή. A deinde pœnitentiam diuturno tempore vitia curare solere. Nam et laboribus et jejunio et vigilia et eleemosyna et precibus, atque omnibus id genus rebus opus habet, ut contracta vulnera sanentur. Tertio illud cogitandum est quod, etiamsi persanentur, tamen morbum cicatrix prodit. Neque enim idem est integrum corpus, et sanatum, nec eadem vestis integra et discissa: etiamsi alioqui artificio quodam eo adducta esse videatur, ut scissio non facile deprehendi possit. Atque ut etiam in pristinam pulchritudinem asseratur, non tamen leviter, ut dixi, asseritur, sed cum innumeris laboribus, et luctibus ac tormentis quæ anima ea, quæ in peccatum prolapsa est, sibiipsi accersit.

ΡΝΗ'. — ΤΩ ΑΥΤΩ.

Ὅτι ἡ πίστις χωρὶς τῶν ἔργων οὐ σώζει τὸν ἄνθρωπον.

Τὴν πίστιν, ὦ θαυμάσιε, τὰ ἔργα μᾶλλον, ἢ οἱ λόγοι κηρύττειν ὀφείλουσι. Καὶ ὅτι τοῦτ' ἔστιν ἀληθὲς, οἱ μὲν ἔξωθέν φασι· Τὰ ἔργα δείξει τῶν λόγων σαφέστερον· ὁ δ' Ἀπόστολος δραστικώτερον· « Θεὸν ὁμολογοῦσιν εἰδέναι, τοῖς δ' ἔργοις ἀρνοῦνται. » Θεῖος δὲ χρησμὸς βοᾷ· « Ὁ λαὸς οὗτος τοῖς χείλεσί με τιμᾷ, ἡ δὲ καρδία αὐτῶν πόῤῥω ἀπέχει ἀπ' ἐμοῦ· μάτην δὲ σέβονταί με. » Ἐκ γὰρ τῶν ἔργων, ἀλλ' οὐ τῶν λόγων τὰ λανθάνοντα ἐλέγχεσθαι ὀφείλει.

320 CLVIII. — EIDEM.

Fidem sine operibus non servare hominem.

B

Fides, vir eximie, operibus potius quam sermonibus prædicari debet. Quodque hoc verum sit, tum externi testantur, cum aiunt : Sermone monstrat clarius, quod vult, opus ; tum etiam efficacius Apostolus his verbis : «Confitentur se nosse Deum, factis autem negant[25]. » Denique divinum oraculum clamat, « Populus hic labiis me honorat, cor autem eorum longe est a me. Frustra autem colunt me[26]. » Ex operibus enim, ac non ex sermonibus, ea, quæ abdita sunt, indicari debent.

ΡΝΘ'. — ΑΕΤΙΩ.

« Καὶ ἔστη Φινεὲς, καὶ ἐξιλάσατο, καὶ ἐκόπασεν ἡ θραῦσις. »

Ὁπηνίκα οἱ Μαδιηναῖοι ὑπαντιάσαι τοῖς Ἑβραίοις ὑπὸ θείας συμμαχίας στρατηγουμένοις διέγνωσαν, τότε δὴ ὑπὸ δεινοῦ ἀνδρὸς συμβουλευθέντες, ὅπλοις τε καὶ μηχανήμασιν, ἀλκῇ τε καὶ ῥώμῃ χαίρειν φράσαντες (ἐπυνθάνοντο γὰρ μηδ' Αἰγυπτίοις ταῦτα συντετελεκέναι), κόρας εὐμόρφους οὐχ ὁπλίσαντες, ἀλλὰ καλλωπίσαντες ἐξέπεμψαν ἐπὶ τὸν πόλεμον. Ἤδεσαν γὰρ ἄλλως τὴν ἄνωθεν ῥοπὴν αὐτῶν οὐκ ἀποστησομένην, εἰ μὴ εἰς πορνείαν, εἶτ' ἐκεῖθεν εἰς εἰδωλολατρίαν ὀλισθήσοιεν. Πέφυκε γὰρ τὰ μέγιστα τῶν πλημμελημάτων ἐκ βραχυτέρων τίκτεσθαι. Αἱ δ' ἐξελθοῦσαι ἐπὶ τὴν μάχην, ἠκροβολίζοντο πρὸς αὐτοὺς, ξίφος μὲν μὴ ἐπαγόμεναι, μήτε βέλος, τὴν δὲ μορφὴν καὶ τὸν κόσμον ἀντὶ παντὸς πολεμικοῦ μηχανήματος προβαλλόμεναι, καὶ τοσοῦτον αὐτῶν περιῆσαν, ὡς ῥίψαντας τὰ ὅπλα παραχωρῆσαι ἐκείναις τὸ τρόπαιον. Ὡς δὲ εἶδεν ὁ τοῦ ἀρχιερέως υἱὸς μὴ μόνον τοὺς ἀγελαίους, ἀλλὰ καὶ τοὺς ἐν τέλει ῥιψάσπιδας γεγενημένους, καὶ εἰς πορνείαν ὁρμήσαντας, καὶ τὴν θείαν ῥοπὴν διὰ τοῦτο ἀποπτῆναι μέλλουσαν, περιπαθήσας, καὶ δικαίας ὀργῆς ἐμπλησθεὶς, ξίφος μεταχειρισάμενος, ἕνα τῶν ἐν τέλει μετὰ τῆς πεπορνευμένης γυναικὸς ἀνεῖλε· καὶ οὕτως ἔστησεν οὐ μόνον τοῦ νοσήματος τὴν νομὴν ἐπὶ τὰ καίρια σπεύδουσαν, ἀλλὰ τὴν θείαν ὀργὴν τοὺς ἁμαρτήσαντας ἐπινεμομένην. Ἱερωσύνῃ γοῦν τετίμηται ὁ τὴν ἀκοσμίαν ἐκτεμὼν, ὡς στρατηγικῆς εὐκοσμίας πεῖραν δούς. Καὶ τοῦτ' ἔστιν ὃ ζητεῖς μαθεῖν· « Ἔστη Φινεὲς, καὶ ἐξιλάσατο,

CLIX. — AETIO.

« Et stetit Phinees, et placavit, et cessavit quassatio[27]. »

Quo tempore Madianitæ Hebræis, quibus divinum C auxilium imperatoris loco erat, occurrere constituerunt, de callidi cujusdam viri consilio armis et machinis ac viribus et robore valere jussis (audierant enim ne Ægyptiis quidem hæc profuisse), pulchras et elegantes puellas non armis instructas, sed ornatas et excultas ad bellum emiserunt. Perspectum enim et exploratum habebant, divinam opem haud aliter ab ipsis abscessuram esse, nisi in stuprum, atque ita in idolorum cultum laberentur. Sic enim natura comparatum est, ut maxima peccata ex minoribus et levioribus ortum trahant. Illæ igitur ad pugnam egressæ, adversus eos velitabantur, non gladium ullum, aut telum ullum secum efferentes, verum formæ elegantiam et ornatum bellicarum D omnium machinarum instar objicientes. Atque hac ratione ipsos usque adeo superarunt, ut abjectis armis palmam eis concederent. Posteaquam autem sacerdotis filius non gregarios duntaxat, verum etiam amplissimos quosque clypeo abjecto terga vertisse, atque in fornicationem prorupisse, propterea que divinum auxilium jam jamque ab ipsis avolaturum esse perspexit, magno animi dolore affectus, ac justa iracundia perfusus, accepto ense unum e proceribus simul cum ea muliere, cum qua stupri commercium habuerat, interemit: sicque non modo serpentem morbum atque ad periculosas partes grassantem, verum etiam divinam iram, eos qui flagitium

[25] Tit. I, 16. [26] Isa. XXIX, 13; Matth. XV, 8, 9. [27] Num. XXV, 7-18.

Digitized by Google

admiserant depascentem, compressit. Sacerdotii ergo honore affectus est, qui hujusmodi obscenitatem exciderat, ut qui imperatoriæ honestatis experimentum præbuisset. Atque hæc est hujus loci, quam tibi exponi postulas, sententia, «Stetit Phinees, et placavit, et cessavit quassatio, et reputatum est ei ad justitiam.» Divina enim natura eum qui ante se divina iracundia exarserat, ac per duplicem cædem flagitium repressserat, honore affecit.

A καὶ ἐκόπασεν ἡ θραῦσις, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην. » Ἐτίμησε γὰρ ἡ θεία φύσις τὸν πρὸ αὐτῆς δικαίως ἀγανακτήσαντα, καὶ δύο σφαγαῖς τὴν παρανομίαν στήσαντα.

321 CLX. — AGATHO PRESBYTERO.
De patientia propter Sarram.

Quo tempore Deo charus Abraham ob divinum quidem oraculum in Palæstinam, ob famem autem in Ægyptum perrexit [18], proceres uxorem ipsius pulchritudine ac muliebri virtute fulgentem conspicantes, non secus ac thesaurum quemdam summi pretii ad regem ferentes, eam ipsi indicant. Atque ipse eam, pudicitia potius quam formæ præstantia collucentem aufert. Posteaquam autem maritus mortis metu perterritus fratrem ipsius se esse simulans, uxorem quidem prodidit, non tamen adversus Providentiam exclamavit : tum vero divinum auxilium arma sua movens pio viro intactam atque integram uxorem suam reddidit. Noctu enim illo acerbissimis cruciatibus affecto, voluptatibusque per dolores domitis, vel, ut rectius loquar, exstinctis ac de medio sublatis, ita demum justo viro coronam tulit. Quamobrem nos quoque, si in tentationes incidamus, ne divinam patientiam clamoribus insectemur, verum eam potius complectamur, quæ et exitus in his rebus, quæ nullum exitum habere videntur, et consilia, per quæ ex desperatis rebus emergamus, invenit.

ΡΞ'. — ΑΓΑΘΩ ΠΡΕΣΒΥΤΕΡΩ.
Περὶ ὑπομονῆς διὰ τὴν Σάρραν

Ὅτε ὁ θεοφιλὴς Ἀβραὰμ διὰ μὲν χρησμὸν ἀπὸ τῆς Περσίδος εἰς τὴν Παλαιστίνην, διὰ δὲ λιμὸν εἰς τὴν Αἴγυπτον ἦκε, θεασάμενοι οἱ ἐν τέλει τὴν σύνευνον αὐτοῦ κάλλει τε καὶ ἀρετῇ γυναικείᾳ ἀστράπτουσαν, ὥς τι φέροντες τῷ βασιλεῖ κειμήλιον τιμαλφέστατον, καταμηνύουσιν αὐτήν. Καὶ ὃς ἁφαιρεῖται τὴν γυναῖκα, σωφροσύνῃ πλέον ἢ κάλλει λάμπουσαν. Ὡς δ' ὁ ἀνὴρ θάνατον δεδιὼς ἀδελφὸς εἶναι αὐτῆς σκηψάμενος, προὔδωκε μὲν τὴν γυναῖκα, τῆς δὲ θείας μακροθυμίας οὐ κατεδύσησε· τότε δή, τότε ἡ θεία ἐπικουρία, τὰ οἰκεῖα ὅπλα κινήσασα, τῷ θεοφιλεῖ τὴν σύνευνον ἀνέπαφον καὶ ἀκέραιον ἀποδέδωκε. Νύκτωρ γὰρ ἐκεῖνον πικροτάταις βασάνοις μαστίξασα, καὶ τὰς ἡδονὰς τοῖς πόνοις δαμάσασα, μᾶλλον δὲ φρούδας οἴχεσθαι παρασκευάσασα, οὕτως τῷ δικαίῳ τὸν στέφανον ἤνεγκε. Τοιγαροῦν καὶ ἡμεῖς, εἰ πειρασμοῖς περιπέσοιμεν, μὴ τῆς θείας μακροθυμίας καταδεώμεν, ἀλλ' ἀντεχώμεθα μᾶλλον αὐτῆς, τῆς καὶ πόρους ἐν ἀπόροις, καὶ μηχανὰς ἐν ἀμηχάνοις εὑρισκούσης (6).

B

C

CLXI. — ARCHONTIO PRESBYTERO.
In illud : « Manus spina. »

Quoniam quid manus spina significet, ex me quæris, audi. Quandoquidem barbarus tyrannide temulentus, et arrogantia superciliosus, atque præ vino vertigine laborans, sacrosancta pocula non modo viris, sed etiam mulieribus, quæ ipsius voluptatibus obsequebantur, ad usum proposuerat, idcirco ea pars manus, quæ cubitum sequitur, conspecta est, sententiam adversus eum pingens. Ut enim pictores (ut ab eorum quoque audacia (5) demonstrationem sumam) rebus iis, quæ corporis expertes sunt, corpus tribuentes, manum solam pingere conantur, terrenorum regum capita corona redimientem, quo imperium ipsis cœlitus datum fuisse demonstrent; sic etiam illic Dei per indulgentiam sese demittentis consilio manus visa est [19], ut illud ostenderetur, omnium regem calculum adversus tyrannum efferre, ac sententiam subscribere.

ΡΞΑ'. — ΑΡΧΟΝΤΙΩ ΠΡΕΣΒΥΤΕΡΩ.
Εἰς τὸ, « Ἀστράγαλος χειρός. »

Ἐπειδὴ, Τί ἐστιν, ἔφης, τὸ, « Ἀστράγαλος χειρός; » ἄκουε. Ἐπειδὴ ὁ βάρβαρος μεθύων τῇ τυραννίδι, καὶ ὑφρυωμένος τῇ ἀλαζονείᾳ, καὶ τῷ οἴνῳ καρηβαρῶν, τὰ ἱερὰ σκεύη οὐ μόνον ἀνδράσιν, ἀλλὰ καὶ γυναιξὶ ταῖς τὰς ἡδονὰς αὐτοῦ θεραπευούσαις προὔθηκεν εἰς χρῆσιν, ὤφθη τὸ μετὰ τὸν πῆχυν μέρος τῆς χειρὸς, τὴν κατ' αὐτοῦ ἀπόφασιν ὑπογράφον. Ὥσπερ γὰρ οἱ ζωγράφοι (ἵνα καὶ ἀπὸ τῆς ἐκείνων τόλμης τὴν ἀπόδειξιν ποιήσωμαι), σώματα ποιοῦντες τὰ ἀσώματα, χεῖρα γράφειν ἐπιχειροῦσι μόνην στέφουσαν τῶν τῆς γῆς βασιλευόντων τὰς κορυφὰς, ἵνα δείξωσιν οὐρανόθεν αὐτοῖς τὴν ἀρχὴν δεδόσθαι· οὕτω κἀκεῖ συγκαταβατικῶς ὤφθη, ἵνα δειχθῇ, ὅτι ὁ τῶν ἁπάντων βασιλεὺς τὴν κατὰ τοῦ τυράννου ἐκφέρει ψῆφον, καὶ τὴν ἀπόφασιν ὑπογράφει.

D

[18] Gen. xii, 11-20. [19] Dan. v, 5.

VARIÆ LECTIONES ET NOTÆ.

(5) *Pictorum audacia.* De qua notum est illud Horatianum :

Pictoribus atque poetis
Quidlibet audendi semper fuit æqua potestas. RITT.

(6) *Τῆς καὶ πόρους* (B, C, πόρον) *ἐν ἀπόροις, καὶ μηχανὰς ἐν ἀμηχάνοις εὑρισκούσης.* Deus ex inexplicabilibus malis eripere et liberare potest. Euripides etiam id agnovit, cum inter alia sic ἐπιφωνεῖ aliquot tragœdiis : Τῶν δ' ἀπόρων πόρον εὑρε θεός. Ib.

Digitized by Google

ΡΞΒ'. — ΜΑΡΤΥΡΙΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Κανών ἐστι καὶ εὐσεβείας καὶ δικαιοσύνης, τὸ κρύπτειν μὲν τὰ κατορθώματα, διὰ τὸ τοῦ τέλους ἀδῆλον, καὶ διὰ τὸ ἐνοχλεῖν τοῖς ἀκούουσιν· ἐναγώνιον δ' εἶναι, διά τε τὸ τῆς φύσεως ἐπιῤῥεπὲς πρὸς ἁμαρτίαν, καὶ τῶν ἀκουόντων τὴν περὶ τὰ κακὰ ἑτοιμοτέραν πίστιν τε καὶ συγκατάθεσιν. Ὀλίγοι γὰρ τοῖς καλοῖς, πολλοὶ δὲ τοῖς κακοῖς πιστεύουσιν, οὐ μόνον ἐκ τῶν καθ' ἑαυτοὺς καὶ τὴν περὶ τῶν ἄλλων φέροντες ψῆφον, ἀλλὰ καὶ τὰς σφῶν ἁμαρτίας διὰ τῆς τῶν ἄλλων κατηγορίας περιστέλλειν οἰόμενοι.

CLXII. — MARTYRIO PRESBYTERO.

Pietas ac justitiæ norma in eo sita est, ut ea quidem quæ recte ac ex virtute gerimus, occultemus, tum quia finis incertus est, tum ne audientibus graves ac molesti simus, in sollicitudine vero atque angore versemur, tum ob naturæ nostræ in vitium propensionem, tum quia auditores ad fidem et assensionem vitiis adhibendam promptiores sunt. Pauci enim virtutibus, multi vitiis fidem accommodant, non modo **322** quia ex eis quæ in se agnoscunt ad idem de aliis pronuntiandum adducuntur : verum etiam quia insectandis et accusandis aliis id se assequi putant, ut peccata sua obtegant.

ΡΞΓ'. — ΤΩ ΑΥΤΩ.

Εὐσεβείας, ὦ ἐλλογιμώτατε, διττὸς ὁ τρόπος (7). Ὁ μὲν ἁγιώτατος καὶ θειότατος ἐν ψυχῇ. Ἱερεῖον γὰρ τοῦτο κάλλιστον, καὶ Θεῷ προσφιλέστατον, τὸ τὴν γνώμην ἔχειν εὐαγῆ, καὶ τὴν θείαν παρουσίαν φαντάζεσθαι, ἱδρυμένην τε καὶ βεβαίαν ἔχειν ἐν τοῖς τῆς ψυχῆς τεμένεσιν. Ὁ δὲ δεύτερος ἐν τῇ ἁγνείᾳ τοῦ σώματος. Ὁ γὰρ τούτων τῶν δύο τρόπων χῆρεύων, οὐδὲ εἰ τὰ γῆς τε καὶ θαλάττης τιμαλφέστατα προσάγοι κειμήλια, οὔτε εἰ πάντα τὰ ἱερουργεῖσθαι πρώην νενομοθετημένα ζῶα καταθάλλοι, χαρίσεται Θεῷ.

CLXIII. — EIDEM.

Pietatis, vir elegantissime, duplex est modus. Unus sanctissimus maximeque divinus in anima : pulcherrima enim hæc victima est, Deoque in primis grata, mentem piam habere, divinæque præsentiæ sibi speciem fingere, atque in animæ delubro fixam et stabilem tenere. Alter in corporis castitate. Nam qui his duobus modis destitutus est, nec si pretiosissimos terræ ac maris thesauros offerat, aut omnia ea animantia, quæ legis præscripto non ita pridem immolabantur, adhibeat, gratiam apud Deum initurus est.

ΡΞΔ'. — ΘΕΟΔΩΡΩ ΣΧΟΛΑΣΤΙΚΩ.

Θεσμός ἐστιν ἄνωθεν καλῶς κεκυρωμένος, καὶ νόμος ἄγραφος πρὸς φιλανθρωπίαν βλέπων, τοὺς κρατοῦντας τοῖς ὅπλοις τῶν ἱκετευόντων ἡττᾶσθαι, καὶ τοὺς πολέμῳ νικῶντας παραχωρεῖν τῷ οἰκτῳ. Σὺ δ', ὡς φασιν, οὔτε τοὺς ἐμφύτους θεσμοὺς, οὔτε τοὺς ἀγράφους νόμους αἰδεσθεὶς, τοὺς περὶ τῶν οἰκετῶν τὴν συνηγορίαν ἀναδεξαμένους ἠτίμασας. Ἴσθι τοίνυν ὅτι εἰκός σε εἰς τοῦτο περιστῆναι τὸ σχῆμα, ὃ ἄλλους θεασάμενος ἔχοντας, οὐκ ἔπαθές τι ἀνθρώπινον, ἀλλ' ἀμείλικτος ὀφθεὶς, καὶ τὴν φύσιν αὐτὴν καὶ τὸν ἔλεον ὕβρισας.

CLXIV. — THEODORO SCHOLASTICO.

Lex est antiquitus præclare confirmata, sanctioque minime scripta, ad humanitatem tendens, ut qui armis vincunt, supplicibus eorum, quos vicerint, precibus vincantur, et qui bello superant, misericordiæ cedant. Tu vero, ut aiunt, nec a natura insitis legibus, nec sanctionibus scripto minime proditis, permotus, eos, qui pro famulis tuis patronorum munus susceperunt, contempsisti. Hoc igitur tibi sit exploratum, minime incredibile esse, quin ad eumdem habitum redigaris, quem tu in aliis conspicatus, nihil humani sensisti, verum eam animi acerbitatem præ te tulisti, ut et naturæ ipsi, et misericordiæ contumeliam inferres.

ΡΞΕ'. — ΠΑΥΛΩ ΥΠΟΔΙΑΚΟΝΩ.

Εἰς τὸ εἰρημένον ὑπὸ τοῦ Ἀποστόλου· « Κἂν ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίσηται ὑμῖν. »

Ὁ διάπυρος τοῦ λόγου ἐραστὴς, Παῦλος, φημὶ, ὁ ἀπόστολος, οὐ μόνον καθ' ἑαυτοῦ καὶ τῶν ἄλλων ἀποστόλων φέρει τὴν ψῆφον, εἰ τολμήσειαν καινοτομίαν τινὰ τῷ κηρύγματι ἐπινοῆσαι, ἀλλὰ καὶ κατ' ἀγγέλων· καὶ οὐχ ἁπλῶς ἀγγέλων, ἀλλὰ τῶν ἐξ οὐρανοῦ· οὐκ ἐκείνους, ὡς ἐνόμισας, ὑβρίσαι προτρεπόμενος, τοὺς μήτε τετολμηκότας πώποτε, μήτε τολμῶντας, μήτε τολμήσοντας τοῦτο δρᾶσαι, ἀλλὰ τοῖς ἀλιτηρίοις δαίμοσιν ἀποκλείων τὴν ὁδὸν τῆς ἀξιοπιστίας, μήποτε πρόφασιν λαβόντες ὡς ἄγγελοι ἀνατρέ-

CLXV. — PAULO SUBDIACONO.

In illud dictum ab Apostolo, « Et si angelus de cœlo evangelizet vobis [30]. »

Ardens ille verbi amator, Paulus, inquam, apostolus, non modo adversus seipsum aliosque apostolos sententiam fert, si quid novarum rerum in evangelica prædicatione comminisci audeant, sed etiam adversus angelos, nec angelos simpliciter, sed etiam de cœlo. Non quod iis, qui hoc facinus perpetrare nec unquam ausi sunt, nec audebunt, contumeliam facere in animum induceret, verum ut pestiferis dæmonibus fidei viam præcluderet, nequando arrepta occasione, ut angeli, prædicatio-

[30] Galat. I, 8.

VARIÆ LECTIONES ET NOTÆ.

(7) Adi ad Augustinum lib. III, *contra litteras Petiliani*, cap. 6. RITT.

Digitized by Google

nem everterent. Quid enim inquit? « Etiamsi nos, aut angelus de cœlo evangelizaverit vobis aliquid præter quam quod accepistis, anathema sit. » Nam alioqui angeli ex prædicationis securitate tantam voluptatem capiebant, ut is etiam, qui ad Cornelium missus fuerat, magistrum indicarit, non autem sibi ipsi docendi munus permiserit.

ψωτι τὸ κήρυγμα. Τί γάρ φησι; « Κἂν ἡμεῖς ἢ ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίσηται ὑμῖν παρ' ὃ εὐηγγελισάμεθα ὑμῖν, ἀνάθεμα ἔστω. » Οὕτω γοῦν καὶ οἱ ἄγγελοι ἔχαιρον τῇ ἀσφαλείᾳ τοῦ κηρύγματος, ὅτι καὶ ὁ ἀποσταλεὶς πρὸς Κορνήλιον, ἐμήνυσε τὸν διδάσκαλον, οὐχ ἑαυτῷ τὸ πρᾶγμα ἐπέτρεψεν.

323 CLXVI.—ARCHONTIO PRESBYTERO.

In illud, « Venturus enim est Filius hominis in gloria Patris sui [31]. »

Christus, vir optime, hanc ob causam se in paterna gloria venturum promisit, ut hæreticorum ora obstrueret, eorumque furorem et rabiem exstingueret. Non enim dixit : In eadem gloria qua Pater, ne hinc rursus diversitatis cujuspiam alicui suspicio injiceretur, sed, ut rem accuratius exprimeret, in eadem illa venturum se esse affirmavit. Ex quo illud necessario sequitur, ut unam et eamdem hanc esse existimemus. Quorum porro una et eadem gloria est, multo sane magis una etiam et eadem essentia. Quod si quis mihi diffidit, perpendat id quod dicturus sum. Nam si, ubi eadem essentia non est, gloriæ discrimen reperitur (alia enim solis gloria est, alia lunæ, alia stellarum : stella enim a stella differt in claritate), quonam tandem pacto ea essentiæ ratione inter se dissidere queant, quorum una et eadem gloria est?

ΡΞΓ'. — ΑΡΧΟΝΤΙΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Εἰς τὸ γεγραμμένον, « Μέλλει γὰρ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἔρχεσθαι ἐν τῇ δόξῃ τοῦ Πατρὸς αὐτοῦ.

Ἤξειν, ὦ βέλτιστε, ὁ Χριστὸς ἐν τῇ πατρῴᾳ δόξῃ ἐπηγγείλατο, τὰ τῶν αἱρετικῶν ἐμφράττων στόματα, καὶ τὴν λύτταν αὐτῶν σβεννύς. Οὐδὲ γὰρ εἶπεν, Ἐν δόξῃ τοιαύτῃ, οἵᾳ καὶ ὁ Πατὴρ (ἵνα μὴ πάλιν παραλλαγήν τινά τις ὑποπτεύσῃ), ἀλλὰ τὸ ἀπηκριβωμένον περιστὰς (8), ἐν αὐτῇ φησιν ἐκείνῃ ἥξειν, ὡς ἀναγκαίως μίαν εἶναι αὐτὴν νομίζεσθαι καὶ τὴν αὐτήν. Ὧν δὲ μία δόξα, πολλῷ μᾶλλον καὶ ἡ οὐσία. Εἰ δέ τις ἀπιστεῖ, βασανιζέτω τὸ λεχθησόμενον. Εἰ γὰρ ἔνθα οὐκ οὐσία μία, διαφορὰ δόξης εὑρίσκεται (ἄλλη γὰρ δόξα ἡλίου, καὶ ἄλλη δόξα σελήνης, καὶ ἄλλη δόξα ἀστέρων· ἀστὴρ γὰρ ἀστέρος διαφέρει ἐν δόξῃ)· πῶς ἂν ὧν ἡ δόξα μία, διενεχθεῖεν ἐν τῇ οὐσίᾳ;

CLXVII.—MARONI.

Cæteræ quidem pene omnes vitiosæ affectiones, et vigorem et senium habent, et satietatem agnoscunt, atque ad finem omni celeritate contendunt : at horrendus pecuniarum amor, cum nobis a natura minime insitus sit, verum externe alicunde sese insinuarit, senium nescit, satietatem contumelia afficit, lætitiam ignorat, finem capere minime sustinet : imo vero in dies vigens, vel, ut rectius loquar, vigorem suum augens, fortior seipso et valentior atque acrior esse contendit. Neque enim adversus duntaxat affectus certamen habet, sed etiam adversus seipsum, ut qui seipsum vincere summo studio admiratur. Etenim citius ea, quæ percipi non possunt, quispiam perceperit, quam ille satietatem capiat. Si quidem incrementum, haud scio quo pacto, decrementum atque jacturam esse existimans, ignem vehementius accendit. Quem quidem nonnulli animam quoque tuam degustasse asserunt. Hunc igitur quamprimum exstingue. Sin secus, tum hic insuavem vitam duces, tum illic acerbas pœnas pendes.

ΡΞΖ'. — ΜΑΡΩΝΙ.

Ἕκαστον μὲν σχεδὸν τῶν ἄλλων παθῶν καὶ ἀκμὴν ἔχει, καὶ παρακμὴν οἶδε, καὶ κόρον ἐπίσταται, καὶ εἰς τελευτὴν ἐπείγεται. Ὁ δὲ δεινὸς τῆς φιλοχρηματίας ἔρως, μήτ' ἔμφυτος ὤν, ἀλλ' ἔξωθέν ποθεν ἐπικωμάσας, παρακμὴν οὐκ οἶδε. κόρον ὑβρίζει, εὐφροσύνην οὐκ ἐπίσταται, τελευτῆς οὐκ ἀνέχεται· ἀεὶ δ' ἀκμάζων, μᾶλλον δὲ τὴν ἀκμὴν ἐπιτείνων, νεανικώτερος ἑαυτοῦ καὶ τυραννικώτερος εἶναι βιάζεται. Οὐ γὰρ πρὸς τὰ ἄλλα πάθη τὴν ἅμιλλαν ποιεῖται μόνον, ἀλλὰ καὶ πρὸς ἑαυτὸν, καὶ ἑαυτὸν νικῆσαι φιλονεικῶν. Θᾶττον γὰρ ἄν τις τὰ ἀνέφικτα καταλήψεται, ἢ ἐκεῖνος κόρον λήψεται. Τὴν γὰρ προσθήκην μείωσιν, οὐκ οἶδ' ὅπως, καὶ ἐλάττωσιν εἶναι ἡγούμενος, πλέον ἀναλαίει τὸ πῦρ, ὅπερ καὶ τῆς σῆς τινές φασι γεγεῦσθαι ψυχῆς. Σβέσον τοίνυν ἢ τάχος τοῦτο. Εἰ δὲ μή, κἀνταῦθα ἀβίωτον βιώσεις βίον, κἀκεῖσε πικρὰς ὑφέξεις εὐθύνας.

CLXVIII.—EUTONIO DIACONO.

Vir singulari sapientia prædite, qui honestum ac decorum minime prodit, is nunquam a divino auxilio deseretur.

ΡΞΗ'. — ΕΥΤΟΝΙΩ ΔΙΑΚΟΝΩ.

Ὁ τὸ πρέπον, ὦ σοφώτατε, μὴ προδιδούς, οὐδεπώποτε ὑπὸ τῆς θείας συμμαχίας προδοθήσεται.

CLXIX.—ATHANASIO PRESBYTERO.

Quamvis et nobilissimæ patriæ quispiam sit, et

ΡΞΘ'. — ΑΘΑΝΑΣΙΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Εἰ καὶ πατρίδος τις εἴη τῆς βασιλικωτάτης, καὶ

[31] Matth. xvi, 27.

VARIÆ LECTIONES ET NOTÆ.

(8) Codd. Vat. 649 et Alt., παριστάς, sane melius. Possin.

Digitized by Google

γένους τοῦ περιφανεστάτου, καὶ πλούτῳ παντοίῳ κομῶντος, εὐγλωττίας τ' εἰς ἄκρον ἀφίκοιτο, καὶ πάντα τὰ τῶν ἀρχαίων ἐπὶ στόματος φέροι, ῥώμῃ τε καὶ κάλλει, δόξῃ τε καὶ ἀρχῇ ἐναβρύνοιτο, βασιλείας τε αὐτῆς ἀξιωθείη, καὶ τὸν στέφανον καὶ τὴν ἁλουργίδα περικέηται, ἀρετὴν δὲ μὴ ἔχοι, τοῦτον ἔγωγε ἐν τοῖς ἀνδραποδωδεστάτοις κατατάξαιμι. Εἰ δέ τις δικαιοσύνῃ, καὶ σωφροσύνῃ, ἀνδρείᾳ τε καὶ φρονήσει σοφὸς εἴη, τοῦτον ἐν τοῖς βασιλικωτάτοις καταριθμήσαιμι. Εἰ δὲ τοῦ πάνθ' ὁμοῦ ἐκεῖνα ἔχοντος ἀμείνων ὁ φιλάρετος, τοῦ μὴ πάντ' ἔχοντος ὁμοῦ (οὐδὲ γὰρ πάνθ' οἷόν τε συνελθεῖν), πολλῷ μακαριστότερος ἔσται καὶ εὐκλεέστερος, τῷ ἐκεῖνα μὲν θᾶττον ἀποσβέννυσθαι, τὴν δ' ἀρετὴν ἀθάνατον εἶναι.

A clarissimi generis, et omni divitiarum genere abundet, et summam eloquentiæ facultatem obtineat, omniaque veterum scripta in ore ferat, et robore ac pulchritudine, gloriaque et imperio glorietur, regiaque etiam dignitate affectus sit, et diadema ac purpuram gestet, tamen si virtute careat, **324** hunc ego in mancipiorum numero habuerim. Contra si quis justitia, temperantia, fortitudine, et prudentia præditus sit, hunc ego inter amplissimos maximeque regios numerarim. Quod si vir probus eo qui omnia illa in universum habet, melior præstantiorque habendus est, eo procul dubio, qui non omnia simul habet (neque enim fieri potest, ut omnia in unum coeant), multo beatior et clarior futurus est, quod illa quidem ocius exstinguantur, virtus vero immortalis sit.

B

ΡΟ'.—ΠΕΤΡΩ.

Εἰς τὸ εἰρημένον, « *Τίς ἐστιν ὁ πιστὸς δοῦλος καὶ φρόνιμος;* »

Ὅτι μὲν ὁ τὴν εὐκαιρίαν τῶν πραγμάτων προδιδοὺς, τῆς τῶν καλῶν διαμάρτοι θήρας, δῆλον. Ὅτι δὲ καὶ πάντα καλὰ ἐν καιρῷ αὐτῶν, ὁ Ἐκκλησιαστὴς ἐδίδαξεν. Εἰ τοίνυν ταῦθ' οὕτως ἔχει, τί ξενίζῃ, εἰ ὁ Σωτὴρ ἔφη περὶ τοῦ φρονίμου καὶ πιστοῦ οἰκονόμου, ὅτι δώσει τὴν τροφὴν ἐν καιρῷ; Τὸ γὰρ ἄκαιρον πανταχοῦ λυπηρὸν, καὶ ἡ εὐεργεσία καιροῦ ἀμοιρήσασα, καὶ τὸ ὄνομα ἀπόλλυσιν (9). Οἷον, ὁ αὐτὸς ἄρτος πεινῶντι μὲν ἡδὺς καὶ ἐράσμιος, κορεσθέντι δὲ οὐ πάνυ· καὶ τὸ αὐτὸ ποτήριον, διψῶντι μὲν προσηνέστατον, μεθύοντι δὲ ἀηδέστατον. Τίς οὖν ἡ αἰτία, ἡ τὰ αὐτὰ μὴ τῶν αὐτῶν τυγχάνειν παρασκευάζουσα; Ἡ εὐκαιρία δηλονότι, ἡ καὶ τὸ διδόμενον μεῖζον καὶ ἐρασμιώτερον δημιουργοῦσα. Χρὴ οὖν μὴ μόνον διδόναι (μικρὸν γὰρ ἴσως τοῦτο), ἀλλὰ καὶ καιρίως. Τοῦτο γὰρ, κἂν μικρὸν ᾖ τὸ δοθὲν, μεῖζον ποιήσει· κἂν μέγα, μέγιστον παρασκευάσει. Διὰ τοῦτο καὶ ὁ Μελῳδὸς τὰς θείας εὐεργεσίας ἀναχηρύττων, καὶ τοῦτο προσέθηκε, « Πάντα πρὸς σὲ προσδοκῶσι δοῦναι τὴν τροφὴν αὐτοῖς εἰς εὔκαιρον. » Οὐ γὰρ τρέφει μόνον, ἀλλὰ καὶ εὐκαίρως. Τοῦτο γὰρ μάλιστά ἐστι τὸ πάντα τρέφον, τὸ καιρίως δίδοσθαι. Καὶ εἰ βούλει γε καὶ ἐπὶ τῶν καρπῶν, τῶν ἀπὸ γῆς τικτομένων, τοῦτο γινόμενον ἰδεῖν· θέα ὅτι οὐκ ἐν ἑνὶ καιρῷ σῖτος, καὶ οἶνος, καὶ ἔλαιον, καὶ ἀκροδρύων γένη, καὶ ἀνθῶν ποικιλίαι· ἀλλὰ προηγοῦνται μὲν οἱ λειμῶνες, ἕπεται δὲ τὰ λήϊα, διαδέχεται δὲ ἄμπελος, παραπέμπει δὲ ἐπὶ τὴν ἐλαίαν τὸν γηπόνον ὁ βότρυς· ὥσπερ χορείαν τινὰ ἀρίστην τῶν ὡρῶν χορευουσῶν, καὶ τῷ μήκει τοῦ χρόνου τὸν γεωργὸν ἀναπαυουσῶν. Εἰ γὰρ πάνθ' ὁμοῦ εἰς τὴν οἰκείαν ἥρχετο ἀκμὴν, ἐστενοχωρήθη ἂν ἡ τοῦ γεωργοῦ τέχνη ὑπὸ τῆς τοῦ χρόνου βραχύτητος, καὶ πάντα ἂν ἀπολώλει καὶ

Quod ille, qui negotiorum opportunitatem prodit, res pulchras et cum laude conjunctas minime assecuturus sit, perspicue constat. Quod autem bona et commoda cuncta sint in tempore suo, Ecclesiastes [33] docuit. Cum igitur hæc ita se habeant, quid est quamobrem novum ac mirum tibi videatur, quod Salvator prudentem ac fidelem dispensatorem cibum opportune daturum esse dixerit? Nam quod intempestive fit, semper molestum est: et beneficium opportunitate destitutum, beneficii quoque nomen amittit. Verbi gratia, idem panis fame laboranti gratus ac jucundus est; satiato autem non item: atque idem poculum siti affecto suavissimum est, temulento autem molestissimum. Quid igitur efficit, ut iisdem rebus non eodem modo animi nostri afficiantur? Opportunitas scilicet, quæ etiam id, quod datur, majus et amabilius reddit. Quocirca non tantum dare convenit (exiguum enim istud fortasse), sed etiam opportune. Hoc quippe et parvum munus augebit: et si magnum sit, maximum atque amplissimum reddet. Eaque de causa Psaltes divina beneficia prædicans, illud etiam adjecit, « Omnia a te exspectant, Domine, ut tu des illis escam in tempore opportuno [34]. » Non enim duntaxat alit, sed etiam tempestive. Hoc quippe potissimum est, quod omnia alit, nempe quod tempestive porrigatur. Ac si hoc in iis quoque fructibus, qui ex terra nascuntur, fieri conspicere cupis, vide quemadmodum non uno eodemque tempore frumentum, et vinum, et oleum, et poma, variique flores exsistant: verum prata quidem antecedunt, sequuntur autem segetes, quas deinde vinea excipiat, ac denique agricolam ad oleam racemus transmittat: anni videlicet partibus, tanquam optimum quemdam cho-

C

D

[33] Luc. XII, 42. [33] Eccle. III, 1 seqq. [34] Psal. CXLIV, 15.

VARIÆ LECTIONES ET NOTÆ.

(9) Vide in hanc sententiam multa apud Senecam *De beneficiis*. Convenit quoque vet. senarius:

Εὔνοια ἄκαιρος οὐδὲν ἔχθρας διαφέρει.
Odii instar importuna benevolentia est. RITT.

Digitized by Google

rum agitantibus, ac per temporis longinquitatem agricolam recreantibus. Nam si cuncta confertim ad vigorem suum pervenirent, profecto agricolæ industria ob temporis brevitatem in angustias adduceretur, atque omnia corrumperentur et interirent, quod ille uno eodemque tempore colligendis et comportandis omnibus rebus minime par esset.

A διεφθάρη, οὐκ ἀρκοῦντος αὐτοῦ ὑφ' ἓν ἅπαντα συγκομίσαι.

CLXXI. — ARSENUPHIO LECTORI.

325 Psallere quidem cum prudentia, et attento ac vigilanti animo precari oportet : at non ea petere, quæ nobis bona esse videantur : sed quæ ille ipse, qui dat, commoda et utilia esse perspectum habeat. Multi autem cum divitiarum causa vitalem vitam habuissent, ad extremum insidiis appetiti, tum præsenti, tum futura vita exciderunt : cum magistratum ac præfecturam furtorum (non B enim quæstuum dicam) occasiones parturientem ambiissent, iis quoque, quæ habebant, spoliati sunt : cum egregia forma mulierem in matrimonium accipere studuissent, tanquam hinc videlicet voluptatem percepturi, ob hoc ipsum præsertim et in pericula, et in bella inciderunt : cum ad summum usque roboris firmæque valetudinis pervenire laborassent, præter quam quod ferinam vitam duxérunt, atque animæ nobilitatem ignorarunt (quod scilicet optimas quasque actiones hac ratione obscurassent), tandem feris quoque prædæ fuerunt, atque inglorium et exsecrandum finem subierunt. Quocirca his omnibus omissis, ea a Deo postulemus, quæ ipse in rem nostram fore perspectum et exploratum habeat.

ΡΟΑ'. — ΑΡΣΕΝΟΥΦΙΩ ΑΝΑΓΝΩΣΤΗ.

Χρὴ μὲν καὶ ψάλλειν μετὰ συνέτεως, καὶ εὔχεσθαι μετὰ νήψεως· μὴ ἐκεῖνα δὲ αἰτεῖν ἃ ἡμῖν καλὰ δοκεῖ εἶναι, ἀλλ' ἅπερ ἂν αὐτὸς ὁ δοὺς εἰδείη χρήσιμα εἶναι καὶ συμφέροντα (10). Πολλοὶ γὰρ πλούτου μὲν ἕνεκα βιωτὸν ἐσχήκασι τὸν βίον, καὶ τέλος ἐπιβουλευθέντες, καὶ τῆς παρούσης, καὶ τῆς μελλούσης ζωῆς ἐξέπεσον· ἀρχὴν δὲ μνηστευσάμενοι τὴν ὠδίνουσαν κλοπῶν (οὐ γὰρ ἂν φαίην κερδῶν) ἀφορμὰς, καὶ ὧν εἶχον ἀπεστερήθησαν· εὐπρόσωπον δὲ γυναῖκα σπουδάσαντες ἀγαγέσθαι, ὡς διὰ τοῦτ' εὐφρανθησόμενοι, διὰ τοῦτο μάλιστα καὶ κινδύνοις καὶ πολέμοις περιέπεσον· ῥώμης δὲ καὶ εὐξίας εἰς ἄκρον ἐλθεῖν σπουδάσαντες, μετὰ [τοῦ] θηριώδη βίον βιῶσαι, καὶ τὴν τῆς ψυχῆς ἀγνοῆσαι εὐγένειαν (τῷ ἐπισκοτῶσαι αὐτοῖς τὰς ἀρίστας ἐνεργείας). τέλος καὶ θηρῶν βρῶμα γεγόνασιν, ἀκλεὲς καὶ ἐπάρατον ὑπομείναντες πέρας. Πάντ' οὖν ταῦτα ἀφέντες, ἐκεῖνα αἰτῶμεν παρὰ τοῦ Θεοῦ, ἅπερ ἂν αὐτὸς εἰδείη χρήσιμα εἶναι.

CLXXII. — EIDEM.

Bonæ sunt opes ei, qui probe his uti, easque administrare potest. Bona ita paupertas ei, qui forti ac strenuo animo eam perferre novit. Bona gloria ei qui ad laborantium et oppressorum subsidium atque defensionem ea utitur. Bona item ignominia ei, qui philosophari in animum induxit. Bonum imperium ei qui, ut æquum est, imperat, nec quidquam ex imperio ad inferiores injuria afficiendos assumit. Bonum denique robur ei qui ad imbecilliorum opem atque auxilium illud impendit. Quamobrem ne res ipsas, quæ et virtutis et vitii instrumenta esse queunt, sed animi nostri institutum, quod ob incredibilem quamdam segnitiem etiam afflicit, incusemus.

C

ΡΟΒ'. — ΤΩ ΑΥΤΩ.

Καλὸς ὁ πλοῦτος τῷ εὖ χρῆσθαι καὶ διοικεῖν δυναμένῳ. Καλὴ ἡ πενία τῷ γενναίως φέρειν ἐπισταμένῳ. Καλὴ καὶ ἡ δόξα τῷ εἰς προστασίαν τῶν καταπονουμένων αὐτῇ χρωμένῳ. Καλὴ καὶ ἡ ἀδοξία τῷ φιλοσοφεῖν ἠρημένῳ. Καλὴ καὶ ἡ ἀρχὴ τῷ κατὰ τὸ δίκαιον ἄρχοντι, καὶ μηδὲν ἐκ τῆς ἀρχῆς εἰς τὸ τοὺς ὑποδεεστέρους ἀδικεῖν προσλαμβάνοντι. Καλὴ καὶ ἡ ῥώμη τῷ εἰς ἀντίληψιν τῶν ἀσθενεστέρων αὐτὴν δαπανῶντι. Μὴ τὰ πράγματα τοιγαροῦν αἰτιώμεθα, ὄργανα ἀρετῆς καὶ κακίας δυνάμενα εἶναι, ἀλλὰ τὴν ἑαυτῶν προαίρεσιν, τὴν δι' ὑπερβάλλουσαν ῥᾳθυμίαν, καὶ τῶν ὅπλων τὸ κάλλος ἐξυβρίζουσαν.

CLXXIII. — EIDEM.

Tempus partim jam avolavit; partim, cum adesse videatur, latet; partim, cum adhuc exspectatur,

D

ΡΟΓ'. — ΤΩ ΑΥΤΩ.

Τοῦ χρόνου τὸ μὲν ἀπέπτη, τὸ δὲ παρεῖναι δοκοῦν λανθάνει, τὸ δὲ μέλλον ἔτι προσδοκώμενον παρέρχε-

VARIÆ LECTIONES ET NOTÆ.

(10) Mirari liceat, hoc etiam ethnicos vidisse et admovisse. Noti sunt versus a Socrate in hanc sententiam commendati apud Platonem *Alcibiade :*

Ζεῦ βασιλεῦ, τὰ μὲν ἐσθλὰ καὶ εὐχομένοις καὶ ἀνεύκτοις
Ἄμμι δίδου· τὰ δὲ λυγρὰ καὶ εὐχομένων ἀπερύκοις.
Da bona, sive rogere, Deus, seu nulla rogere :
At mala pelle procul, nobisque petentibus aufer.

Sic Jacobi Cujacii quotidianum votum fuisse accepimus (quod cum Papirium Massonum Vitæ ejus scriptorem fugerit, relatum est mihi a D. Remo, sæpius quidem, sed nunquam satis a me laudato viro) : « Domine Deus, da nosse me, da nosse te. Da bona : pelle mala omnia, per Filium tuum Jesum Christum. » Sic avunculus et velut alter parens meus precari solebat hoc suo tetrasticho :

Si tibi, summe Pater, tibi si res ista probatur
Quam peto, propositi sit rata summa mei.
Sin minus, eventu careant mea vota; sed illud
Fiat, quod fieri mens tua sancta jubet.

Vide quoque ad hanc rem insignem epistolam Ant. Guevaræ Hispani lib. I *Aureorum*, qua gratulatur cuidam, veteri quartana casu liberato. RITT.

Digitized by Google

ται. Καθάπερ γὰρ ὕδατος σφοδρὰ ῥύμη τὴν ἀκριβῆ αἴσθησιν ἑαυτῆς οὐ συγχωρεῖ διαγνωσθῆναι (προαιρεῖται γὰρ τῇ ὀξύτητι τὴν κατανόησιν), οὕτω, τάχα δὲ πλέον, ἡ τοῦ χρόνου ὁρμὴ (11) εἰς τέλος ἐπειγομένη, ῥᾳδίως μὲν διεξέρχεται, τοῖς δ' ἀνθρώποις τρανὸν οὐδὲν οὐδὲ πάγιον δείξασα, ὥσπερ ὀνείρων σκιὰς καταλιμπάνει.

A praeterit. Quemadmodum enim vehemens aquæ impetus certum sui sensum internosci minime sinit (sua quippe celeritate animadversionem eripit), ad eumdem modum, ac fortasse etiam magis, temporis impetus ad finem properans, facile quidem fluit, hominibus autem nihil perspicuum ac fixum ostendens, tanquam insomniorum umbras relinquit.

ΡΟΔ'. — ΕΥΤΟΝΙΩ. ΔΙΑΚΟΝΩ.

Ἔχε, ὦ σοφὲ, τὴν γνώμην εὐγνώμονα, καὶ τὴν ψυχὴν ἐρρωμένην· καὶ πάντα τὰ συμπίπτοντα, εἰς τὴν σὴν εὐδοκίμησιν, καὶ τὴν τῶν ἐχθρῶν αἰσχύνην περιτραπήσεται. Εἰ δ' ὀλιγωρήσειας, διαφθερεῖς μὲν τὸ σαυτοῦ κλέος, πανήγυριν δὲ τοῖς ἐναντίοις, καὶ λύπην τοῖς ἐπιτηδείοις προξενήσεις (12).

CLXXIV. — EUTONIO DIACONO.

Fac, vir sapiens, probam gratamque mentem, **326** ac firmum animum habeas, atque omnia ea quæ accidunt, ad gloriam tuam, hostiumque ignominiam redigentur. Id si facere contempseris, cum tuam ipse gloriam delebis, tum lætitiam adversariis, ac mœrorem necessariis tuis accerses.

ΡΟΕ'. — ΔΩΡΟΘΕΩ ΛΑΜΠΡΟΤΑΤΩ.

Τῶν ἀνθρώπων οἱ μὲν διὰ βραδυτῆτα νοῦ οὐκ ἐφικνοῦνται τοῦ δικαίου· οἱ δὲ δι' ὀξύτητα μὲν ἐφικνοῦνται, διὰ δὲ φιλοχρηματίαν καπηλεύουσι, χρυσῷ προπίνοντες τὴν ψῆφον, καὶ τὸν τῆς δικαιοσύνης ζυγὸν λήμμασι παρασαλεύοντες. Εἰσὶ δὲ οἱ καὶ αἰδοῖ καὶ κολακείᾳ καὶ φόβῳ διαφθείροντες τοῦτον. Χρὴ τοιγαροῦν τὸν κριτὴν καὶ συνετὸν εἶναι καὶ ἀδέκαστον, καὶ χρημάτων καὶ αἰδοῦς καὶ κολακείας καὶ φόβου κρείττονα. Εἰ γὰρ ὁποτέρῳ τῶν παθῶν τούτων χειρωθείη, τὸ πᾶν διαφθερεῖ. Εἰ τοίνυν τὸ μὲν εὑρεῖν τὸ δίκαιον (13), ἔργον, τὸ δὲ μὴ διαφθεῖραι εὑρόντα, ἐργωδέστερον, οὐ χρὴ ἐπιῤῥίπτειν τινὰ ἑαυτὸν τῷ κρίνειν. Εἰ δὲ Ζώσιμος, ὡς γέγραφας, καὶ βραδὺς ὤν, καὶ χρημάτων, εἰ καί τις ἕτερος, ἐραστὴς, ἑαυτὸν ἐπιῤῥίπτει εἰς τὸ τοῖς ἀμφισβητοῦσι δικάζειν (καίτοι ἐπὶ τῷ πεπρακέναι τὸ δίκαιον φωραθεὶς, καὶ παρ' αὐτῶν τῶν ἀμφισβητούντων καταγνωσθεὶς, καὶ παρὰ πάντων πολλάκις καταβοηθεὶς), μὴ θαυμάσῃς. Εἰ μὲν γὰρ τῶν ἄλλων παθῶν κεκρατηκὼς, τούτῳ ἥττητο, τάχα ἂν τις εἰκότως ἐθαύμασεν. Εἰ δὲ, ὡς φῄς, πᾶσιν τοῖς αἰσχίστοις πάθεσι κατακράτος ἡττηθεὶς, καὶ τούτῳ ἑάλω, οὐ χρὴ θαυμάζειν.

B

C

CLXXV. — DOROTHEO CLARISSIMO.

Sunt homines, qui ob ingenii tarditatem causarum jura consequi nequeunt. Sunt rursus, qui pro ingenii quidem celeritate consequuntur, verum ob pecuniæ studium cauponariam exercent, auro calculum suum prodentes, ac justitiæ lancem muneribus labefactantes. Sunt denique, qui eum pudore, blanditiisque ac terrore corrumpunt. Quocirca judicem opus est et sagacem, et integrum esse, pudoreque ac blanditiis et metu superiorem. Nam si cuivis horum affectuum succumbat, totam judicii religionem obteret. Cum igitur et jus invenire difficile sit, et cum inveneris, minime labefactare difficilius, non est cuiquam committendum, ut judicis munus arripiat. Quod si Zosimus, ut ad me scripsisti, cum et tardi ingenii sit, et pecuniarum, si quisquam alius, cupiditate flagret, id sibi temere assumit ut disceptantibus jus dicat (tametsi jus pretio addictum habuisse deprehensus, et ab iis ipsis, inter quos controversia erat, improbatus, et ab omnibus persæpe clamoribus exagitatus), ne tibi mirum istud videatur. Nam si aliis vitiis victis et profligatis huic uni cessisset, esset fortasse quamobrem quisquam miraretur. Cum autem, ut abs te dictum est, a turpissimis quibusque vitiis facile superatus, hoc quoque teneatur, minime mirum id videri debet.

ΡΟΣ'. — ΙΣΙΔΩΡΩ ΔΙΑΚΟΝΩ.

Εἰς τὸ γεγραμμένον, « Μὴ οὐκ ἔχομεν ἐξουσίαν, ἀδελφὴν γυναῖκα περιάγειν ; »

Ἕκαστος μὲν τῶν ἀποστόλων, ὡς ἔπος εἰπεῖν, μίαν ἀπολαβὼν χώραν, ταύτην ἐῤῥύθμισεν. Ὁ δὲ Παῦλος ὥσπερ ὑπόπτερος γεωργὸς, πᾶσαν σχεδὸν ἐπέδραμε τὴν οἰκουμένην, καὶ εἰς αὐτὰς ἐφοίτησε τῆς γῆς τὰς ἐσχατιὰς, καὶ τοὺς ἀκηκοότας ῥυθμίζων, καὶ τοῖς ἀνηκόοις ἐνσπείρων τὸ θεῖον κήρυγμα. Διὸ ἐκείνοις μὲν καὶ γυναῖκες ἠκολούθουν, οὐ παιδοποιίας, οὐδὲ συμβιώσεως ἕνεκεν, ἀλλ' ἐκ τῶν οἰκείων χορηγοῦσαι καὶ τρέφουσαι τοὺς τῆς ἀκτημοσύνης

D

CLXXVI. — ISIDORO DIACONO.

In illud : « Nunquid habemus potestatem sororem mulierem circumducendi[15] ? »

Apostolorum unusquisque, ut ita dicam, regionem unam nactus, eam optimis moribus informavit. At Paulus, tanquam pennatus agricola, universum pene orbem peragravit, atque ad extremos usque terræ angulos grassatus est, tum auditores suos optimis legibus instituens, tum iis etiam, quibus eum audire minime contigit, divinam doctrinam inserens. Quocirca illos quidem mulieres etiam comitabantur, non ut liberos procrearent, aut una

[15] I Cor. IX, 5.

VARIÆ LECTIONES ET NOTÆ.

(11) Codd. Vat. 649 et Alt. legunt ῥύμη. Possin.
(12) Codd. Vat. 649 et Alt., προξενήσειας. Possin.
(13) Vide *Cohortationem ad judices* apud Constantinum Harmenop. et Stobæi serm. 155, cap. 1, *De sentent. et re judic.* in 6. l. ult. C. *De pœn. judic. qui mal. jud.* Ritt.

Digitized by Google

cum ipsis vitæ consuetudinem haberent, verum ut A ex suis facultatibus subministrarent, ac paupertatis præcones alerent : hunc autem, qui ad ipsos usque terræ fines currebat, sequi nec permissæ sunt, nec potuerunt. Quid vero mirum feminas relictas fuisse, cum etiam Barnabas, individuus alioqui comes, ad infinitum illum cursum ac laborem claudicans, primas ipsi concesserit? Siquidem quo tempore cum eo versabatur, hæc verba habebat Paulus : **327** « Nunquid non habemus potestatem sororem mulierem circumducendi, sicut et reliqui apostoli et fratres Domini, et Cephas? An solus ego et Barnabas non habemus potestatem hoc faciendi? » Non quod ii, qui virginitatem suadebant, et castitatem prædicabant, ac virginum choros moderabantur, cum mulieribus consuetudinem haberent: B quis enim eos virginitatem suadentes tulisset, si quidem ipsimet in voluptatum cœno sese volutantes deprehensi fuissent? Non igitur hoc ait, nam alioqui mulierem uxorem dixisset (quemadmodum notarii in iis contractibus, qui ad dotes pertinent, scribere consueverunt, alere ac vestire, quemadmodum muliere uxore dignum est, pro facultatum captu : mulierem videlicet ob naturam collocantes, uxorem autem ob vitæ consuetudinem), sed quia ipsos sequebantur, ex bonis suis paupertatis magistros alentes : idcirco sororem quidem dixit, ut castitatem indicaret, mulierem autem, ut naturam declararet. Mulier quippe virgo quoque appellatur, etiamsi intacta sit : mulier ob formam, etiamsi in- C tegra sit; mulier ob naturam, etiamsi masculi congressus expers sit. Quod autem hoc a scopo minime aberret, hinc liquet, quod idem hic Paulus, cujus dictum nonnulli subdola interpretatione depravare minime dubitant, de eo loquens, quod Salvator secundum carnem ex sancta Virgine Maria natus sit, his verbis usus est, « factum ex muliere [26]. » Quid ais, Paule? Virginem mulierem appellas? Ita, inquit : mulierem ob naturam appello, virginem autem mente teneo. Mulier enim est virgo, etiamsi alioqui a virili contactu aliena sit. Mulier ob speciem et effictionem : virgo propter integritatem et puritatem.

κήρυκας. Τούτῳ δὲ ἀκολουθῆσαι, οὔτ' ἐπετράπησαν, οὔτε ἠδυνήθησαν, εἰς αὐτὰ, ὡς ἔφην, τρέχοντι τῆς γῆς τὰ πέρατα. Καὶ τί θαυμαστὸν, εἰ τὸ γυναικεῖον ἀπελείφθη γένος, ὁπότε καὶ Βαρνάβας, ὁ τῆς ξυνωρίδος κοινωνὸς, ὀκλάσας πρὸς τὸν ἀπέραντον ἐκεῖνον δρόμον τε καὶ πόνον, παρεχώρησε τῷ Παύλῳ τὰ πρωτεῖα; Ὅτε γοῦν αὐτῷ συνετέτακτο, ταῦτ' ἔγραφεν ὁ Παῦλος, « Μὴ οὐκ ἔχομεν ἐξουσίαν ἀδελφὴν γυναῖκα περιάγειν, ὡς καὶ οἱ λοιποὶ ἀπόστολοι, καὶ οἱ ἀδελφοὶ τοῦ Κυρίου, καὶ Κηφᾶς; Ἢ μόνος ἐγὼ καὶ Βαρνάβας οὐκ ἔχομεν ἐξουσίαν μὴ ἐργάζεσθαι; » Οὐχ ὅτι γυναιξὶ συνῴκουν οἱ τῆς παρθενίας σύμβουλοι, καὶ τῆς σωφροσύνης κήρυκες, καὶ τῶν παρθένων ῥυθμίζοντες τοὺς χορούς. Τίς γὰρ ἂν αὐτῶν ἠνέσχετο περὶ παρθενίας συμβουλευόντων, εἴγε αὐτοὶ ἡδοναῖς ἐγκαλινδούμενοι ἡλίσκοντο; Οὐ τοίνυν τοῦτό φησιν (ἢ γὰρ ἂν εἶπε γαμετὴν γυναῖκα, ὡς οἱ συμβολαιογράφοι ἐν τοῖς προικῴοις γράφουσι, τρέφειν τε καὶ ἀμφιάζειν, ὡς προσήκει γυναικὶ γαμετῇ κατὰ δύναμιν· τὴν μὲν γυναῖκα τάττοντες διὰ τὴν φύσιν, τὴν δὲ γαμετὴν διὰ τὴν συμβίωσιν)· ἀλλ' ἐπειδὴ ἠκολούθουν αὐταῖς, ἐκ τῶν ὑπαρχόντων αὐταῖς τρέφουσαι τοὺς τῆς ἀκτημοσύνης ὑφηγητὰς, ἀδελφὴν μὲν εἶπεν, ἵνα τὴν ἁγνείαν ἐμφανίσῃ, γυναῖκα δὲ, ἵνα τὴν φύσιν δηλώσῃ. Γυνὴ γὰρ καὶ ἡ παρθένος καλεῖται, κἂν ἀνέπαφος ᾖ· γυνὴ διὰ τὸ εἶδος, κἂν ἀκέραιος ᾖ· γυνὴ διὰ τὴν φύσιν, κἂν ἀῤῥενικῆς ὁμιλίας ἀμύητος τυγχάνῃ. Ὅτι δὲ τοῦτο οὐκ ἀπὸ σκοποῦ τυγχάνει, περὶ τοῦ κατὰ σάρκα τετέχθαι τὸν Σωτῆρα ὑπὸ τῆς ἁγίας Παρθένου Μαρίας λέγων αὐτὸς οὗτος ὁ Παῦλος, οὗ τὴν λέξιν παρερμηνεύειν τινὲς κακούργως τολμῶσιν, ἔφη, « Γενόμενον ἐκ γυναικός. » Τί ποιεῖς, ὦ Παῦλε; τὴν Παρθένον γυναῖκα καλεῖς; Ναὶ, φησὶ, γυναῖκα καλῶ διὰ τὴν φύσιν, παρθένον δὲ ἔχω τῇ γνώμῃ. Γυνὴ γὰρ ἡ παρθένος, κἂν ἀνέπαφος ᾖ. Γυνὴ διὰ τὸ σχῆμα καὶ τὴν πλάσιν· παρθένος διὰ τὸ ἀκέραιον καὶ τὸ καθαρόν.

CLXXVII. — PETRO LECTORI.

Etsi medicinæ officina communis est, vir optime, D communiaque omnibus adjumenta proposita sunt : non tamen propterea curatio ipsa communis est : quandoquidem pro utentium voluntate atque animi instituto efficitur. Etenim qui auxilium adhibuit, ac vulneri imposuit, ex medicamento fructum capit. Qui autem id facere neglexit, majorem gravioremque morbum reddit, ac miserrimo fine vitam claudit. Quocirca ne ad curationem animis discruciemur : verum amarulentas hujusmodi medicinæ artes feramus. Jucundissimum enim fructum postea res hæc paritura est. Necesse quippe est, peccata ea, quæ per socordiam contracta sunt, laborum ope delere atque exstinguere, cladesque acceptas periculis multis sarcire.

ΡΟΖ'. — ΠΕΤΡῼ ΑΝΑΓΝΩΣΤῌ.

Εἰ καὶ τὸ ἰατρεῖον, ὦ βέλτιστε, κοινὸν, καὶ τὰ βοηθήματα πᾶσι πρόκειται, διὰ τοῦθ' ἡ θεραπεία οὐκ ἔστι κοινὴ, ἐπειδὴ παρὰ τὴν τῶν χρωμένων προαίρεσιν γίνεται. Ὁ μὲν γὰρ μεταχειρισάμενος τὸ βοήθημα, καὶ ἐπιθεὶς τῷ τραύματι, ἀπώνατο τῆς ἰατρείας. Ὁ δ' ἀμελήσας, μεῖζον καὶ ἀργαλεώτερον εἰργάσατο τὸ νόσημα, καὶ εἰς τὴν ἐλεεινοτάτην κατέστρεψε τελευτήν. Μὴ τοίνυν ἀλγῶμεν θεραπευόμενοι, ἀλλὰ φέρωμεν τὰς πικρὰς τῆς τοιαύτης ἰατρείας μεθόδους. Ἥδιστον μὲν γὰρ ὕστερον ἀποτίκτει τὸν καρπόν. Ἀνάγκη γὰρ τὰ διὰ ῥαθυμίαν πταισθέντα πόνοις ἀφανίσαι, καὶ τὰς ἥττας κινδύνοις πολλοῖς ἀναμαχέσασθαι.

[26] Galat. IV, 4.

Digitized by Google

ΡΟΗ'. — ΘΩΜΑ ΜΟΝΑΖΟΝΤΙ.

Ἐχρῆν μὲν τὴν σὴν ὁσιότητα, ὦ μισοπονηρίας ἱερὸν τέμενος, σιωπῇ παραδοῦναι τὰ λήθης ἄξια καὶ βαθείας σιγῆς. Ἐπειδὴ δὲ τὴν τοῦ κατὰ ἀντίφρασιν Εὐσεβίου καλουμένου ἀσέβειαν δεινῶς ἐξετραγῴδησας, ὅτι δὴ Χαιρήμονα, τὸν παρὰ τοῦ ἀοιδίμου Ἀμμωνίου τοῦ ὄντως ἐπισκόπου ἐπὶ τέτρασι μεγίστοις ἐγκλήμασι καθαιρεθέντα, καὶ ὡς ἀναγνώστην ἐδέξατο, καὶ διάκονον, οὐκ οἶδ' ὅπως, ἐχειροτόνησε, τὸν καὶ κατὰ τοὺς ἔξωθεν νόμους δοῦναι δίκην δίκαιον ὄντα, τοῦτον εἰς τὴν τῶν ἱερῶν μυστηρίων ὑπηρεσίαν ἀδεῶς χωρῆσαι παρασκευάσας· διὰ τοῦτο οὐδὲ μέμψασθαι, καίτοι βουλόμενος, δίκαιον ᾠήθην. Εἰ γὰρ καὶ, ὡς ἔφης, ἕκαστον τῶν ἐγκλημάτων οὕτω μέγιστον ἦν, ὡς μὴ μόνον καθαιρέσεως ἄξιον εἶναι τὸν δράσαντα, ἀλλὰ καὶ τὴν διὰ ξίφους ὑπομεῖναι τιμωρίαν· ἀλλ' οὖν γε ἀῤῥητον ὂν ἄμεινον ἂν ἦν. Ῥηθῆναι γὰρ ὀφείλει, ὅσα ἀξιάκουστα, καὶ εἰς δικαιοσύνην καὶ σωφροσύνην τοὺς ἀκροωμένους ἀλείφει.

CLXXVIII. — THOMÆ MONACHO.

Sanctitatem quidem tuam, improborum odii sacrosanctum delubrum, ea, quæ oblivione, atque alto silentio digna sunt, silentio mandare oportebat. Quoniam autem **328** Eusebii (sic enim per antiphrasim appellatur) impietatem gravem in modum exaggerasti, quod Chæremonem, a claro viro ac vere episcopo Ammonio ob quatuor maxima crimina de gradu dejectum, et ut lectorem exceperit, et nescio qua de causa ductus diaconum creaverit : id scilicet molitus, ut qui etiam juxta externarum legum decreta, supplicio dignus erat, ad sacrosanctorum mysteriorum ministerium intrepide se conferret : ob eam causam, ne cupiens quidem, conquerendum esse duxi. Quamvis enim, ut abs te dictum est, quodvis horum criminum usque adeo grave atque atrox sit, ut qui hoc admiserit, non modo exauctorari, sed etiam capite mulari mereatur : tamen id tacitum tenere præstitisset. Nam ea demum dici debent, quæ auditu digna sunt, atque ad justitiæ et castitatis studium auditores acuunt, ac tanquam inungunt.

ΡΟΘ'. — ΠΟΙΜΕΝΙΩ ΠΡΕΣΒΥΤΕΡΩ.

(14) Εἰς τὴν τῆς ταπεινοφροσύνης κορυφὴν ἀναβησόμεθα (οὐ γὰρ ἂν κατάβασιν, ἀλλ' ἀνάβασιν ταύτην ἔγωγε ὁρισαίμην), εἰ τὸν ὀλέθριον τῆς ὑπερηφανίας ὄγκον, καὶ τὴν εἰς ᾅδου καταβιβάζουσαν τῆς ἀλαζονείας φλεγμονὴν σβέσοιμεν, καὶ διὰ πάντων ἀσκοῖμεν τὸ μέτριον, καὶ μηδὲν παρίδωμεν, ὡς οὐ παρὰ τοῦτο βλαβησόμενοι (15). Τοῖς γὰρ πραττομένοις ἀκολουθεῖν εἴωθεν ἡ ψυχὴ, καὶ πρὸς ἃ ἐπιτηδείως, τυποῦσθαί τε καὶ σχηματίζεσθαι πέφυκεν. Οὐκοῦν ἔστω ἡμῖν καὶ σχῆμα σεμνὸν, καὶ βλέμμα ἥμερον, καὶ ὀφρὺς κατεσταλμένη, καὶ βάδισμα μὴ σεσοβημένον, καὶ ἱμάτιον χρειῶδες, καὶ καθέδρα ταπεινὴ, καὶ τροφὴ λιτὴ, καὶ στρωμνὴ μὴ τῆς χρείας κρείττων, καὶ ἔπιπλα πρὸς εὐτέλειαν ἠσκημένα, καὶ οἶκος πρέπων Χριστιανοῖς, καὶ μὴν καὶ λόγος καὶ φωνὴ, καὶ ἡ πρὸς τοὺς πέλας ἔντευξις πρὸς μετριότητα μᾶλλον, ἢ πρὸς φλεγμονὴν βλεπέτω. Οὕτω γὰρ διὰ πάντων ἀσκοῦντες τὸ μέτριον εἰς τὴν οὐράνιον κορυφὴν ἀναβησόμεθα.

CLXXIX. — PŒMENIO PRESBYTERO.

Ad modestiæ submissionisque animi fastigium hac demum ratione conscendemus (neque enim eum ego descensum sed ascensum esse statuerim), si pestiferum et exitialem superbiæ fastum, atque ad orcum detrahentem arrogantiæ tumorem exstinguamus, et in omnibus rebus modestiam colamus, nec quidquam, tanquam nullum hinc detrimentum accepturi, contemnamus. Etenim ea, quæ fiunt, anima sequi consuevit, atque naturæ vi ad ea quæ studio habet, sese informat et effingit. Quamobrem sit nobis et gravis habitus, et mitis obtutus, et demissum supercilium, et minime superbus incessus, et necessarius vestitus, et humilis cathedra, et frugalis ac plebeius victus, et stragulum nihilo præstantius quam necesse sit, et supellex ad tenuitatem ac vilitatem comparata, et domus Christianis digna, itemque et sermo, et vox, et congressus cum aliis ad modestiam potius quam ad tumorem et arrogantiam spectet. Sic enim in omnibus rebus modestiam colentes ad cœlestem arcem ascendemus.

ΡΠ'. ΑΛΥΠΙΩ.

Εἰς τὸ εἰρημένον, « Τοῦ ἀναγγεῖλαι τῷ Ἀβραὰμ, ὅτι ἡ Σάῤῥα θηλάζει.

Ἐπειδὴ ἔφης, Δι' ἣν αἰτίαν ἡ Σάῤῥα ὀψίγονος γεγενημένη, καὶ παρόντος τοῦ Ἀβραὰμ τεκοῦσα, ἔφη· « Τίς ἀγγελεῖ Ἀβραὰμ, ὅτι Σάῤῥα θηλάζει παιδίον; » ἐχρῆν γὰρ εἰπεῖν, *ὅτι τέτοκε*; φημὶ, ὅτι τὸ μὲν, « Τίς ἀναγγελεῖ Ἀβραὰμ, » τοιοῦτόν ἐστιν· Ὦ Ἀβραὰμ, τίς ἀναγγελεῖ εἰς τὴν Περσίδα ὅτι Σάῤῥα

CLXXX. — ALYPIO.

In illud : « Ut nuntiet Abraham, quod Sarra lactet [37]. »

Quoniam a me petiisti quam ob causam Sarra, quæ ætate admodum processerat, dixit : « Quis nuntiabit Abraham, quod Sarra lactet filium ?» dicendum enim fuisse, *quod pepererit* : hoc respondeo, istud, « Quis nuntiabit Abraham, » perinde esse ac si diceret, O Abraham, quis in Persidem

[37] Gen. xxi, 7.

VARIÆ LECTIONES ET NOTÆ.

(14) Confer Basil. M. homil. *De humilitate*, et Stob. serm. 42. Augustin. serm. 215 *De tempore*, et Venerabilem Bedam homil. *De Christo duodenni.* Ritt.

(15) Ambo codd. Vat. 649 et Alt., βλαβησόμενος. Possin.

Digitized by Google

nuntiabit quod Sarra sterilis et anus lactet? Non enim habetur, Quis nuntiabit ipsi Abraham, sed, Abranam. Quod si quis nimis contritum ac violentum hoc esse existimet, fortasse ad aliquem, qui eodem quo Abraham nomine appellaretur, hæc verba habita sunt. Ac propterea ne articulum quidem adjunxit. **329** An autem eo quoque tempore abesset patriarcha, dicere minime habeo. Illud autem potius dixerim, quod si quidam de eo hæc verba habita esse existimant, etiam de præsentibus usurpantur. Quo in genere illud est, Quis annuntiabit Domino meo? ipse Dominus, ipse exaudiet. Nam ita loqui, Quis lactis alimentum, quo puer utitur, adulto exponet? plus superfluitatis, quam probabilitatis habet. Ac de his quidem satis. Ob id autem non dixit, *peperit*, ne abortivus fetus esse existimetur, verum, *lactat*. Siquidem lactis fontes partum confirmant. Veri etenim partus argumentum certissimum est lactis profluvium.

A ἡ στεῖρα καὶ γραῦς θηλάζει; Οὐ γὰρ κεῖται, Τίς ἀναγγελεῖ τῷ Ἀβραάμ, ἀλλά, Ἀβραάμ. Εἰ δὲ βέλτιόν τις ἡγεῖται, ἴσως ὁμωνύμῳ τινὶ τοῦ Ἀβραάμ. Διὸ οὐδὲ τὸ ἄρθρον προσέθηκεν. Εἰ δὲ καὶ τότε ἀπὼν ἦν ὁ πατριάρχης, οὐκ ἔχω λέγειν. Ἐκεῖνο δὲ μᾶλλον εἰποιμι. ὅτι εἰ περὶ αὐτοῦ νομίζουσί τινες εἰρῆσθαι, καὶ περὶ παρόντων λέγεται, ὡς καὶ τό· Τίς ἀναγγελεῖ τῷ Κυρίῳ μου; Αὐτὸς Κύριος, αὐτὸς εἰσακούσει. Τὸ γὰρ φάναι· Τίς ἑρμηνεύσει τῷ τελείῳ τὴν τοῦ ἀτελοῦς γαλακτοτροφίαν; πλέον τοῦ πιθανοῦ τὸ περίεργον ἔχει. Καὶ περὶ μὲν τούτων ἄλις. Διὰ τοῦτο δ' οὐκ εἶπε, *τέτοκεν*, ἵνα μὴ ὑποβολιμαῖον (16) εἶναι νομισθῇ, ἀλλὰ, *θηλάζει*. Αἱ γὰρ γάλακτος πηγαὶ τὸν τόκον ἐγγυῶνται. Τοῦ γὰρ γνησίου τόκου ἡ τοῦ γάλακτος ἐπιῤῥοὴ ἀπόδειξις ἐναργεστάτη (17).

CLXXXI. — EUTONIO DIACONO.

Eos qui acceptas contumelias philosophico ac patienti animo ferre minime volunt, hæc duo ad patientiam hortari debent : alterum, quod eos, qui contumeliam inferunt, nihil æque discruciat, ut eorum, qui contumelia afficiuntur, patientia ; alterum, quod nulla ratione ipsos æque ulcisci queamus, quam virtutem colendo. Quod si mihi minus fidei habendum putas : quidnam de hac re veterum quidam pronuntiarit, audi. Rogatus enim a quodam, qua ratione hostem ulciscereturl, respondit, « Si ipse probum atque honestum virum te præbueris. » Cum igitur, qui virtutem et patientiam colit, mortiferas hostibus plagas infligat, quin nos hæc arma et præsidia plurimi æstimamus? Quod si quis etiam iis qui livore feriuntur veniam tribuat, ac pro ipsis, ut ex hujusmodi furore emergant, vota faciat, atque ita sit comparatus, ut non modo a vindictæ studio abhorreat, sed eorum etiam, quos hoc vitium subegit, miseria commoveatur, hic demum vere est, qui sincere philosophari novit.

ΡΠΑ'. — ΕΥΤΟΝΙΩ ΔΙΑΚΟΝΩ.

B Τοὺς φιλοσοφεῖν ἐπὶ τῷ ὑβρίζεσθαι μὴ βουλομένους, δύο ταῦτα προτρέψαι ὀφείλει εἰς τὸ φιλοσοφεῖν· τό τε μηδὲν οὕτω λυπεῖν τοὺς ὑβριστὰς, ὡς τὴν τῶν ὑβριζομένων ἀνεξικακίαν· τό τε οὕτως ἀμύνασθαι αὐτοὺς μὴ δύνασθαι, ὡς ἀρετὴν ἀσκοῦντας. Εἰ δὲ ἐμοὶ ἀπιστεῖς, ἄκουσον τί τῶν παλαιῶν τις περὶ τούτου ἀπεφήνατο. Ἐρωτηθεὶς γὰρ, Πῶς ἂν ἀμυναίμην τὸν ἐχθρόν; ἔφη· « Αὐτὸς καλὸς κἀγαθὸς γινόμενος. » Εἰ τοίνυν ὁ ἀρετὴν καὶ ἀνεξικακίαν ἀσκῶν καιρίας τοῖς ἐχθροῖς δίδωσι πληγὰς, δι' ἣν αἰτίαν μὴ ταῦτα τὰ ἀμυντήρια περὶ πολλοῦ ποιούμεθα; Εἰ δέ τις καὶ συγγνώμην τοῖς ὑπὸ φθόνου βαλλομένοις νέμοι, καὶ εὔξοιτο αὐτοὺς ἀνενεγκεῖν ἐκ τῆς τοιαύτης C μανίας, καὶ μὴ μόνον ἀμύνασθαι μὴ ἐθέλοι, ἀλλὰ καὶ συμπάσχοι τοῖς ὑπὸ τῆς κακίας χειρωθεῖσιν, οὗτος τῷ ὄντι ἐστὶν ὁ εἰλικρινῶς φιλοσοφῆσαι ἐπιστάμενος.

CLXXXII. — LAMPETIO EPISCOPO.

Quomodo divina virtus in infirmitate perficitur[18].

Quonam pacto virtus in infirmitate perficeretur, paucis exponam. Quandoquidem enim apostoli cum flagris cæderentur, eos, a quibus cædebantur, superabant, et cum vexarentur et exagitarentur, vexatores suos vincebant, et cum mortem oppeterent, vita præditos in fugam vertebant, ob eam causam Dominus his verbis usus est. Nova enim erat hæc D vincendi ratio, ut per contraria victoriam adipiscerentur, nec unquam succumberent, verum, perinde ac si certaminis exitus in ipsorum arbitrio ac potestate situs esset, ita ad certamina progrederentur.

ΡΠΒ'. — ΛΑΜΠΕΤΙΩ ΕΠΙΣΚΟΠΩ.

Πῶς ἡ θεία δύναμις ἐν ἀσθενείᾳ τελειοῦται (18).

Ὅπως ἡ δύναμις ἐν ἀσθενείᾳ ἐτελειοῦτο, συντόμως φράσω· ἐπειδὴ γὰρ μαστιζόμενοι οἱ ἀπόστολοι τῶν μαστιζόντων περιεγίνοντο, καὶ ἐλαυνόμενοι τῶν διωκόντων ἐκράτουν, καὶ ἀποθνήσκοντες τοὺς ζῶντας ἐτρέποντο, διὰ τοῦτο τοῦτ' ἔφη. Καινὸς γὰρ ἦν τῆς νίκης ὁ τρόπος, τὸ διὰ τῶν ἐναντίων κεκρατηκέναι, καὶ ἡττᾶσθαι μὲν μηδεπώποτε· ὡς δ' αὐτοὺς ὄντας κυρίους τοῦ τέλους, οὕτως ἐπὶ τοὺς ἀγῶνας ὡρμηκέναι [τούτους]. Καὶ ἵνα τοῦτο μάθῃς σαφέστερον, θέα τοὺς ἀλιτηρίους Ἰουδαίους, ὥσπερ ἐν δικτύοις αὐτοὺς ἔχοντας, καὶ διαπορουῦντας, καὶ φράζοντας.

[18] II Cor. XII, 9.

VARIÆ LECTIONES ET NOTÆ.

(16) Ὑποβολιμαῖον. Bill., *abortivus fetus*. Malim, *suppositivus*. Ἔκτρωμα est fetus abortivus. Rittr.

(17) Vide Hippocratem lib. v, aphorismo 39. Plinius lib. VII *Hist. natur.*, c. 15, et lib. XXVIII, c. 7; Clement. Alexandr. lib. I *Pædag.*, cap. 6. Sic et Varro eruditiss. Roman. apud Nonium Marcell. Rittr.

(18) In hunc locum Joan. Chrysostomus peculiarem duxit homiliam. Vide et Photium patriarcham in *Biblioth.*, pag. 501, et Salvianum *De gubernat. Dei*, passim. Id.

Digitized by Google

« Τί ποιήσομεν τοῖς ἀνθρώποις τούτοις; » Τὸ γὰρ δὴ θαυμαστὸν καὶ παράδοξον, καὶ πᾶσαν ἔκπληξιν ὑπερβαῖνον, τοῦτο ἦν, ὅτι ἔχοντες αὐτοὺς, καὶ δεσμοῦντες, καὶ τύπτοντες ἐν ἀμηχανίᾳ ἦσαν, καὶ ἡττημένων ἀφίεσαν φωνὰς, διὰ τούτων ἡττώμενοι, δι' ὧν ἐδόκουν κρατεῖν. Ἅπερ γὰρ εἰς ἀδοξίαν αὐτῶν ἐμηχανῶντο, ταῦτα ὑπὲρ τῆς εὐκλείας αὐτῶν ἐθεῶντο γινόμενα. Οὕτως οὖν ἡ δύναμις τοῦ Θεοῦ ἐν τῇ ἀσθενείᾳ τῶν ἀποστόλων πλέον διέλαμπεν. Οὐ γὰρ πράγματα ὑπομένοντες, καὶ ἀντιστρατευόμενοι, οὐδ' ὅπλα χαλκεύοντες, καὶ στρατιώτας συλλέγοντες, ἀλλὰ τὴν γνώμην παρασκευάζοντες εἰς τὸ κακῶς παθεῖν μόνον, οὕτω τὰ τρόπαια πανταχοῦ ἤγειρον.

A Atque, ut hoc clarius perspicias, animadverte quemadmodum nefarii illi ac pestiferi Judæi eos tanquam irretitos tenerent, et tamen summa consilii inopia premerentur, ac dicerent, « Quid faciemus his hominibus[39]? » Nam hoc demum erat, quod admirationem afferebat, atque ab hominum sensibus alienum erat, omnemque stuporem excedebat, quod eos tenerent, ac vinculis coercerent, verberibusque afficerent, tamen in summa animi anxietate versabantur, easque, quæ victis conveniebant, voces emittebant, 330 per eas videlicet res victi ac subacti, quarum ope victoriam sibi opinionis errore fingebant. Nam quæ ad eorum dedecus et infamiam moliebantur, hæc ad eorum gloriam redundare conspiciebant. Vere itaque Dei virtus in apostolorum infirmitate uberius elucebat. Non enim negotia subeuntes, atque aciem contra instruentes, nec arma fabricantes ac militares copias contrahentes, verum animum duntaxat ad perferendos dolores præparantes, hac ratione tropæa ubique statuebant.

ΡΠΓ'. — ΠΑΥΛΩ.

Ὅτι τοῦ ἀργεῖν καὶ ῥᾳθυμεῖν ἄμεινον τὸ κἂν τὰ ἑτέροις πονηθέντα ἐπὶ στόματος φέρειν.

Ἔοικας, ὥς φασί τινες, ἀλλοτρίοις ἐναγλαΐζεσθαι πόνοις, τοὺς ἑτέρων ἱδρῶτας καρπούμενος. Πλὴν ἀλλ' ἐκεῖνοι μὲν αἰτιῶνται, ἐγὼ δὲ ἡρέμα ἀποδέχομαι· τοῦ γὰρ ἀργεῖν, καὶ ῥᾳθυμεῖν, καὶ φλυαρεῖν, πολλῷ ἄμεινον τὸ κἂν τὰ τῶν ἄλλων συγγράμματα ἐπὶ στόματος ἔχειν.

CLXXXIII. — PAULO.

Melius esse ea quæ aliorum laboribus parta sunt in ore ferre, quam desidiam sectari.

Videris, ut nonnulli aiunt, alienis laboribus teipsum ornare, atque aliorum sudoribus frui. Cæterum illi quidem hoc nomine te accusant : ego vero nonnihil laudo. Multo enim satius est etiam aliorum scripta in ore habere, quam cessare desidiaque torpere ac nugari.

ΡΠΔ'. — ΕΥΛΟΓΙΩ.

Εἰς τὸ γεγραμμένον, « Τίς ἐστιν υἱὸς, ὃν οὐ παιδεύει πατήρ; » καὶ ὅτι δραστικώτερα τῶν ἀποφαντικῶν τὰ κατ' ἐρώτησιν προσαγόμενα.

Ὁ θεσπέσιος Παῦλος τὸ ἀποφαίνεσθαι πολλάκις παρεὶς, κατ' ἐρώτησιν προάγει, τὴν ἀπόδειξιν ἡμερωτέραν καὶ δραστικωτέραν ταύτῃ γίνεσθαι οἰόμενος. Ἔφασκε γὰρ τοῖς ἐν πειρασμοῖς οὖσι καὶ δυσχεραίνουσι· « Τίς γὰρ υἱὸς, ὃν οὐ παιδεύει πατήρ; » ἵνα ἐμφαντικωτέραν τῇ ἐρωτήσει τὴν ἀπόδειξιν ἀποφαίνῃ (19). Οὕτω καὶ ἀλλαχοῦ· « Πρέπον ἐστὶ γυναῖκα ἀκατακάλυπτον τῷ Θεῷ προσεύχεσθαι; » τῇ ἐρωτήσει τὴν ἀτοπίαν σαφεστέραν δεῖξαι πειρώμενος. Ταῖς μὲν γὰρ ἀποφάσεσι πολλοὶ καὶ ἀντιλέγειν τολμῶσι· τὰ δὲ κατὰ ἐπερώτησιν προσαγόμενα, καὶ πείθει καὶ ἐπιστομίζει, καὶ πραότητος δόξαν τῷ λέγοντι περιτίθησι.

CLXXXIV. — EULOGIO.

In illud, « Quis est filius, quem non corripit pater[40]? » Et quod efficaciora sunt quæ per interrogationem, quam quæ enuntiative proferuntur.

Divinus Paulus omissa persæpe enuntiatione percontationem adhibet, quod hac ratione suaviorem C ac magis ellicacem demonstrationem se redditurum arbitretur. Aiebat enim ad eos, qui in tentationibus versabantur, easque molesto animo ferebant : « Quis enim filius, quem non corripit pater? » ut per interrogationem plus ponderis ac significationis demonstrationi afferret. Atque item alio loco, « Decet mulierem detecto capite Deum orare[41]? » hac scilicet interrogatione id agens, ut clariorem et apertiorem hujusmodi absurditatem redderet. Siquidem enuntiationes permulti quoque oppugnare ac refutare aggrediuntur : quæ autem per interrogationem proferuntur, et movent, et silentium adversariis indicunt : ac præterea lenitatis et facilitatis opinionem dicenti conciliant.

ΡΠΕ'. — ΘΕΟΔΟΣΙΩ ΣΧΟΛΑΣΤΙΚΩ.

Ἐγὼ τὰ ἐπιτηδεύματα, ὧν οὐκ ἔστι τὸ τέλος βιωφελὲς, οὐδὲ τέχνας εἶναι ὁρίζομαι, ἀλλὰ ματαιοτεχνίας ἢ κακοτεχνίας. Τεχνικὸν γάρ ἐστι τὸ πρὸς τὸ χρήσιμον καὶ κοινωφελὲς βλέπειν.

CLXXXV. — THEODOSIO SCHOLASTICO.

D Ego studia ea, quorum finis vitæ humanæ nihil commodi affert, nec artes quidem esse statuo, verum ματαιοτεχνίας καὶ κακοτεχνίας, hoc est, inanes et improbas artes. Artificiosum enim hoc demum est, id sibi propositum habere, quod hominum vitæ commodum est atque utile.

[39] Act. IV, 16. [40] Hebr. XII, 7. [41] I Cor. XI, 13.

VARIÆ LECTIONES ET NOTÆ.

(19) Ambo codd. Vatic. 649 et Alt., ἀποφάνῃ. Et vers. antepenult. προαγόμενα scribunt, quod in edito est προσαγόμενα. Possin.

Digitized by Google

CLXXXVI. — THEONI EPISCOPO.

In illud, « Terrena sapientes[43]. »

Apostolus, vir sapientissime, cum eos, qui terrena sapiunt, objurgasset, his verbis usus est : « Nostra autem conversatio in cœlis est[43], » iis videlicet, qui prava et improba faciunt, eos qui ingentia et præclara opera edunt, opponens. Illi enim viles et abjecti sunt : hi autem animi magnitudine præditi, atque insignis cujusdam proceritatis. Rursum, ut eos qui adversus fratres **331** insolenter se efferunt, reprimeret, ad hunc modum loquebatur : « Non alta sapientes, sed humilibus consentientes[43a]. » Non quod eos res supra mundum positas animo agitare prohiberet, sed ut superbiam ac jactantiam exscinderet. Aliud enim μεγαλοφροσύνη, hoc est animi magnitudo, aliud superbia, hoc est, arrogantia designat. Siquidem illa omnia, quæ accidunt, infra suam fortitudinem posita esse ducit : hæc autem omnes homines vilitate sua inferiores esse censet. Illa res mundo sublimiores ante oculos sibi proponit : hæc terrenas somniat. Illa divinam et præclaram gloriam expetit : hæc intereuntis cupiditate flagrat.

CLXXXVII. — EIDEM.

Φρόνημα et φρόνησις haud eamdem significationem habent. Illud enim elationem, hæc prudentiam significat. Illud superbiam, hæc temperantiam. Illud adversus alios impetum facere : hæc nihil eorum, quæ decent, prætermittere. Illud denique eos, qui virtutum ornamentis præditi sunt, ornatu spoliat : hæc autem inferiores etiam exornat. Ac propterea illud odio, hæc laudi atque admirationi est. Illud omnium voce laceratur : hæc prædicatione effertur. Quæ cum ita sint, ut φρόνησιν, hoc est prudentiam, excolas, φρόνημα autem, id est elationem atque impetum adversus proximos, radicitus evellas, enitere.

CLXXXVIII. — EIDEM.

Equidem ipse humilitatem ab animo magno et excelso, superbiam autem a vili et abjecto proficisci existimo. Atque hoc confirmant Deo charus Abraham, et Pharisæus. Etenim ille divino colloquio fruens, terram sese ac cinerem appellabat : hic autem etiam a nemine commotus efferebatur, animumque arrogantem gerebat, ac seipsum universo orbi anteferre conabatur.

CLXXXIX. — ZOSIMO PRESBYTERO.

Eum, qui docere aggreditur, facere oportet, atque ita loqui. Qui autem non facit, eum ne verba quidem facere convenit. Prior enim inter summos collocabitur : posterior autem non modo pœnas illic dabit, sed etiam ridiculum hic sese præbebit. Cavillorum enim ac sannarum materia auditoribus erit.

ΡΠϚ'. — ΘΕΩΝΙ ΕΠΙΣΚΟΠΩ.

Εἰς τὸ εἰρημένον, «Οἱ τὰ ἐπίγεια φρονοῦντες.»

Ὁ Ἀπόστολος, ὦ σοφώτατε, τοὺς μὲν τὰ ἐπίγεια φρονοῦντας αἰτιασάμενος, ἔφη· « Ἡμῶν δὲ τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει·» τοὺς μικρὰ καὶ φαῦλα πράσσοντας τοῖς μεγάλα καὶ νεανικὰ ἀντιτάττων. Οἱ μὲν γὰρ εὐτελεῖς εἰσι καὶ ταπεινοί· οἱ δὲ μεγαλοφυεῖς καὶ οὐρανομήκεις. Τοὺς δὲ κατὰ τῶν ἀδελφῶν φρονοῦντας καταστέλλων ἔλεγε· «Μὴ τὰ ὑψηλὰ φρονοῦντες, ἀλλὰ τοῖς ταπεινοῖς συναπαγόμενοι·» οὐ τὰ ὑπερκόσμια αὐτοὺς φαντάζεσθαι κωλύων, ἀλλὰ τὴν ὑπεροψίαν καὶ τὴν μεγαλαυχίαν ἐκκόπτων. Ἄλλο γὰρ μεγαλοφροσύνη, τουτέστι μεγαλοψυχία, καὶ ἄλλο ὑπερηφανία, τουτέστιν, ἀλαζονεία. Ἡ μὲν γὰρ πάντα δεύτερα ἡγεῖται τὰ συμβαίνοντα τῆς οἰκείας ἀνδρείας· ἡ δὲ πάντας ἀνθρώπους δευτέρους τῆς οἰκείας εὐτελείας. Ἡ μὲν τὰ ὑπερκόσμια φαντάζεται, ἡ δὲ τὰ ἐπίγεια ὀνειροπολεῖ. Ἡ μὲν τὸ θεῖον καὶ ἀοίδιμον κλέος ποθεῖ, ἡ δὲ τῆς σβεννυμένης δόξης ἐρᾷ.

ΡΠΖ'. — ΤΩ ΑΥΤΩ.

Οὐ ταυτὸν φρόνημα καὶ φρόνησις. Τὸ μὲν γὰρ ἔπαρμα δηλοῖ, ἡ δὲ σύνεσιν· τὸ μὲν ὑπερηφανίαν, ἡ δὲ σωφροσύνην· τὸ μὲν τὸ κατὰ τῶν πέλας ἐπιφύεσθαι, ἡ δὲ τὸ μηδὲν τῶν πρεπόντων παροράν· καὶ τὸ μὲν τοὺς ὑπὸ ἀρετῆς κεκοσμημένους ἀποκοσμεῖ, ἡ δὲ καὶ τοὺς ἥττονας κοσμεῖ. Διὸ καὶ τὸ μὲν μισεῖται, ἡ δὲ θαυμάζεται· τὸ μὲν ἀποκηρύττεται, ἡ δὲ ἀνακηρύττεται. Τὴν φρόνησιν τοίνυν, τουτέστι τὴν σύνεσιν γεωργῶν, τὸ φρόνημα, τουτέστι (20) τὸ κατὰ τῶν πλησίον ἐπιφύεσθαι, αὐτόπρεμνον ἀνασπᾶσαι πειρῶ.

ΡΠΗ'. — ΤΩ ΑΥΤΩ.

Ἐγὼ μὲν ἀπὸ μεγαλοφυοῦς καὶ οὐρανομήκους ψυχῆς τίκτεσθαι ἡγοῦμαι τὴν ταπεινοφροσύνην, ἀπὸ δὲ εὐτελοῦς καὶ φαυλοτάτης τὴν ὑπερηφανίαν. Καὶ τοῦτ' ἐγγυῶνται ὅ τε θεοφιλὴς Ἀβραὰμ καὶ ὁ Φαρισαῖος. Ὁ μὲν γὰρ θείας ἀπολαύων ὁμιλίας, γῆν καὶ σποδὸν ἑαυτὸν ἐκάλει· ὁ δὲ μηδενὸς παρακινοῦντος, ἐπῄρετο καὶ μέγα ἐφρόνει, καὶ τῆς οἰκουμένης ἁπάσης ἑαυτὸν προθεῖναι ἐπεχείρει.

ΡΠΘ'. — ΖΩΣΙΜΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Τὸν μὲν διδάσκειν ἐπιχειροῦντα, πράττειν χρὴ, καὶ οὕτω φράζειν· τὸν δὲ μὴ πράττοντα, οὐδὲ φράζειν δίκαιον. Ὁ μὲν γὰρ πρότερος εἰς τοὺς κορυφαιοτάτους τετάξεται· ὁ δὲ δεύτερος οὐ μόνον δίκας ἐκεῖ δώσει, ἀλλὰ κἀνταῦθα γέλωτα ὀφλήσει. Κωμῳδίας γὰρ ὑπόθεσις τοῖς ἀκροαταῖς γενήσεται. Χρὴ τοιγαρ-

[43] Philipp. III, 19. [43] ibid. 20. [43a] Rom. XII, 16.

VARIÆ LECTIONES ET NOTÆ.

(20) Ed. Paris., τοίνυν, τουτέστι τὸ κατὰ τῶν, etc., omissis intermediis. Locum restituimus ex codd. Vatic. 649 et Alt. ap. Possinum. EDIT. PATR.

Digitized by Google

οὖν ἢ πράττοντα λέγειν, ἢ μὴ πράττοντα ἡσυχίαν ἄγειν, καὶ τὴν γλῶτταν ταῖς τῆς εὐγνωμοσύνης ἡνίαις ἄγχειν, ταῖς καὶ μετάγνωσιν ὠδινούσαις.

A Quamobrem aut facientem loqui oportet, aut non facientem silere, ac linguam probitatis rectique judicii habenis, quæ resipiscentiam parturiunt, coercere.

ΡΛ'. — ΖΗΝΩΝΙ ΠΡΕΣΒΥΤΕΡΩ.

Τὸ μετὰ φρονήσεως ἠρεμαῖόν τε καὶ γαληνὸν τοῦ τρόπου, βεβηκυίας καὶ σταθερᾶς γνώμης μέγιστόν ἐστι παρ' ἐμοὶ κριτῇ τεκμήριον.

CXC. — ZENONI PRESBYTERO.

Morum cum prudentia conjuncta placiditas et tranquillitas, gravis atque constantis animi maximum, meo quidem judicio, argumentum est.

ΡΛΑ'. — ΠΑΥΛΩ.

Κατὰ τῶν λεγόντων, εἶναι γένεσιν, ἤτοι εἱμαρμένην, ἢ τὴν λεγομένην τύχην.

Οἱ πάντα ὁμοῦ χρήματα μιγνύντες, καὶ πανσπρίαν, τὸ τοῦ λόγου, ποιοῦντες (21), οὗ μοι δοκοῦσιν ὑγιαίνειν τὸν νοῦν. Εἰ γὰρ Θεὸς, οὐ γένεσις. Εἰ δὲ γένεσις, οὐ φημι τὸ ἐναντίον. Τραπείη γὰρ τὸ βλάσφημον εἰς τὰς τῶν τοῦτο παρασκευαζόντων λέγεσθαι κορυφάς. Εἰ δὲ οὐδεὶς τοῦτο φαίη, ἀναμφισβήτητός ἐστι τῆς Ἐκκλησίας ὁ στέφανος· ἤρκει μὲν οὖν αὐτῇ ἡ νίκη, ὡς οἶμαι, εἰ καὶ μόνη ἐτύγχανε. Νυνὶ δὲ καὶ ἄλλαις πολλαῖς ἐπερειδόμεθα. Εἰ γένεσις, οὐ νόμος· εἰ δὲ νόμος, οὐ γένεσις (22). Εἰ γένεσις, οὐ παραίνεσις· εἰ δὲ παραίνεσις, οὐ γένεσις. Εἰ γένεσις, οὐ κρίσις· εἰ δὲ κρίσις, οὐ γένεσις. Εἰ γένεσις, οὐκ εὐχή· εἰ δὲ εὐχή, οὐ γένεσις. Εἰ γένεσις, οὐ μελέται· εἰ δὲ μελέται, οὐ γένεσις. Εἰ γένεσις, οὐ φιλοσοφία· εἰ δὲ φιλοσοφία, οὐ γένεσις. Εἰ γένεσις, οὐκ ἰατρική· εἰ δὲ ἰατρική, οὐ γένεσις. Εἰ γένεσις, οὐ γεωργία· εἰ δὲ γεωργία, οὐ γένεσις. Καὶ πολλὰ ἔχων εἰπεῖν, νυνὶ παραλείψω· αὖθις δὲ συλλογίσομαι. Εἰ μὲν οὖν ἑνὸς ἦν τοῦ πράγματος πρὸς ἓν ὁ ἀγών, ἴσως ἀμφισβητήσιμος ἂν ἦν ὁ στέφανος. Εἰ δ' ἑνὸς πρὸς πολλὰ καὶ ποικίλα ἡ μάχη, ἀναμφισβήτητος, ὡς οἶμαι, ἡ νίκη (23). Κἂν γὰρ ἓν δόξῃ νενικηκέναι, ὑπὸ τῶν ἄλλων ἡττηθήσεται. Δόξῃ δὲ εἶπον, ἐπειδήπερ οὐ πᾶσι τὸ κρίνειν τὰ πράγματα εἰλικρινῶς πρόσεστιν, ἢ διὰ βραχυτῆτα γνώμης, ἢ διὰ ῥᾳθυμίαν, ἢ διὰ σκαιότητα τρόπων, ἢ διὰ πρόληψιν, θανάτου γείτονα. Ἐπεὶ τοῖς γε νοῦν ἔχουσι, καὶ ἀπρόληπτον κεκτημένοις τῶν πραγμάτων τὸ κριτήριον, σαφές ἐστι τὸ ἀληθές (24).

B

C

332 CXCI. — PAULO.

Contra eos qui dicunt esse nativitatem sive fatum seu fortunam.

Qui res omnes permiscent, ac leguminum, ut dici solet, misturam faciunt, sanæ mentis mihi minime videntur. Nam si Deus est, fatum non est. Si autem fatum, non dicam quod cum eo pugnat: vertatur enim in eorum capita, qui, ut hoc dicatur, procurant, hæc blasphemia. Quod si nemo est qui hoc dicere ausit, sine controversia penes Ecclesiam est victoria. Ac sufficiebat quidem, ut opinor, hæc palma, etiamsi sola esset. Nunc autem aliis quoque permultis innitimur. Si fatum est, lex non est: si autem lex, fatum non est. Si fatum est, admonitio non est: si autem admonitio, fatum non est: si fatum est, judicium non est: si autem judicium, fatum non est, Si fatum est, non est precatio: si autem precatio, fatum non est. Si fatum est, meditationes non sunt; si autem meditationes, fatum non est. Si fatum est, philosophia non est: si autem philosophia, fatum non est. Si fatum est, medicina non est, si autem medicina est, fatum non est. Si fatum est, agricultura non est: si autem agricultura est, fatum non est. Ac multa item alia cum dicere habeam, nunc prætermitto; rursum autem colligam. Si igitur unius rei cum una certamen esset, dubia fortasse victoria foret. Cum autem una res adversus multas et varias dimicet, extra controversiam, ut opinor, est victoria. Quamvis enim unam vicisse videatur, ab aliis tamen vincetur. Idcirco autem dixi, *videbitur*, quoniam non omnes hoc habent, ut sincere de rebus judicent. Id quod vel ob mentis exi*guitatem* contingit, vel ob segnitiem, vel ob morum improbitatem, vel ob morti vicinam opinionem, qua *prius eorum animi* imbuti sunt. Nam alioqui iis, qui mente præditi sunt, ac rerum judicium opinionibus quibusdam *minime* prius occupatum habent, perspicua est veritas.

ΡΛΒ'. — ΤΩ ΑΥΤΩ.

Ἡ τρυφή, ὦ βέλτιστε, οὐ μόνον ἐξοστρακίζει τὴν πολυήρατον, καὶ ἀρχῆς καὶ πλούτου προτιμοτέραν ὑγείαν (ταύτης γὰρ ἀπούσης, ἐκεῖνα οὐδὲν), ἀλλὰ καὶ ποικίλα καὶ ἀνήκεστα καινουργεῖ νοσήματα. Εἰ

D

CXCII. — EIDEM.

Luxus, vir optime, non modo peramabilem atque imperio et opibus anteponendam sanitatem propellit (hæc enim absente nullius momenti illa sunt), sed etiam varios et incurabiles morbos gignit. Quare si

VARIÆ LECTIONES ET NOTÆ.

(21) *Πανσπρίαν, τὸ τοῦ λόγου, ποιεῖ.* Nota proverbium de rerum confusione et mistura. Suidas: Πανσπρία, ἡ ἐκ τῶν ὁσπρίων μίξις. Rittr.

(22) *Εἰ γένεσις, οὐ νόμος· εἰ δὲ νόμος, οὐ γένεσις.* Scripsit hæc Isidorus imitatione magistri sui Joannis Chrysostomi, cujus sunt ista præsentibus ita gemina, ut non ovum ovo neque lac lacti sit similius, oratione 5, *Περὶ εἱμαρμένης*· Εἰ γένεσις ἐστὶ, κρίσις οὐκ ἔστιν· εἰ γένεσις ἐστὶ, πίστις οὐκ ἔστιν. Εἰ γένεσις ἐστὶ, Θεὸς οὐκ ἔστιν, οὐκ ἔστιν ἀρετὴ, οὐκ ἔστι κακία· εἰ γένεσις ἐστὶ, πάντα μάτην, πάντα εἰκῇ καὶ ποιοῦμεν καὶ πάσχομεν· οὐκ ἔστιν ἔπαινος, οὐκ ἔστι ψόγος, οὐκ ἔστιν αἰδὼς, οὐκ ἔστιν αἰσχύνη, οὐκ εἰσὶ νόμοι, οὐκ εἰσὶ δικαστήρια. Meminit quoque Isid. orationis suæ contra fatum infra ep. 253. Vide Nemesium *de Natura hominis*. Id.

(23) Verba ἡ νίκη, quæ in edit. Paris. deerant, supplentur ex iisdem codicibus. Edit. Patr.

(24) Sic Minucius Felix *Octavio*: « Veritas obvia, sed requirentibus. »

Digitized by Google

tibi sanitas curæ est, frugalitas quoque curæ sit. Siquidem bonæ valetudinis matrem esse inediam medici non immerito definiunt. Ego vero, quoniam mihi tecum, qui satietati quoque ipsi per saturitatem et ingluviem contumeliam infers, sermo est, hoc tibi nuntio, frugalitatem tibi sanitatis, hoc est rei cumprimis charæ et expetendæ, matrem fore.

A τοίνυν μέλει σοι τῆς ὑγείας, μελέτω καὶ τῆς αὐταρκείας. Τὴν μὲν γὰρ ἔνδειαν μητέρα ὑγείας εἶναι, εἰκότως ἰατρῶν παῖδες ὁρίζονται· ἐγὼ δὲ, ἐπειδὴ πρὸς σέ μοι ὁ λόγος, τὸν καὶ τὸν κόρον τῇ πλησμονῇ ὑβρίζοντα, τὴν αὐτάρκειαν μητέρα σοι γενήσεσθαι τῆς πολυποθήτου ὑγείας εὐαγγελίζομαι.

CXCIII. — LAMPETIO EPISCOPO.

Si fieri possit, ut Zosimus, et Maro, et Eustathius, qui in tot tamque gravibus flagitiis deprehensi sunt, meliore mente recepta eo, unde exciderunt, redeant, hoc quidem melius fuerit. Sin minus, eos, tanquam incurabilia membra, ad vitales partes grassantia, exscinde.

ΡΛΓ'. — ΛΑΜΠΕΤΙΩ ΕΠΙΣΚΟΠΩ.

Εἰ μὲν δυνατὸν σωφρονισθέντας Ζώσιμον, καὶ Μάρωνα, καὶ Εὐστάθιον τοὺς ἐπὶ τοσούτοις καὶ τηλικούτοις κακοῖς ἁλόντας, ἐπανελθεῖν ὅθεν ἐξέπεσον, ἄμεινον. Εἰ δὲ μή, ἔκκοψον, ὥσπερ μέλη ἀνίατα σπεύδοντα βαδίσαι ἐπὶ τὰ καίρια.

333 CCXXIV. — TAURO HYPARCHO.

Vitium quidem, hoc est, res infausta et decoris plena, dominatur, cum tyrannis rerum potitur. Virtus autem palmam obtinet, cum regnum res exornat et moderatur. Tyrannis enim ad suam, regnum autem ad subditorum utilitatem omnia refert.

B

ΡΛΔ'. — ΤΑΥΡΩ ΥΠΑΡΧΩ.

Κακία μὲν ἡ δυσώνυμος, καὶ δυσκλεὴς, κρατεῖ, ὅταν τυραννὶς κατέχῃ· ἀρετὴ δὲ νικᾷ, ὅταν βασιλεία διακοσμῇ τὰ πράγματα. Ἡ μὲν γὰρ τυραννὶς πρὸς τὸ οἰκεῖον, ἡ δὲ βασιλεία πρὸς τὸ τῶν ἀρχομένων συμφέρον βλέπει.

CXCV. — HERMINO COMITI.

De gratia sancti baptismatis.

Quoniam magnificentia tua per litteras ex me quæsivit, quid sit causæ, cur infantes, cum peccatis careant, baptizentur : necessario tibi rescribendum esse putavi. Quidam igitur nimis tenuiter et jejune aiunt, eos spurcitiem eam, quæ ob Adami transgressionem ad humanam naturam transfusa est, eluere. Ego vero hoc quidem etiam fieri persuasum habeo : at non solum (neque enim id tam magnum esset), verum alia quoque multa, naturam nostram longe superantia, beneficia nobis concessa esse. Neque enim natura nostra id duntaxat accepit, quod ad peccatum de medio submovendum ac delendum requirebat : verum etiam divinis beneficiis aucta et ornata est. Neque enim solum supplicio exempta est, atque improbitatem omnem exuit : sed etiam superne regenita est (divina, et omnem orationis vim ac facultatem excedente regeneratione, tanquam ex machina quadam excogitata) et redempta, et sanctificata, et in adoptionis jus adducta et justificata : et Unigeniti cohæres effecta est, ac per sacrorum mysteriorum perceptionem concorporea ipsi reddita, et in ipsius carnem censetur : et quemadmodum corpus capiti, eodem modo ipsa ei copulata est. Quod quidem cum divus Paulus, Christi sensuum velut promus, animadvertisset, nunc quidem his verbis utebatur, « Et ipsum donavit super omnia caput Ecclesiæ [44], » hoc est, præter alia omnia beneficia hoc eam munere affecit, ut Christus ipsius caput sit : nunc autem ad hunc modum loquebatur, « Multo magis abundantiam gratiæ et donationis et justitiæ accipientes in vita regnabunt [45]. » Non dixit, *gratiam*, sed, *abundantiam gratiæ* : hinc videlicet ostendens nos non pharma-

C

D

ΡΛΕ'. — ΕΡΜΙΝΩ ΚΟΜΗΤΙ.

Περὶ τῆς χάριτος τοῦ ἁγίου βαπτίσματος.

Ἐπειδὴ γέγραφέ σου ἡ μεγαλόνοια βουλομένη μαθεῖν δι' ἣν αἰτίαν τὰ βρέφη ἀναμάρτητα ὄντα βαπτίζεται, ἀναγκαῖον ᾠήθην ἀντεπιστεῖλαι. Τινὲς μὲν οὖν σμικρολογοῦντές φασιν, ὅτι τὸν διὰ τὴν παράβασιν τοῦ Ἀδὰμ διαδοθέντα τῇ φύσει ῥύπον ἀποπλύνονται. Ἐγὼ δὲ καὶ τοῦτο μὲν γίνεσθαι πιστεύω, οὐ μὴν μόνον (οὐδὲν γὰρ ἂν τοσοῦτον ἦν), ἀλλὰ καὶ ἄλλα πολλὰ μακρῷ τὴν ἡμετέραν ὑπερβαίνοντα φύσιν δεδόσθαι χαρίσματα. Οὐ γὰρ ὅσον ἔχρηζεν ἡ φύσις εἰς τὴν τῆς ἁμαρτίας ἀναίρεσιν ἔλαβε μόνον, ἀλλὰ καὶ θείοις ἐκοσμήθη δώροις. Καὶ γὰρ οὐ μόνον κολάσεως ἀπηλλάγη, καὶ πονηρίαν ἀπημφιάσατο πᾶσαν, ἀλλὰ καὶ ἀνεγεννήθη ἄνωθεν (παλιγγενεσίας θείας, καὶ λόγον ὑπερβαινούσης, ὥσπερ ἐκ μηχανῆς τινος ἐπινοηθείσης), καὶ ἀπελυτρώθη, καὶ ἡγιάσθη, καὶ εἰς υἱοθεσίαν ἠνέχθη, καὶ ἐδικαιώθη, καὶ ἐγένετο συγκληρονόμος τοῦ Μονογενοῦς, καὶ σύσσωμος αὐτῷ διὰ τῆς μετοχῆς τῶν ἱερῶν μυστηρίων κατέστη, καὶ εἰς τὴν σάρκα αὐτοῦ τελεῖ· καὶ ὥσπερ τὸ σῶμα τῇ κεφαλῇ, οὕτως αὐτῷ ἥνωται. Ἅπερ ὁ θεσπέσιος ἐννοήσας Παῦλος, ὁ τῶν τοῦ Χριστοῦ νοημάτων ταμίας, ποτὲ μὲν ἔλεγε· « Καὶ αὐτὸν ἔδωκεν ὑπὲρ πάντα, κεφαλὴν τῆς Ἐκκλησίας· » τουτέστιν, ὑπὲρ τὰ ἄλλα πάντα χαρίσματα, τοῦτο αὐτῇ ἐδωρήσατο, τὸ τὸν Χριστὸν κεφαλὴν αὐτῆς εἶναι. Ποτὲ δὲ, « Πολλῷ μᾶλλον οἱ τὴν περισσείαν τῆς χάριτος, καὶ τῆς δωρεᾶς, καὶ τῆς δικαιοσύνης λαμβάνοντες, ἐν ζωῇ βασιλεύ[σ]ουσιν. » Οὐκ εἶπε χάριν, ἀλλὰ *περισσείαν χάριτος*· δεικνὺς, ὅτι οὐ φάρμακον ἐλάδομεν ἀντίῤῥοπον τοῦ τραύματος μόνον, ὡς οἴονται σμικρολόγοι τινὲς, καὶ τῆς θείας μεγαλοδωρεᾶς ἀναίσθητοι· ἀλλὰ καὶ εὐμορφίαν καὶ τιμὴν, καὶ δόξαν, καὶ ἀξιώματα, πολλῷ τὴν ἡμετέραν ὑπερβαίνοντα

[44] Ephes. I, 22. [45] Rom. V, 17.

Digitized by Google

ἀξίαν. Μὴ τοίνυν, ὦ φίλος, νόμιζε ἁμαρτιῶν μόνον ἀναιρετικὸν εἶναι τὸ βάπτισμα, ἀλλὰ καὶ υἱοθεσίας καὶ θείας συγγενείας καὶ ἄλλων μυρίων τῶν τε λεχθέντων, τῶν τε παραλειφθέντων ἀγαθῶν ποιητικόν. Ὁ γὰρ τῶν ἁπάντων βασιλεὺς, οὐ μόνον ἐλυτρώσατο τὴν αἰχμαλωτευθεῖσαν φύσιν, ἀλλὰ καὶ εἰς τὴν ἀνωτάτω τιμὴν ἀνήγαγεν.

A cum duntaxat, quod vulneri par sit, accepisse (quemadmodum jejuni quidam homines, ac divinam munificentiam minime agnoscentes opinantur), verum etiam pulchritudinem et honorem, et gloriam et dignitates, meritum nostrum multis partibus excedentes. Quæ cum ita sint, o amice, ne hoc existimes, baptismum peccata tantummodo delere : verum et adoptionem, et divinam cognationem, ac sexcenta alia, tam quæ commemoravi, quam quæ prætermisi, bona procreare. Siquidem ille omnium rex captivam naturam non modo redemit, verum etiam ad summum honoris gradum evexit.

ΡΙΖ'. — ΗΣΑΙΑ.

Οὐ χρὴ τὴν ἀνυπέρβλητον τοῦ Θεοῦ μακροθυμίαν, ὑπόθεσιν ῥᾳθυμίας ποιεῖσθαι, ἵνα μὴ μείζονα συγγνώμης κατ' ἄμφω ἁμαρτάνοντες ἀλῶμεν, τῷ τε παραλόγως ἐῤῥᾳθυμηκέναι, τῷ τε παραλογώτερον τῆς χρηστότητος καταπεφρονηκέναι.

B

CXCVI. — ISAIÆ.

334 Ex incomparabili Dei lenitate ac patientia socordiæ materiam arripere minime oportet : ne alioqui majora, quam quibus ignosci debeat, peccata utroque nomine perpetrare deprehendamur, hoc est, dum et stulte desidia et inertia laboramus, et divinam benignitatem stultius contemnimus.

ΡΙΖ'. — ΘΕΟΓΝΩΣΤΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Ὅτι μὲν, εἰ μὴ τὰς πρὸς τὸ ἀγαθὸν ὁρμὰς τοῦ ἀοιδίμου Τιμοθέου ὁ ἀλιτήριος Εὐσέβιος ἐξέκοπτεν, οἰκουμενικὸν ἂν καὶ διαβόητον ἀνθρωπον ἐποίησεν, οἶμαι μὴ ἀμφιβάλλειν τὴν σὴν σύνεσιν. Ὅτι δὲ οὐδὲ οὕτως ἀκλεῶς τὸν βίον κατέστρεψεν, ἀλλ' ὑπὸ πάντων ἐπὶ τοῖς καλλίστοις ᾀδόμενος, τοῦτο παρ' ἡμῶν μάνθανε. Εἰ δὲ χρή τι καὶ θαυμαστὸν εἰπεῖν, τάχα οὐχ οὕτως εἰσὶν εὐδόκιμοι, οἱ πρὸς ἀρετὴν ἀλειφόμενοι, καὶ στεφανῖται γενόμενοι, ὡς οἱ κωλυόμενοι μὲν, καὶ μηδὲ τί ἐστιν ἀρετὴ ἐννοῆσαι συγχωρούμενοι, μήτι γε πρᾶξαι, ἐρασταὶ δὲ γνήσιοι ταύτης ἀναφαινόμενοι. Γυμνὴ γάρ ἐστιν αὕτη τῆς διανοίας αὐτῶν ἡ βάσανος.

C

CXCVII.— THEOGNOSTO PRESBYTERO.

Quod quidem, nisi exitiosus ac sacrilegus Eusebius clarissimi viri Timothei ad virtutem impetus excidisset, eum toto orbe cognitum ac celebrem redditurus erat, prudentiam tuam minime ignorare arbitror. Quod autem ne sic quidem citra gloriam e vita migraverit, verum ob præclarissimas virtutes ab omnibus prædicetur, hoc a nobis disce. Quod si quid etiam admiratione dignum dicere opus est, haud tantam fortasse gloriam nominisque celebritatem obtinent, qui ad virtutem incitantur, ac coronam adipiscuntur, quantum ii, qui, cum prohibeantur, ac ne quidem quid sit virtus cogitare, medum exsequi permittantur, sinceros tamen ipsius amatores se præbent. Nuda enim et aperta hæc mentis eorum exploratio est.

ΡΙΗ'. — ΙΕΡΑΚΙ ΠΡΕΣΒΥΤΕΡΩ.

Ταπεινοφροσύνην ὑπερβάλλουσαν κατηγορεῖ σου τὸ γραφέν σοι πρὸς ἐμὲ γράμμα. Εἰ δὲ ἀρνήσαιο, ἐλέγξει σε καὶ αὐτὴ ἡ ῥῆσις, ἣν μαθεῖν τι παρ' ἐμοῦ βουληθεὶς, συνέπλεξας. Ἔφης γὰρ, ὅτι Ἔσχατον πάντων ὄντα, καὶ ὥσπερ ἔκτρωμα, δίδαξον κἀμὲ, τί δήποτε ὁ Θεὸς διὰ Ἡσαΐου, τὰ μὲν ὡς κόκκινον ἁμαρτήματα τῶν μετανοούντων ὡς ἔριον λευκαίνειν ἔφη· τὰ δὲ ὡς φοινικοῦν, ὡς χιόνα. Ἐγὼ δὲ θαυμάσας σου τὴν ταπεινοφροσύνην, καὶ ὅτι τὸ μέγιστον τοῦ Παύλου πλεονέκτημα, ὥσπερ διάδημα, ἀνεδήσω (κἀκεῖνος γὰρ ἔκτρωμα εἶναι ἑαυτὸν ἔλεγε· καίτοι τὰ ἐξαμβλωθέντα ἀναμορφῶν, καὶ δεύτερον ᾠδίνων τὰ τοὺς θείους χαρακτῆρας μὴ ἀποσώσαντα)· ἐπὶ τὴν ἑρμηνείαν συντόμως βαδιοῦμαι. Φημὶ τοίνυν, ὅτι ἐπηγγείλατο, τὰ μὲν ἄκρα μέσως, τὰ δὲ μέσα ἄκρως θεραπεύειν.

D

CXCVIII. — HIERACI PRESBYTERO.

Singularem quamdam animi submissionem tuam eæ litteræ, quas ad me dedisti, arguunt. Quod si inficias ieris, dictum illud, quod, aliquid ex me scire cupiens, adjunxisti, te prodet. Sic enim locutus es, Me quoque omnium hominum postremum, ac velut abortivum doce, quidnam sit, cur Deus per Isaiam facturum se dixerit, ut ea pœnitentium scelera, quæ ad coccini similitudinem accederent, lanæ instar, quæ autem phœniceum colorem referrent, nivis in modum dealbaret. Ego vero humilitatem tuam admiratus, quodque maxima Pauli prærogativa, non secus ac diademate quodam caput tuum cinxisti (nam et ille abortivum se esse asserebat, cum tamen ipse abortivos fetus, qui divinas notas minime servaverant, refingeret, ac denuo parturiret), ad quæstionis explicationem breviter me conferam. Aio igitur his verbis hoc ipsum velle, se extrema quidem mediocriter, media autem summopere curaturum esse.

ΡΙΘ'. — ΠΕΤΡΩ ΜΟΝΑΖΟΝΤΙ.

Οὐ χρὴ, μακάριε, πάντα ἐπιέναι ἀναισχύντοις καὶ ἀκρατέσι τοῖς ὀφθαλμοῖς, ἀλλὰ χαλινὸν αὐτοῖς ἐμβάλλειν τὴν αἰδῶ, ἵνα μὴ δίκην ὕστερον δοίημεν τῆς πονηρᾶς ἐπιθυμίας, κἀνταῦθα δημίων χαλεπώ-

CXCIX. — PETRO MONACHO.

Impudentibus atque intemperantibus oculis omnia perlustrare, vir beate, haudquaquam oportet : verum pudoris frenum ipsis injicere ; ne alioqui posthac improbæ cupiditatis pœnas pendamus, quæ

Digitized by Google

animum in hac quoque vita carnificibus quibusvis acerbius lacerat, et cruentat, ac naturæ portum, hoc est somnum, **335** velut aggesta humo obstruit, efficitque ut perpetuis fluctibus jactemur, ac laboremus. Eaque etiam de causa Salvator, negotiis molestiisque ac supervacaneis laboribus nos liberans, atque absque iis castitatis studium percurrere nos cupiens, iis qui curiosis oculis aliquam intueri student, atrocem pœnam denuntiavit : præsertim quidem id agens, ut vitii radicem reprimat, deinde autem ne aspectus telo sauciati, gravem, aut etiam lethalem morbum nobis ipsis accersamus. Non modo enim purius atque integrius, sed etiam facilius, is qui non spectat, cupiditatem vincet ac profligabit.

A τερον καταξαινούσης, καὶ μαστιζούσης τὴν διάνοιαν, καὶ τὸν τῆς φύσεως λιμένα (ψημὶ δὲ τὸν ὕπνον) προσχωννυούσης, καὶ πελαγίζειν ἀεὶ καὶ κάμνειν παρασκευαζούσης. Διὸ καὶ ὁ Σωτὴρ πραγμάτων ἡμᾶς ἀπαλλάττων, καὶ πόνων περιττῶν, ὧν ἄνευ τὸ τῆς σωφροσύνης στάδιον διαθέειν ἡμᾶς βουλόμενος, τῶν περιέργως ὁρᾶν σπουδαζόντων, ἀμήχανον κόλασιν ἠπείλησε· μάλιστα μὲν τὴν ῥίζαν ἀναστέλλων τοῦ πάθους, ἔπειτα δὲ ἵνα μὴ τρωθέντες τῷ ἐκ τῆς θέας βέλει, νόσον δυσίατον ἢ καὶ ἄνιατον ἑαυτοῖς κατασκευάσωμεν. Οὐ μόνον γὰρ καθαρώτερον, ἀλλὰ καὶ εὐκολώτερον ὁ μὴ ὁρῶν περιέσται τῆς ἐπιθυμίας.

CC. — LAMPETIO EPISCOPO.

Ob ea quæ de Zosimo dicebantur.

Vehementer ipse quoque, ob ea, quæ flagitiose ac scelerate fiunt, discrucior : at non tamen de mente dejicior.

B

Σ'. — ΛΑΜΠΕΤΙΩ ΕΠΙΣΚΟΠΩ.

Διὰ τὰ περὶ Ζωσίμου.

Ἀλγῶ μὲν καὶ αὐτὸς κομιδῇ ἐπὶ τοῖς ἀτόπως γινομένοις, οὐ μὴν παρατρέπομαι τὸν λογισμόν.

CCI. — THEODOSIO EPISCOPO.

Quod ii, qui eadem scelera perpetrarunt non eamdem hic pœnam persolvant, hoc generalis judicii dogma confirmat. Quod autem non omnes illic serventur, hoc crassiores ac segniores homines expergefacit, ut qui omnino pœnas illic daturi sint, etiamsi supplicium in hac vita effugerint. Nam si nemo pœnam illic subiturus est, quid afferri potest cur hic daturi sint? Quod autem justi viri atque omni virtutum genere florentes, multas hic acerbitates pertulerint, hoc paratas ipsis in altero ævo coronas indicat. Quod vero nonnulli quoque ex ipsis honore affecti fuerint, hoc ob eos, qui peccato delectantur, factum est : ne scilicet virtutem calamitatum causam esse arbitrantes, effuso cursu eam fugiant.

ΣΑ' (25). — ΘΕΟΔΟΣΙΩ ΕΠΙΣΚΟΠΩ.

Τὸ μὲν μὴ τὴν αὐτὴν δίκην ἐνταῦθα διδόναι τοὺς τὰ αὐτὰ δράσαντας, τὸν τῆς γενικῆς κρίσεως βεβαιοῖ λόγον. Τὸ δὲ μὴ πάντας ἐκεῖσε τηρηθῆναι, τοὺς παχυτέρους καὶ ῥᾳθυμοτέρους διανίστησιν, ὡς πάντως ἐκεῖσε δώσοντας δίκην, εἰ καὶ τὰ ἐνταῦθα (26) διαφύγοιεν. Εἰ γὰρ μηδεὶς ἐκεῖσε κολασθήσεται, δι' ἣν αἰτίαν ἐνταῦθά τινες ἐτιμωρήθησαν; Τὸ δὲ τοὺς δικαίους, καὶ πάσῃ ἀρετῇ κομῶντας, πολλὰ ἐνταῦθα ὑπομεμενηκέναι δεινὰ, τοὺς εὐτρεπισθέντας αὐτοῖς ἐκεῖσε στεφάνους μηνύει. Τὸ δὲ καί τινας ἐξ αὐτῶν ἐνταῦθα τετιμῆσθαι, διὰ τοὺς φιλαμαρτήμονας γεγένηται· ἵνα μὴ τὴν ἀρετὴν αἰτίαν κακῶν εἶναι νομίζοντες, φύγωσιν αὐτὴν ἐκ πολλοῦ τοῦ περιόντος.

C

CCII. — AGATHONI PRESBITERO.

Quid sit, « Sacerdotes, loquimini ad cor Jerusalem [46]. »

Quandoquidem sermo actione destitutus non ultra aurem grassatur, qui autem ab actione animatus est, ut qui acris et efficax sit, alte penetrat, animumque attingit : eam ob causam (id quod ex me scire cupis) Deus sacerdotibus edixit, ut ad cor Jerusalem loquerentur. Nam qui ad aures verba faciant, permulti quidem sunt, ac sacerdotio indigni : qui autem ad cor, pauci omnino, at qui sacerdotali dignitate redimiri merentur.

ΣΒ'. — ΑΓΑΘΩΝΙ ΠΡΕΣΒΥΤΕΡΩ.

Τί ἐστι τὸ, « Ἱερεῖς, λαλήσατε εἰς καρδίαν Ἰερουσαλήμ. »

Ἐπειδὴ ὁ λόγος, ὅταν πράξεως ἔρημος ᾖ, οὐ περαιτέρω τῆς ἀκοῆς ἀφικνεῖται, ὁ δὲ ὑπὸ τῆς πράξεως ἐψυχωμένος (27), ἅτε δὴ γοργὸς ὢν καὶ δραστήριος διὰ βάθους χωρεῖ, καὶ τῆς ψυχῆς ἅπτεται· τούτου χάριν παρεκελεύσατο ὁ Θεὸς, ὅπερ μαθεῖν ἠθέλησας, « Ἱερεῖς, λαλήσατε εἰς τὴν καρδίαν Ἰερουσαλήμ. » Οἱ μὲν γὰρ εἰς τὰς ἀκοὰς λαλοῦντες, πολλοὶ μὲν, ἀνάξιοι δὲ ἱερωσύνης. Οἱ δὲ εἰς τὴν καρδίαν, ὀλίγοι μὲν, δίκαιοι δὲ τὴν τῆς ἁγιστείας ἐστέφθαι ἀξίαν.

D

[46] Isa. XL, 2.

VARIÆ LECTIONES ET NOTÆ.

(25) In epistola superiori desinit cod. Vat. 649, cui succenturiamus alium Vaticanum item cod. insignitum num. 650, inscriptum, *Epistolarum Isidori Pelusiotæ liber* II. In eo prima ponitur hæc. Codicis Altaemsis tomus prior in superiori pariter epistola terminatur. Sed tomus secundus ab hac incipit. Possin.

(26) Cod. Vat. 650, εἰ κάνταῦθα δ., etc. Vers. inde tertio in cod. Vatic. 650 μηνύει præcedit στεφάνους. Versu autem postea secundo pro κακῶν, idem cod. κακὴν legit. Id.

(27) Cod. Vat. 650, ἐρῳωμένος. Idem vers. inde secundo post ὁ Θεὸς addit τοῦθ' ὅπ. etc. Possin.

Digitized by Google

ΣΓ' (28). — ΕΥΤΟΝΙΩ ΔΙΑΚΟΝΩ.

Εἰ μὲν εἰς καὶ τὰ φορητὰ καὶ εὐΐατα ἁμαρτήσαντες, πάθοιμέν τι ἐνταῦθα χαλεπὸν, ἀποτριβόμεθα τὰ ἁμαρτήματα. Εἰ δὲ ἀπάνθρωπα, καὶ συγγνώμης μείζονα, εἰ μὲν ἐνταῦθα δοίημεν δίκην, κἀκεῖ δώσομεν, κουφοτέραν δέ. Εἰ δὲ τάνταῦθα διαφύγοιμεν, ἄκρατον καὶ ἀπαραμύθητον ὑφέξομεν ἐκεῖσε τὴν τιμωρίαν. Εἰ δὲ ἀποφάσεις (29) ταῦτ' εἶναι ἠγῇ, ἐγγυήσονται αἱ θεῖαι Γραφαί. Περὶ μὲν γὰρ τῶν εὐΐατα ἁμαρτανόντων, ἔφη ὁ Ἀπόστολος, « Κρινόμενοι δὲ, ὑπὸ τοῦ Κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν. » Περὶ δὲ τῶν ἀνίατα πταισάντων, κάνταῦθα μὲν δεδωκότων δίκην, κἀκεῖ δὲ δωσόντων, αὐτὸς ὁ κριτὴς ἔφη, « Ἀνεκτότερον ἔσται γῇ Σοδόμων καὶ Γομόρρας, » ὡς κάνταῦθα μὲν δεδωκότων, κἀκεῖ δὲ δωσόντων μὲν, ἠμερωτέραν δέ. Περὶ δὲ τῶν ἀπαραμύθητον καὶ ἄκρατον ὑπομενόντων τὴν κόλασιν, φησὶν, « Ἀνεκτότερον ἔσται γῇ Σοδόμων καὶ Γομόρρων ἢ τῇ πόλει ἐκείνῃ, » τῇ τοὺς θείους κήρυκας δηλονότι ἀπελασάσῃ. Τοὺς γὰρ ἐνταῦθα δίκην δεδωκότας τοῖς μὴ δεδωκόσι παραβαλὼν, καὶ ἠμερωτέραν φήσας αὐτοὺς δώσειν, ἀσύγγνωστον καὶ ἀργαλεωτάτην ἀπέφηνε τῶν ἐνταῦθα μὴ δεδωκότων δίκην τὴν τιμωρίαν.

A

B

CCIII. — EUTONIO DIACONO.

Si levibus ac ferendis et sanabilibus peccatis admissis acerbi aliquid in hac vita perpetiamur, hac ratione peccatorum maculas abstergimus. Teterrimis autem ac venia majoribus flagitiis perpetratis, si pœnam hic pendamus, illic quoque profecto adhuc pendemus, **336** sed mitiorem. Si autem hujus vitæ supplicia effugerimus, acerbissimum atque consolationis omnis expertem cruciatum illic pendemus. Quod si hæc meam sententiam esse existimas, ea divinæ Scripturæ confirmabunt. Etenim de iis, qui ea peccata admittunt, quibus afferri medicina potest, ab Apostolo dictum est, « Cum judicamur autem a Domino, corripimur, ut non cum hoc mundo damnemur [47]. » De iis autem qui insanabilibus peccatis sese devinxerunt, atque hic quidem pœnas pependerunt, illicque rursum pendent, judex ipsemet dixit : « Tolerabilius erit terræ Sodomorum et Gomorrhæ [48], » et qui ut hic quoque pœnas dederint, et illinc quoque daturi sint, cæterum leviores. De iis denique, qui acerbissimum atque ab omni solatio remotum cruciatum sufferunt, hæc habuit : « Tolerabilius erit terræ Sodomorum et Gomorrhæorum, quam civitati illi, » quæ videlicet divinos præcones submoverat. Nam cum eos, qui pœnam in hac vita luerunt, cum iis, qui minime luerunt, comparavit, ac mitiorem eos daturos esse dixit, hinc nimirum eorum, in quos hic minime animadversum fuerit, acerbissimum ac veniæ omnis expertem cruciatum fore pronuntiavit.

ΣΔ'. — ΙΣΙΔΩΡΩ ΔΙΑΚΟΝΩ.

Χρὴ τοὺς τὴν ἀνθρωπίνην εὐγένειαν φυλάξαι προῃρημένους, τὴν τῆς φύσεως ἐπισκεπτομένους ὀξύρροπον μεταβολὴν, καὶ τῆς χαρᾶς τὴν ἀμετρίαν κολάζειν, καὶ μήτε λύπῃ σφοδρᾷ ἑαυτοὺς ἐκδιδόναι, μήτε χαρᾷ. Ἡ μὲν γὰρ, εἰ μὴ κερασθείη λογισμῷ, καὶ χαλινωθείη φρονήσει, εἰς θάνατον παιδαγωγεῖ (30)· ἡ δὲ, εἰ μὴ παραδοθείη ταῖς ἡνίαις τῆς προσδοκωμένης μεταβολῆς, ἐκτραχηλίσει, καὶ τοῦ πρέποντος ἐκπεσεῖν παρασκευάσει.

C

CCIV. — ISIDORO DIACONO.

Qui humanam nobilitatem tueri atque conservare instituunt, celerem naturæ mutationem animo volventes, immodicam, tum mœstitiam, tum lætitiam coercere debent, ac nec nimio mœrori, nec gaudio sese dedere. Nam ille, nisi ratione temperetur, ac prudentiæ freno comprimatur, in mortem erudit : hoc contra nisi impendentis mutationis habenis tradatur, præcipites nos aget, atque, ut ab officio ac decore excidamus, efficiet.

ΣΕ'. — ΝΕΙΛΩ ΓΡΑΜΜΑΤΙΚΩ.

Ἐν τοῖς πολέμοις ἐπειδὰν ὀλίγοι κομιδῇ ὑπὲρ τῆς πατρίδος μαχόμενοι πρὸς πολλοὺς ἀπαντήσαιεν, νικᾷν μὲν αὐτοὺς οἱ νοῦν ἔχοντες οὐκ ἀξιοῦσιν· ἀδόξως δὲ εἰ μὴ πέσοιεν θαυμάζουσιν· εἰ δὲ δὴ καὶ πλείω τοῦ εἰκότος τοὺς ἐναντίους διαθεῖεν κακὰ, τοῖς ἥρωσιν ἐν ἴσῳ τάττουσι. Τὸ μὲν γὰρ γενναῖον ἡγοῦνται, τὸ δὲ οὐκ ἔχον φύσιν. Καὶ οὐ διότι τοῦτο ἀμήχανον, ἐκεῖνό γε ἐῶσι· τὸ δὲ, ὡς λαμπρὸν καὶ ἀοίδιμον, γεραίρουσιν. Ἡττήθησαν γὰρ πλήθει βιασθέντες, οὐκ ἀνδρίᾳ κρατηθέντες. Καὶ ἐπὶ τῶν δικῶν δὲ τοῦτ' αὐτὸ

D

CCV. — NILO GRAMMATICO.

In re militari, cum pauci admodum pro patriæ defensione multis ad pugnam occurrunt, non hoc, qui mente præditi sunt, petunt, ut ipsi vincant, verum, si non cum dedecore atque infamia occumbant, admiratione afficiuntur : quod si etiam pluribus, quam fieri posse videretur, incommodis ac detrimentis hostes multent, inter heroas collocant. Illud enim forte ac strenuum esse existimant : hoc autem natura præstantius. Nec vero, quia illud inextricabilem quamdam difficultatem habet, idcirco

[47] I Cor. xi, 32. [48] Matth x. 15.

VARIÆ LECTIONES ET NOTÆ.

(28) Hanc ep. cod. Vat., 650 non Εὐτονίῳ διακ., sed Εὐσταθίῳ διακ., *Eustathio diacono* inscribit. Vers. 1 pro εἰ μὲν εἰς καὶ τὰ φορητὰ, cod. Vat. 650 legit, εἰ μὲν οἱ καὶ τὰ φ., etc. Id.

(29) Pro ἀποφάσεις Cod. Vat. 650 legit ἀπόφασιν, et vers. inde secundo pro ἁμαρτανόντων in aoristo, ὁμαρτόντων. Id

(30) Pro παιδαγωγεῖ cod. Vat. 650 scribit παιδαγωγήσει, et mox pro παραδοθείη, παιδευθείη. Vers. seq. quod ponitur in edito ἐκτραχηλίσει, abest a cod. Vat. 650. Id.

Digitized by Google

id missum faciunt : hoc autem ut præclarum et illustre, laude ac prædicatione efferunt. Victi enim sunt, hominum multitudine oppressi, non fortitudine, animique magnitudine superati. Atque hoc ipsum etiam in forensibus controversiis censent, qui artem explorant. Nam veritatem ægre indagari atque comprehendi posse ducunt. Aiunt enim : Si res ita nata sit ut summo cuipiam oratori causa ea, quæ plus imbecillitatis habere videatur, obtigerit, **337** annon præclare agi putabimus, si is a victoria parvo intervallo abfuerit, verum, nisi palmam quoque tulerit, eum reprehendemus? nec eo contenti erimus, si ingentem rerum imbecillitatem dicendi facultate atque copia obvelet : ac robur quoddam iis rebus, quæ imbecillitatis et improbitatis speciem habent, comparet, atque adversariorum laborem augeat? Nec hoc satis esse censebimus, si metum aliquem causa cadendi, iis, qui primo impetu victoriam sese adepturos sperabant, injecerit : verum nisi omnia eorum præsidia everterit, summæ stultitiæ notam ipsi impingemus? An non autem id absurdum fuerit? Dicturus est enim orator : Verum mole, o bone vir, obrutus sum : sic tamen ut multis adversarium vulneribus affecerim, eumque, qui se nullo labore superiorem fore confidebat. Ac victoria quidem ob disparem apparatum ab eo stetit : quod autem haudquaquam celerem victoriam assecutus sit, a mea arte profectum est. Ita fit, ut quatenus ipsi laborem præter spem attuli, superior sim. Quorsum autem hæc commemoravi? Nempe quia ii, qui sapientes habentur, non ab eventu, sed ab animi instituto et voluntate responderant, ac sæpenumero eos, qui victi esse videntur, laude et prædicatione efferunt : eos contra, qui victoriam adepti sunt, laudibus haudquaquam afficiunt. Illi enim nihil eorum quæ facienda erant, prætermiserunt, etiamsi alioqui nihil eorum, quæ instituerant, confecerint : hi autem in sui capitis perniciem plerumque victoriam adepti sunt. Quamobrem tu quoque consultius et humanius feceris, si confusionem minime inducas, verum hæc inter se disjungas, atque utrumque seorsim perpendas et explores, hoc est, et voluntatem et eventum : ac ne eum, qui improbe et scelerate vicit, collaudes, nec eum, cui injuria illata est, ob cladem acceptam insectaris : verum nec felicitatem virtutem, nec adversitatem vitium esse statuas. Nam si necessario palma properaret, is qui, quod aggreditur, minime conficit, culpam subiret. Cum autem eum-

A νομίζουσιν, οἱ τὴν τέχνην δοκιμάζοντες· τὴν γὰρ ἀλήθειαν δυσθήρατον εἶναι ἡγοῦνται (31). Φασὶ γάρ, ὅτι Εἰ συμβαίη τὸν ἄκρον ῥήτορα μετὰ τῶν ἀσθενεστέρων εἶναι δοκούντων πραγμάτων τετάχθαι, οὐ στέρξομεν, εἰ πλησίον ὁ τοιοῦτος ἔλθοι τῆς νίκης, ἀλλ' εἰ μὴ καὶ τὴν νίκην ἀνέλοιτο, κακιοῦμεν, οὐδ' ἀγαπήσομεν, εἰ συσκιάσει ἐν τῇ δεινότητι τὸ λίαν τῶν πραγμάτων σαθρὸν, καὶ παράσχοι τινὰ ῥώμην τοῖς δοκοῦσι φαύλοις, καὶ τὸν πόνον αὐξήσειεν τοῖς ἀντιτεταγμένοις τὴν ἀρχήν; οὐδ' ἀποχρῆν νομιοῦμεν εἰ παραστήσειέ τινα φόβον ὑπὸ τῆς ψήφου τοῖς ἐλπίζουσιν ἐξ ἐπιδρομῆς αἱρήσειν, ἀλλ' εἰ μὴ πάντα ἀνατρέψειεν, εὐηθέστατον (32) ἐροῦμεν; Καὶ πῶς οὐκ ἄτοπον; ἐρεῖ γὰρ ὁ ῥήτωρ· Κατεχώσθην, ὦ τὰν, ὑπὸ τῶν πραγμάτων· πολλὰ μέντοι καὶ αὐτὸς

B τὸν διάδικον τρώσας, καί τοι πεπιστευκότα τὸ κράτος ἕξειν ἀπονητί (33). Ἡ μὲν οὖν γεγένηται τῷ τῆς παρασκευῆς ἀνίσῳ· τὸ δὲ μὴ ταχεῖαν τὴν νίκην, ὑπὸ τῆς ἐμῆς τέχνης· ὥστε τῷ παρ' ἐλπίδα πόνῳ περίειμι. Τοῦ χάριν δὴ ταῦτα διεξῆλθον; Ὅτι οἱ δοκοῦντες εἶναι σοφοὶ, οὐκ ἀπὸ τῆς ἐκβάσεως, ἀλλ' ἀπὸ τῆς προαιρέσεως τὰ πράγματα κρίνουσι. Καὶ τοὺς μὲν ἡττᾶσθαι δόξαντας, πολλάκις ἀνακηρύττουσι· τοὺς δὲ νικήσαντας ἐπαίνων οὐκ ἀξιοῦσιν. Οἱ μὲν γὰρ οὐδὲν ἐλλελοίπασι τῶν ὀφειλόντων πεπρᾶχθαι, καὶ εἰ μηδὲν ὧν προῃρηντο κατώρθωσαν· οἱ δὲ ἐπὶ κακῷ τῆς ἑαυτῶν κεφαλῆς, πολλάκις νενικήκασι. Καὶ σὺ τοίνυν κάλλιον ποιήσεις (34), καὶ ἀνθρωπινώτερον, εἰ μὴ σύγχυσιν ἐργάσοιο, ἀλλὰ χωρίσειας

C ταῦτα ἀπ' ἀλλήλων, καὶ καθ' ἑαυτὸν δοκιμάσειας ἑκάτερον, τήν τε προαίρεσιν καὶ τὸ πέρας, καὶ μήτε τὸν ἀδίκως νενικηκότα ἐπαινέσειας, μήτε τὸν ἀδικηθέντα ἐκ τῆς ἥττης ψέξειας, ἀλλὰ μηδὲ τὴν εὐημερίαν ἀρετὴν, μηδὲ τὴν δυσπραγίαν κακίαν ὁρίσαιο. Εἰ μὲν γὰρ ἀναγκαίως ἐπείγετο τὸ τρόπαιον (35), ὁ τολμῶν μὲν, μὴ κατορθῶν δὲ, ἐδέχετο ἂν αἰτίαν. Εἰ δὲ τὸν αὐτὸν εὖροις ἂν γνώμῃ ἀρίστῃ χρώμενον, τέλει δὲ οὐ χρηστῷ, μὴ καταμέμφου τοῦτον, ᾧ συνάχθεσθαι δίκαιον. Ἀλλὰ ταῦτα μὲν πρὸς σὲ εἴρηται, τὸν πλέον τῶν ὁρωμένων εἰδότα μηδέν (36). Ἡμεῖς γὰρ οἱ τοῖς τῆς πίστεως ὀφθαλμοῖς τὸν μέλλοντα ἀκριβῶς καθορῶντες βίον, τῶν μὲν πολέμων καὶ τῶν τροπαίων καὶ τῶν ἀναῤῥήσεων τῶν ἡμετέρων, ἅτε τῷ

D παρόντι συγκαταλυομένων βίῳ, εἰκότως καταφρονοῦμεν, ἐκεῖνον δὲ πολεμοῦμεν τὸν πόλεμον, τὸν κατὰ τῶν πονηρῶν δαιμόνων καὶ τῶν τῆς σαρκὸς παθῶν συγκροτούμενον, καὶ τὸν τούτων ἀκοιμήτῳ τέχνῃ κρατοῦντα, τροπαιοῦχον εἶναί φαμεν, κἂν ἀκλεῶς δοκοίη τόνδε ἐξεληλυθέναι τὸν βίον. Ἡ γὰρ ἐνταῦθα

VARIÆ LECTIONES ET NOTÆ.

(31) Hæc verba, τὴν δ' ἀλήθειαν δυσθήρατον εἶναι ἡγοῦνται, absunt a cod. Vat. 650. Possin.

(32) Post εὐηθέστατον recte addit cod. Vat. 650, καὶ ἀτεχνέστατον. Ib.

(33) Ἀπονητὶ in ἀκονητὶ mutat idem cod. Ib.

(34) Idem cod. καλὸν ποιήσεις. Ib.

(35) Pro his, ἐπείγετο τὸ τρόπαιον, cod. idem hæc exhibet, ἀρετῇ ἐπήγαγε τὸ πρᾶον, et vers. inde 2, pro ἀρίστῃ idem legit, μεγίστῃ. Vers. sequenti pro, μὴ καταμέμφου τοῦτον ᾧ, ille scribit, μὴ καταμέμφου ταῦτα οἷς, etc.

(36) Hæc πρὸς σὲ εἴρηται, τὸν πλέον τῶν ὁρωμένων εἰδότα μηδέν, sic in Vat. cod. 650 legentur, προσείρηται πρὸς τοὺς πλέον τῶν ὁρωμένων εἰδότας μηδέν. Versu sequenti, pro ἀκριβῶς καθορῶντες idem cod. habet, ἀληθῶς καταρθροῦντες.

Digitized by Google

ἀδοξία, δόξαν ἀθάνατον ὠδίνει (37)· καὶ ἡ ἐκούσιος πενία, πλοῦτον οὐράνιον τίκτει. Τότε γὰρ φανεῖται τὰ ἀγαθά, ὅτε τελευτήσει τὰ λυπηρά.

dem hominem, et optima sententia institutoque animi, nec tamen læto fine uti comperias, eum, cujus calamitate commoveri par est, accusare desine. Atque hæc mihi ad te, qui præter ea, quæ in aspectum cadunt, nihil scis, dicta sunt. Nam nos, qui futuram vitam fidei oculis liquide conspicimus, et bella et tropæa, et laudes ac prædicationes vestras, ut quæ una cum præsenti vita exstinguantur, merito contemnimus. In eo autem bello versamur, quod adversus improbos dæmones, et carnis vitia geritur : eumque qui pervigili arte ipsos superat, victorem esse asserimus, quamvis alioqui ex hac vita ignominiose excessisse videatur. Siquidem hujus vitæ ignominia nunquam intermorituram gloriam parturit, et ultro suscepta paupertas cœlestes opes parit. Tunc enim apparebunt bona, cum finem acceperint molestiæ.

ΣϚ'. — ΑΡΑΒΙΑΝΩ ΕΠΙΣΚΟΠΩ.

Ἡ βασιλεία τοῦ Θεοῦ τισὶ μὲν δοκεῖ ἀνωτέρα εἶναι καὶ ὑψηλοτέρα τῆς βασιλείας τῶν οὐρανῶν, τισὶ δὲ ἡ αὐτή· ποτὲ μὲν ἀπὸ τοῦ βασιλεύοντος Θεοῦ, ποτὲ δὲ ἀπὸ τῶν βασιλευομένων, οὐρανῶν δηλονότι, προσαγορευομένη. Πότεροι οὖν τῆς ἀληθείας ἥψαντο, τῆς σῆς ἂν εἴη κρῖναι σοφίας.

338 CCVI. — ARABIANO EPISCOPO.

Dei regnum cœlorum regno sublimius et excelsius quibusdam esse videtur : quibusdam autem unum atque idem : quod nunc a regnante Deo, nunc ab iis, qui sub ipsius regno sunt, hoc est cœlis, appelletur. Utri autem veritatis scopum attigerint, tuæ sapientiæ fuerit judicare.

ΣΖ'. — ΑΣΚΛΗΠΙΩ ΕΠΙΣΚΟΠΩ.

Ἡ ὑπερκόσμιος λῆξις ἡ τῶν ἀγαθῶν πάντων κατάρρυτος, καὶ τοῖς λυπηροῖς ἅπασιν ἄβατος, ἡ ἀθυμίας ἄγονος, καὶ θυμηδίας ἁπάσης μήτηρ, ἡ γλῶτταν, καὶ ἀκοὴν, καὶ νοῦν ὑπερβαίνουσα, τοῖς νομίμως τὸν παρόντα βίον διαθλήσασι δηλονότι εὐτρεπισθεῖσα (38), οὐδ' αἴσθησιν συγχωρεῖ τῶν τῇδε λυπηρῶν ἔχειν· ὅθεν ὁ κορυφαῖος αὐτῶν ἐβόα, « Οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς. » Εἰ γὰρ νικᾷ ἐκ πολλοῦ τοῦ περιόντος τοὺς πόνους τῇ τῶν ἀμοιβῶν ἀντιδόσει ὁ ἀγωνοθέτης, καὶ τοσαύτην ἐνίησιν εὐφροσύνην, ὅσην τοὺς τὸν οὐράνιον κλῆρον νεμομένους ἔχειν εἰκὸς, οὐ θαυμαστὸν, εἰ ἐν οὐδενὶ αὐτοὶ τίθενται τὰ ἐν κόσμῳ ἀνιαρά.

CCVII. — ASCLEPIO EPISCOPO.

Cœlestis illa sedes, illa, inquam, bonis omnibus perfusa, molestiisque omnibus invia, illa mœroris expers, et lætitiæ omnis parens, illa linguam et aures ac mentem excedens, iis videlicet, qui præsens vitæ certamen legitime confecerint, præparata, acerbitatum hujusce vitæ ne sensum quidem habere patitur. Eaque de causa ipsorum antesignanus clamabat : « Non sunt condignæ passiones hujus temporis ad futuram gloriam, quæ revelabitur in nobis [69]. » Nam cum certaminis arbiter præmiorum, quæ rependit, magnitudine labores longo intervallo superet, tantamque voluptatem immittat, quantam eos, qui hæreditate cœlesti fruuntur, habere par est, minime mirum videri debet, si mundi molestias ipsi nullo loco ac numero ponant.

ΣΗ'. — ΠΕΤΡΩ ΜΟΝΑΖΟΝΤΙ.

Λίαν θαυμάζω πῶς, τὰ μὲν θηρία (39) κατὰ φύσιν ὄντα ἄγρια, ἀνθρωπείας ἀπολαύοντα τέχνης, ἡμερώτερα πολλάκις γίνονται· ἄνθρωπος δὲ, ὁ τὴν κατὰ φύσιν ἐκείνων θηριωδίαν εἰς τὴν παρὰ φύσιν ἡμερότητα μεταρρυθμίζων, τὴν οἰκείαν πραότητα τὴν κατὰ φύσιν εἰς τὴν παρὰ φύσιν θηριωδίαν ἐκφέρει, τὸ μὲν ἄγριον ποιῶν ἥμερον, ἑαυτὸν δὲ τὸν ἥμερον ἄγριον καθιστάς. Λέοντα μὲν γὰρ τιθασσεύει, καὶ ἡμερόῃθη ποιεῖ· τὸν δὲ οἰκεῖον θυμὸν, λέοντος ἀγριώτερον κατασκευάζει. Καὶ τὰ ἐκεῖ δύο κωλύματα (40) μέγιστα, καὶ τὸ λογισμοῦ ἐστερῆσθαι, καὶ τὸ πάντων εἶναι θυμικώτερον· ἀλλ' ὅμως τῇ περιουσίᾳ τῆς παρὰ τοῦ Θεοῦ δοθείσης τἀνδρὶ σοφίας,

CCVIII. — PETRO MONACHO.

Magnopere miror, qui fiat ut belluæ quidem, quæ suapte natura truces et agrestes sunt, adhibita humana industria, meliores persæpe fiant : homo autem, qui naturalem earum feritatem in naturæ repugnantem lenitatem immutat, a naturali sua mansuetudine ac facilitate, in feritatem, quæ ab ipsius natura remota est, degeneret ; id videlicet, quod ferum et agreste est, mite ac placidum reddens : seipsum autem, hoc est mitem ac mansuetum, ferum atque immanem reddens. Leonem enim cicurat, ac lenem et placidum efficit : iracundiam autem suam leone truculentiorem et immaniorem reddit. Atqui duo maxima impedimenta

[69] Rom. VIII, 18.

VARIÆ LECTIONES ET NOTÆ.

(37) Pro ἡ γὰρ ... ἀδοξία ... ὠδίνει cod. Vat. scribit, αἱ γὰρ ... ἀδοξίαι ... ὠδίνουσι. Denique vers. ult. pro τελευτήσει habet τελευτῇ. Id.

(38) Εὐτρεπισθεῖσα in εὑρεπισθεῖσα mutat idem cod. Vers. autem ep. pennit. pro οὐ θαυμαστὸν scribit οὐκ ἄρα θαυμ., etc. Finem epistolæ sic idem exhibet, post ἐν οὐδενὶ τίθεται τις αὐτῶν τὰ ὧδε ἀνιαρά, quæ prætulerim editis, ἐν οὐδενὶ τίθενται τὰ ἐν κόσμῳ ἀνιαρά. Id.

(39) Post θηρία cod. Vat. 650 addit καίτοι. Vers. 3 γίνονται mutat in γίνεται. Vers. 7 et 8 post ἑαυτὸν δὲ, non ut edita τὸν ἥμερον ἄγριον καθιστὰς, sed solum ἀνήμερον καθιστὰς scribit. Id.

(40) Pro illis editis, καὶ τὰ ἐκεῖ δύο κωλύματα, cod. Vat. habet, καίτοι δύο ἐστὶ κωλύμ., etc. Id.

Digitized by Google

sese illic objiciunt, alterum quod ratione caret, alterum quod feras omnes iracundiæ ardore superat. Et tamen sapientiæ divinitus homini concessæ facultate ipsam quoque naturam vincit. Qui igitur in belluis naturæ vim frangit, quid tandem est, quamobrem ipse in seipso una cum natura voluntatis quoque ac liberi arbitrii bonum prodit? Nam qui leoni id quod ipsius naturam superat, largitur, idem tamen sibiipsi ne ea quidem, quæ ipsius naturæ consentanea sunt, servat: verum indomitas bestias in humanam nobilitatem inducere studens, seipsum ab imperii solio deturbat, atque in illorum furorem ac rabiem præcipitem agit. Hæc ei, de quo ad me scripsisti, perpetuo accine. Sic enim fortasse, agresti iracundia devicta et cicurata, post hac cum mitissimo proborum virorum grege in gratiam rediturus est.

A καὶ τῆς φύσεως κρατεῖ. Ὁ τοίνυν ἐπὶ τῶν θηρίων τὴν φύσιν νικῶν, δι' ἣν αἰτίαν ἐφ' ἑαυτοῦ μετὰ τῆς φύσεως, καὶ τὸ τῆς προαιρέσεως προδίδωσι καλόν; Ὁ γὰρ τῷ λέοντι τὰ ὑπὲρ φύσιν χαριζόμενος, ἑαυτῷ οὐδὲ τὰ κατὰ φύσιν διατηρεῖ, ἀλλὰ ὁ τοὺς ἀτιθάσσους θῆρας εἰς τὴν ἀνθρωπείαν εὐγένειαν φιλονεικῶν εἰσαγαγεῖν (41), ἑαυτὸν ἀπὸ τοῦ θρόνου τῆς ἀρχῆς καταβιβάζει, καὶ εἰς τὴν μανίαν ἐξωθεῖ τὴν ἐκείνων. Ταῦτα ἐκείνῳ, περὶ οὗ γέγραφας, ἐπάδων μὴ διαλείπῃς. Τάχα πως τὸν ἀτίθασσον τιθασσεύσας θυμὸν, σπείσεται λοιπὸν πρὸς τὴν ἡμερωτάτην τῶν φιλαρέτων ἀγέλην.

339 CCIX. — CHÆREMONI DIACONO.

Ob eam causam Christi amor in nobis imbecillior est, quia auri amor valentior exsistit, atque omnis potentia in crudeli hoc atque tyrannico et inexplebili amore consumitur. Nam si hunc ex nobis exturbaverimus, nimirum ille nos vehementius inflammabit, ac velut furore quodam excitabit, atque a rebus omnibus ad vitam pertinentibus abductos in cœlesti regione collocabit.

B ΣΘ — ΧΑΙΡΗΜΟΝΙ ΔΙΑΚΟΝΩ.

Διὰ τοῦτο ὁ περὶ τὸν Χριστὸν πόθος ἀσθενέστερός ἐστιν ἐν ἡμῖν, ἐπειδὴ (42) ὁ περὶ τὸν χρυσὸν δυνατώτερος καθέστηκε, καὶ πᾶσα ἡ δύναμις εἰς τοῦτον δαπανᾶται τὸν ὠμὸν, καὶ τυραννικὸν, καὶ ἀκόρεστον ἔρωτα. Ὡς εἴ γε τοῦτον ἐξοικίσομεν ἐξ ἑαυτῶν, ἐκεῖνος ἐκκαύσει ἡμᾶς σφοδρότερον, καὶ ἐκβακχεύσει, καὶ ἔξω μὲν τῶν βιωτικῶν ἁπάντων ἐλάσει, εἰς δὲ τὸν οὐράνιον χῶρον ἱδρύσει.

CCX. — ZOSIMO PRESBYTERO.

Quandoquidem perinde quodammodo facis, ut qui ob deploratam valetudinem hanc potestatem acceperit, ut nulli rei, cujus cupiditate tenetur, parcat, verum et medicos valere jubeat, et iis epulis utatur, quæ pestem atque exitium excitant, propterea tibi reditus ad pudicitiam arduus esse videtur. At si tu luxui, qui ad venereos stimulos animum tanquam furore quodam adigit (nam hic libidinis radix ac mater est) finem imposueris, impudicitiæ quoque flamma exstinguetur. Detracta enim materia, ignis quoque profecto, qui ex ea augetur et excrescit, opprimetur. Quod si tu materiam igni subministras, quonam tandem pacto desinet ac requiescet? Si quiescentem feram excitas, qui eam sese agitantem ac furentem cicurabit? Hæc igitur atque his affinia cum animo tuo considerans, luxui desine.

C ΣΓ. — ΖΩΣΙΜΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Ἐπειδὴ παραπλήσιόν τι ποιεῖς νοσήματι ἀνηκέστῳ ἐξουσίαν λαβόντι μηδενὸς ὧν ἐπιθυμεῖ φείδεσθαι, ἀλλὰ τοῖς μὲν ἰατροῖς ἐῤῥῶσθαι φράσαντι, ἐκ δὲ τῶν ὀλέθρων ἐγειρόντων ἑαυτὸν εὐωχοῦντι· τούτου ἕνεκα δύσκολός σοι ἡ ἐπάνοδος ἡ ἐπὶ τὴν σωφροσύνην (43) δοκεῖ. Εἰ δὲ παύσοιτο τῆς εἰς ἐρωτικοὺς οἴστρους ἐκμαινούσης τρυφῆς (ῥίζα γὰρ ἀσελγείας αὕτη καὶ μήτηρ καθέστηκε), σβεσθήσεται, καὶ ἡ τῆς ἀκολασίας φλόξ. Τῶν γὰρ ὑλῶν ὑπεξαιρεθεισῶν, καὶ τὸ ἐξ αὐτῶν αὐξόμενον, καὶ κορυφούμενον πῦρ δηλονότι ἀποσβεσθήσεται (44). Εἰ δ' αὐτὸς τὰς ὕλας τῷ πυρὶ χορηγεῖς, πῶς λήξει καὶ παύσεται; Εἰ αὐτὸς ἡμερούντων διεγείρεις τὸ θηρίον, τίς αὐτὸ κυκῶν καὶ μαινόμενον τιθασσεύσει; Ταῦτα οὖν καὶ τὰ τούτων ἀδελφὰ ἐννοῶν, παῦσαι τοῦ διὰ παντὸς τρυφᾶν.

CCXI. — EUSTATHIO PRESBYTERO.

Inimicitiam in aqua scribere oportet, ut quamprimum oblitteretur: amicitiam autem in æs incidere, ut perpetuo firma et immota conservetur. Quod si is, quem tu a te dissidere ais, contra facit, hoc animum tuum minime conturbet, tanquam

D ΣΙΑ'. — ΕΥΣΤΑΘΙΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Χρὴ τὴν μὲν ἔχθραν εἰς ὕδωρ γράφειν (45), ἵνα ταχέως ἀφανίζηται· τὴν δὲ φιλίαν, εἰς χαλκὸν, ἵνα διὰ παντὸς βεβαία καὶ ἀκίνητος διατηρῆται. Εἰ δὲ ὃν φῂς πρὸς σὲ διαφέρεσθαι τοὐναντίον ποιεῖ, τοῦτό σε μὴ ταραττέτω, ὡς εἰς τοὺς στεφάνους παραβλα-

VARIÆ LECTIONES ET NOTÆ.

(41) Idem Cod. addit φύσιν.
(42) Cod. Vat. 650, διότι. Ip.
(43) Post σωφροσύνην cod. Vat. 650 addit εἶναι. Ip.
(44) Idem cod., συναποσβ. Vers. inde secundo pro κυκῶν habet κυκλοῦν, et mox pro τιθασσεύει, τιθασσεύσει. Ip.

(45) *Εἰς ὕδωρ γράφειν.* Proverbium in utraque lingua usitatum de re quæ oblivioni traditur et cito aboletur. Ἀνδρὸς πονηροῦ ὅρκον εἰς ὕδωρ γράφε. Id est, *Vir improbus quod jurat, undæ inscribito.* Catullus:

..... *mulier cupido quod jurat amanti,*
In vino et rapida scribere oportet aqua. Ritt.

Digitized by Google

θησόμενον. Οὐ γὰρ μὴ μισεῖσθαι (τοῦτο γὰρ οὐκ ἐφ' ἡμῖν, ἴσως δὲ καὶ ἀμήχανον. Παντὶ γὰρ τρόπῳ οἱ ἄριστοι παρὰ τῶν φαύλων μισοῦνται. Διὸ καὶ οἱ ἅγιοι αὐτὸ ὑπέστησαν), ἀλλὰ μὴ μισεῖν ἀνθρώπους, ἀλλὰ τὴν ἐν αὐτοῖς κακίαν προσετάχθημεν.

A proinde in corona detrimentum accepturum. Neque enim ne odio simus (hoc quippe nostri arbitrii haud est, ac fortasse ne fieri quidem potest : omni enim modo præstantissimi quique viri improbis invisi sunt : ac propterea sancti viri hujusmodi odium subierunt), sed, ne homines, verum improbitatem, qua laborant, odio habeamus, nobis imperatum est.

ΣΙΒ'. — ΠΑΥΛΩ.

Συγγνώμης καὶ τιμωρίας μείζονα πολλάκις τολμῶσιν ἄνθρωποι χρημάτων ἕνεκεν καὶ ἀρχῆς, καὶ τοῦ μηδενὶ τούτων παραχωρῆσαι. Κτήσασθαι μὲν γὰρ αὐτὰ βουλόμενοι, διὰ μυρίων κακῶν κτῶνται, καὶ φοβούμενοι ἀποβαλεῖν, πολλῷ ἀργαλεωτέροις (46) ἐγχειροῦσι. Νομίζοντες γὰρ τὸ ἀποβαλεῖν τοῦ μηδὲ κτήσασθαι δεινότερον εἶναι, χαλεπώτερα μηχανῶνται· χρὴ οὖν ἐν προοιμίοις περιγίνεσθαι τῶν παθῶν (47), ἵνα μὴ τελευτῶντες ἀνήκεστα νοσοῦντες φωραθῶμεν.

CCXII. — PAULO.

Homines plerumque opum atque imperii causa, et quia his rebus nemini cedere sustinent, venia omni ac supplicio graviora perpetrant. Nam et cum ea quærere et adipisci student, per innumera mala ea acquirunt : et amittendi metu multo graviora aggrediuntur. Quoniam enim gravius esse censent ea amittere, **340** quam nunquam quæsiisse, idcirco graviora quoque moliuntur. Quapropter vitiosæ affectiones in ipsis præludiis frangendæ sunt, ne alioqui tandem insanabili morbo laborare deprehendamur.

ΣΙΓ'. — ΠΑΛΛΑΔΙΩ ΔΙΑΚΟΝΩ.

Κινδυνεύει ἡ ἀνθρωπότης, ὡς τὰ πολλά, ἐν μὲν δυσημερίᾳ σωφρονεῖν, ἐν δὲ εὐημερίᾳ παροινεῖν. Καὶ τοῦτο ἐξ ὧν Ἑβραῖοι πεπόνθασιν ἀριδηλότατα δείκνυται. Παρῆλθον μὲν γὰρ τὴν Ἐρυθρὰν θάλασσαν, καὶ οὐδὲν κινδυνῶδες ὑπέμειναν· ἐλθόντες δὲ εἰς τὴν γῆν, ἐναυάγησαν.

CCXIII. — PALLADIO DIACONO.

Videtur, ut plurimum, humana natura in adversis quidem rebus modestiam colere, in secundis autem petulantem se præbere. Atque hoc ex iis, quæ Hebræis acciderunt, apertissime liquet. Transierunt enim mare Rubrum, nec periculi quidquam subierunt. Cum autem in terram venerunt, naufragium fecerunt.

ΣΙΔ'. — ΛΑΜΠΕΤΙΩ ΕΠΙΣΚΟΠΩ.

Θεοπρεπῶς καὶ μεγαλοφυῶς, μᾶλλον δὲ ὑπερφυῶς χρὴ τὸν νοῦν περὶ τῆς θείας οὐσίας τε καὶ αὐθεντίας λογιζόμενον, εὐσεβῶς καὶ χρησίμως, καὶ ὡς ἐνδέχεται τὰ δυσθήρατα καὶ δύσφραστα, μᾶλλον δὲ ἄφραστα τοῖς ἀκούουσι διὰ τῆς γλώττης, εἰ χρεία καλέσει, φράζειν, διισχυριζόμενον ἐκ τῶν τῆς Προνοίας ἔργων, ὅτι ἔστιν, οὐ τί ἐστι πολυπραγμονοῦντα. Τὸ μὲν γὰρ ἐφικτὸν καὶ ἁλώσιμον, τὸ δὲ ἀνέφικτον καὶ ἀθήρατον.

CCXIV. — LAMPETIO EPISCOPO.

Modo Divinitati consentaneo, et excellenti, atque adeo natura præstantiori mentem de divina essentia et auctoritate considerationem ineuntem, pie ac fructuose, et quatenus facultas fert, ea, quæ ægre investigari atque exponi, vel, ut rectius loquar, nullo modo exponi queunt, apud auditores per linguam, si ita opus sit, eloqui oportet : quod Deus sit, ex operibus asserentem, quid autem sit, minime perscrutantem. Illud enim consequi atque comprehendere possumus : hoc autem captum omnem et comprehensionem excedit.

ΣΙΕ'. — ΗΡΩΝΙ ΣΧΟΛΑΣΤΙΚΩ.

Οἱ τέχνῃ λόγων τάληθὲς συσκιάζοντες, πολλῷ μοι δοκοῦσι τῶν τοῦτο μὴ κατειληφότων ἀθλιώτεροι εἶναι. Οἱ μὲν γὰρ διὰ βραδυτῆτα γνώμης ἀπολειφθέντες τῆς θήρας, ἴσως συγγνωστοί. Οἱ δὲ δι' ὀξύτητα μὲν γνώμης τοῦτο θηρεύσαντες, κακούργως δὲ τοῦτ' ἀφανίζοντες, συγγνώμης ἁμαρτάνουσι μείζονα.

CCXV. — HERONI SCHOLASTICO.

Qui sermonum artificio veritatem obnubunt, multo mihi miseriores iis esse videntur, qui eam minime perceperunt. Nam qui ob ingenii tarditatem eam haudquaquam assecuti sunt, iis fortasse venia tribui possit. Qui autem ob mentis acumen eam indagarunt, malitioso autem ac veteratorio animo ex hominum oculis subduxerunt, gravius peccant quam ut ipsis ignosci debeat.

ΣΙΣ'. — ΠΑΛΛΑΔΙΩ ΔΙΑΚΟΝΩ.

Πρὸς Τιμόθεον, α'. Εἰς τὸ, « Εἴ τις ἐπισκοπῆς ὀρέγεται. »

Οἱ μὴ συνέντες τὴν γνώμην τὴν ἀποστολικὴν,

CCXVI. — PALLADIO DIACONO.

In illud, « Si quis episcopatum desiderat. »

Qui apostolicam mentem minime intellexerunt,

VARIÆ LECTIONES ET NOTÆ.

(46) Pro ἀργαλεωτέροις conl. Vat. 650 habet ἀργαλεώτερος. Possin.

(47) Confer. not. ad ep. 28 lib. II.

Digitized by Google

nec sapientiæ penetralia conspicati sunt, dum apostolica oracula sinistra interpretatione depravare minime periculosum esse censent, in vecordiam decidisse videntur. Quidnam enim est, quod dominandi cupiditate temulenti dicunt? Scriptum est, « Si quis episcopatum desiderat, bonum opus desiderat [80]. » Ego vero, quin hoc scriptum sit, haud quidem inficias ierim : quod autem ita, ut ipsis placet, intelligendum sit, plane repudiem. Maxime enim, prius etiam quam ad explanationem accedam, ea, quæ post hæc verba sequuntur, ad multos ab hac cupiditate reprimendos satis magnam vim habent. Neque enim cujuslibet hominis est imperium hujusmodi arripere, quod regnum quoque antecellit (illud quippe divina, hoc humana moderatur) : verum pancorum admodum, quos non minus iis, quibus **341** præsunt, quam pastores ovibus, ne quid amplius dicam, præstare æquum fuerit. Quid igitur ait? « Oportet igitur episcopum irreprehensibilem esse, sobrium, pudicum, modestum, hospitalem, doctorem, patientem, non vinolentum, non percussorem, sed mansuetum, non litigiosum, non avarum, domui suæ bene præpositum, filios habentem subditos cum omni gravitate (Si quis autem domui suæ præesse nescit, quomodo Ecclesiæ Dei curam habebit?), Non neophytum : ne in superbiam elatus in judicium incidat diaboli [81]. » Ecquid autem horum a plerisque (quorum numerum ipse quoque auges) præstitum est, ut rem, quæ ipsorum captum superat, expetant? An ea ipsorum vita est, in quam nulla reprehensio cadat? An ea vigilantia sunt, ut animi oculum insomnem habeant? An pudicitiæ laude ita exspleduerunt, ut non modo integram atque incolumem mentem habeant, verum etiam eas, qui in impuros concubitus tanquam œstro quodam ac furore perciti feruntur, vel tacentes ad meliorem mentem revocent? An tanta ipsis modestia inest, ut et ex ipso incessu et aspectu, et ex ipsa voce, spectatoribus terrorem injicere queant? (Siquidem ii, qui episcopatum nacti sunt, non secus atque universæ philosophiæ simulacrum spectandos sese præbere debent.) An usque adeo hospitales sunt, ut ignotos etiam pauperes domum ad epulas invitent? An doctrinæ sermonem studio ac meditatione ita consecuti sunt, ut etiam cœlestis gratia arcanorum ac spiritualium sermonum fontes in ipsorum lingua collocarit? An ea in ipsis mansuetudo ac morum facilitas emicuit, ut nunquam adversus quemquam debacchati sint? An a pecuniarum amore ita abhorrent, ut honestis etiam ac justis rationibus partas facultates egentibus distri-

μηδὲ τὸ βάθος τῆς σοφίας κατοπτεύσαντες, τὸ παρερμηνεύειν τὰ ἀποστολικὰ θεσπίσματα ἀκίνδυνον ἡγούμενοι, κινδυνεύουσιν εἰς ἀλογίαν ἐκπεπτωκέναι. Τί γὰρ ὑπὸ φιλαρχίας μεθύοντες φράζουσι ; Γέγραπται· « Εἴ τις ἐπισκοπῆς ὀρέγεται, καλοῦ ἔργου ἐπιθυμεῖ. » Τὸ μὲν οὖν γεγράφθαι τοῦτο, οὐκ ἂν ἀρνησαίμην, τὸ δ' οὕτω νοεῖσθαι, ὡς οὗτοι βούλονται, παραγραψαίμην. Μάλιστα γὰρ καὶ πρὸ τῆς ἑρμηνείας, δεινὰ τὰ ἑπόμενα τοῖς εἰρημένοις, ἀναστεῖλαι τοὺς πολλοὺς τῆς τοιαύτης ἐπιθυμίας. Οὐ γὰρ πάντων τὸ δύνασθαι τοιαύτης ἀρχῆς ἀντιλαβέσθαι, ἥτις καὶ βασιλείας ἐστὶν ὑψηλοτέρα· ἡ μὲν γὰρ τὰ θεῖα, ἡ δὲ τὰ ἐπίγεια διέπει πράγματα· ἀλλ' ὀλίγων κομιδῇ, οἳ τοσοῦτον τῶν ἀρχομένων δίκαιοι ἂν εἶεν διαφέρειν, ὅσον οἱ ποιμένες τῶν προβάτων, ἵνα μηδὲν εἴπω πλέον. Τί οὖν φησι ; « Δεῖ οὖν τὸν ἐπίσκοπον ἀνεπίληπτον εἶναι, νηφάλιον, σώφρονα, κόσμιον, φιλόξενον, διδακτικόν, ἀνεξίκακον, μὴ πάροινον, μὴ πλήκτην, ἀλλ' ἐπιεικῆ, ἄμαχον, ἀφιλάργυρον, τοῦ ἰδίου οἴκου καλῶς προϊστάμενον, τέκνα ἔχοντα ἐν ὑποταγῇ μετὰ πάσης σεμνότητος (εἰ δέ τις τοῦ ἰδίου οἴκου προστῆναι οὐκ οἶδε, πῶς Ἐκκλησίας Θεοῦ ἐπιμελήσεται ;), μὴ νεόφυτον, ἵνα μὴ τυφωθεὶς εἰς κρῖμα ἐμπέσῃ τοῦ διαβόλου (48). » Τί τούτων κατορθώσαντες οἱ πολλοί, ὧν εἷς καὶ αὐτὸς τυγχάνεις, ἐρῶσι πράγματος αὐτοῖς ἀνεφίκτου ; Ἀνεπίληπτον ἔχουσι βίον ; Ἀλλὰ τοσαύτη πρόσεστιν αὐτοῖς νῆψις, ὡς ἀκοίμητον ἔχειν τὸ τῆς ψυχῆς ὄμμα ; Ἀλλὰ σωφροσύνῃ τοσοῦτον διέλαμψαν, ὡς μὴ μόνον σώας ἔχειν τὰς φρένας, ἀλλὰ καὶ τοὺς οἰστρῶντας καὶ μαινομένους περὶ τὰς ἀκαθάρτους (49) μίξεις, καὶ σιγῶντας σωφρονίζειν ; Κοσμιότης δὲ αὐτοῖς τοσαύτη πρόσεστιν, ὡς καὶ ἀπὸ τοῦ βαδίσματος, καὶ ἀπὸ τοῦ βλέμματος, καὶ ἀπὸ τῆς φωνῆς καταπλήττειν δύνασθαι τοὺς ὁρῶντας ; Ὡς γὰρ ἄγαλμα φιλοσοφίας ἁπάσης, τοὺς τὴν ἐπισκοπὴν λαχόντας (50) πανταχοῦ φαίνεσθαι χρή. Ἀλλὰ φιλόξενοι τοσοῦτόν εἰσιν, ὡς καὶ τοὺς ἀγνῶτας πέντας οἴκαδε καλεῖν ἑστιασομένους ; Ἀλλὰ τὸν διδασκαλικὸν οὕτως ἐκ μελέτης κατώρθωσαν λόγον, ὡς καὶ τὴν ἄνωθεν αὐτοῖς ἐπιφοιτῆσαι χάριν, καὶ πηγὰς λόγων πνευματικῶν ἐν τῇ γλώττῃ κατοικῆσαι ; Ἀλλ' ἐπιεικείᾳ τοσαύτῃ διαλάμπουσιν, ὡς κατὰ μηδενὸς μηδεπώποτε πεπαρῳνηκέναι ; Ἀφιλόργυροι δὲ τοσοῦτόν εἰσιν, ὡς καὶ τὰ δικαίως προσόντα τοῖς δεομένοις διανεῖμαι ; Ἀλλ' ἀνεξίκακοι τοσοῦτόν εἰσιν, ὡς καὶ τοὺς εἰκῇ ὑβρίζοντας καὶ αἰτιωμένους φέρειν ; Τἆλλα δὲ αὐτοῖς πρόσεστι πλεονεκτήματα, ἃ τὸν ἄριστον ποιμένα ὑπογράφων ὁ Παῦλος ἐξέφρασε ; Τί ἐστι τὸ ἐπᾶραν αὐτοὺς εἰς τοσαύτην ἐκβαχχευθῆναι μανίαν ; Δέον γὰρ ἀγαπᾷν, ὅτι εἰς τὴν τῶν ὑπηκόων τάξιν τελοῦσι (σιωπῶ γὰρ ὅτι ἐξ

[80] I Tim. III, 1. [81] Ibid. 2-6.

VARIÆ LECTIONES ET NOTÆ.

(48) Post διαβόλου addit cod. Vat. C50 hæc omnia : Δεῖ δὲ καὶ μαρτυρίαν καλὴν ἔχειν ἀπὸ τῶν ἔξωθεν, ἵνα μὴ εἰς ὀνειδισμὸν ἐμπέσῃ καὶ παγίδα τοῦ διαβόλου. Τί τοίνυν, etc. Possin.

(49) Cod. idem pro ἀκαθάρτους legit ἀκράτους. Ib.

(50) Τοὺς... λαχόντας idem cod. in singulari ponit, τὸν... λαχόντα. Ib.

Digitized by Google

ὧν δρῶσι (51), ταύτης, εἴ τι τῶν δεόντων ἐγίνετο, δίκαιοι ἂν ἦσαν ἐξοστρακισθῆναι [52]), τῶν ἀνεφίκτων ἐφίενται, καὶ ἐπισκοπῆς ἔρωτα ἑαυτοῖς τρέφουσι, καὶ τὸν Ἀπόστολον τὸν τὸ ὀλέθριον αὐτῶν πάθος ἰάσασθαι σπουδάσαντα, ὡς συνηγοροῦντα τῇ νοσήματι αὐτῶν εἰς μαρτυρίαν προβάλλονται. Ἐγὰ μὲν βουλόμενον τὸν λόγον κατ' αὐτῶν ὁρμῆσαι, καὶ τὰς ἡνίας ἀφεῖναι (53) ὠδίνοντα, κεφαλαιωδεστέρων τε ἅψασθαι πραγμάτων, καὶ δεῖξαι ὡς οὐδὲ εἰς Χριστιανοὺς τελεῖν δίκαιοι ἂν εἶεν οἱ οὕτως εἰς τὰς ἱερὰς ἐνυβρίζοντες Γραφὰς, καὶ παίζοντες ἐν οὐ παικτοῖς, ἐπέσχον μὲν ἀνάγκῃ πολλῇ, ὥσπερ ἵππον εἰς πεδίον ὁρμῶντα (54) τῷ χαλινῷ ἀνακρούσας (55), εἰς δὲ τὴν ἑρμηνείαν τοῦ ῥητοῦ βαδίσαι προὐτρεψάμην. Τί οὖν ἔφη ὁ θεσπέσιος ἀνὴρ, ὁ πολυόμματος νοῦς, ὁ τὴν ἀρχὴν ταύτην ἀμέμπτως διοικήσας; « Εἴ τις ἐπισκοπῆς ὀρέγεται. » Οὐκ εἶπε, Πᾶς τις ἐπισκοπῆς ὀρεγέσθω. Οὐ προσέταξεν, οὐκ ἐκέλευσεν, οὐκ ἐνομοθέτησεν. Ἀλλ' ἐπειδὴ ἤδει τοὺς πολλοὺς τῇ φιλαρχίᾳ μεθύοντας, καὶ ἀρετῆς μὲν μὴ ἐφιεμένους, ἀρχῆς δὲ ἀντιποιουμένους, καὶ τοὺς μὲν τῆς ἐπισκοπῆς μὴ συνορῶντας ἱδρῶτάς τε καὶ πόνους καὶ κινδύνους, φροντίδας τε καὶ ἀγρυπνίας. Εἰς αὐτὸν (56) γὰρ πᾶσαι ἐπηώρηνται τῶν ὑπηκόων αἱ χρεῖαι. Τίνες δὲ αὗται; Τῶν ἱερωμένων αἱ δοκιμασίαι, τῶν πεινώντων αἱ τροφαὶ, τῶν διψώντων τὰ πόματα, τῶν γυμνῶν τὰ ἄμφια, τῶν ἀδικουμένων αἱ προστασίαι, τῶν ὀρφανίαν ὀδυρομένων αἱ κηδεμονίαι, τῶν χηρῶν ἡ ἀντίληψις, τῶν ἀδικούντων αἱ ἐπεξελεύσεις, τῶν παρανόμως ἄρχειν πειρωμένων ἔλεγχοι, τῶν ἀῤῥωστούντων αἱ θεραπεῖαι, τῶν σκανδαλιζομένων ἐκ πυρώσεως αἱ ἐπανορθώσεις, τῶν ἐν δεσμωτηρίοις αἱ λύσεις, τῶν ἐν συμφοραῖς αἱ παραμυθίαι, τῶν πταιόντων οἱ σωφρονισμοί. Ἐπεὶ τοίνυν ταῦτα πάντα, καὶ πολλῷ τούτων πλείονα, ἅπερ, ἵνα μὴ πάντα καταλέγων μηκύνω τὸν λόγον, παρέλιπον, τῆς ἐπισκοπῆς ἐχούσης τὰ ἄθλα, τινὲς ἀρχὴν καὶ ἄνεσιν καὶ τρυφὴν αὐτὴν εἶναι ᾠοντο, καὶ μήτε τὰ καθ' ἑαυτοὺς ἐξετάσαντες, μήτε τὸ μέγεθος τῆς ἀρχῆς ἐννοήσαντες, ἐπεπήδων τῷ πράγματι (57)· ἀναστέλλων αὐτῶν τὴν κινδυνώδη ὁρμὴν,

huerint? An ea patientia præditi sunt, ut eos etiam, a quibus sine ulla causa contumeliis afficiuntur, et accusantur, perferant? An denique alia ea ipsis ornamenta præsto sunt, quæ Paulus, optimum pastorem pingens, exposuit? Quidnam, quæso, est, quod eos in tantum furorem præcipites egit? Nam pro eo atque præclare secum actum putare debebant, quod in subditorum classe censentur (taceo enim quod ea quoque si quid eorum, quæ oporteret, facerent, ob sua flagitia exturbati mererentur), ipsi contra ea appetunt, quæ consequi nequeunt, atque episcopatus amorem in seipsis alunt, Apostolumque qui exitialem eorum morbum profligare studuit, tanquam morbo suo patrocinantem testem citant. Equidem ipse orationem, adversus eos impetum facere gestientem, habenasque omnes remittere properantem, resque magis summarias attingere, atque illud demonstrare, ne dignos quidem qui inter Christianos censeantur, eos esse, qui in sacras Scripturas ita contumeliosi sunt, sicque in minime ludicris rebus ludunt, **342** summa vi retinui, ac tanquam equum in campum ruentem freno retraxi: eamque ut ad hujusce dicti explorationem sese conferret, impuli. Quid igitur divinus ille vir dixit? illa, inquam, oculatissima mens, ille, inquam, qui hujusmodi imperium sine ulla reprehensionis nota administravit? « Si quis episcopatum desiderat. » Non dixit, Unusquisque episcopatum desideret. Non præcepit, non imperavit, non lege sanxit. Verum quoniam multos esse norat, qui dominandi cupiditate, velut ebrietate quadam correpti tenerentur, ac virtutem quidem minime expeterent, imperium autem affectarent, atque episcopatus labores et sudores ac pericula, curasque et vigilias minime perspicerent. Ad eum enim omnia ea quibus subditi opus habent, suspensa sunt. Quæ tandem ista? Eorum, qui divino cultui consecrati sunt, explorationes, esurientium alimoniæ, sitientium pocula, nudorum indumenta, eorum quibus injuriæ inferuntur, præsidium; eorum qui orbitatem lugent, procurationes; viduarum defensio; eorum qui in-

VARIÆ LECTIONES ET NOTÆ.

(51) Post δρῶσι cod. Vat. 650 inserit καί. Versu sequenti pro ἦσαν scribit εἶησαν, et mox inter ἔρωτα et ἑαυτοῖς ponit ἐν. Ib.

(52) Δίκαιοι ἂν ἦσαν ἐξοστρακισθῆναι. Ait Isid. multos esse in sacerdotali ordine constitutos, qui, si recte viveretur, et disciplina vigeret ecclesiastica, ne quidem in classe vulgarium Christianorum et laicorum haberent locum. Non igitur heri primum aut nudius tertius primo hoc malum in Ecclesiam Christi invasit. Ritt.

(53) Pro ἀφεῖναι cod. Vat. legit σαφηνίσαι· quæ lectio si recipitur, mutandum erit vocabulum præcedens ἡνίας in ἀνίας, ut significet auctor sibi impetum fuisse manifestandi ægritudinem animi ac molestiam qua afficeretur videndo perniciosum in Ecclesia episcopatuum ambitum. Possin.

(54) Ὥσπερ ἵππον εἰς πεδίον ὁρμῶντα. Alludit ad proverb., Τὸν ἵππον εἰς πεδίον, de re exultissima ad rem aliquam alacritate. Τὸ δύσκολον καὶ δυσκατόρθωτον πρᾶγμα ἔργον καλοῦσιν, οὐ μόνον οἱ ἐξ εὐτυχῶν σοφοὶ, ἀλλὰ καὶ αἱ ἱεραὶ Γραφαί. Suidas quo-

que hoc adnotavit: Ἔργον ἐπὶ τοῦ δυσχεροῦς. Πολύβιος· Οἱ δὲ Ῥωμαῖοι τοὺς Συρακουσίους ἔργον εἶχοντο, οὐ λογισάμενοι τὴν Ἀρχιμήδους δύναμιν. Et mox: Ἐργῶδες μετὰ πόνου γινόμενον δυσχερές. Sic ipse Isid. sup. ep. 175 h. l. III: Τὸ μὲν εὑρεῖν τὸ δίκαιον, ἔργον· τὸ δὲ μὴ διαφθεῖραι εὑρόντα ἐργωδέστερον. Et inf. ep. 274 geminum in modum: Σαυτὸν μὴ ἐπίῤῥιπτε τοιούτῳ πράγματι, ὃ ἔργον μέν ἐστι καταλαβεῖν· τὸ δὲ εὑρόντα μὴ διαφθεῖραι, ἐργωδέστερον τυγχάνει. Apud Aristotelem quoque creber est hic nominis usus in ista significatione. Ritt.

(55) Pro ἀνακρούσας cod. idem scribit ἀνακράσας, et vers. seq. pro βαδίσαι habet ἀνακάμψαι. Possin.

(56) Pro εἰς αὐτὸν cod. Vatic. εἰς αὐτὴν scribit, referens ad ἐπισκοπήν. Versu autem sequenti post τινὲς δὲ addit εἰσίν. Ib.

(57) Pro τῷ πράγματι idem habet τοσούτῳ πράγματι. Vers. pro ἁπλῶς ἐγχειρεῖν idem legit αὐτοὺς ἐγχ. Ib.

Digitized by Google

juriam inferunt, ultiones; eorum qui flagitiose ac scelerate imperium gerere conantur, reprehensiones; ægrotorum curationes; eorum qui ob tentationes offenduntur, correctiones; eorum qui in vinculis sunt, solutiones; eorum qui in calamitatibus versantur, consolationes; eorum qui in peccatum labuntur, castigationes. Quoniam, inquam, cum hæc omnia, ac multo etiam his plura, quæ ne singulis commemorandis sermonem in longum producam, a me prætermissa sunt, certamina episcopatus habeat, quidam tamen animi oblectationem ac delicias eum esse arbitrabantur, atque nec viribus suis perpensis, nec imperii magnitudine considerata, ad hujusmodi negotium prosiliebant : ut periculosum eorum impetum reprimeret, eosque ne munus, quod plerumque captum ac facultatem excederet, temere aggrederentur, moneret, his verbis usus est : « Si quis episcopatum desiderat, bonum opus desiderat. » Non dixit, Quilibet desideret : probe enim facit (sic enim locutus fuisset, si non opus ipsum, sed ejus amore flagrantem laudare voluisset), sed, « bonum opus desiderat. » Ut enim omittam quod arduum negotium, quodque ægre confici possit opus appellant non modo ii qui apud gentiles eruditi habiti sunt, sed etiam Scripturæ sacræ, cum aiunt, « Virum fidelem operosa res est invenire [58], » id quod ab omnibus intelligitur, eloquar. Opus est hæc res, vir optime, non ludus atque animi oblectatio : cura, non luxus; munus referendis rationibus obnoxium, non imperium ab omni censura liberum atque immune; paterna procuratio, non tyrannica licentia; dispensatoria præfectura, non ejusmodi potestas quæ sub reddendarum rationum necessitatem minime cadat. Ego episcopatus opus mirifice laudo; divinum enim est : ipsius autem amorem minime laudo; periculosus enim est. Non dico : bene facit; neque enim, ne probatissimos quidem viros hunc amorem in animo alere, verum pro viribus expellere oportet. Vide quemadmodum Apostolus (qui hujusmodi certaminis periculum fecerat, innumerisque sudoribus diffluebat, ac ne quis eorum, qui ipsius fidei commissi fuerant, quantum quidem in ipso erat, interiret, in vulneribus et **343** plagis, atque insidiis et mortibus versabatur) eos qui imperia ambiunt, ut harum palæstrarum expertes et imperitos, atque honorem solum ob oculos sibi proponentes, metu terroreque afficiat, ac modo non agitato capite clamet : Si quis episcopatum desiderat, labores intueatur, atque illud spectet, an ferendis illis par esse queat. Pericula conspiciat (adversus eum enim armis instruuntur invisibiles, ac plerumque etiam visibiles inimici), ac non honorem solum animo perpendat. Mortes contempletur, non delicias. Insidias et curas conspiciat : non autem in

καὶ διδάσκων μὴ πράγματι ἁπλῶς ἐγχειρεῖν τοῖς πολλοῖς ἀνεφίκτῳ, ἔφη· « Εἴ τις ἐπισκοπῆς ὀρέγεται, καλοῦ ἔργου ἐπιθυμεῖ. » Οὐκ εἶπε, Πᾶς τις ὀρεγέσθω· καλῶς γὰρ ποιεῖ (τοῦτο γὰρ ἂν εἶπεν, εἴγε μὴ τὸ ἔργον, ἀλλὰ τὸν ἐρῶντα ἐπαινέσαι ἠβουλήθη)· ἀλλὰ, « Καλοῦ ἔργου. » Ἵνα γὰρ παρῶ, ὅτι τὸ δύσκολον καὶ δυσκατόρθωτον πρᾶγμα ἔργον καλοῦσιν, οὐ μόνον οἱ ἐξ ἐθνῶν σοφοί, ἀλλὰ καὶ αἱ ἱεραὶ Γραφαὶ λέγουσαι· « Ἄνδρα δὲ πιστὸν ἔργον εὑρεῖν· » τὸ παρὰ πάντων νοούμενον φράσω. Ἔργον ἐστὶν, ὦ βέλτιστε, τὸ πρᾶγμα, οὐκ ἄνεσις· φροντὶς, οὐ τρυφή· λειτουργία ὑπεύθυνος, οὐκ ἀρχὴ ἀνεξέταστος· πατρικὴ κηδεμονία, οὐ τυραννικὴ αὐτονομία, οἰκονομικὴ προστασία, οὐκ ἀλογοθέτητος ἐξουσία. Ἐγὼ τὸ ἔργον τῆς ἐπισκοπῆς ὑπερφυῶς ἐπαινῶ· θεῖον γάρ· τὸν δ' ἔρωτα τὸν ἐπ' αὐτῇ οὐκ ἐπαινῶ (58)· σφαλερὸς γάρ. Οὐ λέγω, Καλῶς ποιεῖ· οὐ γὰρ χρὴ τὸν ἔρωτα τοῦτον, οὐδὲ τοὺς λίαν εὐδοκίμους ἐν τῇ ψυχῇ τρέφειν, ἀλλὰ παντὶ σθένει ἐξωθεῖν. Θέα τὸν Ἀπόστολον, ἔμπειρον ὄντα τοῦ ἀγῶνος τούτου, καὶ μυρίοις ἱδρῶσι καταῤῥεόμενον, καὶ τραύμασι καὶ πληγαῖς, καὶ ἐπιβουλαῖς, καὶ θανάτοις ὁμιλοῦντα, ἵνα μηδεὶς τῶν ἐμπιστευθέντων αὐτῷ, τό γε αὐτοῦ μέρος, ἀπόληται, πῶς ἐκφοβεῖ καὶ δεδίττεται τοὺς ἀρχοντιῶντας, ἅτε ἀπείρους τούτων τῶν ἀγωνισμάτων, καὶ πρὸς μόνην τὴν τιμὴν ὁρῶντας, καὶ μονονουχὶ κινῶν τὴν κεφαλὴν βοᾷ· Εἴ τις ἐπισκοπῆς ὀρέγεται, βλεπέτω τοὺς πόνους, καὶ σκοπείτω εἰ πρὸς τούτους ἀρκέσαι δύναται. Ὁράτω τοὺς κινδύνους (ἐπ' αὐτὸν γὰρ φράττονται ἀόρατοι καὶ ὁρατοὶ πολλάκις ἐχθροὶ), καὶ μὴ ἐννοείτω μόνον τὴν τιμήν. Θεάσθω τοὺς θανάτους, καὶ μὴ τὴν τρυφήν. Συνοράτω τὰς ἐπιβουλὰς καὶ τὰς φροντίδας, καὶ μὴ πρὸς τὴν ἄνεσιν νευέτω. Ἴστω, ὅτι εἴ τις εἰς ἐκεῖνον ἀχθεὶς τὸν θρόνον, χειροτονεῖται νομίμως ἀθλήσων, ἀλλ' οὐκ ἀκινδύνως τρυφήσων. Ὁ γὰρ τῆς τιμῆς μόνης ἐγκρατὴς γενόμενος, καὶ τἄλλα πάντα τὰ τῇ ἐπισκοπῇ προσήκοντα δίκαια παρεωρακὼς, ἐνταῦθα μὲν μυρίαις βληθήσεται κατηγορίαις, ἐσθ' ὅτε δὲ καὶ καθαιρεθήσεται τῆς τοιαύτης ἀξίας, ἐκεῖσε δὲ καταβοηθήσεται παρὰ τῷ ἀδεκάστῳ κριτῇ ἐπὶ τοῦ φοβεροῦ ἐκείνου βήματος· τῶν μὲν πεινώντων βοώντων, ὅτι Ἡμεῖς μὲν οὐδὲ τῆς ἀναγκαίας ἀπελαύσαμεν (59) τροφῆς· οὗτος δὲ τρυφήσας καὶ χρηματισάμενος τὰ λοιπὰ εἰς οἰκείας ἀνήλωσε φιλοτιμίας· τῶν δὲ γυμνῶν λεγόντων, ὅτι Ἀργαλεώτερος ἡμῖν οὗτος τοῦ χειμῶνος ἐγένετο· τῶν δὲ ἀῤῥωστούντων, ὅτι Τοῦ νοσήματος ἡμῖν βαρύτερος ὤφθη· καὶ τῶν μὲν ὀρφανῶν, Οὐκ ἀπελαύσαμεν οὐδεμιᾶς προστασίας· τῶν δὲ χηρῶν, Οὐκ ἐδάνεισεν ἡμῖν οὗτος παραμυθίας λόγον· τῶν δὲ δεσμωτῶν, Οὐκ ἐπέσταξεν ἡμῖν οὗτος συμπαθείας δάκρυον· τῶν δ' ἐν συμφοραῖς, Οὐκ ὄρεξεν ἡμῖν οὗτος θεραπείας χεῖρα· καὶ συλλήβδην εἰπεῖν, πάντων, ὧν ἐπίσκοπος κεχειροτόνηται, καταβοώντων. Τί οἴει τὸν ἀδέκαστον ποιῆσαι (60) κριτήν;

[58] Prov. xx, 6.

VARIÆ LECTIONES ET NOTÆ.

(58) Pro his, τὸν δ' ἔρωτα τὸν ἐπ' αὐτῇ οὐκ ἐπαινῶ, cod. Vat. solum habet, τὸν ἔρωτα οὐκ ἐπαινῶ. Ip.

(59) Cod. Vat. scribit ἀπηλαύσαμεν, idque idem iterat versu post quinto. Ip.

(60) Cod. Vat. ποιήσεις et vers. post sexto pro παίζωμεν, παίξοιμεν scribit. Ip.

Digitized by Google

Οὐ κολάσειν σφοδρότερον, τὸν μηδὲ τῇ τιμῇ βελτίω γενόμενον; Παντὶ μὲν δήπου δῆλόν ἐστιν. Εἰ δέ τις ἀπιστεῖ, καὶ τὴν ἀπόφασιν αὐτῷ ἀναγνώσομαι. « Διχοτομήσει γάρ, καὶ τὸ μέρος αὐτοῦ μετὰ τῶν ἀπίστων θήσει. » Ταῦτ' οὖν ἐννοοῦντες μὴ παίζωμεν εἰς τὰ θεῖα. Οἱ γὰρ εἰς τὸ ἴδιον λογοθέσιον μόλις ἐπαρκέσαντες, ὅταν καὶ τοσούτων δήμων καταῤῥήσεις κατασκευάσωμεν ἑαυτοῖς, ποῦ φανούμεθα;

A voluptatem animique remissionem oculos conjiciat. Illud sciat, quod si quis ad hunc thronum evehatur, idcirco instituitur, ut legitime certet, non autem ut citra periculum in luxu ac deliciis versetur. Nam qui honoris solius compos effectus est, aliaque omnia jura, quæ ad episcopatus administrationem attinent, contempsit ac pro nihilo duxit, tum hic sexcentis probris incesseter, atque etiam interdum de hujusmodi honoris gradu dejicietur; tum illic apud incorruptum judicem in tremendo illo tribunali clamoribus exagitabitur, nimirum fame oppressis clamantibus : Nobis ne necessario quidem cibo frui contigit, hic autem in luxu ac congerendis pecuniis versatus, reliqua in ambitionibus suis consumpsit. Nudis autem dicentibus : Hic nobis vi frigoris acerbiorem se præbuit; ægrotis item : Graviorem se nobis hic, quam morbus, exhibuit; pupillis : Nihil ab hoc opis ac præsidii consecuti sumus; viduis : Hic consolatoriam orationem minime nobis commodavit; in vincula conjectis : Hic nullas commiserationis lacrymas nobis fudit; calamitosis : Hic medicam manum nobis minime porrexit: ac denique ut summatim dicam, omnibus iis, quorum episcopus creatus est, cum clamore insectantibus. Quid porro incorruptum illum judicem facturum putas? Annon in eum acrius animadversurus qui ne ex ipso quidem honore melior effectus est? Nemini profecto id obscurum est. Quod si quis meis verbis diffidit, sententiam quoque recitabo: « Dividet enim eum, partemque ejus cum infidelibus ponet [52]. » Hæc igitur cum animis nostris reputantes, divinas res ludibrio ne habeamus. Nam qui privatis etiam rationibus reddendis vix pares fuerimus, postea quam tot populorum clamores et insectationes nobis ipsis comparaverimus, ubi tandem os nostrum ostendemus?

ΣΙΖ'. — ΣΕΡΗΝΩ ΔΙΑΚΟΝΩ.

Οἱ μὲν τὴν ψυχὴν πρὸς ἀρετὴν ἀκονῶντες, ἅτε θείας φιλοσοφίας ὄντες αὐτοφυῆ ἀγάλματα, δι' ἀνάγκην προσομιλοῦσι τῷ σώματι, καὶ τοῖς ἀναγκαίοις ἀρκούμενοι, τὸν τῆς φιλοχρηματίας ὄχλον, ἅτε πάσης κακίας πηγήν, μισοῦντες, μυρίων ἀπαλλάττονται κακῶν. Οἱ δὲ μόνον εἶναι σῶμα τὸν ἄνθρωπον ἀλογίστως ἡγούμενοι (ὧν ἕνα σε εἶναί τινες ἰσχυρίζονται, ἐγὼ δὲ ἀπιστῶ), τὸν ἀκόρεστον ἔρωτα τῶν χρημάτων νοσοῦντες τῷ μηδέποτε κόρον λαμβάνειν βασανίζονται, καὶ ἐπιθυμίᾳ ἀνηνύτῳ οἰστρούμενοι (61), ἀεί τε ἐν πενίᾳ εἶναι νομίζοντες, δρῶσιν ἃ ὀρᾷν οὐ θέμις. Χρὴ οὖν αὐτοὺς λογιζομένους ὅτι καὶ πλοῦτος μέγιστος, ὡς πρὸς τὰς ἀμέτρους ὀρέξεις, εὑρίσκεται πενία, καὶ ὡς πρὸς τὸ τῆς φύσεως αὐτάρκες, ἡ πενία πλοῦτός ἐστι, παύσασθαι τῆς τοιαύτης μανίας.

B

CCXVII. — SERENO DIACONO.

Qui animum ad virtutem acuunt, ut qui divinæ philosophiæ nativa simulacra sint, necessitate compulsi commercium cum corpore habent, rebusque necessariis contenti, avaritiæ tumultum ac molestiam, ut vitii omnis fontem, odio insectantes, innumeris malis eximuntur. Qui autem solum corpus **344** hominem esse inconsiderate arbitrantur (quorum in numero te esse nonnulli affirmant, ego vero minime adducor ut credam), inexplebili opum amore laborantes, hoc ipso quod nunquam eos satietas capit, excruciantur, atque irritæ cupiditatis œstro perciti, seque perpetua inopia premi existimantes, perpetrant quæ perpetrare nefas est. Quocirca ipsos oportet, cum animo suo illud volventes, quod et amplissimus census, si cum immoderatis appetitionibus conferatur, paupertas invenitur, contraque si, quantum naturæ sat sit, spectetur, paupertas divitiarum rationem habet, hujusmodi insaniæ finem constituere.

C

ΣΙΗ'. — ΖΩΣΙΜΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Πολλοί μέν σε δεινῶς σφόδρα καὶ καταφορικῶς ἐκκωμῳδοῦσι, καὶ παρὰ πάντων πιστεύονται. Ἐμοὶ δὲ τάχιστα καὶ εὐπρεπέστατα λελέξεται, ὅτι δίκαιος ἂν εἴης, κἂν ὀψὲ τῆς ἡλικίας, γνῶναι ὅτι μυρίων τιμωριῶν πρόξενοί εἰσιν αἱ περὶ τὸ σῶμα ἡδοναί.

CCXVIII. — ZOSIMO PRESBYTERO.

Permulti te graviter sane et acriter traducunt : ac fidem apud omnes nanciscuntur. Ego vero celerrime congruentissimeque hoc dixerim, æquum esse te, simili saltem ætate, illud scire, corpore voluptates innumeros cruciatus accersere.

ΣΙΘ'. — ΟΥΡΣΕΝΟΥΦΙΩ ΑΝΑΓΝΩΣΤΗ.

Β' Βασιλειῶν. Περὶ Ἀβεσαλὼμ, καὶ τοῦ τελευτήσαντος πλήθους ἐν τῇ ὀργῇ τοῦ λοιμοῦ (62), ὁπηνίκα Δαβὶδ τὸν λαὸν αὐτοῦ ἐξηριθμήσατο.

Ὁ μὲν Ἀβεσαλὼμ δίκην παρὰ τῆς θείας ἀπῃτήθη

D

CCXIX. — URSENUPHIO LECTORI.

De Absalon, et de multitudine quæ in ira pestis periit, quando David populum suum numeravit [53].

Absalon quidem a divina justitia supplicio affe-

[52] Luc. XII, 46. [53] II Reg. XXIV, 2 seqq.

VARIÆ LECTIONES ET NOTÆ.

(61) Cod. Vat. 650 οἰστρούμενοι mutat in ὑστερούμενοι. Ed.

(62) Confer Isidor. ep. 39 lib. I. Eamdem causam puniti populi Judaici etiam S. Eulogius reddit apud

Digitized by Google

tus est, quod exauctorandi patris causa probi judicis speciem præ se tulisset, subditosque per hujusmodi lenocinium sibi devinxisset. Imperium enim ambiebat ac stipatorum manum cogebat, atque ad sublimem tyrannidem velut exstructis turribus aditum sibi muniebat. Qui autem ad ejus partes sese adjunxerant, ac tyrannidem tantum non exstruxerant (siquidem in hujus principium, in illius autem finem oculos conjiciebant), pœnam, etsi non statim (mœrorem enim concepisset David, subditis, imo, ut rectius loquar, regia dignitate orbatus), at certe non ita multo post persolverunt. Pestis quippe eos depasta est, non serpens, nec pedetentim progrediens, verum confertim ac funditus universam gentem populans. Quamvis enim hujusmodi cædi causam aliam imposuit : at supplicii tamen radix ex illa culpa orta est, quæ aliquanto postea fructum tulit, hoc est, in opus processit, tum scilicet, cum de rege quoque, ob censum præter divinam voluntatem populum, supplicium sumi oportebat. Nam cum illi, re quidem ipsa ob suum, verbo autem ob regis peccatum morte afficerentur, ipse quoque in maxima calamitate versabatur. Cupiebat enim cum gloria potius mori quam amissis subditis turpiter vivere. Quod si quis minorem mihi fidem adhibet, audiat ipsum dicentem, « Sit super me manus tua, et super domum patris mei [64]. » Neque enim alii pro alio, ut existimas, pœnas pependerunt, verum cuique quod aptum erat tributum est. **345** Ab illis quippe ob admissum non ita pridem peccatum, ab hoc autem ob præsentem culpam pœna expetita est : divina videlicet sententia ipso pœnas exigeret.

A δίκης, ἐπὶ καθαιρέσει τοῦ οἰκείου πατρὸς προσποιησάμενος ἀγαθὸς εἶναι δικαστὴς καὶ τοὺς ὑπηκόους διὰ ταύτης τῆς κολακείας οἰκειωσάμενος. Ἐμνᾶτο γὰρ ἀρχήν, καὶ δορυφόρους συνεκρότει, καὶ ὑψηλὴν τυραννίδα ἐπύργου. Οἱ δὲ συνδραμόντες καὶ μονονουχὶ κατασκευάσαντες τὴν τυραννίδα (ἀπέβλεπον γὰρ τοῦ μὲν εἰς τὴν ἀρχὴν (63), τοῦ δὲ εἰς τὴν τελευτὴν), δίκην, εἰ καὶ μὴ παραχρῆμα (ἐλυπήθη γὰρ ἂν ὁ Δαβὶδ, τῶν ὑπηκόων, μᾶλλον δὲ τῆς βασιλικῆς ἀξίας ἀποστερούμενος), ἀλλὰ μικρὸν ὕστερον ἀπῃτήθησαν. Ὁ γὰρ λοιμὸς αὐτοὺς ἐπενείματο, οὐχ ἕρπων, οὐδὲ κατὰ βραχὺ προϊών, ἀλλ' ἀθρόως καὶ ἠδηδὸν ἅπαν τὸ ἔθνος καταβοσκόμενος. Εἰ γὰρ καὶ ἄλλην αἰτίαν ἐπέθηκε τῇ τοιαύτῃ σφαγῇ, ἀλλ' ἡ ῥίζα τῆς τιμωρίας ἐξ ἐκείνου μὲν τοῦ πταίσματος B ἔφυ, μετ' οὐ πολὺ δὲ καρπὸν ἤνεγκε, τουτέστιν εἰς ἔργον ἐχώρησεν, ὅτε καὶ τὸν βασιλέα ἐπὶ τῷ παρὰ τὴν θείαν γνώμην ἀριθμῆσαι τὸν λαὸν ἐχρῆν δοῦναι δίκην. Ἐκείνων γὰρ ἀναιρουμένων, ἔργῳ μὲν ὑπὲρ οἰκείας, λόγῳ δὲ ὑπὲρ τῆς τοῦ βασιλέως ἁμαρτίας, καὶ αὐτὸς ἐν μεγίστῃ (64) καθειστήκει συμφορᾷ. Ἐβούλετο γὰρ εὐκλεῶς τεθνάναι, ἢ ἀκλεῶς ζῆν, τῶν ὑπηκόων στερηθείς. Εἰ δέ τις ἀπιστεῖ, ἀκουέτω αὐτοῦ λέγοντος, « Γενέσθω ἐπ' ἐμὲ ἡ χείρ σου, καὶ ἐπὶ τὸν οἶκον τοῦ πατρός μου. » Οὐ γὰρ ἄλλοι ὑπὲρ ἄλλου ἐκολάσθησαν, ὡς ἐνόμισας· ἀλλ' ἑκάστῳ τὸ πρόσφορον ἀπενεμήθη. Οἱ μὲν γὰρ τῆς πρὸ βραχέος γεγενημένης ἁμαρτίας, ὁ δὲ τῇ (65) παραχρῆμα ἀπῃτήθη δίκην· τῆς ἀδεκάστου ψήφου καιρὸν εὑρούσης ἐπιτήδειον, ἐν ᾧ κἀκείνους C καὶ τοῦτον δίκην εἰσπράξεται.

CCXX. — AUSONIO CORRECTORI.

Vel solus, vel certe præsertim illud curare debes, ut, quantum in te est, subleventur ii qui in calamitates inciderunt.

ΣΚ'. — ΑΥΞΟΝΙΩ ΚΟΡΡΗΚΤΩΡΙ (66).

Ἢ μόνος, ἢ μάλιστα φροντίσαι δίκαιος ἂν εἴης, ὅπως, τόγε σὸν μέρος, ἐπικουφισθῶσιν οἱ συμφοραῖς περιπεπτωκότες.

CCXXI. — MARONI ET EUSTATHIO.

Audio vos, cum ea vitia, ad quorum magnitudinem nihil accedere possit, palam designetis, flagitia tamen vestra voluntate minora existimare : et cum non audenda facinora audaci animo perpetretis, timidos tamen vos ipsos atque ignavos esse censere, propterea quod id omne, quod voluntas vestra fert, operibus conspicuum facere nequeatis. Quapropter si verus hic rumor est, ab hujusmodi animi instituto absistite, ne alioqui furiæ quædam, aut dæmones, humanam formam gerentes, esse existimemini.

ΣΚΑ'. — ΜΑΡΩΝΙ ΚΑΙ ΕΥΣΤΑΘΙΩ (67).

Πυνθάνομαι ὡς πᾶσαν ὑπερβολὴν κακῶν ἐπιδεικνύμενοι, μικροτέραν τῆς βουλήσεως ἡγεῖσθε τὴν πρᾶξιν, καὶ τὰ ἀτόλμητα τολμῶντες, ἀτόλμους ἑαυτοὺς καὶ ἀνάνδρους ἡγεῖσθε, ὅτι μὴ δύνασθε πᾶσαν τὴν βούλησιν διὰ τῶν πράξεων δηλῶσαι. Εἰ τοίνυν D ἀληθὴς ἡ φήμη, παύσασθε τῆς τοιαύτης προαιρέσεως, ἵνα μὴ ἀλάστορες, ἢ δαίμονες ἀνθρωπόμορφοι νομισθείητε.

[64] II Reg. xxv, 17.

VARIÆ LECTIONES ET NOTÆ.

Photium in *Bibliotheca*, pag. 462. Quæ ideo notanda sunt, ne insons et innoxia plebs punita videatur, quod a justitia Dei alienum videri posset. Ritt.

(63) Pro τὴν ἀρχὴν cod. Vat. 650 habet τὴν ἀκμήν. Possin.

(64) Idem cod. legit, καὶ αὐτόθεν ἐν μ. Id.

(65) Cod. Vat. 650, τήν. Id.

(66) Inscribitur hæc ep. in cod. Vat. 650 non Αὐξονίῳ, sed Αὐσονίῳ. Initium hujus ep. satis diversum idem cod. exhibet hoc modo : Ἡμῶν μάλιστά φροντὶς σοι δικαίως ἂν εἴη, ὅπως, etc., quæ valde suspicor esse puram scriptionem archetypam. Possin.

(67) In cod. Vat. 650 hæc ep. viris quatuor inscribitur quorum duos tantum posteriores editio exprimit ; sed ante hos in illo cod. legitur : Μαρτιανῷ, Ζωσίμῳ, *Martiniano*, *Zosimo*. Id.

Digitized by Google

ΣΚΒ'. — ΤΟΙΣ ΑΥΤΟΙΣ.

Μέτριον ἀσκεῖν χρὴ, ὦ βέλτιστοι, τὸ φρόνημα. Μέτριον δέ φημι, οὐ τὸ πρὸς τοὺς μείζους κολακευτικὸν, ἀλλὰ τὸ πρὸς τοὺς ἐλάττους συγκαταβατικόν· οὐ τὸ δουλοπρεπὲς, ἀλλὰ τὸ ἥμερον· οὐ τὸ ὑποκρίσεως μεστὸν, ἀλλὰ τὸ ἄδολον καὶ ἐλευθέριον, καὶ κατηλείαν μὴ ἐπιστάμενον.

CCXXII. — IISDEM.

Animi moderationi, optimi viri, studendum est. Per moderationem autem, non assentationes et blanditias majoribus adhibitas, sed demissionem ad inferiores; non servilem affectum, sed lenitatem ac morum facilitatem, non hypocrisi plenam, sed simplicem et ingenuam, cauponariæque artis ignaram intelligo.

ΣΚΓ'. — ΙΕΡΑΚΙ ΠΡΕΣΒΥΤΕΡΩ.

Οὐ μετρίως ἄδῃ κατὰ τὴν πόλιν, ὦ πάντα μικρὰ πρός σε φθέγξασθαι. Τῆς γὰρ περιμαχήτου καὶ ποθεινοτάτης ἅπασιν ἀρχῆς, νῦν, εἴπερ ποτὲ, σφοδρὸν ἑαυτῆς ἔρωτα τοῖς ἀνθρώποις ἐμβαλούσης, καὶ ῥᾳδίως ἑαυτὴν τοῖς ἐρῶσι παρεχούσης, οὐ μόνον οὐκ ὠνειροπόλησας (68), ἀλλ' οὐδὲ καλούμενος ὑπήκουσας, οὐδὲ προτεινομένην ἥρπασας, ἡγούμενος ἀρχὴν εἶναι μεγίστην, καὶ πρέπουσαν ἀνδρὶ καλῷ κἀγαθῷ, τὸ ἄρχειν ἑαυτοῦ δύνασθαι, τὸ τὸν λογισμὸν τῷ θυμῷ καὶ ταῖς ἡδοναῖς ἐπιστῆσαι. Μετὰ δὲ τοῦτο, εὖ καὶ καλῶς ἑώρακας, τὴν ἀκριβῆ ἐλευθερίαν ἐν ταῖς ἡσυχίαις, ἀλλ' οὐκ ἐν ταῖς περιβλέπτοις ταύταις ταῖς ἀρχαῖς χορεύουσαν. Πολλῆς γὰρ ἀνάγκης εἶναι εἰκότως νενόμικας τῶν μὲν ἄρχειν, ἑτέροις δὲ δουλεύειν· καὶ τοῖς μὲν ἐπιτάττειν, τοῖς δὲ ὑπακούειν· καὶ τοὺς μὲν ἀδικεῖν, τοῖς δὲ χαρίζεσθαι· καὶ τοῖς μὲν ὑποκεῖσθαι, τοῖς δὲ ἐπικεῖσθαι· καὶ τοὺς μὲν φοβεῖσθαι, ὑπὸ δὲ τῶν μισεῖσθαι. Ἡγούμενος οὖν δίκην διδόντων, οὐ τιμὴν λαμβανόντων ταῦτ' εἶναι, ἐκείνην μὲν εἰκότως παρῆτήσω, περὶ δὲ τὴν τῆς ψυχῆς ἐπιμέλειαν, τὴν σπουδὴν ἔτρεψας. Εἰ δέ τινες τὴν κρίσιν τῶν πραγμάτων οὐκ ἔχοντες ὀρθὴν, μᾶλλον δὲ τὸν λογισμὸν ἀπολωλεκότες, αἰτιῶνταί σε, μάλιστα μὲν οὐδὲ λόγου ἀξιωθῆναι ὀφείλουσιν, ἄνθρωπον αἰτιώμενοι, τὸν στεφάνων ἄξιον. Εἰ δὲ χρὴ ἀκροβολίσασθαι (69) πρὸς αὐτοὺς, ἐκεῖνο εἰπέ. Ἴσως ἐοίκατε ἀγνοεῖν, ὅτι εἰς τυραννίδα τὸ τῆς πραότητος μετακεχώρηκεν ἀξίωμα. Εἰ μὲν γὰρ ἔχετε δεῖξαι τὴν ἀρχαίαν ποιμαντικὴν καὶ νῦν κρατοῦσαν, μάλιστα μὲν τὸν ἧττονα ἡγησάμενον εἶναι τοῦ πράγματος, καὶ ἀποφυγόντα, δίκαιοι ἂν εἴητε ἐπαινεῖν (70). Εἰ δὲ δυνάμενος παρῆτήσατο, μὴ μόνον ἀπολυέσθω τῆς κατηγορίας, ἀλλὰ καὶ δίκας ἀπαιτείσθω. Εἰ δὲ εἰς τοὐναντίον μετακεχώρηκε, μὴ ἀπαιτείσθω. Τότε μὲν γὰρ ὑπὲρ τῶν προβάτων ἀπέθνησκον· νῦν δὲ τὰ πρόβατα ἀναιροῦσιν οἱ ποιμένες, οὐ τὰ σώματα σφάζοντες· ἧττον γὰρ ἦν κακόν (71)· ἀλλὰ τὰς ψυχὰς σκανδαλίζοντες. Καὶ τότε μὲν νηστείαις τὸ σῶμα ἐσωφρόνιζον, νῦν δὲ τρυφαῖς σκιρτᾷν παρασκευάζουσι. Καὶ τότε μὲν τὰ ἑαυτῶν τοῖς δεομένοις διένεμον· νῦν δὲ τὰ τῶν πενήτων σφετερίζονται. Καὶ τότε

CCXXIII. — HIERACI PRESBYTERO.

Non mediocriter in urbe celebraris, o quonam pacto te appellem! Quidquid enim dicatur, si tui ratio habeatur, exiguum est. Nam cum vehementer ab omnibus expetitum, et de quo tanta contentione certatur, imperium, nunc, si unquam alias, acrem sui amorem mortalium animis injiciat, facileque sese amantibus fruendum præbeat, tu tamen non illud tantum per somnium minime tibi effinxisti, sed ne vocatus quidem paruisti, nec porrectum imperium arripuisti: quod scilicet existimares maximum, ac probo et honesto viro congruens imperium esse, sibiipsi imperare posse, ac rationem iracundiæ ac voluptatibus præficere. Postea autem istud quoque probe ac præclare perspexisti, veram libertatem in quiete, ac non in conspicuis hujusmodi imperiis, velut choros agitare. Ingentis enim molestiæ merito judicasti, aliis præesse, aliis servire; aliis imperare, aliis parere; alios lædere, aliis gratificari; aliis subjici, aliis superjectum esse; alios pertimescere, aliis odio esse. Quamobrem hæc eorum esse, qui pœnas darent, non qui honorem acciperent, existimans, imperium optimo jure repudiasti, atque ad animi curam, studium et operam convertisti. **346** Quod si quidam recto rerum judicio carentes, vel, ut rectius loquar, mente ac ratione orbati, te accusant, maxime quidem nec digni sunt, ad quos sermo habeatur, ut qui eum, qui corona dignus est, accusandum putent. Quod si adversus eos velitandum est, hanc orationem habe: Illud fortasse ignorare videmini, lenitatis ac mansuetudinis dignitatem in tyrannidem transiisse. Nam si hoc ostendere potestis, veterem pascendi gregis rationem nunc quoque vigere, maxime quidem cum, qui se huic negotio imparem esse arbitratus est, ac propterea in fugam se dedit, a vobis laudari æquum fuerit. Si autem cum id exsequi posset, munus istud defugit, non modo crimine non solvatur, sed etiam in eum animadvertatur. Sin vero res in contrarium cessit, ab eo pœnæ minime expetuntor. Tum enim salutis ovium causa mortem oppetebant: nunc autem pastores ovibus mortem inferunt, non

VARIÆ LECTIONES ET NOTÆ.

(68) Ὠνειροπόλησας cod. Vatic. 650 in participio ponit, scribens ὀνειροπολήσας. Versu post hunc 4, pro his, τὸ ἄρχειν ἑαυτοῦ δύνασθαι, τὸ, cod. idem habet, ἄρχειν ἑαυτῷ δυναμένῳ καὶ τὸν λογισ., etc. Possin.

(69) Cod. Vat. 650 melius legit, εἰ δὲ χρὴ ἀκριβολογεῖσθαι, et versu mox sequenti pro εἰπὲ scribit εἰπεῖν. Id.

(70) Pro his, δίκαιοι ἂν εἴητε ἐπαινεῖν, cod. Vat. 650 commodius habet, δίκαιος ἂν εἴη τὸ ἐπαινεῖν. Vers. seq. μόνος ἀπολυέσθω, pro his cod. Vat. scribit, μόνος μὴ ἀπολυέσθε. Id.

(71) In cod. Vat. sic legitur, ἧττος γὰρ ἂν ἦν κ., etc. Id.

Digitized by Google

corpora jugulantes (levius enim hoc malum esset), verum animis offensionem afferentes. Tum jejuniis corpus castigabant : nunc autem, ut luxu ac deliciis exsultent, efficiunt. Tum bona sua egentibus distribuebant : nunc autem pauperum bona in rem suam vertunt. Tum virtutem colebant : nunc virtutis cultores proscribunt et eliminant. Tum castitatem mirificis laudibus efferebant : nunc autem, sed nihil molesti dicere volo. Nam hæc quoque eo duntaxat dicere cupio, ut eos, qui in culpa sunt, insectarer. Non enim omnes accusabo. Verum, cum ostendam quantum inter vetus ministerium ac præsentem tyrannidem intersit, quæ tandem causa est, quamobrem æqualitatis amantes coronis non redimitis ac prædicatis?

A μὲν ἀρετὴν ἤσκουν, νῦν δὲ τοὺς ἀρετὴν ἀσκοῦντας ἐξοστρακίζουσι. Καὶ τότε μὲν τὴν ἀγνείαν ἐξεθείαζον, νῦν δὲ, ἀλλ' οὐδὲν βούλομαι δυσχερὲς εἰπεῖν. Καὶ γὰρ ταῦτ' εἶπον (72) ἐκκωμῳδῶν τοὺς ἐνόχους. Οὐδὲ γὰρ πάντας αἰτιάσομαι, ἀλλὰ δεικνὺς τὸ μέσον τῆς ἀρχαίας λειτουργίας, καὶ τῆς νυνὶ τυραννίδος, δι' ἣν αἰτίαν οὐ στεφανοῦτε, καὶ ἀνακηρύττετε τοὺς τῆς ἰσότητος ἐραστάς;

CCXXIV. — ZOSIMO PRESBYTERO.

Vir quidam philosophiæ nomine clarus mecum congressus, te quidem graviter accusabat, mirum illud sibi videri dicens, quod tu, qui ne ingenuo quidem sanguine ortus es, supercilium efferas, cervicemque attollas, atque extremis unguibus incedas, ac per aerem ambulare tibi videaris : denique per omnia corporis membra imperitiam tuam et ineptiam conspicuam reddas : contra autem priscam quamdam feminam Archedicen nomine mirificis laudibus in cœlum vehebat, cujus etiam epitaphium hujusmodi referebat :

Non mihi mens unquam tumuit, licet ipsa parentem
Regem habui, et fratres, pignoraque, atque virum.

Ego autem hos versus tibi indicandos existimavi. Hinc enim fortasse fiet, ut nunc saltem teipsum noscas.

ΣΚΔ'. — ΖΩΣΙΜΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Ἀνήρ τις τῶν ἐπὶ φιλοσοφίᾳ σεμνυνομένων ἐντυχὼν ἡμῖν, σοῦ μὲν δεινὴν ποιεῖτο (73) τὴν καταβοήν, φάσκων θαυμάζειν, πῶς μηδ' ἐξ αἵματος ἐλευθερίου φὺς τὴν ὀφρὺν ἐπαίρεις, καὶ τὸν αὐχένα ὑψοῖς, καὶ ἐπ' ὀνύχων βαδίζεις, καὶ ἀεροβατεῖν νομίζεις, καὶ διὰ πάντων τῶν μελῶν τὴν ἀπαιδευσίαν ἐμφαίνεις· γυναῖκα δ' ἀρχαίαν ἐξεθείαζεν, ἧς καὶ τὸ ἐπιτάφιον ἐπίγραμμα ἀπήγγελλε λέγον,

Ἀρχεδίκη πατρὸς ἀνδρὸς, ἀδελφῶν τ' οὖσα τυ-
[ράννων
Παίδων τ'. Οὐκ ἤρθη νοῦν ἐς ἀτασθαλίην (74).

Ἐγὼ δὲ ἐδικαίωσα αὐτὰ ταῦτα μηνῦσαι, τάχα πως κἂν νῦν γνοίης σαυτόν.

CCXXV. — STRATEGIO MONACHO.

Permulti homines invito animo injuria affici, timiditatis et ignaviæ, ultro autem ac voluntario animo lædi, maximum suavitatis ac patientiæ **347** argumentum esse ducunt. Qui autem recte de rebus judicare norunt, vel, ut rectius loquar, qui divinis Scripturis fidem habent, ne eos quidem, qui quamvis injuriam inviti accipiant, moderate vero ferunt, vel mercedibus privant, vel laudibus, suffragante maxime Paulo, atque his verbis utente : « Et rapinam bonorum vestrorum cum gaudio suscepistis, scientes vos habere meliorem substantiam in cœlis, ac manentem [55]. » Quod si dicas : Quid enim facere poterat, cum a potentiore læderetur? respondeam : Clamoribus ac maledictis insectari, diris devovere, traducere, molestiam forensem exhibere. Qui igitur cum hæc omnia facere posset, non tamen fecit, ei, qui ultro lædi appetiit, si non par,

ΣΚΕ'. — ΣΤΡΑΤΗΓΙΩ ΜΟΝΑΖΟΝΤΙ.

Οἱ μὲν πλεῖστοι τῶν ἀνθρώπων τὸ μὲν ἄκοντα πάσχειν κακῶς, ἀνανδρίας· τὸ δὲ ἑκουσίως ἐλέσθαι ἀδικηθῆναι, ἐπιεικείας καὶ φιλοσοφίας τεκμήριον τίθενται εἶναι μέγιστον. Οἱ δὲ ἐπιστάμενοι περὶ πραγμάτων κρίνειν ὀρθῶς, μᾶλλον δὲ οἱ ταῖς ἱεραῖς πιστεύοντες Γραφαῖς, καὶ τὸν ἀκουσίως μὲν ἀδικούμενον, φιλοσόφως δὲ φέροντα, οὔτε μισθῶν, οὔτε ἐπαίνων ἀποστεροῦσιν, ἐπιψηφίζοντος μάλιστα τοῦ Παύλου καὶ λέγοντος· « Καὶ τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων ὑμῶν μετὰ χαρᾶς προσεδέξασθε, γινώσκοντες ἔχειν ἑαυτοῖς κρείττονα ὕπαρξιν ἐν οὐρανοῖς καὶ μένουσαν. » Εἰ δὲ φαίης, Τί γὰρ ποιῆσαι ἠδύνατο, ὑπὸ τοῦ δυνατωτέρου ἀδικούμενος (75); φαίην, καταβοῆσαι, κακηγορῆσαι, ἐπαράσασθαι, διασῦραι, ἐνοχλῆσαι δικαστηρίοις. Ὁ οὖν ταῦτα πάντα δυνάμενος, πρᾶξαι μὲν, μὴ πράττων δὲ, τῷ ἑκουσίως ἑλομένῳ ἀδικηθῆναι εἰκότως ἂν εἰ καὶ μὴ συναριθμηθείη, ἀλλά γε ὑπαριθμη-

[55] Hebr. x, 34.

VARIÆ LECTIONES ET NOTÆ.

(72) Post εἶπον col. idem addit οὐκ. Possin.

(73) Pro ποιεῖτο recte scribit cod. Vat. 650, ἐποιεῖτο. Vers. penult. et ult. pro ἐξεθείαζεν idem legit, ἐξεθείαζες. Vers. inde quinto, ἐδικαίωσα αὐτὰ ταῦτα μηνῦσαι, melius idem cod. ἐδικαίωσα αὐτὸν ταῦτα. etc. Id.

(74) Habetur integrum epigramma apud Thucydidem lib. vi. Fuit Archedica nobile scortum, de qua Herodotus et Athenæus. Illud autem epigramma esse a Simonide compositum didici ex Aristotelis *Rhetoric.* i, 9. Casaubon. *in epist. ad Rittershusium.*

(75) *Ὑπὸ δυνατωτέρου ἀδικούμενος.* Melius codex Vat. 650, ὑπὸ τοῦ δυνατωτέρου ἁρπαγεὶς ὁ ἀδύνατος. Possin.

Digitized by Google

θείη (76). Εἰ δὲ χρὴ καὶ δεινότητι χρήσασθαι, καὶ τὸ ἀκριβὲς εἰπεῖν, τάχα καὶ ὑπεραντοίσειεν ἐκεῖνον. Τῷ μὲν γὰρ τὸ βούλεσθαι ἀδικεῖσθαι, μεγίστην φέρει παραμυθίαν. Οὐ γὰρ ἂν ἠδικήθη, εἴ γε μὴ ἠβουλήθη. Τῷ δὲ μὴ βουληθέντι μὲν, ὑπομείναντι δὲ, καὶ μηδὲν πεποιηκότι δι' ὧν ἠδύνατο ἀμύνασθαι τὸν ἀδικήσαντα, ἅτε ἐσχάτης φιλοσοφίας βάσανον ἐπιδειξαμένῳ, λαμπρότερος πλακεὶη στέφανος.

A suppar certe haud immerito existimari queat. Atque etiam, si dicendi vi ac facultate uti, ac sincere loqui oportet, illum quoque fortasse superarit. Huic enim, quod lædi voluerit, maximum affert solatium : Neque enim ille, nisi voluisset, injuria affectus fuisset. Qui autem, cum injuria affici nollet, illatam tamen tulit, nec quidquam eorum, per quæ eum, a quo læsus fuerat, ulcisci poterat, fecit : huic utique, ut qui extremæ cujusdam patientiæ documentum dederit, luculentior corona haud immerito texi queat.

ΣΚϚ'. — ΠΑΜΠΡΕΤΙΩ ΔΙΑΚΟΝΩ.

Σύμβολόν ἐστιν, ὦ θαυμάσιε, μέγιστον τοῦ πεπεῖσθαι τὸν ἀκούσαντα, ὁ τῶν λεχθέντων ἔπαινος. Οὐ γὰρ ἐστιν ἅτις οἴεται καλῶς ἔχειν, τούτοις φάσκειν μὴ πεπεῖσθαι. Ὥσπερ γὰρ ὅσα κακίζομεν, ἀποφεύγειν σπουδάζομεν (77), εἰ σωφρονοῦμεν· οὕτως ἃ θαυμάζομεν, πάντως αἱρούμεθα. Τοῦ χάριν δὴ ταῦτα λέγω, ἴσως οὐκ ἀγνοεῖς, ὀφείλων ἦν ἐπῄνεσας συμβουλὴν εἰς πέρας ἀγαγεῖν.

CCXXVI. — PAMPRETIO DIACONO.

Maximo argumento est, vir admirande, fidem auditori factam esse, cum ea, quæ dicta sunt, laudat. Neque enim fieri potest, ut quæ aliquis probe B atque commode dicta esse arbitratur, hæc sibi persuasa esse neget. Ut enim, quæ vituperamus, ea quoque, si sana mente sumus, fugimus : eodem modo, quæ laudamus ac suspicimus, ea quoque omnino amplexamur. Quorsum autem hæc dicam, fortasse non es nescius, qui consilium, quod laudasti, exsequi atque ad exitum perducere debes.

ΣΚΖ'. — ΣΤΡΑΤΗΓΙΩ ΜΟΝΑΖΟΝΤΙ.

Μὴ ἀγνόει, ὦ φίλος, ὅτι ὑπόθεσίς ἐστι τῆς μακαρίας ζωῆς, ἡ τῶν παθῶν νέκρωσις, ἧς οὐδὲν εὐκταιότερον, οὐδ' εὐκλεέστερον γένοιτ' ἄν.

CCXXVII. — STRATEGIO MONACHO.

Ne sis nescius, o amice, beatæ vitæ materiam turbulentorum animi motuum oppressionem esse : qua nec optabilius, nec præclarius quidquam esse queat.

ΣΚΗ'. — ΤΩ ΑΥΤΩ.

Εἰ καὶ ἐπέθετό σοι ὁ κοινὸς ἁπάντων ἐχθρὸς, ὡς αὐτοβοεὶ περιεσόμενος, καὶ ἐξ ἐπιδρομῆς ἅπασάν C σου τὴν πολιτείαν ληψόμενος, ἀλλ' αὐτὸς, ὡς ἐπυθόμην, ἀκοιμήτῳ σπουδῇ τὴν θείαν προβαλλόμενος συμμαχίαν, πολλοὺς μὲν αὐτῷ πόνους εἰς τὴν πολιορκίαν προὐξένησας, ἄπρακτα δὲ αὐτοῦ τὰ μηχανήματα, καὶ τὰς ἑλεπόλεις ἀπέδειξας, καὶ τὸ τρόπαιον κατ' αὐτοῦ λαμπρότερον ἔστησας. Συγχαίροντες οὖν σοι ἐπὶ τῇ νίκῃ (78), καὶ τὰ ἐπινίκια ᾄδοντες παραινοῦμεν γρηγορεῖν καὶ προσέχειν σαυτῷ. Ὁ γὰρ πολέμιος οὔτε αἰδεῖσθαι εἶδεν, οὔτε ἐρυθριᾷν ἐπίσταται, οὔτ' ἀπογινώσκει ἕως θανάτου, ἀλλ' ἀντὶ ὅπλων (79) καὶ μηχανημάτων ἀρκούμενος τῇ οἰκείᾳ φύσει, παντὶ καιρῷ ἐπιτίθεται οὐ τὸ ἡττῆσθαι ἐννοῶν, ἀλλὰ τὸ νικῆσαι ὀνειροπολῶν. Πάσῃ οὖν φυλακῇ τήρει τὴν σαυτοῦ καρδίαν. Οὐ γὰρ μονοειδὴς, ῥᾳδίως γὰρ ἂν ἑάλω, ποικίλη δέ τίς ἐστι καὶ πολύ- D τροπος, ἡ πρὸς αὐτὸν μάχη. Ὅταν μὲν γὰρ διὰ σωφροσύνης ἡττηθῇ (80), διὰ φιλοχρηματίας πολεμεῖ. Εἰ δὲ κἀνταῦθα τρωθείη, διὰ βασκανίας (81) ἐπι-

CCXXVIII. — EIDEM.

Quanquam te communis ille omnium hostis aggressus est, velut ad primum clamorem devicturus, C atque omnem tuam vitæ rationem primo impetu arrepturus : tu tamen, ut accepi, pervigili studio divinam opem obtendens, multos quidem ipsi ad obsidionem labores conciliavisti, irritas autem ipsius machinas atque tormenta reddidisti, ac luculentum adversus eum triumphum erexisti. De victoria itaque tibi gratulantes, **348** ac triumphum canentes, te monemus, ut excubes, tibique animum et mentem adhibeas. Hostis enim nec pudore commoveri, nec rubore affici novit, nec ad extremum usque vitæ spiritum desperatione frangitur : verum armorum ac tormentorum loco natura sua contentus, omni tempore insidias struit, non se victum fuisse cogitans, sed superiorem abscessisse som- D nians. Quocirca omni custodia serva cor tuum. Neque enim simplex (nam facile deprehendi posset), verum varia et multiplex adversus eum pugna est. Nam cum per pudicitiam ac temperantiam victus

VARIÆ LECTIONES ET NOTÆ.

(76) Hæc quæ leguntur in editis, εἰκότως ἄν, εἰ καὶ μὴ συναριθμηθείη, ἀλλά γε ὑπαριθμηθείη, non comparent in cod. Vat. 650; sed loco eorum hæc habentur, ὅμοιος ἂν εἴη, εἰκότως καὶ συναριθμηθῆναι. Vers. inde 3 pro ἐκεῖνος cod. idem scribit ἐκεῖνο. Id.

(77) Verba illa, ἀποφεύγειν σπουδάζομεν non leguntur in cod. Vat. 650, sed pro his solum habetur, φεύγομεν. Id.

(78) Pro ἐπὶ τῇ νίκῃ cod. Vat. 650 habet μετὰ τὴν νίκην. Id.

(79) Pro ἀντὶ ὅπλων idem cod. legit ἀντὶ πολλῶν βελῶν. Versu sequenti pro τῇ οἰκείᾳ φύσει, παντὶ καιρῷ, Cod. Vat. habet, τῇ οἰκείᾳ ἀφοβίᾳ, ἐν παντὶ καιρῷ. Id.

(80) Multa omittuntur in edito post verbum ἡττηθῇ, nempe hæc quæ ex eodem cod. hic pono : φιλοδοξίαν ἐπὶ ταύτης ὑποσύρει τὸ τρόπαιον· ὅταν δὲ μηδὲ ἐν αὐτῇ μηδὲν δυνηθῇ, διὰ φιλ., etc. Id.

(81) Pro διὰ βασκανίας cod. idem legit, δι' ἐχθρῶν.

Digitized by Google

est, per avaritiam pugnat. Cum autem hic quoque vulnus accepit, per invidiam insidias parat. Quod si hæc etiam aliquem superasse conspiciat, amicos armat. Quod si horum quoque impetus sustinuerit, famulos ad bellum instruit. Quod si ne ab his quidem superatus sit, contemptionem ac segnitiem immittit. Quod si hanc quoque fregerit, hoc ipsi in animum inducit, ut acceptarum injuriarum memoriam retineat. Quid autem omnia improbi illius tela recensere aggredior? Quare hæc missa faciam, illudque fortitudinem tuam admonebo, ut omni ex parte oculatam se præbeat : quandoquidem omni quoque ex parte hostis eam impetit, atque in ipsa vitalia jaculatur.

A βουλεύει. Εἰ δὲ καὶ τούτων τινὰ ἴδῃ περιγινόμενον, τοὺς φίλους ἐξοπλίζει. Εἰ δὲ καὶ τὰς τούτων προσβολὰς ὑπομείνειε, τοὺς οἰκέτας ἐκπολεμεῖ. Ὅταν δὲ μηδὲ ὑπὸ τούτων ἁλῷ, ὀλιγωρίαν ἐντίκτει. Εἰ δὲ ταύτης περιείη, μνησικακίαν ἐνίησι. Καὶ τί πειρῶμαι πάντα τὰ βέλη τοῦ πονηροῦ φράσαι (82); Διὸ ταῦτα μὲν παρήσω, ἐκεῖνο δὲ παραινέσαιμι τῇ σῇ ἀνδρείᾳ πάντοθεν ὀμματοῦν ἑαυτὴν, ὡς πάντοθεν τοῦ πολεμίου βάλλοντος, καὶ εἰς τὰ καίρια μάλιστα ἀκοντίζοντος.

CCXXIX. — LEONTIO MAGISTRIANO.

Illud in te minime probo, quod Zosimum specie tenus presbyterum, urbis piaculum, Ecclesiæ labem, libertatis probrum, eorumque, qui cum ipso consuetudinem habent, pestem et perniciem, ac denique nullo non fœdissimo nomine appelles. Et si enim ipse talis est, at linguam tamen tuam, quæ veritatis organum est, hujusmodi sermonibus contaminari minime convenit. Quamobrem tibi ipsi contumeliam inferre desine. Quamvis enim vera sint, quæ abs te dicuntur, nec quisquam est qui te mendacii insimulare queat : tamen, cum vir probus ac moderatus sis, multisque virtutibus floreas, patientiæ quoque ornamento gestire te atque gloriari æquum fuerit.

ΚΘ'. — ΛΕΟΝΤΙΩ ΜΑΓΙΣΤΡΙΑΝΩ (83).

B Οὐκ ἀποδέχομαί σε, ἄγος πόλεως, καὶ κηλῖδα Ἐκκλησίας, καὶ ὕβριν ἐλευθερίας, καὶ τῶν συνόντων ὀλετῆρα, καὶ τί γὰρ οὐχὶ τῶν αἰσχίστων, Ζώσιμον τὸν δοκοῦντα πρεσβύτερον, ἀποκαλοῦντα. Εἰ γὰρ καὶ αὐτὸς τοιοῦτός ἐστιν, ἀλλὰ σὴν γλῶτταν, καὶ ὄργανον ἀληθείας τυγχάνουσαν, οὐ χρὴ τούτοις καταῤῥυπαίνεσθαι τοῖς λόγοις. Παῦσαι τοίνυν σαυτὸν ὑβρίζων. Εἰ γὰρ καὶ ἀληθῆ τὰ λεγόμενα, καὶ οὐδεὶς ὡς ψευδομένῳ ἐπισκήψειεν, ἀλλά σε κόσμιον ὄντα ἄνδρα, καὶ πολλαῖς ἀρεταῖς κομῶντα, καὶ τὸ τῆς ἀνεξικακίας δίκαιον ἂν εἴη ἐναῤῥύνειν ἐγκαλλώπισμα.

CCXXX. — APHRODISIO PRESBYTERO.

Commode quidem atque opportune ea, quæ scripsisti, abs te adversus eos dicerentur, qui tibi contumeliam intulerunt, nisi ipsi sese peccasse confiterentur. Confitentibus autem ipsis, intempestiva jam harum rerum memoria est : quippe quæ jam temporis ope atque auxilio destituta sit.

ΣΛ'. — ΑΦΡΟΔΙΣΙΩ ΠΡΕΣΒΥΤΕΡΩ.

C Καιρίως ἂν τὰ γραφέντα παρὰ σοῦ ἐλέγετο τοῖς εἰς σὲ πεπαῤῥωνηκόσιν, εἴ γε μὴ ὡμολόγουν ἐσφάλθαι. Ὁμολογούντων δὲ, ἄωρος τούτων ἡ μνήμη, τῆς ἀπὸ τοῦ καιροῦ συμμαχίας ἀμοιροῦσα (84).

CCXXXI. — ANTIOCHO.

In illud : « Non parcet oculus meus. »

Quidnam causæ est, inquis, quamobrem suavitatis ac lenitatis fons de Judæis per Ezechielem dixerit, « Non parcet oculus meus, non miserebor[86] ? » Audi igitur. Quoniam in multis temporibus ea scelera designarant, quæ nullam veniam merebantur, ac nec prophetarum sermonibus obtemperantes, nec divina beneficia cum animis suis considerantes, **349** in deploratam quamdam improbitatem proruerant, ac perfecta adversus ipsos sententia lata erat, ut Babyloniis dederentur, atque hostili manu interirent (norat enim Deus eos nulla omnino pœnitentia duci) : propterea, inquit, nulla ob eorum cala-

ΣΛΑ'. — ΑΝΤΙΟΧΩ.

Εἰς τὸ, « Οὐ φείσεται ὀφθαλμός μου. »

Τίνος ἕνεκεν, ἔφης, εἶπεν ἡ τῆς ἡμερότητος πηγὴ διὰ τοῦ Ἰεζεκιὴλ περὶ τῶν Ἰουδαίων, « Οὐ φείσεται ὁ ὀφθαλμός μου, οὐδὲ μὴ ἐλεήσω; » Ἄκουε τοίνυν. Ἐπειδὴ ἐν πολλοῖς χρόνοις ἦσαν συγγνώμης ἁμαρτάνοντες μείζονα, καὶ μήτε τοὺς τῶν προφητῶν προσιέμενοι λόγους, μήτε τὰς θείας εὐεργεσίας ἐννοοῦντες εἰς ἀνήκεστον ἐκπεπτώκασι κακίαν· αὐτοτελὴς δὲ κατ' αὐτῶν ἐξενήνεκτο ἀπόφασις, ὥστε παραδοθῆναι τοῖς Βαβυλωνίοις, καὶ ἔργον τῆς τῶν πολεμίων γενέσθαι δεξιᾶς, ᾔδει γὰρ αὐτῶν τὸ ἀμετανόητον· οὐδένα οἶκτον λήψομαι, φησὶν, ἐπὶ τοῖς πάσχουσιν (85), ὃ δὴ ἐπὶ τῶν Νινευϊτῶν πεποίηκα

[86] Ezech. v, 11.

VARIÆ LECTIONES ET NOTÆ.

Vers. inde 3 pro τοὺς οἰκέτας ἐκπολεμεῖ, cod. Vat. 650 scribit τοῖς οἰκέταις πολεμεῖ. Vers. seq. pro ὑπὸ τούτων ἁλῷ, idem legit ὑπὸ τούτοις ἁλῷ. Quæ mox subjunguntur in edito, ὀλιγωρίαν ἐκτίκτει, etc., sic satis diverse leguntur in illo cod., ὀλιγωριῶν ἐμπίμπλησιν· εἰ δὲ τούτων περιείη, μνῆσις etc. Ib. Possin.

(82) Pro φράσαι cod. Vat. scribit φῆσαι. vers. denique ult. epist. pro μάλιστα legit μᾶλλον.

(83) Inscripta Leontio abest a cod. Vatic. 650. Ib.

(84) Verbum ultimum hujus ep. in edito ἀμοιροῦσα in cod. Vat. 650 scribitur, ἀμοιράσαι. Ib.

(85) Pro his verbis, οὐδένα οἶκτον λήψομαι, φησὶν, ἐπὶ τοῖς πάσχουσιν, cod. Vat. habet, οὐδένα οἶ καταλήψομαι, φησὶν, ἐφ' οἷς πάσχουσιν. Ultimam hujus lectionis partem recipiendam puto, non primam : rectius enim illa sunt edita, οὐδένα οἶκτον λήψομαι, etc. Ib.

Digitized by Google

Ἐκεῖ μὲν γὰρ ἡ ἐπὶ τὸ κρεῖττον αὐτῶν ῥοπή τε καὶ τροπὴ καιρὸν παρέσχεν, ἀνακληθῆναι τοὺς κατακρίτους καὶ ἀνατραπῆναι τὴν ἀπόφασιν. Ἐνταῦθα δὲ οὐδενὸς ἐπὶ τὸ βέλτιον βλέποντος, ἀλλὰ πάντων ἐπὶ τὰ χείρω ῥεπόντων, ἀναγκαίως ἡ κατὰ πάντων ἐκφέρεται ψῆφος.

A mitates misericordia commovebor, quemadmodum in Ninivitis feci. Nam illic eorum in melius inclinatio et commutatio spatium præbuit damnatos revocandi, latamque sententiam rescindendi. Hic autem nemine ad meliorem vitam tendente, verum omnibus in deterius vergentibus, necessario adversus omnes feretur sententia.

ΣΛΒ'. — ΠΑΥΛΩ ΜΟΝΑΖΟΝΤΙ.

Ὅτι πάσης ἐπέκεινα τόλμης, τὸ δογματίζειν τοὺς βιοῦντας αἰσχρῶς. Καὶ εἰς τὸ γεγραμμένον, « Γνῶναι τὰς ὁδούς μου ἐπιθυμοῦσιν, ὡς λαὸς δικαιοσύνην πεποιηκώς. »

Χρὴ τὸν μέλλοντα περὶ Θεοῦ λόγον κινεῖν ταῖς ἀπὸ τῆς πολιτείας διαλάμπειν ἀρεταῖς. Τῷ γὰρ κακίας ἑραστῇ, οὐδὲ περὶ τῶν δικαιωμάτων αὐτοῦ, μήτιγε (86) αὐτοῦ κινεῖν γλῶτταν, ἐπιτρέπει, ὡς ὑβριζομένων τῶν θείων νόμων, ὅταν διὰ μιαρᾶς προφέρωνται γλώττης. « Τῷ γὰρ ἁμαρτωλῷ, φησὶν, εἶπεν ὁ Θεὸς, Ἵνα τί σὺ ἐκδιηγῇ τὰ δικαιώματά μου· καὶ ἀναλαμβάνεις τὴν διαθήκην μου διὰ στόματός σου; » Καὶ διὰ τοῦ Ἡσαΐου μεμφόμενος τοὺς βίου μὲν ἀρίστου μὴ ἐπιμελομένους, τὰς δὲ οἰκονομίας αὐτοῦ αἰτιωμένους, φησί· « Γνῶναί μου τὰς ὁδοὺς ἐπιθυμοῦσιν, ὡς λαὸς δικαιοσύνας πεποιηκὼς, καὶ κρίσιν Θεοῦ αὐτοῦ μὴ ἐγκαταλελοιπώς. » Εἰ δὲ οἱ τὰς ὁδοὺς αὐτοῦ, τουτέστι τὰς οἰκονομίας (87), πολυπραγμονοῦντες, πάντολμοι ἂν εἶεν, πῶς οὐκ ἂν ἐπέκεινα πάσης τόλμης χωροῦσιν, οἱ περὶ αὐτοῦ τοῦ Θεοῦ μιαρᾷ γλώττῃ λόγον κινοῦντες, καὶ μάλιστα ὅταν τί ἐστι πολυπραγμονῶσι; Χρὴ δὲ μὴ τί ἐστι περιεργάζεσθαι, ἀλλ' ὅτι ἐστὶν ἰσχυρίζεσθαι. Καὶ σιωπῶ, ὅτι παρὰ Λακεδαιμονίοις, τοῖς σκιὰς τῶν πράξεων τοὺς λόγους εἶναι (88) εἰκότως ὁρισαμένοις, τὸν αἰσχρῶς βεβιωκότα, οὐδὲ γνώμην ἀγαθὴν ἀποφήνασθαι ἐξῆν. Εἰ τοίνυν ὀρθῶς σοι πιστεύοντι, καὶ εὖ πράττοντι ἐπιφύονταί τινες πράγματά σοι παρέχοντες, μὴ ταράττου. Τοιοῦτον γὰρ τῶν φαύλων τὸ ἔθος. Ἠττώμενοι γὰρ περιφανῶς τῷ βίῳ, ἐπὶ τὴν ἔρευναν τοῦ θείου καταφεύγουσιν, ὡς ἐκ τούτου πράγματα παρέξοντες τοῖς εὖ βιοῦσι, καὶ τὴν παῤῥησίαν αὐτῶν ἀποκλείσοντες. Ἐχρῆν δὲ αὐτοὺς, ἐννοοῦντας ὅτι οἱ περὶ τὸ δῆλον πταίοντες, περὶ τοῦ δοκοῦντος ἀδήλου οὐκ ἂν εἶεν ἀξιόπιστοι λέγοντες, πρῶτον ἑαυτῶν τὸν βίον ῥυθμίσαι (89), καὶ οὕτως ἐπὶ τὴν ζήτησιν παρελθεῖν τῶν ἀνεφίκτων.

CCXXXII. — PAULO MONACHO.

Omnem audaciam superare, viventes turpiter dogmata invehere. Et in illud, « Cognoscere cupiunt vias meas, tanquam populus qui justitiam fecit. »

Qui de Deo sermonem excitaturus est, hunc vitæ ac morum virtutibus elucere oportet. Nam qui vitio delectatur, huic ne de ipsius quidem justitiis, nedum B de ipso linguam movere permittitur : quod videlicet divinis legibus contumelia inferatur, cum per impuram et scelestam linguam proferuntur. « Peccatori enim, inquit ille, dixit Deus : Quare tu enarras justitias meas, et assumis testamentum meum per os tuum [87]? » Ac per Isaiam iis succensens, qui cum optimæ vitæ nulla cura tangantur, ipsius tamen consilia reprehendunt, his verbis utitur : « Scire vias meas volunt, tanquam gens quæ justitiam fecerit, et legem Dei sui non dereliquerit [88]. » Quod si, qui ipsius vias, hoc est consilia, curiosius exquirunt, summæ audaciæ notam non effugiunt, an non illi ultra omnem audaciam progrediuntur, qui impuræ linguæ opera de ipsomet Deo sermonem movent, ac præsertim cum quid sit anxie inquiC runt? Oportet autem, non quid sit exquirere, sed quod sit affirmare. Atque illud taceo, quod apud Lacedæmonios, qui sermones actionum umbras esse non immerito definierunt, ei qui turpiter vixisset ne probam quidem sententiam pronuntiare licebat. Quocirca si te, et recta fide præditum, et probe viventem adoriuntur nonnulli, tibique negotia facessunt, ne propterea conturberis. Hujusmodi namque improborum hominum mos est. Nam cum vitæ laude perspicue abs te superentur, ad divini Numinis indagationem confugiunt, tanquam scilicet hinc iis qui recte vivunt molestiam exhibituri, eorumque fiduciam exclusuri. Atqui eos conveniebat (cum animis suis illud reputantes, quod qui in re perspicua et dilucida peccant, haudquaquam digni sunt quibus de ea re, quæ obscuritatem præ se ferat, verba facientibus, fides adhibeatur,) primum vitam suam componere ac recte moderari, **350** atque ita deinceps ad earum rerum, quæ comprehendi nequeunt, investigationem transire.

[87] Psal. XLIX, 16. [88] Isa. LVIII, 2.

VARIÆ LECTIONES ET NOTÆ.

(86) Μήτι γε abest a cod. Vat. Possin.

(87) Τὰς οἰκονομίας ponit idem in num. sing. scribens, τὴν οἰκονομίαν. Vicissim vers. post tertio μιαρᾷ γλώττῃ pluraliter inflectit, μιαραῖς γλώτταις. Id.

(88) *Σκιὰς τῶν πράξεων τοὺς λόγους εἶναι.* Quod hic Lacedæmoniis tribuit Isidorus, Diogenes Laertius lib. IX *De vitis philosophorum* ad Democritum Abderiten auctorem refert. Τούτου ἐστὶ καὶ τὸ, Λόγος ἔργου σκιά. Non est absimile illud Chrysostomi homil. 17 ad Ephes., οἱ λόγοι πραγμάτων εἰσὶν ὁδοί. Ritt.

— Hæc verba, τοῖς σκιὰς τῶν πράξεων τοὺς λόγους εἶναι εἰκότως ὁρισαμένοις, cuncta prætermittuntur in cod. Vatic. 650. Possin.

(89) Ῥυθμίσαι mutat codex idem in ἐρευνᾷν. Possin.

Digitized by Google

CCXXXIII. — EIDEM.

Sermonum principia vera et indubitata esse oportet. Nam cum falsum est argumentum, fieri non potest quin conclusio quoque vacillet.

CCXXXIV. — ALYPIO EPISCOPO.

Ne moleste feras, optime vir, me adversus avaros linguæ mucronem stringere. Rem enim apertam et simplicem dicam, nec testimonium ullum requirentem. Usque adeo enim hoc morbo devincti tenentur, ut ne morbum quidem esse existiment. Quemadmodum enim cœlestes cives, hoc est monachi qui in montibus degunt, ne hoc quidem sciunt, quid avaritia sit : sic nec isti, non tamen eodem modo, sed plane contrario atque illi. Nam illi, quia procul a morbo absunt, morbum ignorant : isti autem ne morbum quidem hoc esse arbitrantur. Sic enim virtutem improbitas propulit, ac tyrannidem exercet, omniaque sursum ac deorsum miscet, ut nec improbitas quidem esse existimetur.

CCXXXV. — ZOSIMO PRESBYTERO.

Quod immortalis anima.

Quod animam una cum corpore interire arbitraris, perquam ridiculum ac stolidum est, hominisque vere carnalis, atque et post hanc vitam nihil esse cupientis, et ea, quæ de te ab hominibus cujusvis ætatis commemorantur, confirmantis. Pudorem igitur tibi incutere debent, cum philosophi, et poetæ, et oratores, et scriptores omnes, qui animæ immortalitatem docuerunt (quorum si ignarus et expers es, ut qui rerum omnium inscitia labores, certe a doctis et eruditis discere debeas), tum etiam te pudore quodam permovebit ea ratio, quæ nullo modo refutari queat. Nam quæ corpus quod semper fluit et corrumpitur, arripit, ac quod in eo labile ac mortale est astringit, et quod cadit excitat, atque et iis, quæ diffluunt, alimentum, et iis, quæ marcescunt, fruticationem præbet, non est profecto consentaneum, eam, a corpore separatam, vim suam deserere, per quam et corpus continebat et conservabat. Quod si nec externorum sapientium auctoritate commovearis, nec firmissimæ huic et necessariæ rationi fidem accommodes, utpote ingenti atque omni venia graviori improbitate oppressus ac demersus, divinum tibi oraculum recitabimus, per quod animæ immortalitas dilucidis verbis prædicatur. Quid igitur ait? « Nolite timere eos, qui occidunt corpus, animam autem non possunt occidere [89]. » Quamobrem ne ob singularem atque incredibilem quamdam admissorum a te scelerum magnitudinem (nullum enim, ut aiunt, sceleris genus intactum reliquisti) impia dogmata tibiipsi cude : **351** verum illud persuasum habens, immortalem animam esse, et quod sæpe hic omnino

[89] Matth. x, 28.

ΣΛΓ'. — ΤΩ ΑΥΤΩ.

Χρὴ τὰς ἀρχὰς τῶν λόγων ἀληθεῖς εἶναι καὶ πιστάς. Ψευδοῦς γὰρ οὔσης τῆς ὑποθέσεως, ἀναγκαίως καὶ τὸ συμπέρασμα ἀσύστατον εὑρεθήσεται.

ΣΛΔ'. — ΑΛΥΠΙΩ ΕΠΙΣΚΟΠΩ.

Μὴ δυσχεράνῃς, ὦ βέλτιστε, ἐὰν ἐπαφῶ τὴν γλῶτταν τοῖς φιλαργύροις. Πρᾶγμα γὰρ λέξω σαφὲς, καὶ ἁπλοῦν, καὶ μαρτυρίας μὴ δεόμενον. Τοσοῦτον γὰρ κεχείρωνται τῷ νοσήματι, ὡς μηδὲ νόσημα αὐτὸ ἡγεῖσθαι. Καθάπερ γὰρ οἱ οὐρανοπολῖται, οἱ ἐν τοῖς ὄρεσι, φημὶ, μοναχοὶ, οὐδὲ ἴσασί τί ἐστι πλεονεξία· οὕτως οὐδὲ οὗτοι, ἀλλ' οὐχ ὁμοίως, ἀλλ' ἀπεναντίας ἐκείνοις. Ἐκεῖνοι μὲν γὰρ διὰ τὸ πόρρω εἶναι τοῦ πάθους ἀγνοοῦσι τὸ νόσημα· οὗτοι δὲ οὐδὲ νόσημα αὐτὸ ἡγοῦνται εἶναι. Οὕτω γὰρ παρώσατο τὴν ἀρετὴν ἡ κακία, καὶ τυραννεῖ (90), καὶ πάντα ἄνω καὶ κάτω ποιεῖ, ὡς μηδὲ κακία εἶναι νομίζεσθαι.

ΣΛΕ'. — ΖΩΣΙΜΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Ὅτι ἀθάνατος ἡ ψυχή.

Τὸ νομίζειν σε φθείρεσθαι μετὰ τοῦ σώματος τὴν ψυχὴν, κομιδῇ γελοῖον καὶ ἠλίθιον, καὶ τῷ ὄντι σαρκικοῦ ἀνθρώπου, καὶ βουλομένου μὲν μετὰ τὸν ἐνταῦθα βίον μηδὲν εἶναι, βεβαιοῦντος δὲ τὰ παρὰ πάσης ἡλικίας περὶ σοῦ τραγῳδούμενα. Δυσωπῆσαι μὲν οὖν σε ὀφείλουσι, καὶ φιλόσοφοι καὶ ποιηταὶ, καὶ ῥήτορες, καὶ συγγραφεῖς, ὅσοι τὴν τῆς ψυχῆς ἀθανασίαν ἐδογμάτισαν, ὧν εἰ καὶ ἄπειρος εἶ, ὡς ἀπαίδευτος ὢν ἐν πᾶσιν, ἀλλά γε παρὰ τῶν πεπαιδευμένων μαθεῖν δίκαιος ἂν εἴης. Δυσωπήσει δὲ καὶ λογισμὸς ἀναντίῤῥητος. Ἡ γὰρ τοῦ σώματος ἀεὶ ῥέοντος καὶ φθειρομένου ἐπιλαμβανομένη, καὶ τὸ θνητὸν αὐτοῦ καὶ ῥευστὸν ἐπισφίγγουσα, καὶ τὸ πίπτον ἐγείρουσα, καὶ παρέχουσα τοῖς μὲν ἀπορῥέουσι (91) τροφὴν, τοῖς δὲ μαρανομένοις ἀναβλάστησιν, οὐκ ἂν δήπου καθ' ἑαυτὴν γενομένη ἀπολείπῃ τὴν οἰκείαν δύναμιν, δι' ἧς καὶ τὸ σῶμα συνεῖχε, καὶ διέσωζεν. Εἰ δὲ μήτε τοὺς ἔξωθεν σοφοὺς δυσωπηθείης, μήτε τούτῳ τῷ ἀναγκαίῳ λογισμῷ πεισθείης, ἅτε πολλῇ καὶ συγγνώμης μείζονι κακίᾳ βεβαπτισμένος· γρηγορῶν σοι θεῖον ἀναγνωσόμεθα, δι' οὗ διαῤῥήδην ἡ τῆς ψυχῆς ἀθανασία κηρύττεται. Τί [οὖν] οὗτός φησι; « Μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι. » Μὴ τοίνυν ἐκ τῆς ὑπερβολῆς ὧν ἔδρασας κακῶν. (Οὐδὲν γὰρ ἄπρακτον, ὥς φασι, κατέλειψας) ἀσεβῆ δόγματα σαυτῷ δογμάτιζε· ἀλλὰ πιστεύων ἀθάνατον εἶναι τὴν ψυχήν· καὶ ὅτι πολλάκις μὲν κἀνταῦθα, πάντως δ' ἐκεῖσε δώσεις δίκην, ὡς οὐ λησόμενος τὴν δίκην, ἀπαλλάγῃ τε κἂν ὀψέ ποτε, τῆς πονηρίας.

VARIÆ LECTIONES ET NOTÆ.

(90) Cod. Vat. 650, τυραννίς. Possin.

(91) Pro ἀπορῥέουσι cod. Vat. 650 legit ἀπαγορευθεῖσι. Id.

Digitized by Google

autem illic pœnas dabis, tanquam qui vindicem illum oculum minime falsurus sis, aliquando tandem vel sero ab improba vivendi ratione teipsum exime.

ΣΛΣ'. — ΕΥΛΟΓΙΩ (92).

A

Ὀλίγα εἰπὼν, ὃ βούλομαι φράσω. Βοιωτούς τις εἰς ἀπαιδευσίαν σκώπτων ἔφη· « Ὦ Βοιωτοί, ὡς σφόδρα ἐστὲ Βοιωτοί. » Δίκαιος δέ τις ἀνὴρ ἀδίκῳ πράγματι παρακαλούμενος ὑπὸ Μιλησίων συμπρᾶξαι ἔφη, « Ὦ Μιλήσιοι, ὡς σφόδρα ἐστὲ Μιλήσιοι. » Ἀλέξανδρος δὲ ἐρωτηθεὶς, διὰ τί λίαν τιμᾷ Ἀντίπατρον, ἔφη, « Ὅτι ἀντὶ πατρός (95) μοί ἐστιν. » Ἐγὼ δὲ φράσω, ὦ Εὐλόγιε, ὡς σφόδρα εἶ Εὐλόγιος, ἐπαινεῖν ἐμὲ καὶ τοὺς κατ' ἐμὲ προῃρημένος.

CCXXXVI. — EULOGIO.

Paucis prius verbis habitis, quod volo eloquar. Quidam in Bœotorum stoliditatem jocans, his verbis usus est : « O Bœoti, quam vehementer estis Bœoti (95). » Quidam rursus justitia præditus, a Milesiis rogatus, ut ad iniquum quoddam negotium operam ipsis navaret, dixit, « O Milesii, quam valde Milesii estis (94). » Alexander denique sciscitante quodam cur tanto honore Antipatrum complecteretur, respondit, « Quia patris loco mihi est. » Ego autem dicam : O Eulogie, quam valde es Eulogius (*hoc est, ad laudandum propensus*), qui me meique similes laudibus ornare in animum induxeris.

ΣΛΖ'. — ΗΡΩΝΙ ΜΟΝΑΖΟΝΤΙ.

Εἰς τὸ, « Πᾶς ἀνὴρ φαίνεται δίκαιος. »

B

Πολλοὶ τῶν ἀνθρώπων (ὀκνῶ γὰρ εἰπεῖν πάντες, καίτοι τῆς Γραφῆς τοῦτο δοκούσης λέγειν), οὐ τῷ δικαιοσύνην ἀσπάζεσθαι, ἀλλὰ τῷ τοῖς ἀδικωτέροις ἑαυτοὺς παραβάλλειν τῇ συγκρίσει τῶν χειρόνων τὴν τῆς δικαιοσύνης φαντασίαν καρποῦνται (96) οὐκ αὐτὰς καθ' ἑαυτὰς τὰς θείας ἐντολὰς δοκιμάζοντες, καὶ πρὸς τὸν τούτων κανόνα ῥυθμίζοντες τὸν οἰκεῖον βίον, ἀλλὰ τοῖς ῥᾳθυμοῦσι τῶν πέλας παραμετροῦντες τὴν ἑαυτῶν πολιτείαν. Διὸ καὶ τοῦτ' ἐῤῥέθη, ὅπερ μαθεῖν ἠθέλησας. « Πᾶς ἀνὴρ φαίνεται ἑαυτῷ δίκαιος. » Πρὸς μὲν γὰρ τὰ κατορθώματα τῶν πέλας τυφλώττει, τὰ δὲ ἐλαττώματα ὀξέως ὁρᾷ· καὶ καθάπερ οἱ γύπες λειμῶνας πολλάκις καὶ παραδείσους παρατρέχοντες, τοῖς νεκροῖς ἐφίπτανται σώμασιν. Ἐπήγαγε γοῦν· « Κατευθύνοι δὲ καρδίας ὁ Κύριος, » ἢ τῶν τὴν τοιαύτην φαντασίαν δηλονότι ἐξορισάντων, ἢ τῶν πρὸς τὰς θείας ἐντολὰς τὸν ἑαυτῶν ῥυθμισάντων βίον, ἢ τῶν ὑπερβεβηκότων τὸ ἄνθρωποι εἶναι, καὶ εἰς κρείττονα τάξιν τε καὶ ἀξίαν, διὰ τῆς ἀρίστης πολιτείας ἀναβιβασθέντων, κατὰ τὸ εἰρημένον, « Ἐγὼ εἶπα· θεοί ἐστε, καὶ υἱοὶ Ὑψίστου (97) πάντες. »

CCXXXVII. — HERONI MONACHO.

In illud : « Omnis vir apparet justus. »

Plerique mortalium (vereor enim dicere omnes, etiamsi hoc Scriptura dicere videatur) non quod virtutem amplectantur, sed quod iniquioribus seipsos comparent, per deteriorum collationem, opinionis errore justos se esse fingunt : non ipsa per se Dei mandata expendentes, ac suam vitam ad eorum normam componentes, verum cum aliorum languore atque socordia suam vivendi rationem conferentes. Eaque de causa dictum est illud, quod a me tibi explicari cupis, « Omnis vir justus sibi esse videtur [60]. » Etenim ad ea quidem quæ alii recte atque virtute gerunt cæcutit ; eorum autem vitia liquido perspicit : non secus videlicet ac vultures, prata persæpe atque hortos prætereuntes, cadavera volatu petunt. Subjunxit itaque : « Dirigit autem corda Dominus [61], » hoc est, eorum, qui inanem hujusmodi opinionem ex animis suis ejecerunt : aut eorum, qui ad divina mandata vitam suam exegerunt : aut denique eorum, qui supra hominum conditionem sese extulerunt, ac per optimam vitæ rationem ad præstantiorem dignitatis gradum evecti sunt, juxta illud Scripturæ : « Ego dixi : dii estis, et filii Excelsi omnes [62]. »

ΣΛΗ'. — ΠΑΜΠΡΕΠΙΩ ΔΙΑΚΟΝΩ.

Τί ἐστι τὸ, « Ἱερεῖς, λαλήσατε εἰς τὴν καρδίαν Ἰερουσαλήμ. »

CCXXXVIII. — PAMPREPIO DIACONO.

Quid sit : « Sacerdotes, loquimini ad cor Jerusalem [63]. »

Ἐπειδὴ τὸ μὲν λόγοις φιλοσοφεῖν ῥᾴδιον, τὸ δὲ D

Quandoquidem sermonibus philosophari facile

[60] Prov. xvi, 9. Sec. LXX. [61] ibid. [62] Psal. LXXXI, 6. [63] Isa. XL, 2.

VARIÆ LECTIONES ET NOTÆ.

(92) Non Εὐλογίῳ sed Ἀλογίῳ, *Alogio*, inscribitur hæc epistola in cod. Vat. 650 ; unde in vers. penult. id nomen reponendum, absque quo hebetatur acumen dicti. Possin.

(93) *Bœoti.* Notum proverb. Οἱ βοιωτία. Et Horatii carmen :

Bœotum in crasso jurares aere natum. Ritt.

(94) *Milesii, valde estis Milesii.* Notus est de his vetus senarius :

Πάλαι ποτ' ἦσαν ἅλκιμοι Μιλήσιοι.
Fuere quondam strenui Milesii.

Ejusdem generis sunt ista : *Verres est Verres.* Item in Anthолog. Epigr. Πᾶσα θάλαττα θάλαττα. Et mox apud ipsum Isidorum : *Eulogi, quam valde es Eulogius* ; et : *Abramius est Abramius*, etc. Ritt.

(95) Ἀντὶ πατρός. Admonet me hoc Alexandri Magni apophthegma somnii ejusdem, quod habuit cum Tyrum obsideret, de Satyro. Id conjectores ita interpretati sunt pro bono omine τῆς ἁλώσεως, quasi Alexandro dictum esset, σὰ Τύρος hoc est, Tyrus in tuam potestatem veniet. Ritt.

(96) De eadem perversitate et Greg. Nazianz. conqueritur, atque ad veram normam et examen homines revocat, quod præceptis Dei continetur. Id.

(97) Cod. Vat. 650 Ὑψίστοι pro Ὑψίστου. Possin.

Digitized by Google

est, operibus autem arduum, atque illud quidem aures oblectat, hoc autem animos erudit : ob eam causam Deus ad eos qui sacerdotii munere redimiti sunt, id, quod tibi explanari cupis, clamat : « Sacerdotes, loquimini ad cor Jerusalem. » Quoniam enim qui verbis duntaxat docent, non modo molestiam auditoribus exhibent, sed etiam irridendos ac sugillandos se propinant, idcirco actionum virtutem, **352** quæ ad auditorum animos penetret, ab ipsis requirit. Quamobrem sacrosanctum esse oportet eum qui consecratus est. Neque enim profanum sacris operari fas est.

A ἔργοις δύσκολον, καὶ τὸ μὲν τὰς ἀκοὰς τέρπει, τὸ δὲ τὰς ψυχὰς παιδεύει. Διὰ τοῦτο ὁ Θεὸς, τοῖς τῆς ἱερωσύνης λειτουργίαν ἑστεμμένοις βοᾷ τοῦθ' ὅπερ μαθεῖν ἠθέλησας. « Ἱερεῖς, λαλήσατε εἰς τὴν καρδίαν Ἱερουσαλήμ. » Ἐπειδὴ γὰρ οἱ διὰ λόγων φιλοσοφοῦντες οὐ μόνον ἐνοχλοῦσι τοὺς ἀκούοντας, ἀλλὰ καὶ δι' ὧν τὰ ἐναντία οἷς λέγουσι πράττουσι, κωμῳδεῖσθαι ἑαυτοὺς παρασκευάζουσι· διὰ τοῦτο τὴν τῶν ἔργων ἀρετὴν (98) τούτους ἀπαιτεῖ, τὴν τῆς ψυχῆς τῶν ἀκροατῶν ἀπτομένην. Ὥστε ἱερὸν εἶναι χρὴ τὸν ἱερωμένον. Ἱερᾶσθαι γὰρ τὸν ἀνίερον οὐ θέμις.

CCXXXIX. — PALLADIO DIACONO.

Malam opinionem rem molestam esse, nec non inutiles esse eorum qui hac correpti sunt labores.

ΣΛΘ'. — ΠΑΛΛΑΔΙΩ ΔΙΑΚΟΝΩ.

Ὅτι χαλεπῶς (f. χαλεπὸν) ἡ κακοδοξία· καὶ ἀκόρητοι (f. ἀνόνητοι) τῶν ταύτῃ κεκρατημένων οἱ πόνοι.

Existimationem tuam, vir optime, cura ut recuperes, non illam quidem morbo affectam et corruptam, atque in nihilum redactam (levius enim id malum fortassis esset); verum in errorem et hæresim conversam.

B Ἀνάκτησαι σαυτοῦ, ὦ βέλτιστε, τὴν ὑπόληψιν, οὐ νοσήσασαν καὶ διαφθαρεῖσαν, καὶ εἰς τὸ μὴ ὂν χωρήσασαν· ἧττον γὰρ ἂν ἦν ἴσως κακόν· ἀλλ' εἰς κακοδοξίαν τραπεῖσαν.

CCXL. — LAMPETIO EPISCOPO.

ΣΜ'. — ΛΑΜΠΕΤΙΩ ΕΠΙΣΚΟΠΩ.

Non quidem me fugit, o castitatis delubrum, merito te hoc nomine discruciari, quod Zosimus et Martinianus, Maroque item et Eustathius, qui sacerdotum speciem præferunt, seipsos omni virtuti inaccessos et invios, omni autem vitio planam ac facilem viam sedemque reddiderint. Verum illud tibi exploratum esse debet, quod quo majores honores consecuti sunt, eo quoque gravioribus supC pliciis afficientur, ut qui ne beneficio quidem meliores effecti sint.

Οἶδα μὲν, ὦ ἁγνείας ἀνάκτορον, ὅτι εἰκότως δυσχεραίνεις, Ζωσίμου τε καὶ Μαρτινιανοῦ, Μάρωνός τε καὶ Εὐσταθίου ἱερᾶσθαι δοκούντων, ἀνθρώπων πάσῃ μὲν ἀρετῇ ἀπροσίτων τε καὶ ἀβάτων, πάσῃ δὲ κακίᾳ ἱππήλατον ἑαυτοὺς κατασκευασάντων ὁδόν τε καὶ χῶρον. Ἀλλ' εὖ εἰδέναι ὀφείλεις, ὅτι ὅσῳ μείζονος ἠξιώθησαν τιμῆς, τοσούτῳ καὶ μείζονα δώσουσι δίκην, ὅτι μηδὲ τῇ εὐεργεσίᾳ βελτίους ἐγένοντο.

CCXLI. — EIDEM.

ΣΜΑ'. — ΤΩ ΑΥΤΩ.

Tu quidem fortasse me multorum sermonum ac sensorum apparatum habere arbitraris. At ego illud probe scio, me nihil scire. Quod si quid laude dignum a me afferatur, Deo id ascribendum est, qui ut auditorum utilitate consulat, rudes atque ineruditos homines persæpe sapientia et eruditione instruit.

Αὐτὸς μὲν ἴσως πολλῶν τε λόγων καὶ νοημάτων ἔχειν με νομίζεις παρασκευήν, ἐγὼ δὲ οἶδα σαφῶς, ὅτι οὐδὲν οἶδα (99). Εἰ δέ τι λεχθείη εὐδόκιμον, τῷ Θεῷ τὴν αἰτίαν λογιστέον (1), τῷ καὶ ἰδιώτας, διὰ τὴν τῶν ἀκουόντων ὠφέλειαν, πολλάκις σοφίζοντι.

CCXLII. — NILAMMONI SCHOLASTICO.

ΣΜΒ'. — ΝΕΙΛΑΜΜΩΝΙ ΣΧΟΛΑΣΤΙΚΩ.

Etsi tu pro ea eloquentia, qua polles, antevertens, apologiam meam lacerasti, cum ad hunc modum scripsisti : Dic rursum quod Christianum D dogma non labefactet singularis illa Martiniani, Zosimi, Maronis et Eustathii improbitas, quorum vita jam ad scenam prodit, atque ignominiam et irrisionem sacrosanctæ religioni inurit : at non ipse tamen proinde a veritate abscedam, verum eam ad defensionem adhibebo. Nam quoniam nihil habens quo divinissimam religionem incuses, adversus sacerdotes quosdam accusationem convertisti, ver-

Εἰ καὶ τῷ δεινὸς εἶναι προλαβὼν τὴν ἀπολογίαν διέσυρας γεγραφὼς, εἰπὲ πάλιν ὅτι τῷ δόγματι οὐ λυμαίνεται ἡ ὑπερφυὴς Μαρτινιανοῦ καὶ Ζωσίμου, Μάρωνός τε καὶ Εὐσταθίου κακία, ὧν ὁ βίος λοιπὸν σκηνοβατεῖται, ἀδοξίαν καὶ κωμῳδίαν τῇ ἱερωτάτῃ θρησκείᾳ προστριβόμενος. Ἀλλ' ἔγωγε οὐκ ἂν ἀποσταίην τῆς ἀληθείας, ἀλλ' αὐτῇ πρὸς ἀπολογίαν χρησαίμην. Ἐπειδὴ γὰρ οὐκ ἔχων ὅ τι καὶ μέμψοιτο τὴν θειοτάτην θρησκείαν, εἴς τινας τῶν ἱερωμένων ἔτρεψας τὴν κατηγορίαν, εὐφώρατός σοι ἡ σκαιωρία γέγονεν ὑπὸ πάντων (2) τῶν συνέσεως οὐκ ἀμοιρούν-

VARIÆ LECTIONES ET NOTÆ.

(98) Cod. Vatic. 650 pro τὴν τῶν ἔργων ἀρετὴν recte scribit, τὴν διὰ τῶν ἔργ., Possin.

(99) A Socrate hoc mutuatus est, cujus verba vide apud Platonem. Rivt.

(1) Similiter inf. h. l. ep. 253 et 312, nec non lib. IV. Id.

(2) Pro his editi verbis, σοι ἡ σκαιωρία γέγονεν ὑπὸ πάντων, cod. Vat. 650 legit, σοῦ ἡ κακηγορία

Digitized by Google

των, τῶν τὴν μὲν θείαν ὑπερεπαινεσάντων πολιτείαν, τὴν δὲ κατηγορίαν εἰς ἐκείνους τρεψάντων. Εἰ δὲ καὶ αὐτὸς τῆς φιλονεικίας ἀποσταίης, ἀποδείξῃ τὰ εἰρημένα. Τί γὰρ ἄτοπόν φαμεν, λέγοντες, ὅτι αὐτὸ τὸ πρᾶγμα βασανίζεσθαι χρή· καὶ εἰ μὲν καλὸν φωραθείη, ἀσπαστέον, κἂν τινες τῶν δοκούντων αὐτὸ μετιέναι, εἰς αὐτὸν τῆς κακίας τὸν πυθμένα κατέπεσον· εἰ δ' αἰσχρόν, φευκτέον, κἂν τινες τῶν δοκούντων αὐτῷ προσκεκλίσθαι (3), εἰς αὐτὴν τῆς ἀρετῆς δοκεῖν ἐληλακέναι τὴν κορυφήν; χρὴ γὰρ τὴν μὲν ἀρετὴν ἀσπαστὴν εἶναι, κἂν πάντες ψέγωσιν οἱ τὴν κρίσιν τῶν πραγμάτων οὐκ ἔχοντες ὀρθήν· τὴν δὲ κακίαν φευκτήν, κἂν πάντες οἱ τῶν κακῶν ἐρασταὶ αὐτὴν ἀνακηρύττωσιν. Οὐ γὰρ ἀπὸ τῶν νοσούντων, ἀλλ' ἀπὸ τῶν ὑγιαινόντων χρὴ λαμβάνειν τὰς περὶ τῶν πραγμάτων ψήφους (4). Εἰ γὰρ τοῖς νοσοῦσιν ἐψόμεθα, καὶ φιλοσοφίας καταγνωσόμεθα.

A sulia tua ab omnibus, qui quidem prudentia minime careant, facile deprehensa est, qui divinam quidem vitæ rationem summis laudibus extulerunt, accusationem autem in eos converterunt. Quod si tu quoque a contentionis studio teipsum removeas, ea quæ dixi comprobabis. Quid enim absurdi dicimus, cum rem ipsam explorari ac perpendi oportere dicimus : ac, si bona esse comperiatur, amplectendam esse, **353** etiamsi quidam eorum, qui eam consectari videantur, ad ipsum quoque vitii fundum prolapsi sint ; si autem turpis atque inhonesta, fugiendam esse, quantumvis nonnulli ex iis, qui ipsi addicti sint, ad ipsum virtutis verticem pervenisse videantur? Amplectenda enim virtus est, etiamsi omnes, quibus minime rectum de rebus B judicium est, eam vituperent : fugiendum autem vitium, etiamsi omnes, quos vitia delectant, illud laudibus prædicatione efferant. Neque enim ab iis, qui adversa valetudine laborant, sed a sanis, rerum judicia capienda sunt. Nam si ægrorum judicia sequamur, philosophiam quoque ipsam condemnabimus.

ΣΜΓ. — ΕΥΔΑΙΜΟΝΙ.

Εἰς τὸ, « Αὕτη κληθήσεται γυνὴ, ὅτι ἐκ τοῦ ἀνδρὸς αὐτῆς ἐλήφθη. »

Σὺ μὲν οὐ κατὰ λόγον ἔφης εἰρῆσθαι τὸ, Αὕτη κληθήσεται γυνὴ, ὅτι ἐκ τοῦ ἀνδρὸς αὐτῆς ἐλήφθη. Ἐγὼ δὲ οὐ μόνον κατὰ λόγον, ἀλλὰ καὶ θαυμασίως αὐτὸ γεγράφθαι φημὶ, καὶ ὅπως, ἄκουε. Ἡ γυνὴ παρὰ τὴν γονὴν εἴρηται. Αὕτη γοῦν κληθήσεται γυνὴ, τουτέστι γονίμη, ὅτι ἐκ τοῦ [ἀνδρὸς] αὐτῆς (5) τοῦ μέλλοντος γόνιμον ποιεῖν, ἐλήφθη. Τὴν γὰρ παρθένον ὁ ἀνὴρ συναπτόμενος, γυναῖκα, τουτέστι γόνιμον ποιεῖ. Διὸ καὶ παρ' Ἀθηναίοις ἡ συνάφεια ἡ κατὰ νόμον, ἐπ' ἀρότρῳ παίδων ἐλέγετο γίνεσθαι, καὶ γονεῖς οἱ τεκόντες καλοῦνται. Τοὺς γὰρ λέγοντας παρὰ τὰ γυῖα, τουτέστι τὰ μέλη, εἰρῆσθαι, οὐδὲ λόγου ἀξιωτέον. Τῷ μὲν γὰρ μέλει καὶ μέρει τὸ ὅλον καὶ τὸ πᾶν ἀντιδιαστέλλεται. Τῇ δὲ γυναικὶ ὁ ἀνὴρ, τουτέστι τῷ σπείροντι γεωργῷ καὶ ἀνορύττοντι τὴν γυναικείαν χώραν (6)· παρ' ὃ καὶ ἀνὴρ, ὡς οἶμαι, λέγεται. Τὸ γὰρ ἄνθρωπος κοινὸν αὐτοῖς ἐστιν ὄνομα· ἡ σπειρομένη γῆ (7), καὶ διὰ τοῦτο γόνιμος γινομένη. Τῶν πρός τι γάρ ἠγοῦμαι καὶ τοῦτ' εἶναι. Ἅμα γὰρ εἴποις ἄνδρα, καὶ γυνὴ τῇ ἐννοίᾳ συνεισέρχεται· ὡς καὶ πατρὸς ῥηθέντος, ὁ παῖς συνυπακούεται, καὶ δεσπότου λεχθέντος, ὁ δοῦλος συνεπινοεῖται.

CCXLIII. — EUDÆMONI.

In illud : « Ipsa vocabitur mulier, quia de viro suo sumpta est [a]. »

Tu quidem haud recte illud dictum esse contendis : Ipsa vocabitur γυνὴ, quia de viro sumpta est : ego vero non modo recte, sed etiam eximio atque admirando modo hoc scriptum fuisse aio, et, qua ratione ductus, audi. Ἡ γυνὴ παρὰ τὴν γονὴν, hoc est, a genitura dicta est. Ipsa igitur γυνὴ vocabitur, C hoc est, ad gignendum idonea : quia ex viro suo, qui eam fecundam redditurus est, sumpta est. Vir quippe virginem sibi matrimonio copulans, γόνιμον, hoc est fecundam, γυναῖκα reddit. Ob idque etiam apud Athenienses legitimus congressus arandorum filiorum causa fieri dicebatur : ac γονεῖς, parentes appellantur. Nam ne audiendi quidem hi sunt, qui παρὰ τὰ γυῖα, hoc est ob membra, ab hoc nomine appellatos esse dicunt. Membro enim et parti totum et omne opponitur : mulieri vero vir, hoc est serenti agricolæ, ac feminam regionem effodienti (unde etiam ἀνὴρ, ut opinor, nomen traxit, nam alioqui hominis vocabulum utrique commune est) terra sata, propterea que fecunda exsistens. Hanc quippe vocem D ex earum numero esse arbitror, quæ ad aliquid referuntur. Nam simul atque virum dixeris, uxor quoque animo statim occurrit, quemadmodum scilicet, et cum patrem dixisti, filius una intelligitur, et cum dominum dixisti servus etiam una cogitatur.

[a] Gen. II, 23.

VARIÆ LECTIONES ET NOTÆ.

γέγονεν ἀπὸ πάντ., etc. Vers. deinde quarto pro ἀποδείξῃ cod. idem habet ἀποδέξῃ, et secundo post, φανείη pro φωραθείη. Possin.

(3) Pro προσκεκλίσθαι idem cod. scribit προσκεχρῆσθαι, et vers. inde secundo ψεύσωσιν pro ψέγωσιν. Vers. ep. penult. et ult. pro φιλοσοφίας idem legit ἰατρικῆς. Id.

(4) Eamdem sententiam habet Isidorus lib. III, ep. 242. Nec immerito. Ægroti enim insincerum habent judicium. Unde Varro *Eumenidib.* : « Ut arquatis et veternosis, quæ lutea non sunt, æque ut lutea videntur, sic insanis sani et furiosis videntur esse insani. » Ritt.

(5) Vox αὐτῆς recte abest a cod. Vat. 650. Possin.

(6) Mirabiles sane etymologiæ, quarum posteriorem etiam Just. Lipsius inculcavit in quadam epistola, nominato auctore nostro. Quod autem ait, τὴν γυναικείαν χώραν ἀνορύττειν τὸν ἄνδρα, eo pertinet, quod supra ep. 312 scripsit, feminam terræ loco esse, marem agricolæ rationem habere. Ritt.

(7) Pro ἡ σπειρομένη γῇ cod. Vat. 650 legit ἡ δὲ γῇ σπειρ., Possin.

Digitized by Google

CCXLIV. — DIOSCORO.

Non modo pro acceptis beneficiis, sed etiam pro eo quod injuriam inferre prohibitus es, gratiam te Deo habere convenit. Nam hoc quoque, etiamsi tibi mirum atque ab hominum opinione alienum videtur, maximum beneficii genus est.

CCXLV. — THEODOSIO EPISCOPO.

Haud abs re, vir admirande, Pelusiensem urbem, quam prius beatam prædicabas, nunc luctu ac lacrymis prosequeris. Nam cum, ut mater ob felicem filii partum, clari viri Ammonii, veri episcopi, præfectura condecorabatur, **354** merito quoque felicitatis nomine prædicabatur, ut quæ et divinis et humanis bonis referta et cumulata esset. Postea-quam autem scelestæ ac peregrinæ, atque humanam formam præferenti belluæ ipsius administratio commissa est, atque ipsa in extremam solitudinem corruit, optimo jure vicem ipsius lugere convenit. Etenim illius tempestate, quemadmodum τοῦ σμήνους reginam in roscidis pratis apes circumsedent: sic omnes eum fovebant, ac circum eum choros agitabant. Nam revera mellifluo colloquio et voce præditus erat, easque illecebras habebat, quibus omnium animos sibi devinciret. At hujus tempore, ne quid gravius dicam, qui reliqui facti sunt, læto ac festivo habitu commutato calamitates suas deplorant. Hujus autem rei hanc causam esse aiunt, quod cum ille Ecclesiæ clavum teneret, divino altari sanctitas sua constabat, piis nimirum sacerdotibus illud cingentibus atque complectentibus: hoc autem antistitem agente, impuri ac scelerati in sacrum ordinem cooptantur, probi contra expelluntur. Quocirca quia necessaria neglecta sunt, cætera quoque omnia labefactata et corrupta sunt. Nam cum adyta ipsa ab impuris et nefariis hominibus obterantur, merito quoque urbs ipsa plerisque invia effecta est. Quamobrem, o sacrum caput, non eam duntaxat defle, verum etiam, ut ad veterem virtutem ac felicitatem ascendat, a Deo precibus contende.

CCXLVI. — PETRO.

Pax, si adnexam justitiam habeat, divina quædam res est: si autem altera sine altera sit, virtutis pulchritudinem labefactat. Nam et prædonibus inter se, et lupis pax est, illis nimirum in hominum perniciem, his autem in ovium exitium: at pacem hanc minime appellarim quæ justitia minime ornata est. At si hæc accesserit, tum demum pax vere vocabitur. Unde etiam Christus dixit: «Non veni mittere pacem super terram, sed gladium[65].» Nam quod non omnem pacem, sed eam duntaxat, quæ cum vitio conjuncta est, abjiciat ac proscribat, hinc

[65] Matth. x, 34.

ΣΜΔ'. — ΔΙΟΣΚΟΡΩ.

Χρὴ μὴ μόνον ὑπὲρ ὧν εὐηργετήθης χάριν εἰδέναι (8), ἀλλὰ καὶ ὑπὲρ ὧν κωλύῃ ἀδικεῖν. Καὶ τοῦτο γὰρ εἰ καὶ παράδοξόν σοι φαίνεται, εὐεργεσίας εἶδος μέγιστον τυγχάνει.

ΣΜΕ'. — ΘΕΟΔΟΣΙΩ ΕΠΙΣΚΟΠΩ.

Εἰκότως, ὦ θαυμάσιε, τὴν Πηλουσιωτῶν νῦν καταθρηνεῖς πόλιν, καί τοι πρότερον μακαρίσας. Ὅτε μὲν γὰρ, οἷα δὴ μήτηρ ἐπ' ἀριστοτόκοις παιδὸς ὠδῖσι, τῇ τοῦ ἀοιδίμου Ἀμμωνίου τοῦ ὄντως ἐπισκόπου προστασίᾳ ἐνηβρύνετο, εἰκότως ἐμακαρίζετο, ἅτε δὴ καὶ τῶν θείων, καὶ τῶν ἀνθρωπίνων ἀγαθῶν ἀνάπλεως οὖσα. Ὅτε δὲ μιαρὸν καὶ ξένον καὶ ἀνθρώπόμορφον θηρίον τὴν οἰκονομίαν αὐτῆς ἐνεχειρίσθη, καὶ εἰς ἐσχάτην ἐρημίαν κατηνέχθη, εἰκότως ὀλοφυρμῶν ἐστιν ἀξία. Ἐπ' ἐκείνου μὲν γὰρ, ὥσπερ αἱ τὴν βασιλίδα τοῦ σμήνους ἐν εὐδρόσοις λειμώνων ἄνθεσι περιιζάνουσι μέλιτται· οὕτω πάντες αὐτὸν περιεῖπον, καὶ περὶ αὐτὸν ἐχόρευον. Ὄντως γὰρ ἦν καὶ τὴν ὁμιλίαν, καὶ τὴν φωνὴν μελισταγής, καὶ χειρωτικὸν ἐκέκτητο θέλγητρον. Ἐπὶ δὲ τούτου· ἀλλ' οὐδὲν βούλομαι δυσχερὲς εἰπεῖν· οἱ ὑπολειφθέντες τὸ πανηγυρικὸν ἀμείψαντες σχῆμα καταθρηνοῦσι τὰς σφῶν συμφοράς. Τὸ δὲ αἴτιον, ὥς φασι, τουτέστι, τὸ ἐπ' ἐκείνου μὲν τὸ θεῖον θυσιαστήριον τῆς προσηκούσης τυγχάνειν ἁγιστείας, ἱερέων αὐτὸ περιεπόντων εὐαγῶν, ἐπὶ δὲ τούτου τοὺς μὲν ἐναγεῖς ἐγκρίνεσθαι (9)· τοὺς σπουδαίους δ' ἀπελαύνεσθαι. Ὡς τῶν ἀναγκαίων τοιγαροῦν ἐῤῥᾳθυμημένων, καὶ τὰ ἄλλα πάντα διέφθαρται. Τῶν γὰρ ἀδύτων ὑπὸ μιαρῶν ἀνθρώπων πατουμένων, ἄδατος καὶ ἡ πόλις εἰκότως τοῖς πολλοῖς γεγένηται. Μὴ τοίνυν, ὦ ἱερὰ κεφαλὴ, καταθρήνει μόνον αὐτὴν, ἀλλὰ καὶ εὔχου, ὅπως εἰς τὴν ἀρχαίαν ἀρετήν τε καὶ εὐημερίαν ἀναδράμοι.

ΣΜϚ'. — ΠΕΤΡΩ.

Ἡ εἰρήνη τῇ δικαιοσύνῃ συγκεκραμένη θεῖόν ἐστι χρῆμα· εἰ δὲ θατέρα ἄνευ τῆς ἑτέρας εἴη, λυμαίνεται τῷ τῆς ἀρετῆς κάλλει. Ἔστι μὲν γὰρ εἰρήνη καὶ λῃσταῖς πρὸς ἑαυτοὺς καὶ λύκοις· τοῖς μὲν ἐπὶ λύμῃ τῶν ἀνθρώπων, τοῖς δὲ ἐπ' ὀλέθρῳ τῶν προβάτων. Ἀλλ' οὐκ ἂν καλέσαιμι ταύτην εἰρήνην (10) τὴν τῇ δικαιοσύνῃ μὴ κοσμουμένην. Εἰ δ' αὐτῇ συνέλθοι, ὄντως εἰρήνη κεκλήσεται. Διὸ καὶ ὁ Χριστὸς ἔφη· « Οὐκ ἦλθον βαλεῖν εἰρήνην ἐπὶ τὴν γῆν, ἀλλὰ μάχαιραν. » Ὅτι γὰρ οὐ πᾶσαν εἰρήνην, ἀλλὰ τὴν τῇ κακίᾳ συνεζευγμένην ἀποκηρύττει,

VARIÆ LECTIONES ET NOTÆ.

(8) Post εἰδέναι merito supplet cod. Vat. 650, τῷ εὐεργέτῃ, et vers. seq. pro τοῦτο γὰρ εἰ καὶ παραδ., etc., scribit, τοῦτο γὰρ ὅπερ παρ. Possin.

(9) Locus mutilus in edito, τοὺς μὲν ἐναγεῖς ἐγκρίνεσθαι, supple ex cod. Vatic. 650, τοὺς μὲν εὐαγεῖς ἐλαύνεσθαι, τοὺς δ' ἐναγεῖς ἐγκρ., etc. Quæ deinde sequuntur in edito, τοὺς σπουδαίους δ' ἀπελαύνεσθαι, absunt ab illo codice. Id.

(10) Pro ταύτην εἰρήνην recte legit cod. Vat. 650 ταῦτ' εἰρήνην. Id.

Digitized by Google

ἀλλαχοῦ φησιν, « Εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν. » Εἰρήνη γὰρ ὄντως ἐκείνη ἐστὶν, ἡ τῇ δικαιοσύνῃ, καὶ τῇ εὐσεβείᾳ σεμνυνομένη.

patet, quod alio loco ait: «Pacem meam do vobis[66].» Pax enim vere ea est, quæ justitia et pietate cohonestatur.

ΣΜΖ'. — ΕΥΤΟΝΙΩ ΔΙΑΚΟΝΩ.

Μὴ φοβοῦ, ὦ μισοπονηρίας ἱερὸν τέμενος, τοὺς ἐλέγχειν μὲν ἀδυνατοῦντας, ἐλέγχεσθαι δὲ παραιτουμένους, ἀλλὰ τὴν παῤῥησίαν θρασύτητος μὲν ἀπηλλαγμένην, προσηνείᾳ δὲ κεκραμένην ἐπιδεικνύμενος, προσδόκα ἀνύειν (11) τὰ πρέποντα. Εἰ δὲ καὶ μὴ ἀνύσειας, ὡς γέγραφας, καὶ Εὐσέβιος, καὶ οἱ παρ' αὐτοῦ οὐ δεόντως χειροτονηθέντες ἀντὶ τοῦ ἀμείβεσθαι κακηγοροῦσι, μὴ ὀλιγώρει. Ὁ γὰρ ἀκοίμητος καὶ πανεπόπτης ὀφθαλμὸς ὁ μισοπόνηρος καὶ φιλάγαθος, σὲ μὲν ἀμείψεται, ἐκείνους δὲ ἀμυνεῖται. qui et improbos exosos, et probos charos habet, tibi quidem vicem rependet, de ipsis autem supplicium sumet.

Ne timeas eos, o improbitatis odii sacrum delubrum, qui cum reprehendere nequeant, reprehendi recusant: verum dicendi libertatem, a temeritate liberam, ac cum suavitate conjunctam præ te ferens, ea quæ decent perfecturum te spera. Quod si etiam minime perficias, ut scripsisti, atque Eusebius, et ii, qui ab eo, contra quam fas erat, ordinati sunt, pro eo atque tibi gratiam referre debebant, **355** maledictis te incessant, ne propterea elanguescas. Insomnis enim ac rerum omnium conspector oculus,

ΣΜΗ'. — ΖΩΣΙΜΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Λόγος ἡμῖν ἔναγχος περὶ ἀρετῆς καὶ κακίας ἐκεκίνητο (12), καὶ πολλῶν πολλὰ λεγόντων, ἔφην ἐγὼ, ὅτι ἡγοῦμαι πάντας ἀνθρώπους καὶ ἐλαττώματα ἔχειν, καὶ πλεονεκτήματα· ἀλλὰ τοὺς μὲν εὐδοκίμους καὶ ἀρίστους, μικρὰ μὲν ἔχειν καὶ εὐτελῆ τὰ ἐλαττώματα, μέγιστα δὲ καὶ ὑπερφυῆ τὰ κατορθώματα· τοὺς δὲ ἄλλους ἢ ἀναλογοῦντα τοῖς ἐλαττώμασι τὰ πλεονεκτήματα, ἢ καὶ πλεονεκτοῦντα, ἢ καὶ πλεονεκτούμενα. Εἰσὶ γὰρ ἄνθρωποι, ἀπάνθρωποι μὲν, σώφρονες δέ· ἢ ἀσελγεῖς μὲν, ἐλεήμονες δέ· ἢ θρασύτατοι μὲν, ῥᾳδίως δὲ μεταβαλλόμενοι· ἢ ἄδικοι μὲν, μετριόφρονες δέ· ἢ ἅρπαγες μὲν, ἐγκρατεῖς δέ· ἢ ἀκρατεῖς μὲν γλώττης, ἐγκρατεῖς δὲ ἡδονῶν· ἢ ἀκρατεῖς μὲν ἡδονῶν, ἐγκρατεῖς δὲ γλώττης (13)· ἢ γαστρὸς μὲν ἥττονες, ὀργῆς δὲ κρείττονες· καὶ συλλήβδην εἰπεῖν, οὐκ ἂν ῥᾳδίως πιστεύσαιμι εἶναι ἄνθρωπον, οὔτ' ἐλαττωμάτων ἄμοιρον, οὔτε κατορθωμάτων ἔρημον. Καὶ προὔφερον πρὸς ἀπόδειξιν, τῶν μὲν τὸν κριτὴν τῆς ἀδικίας, τὸν μήτε τὸν Θεὸν φοβούμενον, μήτε ἄνθρωπον ἐντρεπόμενον, ὅστις ἐποίησε καλὸν, τὴν συνεχῶς ἱκετεύουσαν αὐτὸν ἐλεήσας χήραν, καὶ ἐπεξελθὼν τοῖς ἀδικοῦσι. Τῶν δὲ τὸ « Τίς καυχήσεται ἁγνὴν ἔχειν τὴν καρδίαν, ἢ τίς παῤῥησιάσεται, καθαρὸς εἶναι ἀπὸ ἁμαρτιῶν. » Ὡς δὲ πάντες οἱ παρόντες ἐπῄνουν, καὶ κρότος ὑπὲρ πᾶσαν ἐλπίδα ἀνερῥήγνυτο, ἐγὼ μὲν ἠρυθρίασα· πρὸς γὰρ τοὺς ἐπαίνους ἐρυθριᾷν μᾶλλον πέφυκα, ἢ θρασύνεσθαι. Εἷς δὲ τῶν παρόντων, καὶ λόγῳ καὶ βίῳ εὐδόκιμος (οὐ γὰρ (14) ἀποκρυψαίμην τὴν ἀλήθειαν, εἰ καὶ ἀνατρέπειν τὰ παρ' ἐμοῦ λελεγμένα ἐπειρᾶτο) ὀλίγα ἐφησυχάσας, ὦ βέλτιστε Ζώσιμε, καὶ τὸν σὸν προφέρων βίον, ἐλέγχειν τὸν λόγον ἐπειρᾶτο· πάντα μὲν τὰ ἐλαττώματα ἐν σοὶ χορεύειν

CCXLVIII. — ZOSIMO PRESBYTERO.

Cum nuper nobis de virtute ac vitio sermo excitatus esset, ac multi multa dicebant, ad hunc modum ipse locutus sum: Neminem mortalium esse arbitror, qui non et vitia et virtutes habeat: verum optimi quique ac probatissimi parva quidem et tenuia vitia, maximas autem et excellentes virtutes habent: alii vero aut pares vitiis virtutes, aut superiores, aut etiam inferiores. Sunt enim homines qui licet crudeles sint, pudici tamen sunt: aut si impudici ac libidinosi sint, tamen ad misericordiam propensi sunt: aut si audacissimi sint, facile tamen commutantur: aut si injustitia laborent, modestia tamen præditi sunt: aut si rapaces sint, continentes tamen sunt: aut si intemperanti lingua sint, a voluptatibus tamen abstinent, aut si ab iis non abstineant, abstinentis tamen linguæ sunt: aut si ventris cupiditatibus succumbant, iracundia tamen superiores sunt. Atque, ut summatim loquar, non facile adduci queam, ut ullum hominem esse credam, qui vel vitiis careat, vel virtutibus omnibus destitutus sit. Quod ut demonstrarem, pro his quidem iniquum illum judicem proferebam, qui cum nec Deum timeret, nec hominem vereretur, tamen probum opus perpetravit, ut qui viduam sine ulla intermissione ipsius opem implorantem misericordia prosecutus sit, in eosque, qui ipsi injuriam inferebant, animadverterit; pro illis autem illud Scripturæ: «Quis gloriabitur se castum habere cor? aut quis libere hoc prædicabit: Purus sum a peccato[67]?» Cum autem ab omnibus, qui aderant, hæc oratio laudibus efferretur, ac supra spem omnem plausus excitaretur, ego quidem erubui (siquidem ita natura comparatus sum, ut ad laudes meas rubore potius suffundar, quam insolen-

[66] Joan. XIV, 27. [67] Prov. XX, 9.

VARIÆ LECTIONES ET NOTÆ.

(11) Cod. Vat. 650, ἀνύσειν, in futuro. Possin.
(12) Cod. Vat. 650, ἐκινεῖτο. Id.
(13) Pro γλώττης cod. Vat. habet γαστρός, vers. post quinto pro ἔρημος idem reponit ἄμοιρος, etsi paulo ante positum; vers. post ἐποίησε addit τι, et vers. seq. pro ἐλεήσας, scribit ἠλέησε. Id.
(14) Post γὰρ cod. Vat. addit ἂν et mox pro ὀλίγα legit ὀλίγον. Id.

Digitized by Google

ter efferar); unus autem ex iis, qui aderant, vir et vitæ laude, et doctrina clarus (neque enim veritatem reticebo, quamvis ille ea, quæ a me dicta fuerant, evertere conaretur), exiguo silentio usus, tuam, optime Zosime, vitam proferens, orationem meam refutare nitebatur: illud videlicet ostendens, vitia quidem omnia in te velut choros agere, virtutis autem nec vestigium ullum inesse. Cum autem ego fidem his verbis minime haberem, omnes, qui aderant, eum vera loqui testabantur, tuisque vitiis exponendis omnem linguam imparem esse dictitabant. Cum autem ego his auditis tacerem (contendere enim absurdum esse judicabam), hujusmodi verbis illi ad me usi sunt: Non ut orationem tuam evertamus, **356** vir sapientissime, hæc dicimus (nam ea vera est, atque omni laude præstantior), sed quia eum ab humani generis cœtu proscribimus, atque belluam humanam formam gerentem, aut pestiferum dæmonem, naturæque hostem esse statuimus. Atque hæc omnes fere, velut ex uno ore, loquebantur. Quidam autem ex ipsis majorem in modum a me contendebant, ut hæc ipsa tibi significarem: sic enim fortasse te ad meliorem mentem rediturum esse. Ego vero primum quidem id facere detractabam: post autem eorum precibus cedens, scripturum me ad te recepi. Tuum autem jam fuerit, teipsum considerare, atque operam dare, ut et dicteriis, et ludibrio, et pœna teipsum liberes. Quod si, quia mortem ad interitum omnia perducere existimas, idcirco absque metu peccas, imprudens te decipis. Mors quippe, quæ nobilem plantam arefacere videtur, nihil aliud est, quam animæ et corporis disjunctio. Id si non credis, audi quid dicat Plato: Morte hominem invadente, mortalis, ut videtur, ipsius pars mori videtur: quod autem immortale est, salvum et incolume abit, posteaquam morti velut fasces submisit.

A

B

CCXLIX. — ISIDORO DIACONO.

In illud: « Exterminabitur unctio [68], » etc.

Ex sacerdotio et regno, vir mihi cognominis, rerum administratio conflata est. Quamvis enim permagna utriusque differentia sit (illud enim velut anima est, hoc velut corpus), ad unum tamen et eumdem finem tendunt, hoc est ad hominum salutem. Quapropter cum Judaicæ res initium sumebant, sacerdotium, ut magis necessarium, institutum est, ac perdiu duravit. Posteaquam autem, cum carni addictiores atque crassiores essent, regnum poposcerunt: illud ipsis concessum fuit, quippe quod

C

ΣΜΘ'. — ΙΣΙΔΩΡΩ ΔΙΑΚΟΝΩ.

Εἰς τὸ, « Ἐξολοθρευθήσεται χρίσμα » καὶ τὰ ἑξῆς.

Ἐξ ἱερωσύνης καὶ βασιλείας (20), [ᾧ] ὁμώνυμε, τὰ πράγματα συνέστηκεν (21). Εἰ γὰρ καὶ πολλῷ ἀλλήλων διαφέρουσιν· ἡ μὲν γὰρ ὡς ψυχή ἐστιν, ἡ δὲ σῶμα· ἀλλ' εἰς ἓν ὁρῶσι τέλος, τὴν τῶν ὑπηκόων σωτηρίαν. Διὰ τοῦτο καὶ ἡνίκα τὰ Ἰουδαϊκὰ πράγματα ἀρχὴν ἐλάμβανεν, ἡ ἱερωσύνη ἀναγκαιοτέρα ἐθεσμοθετήθη, καὶ ἐπὶ πολὺ διήρκεσεν· ἐπειδὴ δὲ σαρκικώτεροι ὄντες καὶ παχύτεροι, καὶ βασιλείαν ἐξεζήτησαν, καὶ αὕτη ἐδόθη, χρησιμωτάτη οὖσα, καὶ ἀναστέλλουσα τὰ πταίσματα τῶν τῇ

[68] Dan. IX, 27.

VARIÆ LECTIONES ET NOTÆ.

(15) Ante ἔγνος cod. idem adjungit ἔν. Vers. seq. pro ὄντες scribit συνόντες, et vers. inde 4 pro ἀκούων habet ἀκούσας. Possin.

(16) Idem cod., λέγομεν. vers. seq. ἀληθὴς in ἀληθῶς et κρείττων in κρείττω mutat. Id.

(17) Pro ἀπαλλαγείης, cod. Vat. scribit ἀπαλλαγήσῃ. Vers. inde 2 ante θάνατος omittit art. ὁ et post illa verba ὁ δοκῶν εὐγενὲς φυτὸν μαραίνειν prætermittit. Id.

(18) *Θάνατος οὐδὲν ἕτερόν ἐστιν ἢ χωρισμὸς ψυχῆς τε καὶ σώματος.* Sic Arnobius mortem vocat divagationem animæ a corpore. Vid. et Cicer. *Tuscul.* Ritt.

(19) *Ὑποχωρῆσαν τῷ θανάτῳ.* Bill., *posteaquam morti velut fasces submisit.* Malim, *morti se subducens*, vel *mortem effugiens.* Si enim fasces morti submisisset, non esset immortalis anima, nec posset salva atque incolumis abire. Id.

(20) *Ἐξ ἱερωσύνης καὶ βασιλείας.* Similiter Justinianus in *Novell.* et Ignatius in epist. Id.

(21) Pro συνέστηκεν cod. Vatic. 650 legit συνεστήκασι. Vers. 6 vocem πράγματα idem omittit. Vers. 7 ante ἀναγκαιοτέρα ponit ὡς. Possin.

Digitized by Google

ἱερωσύνῃ μὴ πειθομένων. Ἐπεὶ τοίνυν πῇ μὲν, A utilissimum esset, atque eorum, qui sacerdotio minime parebant, peccata coerceret ac restringeret. Quoniam igitur, partim quidem sacerdotium habentes elucebant, partim autem regnum obtinentes conservabantur, utroque autem sublato, nullum ipsis salutis subsidium reliquum erat: idcirco Daniel propheta, ut illud ostenderet, fore, ut Judæorum res post Christum in crucem sublatum funditus delerentur, nec ullum lætioris spei vestigium ipsis restaret, nec melior ulla exspectatio eluceret, his verbis usus est: « Exterminabitur unctio, et judicium non erit in ea: » per unctionem videlicet, sacerdotium indicans; per judicium autem, regnum, ac civilem statum. Ac maxime quidem per sacerdotii exstinctionem, regni quoque, et aliarum omnium rerum eversionem simul demonstrabat: **357** sublato enim ac prorsus deleto eo, quod caput erat, majorisque momenti, ne aliud quidem quidquam consistere poterat. Nam regni quoque basis pietas erga Deum erat, quæ in Dei cultu posita censebatur. Sed tamen regnum etiam finem habiturum dixit: hinc nimirum perfectam Judaicæ reipublicæ subversionem prædicens. Quod etiam res ipsæ testantur, ad multo præstantiorem et diviniorem cultum ac religionem traductæ.

τὴν ἱερωσύνην ἔχοντες διέλαμπον, πῇ δὲ, τὴν βασιλείαν κτησάμενοι διεσώζοντο, ἀμφοτέρων δ' ἀναιρουμένων, οὐδεμία αὐτοῖς ὑπελείπετο σωτηρίας ὑπόθεσις· βουλόμενος δεῖξαι ὁ προφήτης Δανιὴλ τὴν παντελῆ τῶν Ἰουδαϊκῶν πραγμάτων μετὰ τὸν σταυρὸν καθαίρεσιν, καὶ ὡς οὐδὲ λείψανον αὐτοῖς χρηστῆς ἐλπίδος περιλειφθήσεται, οὐδέ τις προσδοκία αὐτοῖς ἀμείνων φανεῖται, ἔφη, « Ἐξολοθρευθήσεται χρῖσμα, καὶ κρίμα οὐκ ἔσται ἐν αὐτῇ. » Διὰ μὲν τοῦ χρίσματος τὴν ἱερωσύνην μηνύων· διὰ δὲ τοῦ κρίματος, τὴν βασιλείαν, καὶ τὴν πολιτικὴν κατάστασιν. Μάλιστα μὲν γὰρ διὰ τῆς ἀναιρέσεως τῆς ἱερωσύνης, καὶ τὴν τῆς βασιλείας, καὶ τῶν ἄλλων ἁπάντων συνανέφηνε (22). Τοῦ γὰρ κεφαλαιωδεστέρου καὶ κυριωδεστέρου παντάπασι καταλυομένου, οὐδ' ἄλλο τι B συστῆναι ἠδύνατο· ἐπεὶ καὶ τῆς βασιλείας ἡ κρηπὶς, ἡ πρὸς τὸ Θεῖον ἐτύγχανεν εὐσέβεια, ἥτις ἐν τῇ πρὸς Θεὸν ἐκρίνετο λατρείᾳ. Πλὴν ἀλλὰ καὶ τὴν βασιλείαν ἔφη τελευτήσειν, παντελῆ προαναφαίνων τῆς Ἰουδαϊκῆς πολιτείας τὴν ἀναίρεσιν. Καὶ μαρτυρεῖ τὰ πράγματα, ἐπὶ βελτίονα πολλῷ καὶ θειοτέραν θρησκείαν ἐπαναχθέντα.

ΣΝ'. — ΤΩ ΑΥΤΩ.

CCL. — EIDEM.

Εἰς τὸ γεγραμμένον ἐν τῷ νόμῳ: « Πένητα οὐκ ἐλεήσεις ἐν κρίσει. »

In illud: « Pauperis non misereberis in judicio [68]. »

Ἐπειδὴ ὁ μὲν δεόμενος δεῖται τοῦ δώσοντος· ὁ δὲ ἀμφισβητῶν τοῦ δικάσοντος· οὐ τὴν πενίαν φιλοπραγμονεῖν βούλεται, ἀλλὰ παρακαλεῖν. Εἰ δὲ τὴν παράκλησιν ἀφεῖσα, εἰς συκοφαντίαν (23) τραπείη, ἐλεεῖσθαι ἐν κρίσει οὐκ ἂν εἴη δικαία. Διὰ τοῦτο ἔφη, οὐκ ἐλεήσεις πτωχὸν ἐν κρίσει. Ἐλεητέον μὲν γάρ, οὐ κρινόμενον δὲ, ἀλλ' ἀντιβολοῦντα. Εἰ δὲ τὸ παρακαλεῖν εἰς τὸ ἐγκαλεῖν τρέψειεν, τὸ δίκαιον ἔμπροσθεν τοῦ ἐλέου θετέον· οὐ γὰρ δίκαιον τὸ δίκαιον διαφθείρεσθαι.

Quandoquidem is, qui inopia constrictus est, C donatore indiget, qui autem ambigit, judicis opeatque auxilio, idcirco [Deus] paupertatem, non molestiam cuiquam exhibere, sed obsecrare vult. Quod si, omissa obsecratione, ad struendas calumnias sese convertat, eam profecto in judicio miserationi esse minime æquum fuerit. Ac propterea his verbis usus est: « In judicio non misereberis pauperis. » Etenim ipsius quidem misericordia affici convenit, at non cum litigat, sed cum obsecrat. Si autem preces in accusationem vertat, justitia misericordiæ anteponenda est. Neque enim jus corrumpi justum est.

ΣΝΑ'. — ΤΩ ΑΥΤΩ.

CCLI. — EIDEM.

Οὐ πλοῦτος (24), οὐ ῥώμη, οὐκ εὐγλωττία, οὐ λαμπρὸν ἢ ὑπέρλαμπρον ἀξίωμα, οὐχ ὁ τῶν ὑπάρχων θρόνος, οὐχ ἁλουργὶς, καὶ διάδημα σεμνύειν τοὺς D ἔχοντας; πέφυκεν, ὡς ἀρετὴ καὶ φιλοσοφία. Τίνος οὖν ἕνεκεν οἱ πολλοὶ τῶν ἀνθρώπων περὶ μὲν ἐκεῖνα ἐπτόηνται, τούτων δὲ ἧττον φροντίζουσιν; Ἐπειδὴ οἱ μὲν τὰ δοκοῦντα πρὸ τῶν ὄντων θηρεύουσιν, οἱ δὲ τὸ αὐτίκα μάλα τοῦ μικρὸν ὕστερον συνοίσοντος προ-

Non opes, non pulchritudo, non robur, non facundia, non splendida aut splendorem omnem excedens dignitas, non Hyparchorum thronus, non purpura, non diadema, eos, qui hæc habent, perinde honestare solent, ut virtus ac philosophia. Quid igitur causæ est, quamobrem mortalium plerique acerrima quidem illarum rerum cupiditate incitantur, has autem minus curant? Nimirum quia partim

[68] Exod. XXIII, 3.

VARIÆ LECTIONES ET NOTÆ.

(22) Pro συνανέφηνε idem cod. scribit, συνέφηνε. Vers. seq. pro κυριωδεστέρου habet κυριωτέρου et vers. altero pro καταλυομένου scribit καὶ κατακυλισμένου. Denique vers. inde 3 pro ἐκρίνετο ponit ἐκ:ρνᾶτο. Possin.

(23) Συκοφαντίαν pluraliter inflectit συκοφαντίας idem cod. Id.

(24) Post οὐ πλοῦτος addit cod. Vatic. 650, οὐ κάλλος, et mox pro εὐγλωττία scribit εὐλογία. Vers. ult. scribit μετιᾶσιν, non μετίασιν. Id.

Digitized by Google

ea, quæ specie tenus sunt, magis quam ea, quæ aucupantur : partim id, quod statim utile est, eo, quod aliquanto postea utilitatem allaturum est, prius atque antiquius habent : partim rerum judicium corruptum habent : partim denique nequidquam quidem post hanc vitam esse arbitrantur. Nam probi ac virtute præditi tum ipsam per se virtutem colunt : tum futuras coronas animo et cogitatione complectentes, eam consectantur.

τιμῶσιν (25) · οἱ δὲ τὴν κρίσιν τῶν πραγμάτων διεφθαρμένην ἔχουσιν, οἱ δὲ οὐδ' εἶναί τι μετὰ τόνδε τὸν βίον νομίζουσιν. Ὡς οἵ γε φιλάρετοι, καὶ αὐτὴν καθ' ἑαυτὴν τὴν ἀρετὴν τιμῶσι, καὶ τοὺς μέλλοντας στεφάνους ὀνειροπολοῦντες μετίασιν αὐτήν.

CCLII. — DOROTHEO CLARISSIMO.

In illud a Deo dictum : « Quacunque die comederitis ab eo [69]. »

Vehementer miror ac stupore defigor, qui fiat, ut ii, quos peccata delectant, cum semper moriantur, nunquam tamen mortuos se esse existiment. Unde etiam, quemadmodum scripsisti, in quæstionem illud venire potest, quod ad primo fictos homines dictum est : « In quacunque die de ligno comederitis, morte moriemini. » Facinorosus enim ac sicarius tum demum proprie moritur, cum leges violat ac scelus admittit : **358** quantumlibet alioqui vitæ usura frui videatur. Nam et si nondum reipsa, at, si sententiam ac jus spectes, mortuus est : etiamsi nondum in legum laqueos incidisse videatur. Quod si quis etiam immortalis animæ mortem Spiritus sancti abscessionem esse definit (neque enim in corpore peccatis obnoxio domicilium habebit); sic quoque hunc locum intelligere licet. Ut enim corpus præsente anima vivit : sic etiam anima divino Spiritu præsente. Et quemadmodum recedente anima corpus mortuum manet : sic etiam recedente Spiritu sancto, anima beatam vitam amittet : non quidem illa in nihilum dilabens, verum morte quavis acerbiorem vitam ducens. « Sine enim, inquit Christus, mortuos sepelire mortuos suos [70]. » Ac rursum : « Filius meus hic mortuus erat, et resurrexit [71]. » Nam quod nonnulli dicunt, quod ante mille annorum complementum mortui erant (scriptum enim esse, « Unus dies Domini tanquam mille anni [72] »), si non ignoretur, probabile mihi esse videtur, atque ejusmodi, quod a simplicioribus potius excipiatur.

ΣΝΒ'. — ΔΩΡΟΘΕΩ ΛΑΜΠΡΟΤΑΤΩ.

Εἰς τὸ εἰρημένον ὑπὸ τοῦ Θεοῦ · « Ἧ δ' ἂν ἡμέρᾳ φάγεσθε ἀπ' αὐτοῦ. »

Λίαν θαυμάζω καὶ ἐκπλήττομαι, πῶς οἱ φιλαμαρτήμονες ἀεὶ ἀποθνήσκοντες, οὐδέποτε τεθνηκέναι (26) νομίζουσι. Διὸ καὶ ζήτημα, ὡς γέγραφας, οἷόν τε εἶναι ἐκεῖνο τὸ πρὸς τοὺς πρωτοπλάστους εἰρημένον. « Ἧ δ' ἂν ἡμέρᾳ φάγητε ἀπὸ τοῦ ξύλου, θανάτῳ ἀποθανεῖσθε. » Ὁ γὰρ κακουργὸς καὶ ὁ ἀνδροφόνος, τότε κυρίως ἀποθνήσκει (27), ὅταν τοὺς νόμους παραβαίνῃ, καὶ τὸ ἁμάρτημα ἐργάσοιτο, κἂν δοκοίη ζῆν. Εἰ γὰρ καὶ μὴ τῇ πείρᾳ, ἀλλά γε τῇ ἀποφάσει, καὶ τῷ δικαίῳ τέθνηκεν · εἰ καὶ δοκοίη μηδέπω εἰς τὰς τῶν νόμων σαγήνας ἐμπεπτωκέναι. Εἰ δὲ καὶ θάνατον τῆς ἀθανάτου ψυχῆς ὁρίζεται (28) τὴν τοῦ ἁγίου Πνεύματος ἀποφοίτησιν · οὐ γὰρ κατοικήσει ἐν σώματι κατάχρεῳ ἁμαρτίας · καὶ οὕτω νοείσθω. Ὥσπερ γὰρ τὸ σῶμα ζῇ παρούσης ψυχῆς, οὕτω καὶ ἡ ψυχὴ παρόντος τοῦ θείου Πνεύματος · καὶ ὥσπερ ἀναχωρησάσης τῆς ψυχῆς νεκρὸν μένει τὸ σῶμα, οὕτω καὶ ἀποφοιτήσαντος (29) τοῦ ἁγίου Πνεύματος ἀπολέσει ἡ ψυχὴ τὴν μακαρίαν ζωὴν, οὐκ εἰς τὸ μὴ ὂν ἀναλυομένη, ἀλλὰ θανάτου παντὸς χαλεπωτέραν βιοῦσα ζωήν. « Ἄφες γὰρ, φησὶ ὁ Χριστὸς, τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκρούς. » Καὶ · « Ὁ υἱός μου οὗτος νεκρὸς ἦν καὶ ἀνέζησε. » Τὸ γὰρ λεγόμενον παρά τινων ὅτι πρὸ τῆς τῶν χιλίων ἐτῶν συμπληρώσεως ἐτεθνήκεσαν · γέγραπται γάρ · « Μία ἡμέρα Κυρίου ὡς χίλια ἔτη » οὐκ ἀγνοούμενον πιθανὸν εἶναι (30) μοι δοκεῖ, καὶ τοῖς ἁπλουστέροις μᾶλλον εὐπαράδεκτον.

CCLIII. — HERMINO COMITI.

Quoniam scribis me orationem (vel, si vere loquendum est, oratiunculam potius) de eo, quod fatum non sit, elucubrasse, quæ a nonnullis quidem mirificis laudibus extollatur, a nonnullis autem, aliis libris, qui de hoc argumento a quibusdam elaborati sunt, præstantior habita sit, atque, ut eam ad te

ΣΝΓ'. — ΕΡΜΙΝΩ ΚΟΜΗΤΙ.

Ἐπειδὴ γέγραφας λόγον, μᾶλλον δὲ εἰ χρὴ εἰπεῖν ταλιθές, λογίδιόν μοι πρώην γεγράφθαι περὶ τοῦ μὴ εἶναι εἱμαρμένην, παρά τινων μὲν ἐνθειασθὲν, παρά τινων δὲ καὶ τῶν ἄλλων συγγραμμάτων τῶν εἰς τοῦτο παρά τινων πεπονημένων προκριθὲν, καὶ παρεκάλεσας τοῦτό σοι πεμφθῆναι, πέπομφα αὐτό (31)

[69] Gen. II, 17. [70] Matth. VIII, 22. [71] Luc. XV, 24. [72] Psal. LXXXIX, 4.

VARIÆ LECTIONES ET NOTÆ.

(25) *Τὸ αὐτίκα μάλα τοῦ μικρὸν ὕστερον συνοίσοντος προτιμῶσιν.* Demosthenis imitationem hic quoque observo, ut supra ep. 174 lib. II, RITT.

(26) Pro τεθνηκέναι cod. Vatic. 650 habet ἀποθνήσκειν, et vers. 4 pro οἷόν τε, scribit οἴονται. POSSIN.

(27) Ἀποθνήσκει cod. Vat. mutat in ἐκθνήσκει. Vers. inde 3 ἀποφάσει idem mutat in ἐκφάσει. ID.

(28) Post ὁρίζεται hæc inserit cod. Vat., διὰ τὴν τοῦ ἁγίου Πνεύματος ἐκφοίτησιν, τὴν, etc. ID.

(29) Pro ἀποφοιτήσαντος; ἐκφοιτήσαντος idem cod. scribit ἐκφοιτήσαντος. Vers. inde 2 loco asterisci ponit εἶναι. ID.

(30) Cod. Vat., οὐκ ἀγνῶ μὲν, πιθανὸν δὲ εἶναι, etc. ID.

(31) Pro αὐτὸ cod. Vat. 650 legit αὐτός. Vers. post tertio, post τῷ Θεῷ recte addit χάριν et vers. seq. ἐλλιπῶς scribit pro ἐλλιπεῖ. ID.

Digitized by Google

τοιγαροῦν μὴ ἀπὸ τῆς φήμης ψηφίζου· ἀλλὰ ἀκριβῶς βασανίσας δοκίμασον. Καὶ εἰ μὲν εὖ ἔχει, τῷ Θεῷ ἴσθι· εἰ δὲ δόξει σοι ἐλλιπεῖ γεγράφθαι, τῇ ἀνθρωπίνῃ ἀσθενείᾳ συγγίνωσκε τῇ μὴ ζυναμένῃ ὡς βούλεται φράσαι.

A mittam, precibus a me contendis, idcirco eam mitto. Tu vero ne famæ judicium in sententia ferenda sequere : verum eam accurate perpende atque explora. Ac si ea commode a me scripta sit, Deo gratiam habe : sin autem in ea quidpiam desiderari videatur, humanæ imbecillitati, quæ minime, ut cupit, loqui potest, ignosce.

ΣΝΔ'. — ΠΑΥΛΩ.

Εἰς τὸ ῥητόν· « Ὁ βλέπων γυναῖκα. »

Ἐπειδὴ ἐκ τοῦ ὁρᾶν τὸ ἐρᾶν τίκτεται, διὰ τοῦτο καὶ ὁ Χριστὸς τὸν ἀκολάστως ἐστιῶντα (32) τὰς ὄψεις μοιχὸν εἶναι ἀπεφήνατο, οὐ τὴν πρᾶξιν μόνον, ἀλλὰ καὶ τὴν ἔννοιαν προαναστέλλων, καὶ ἐπὶ τοῦ φόνου δὲ, ὁ μὲν νόμος τὸν ἀνδροφόνον, ὁ δὲ Χριστὸς καὶ τὸν ὀργιζόμενον τιμωρεῖται. Ὁ μὲν γὰρ τῇ ψυχῇ, ὁ δὲ τῇ χειρὶ νομοθετεῖ· καὶ διὰ τὸ μὴ συγχωρῆσαι φύναι τὴν ῥίζαν, καὶ τοὺς κλάδους προαναστέλλει. Χαλίνου τοίνυν καὶ τὸν ὀφθαλμὸν καὶ τὸν θυμὸν, ἵνα μὴ ὁ μὲν εἰς μοιχείαν, ὁ δὲ εἰς φόνον σε χειραγωγήσῃ.

B Quandoquidem amor ex aspectu oritur, idcirco Christus quoque eum, qui petulanter atque impudice oculos pascit, adulterum esse pronuntiavit : quo videlicet non facinus duntaxat, sed etiam cogitationem prohiberet. Atque ad eumdem modum, lex quidem de homicida, Christus autem de eo quoque, qui irascitur, supplicium sumit. Illa enim manui, hic animæ leges sancit, ac dum radicem oriri non patitur, ramos etiam ante cohibet. Quæ cum ita sint, oculum et iracundiam velut injecto freno coerce : ne ille ad adulterium, hæc ad cædem te velut porrecta manu ducat.

ΣΝΕ'. — ΕΡΜΙΝΩ ΚΟΜΗΤΙ.

Μὴ μεταβαλλέτω σε, ὦ ἄριστε, ὡς ἕνα τῶν πολλῶν, εὐημερίας αὔρα· ἀλλὰ φυλαττέτω βέβαιον τοῖς φίλοις ἡ σύντροφος φιλοσοφία. Ἐκεῖνο μὲν γὰρ τοῖς ἀπειροκάλοις καὶ ἀγελαίοις εἴωθε συμβαίνειν· τοῦτο δὲ τοῖς κομιδῇ σοφοῖς, ὧν εἰς τὸν σύλλογον ἐνεγράφης. (33).

359 CCLV. — HERMINO COMITI.

Da operam, vir optime, ne te tanquam unum e vulgo, immutet rerum secundarum aura, verum firmum atque constantem amicis servet philosophia, cum qua es educatus. Illud enim imperitis ac gregariis contingere solet : hoc autem iis, qui ingenti sapientia præditi sunt, quorum in cœtum nomen tuum ascriptum est.

C

ΣΝϚ'. — ΕΥΔΑΙΜΟΝΙ.

Ἐτόλμησα ἂν εἰς τὸν ἀγῶνα τῶν ἐγκωμίων τοῦ θεοφιλοῦς Θεοδοσίου τοῦ ἐπισκόπου κατελθεῖν, εἰ μὴ ἐδεδοίκειν μήποτε ἐνδεῶς εἰπὼν, τῶν προσόντων αὐτῷ ἀγαθῶν ἐλαττώσω τὴν δόξαν. Ἀλλ' ἐπειδὴ πᾶσα λόγου δύναμις παραχωρεῖ τῷ μεγέθει τῆς ὑποθέσεως, εἰκότως καὶ αὐτὸς σιγὴν ἐμαυτοῦ (34) κατεψηφισάμην. Καί τοι γινώσκω, ὅτι ἐὰν ὁ ἐγκωμιαζόμενος ἐκ τῆς ἀληθείας τὴν μαρτυρίαν ἔχῃ, οὐδὲν ἡ τῆς ἀρετῆς κτῆσις καταβλάπτεται ὑπὸ τῆς ἀσθενείας τοῦ λέγοντος. Ἐν γὰρ ταῖς ὑπερβολαῖς οὐχ ὁ ἥττηθεὶς τῆς ἀξίας κατῄσχυνεν, ἀλλὰ πλέον ἐλάμπρυνε, δείξας ἑαυτὸν ὑπὸ τοῦ τῶν πραγμάτων μεγέθους καλυφθέντα.

CCLVI. — EUDÆMONI.

In laudum pii episcopi Theodosii certamen descendere minime fortasse dubitassem, nisi illud veritus fuissem, ne si ipsius virtutibus inferiorem orationem haberem, ipsius gloriam imminuerem. Quoniam autem omnis dicendi facultas argumenti magnitudini cedit, idcirco ipse quoque silentio me haud immerito condemnavi. Quanquam illud scio, quod si is, cujus laudes prædicantur, a veritate testimonium habeat, veritatis possessio ex dicentis imbecillitate nihil detrimenti capit. Etenim in singulari virtutum magnitudine, non is, qui infra rerum dignitatem substitit, eum, quem laudandum suscepit, dedecore affecit, sed ipsius potius splendorem auxit : quod scilicet seipsum rerum magnitudine obrutum demonstrarit.

D

ΣΝΖ'. — ΠΑΥΛΩ.

Εἰς τὸ εἰρημένον· « Ὅτι καὶ τὴν πόλιν καὶ τὸ ἅγιον διαφθερεῖ σὺν τῷ ἐρχομένῳ ἡγουμένῳ. »

Τὸ εἰρημένον παρὰ τοῦ ἀγγέλου τῷ Δανιὴλ, « Ὅτι καὶ τὴν πόλιν καὶ τὸ ἅγιον διαφθερεῖ σὺν τῷ

CCLVII. — PAULO.

In illud : « Quia urbem et sanctum destruet cum duce venturo. »

Id quod Danieli ab angelo dictum est[74] : « Et civitatem, et sanctum delebit cum duce venturo, » si

[73] Matth. v, 28. [74] Dan. IX, 26.

VARIÆ LECTIONES ET NOTÆ.

(32) Pro ἐστιῶντα cod. Vat. 650 legit ἐπιόντα. Vers. 5 post φόνου δὲ addit ὁμοίως. Vers. 6 inter τὸν et ὀργιζόμενος recte inserit εἰκῇ. Possin.

(33) Pro ἐνεγράφης cod. Vat. 650 scribit ἀνεγράφης. Ib.

(34) Cod. Vat. 650, ἐμαυτῷ. Ib.

Digitized by Google

de alio quodam dictum esse putant, exponant sane arbitratu suo, modo veritati nihil incommodi inferatur. Cum autem Christus sit, qui venturus esse dicitur, juxta Scripturas : « Benedictus enim qui venit in nomine Domini [75] » et : « Tu es, qui venturus es, an alium exspectamus [76] ? » horum verborum hæc sententia est : Non modo Pater omnia Judæorum ornamenta, resque visendas, evertet, sed etiam Christus, qui ab ipsis, ut ipsorum redemptor, exspectatur. Quandoquidem enim in ipsum quoque Regis Filium impotenti furore debacchati sunt, ea quæ merentur, supplicia pendent. Non enim civitas duntaxat, sed etiam sanctum evertetur, hoc est, templum delebitur. Ac vide quam accurate loquatur. Non enim dixit : Delebitur cum duce, ut quidam arbitrantur : sed, Pater templum ac civitatem delebit, opitulante ipsi duce, qui scilicet in priore suo adventu ab ipsis indignissimis contumeliis affectus est. Quod si hoc obscurum est, apertius a me explanabitur. Deus et dux, id est Christus : « Ex te enim, inquit ad Bethleem, exiet dux qui civitatem ac templum diruet [76*]. » Quamobrem etiamsi Romanis hoc facinus ascriptum est : tamen divinitus immissa hujusmodi ira erat. Ac testimonio est Josephus, his verbis utens : **360** « Romanis illud minime assignandum est, quod nobis omnibus bellum illud, quod adversus eos gessimus, exitium attulit. Non enim eorum viribus hæc contigerunt : verum præstantior quædam causa hoc illis præbuit, ut sincere viderentur. » Quænam autem hæc causa erat ? Nimirum ea, quæ Hierosolymitanam urbem ad vexandum Salvatorem impulit, ac propterea Judæorum res in genu flexit, vel prorsus omnino delevit. Quod si mihi diffidunt Judæi, dicant velim quamnam ob causam nunc ejusmodi captivitatem sustineant, quæ revocationis omnis expers sit.

A Ἄκουε τοίνυν συντόμως· οὐδὲ γὰρ ἄλλως δυναίμην. Ὁ μὲν μηδενὸς παρακινοῦντος, μηδὲ ἐρεθίζοντος, μεγαληγορῶν, καὶ τῆς οἰκουμένης ἁπάσης φρονῶν μεῖζον ὁ Φαρισαῖος, εἰκότως προσκρούει, ὑπερηφανίαν γὰρ ἐνόσει. Ὁ δὲ ἐν μὲν τῷ εὐδοκιμεῖν κρύπτων τὰ οἰκεῖα πλεονεκτήματα, ἐν δὲ τῷ κακηγορεῖσθαι [φράζοντος (80)] φράζων πρὸς τὸ ἀπολύσασθαι τὰ ἐπιφερόμενα ἐγκλήματα, ὥσπερ ὁ ἀοίδιμος, καὶ πάσης εὐφημίας κρείττων πεποίηκεν Ἰὼβ, πάσης αἰτίας ἔξω καθέστηκεν, εἰς τοὺς οὐ δεόντως κακηγορήσαντας, τῆς αἰτίας παλινδρομούσης· ψυχρὸν μὲν γὰρ καὶ ἔστι καὶ δοκεῖ (81) τὸ σεμνύνειν ἑαυτόν· καὶ εἰκότως δοκεῖ, μηδεμιᾶς ἀνάγκης ἐκβιαζομένης· εἰ δέ τις ἀκούων ἃ μὴ προσῆκεν, εἰς τοιούτους ἄκων ἐμπέσοι λόγους, τοῖς τὴν ἀνάγκην κατεσκευακόσι καὶ ἡ αἰτία προστρίπτεται. Διόπερ καὶ ἡ θεία ψῆφος τὸν μὲν ἑαυτὸν μηδενὸς παροινοῦντος (82) δικαιώσαντα, καὶ τῶν ἄλλων ἁπάντων καταψηφισάμενον, καὶ μηδὲ τὸν παρόντα τελώνην αἰδεσθέντα, οὐκ ἀπεδέξατο· τὸν δὲ ἐξ ἀνάγκης εἰς τοῦτο ἀχθέντα (τί γὰρ τῶν ἐρεθίσαι δυναμένων οἱ φίλοι παραλελοίπασι;) μεγίστοις ἐγκωμίοις ἐστεφάνωσεν.

B

CCLXXIX. — PETRO.

Quemadmodum periti medici in morborum initiis remedia haud temere adhibent (propterea quod defluxionis impetus oblata medicamenta debilitat, ac velut in aquam convertit) verum aliquantisper exspectant, dum morbus de acrimonia nonnihil remittat, ac tum denique ad medendum se conferunt: eodem modo nec vigente mœrore, eum, qui præ ipsius magnitudine velut temulentia quadam laborat, objurgare convenit (nam alioqui sermonem, non secus ac collyrium, inutilem imprudentes reddemus) : verum, posteaquam ad breve tempus mœroris socios nos præbuerimus, atque hujusmodi affectum nonnihil sedari siverimus, ita demum ad curationem proficisci. Quæ quidem etiam nobis causa fuit, cur ad te curandum serius accesserimus. Quamobrem erige te, quæso, amice, ex immodica hac mœstitia, illud cum animo tuo reputans, te nec solum, nec primum in hanc *calamitatem* incidisse : verum communem hunc casum esse, nosque jamjamque eamdem viam ingressuros, ut rerum in hac vita gestarum rationes reddamus.

ΣΟΘ'. — ΠΕΤΡΩ.

Ὥσπερ οἱ ἐπιστήμονες τῶν ἰατρῶν ἐν τοῖς προοιμίοις τῶν παθῶν οὐ ῥᾳδίως προσφέρουσι βοηθήματα, διὰ τὸ τὴν ἐπιφορὰν τοῦ ῥεύματος (83) ἐξυδαροῦν τὰ προσφερόμενα φάρμακα· ἀλλ' ἐνδόντες ὀλίγον λωφῆσαι τὰ πάθη, οὕτως ἐπὶ τὴν ἰατρικὴν βαδίζουσιν· οὕτως οὐδ' ἀκμαζούσης τῆς λύπης δεῖ τῷ ὑπὸ ταύτης μεθύοντι ἐπιπλήττειν· εἰ δὲ μὴ λήσομεν τὸν λόγον, ὥσπερ κολλούριον ἄχρηστον καθιστῶντες, ἀλλὰ συλλυπηθέντες βραχὺ καὶ ἐνδόντες ὀλίγον ῥαΐσαι τὸ πάθος· οὕτως ἐπὶ τὴν θεραπείαν ὁδεῦσαι. Οὗ δὴ καὶ ἡμεῖς χάριν βραδύτερον ἐπὶ τὴν θεραπείαν τὴν σὴν ἐληλύθαμεν. Ἀνάνευσον τοιγαροῦν, ὦ φίλος, ἐκ τῆς ἀκράτου λύπης, ἐννοῶν ὅτι οὔτε μόνος, οὔτε πρῶτος τοῦτο πέπονθας· ἀλλὰ κοινόν ἐστι πάθος, καὶ ὅσον οὐδέπω καὶ ἡμεῖς τὴν αὐτὴν βαδιούμεθα ὁδὸν, λόγον τῶν πεπραγμένων ὑφέξοντες.

C

CCLXXX. — EUTONIO DIACONO.

Illud quidem minime fieri posse arbitror, ut inimicos probi viri non habeant: ut autem inimicitiam recte atque commode tractent, fieri potest. Nam si in philosophicæ vitæ curriculo non offendunt, sibiipsis quidem prosunt, illos autem ulciscuntur :

D

ΣΠ'. — ΕΥΤΟΝΙΩ ΔΙΑΚΟΝΩ.

Ἐχθροὺς μὲν μὴ ἔχειν τοὺς φιλαρέτους, οἶμαι ἀδύνατον· δυνατὸν δὲ τὴν ἔχθραν καλῶς μεταχειρίσασθαι. Εἰ μὲν γὰρ οὐ πταίουσι φιλοσοφοῦντες, ἑαυτοὺς μὲν ὠφελοῦσιν, ἐκείνους δὲ ἀμύνονται· εἰ δὲ πταίουσιν, ὠφελοῦνται παρὰ τῶν ἐχθρῶν. Πολλάκις

VARIÆ LECTIONES ET NOTÆ.

(80) Quod legitur φράζοντος omittitur a cod. Vatic. 650. Idemque quod vers. seq. est, ἀπολύσασθαι, mutat in ἐνδύσασθαι. Poss N.

(81) Quod in edito scribitur δοκεῖ, non comparet in cod. Vat. 650. Ip.

(82) Cod. Vat. παρακινοῦντος. Ip.

(83) *Διὰ τὸ τὴν ἐπιφορὰν τοῦ ῥεύμ.* Pro his cod. Vat. 650 scribit, διὰ τὸ μὴ ἐπιφορᾷ τοῦ ῥεύ.. etc. vers. 6 ep. idem pro ἰατρικὴν legit ἰατρείαν. Ip.

Digitized by Google

γὰρ προσπεσοῦσα λοιδορία, νόσον ψυχῆς ἢ ἀγνοουμένην, ἢ ἀμελουμένην ἐθεράπευσε. Δεῖ γὰρ τοῖς εὐδοκίμοις, ἢ γνησίων φίλων, ἢ διαπύρων ἐχθρῶν. Οἱ μὲν γὰρ νουθετοῦντες, οἱ δὲ λοιδοροῦντες ἀποτρέπουσι τῶν πταισμάτων. Ἐπειδὴ δὲ νῦν ἡ φιλία ἰσχνόφωνος, μᾶλλον δ' ἄφωνός ἐστι τοῦ παῤῥησιάζεσθαι (84), καὶ τὸ μὲν στωμύλον αὐτῆς καὶ θωπευτικὸν, λάλον ἐστὶ καὶ γεγωνόφωνον· τὸ δὲ νουθετοῦν καὶ ἐπιπλῆττον ἄφωνον· καὶ ἀκουστέον παρὰ τῶν ἐχθρῶν τὴν ἀλήθειαν, καὶ διορθωτέον.

A si autem offendunt, ab inimicis utilitatem capiunt. Persæpe enim obortum maledictum, animi morbum, aut ignoratum, aut neglectum curavit. **370** Siquidem probi et clari viri, aut veris amicis, aut acribus et inflammatis inimicis opus habent. Illi siquidem admonendo, isti vero conviciando a peccatis avertunt. Quoniam vero nunc amicitia tenuem vocem habet, imo potius muta est ad libere loquendum : atque ad garriendum quidem et assentandum loquax et clamosa est : ad admonendum vero ac reprehendendum muta : ab inimicis audienda est veritas, vitaque emendanda.

ΣΠΑ'. — ΤΩ ΑΥΤΩ.

Οὐδὲν κολάκων οἶμαι ἀργαλεώτερον (85), οἵ τῆς τῶν πλουσίων (86) γλώττης ἀπηρτημένοι, ὀμνύουσι μὲν ὅτι πάντων ἄριστον, εἰ προέλοιντό τι ἐκεῖνοι καὶ τῶν ἀτοπωτάτων θαυμάσαι, κακίζουσι δὲ ἧ τάχος, εἰ καὶ αὐτὴν ἐπιχειρήσουσι κακῦναι τὴν ἀρετήν. Χρὴ τοιγαροῦν τοὺς ἐχέφρονας φεύγειν καὶ τὸ κολακεύειν καὶ τὸ κολακεύεσθαι. Ἄμφω γὰρ, ἵνα παρῶ τὸν τῶν ἀνθρώπων γέλωτα, καὶ κακίαν ἀνήκεστον, καὶ τιμωρίαν ἀνύποιστον ὠδίνει.

CCLXXXI. — EIDEM.

B Nihil meo quidem judicio adulatoribus molestius est, qui de divitum lingua suspensi, adhibito jurejurando confirmant, si quid illi, etiam quod turpissimum et absurdissimum sit, mirificis laudibus efferre instituant, id omnium optimum ac præstantissimum esse : ac contra, si illi etiam virtutem ipsam vituperare aggrediantur, eam quam celerrime insectantur. Quamobrem cordatis viris utrumque fugiendum est, nempe et adulari, et adulationibus deliniri. Ambo enim ista, ut hominum risum missum faciam, et incurabile vitium, et intolerandum cruciatum parturiunt.

ΣΠΒ'. — ΑΡΧΟΝΤΙΩ ΠΟΛΙΤΕΥΟΜΕΝΩ.

Μάλα ἀκριβῶς οἶδα, ὅτι εἴ σε ἑροίμην, πότερον ἐγὼ τὴν σύνεσιν ἀμείνων, ἢ Παῦλος· αὐτὴν τὴν ἐρώτησιν εἰς ἀλαζονείαν θήσεις. Πῶς οὖν ὃ μὴ ἴσχυσεν ἐκεῖνος (87) παρ' ἐμοῦ ζητεῖς κατορθωθῆναι; Εἰ γὰρ ἐκείνῳ τῷ ὑποπτέρῳ γεωργῷ (ἵνα τοὺς καθ' ἕνα παραλείψω, ἐφ' οἷς ἐπυροῦτο) καὶ τὸ Γαλατῶν γένος ἐξεπολεμήθη εἰς Ἰουδαϊσμὸν ἀποκλῖναι· καὶ οἱ ἐκ τῆς Ἀσίας οὐ προσέσχον, καὶ οἱ ψευδαπόστολοι διαπρύσιον ἐπολέμουν μάχην, καὶ οὐδεὶς αὐτὸν αἰτιᾶται· ἀλλ' ἀπὸ τῆς γνώμης στεφανοῖ, δι' ἣν αἰτίαν ἐμὲ αἰτιᾷ, τὸν, ὡς φῄς, πολλοὺς μὲν εἰς ἀρετὴν παρακαλέσαντα καὶ πεπεικότα· πολλοὺς δ' ἐκ τῆς κακίας ἐξαρπάσαντα· ὅτι δὲ Εὐσέβιος, καὶ Μαρτινιανὸς, Ζώσιμός τε, καὶ Μάρων οὐκ ἐπείσθησαν ταῖς παραινέσεσιν; Ἀλλ' ὅρα, μὴ δοκῶν ἐμὲ αἰτιᾶσθαι, αὐτὸς ἀνοίας ὀφλήσῃς γέλωτα, ἅτε τὸν τῆς αὐτεξουσιότητος ὅρον ἀγνοῶν, καὶ τὴν αἰτίαν τῶν οὐ πεισθέντων ἐπὶ τὸν οὐ πείσαντα μεταφέρων.

CCLXXXII. — ARCHONTIO REMPUBLICAM GERENTI.

C Illud quidem perquam exploratum habeo fore, ut si abs te quæram prudentiane atque ingenii acumine Paulum antecellam, hujusmodi percunctationem arrogantiæ ducas. Qui igitur id a me effici poscis, quod ille minime potuit? Nam cum alato illi agricolæ (ut singulos præteream, quorum causa urebatur) et Galatarum natio usque adeo subacta et oppressa fuerit, ut in Judaismum propenderet, et Asiatici ipsius verbis animum haud attenderint, et pseudoapostoli infestum adversus eum bellum gesserint, nec tamen propterea quisquam eum accuset, verum contra ob institutum ac voluntatem corona donet, ecquid tandem me accusas : quod cum permultos, ut abs te dictum est, ad virtutem cohortatus sim, atque etiam induxerim, permultos item a vitio extraxerim, Eusebius et Martinianus, et Zosimus ac Maro consiliis meis haudquaquam obtemperarint? At vide, ne dum me criminari videris amentiam ipse tuam deridendam propines, ut qui liberi arbitrii regulam ignores, culpamque eorum, qui non paruerunt, in eum qui minime persuasit, transferas.

VARIÆ LECTIONES ET NOTÆ.

(84) Pro τοῦ παῤῥ. cod. Vat. 650 legit τῷ μὴ παῤῥ. Vers. seq. pro λάλος ἐστὶ καὶ γεγωνόφωνον idem cod. scribit, μᾶλλόν ἐστι καὶ γενναιόφωνον. Possin.

(85) *Οὐδὲν κολάκων ἀργαλεώτερον.* Usque adeo, ut præstet incidere εἰς κόρακας ἢ εἰς κόλακας, ut ille olim aiebat. Corvi enim a viventibus abstinent, et cadavera tantum laniant; at assentatores nec vivis parcunt. Confer ep. 359. Ritt.

(86) Post ἀργαλεώτερον sic habet cod. Vat. 650, οἱ τῇ τῶν πλουσίων ἀπηρτημένοι γνώμῃ ὀμνύουσι μὲν ὅτι πάντων ἄριστον εἴη ὃ προέλοιτό τις ἐκείνων· κἂν τῶν ἀτοπωτάτων εἴη· καὶ θαυμάζουσι· κακίζουσι δὲ ὅτι τάχος. Hæc compara cum iis quæ paulum diverse leguntur in edito a versu 1 ad 5, et quod magis probas elige. Possin.

(87) Pro illis, ὁ μὴ ἴσχυσεν ἐκεῖνος, melius cod. Vatic. 650, ἃ μηδ' ἐκεῖνος ἴσχυσεν ἀνῦσαι, παρ', etc. Vers. 8 ἀποκλῖναι mutat idem in ἀποκλῖναν participium aoristi ut quadret cum γένος Γαλατῶν. Vers. pen. et ult. ep. codex idem bis οὐ mutat in μή. Id.

Digitized by Google

CCLXXXIII. — THEODOSIO SCHOLASTICO. A

Quo tempore Ezechias Hebræorum rex tropæum adversus Persas, tum omni admiratione majus, tum humano robore atque humana spe sublimius excitatum vidit, tum nimirum morbo percussus est : quo animæ saltus freno compressi, non cum, ut extra decorum prosiliret, adigerent, victoriæque materiam arrogantiæ bellum exciperet. **371** Quamobrem cum tuæ quoque animi præstantiæ felicitas omni spe præstantior contigerit, da operam, ne quid, quod absurdum atque inconcinnum sit, aut loquaris, aut facias. Quin potius immoderatam lætitiam coerce. Hæc enim ipsa natura est, ut plus incommodi persæpe, quam mœror, afferat.

ΣΠΓ'. — ΘΕΟΔΟΣΙΩ (88) ΣΧΟΛΑΣΤΙΚΩ.

Ἡνίκα Ἐζεκίας ὁ τῶν Ἑβραίων βασιλεὺς εἶδε τρόπαιον (89) κατὰ Περσῶν (90) ἐγηγερμένον, καὶ θαύματος κρεῖττον, καὶ πάσης ἀνθρωπίνης ῥώμης τε καὶ ἐλπίδος ὑψηλότερον, τότε δὴ, τότε νόσῳ βάλλεται, ἵνα τὰ σκιρτήματα τῆς ψυχῆς χαλινοῦ ἀξιωθέντα (91), μὴ ἔξω τοῦ πρέποντος αὐτὸν παριππεῦσαι ἀναγκάσωσι, καὶ τὴν τῆς νίκης ὑπόθεσιν ἀλαζονείας διαδέξηται πόλεμος. Εἰ τοίνυν καὶ τῇ σῇ μεγαλονοίᾳ, εὐημερία ἐλπίδος κρειττων ἐπέστη, μηδὲν ἀπηχὲς, μηδὲ λέγε μηδὲ πράττε· ἀλλὰ καὶ κόλαζε τὴν ἀμετρίαν τῆς χαρᾶς· λύπης γὰρ αὕτη πλέον καταβλάπτειν πολλάκις πέφυκε.

B

CCLXXXIV. — THEOPEMPTO EPISCOPO.

In illud, « Si fieri potest, quantum in vobis est, cum omnibus pacem habentes [97]. »

Et si humanorum omnium bonorum seges ac velut fundamentum concordia est, neque committere quisquam debet, ut belli ac pugnæ ansam alicui porrigat : tamen si quid incommodi pietati importari, aut imbecillibus injuriam inferri conspexeris, cave ne pacem veritati anteponas : verum forti ac strenuo animo consiste, adversus peccatum ad extremum usque spiritum dimicans. Propterea enim ab Apostolo illud dictum est, quod tibi a me exponi postulasti. « Si fieri potest, quantum ex vobis est, cum omnibus hominibus pacem habentes. » Interdum enim id fieri nequit : verbi gratia, cum C de pietate, ut superius dixi, sermo institutus est, aut cum pro iis, quibus injuria fit, certamen suscipitur. Quid autem miraris hoc in aliis hominibus non ubique fieri posse, cum in viro etiam et uxore, qui una et eadem caro esse censentur, hanc necessitatem perfregerit, ad hunc modum loquens : « Si autem infidelis discedit, discedat [98]. »

ΣΠΔ'. — ΘΕΟΠΕΜΠΤΩ (92) ΕΠΙΣΚΟΠΩ.

Τό (f. *εἰς τό*) *· « Εἰ δυνατὸν, τὸ ἐξ ὑμῶν, μετὰ πάντων ἀνθρώπων, εἰρηνεύοντες. »*

Πάντων μὲν τῶν κατ' ἀνθρώπους ἀγαθῶν ὑπόθεσίς ἐστι καὶ κρηπὶς ἡ ὁμόνοια, καὶ χρὴ μηδενὶ διδόναι πολέμου καὶ μάχης ἀφορμήν. Εἰ δέ που τὴν εὐσέβειαν παραβλαπτομένην, ἢ τοὺς ἀσθενεῖς (93) ἀδικουμένους θεάσαιο, μὴ προτίμα τὴν εἰρήνην τῆς ἀληθείας· ἀλλ' ἵστασο γενναίως, ἕως αἵματος πρὸς τὴν ἁμαρτίαν ἀνταγωνιζόμενος. Διὰ τοῦτο γὰρ εἴρηται τῷ Ἀποστόλῳ τοῦθ' ὅπερ ἠθέλησας μαθεῖν· « Εἰ δυνατὸν τὸ ἐξ ὑμῶν, μετὰ πάντων ἀνθρώπων εἰρηνεύοντες. » Ἔστι γὰρ ὅπου οὐ δυνατὸν, οἷον, ὅταν περὶ εὐσεβείας, ὡς ἔφθην εἰπὼν, ὁ λόγος· ἢ ὅταν περὶ ἀδικουμένων ὁ ἀγών. Καὶ τί θαυμάζεις, εἰ ἐπὶ τῶν ἄλλων ἀνθρώπων τοῦτο οὐ πανταχοῦ δυνατὸν, ὅπου γε καὶ ἐπ' ἀνδρὸς καὶ γυναικὸς τῶν εἰς μίαν σάρκα τελούντων, ταύτην ἔλυσε τὴν ἀνάγκην, εἰπών· « Εἰ δὲ ὁ ἄπιστος χωρίζεται, χωριζέσθω. »

CCLXXXV. — EIDEM.

Simile.

Ego nec peccati expers sum, nec peccati expertes amicos quæro (non enim inveniam), verum eos quidem qui maximis virtutibus, ac paucis mini-

ΣΠΕ'. — ΤΩ ΑΥΤΩ.

Ὅμοιον (94).

Ἐγὼ οὔτ' ἀναμάρτητός εἰμι, οὔτ' ἀναμαρτήτους ζητῶ φίλους (95)· οὐ γὰρ εὑρήσω· ἀλλὰ τοὺς πολλὰ μὲν καὶ μέγιστα ἔχοντας κατορθώματα, ὀλίγα δὲ καὶ

[97] Rom. XII, 18. [98] I Cor. VII, 15.

VARIÆ LECTIONES ET NOTÆ.

(88) Non Θεοδοσίῳ sed Θεοδώρῳ hæc epistola inscribitur in cod. Vat. 750. Possin.

(89) Post τρόπαιον idem addit τό. Id.

(90) *Κατὰ Περσῶν.* Voluit, certe debuit dicere κατὰ Ἀσσυρίων. Simile σφάλμα μνημονικὸν notare licet infra epist. 334, ubi Περσικὴν δύναμιν nominat pro Assyriorum potentia. Necdum enim Ezechia rerum in Judæa potiente Persica monachia erat, sed postea demum cœpit. Ritt.

(91) Pro ἀξιωθέντα idem cod. habet ἀμοιροῦντα. Vers. post 2, pro διαδέξηται πόλεμος hæc habet cod. Vat. 650 πρόφασιν ὑποδέξηται. Vers. post 2 idem legit ἐπέπτη pro ἐπέστη et vers. seq. bis idem μήτε ponit pro μηδέ. Eodem versu καί ante κόλαζε abest a cod. Vat. Id.

(92) Non Θεοπέμπτῳ sed Θεοπόμπῳ inscribitur hæc ep. in cod. Vat. 650. Possin.

(93) Pro ἀσθενεῖς idem cod. legit θεσμούς. Vers. post tertio pro his, τῷ Ἀποστόλῳ τοῦ θ' ὅπερ, hæc habet cod. Vat. 650, παρὰ τοῦ Ἀποστόλου ὅπερ μαθεῖν ἠθέλ., etc. Vers. inde secundo sublato asterisco et ὅτε idem reponit ὅπου. Vers. seq. pro his, ὡς ἔφθην εἰπὼν, ὁ λόγος· ἢ ὅταν, etc., cod. Vat. 650 sic habet, εἴη ὁ λόγος ὡς ἔφην, ἢ ὅταν, etc. vers. antepen. ep. τῶν et τελούντων in duali ponit cod. Vat. 650, τοῖν et τελούντοιν. Id.

(94) A titulo hujus ep. abest vox ὅμοιος in cod. Vat. 650. Id.

(95) Nam, ut ait Horatius,

Vitiis nemo sine nascitur, optimus ille est,
Qui minimis urgetur. Ritt.

Digitized by Google

ἐλάχιστα ἐλαττώματα ἐγκρίνω τῷ (96) χορῷ· τοὺς δ' ἐναντίως τοῖς εἰρημένοις διακειμένους οὔτε καταριθμῶ, οὔτε ἀποκηρύττω. Οὐ καταριθμῶ μὲν, ἵνα μὴ διαβολὴν ἐργάσωνται τῷ συλλόγῳ· εἰώθασι γὰρ πάντες ἀπὸ τῶν συνόντων τοὺς ἄνδρας κρίνειν (97)· οὐκ ἀποκηρύττω δὲ, ἐλπίδα αὐτοῖς ἀγαθὴν ἐγκαταλείπων. Τοῖς μὲν γὰρ καὶ συμβούλοις καὶ φίλοις χρῶμαι· τοῖς δὲ οὐ πολεμῶ μὲν, ἀλλὰ τὴν ἐνδεχομένην εἰρήνην νέμω (98) (τὸ ἀποστολικὸν φυλάττειν σπουδάζων θέσπισμα· « Εἰ δυνατὸν, τὸ ἐξ ὑμῶν, μετὰ πάντων ἀνθρώπων εἰρηνεύοντες. » Παραινῶ δὲ ἀπέχεσθαι μὲν κακίας, ἀντέχεσθαι δὲ ἀρετῆς. Εἰ δ' αὐτοὶ τὴν παραίνεσιν ἔχθρας ὑπόθεσιν κατασκευάσουσι, λύπην μοι οὐ μικρὰν τῷ μὴ ὠφελεῖσθαι, οὐ τῷ ἐκπολεμεῖσθαι προξενήσουσιν.

A misque vitiis prædiți sunt, in amicorum classem ascribo : eos autem, qui contra affecti sunt, nec numero, nec rursus abdico. Non, inquam, numero, ne cœtui nostro calumniam efficiant (apud omnes enim hoc in consuetudine positum est, ut quemque ex iis, qui cum eo consuetudinem habent, judicent : non autem abdico, spem ipsis bonam relinquens. Illis enim et consiliariis, et amicis utor : his autem non bellum infero, sed quam possum, pacem tribuo, apostolicam scilicet legem servare studens. « Si fieri potest, quantum in vobis est, pacem cum omnibus hominibus habentes; » eos autem moneo, ut a vitio absistant ac virtutem complectantur. Quod si ipsi consilium meum in odii atque inimicitiæ occasionem traxerint, haud parvum mœrorem
B (non quod inimicitiam mihi indixerint, sed quod nullam utilitatem acceperint) mihi accersent.

ΣΠΖ'. — ΗΛΙΑ (99).

Ὅτε ὁ τῆς δικαιοσύνης ἥλιος οὐρανόθεν ἐπ' εὐεργεσίᾳ τῶν ἀνθρώπων δεῦρ' ἐπεφάνη, τότε δὴ τότε καθάπερ ἔν τινι παλιρροίᾳ πραγμάτων εἰς ὁτιότητα τὰ ὅλα μετέστη. Πανηγυρικῆς γὰρ εὐκοσμίας τυγχάνοντα ἄμοιρα, καὶ ἑορτῶν μὲν ὀνόμασιν ἀναβρυνόμενα, κακίας δὲ δράμασι καθυβριζόμενα, εἰς θείαν καὶ ὑπερκόσμιον μετερρυθμίσθη πανήγυριν, διδαχθέντα ὁμηγύριον (1) ὄντως ἡγεῖσθαι τὴν εὐσέβειαν, ὅταν μάλιστα ὑπὸ τῆς ἀρετῆς, ὥσπερ εὐαγοῦς ἱερείας, θεραπεύηται.

CCLXXXVI. — HELIÆ.

Quo tempore justitiæ sol ad homines beneficiis afficiendos e cœlo huc accessit, tum denique, velut in quadam rerum reciprocatione ad sanctitatem omnia migrarunt. **372** Nam cum prius festivo ornatu carerent, ac festorum quidem nominibus exsultarent, cæterum vitii tragicis actionibus infamarentur, ad divinam ac cœlestem solemnitatem conversa sunt, illud edocta verum festum existimare pietatem, ac præsertim cum a virtute tanquam a pia quadam sacrifica colitur.

ΣΠΖ'. — ΤΟΙΣ ΒΟΝΘΟΥ ΤΟΥ ΠΡΕΣΒΥΤΕΡΟΥ ΦΟΙΤΗΤΑΙΣ (2).

Ὥσπερ σώφρων γυνὴ ἐπὶ τοῦ προσώπου τῆς ἁγνείας τὰ σύμβολα φέρουσα, τὰς τῶν ἀκολάστως ὁρώντων κολάζει προσδοκίας· οὕτω καὶ σώφρων ψυχὴ ἐπὶ τῶν αἰσθήσεων φέρουσα τῆς ἀρετῆς τὰ συνθήματα τὰς τῶν διαφθείρειν αὐτῆς τὴν ὥραν βουλομένων διεκκόπτει (3) ἐλπίδας. Τίς γὰρ τὸν τοιοῦτον ὁρῶν ὀφθαλμὸν, ἡμερότητι καὶ ἐλευθεριότητι κεκραμένον, προσελθεῖν τολμήσειε; Τίς δὲ γλῶτταν σεμνότητος οὖσαν τέμενος, οὐκ ἄβατον αὐτῷ τὴν ὁμιλίαν νομιεῖ; Τίς δὲ τὰς ἄλλας αἰσθήσεις θεώμενος, ἀρετῶν οὔσας ὄργανα, οὐ φοβηθήσεται παρασυμβουλεύσαι; Οὐκοῦν καὶ ὑμεῖς, ὦ φίλου λέοντος εὐγενῆ βλαστήματα, ἀβάτους ἑαυτοὺς (4)

CCLXXXVII. — BONTHI PRESBYTERI DISCIPULIS.

C Quemádmodum pudica mulier, castitatis notas in facie gestans, eorum qui impudicos in eam oculos conjiciunt, exspectationes reprimit : eodem modo pudica anima virtutis tesseras in sensibus ferens, eorum, qui ipsius pulchritudinem corrumpere cupiunt, spes excindit. Quisnam enim hujusmodi oculum suavitate et ingenuitate temperatum conspiciens, propius accedere audeat? Quisnam autem linguam, quæ honestatis et gravitatis delubrum sit, intuens, non sibi aditum omnem ad congressum venereum interclusum arbitretur? Quisnam denique reliquos sensus virtutum instrumenta esse animadvertens, præposterum consilium dare mini-

VARIÆ LECTIONES ET NOTÆ.

(96) Inter τῷ et χορῷ inscrit idem, τῶν φίλων. Possin.

(97) Talis esse quisque præsumitur, quales sunt illi quorum consuetudine utitur. Hinc recte pronuntiavit Euripides :

Ὅστις δ' ὁμιλῶν ἥδεται κακοῖς ἀνὴρ,
Οὐ πώποτ' ἠρώτησα, γινώσκων ὅτι
Τοιοῦτός ἐστιν οἷσπερ ἥδεται ξυνών.

Si quis malorum gaudeat consortio,
Non quæro, quanam is præditus sit indole :
Sum certus, iisdem prorsus esse moribus.
Confer ep. 35 lib. Ritt.

(98) Pro νέμω scribit idem cod. νέμων. E contra vero pro σπουδάζων ponit in præsenti indicativi σπουδάζω. Vers. post quarto κατασκεύαζουσι scribit in subjunctivo κατασκευάσωσι, et vers. ult. ep. pro ἐκπολεμεῖσθαι habet ἐκπολεμῶσθαι. Possin.

(99) Hanc ep. non Ἡλίᾳ, sed τῷ αὐτῷ inscribit cod. Vat. 650. V. 3 ep. pro παλιρροίᾳ habet προνοίᾳ. Vers. 4 ante ὅλα dele τά ex cod. Vat. Id.

(1) Pro ὁμηγύριον idem cod. habet πανήγυριν. Vers. seq. pro ἱερείας idem legit ἱερᾶς. Id.

(2) Ed. Paris. legebat, τοῖς βοηθοῖς τοῦ πρεσβ. φοιτηταῖς, *Presbyteri adjutoribus discipulis.* Lectionem cod. Vatic. sequimur. Edit.

(3) Pro διεκκόπτει cod. Vat. habet διακόπτει. Vers. seq. pro ὀφθαλμόν legit ὀφθαλμῶν. Vers. post quarto pro αὐτῷ legit ἑαυτῷ. Possin.

(4) Post ἑαυτοὺς idem cod. addit ταῖς, et vers. seq. pro ἑαυτῶν, ἑαυτόν legit. Id.

Digitized by Google

me pertimescat? Quocirca vos quoque, o leonis mihi chari nobiles fetus, ita vos conservetis, ut iis familiaritatibus nullus omnino ad vos aditus pateat : quo et vestram, et paternam gloriam augeatis.

βλαπτούσαις συνουσίαις διατηρήσατε, ἵνα καὶ τὸ ἑαυτῶν καὶ τὸ πατρῷον αὐξήσητε κλέος.

CCLXXXVIII. — NILAMMONI ET NILAMMONI.

Homonymiam quidem vobis parentes, synonymiam autem mores imposuerunt. Illam enim a parentibus obtinuistis : hanc autem ab iis, quæ gessistis, consecuti estis. Quam quidem si in optimis quibusque actionibus homines viderent, voluptate sane afficeret. Quoniam autem in contrariis rebus eam exhibere vident, vehementer hoc nomine angor. Impudens enim oculus, et elata cervix, et perpetua superciliorum agitatio, et turbulentus incessus, et de nulla re turpi erubescere, fœdissimi animi argumentum est, obscuras perturbationum suarum notas corpori imprimentis.

ΣΠΗ'. — ΝΕΙΛΑΜΜΩΝΙ ΚΑΙ ΝΕΙΛΑΜΜΩΝΙ.

Τὴν μὲν ὁμωνυμίαν ὑμῖν (5) οἱ γονεῖς, τὴν δὲ συνωνυμίαν οἱ τρόποι ἐπέθηκαν. Τὴν μὲν γὰρ παρὰ τῶν τεκόντων ἐσχήκατε, τὴν δὲ παρὰ τῶν πραχθέντων ἐκτήσασθε. Ἦν εἰ μὲν ἐπὶ τοῖς καλλίστοις εἶδον οἱ ἄνθρωποι, ἥσθην ἄν· ἐπειδὴ δὲ ἐπὶ τοῖς ἐναντίοις, λίαν ἄχθομαι. Ὄμμα γὰρ ἀναιδὲς καὶ αὐχὴν μετέωρος, καὶ ὀφρύων συνεχὴς κίνησις (6), καὶ βάδισμα σεσοβημένον, καὶ τὸ ἐπὶ μηδενὶ τῶν αἰσχρῶν ἐρυθριᾷν τεκμήριον ψυχῆς ἐστιν αἰσχίστης, τοὺς ἀφανεῖς τῶν οἰκείων παθῶν χαρακτῆρας ἐντυπούσης τῷ σώματι.

CCLXXXIX. — THEODORO CLARISSIMO.

De Moysis animi magnitudine, quod nullum filiorum virtuti Josue prætulerit : et quod non oportet filiis regnum aut aliud imperium committere, nisi mores principatui congruant.

Cum multis aliis nominibus virum Deo charum Mosen admiror ac suspicio, tum hoc præsertim nomine, quod cum omni vitiosa affectione superior esset, naturalem quoque charitatem vicit. **373** Nam cum duos filios haberet, qui quamvis ab eo procreati essent, tamen paternæ virtutis æmulos minime se præberent, neutrum horum militaris sui imperii successorem instituit, verum eum, qui virtute potius, quam genere ipsi conjunctus erat : virtutem nimirum naturæ, ad honesti dijudicationem persæpe cæcutienti, anteponens. Nam qui æquum esse censent, ut a patribus ad filios imperia delabantur, ad veritatem hallucinantur. Honor quippe, non generi, sed virtuti debetur. Neque enim regis filium, si hujusmodi munere indignus sit, in hujusmodi dignitatem ascribere oportet : verum eum, qui regio animo præditus est, administrandique imperii scientiam concipere potest. Illud sane mitissimum illum virum luculenter ostendit, quod ne fratris quidem gratia et favore ductus, ad sacerdotii dignitatem obtulerit (nam qui eos, qui ex ipsius lumbis exorti fuerant, hujusmodi honore afficiendos non duxerat, verum naturæ vim, ac velut tyrannidem superaverat, haudquaquam profecto favore adactus fuisset, ut fratrem sacerdotii corona

ΣΠΘ'. — ΘΕΟΔΩΡΩ (7) ΛΑΜΠΡΟΤΑΤΩ.

Περὶ Ἰησοῦ. Περὶ τῆς Μωσέως μεγαλονοίας, ὅτι οὐδένα τῶν υἱῶν τῆς Ἰησοῦ ἀρετῆς προετίμησεν· καὶ ὅτι οὐ δεῖ παισὶ βασιλείαν ἢ ἑτέραν ἀρχὴν ἐγχειρίζειν, εἰ μὴ ὁ τρόπος ᾖ τῆς ἡγεμονίας ἁρμόδιος.

Ἐν πολλοῖς μὲν καὶ ἄλλοις ἄγαμαι τὸν θεοφιλῆ Μωσέα· ἐν τούτῳ δὲ διαφερόντως, ὅτι παντὸς πάθους κρείττων ὤν, καὶ τῆς φυσικῆς φιλοστοργίας ἐκτράτησε· δύο γὰρ ἔχων υἱοὺς τεχθέντας μὲν παρ' αὐτοῦ, τῆς δὲ πατρῴας ἀρετῆς μὴ γεγονότας ζηλωτὰς (8) ἀρετὰς οὐδένα αὐτῶν διάδοχον τῆς στρατηγίας ἐχειροτόνησεν, ἀλλὰ τὸν ἀρετῇ μᾶλλον ἢ γένει προσήκοντα· τὴν ἀρετὴν προκρίνας τῆς πρὸς τὴν τοῦ καλοῦ διάκρισιν πολλάκις τυφλωττούσης φύσεως. Οἱ γὰρ ἐκ πατρῶν (9) νομίζοντες δίκαιον εἶναι τὰς ἀρχὰς ἐπὶ τοὺς παῖδας καταβαίνειν, τυφλώττουσι πρὸς τὴν ἀλήθειαν. Χρεωστεῖται τὸ γέρας, οὐ γένει, ἀλλ' ἀρετῇ. Οὐδὲ γὰρ τὸν βασιλέως υἱὸν ἂν ἀνάξιος εἴη τοῦ πράγματος, εἰς τὴν ἀξίαν ἐγγραπτέον, ἀλλὰ τὸν βασιλικὴν ἔχοντα ψυχήν, καὶ τὴν τῆς ἀρχῆς ἐπιστήμην χωρῆσαι δυνάμενον. Τοῦτο γοῦν ἐκεῖνον τὸν πραότατον (10) λαμπρῶς ἔδειξε, μηδὲ τὸν ἀδελφὸν χάριτι εἰς τὴν ἱερωσύνην προενηνοχέναι· ὁ γὰρ τοὺς ἐκ τῶν λαγόνων αὐτοῦ φύντας μὴ ἀξιώσας τοιαύτης τιμῆς, ἀλλὰ περιγενόμενος τῆς φύσεως τυραννίδος, οὐκ ἂν τὸν ἀδελφὸν χάριτι τῇ ἱερωσύνῃ ἐστεφάνωσεν· ἀλλὰ κατὰ θείους χρησμούς. Διὸ καὶ οἱ κατ' αὐτοῦ ἐπιλυττήσαντες, καὶ νομίσαντες οὐ θείᾳ ψήφῳ, ἀλλὰ κρίσει λογισμῶν οἰκείᾳ κεχειροτονηκέναι τὸν ὁμαίμονα δίκας ἀθεῖς ἔδοσαν. Τοὺς μὲν

VARIÆ LECTIONES ET NOTÆ.

(5) Pro ὑμῖν cod. Vat. 650 legit ὑμῶν. Vers. seq. verbum ἐπέθηκαν abest ab illo cod. et vers. post pro 3 εἶδον habet ἐκωμῴδουν. Possin.

(6) Συνεχὴς κίνησις melius a cod. Vat. pluraliter effertur συνεχεῖς κινήσεις. Vers. ult. ep. ante σώματι cod. idem ponit φανερῷ. Id.

(7) Non Θεοδώρῳ sed Δωροθέῳ hæc ep. inscribitur in cod. Vat. 650. Id.

(8) Cod. Vat., υἱεῖς. Vers. post 2 omittit ἀρετάς. Id.

(9) Pro πατρῶν scribit πατέρων. Vers. inde 3 ante τὸ γέρας ponit γάρ. Vers. seq. post υἱόν, sublato asterisco, addit, εἰ νόθος εἴη. Id.

(10) Pro πραότατον idem cod. legit λαμπρότερον et addit καί ante λαμπρῶς. Vers. seq. προενηνοχέναι scribit cum σ, προσεν. Vers. seq. pro αὐτοῦ legit αὐτῷ. Mox pro his, περιγενόμενος τῆς φύσεως τυραννίδος, cod. Vat. habet, περιγενομένης τῆς ἀπὸ τῆς φύσεως τυραννίδος. Id.

Digitized by Google

γὰρ ἡ γῆ χανδὸν κατέπιεν· οἱ δὲ πυρὸς αἰθερίου ἔργον ἐγένοντο.

A redimeret) sed divinis oraculis obsequens. Ob eamque causam, qui adversus eum rabido animo impetum fecerant, ac non divino suffragio, sed privato animi judicio fratrem ab eo sacerdotem designatum fuisse arbitrabantur, novas et inusitatas pœnas pependerunt. Hi enim partim dehiscente terra absorpti sunt, partim cœlestis ignis ardore conflagrarunt.

Σϟ'. — ΧΑΙΡΗΜΟΝΙ ΔΙΑΚΟΝΩ.

Εἰ καὶ Εὐσέβιος, ὡς γέγραφας, τῇ κακίᾳ σπενδόμενος, τῇ ἀρετῇ πολεμεῖ, ὀξὺς μὲν ὢν ἐκ διαβολῆς εἰς ἐπιβουλὰς ἐπαχθῆναι (11), πρόχειρος δὲ ὑπονοίαις μὴ προσηκούσαις ἑαυτὸν πιστώσασθαι· καὶ ἐν μὲν τοῖς ἐπιτιμίοις τῶν ἡμαρτηκότων ἀπαραίτητος, ἐν δὲ ταῖς ἀμοιβαῖς τῶν κατορθούντων ὀκνηρότατος· ἀλλ' οὖν γε αὐτὸς οὐκ ἂν εἴης δίκαιος ἐκεῖνον κωμῳδεῖν, ὁ τὰ αὐτὰ αὐτῷ, ὡς φασιν, ἵνα B μὴ λέγω ἀργαλεώτερα, πλημμελῶν. Ἢ γὰρ μὴ πρᾶττε τοιαῦτα, ἢ μὴ κωμῴδει τοὺς δρῶντας. Τάχα δὲ τοῦτ' αὐτῷ κατ' ἀξίαν συνέβη, ὅτι σε τοιοῦτον ὄντα χειροτονήσας, οὐκ ἔλαθε τὴν δίκην. Ὁ γὰρ ἀποκεκλεισμένον ἀπὸ τῶν ἐκκλησιαστικῶν θεσμῶν στόμα οὐ δεόντως ἀνοίξας, καθ' ἑαυτοῦ, ὡς ἔοικεν, ἤνοιξε· καὶ κατὰ τῶν εὐδοκίμων νομίσας ἀθύρωτον ὁπλίζειν γλῶτταν, καθ' ἑαυτοῦ ὥπλισεν.

CCXC. — CHÆREMONI DIACONO.

Etsi Eusebius quemadmodum ad me scripsisti, fœdus cum vitio feriens, virtuti bellum infert, atque celeriter ex calumnia ad struendas insidias adducitur, prompteque suspicionibus parum consentaneis fidem adhibet: ac præterea in his quidem, qui deliquerunt, supplicio afficiendis acerbum et inexorabilem, in iis autem, qui aliquid ex virtute gerunt, remunerandis pigerrimum se præbet: minime tamen æquum est ipsum a te suggillari, qui eadem, quæ ipse, ut rumor est, ne dicam graviora, perpetras. Aut enim ab hujusmodi flagitiis abstine: aut eos, qui ea committunt, ne suggilla. Quanquam fortasse hoc ipsi merito accidit, quod cum te, cum talis esses, diaconum creaverit, ac proinde vim numinis ultricem minime fugerit. Nam qui ecclesiasticis sanctionibus occlusum os, contra quam oportebat, aperuit, adversus seipsum, ut apparet, aperuit: et qui se effrenatam linguam adversus probos instruere arbitrabatur, eam adversus seipsum armavit.

Σϟα'. — ΓΕΡΜΑΝΩ (12).

Ὁ μὲν τὰς πολλοῖς ἀμάχους εἶναι δοκούσας ἡδονὰς σωφροσύνῃ καὶ ἐγκρατείᾳ τυραννικῶς βιαζόμενος, οὗτος ἐλευθέραν παντὸς αἰσχροῦ πάθους ἔχων τὴν ψυχὴν, τροπαίοις λαμπροῖς καὶ πολλοῖς (13) ἐναγάλλεσθαι δίκαιος. Ὁ δὲ ἐκείναις μὲν κατακράτος ἁλούς, καὶ ὑπὸ τῶν βαρβαρικῶν τοῦ σώματος παθῶν τυραννούμενος, βαρβαρικοῖς δὲ τροπαίοις ἐναβρυνόμενος, οὗτος καὶ ἠλίθιος εἶναί μοι δοκεῖ, καὶ ἀνδραποδώδης. Δειλίᾳ γὰρ καὶ φόβῳ μειζόνων κακῶν (εἰ καὶ παράδοξον καὶ εἰπεῖν καὶ ἀκοῦσαι) ἀνδρεῖος εἶναι δοκεῖ. Φοβούμενος γὰρ δουλείαν ἢ ἑαυτοῦ ἢ τῶν παίδων, πολεμεῖ.

CCXCI. — GERMANO.

Qui voluptates, quas multi expugnari minime C posse existimant, per temperantiam et continentiam velut tyrannide opprimit, **374** hic, cum liberam ab omni vitiosa affectione animam habeat, id meretur, ut multis ac præclaris tropæis exsultet. Qui autem, cum ab illis prorsus constrictus teneatur, atque a barbaricis corporis vitiis tyrannide prematur, barbaricis tamen tropæis gloriatur, hic profecto mihi et stolidus, et servilis animi esse videtur. Quippe ob majorum malorum metum ac formidinem (etiamsi hoc et dictu et factu mirum sit) fortis et strenui viri speciem gerit. Dum enim id timet, ne aut ipse, aut ipsius filii serviant, bellum gerit.

Σϟβ'. — ΔΑΝΙΗΛ ΠΡΕΣΒΥΤΕΡΩ.

Τὸν λαμπρᾶς ἁπτόμενον ὑποθέσεως, καὶ τὸν νοῦν D τῶν ἱερῶν Γραφῶν ἑρμηνεῦσαι πειρώμενον, χρὴ τὴν μὲν γλῶτταν ἔχειν σεμνήν τε καὶ τρανῆν, τὴν δὲ γνώμην εὐσεβῆ τε καὶ εὐαγῆ, ἀκολουθεῖν τε αὐταῖς, καὶ μὴ ἡγεῖσθαι, μηδὲ πρὸς τὸ οἰκεῖον βούλημα, τὸν ἐκείνων νοῦν ἐκβιάζεσθαι. Τοῖς γὰρ παραποιεῖν καὶ παρερμηνεύειν τολμῶσι, κίνδυνος ἐπήρτηται μέγιστος εἰς αὐτὴν τὴν ψυχὴν βλέπων.

CCXCII. — DANIELI PRESBYTERO.

Eum, qui præclarum aliquod argumentum attingit, ac Scripturarum sacrarum mentem interpretari conatur, hoc facere oportet, ut linguam quidem gravem et apertam ac dilucidam, mentem vero piam et sanctam habeat: easque sequatur, non autem antecedat, nec ad arbitrium suum ea rum sensum torqueat. Iis enim, qui eas pervertere, ac sinistra interpretatione depravare non dubitant, maximum periculum, ad ipsam animam spectans, impendet.

VARIÆ LECTIONES ET NOTÆ.

(11) Cod. Vat. 650 non ἐπαχ. sed ἀπαχθῆναι scribit. Vers. post 2 inter τῶν et ἡμαρτηκότων inserit μηδέν. Possin.

(12) In titulo voci Γερμανῷ cod. Vat. 650 apponit Κόμητι. Vers. ep. 1 pro πολλοῖς legit πολλάς. Id.

(13) Idem cod. tollit illa duo verba, καὶ πολλοῖς. Id.

Digitized by Google

CCXCIII. — NILAMMONI PRESBYTERO.

Mihi quidem de rerum natura disputare haud magno studio est : at ne te mœrore afficiam, hoc scribo. Ob temperamentorum discrimen fit, ut quidam ex his qui temulentia laborant, pallidi ac feroces exsistant, quidam contra rubicundi ac sanguinei : quod videlicet ob mentis emotionem sanguis ad intimas partes se receperit, ac pallidam oris superficiem reliquerit : aut quod agitatio calorem eum, qui in intimis partibus situs est, ad extimas partes revocarit. Cæterum sive hoc, sive illo pacto quispiam temperatus sit, potest ratio præstantissimi cujusdam aurigæ instar, aut, ne hæc vitiosa affectio excitetur, prohibere : aut eam, si excitata sit, in concentum ac lenitatem traducere.

CCXCIV. — PETRO.

Audacissimi Judæi, cum nullam unquam revocationis expertem captivitatem perpessi sint, præter hanc, quæ crucem secuta est, nescio quo pacto ad meliorem mentem redire minime sustinent : idque, cum, et Scripturæ, et res ipsæ testimonio suo nobis faveant, et illos condemnent. Hanc igitur ob causam concessum est ipsis ut supersint, ut et belli, quas perpessi sunt, calamitates tragicum in modum enuntient, et non secus ac captivi et verberones quidam circumcursitantes omnem qui sole illustratur terrarum orbem, ubique florentem Crucifixi cultum videant. Ac de his hactenus. De iis autem qui pupillis injuriam inferre minime verentur, hoc dico, quod Rex ille regum, et Dominus dominantium (*servus* enim *meus Nabuchodonosor*, inquit : et, *servo meo David*. Nam illum dominationis duntaxat ratione ita vocat : hunc autem etiam ob vitæ probitatem) hic pater orphanorum et judex viduarum appellari gaudet. Siquidem in sublimibus dominationis nomen collocat : in humilibus autem, curæ ac sollicitudinis. Illorum enim dominum se esse asserit : horum parentem. **375** Quocirca nemo pupillos injuria afficiat, patrem cogitans : nec viduam opprimat, judicem ob animum sibi proponens : nec alium quemquam fraudet, incorruptum illum judicem animo et cogitatione versans. Quod si quis prudentia destitutus, ac præsentia solum cernens, contraque ad futura cæcutiens, rapinas lucra esse censet, hoc audiat, fraudes ac rapacitates hic quoque persæpe pericula parturire, ac non modo facultatibus orbari, sed etiam animam ipsam eripere. Non enim si qua sumptio, eadem quoque

ΣΚΓ'. — ΝΕΙΛΑΜΜΩΝΙ ΠΡΕΣΒΥΤΕΡΩ.

Φυσιολογεῖν μὲν ἐμοὶ οὐ πολλὴ σπουδή, ἵνα δὲ μή σε λυπήσω, γράφω. Ὅτι διὰ τὴν τῶν κράσεων διαφορὰν, τινὲς μὲν τῶν μεθυόντων ὠχροὶ γίνονται καὶ θυμοειδεῖς, τινὲς δὲ πυῤῥοὶ καὶ ὕφαιμοι, ἢ ὑπ' ἐκστάσεως (14), τοῦ αἵματος ὑπονοστήσαντος εἰς τὸ βάθος, καὶ ὠχρὰν τοῦ προσώπου τὴν ἐπιφάνειαν καταλελοιπότος· ἢ τῆς κινήσεως τὸ ἐν βάθει θερμὸν εἰς τὴν ἐπιφάνειαν ἀνεκκαλεσαμένης. Εἴτε δ' οὕτω τις, εἴτ' ἐκείνως εἴη κεκραμένος, δύναται ὁ λογισμὸς, καθάπερ ἡνίοχος ἄριστος, ἢ μὴ συγχωρῆσαι ὅλως κινηθῆναι τὸ πάθος, ἢ κινηθὲν μεταῤῥυθμίσαι εἰς ἁρμονίαν καὶ πραότητα.

ΣΚΔ'. — ΠΕΤΡΩ.

Οἱ πάντολμοι Ἰουδαῖοι οὐδεπώποτε ὑπομεμενηκότες αἰχμαλωσίαν ἀνακλήσεως ἄμοιρον, ἢ ταύτην τὴν μετὰ τὸν σταυρὸν, οὐκ οἶδ' ὅπως, γνωσιμαχεῖν οὐκ ἀνέχονται· καὶ ταῦτα καὶ τῶν Γραφῶν καὶ τῶν πραγμάτων ἡμῖν μὲν μαρτυρούντων, ἐκείνων δὲ καταψηφιζομένων. Περιεῖναι οὖν συνεχωρήθησαν, ἵνα καὶ τὰς τοῦ πολέμου ἐκτραγῳδήσωσι συμφορὰς, καὶ ὥσπερ αἰχμάλωτοι καὶ μαστιγίαι τὴν ὑφ' ἥλιον περιθέοντες, ἴδωσιν πανταχόσε ἀνθοῦν τοῦ Σταυρωθέντος τὸ σέβας (15). Καὶ ταῦτα μὲν εἰς τοσοῦτον. Ἐπὶ δὲ τοῖς τολμῶσιν ὀρφανοὺς ἀδικεῖν, ἐκεῖνό φημι (16), ὅτι ὁ τῶν βασιλευόντων Βασιλεὺς, καὶ τῶν κυριευόντων Κύριος· *Ὁ δοῦλος μὲν γὰρ Ναβουχοδονόσορ*, φησὶ, καὶ *ἐπὶ τὸν δοῦλόν μου Δαβίδ*. Τὸν μὲν γὰρ ἀπὸ τῆς δεσποτείας μόνον οὕτω καλεῖ· τὸν δὲ καὶ ἀπὸ τῆς πολιτείας· οὗτος πατὴρ τῶν ὀρφανῶν, καὶ κριτὴς τῶν χηρῶν καλούμενος χαίρει. Ἐπὶ μὲν γὰρ τῶν ὑψηλῶν, τὸ τῆς δεσποτείας ὄνομα τάττει· ἐπὶ δὲ τῶν ταπεινῶν, τὸ τῆς κηδεμονίας. Ἐκείνων μὲν γὰρ δεσπότης εἶναι διαβεβαιοῦται· τούτων δὲ πατήρ. Μηδεὶς τοιγαροῦν ὀρφανὸν ἀδικείτω, τὸν πατέρα ἐννοῶν· μηδὲ χήραν καταπονείτω, τὸν κριτὴν φανταζόμενος· μηδὲ ἄλλον τινὰ πλεονεκτείτω, τὸν ἀδέκαστον κριτὴν (17) ὀνειροπολῶν. Εἰ δέ τις συνέσεως χηρεύων, καὶ τὰ παρόντα μόνον ὁρῶν, περὶ δὲ τὰ μέλλοντα τυφλώττων, κέρδη εἶναι νομίζει τὰς ἁρπαγὰς, ἀκουέτω, ὅτι κἀνταῦθα πολλάκις κινδύνους ὠδίνουσιν αἱ πλεονεξίαι, καὶ οὐ μόνον τῶν ὑπαρχόντων στερίσκονται (18), ἀλλὰ καὶ τὴν ψυχὴν αὐτὴν προσαφαιροῦνται. Οὐ γὰρ εἴ τι λῆμμα, καὶ κάλλιστον, ἀλλ' ἐκεῖνο μόνον, ὃ τῷ καλῷ συμπέφυκε· τούτου δ' ἀπόντος, ὁδῷ

VARIÆ LECTIONES ET NOTÆ.

(14) Pro ἐκστάσεως cod. Vatic. 650 habet ἐκτάσεως. Vers. post 2 inter ἐν et βαθεῖ inserit τῷ Vers. seq. in ἀνεκκαλεσαμένης tollit ἀν. Possin.

(15) Hæc, περιεῖναι οὖν usque ad τοῦ Σταυρωθέντος τὸ σέβας omittens ed. Paris. locus supplentur ex codice Bavarico. Non dissimulandum tamen hæc fere totidem verbis haberi infra ep. 305. Cætera hujus epistolæ, incipiendo a καὶ ταῦτα μέν, usque ad fin., τὴν ἀδικίαν φευγέτωσαν, omnia desunt in ms. B. Et certe argumentum continent plane diversum a priore. Ritt.

(16) Ed. Paris., Εἰπὲ δὲ τοῖς τολ. ὀρφ. ἀδικεῖν, ὅτι ὁ, etc., omittens ἐκεῖνό φημι. Corr. ex cod. Vat. 650, ut vers. post secundo, ubi iterum ad eumdem lapidem offenderat editor Paris., pro ἐπὶ scribens εἶπε. Possin.

(17) Pro τὸν ἀδέκαστον κριτὴν cod. Vat. 650 habet τὸ ἀδέκαστον κριτήριον. Id.

(18) Pro στερίσκονται idem cod. legit στερίσκουσιν. Id.

Digitized by Google

βαδίζει ἐπὶ τὰς συμφοράς. Ὥσπερ γὰρ ἐν θήρᾳ καὶ τὸ ἑλεῖν καλὸν, καὶ τὸ διαμαρτεῖν κάλλιον (εἰ τὸ μὲν ἀκινδύνως· τὸ δὲ, ἐπὶ τῷ χαλεπόν τι παθεῖν γίγνοιτο), οὕτω καὶ ἐπὶ τῶν κερδῶν. Αἰσχύνην γὰρ προσοφλισκάνουσι, καὶ κινδύνους κληρονομοῦσιν· εἴ γε πλεονεκτεῖν, μετὰ τοῦ δικαίου τὰς εὐπορίας ἔχειν δυνάμενοι, ἐπιχειροῖεν. Εἰ δέ τις φαίη· Τίς οὐκ ἂν ἐθελήσειε λαμβάνων εὐπορεῖν; — Τίς δ' ἂν ἕλοιτο κερδήσας ἀπολωλέναι; φαίην ἄν· τὸ γὰρ ἀφ' ὧν κινδυνεύειν περίεστι, κερδαίνειν ἐθέλειν, οὐ κέρδη θηρωμένων ἐστὶν, ἀλλ' ἀδοξίας καὶ συμφορᾶς· ἐπειδὴ τῶν κερδῶν (19) τὰ μὲν αἰσχρὰν ἔχει τὴν ὑπόθεσιν, τὰ δὲ ἐπικίνδυνον τὴν πλεονεξίαν. Εἴτε οὖν διὰ τὰ παρόντα, εἴτε διὰ τὰ μέλλοντα, βαρυτάτην τὴν ζημίαν τὸ κακῶς κερδαίνειν (20) ἡγούμενοι, παντὶ σθένει τὴν ἀδικίαν φευγέτωσαν.

A protinus optima est, verum ea demum quæ cum honestate conjuncta est : quæ si desit, ad calamitates recta tendit. Quemadmodum enim in venatione, et cepisse pulchrum est, et a præda aberrasse pulchrius, siquidem illud periculo careat, hoc autem calamitatem aliquam afferat : eodem modo in lucris quoque se res habet. Præterquam quod enim probrum et ignominiam conflant, pericula etiam velut hæreditario jure percipiunt : si quidem cum justis rationibus opes suas augere possint, alios per fraudem circumvenire aggrediantur. Quod si quis dixerit : Quis non sumendo facultates suas, atque copias auctiores reddere velit? ego contra hoc dixerim : Quis lucrando perire in animum inducat? Etenim ab iis rebus, quæ periculum afferunt, lucrari velle, non lucra, sed ignominias et calamitates aucupantium hominum est. Quandoquidem lucrorum alia turpem causam ac materiam habent, alia periculosam fraudationem. Quæ cum ita sint, sive ob præsentia, sive ob futura, gravissimum damnum malum quæstum esse existimantes, omnibus viribus injuriam fugiant.

B

ΣΛΕ'. — ΧΑΙΡΗΜΩΝΙ, ΖΩΣΙΜΩ, ΜΑΡΩΝΙ.

Ὅτι ἀθάνατος ἡ ψυχή.

Μὴ νομίζοντες, ὦ βέλτιστοι, μετὰ τῶν σωμάτων σβέννυσθαι τὰς ψυχὰς, ἀδεῶς ἁμαρτάνετε, ὡς δίκας μὴ ὑφέξοντες· ἀλλὰ παρὰ τοῦ κριτοῦ τὴν ἀλήθειαν μαθόντες, ὅτι καὶ ἀθάνατοί εἰσι καὶ δίκην ὑφέξουσι, παλινῳδίαν ᾄσατε. « Μὴ φοβηθῆτε γὰρ, φησὶν, ἀπὸ τῶν ἀποκτεινόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι » (αὕτη ἀναντίῤῥητος τῆς ἀθανασίας τῆς ψυχῆς ἡ μαρτυρία)· « φοβήθητε δὲ μᾶλλον τὸν δυνάμενον καὶ ψυχὴν καὶ σῶμα ἀπολέσαι ἐν γεέννῃ. » Αὕτη καὶ τῆς ἀναστάσεως καὶ τῆς κολάσεως ἀψευδὴς ἀπόδειξις. Τὴν γὰρ τοῦ Δημιουργοῦ ἀπόφασιν πάσης ἀποδείξεως ἰσχυροτέραν χρὴ νομίζειν. Ὅτι δὲ καὶ ἐν τῇ Παλαιᾷ Διαθήκῃ οἱ εὐδόκιμοι καὶ λαμπροὶ τὴν τῆς ψυχῆς (21) ἥδεσαν ἀθανασίαν, ἀκούσατε τῶν τριῶν παίδων ἐν τῇ καμίνῳ λεγόντων· « Εὐλογεῖτε, πνεύματα καὶ ψυχαὶ δικαίων, τὸν Κύριον. » Ἀξιόπιστοι δὲ δήπουθέν εἰσιν, οἱ τὸν τύραννον μὴ φοβηθέντες, ἀλλὰ τὴν εὐσέβειαν ἐπιδειξάμενοι, καὶ τὸ πῦρ δυσωπήσαντες. Ὁ δὲ τῶν Σεραφὶμ θεωρὸς βοῶν, « Τίς ἀναγγελεῖ ὑμῖν ὅτι πῦρ καίεται; » τί ἄλλο ἢ τὴν γέενναν, καὶ τὴν τῶν ψυχῶν ἀθανασίαν, καὶ τὴν τῶν σωμάτων ἀναβίωσιν κηρύττει; Μὴ οὖν μύθους ἡγήσησθε τοὺς ἐπᾳσθέντας ὑμῖν παρὰ τῆς Γραφῆς λόγους, ἀλλ' ἀνενέγκατε. Ἔξεστι γὰρ ἕως ἐνθάδε ἐσμέν. Οὐ γὰρ θέλει ὁ Θεὸς τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι αὐτὸν ἀπὸ τῆς ὁδοῦ αὐτοῦ τῆς πονηρᾶς, καὶ ζῆν αὐτὸν τὴν ἀοίδιμον ζωήν. Εἰ γὰρ προφθάσοιμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει, τουτέστιν, εἰ πρὸ τῆς κυρίας διὰ πραγμάτων αὐτὰ ἀπολογησόμεθα,

C

D

CCXCV. — CHÆREMONI, ZOSIMO ET MARONI.

Quod immortalis anima.

Ne hac opinione ducti, optimi viri, quod animæ una cum corporibus exstinguantur, sine ullo metu peccetis, tanquam pœnas minime daturi : verum a judice veritatem edocti, hoc est, quod et immortales sint, et judicium subituræ sint, palinodiam canite. « Ne timeatis enim, inquit, ab iis qui occidunt corpus, animam autem non possunt occidere (en ejusmodi immortalitatis animæ testimonium, cui nemo adversari queat) ; timete autem potius eum qui potest corpus et animam perdere in gehennam [99]. » En et resurrectionis et supplicii ab omni mendacio aliena demonstratio. Siquidem Creatoris sententiam quovis argumento firmiorem ac valentiorem existimare oportet. Quod autem in Veteri quoque Testamento probi et clari viri cognitam habuerint animæ immortalitatem, audite quid tres pueri in fornace dicant : « Benedicite, spiritus et animæ justorum, Domino [1]. » **376** Idonei autem scilicet, quibus fides adhibeatur, illi sunt, qui tyrannum minime pertimuerunt, verum pietatis specimen ediderunt, atque ignem tanquam pudore affecerunt. Jam ille Seraphinorum spectator clamans : « Quis annuntiabit vobis quod ignis ardeat [2]? » quid aliud quam gehennam atque animorum immortalitatem corporumque ad vitam reditum prædicat? Quamobrem ne verba ea quæ Scriptura vobis accinit, pro fabulis ducite : verum ad meliorem mentem redite [3]. Id enim licet, quantisper in vita sumus. Deus quippe non vult mortem peccatoris, sed magis ut a via sua mala convertatur, ac celebrem vi-

[99] Matth. x, 28. [1] Dan. III, 86. [2] Isa. XXXIII, 14. [3] Isa. XLVI, 11.

VARIÆ LECTIONES ET NOTÆ.

(19) Cod. Vat., melius, ἐπὶ οὖν τῶν δὲ. ID.

(20) *Βαρυτάτην τὴν ζημίαν τὸ κακῶς κερδαίνειν.* Hesiodus quoque hoc agnovit, cum scripsit.

Μὴ κακὰ κερδαίνειν· κακὰ κέρδεα ἴσ' ἄτῃσιν.

Ne male lucreris : mala lucra æqualia damnis.

Et Sophocles :

Τὰ φαῦλα κέρδη πημονὰς ἐργάζεται. RITT.

(21) Verba τὴν τῆς ψυχῆς omittebat ed. Paris. EDIT.

Digitized by Google

tam vivat [a]. Si enim faciem ejus in confessione præoccupaverimus, hoc est, si ante præstitutum diem per res ipsas ei satisfecerimus, in judicio misericordiam consequemur. Creatoris enim, uti jam dixi, sententiam quovis argumento ac demonstratione firmiorem judicare oportet.

A ἐν τῇ κρίσει ἐλεηθησόμεθα. (22) Τὴν γὰρ τοῦ Δημιουργοῦ, ὡς ἔφην, ἀπόφασιν πάσης ἀποδείξεως ἰσχυροτέραν χρὴ νομίζειν.

CCXCVI. — AGATHONI PRESBYTERO.

Quomodo sit intelligendum illud Abrahamo dictum, « Multiplicans multiplicabo [b]. »

Deus Abrahami semen cœlestibus astris ac maris arenæ comparaturum se pollicitus est: illud significans, quod quidam ex ipsis elucebunt (quales scilicet fuerunt prophetæ et justi viri, apostoli item, et qui eorum opera fidem amplexi sunt, ac probis actionibus enituerunt, ad quos Salvator dicit: « Luceat lux vestra coram hominibus [c] »; et Apostolus: B « Inter quos lucetis tanquam luminaria in mundo [d] »), quidam autem abjecti, ac terrenarum rerum studiis addicti esse deprehendentur, instabilesque atque ad omnem ventum agitati: qui etiam proinde tanquam marina et infructuosa arena reputati, contemnentur, ac pro nihilo habebuntur.

Σϟ΄. — ΑΓΑΘΩΝΙ ΠΡΕΣΒΥΤΕΡΩ.

Πῶς νοητέον τὸ εἰρημένον τῷ Ἀβραάμ, « Πληθύνων πληθυνῶ. »

Οὐρανίοις ἄστροις καὶ ψάμμῳ θαλαττίᾳ παρεικάσειν τὸ τοῦ Ἀβραὰμ ἐπηγγείλατο σπέρμα ὁ Θεὸς, μηνύων ὅτι τινὲς μὲν ἐξ αὐτῶν διαλάμψουσιν (οἷοι ἦσαν οἱ προφῆται καὶ οἱ δίκαιοι, ἀπόστολοί τε καὶ οἱ ἐξ αὐτῶν πιστεύσαντες, καὶ ἔργοις διαπρέψαντες, οἷς ὁ Σωτὴρ μὲν ἔφη, « Λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων· » ὁ δὲ Ἀπόστολος, « Ἐν οἷς φαίνεσθε (23) ὡς φωστῆρες ἐν κόσμῳ, ») τινὲς δὲ χαμαιπετεῖς καὶ χαμαίζηλοι ἁλώσονται, ἀβέβαιοί τε καὶ ὑπὸ παντὸς ἀνέμου περιφερόμενοι, οἵτινες καὶ ἐξευτελισθήσονται, ὡς ψάμμος θαλαττία τε καὶ ἄκαρπος λογισθέντες.

CCXCVII. — PAULO.

Si, tanquam in gratiam redituri, qui nuper amici erant, inter se dissident, levius malum est: si autem tanquam in implacabili odio ac simultate permansuri, gravius. Quoquo vero animo sint, tu da operam, ut quam ocissime in gratiam eos reducas, ne alioqui temporis mora difficilius hoc negotium reddat.

Σϟ΄. — ΠΑΥΛΩ (24).

Εἰ μὲν ὡς διαλλαγησόμενοι οἱ πρώην φίλοι διαφέρονται, ἧττόν ἐστι κακόν· εἰ δὲ ὡς ἀσπονδοι διαμενοῦντες, μεῖζον. Πλὴν ὅπως ἂν διακείοιντο, σπούδασον εἰς εἰρήνην θᾶττον αὐτοὺς συναλλάξαι, μήποτε καὶ χρόνος δυσχερέστερον τοῦτο κατασκευάσῃ.

C

CCXCVIII. — EIDEM.

In illud in lege scriptum, « Pauperis non misereberis in judicio [e]. »

Qui paupertate ad negotium aliis libenter exhibendum abutitur, is non modo indignus est qui misericordiam consequatur, sed etiam odium promeretur. Nam pro eo quod quietem agens obsecrare debebat, ipse contra accusationes concinnat. Quam etiam ob causam Scriptura sanxit, ne quis pauperis in judicio misereatur: non quod ei misericordiam impertiri nolit, sed quod eum sycophantem agere prohibeat. **377** Nam si ille supplicis specie missa facta, litigatoris personam assumere audeat, jus apud judicem superiores partes ferat. Etenim quidem is qui in judicium vocatus est, ac D causam obtinuit, post victoriam ei, qui causa cecidit, facilem ac misericordem se præbere potest: at non item æquum est, ut is, penes quem sententiæ arbitrium ac potestas est, jus ipsum labefactet.

Σϟ΄. — ΠΑΥΛΩ.

Εἰς τὸ γεγραμμένον ἐν τῷ νόμῳ· « Πένητα οὐκ ἐλεήσεις ἐν κρίσει. »

Ὁ τῇ πενίᾳ εἰς φιλοπραγμοσύνην καταχρώμενος, οὐ μόνον ἐλέους τυχεῖν οὐκ ἂν εἴη δίκαιος, ἀλλὰ καὶ μίσους ἄξιός ἐστι. Δέον γὰρ τὰς ἡσυχίας ἄγοντα παρακαλεῖν, ἐγκλήματα ῥάπτει. Διὸ δὴ καὶ ἡ τῆς δικαιοσύνης πηγὴ, μὴ ἐλεεῖσθαι τὸν πένητα ἐν κρίσει ἐθέσπισεν, ἐλεεῖσθαι (25) μὲν αὐτὸν βουλομένη, συκοφαντεῖν δὲ ἀπαγορεύουσα. Εἰ γὰρ ἐκεῖνο τὸ τοῦ ἱκέτου σχῆμα ἀφέμενος, τὸ τοῦ διαδίκου ἀναλαβεῖν τολμήσειε, τὸ δίκαιον κρατείτω παρὰ τῷ ψηφιζομένῳ. Κύριος μὲν γάρ ἐστιν ὁ ἐγκληθεὶς καὶ νικήσας, μετὰ τὴν νίκην οἰκτεῖραι τὸν ἡττηθέντα· οὐ μὴν ὁ τῆς ψήφου κύριος, δίκαιος ἂν εἴη λυμήνασθαι (26) τὸ δίκαιον.

CCXCIX. — THEONI EPISCOPO.

Si ipsa quoque seorsim perpensa Zosimi improbi-

Σϟθ΄. — ΘΕΩΝΙ ΕΠΙΣΚΟΠΩ.

Εἰ καὶ αὐτὴ καθ' ἑαυτὴν ἡ κακία Ζωσίμου δοκι-

[a] Ezech. xxxiii, 11. [b] Gen. xvi, 10. [c] Matth. v, 16. [d] Philipp. ii, 15. [e] Exod. xxii, 3.

VARIÆ LECTIONES ET NOTÆ.

(22) In cod. Vat. 650 epistola hic desinit. Possin.

(23) Cod. Vat. 650, ἐστέ. Id.

(24) In titulo post Παύλῳ cod. Vat. 650 addit σχολαστικῷ. Vers. pen. epist. idem pro συναλλ. legit διαλλάξαι. Id.

(25) Hæc, τὸν πένητα.... ἐλεεῖσθαι, omittebat ed. Paris., typographi lapsu. Edit.

(26) Cod. Vat. pro λυμήνασθαι scribit λυμαίνεσθαι. Possin.

Digitized by Google

μαζομένη, ὡς γέγραφας, χαλεπὴ τυγχάνει, καὶ τοῖς ἄλλοις παραβαλλομένη (27), χαλεπωτέρα εὑρίσκεται, τὸ δὲ μηδὲ εἰδέναι αὐτὸν ὅτι νοσεῖ, χαλεπωτάτην αὐτὴν δείκνυσι, τί ἡμῖν ἐνοχλεῖς, ὡς δυναμένοις ἀνήκεστον θεραπεῦσαι νόσημα; Τοῦτο γὰρ Θεοῦ μόνου χρῄζει, τοῦ καὶ παθῶν καὶ πάσης περιγινομένου κακίας.

Τ'. — ΠΕΤΡΩ.

Περὶ τῆς ἐν ταῖς δημηγορίαις παῤῥησίας τοῦ Παύλου.

Λίαν θαυμάζω τοῦ ἀοιδίμου Παύλου τὴν ἀνδρίαν, πῶς καὶ κρινόμενος ἐδημηγόρει, καὶ εὐθύνας ἀπαιτούμενος ἐδίδασκε. Διδασκάλου μὲν γάρ ἐστι τὸ μετ' ἐξουσίας λέγειν, κρινομένου δὲ τὸ μετρεῖν τῷ καιρῷ τοὺς λόγους. Ἀλλ' οὗτος εἰς τοὐναντίον ἐχώρει· εἶχε γὰρ ἐν ἑαυτῷ τὸν τῆς σοφίας χορηγόν τε καὶ πρύτανιν.

ΤΑ'. — ΑΡΧΟΝΤΙΩ ΠΟΛΙΤΕΥΟΜΕΝΩ.

Ἔοικας ἀγνοεῖν, ὅτι τὸ αὐτὸ ῥῆμα, καὶ τὸ αὐτὸ ὄνομα, καὶ ὁ αὐτὸς λόγος, μὴ μετὰ τοῦ αὐτοῦ τόνου λεγόμενος, ποτὲ μὲν ἐμφαίνει λογισμοῦ, ποτὲ δὲ ὀργῆς καρπόν.

ΤΒ'. — ΑΛΥΠΙΩ.

Ὁ φίλος ὁ σός, παύσων τοὺς ὀνειδίσαντας αὐτῶν τὴν πρὸς σὲ γεγενημένην αὐτῷ μικροψυχίαν, ἐκεῖσε ἀφῖκτο· ἦκε γὰρ τὴν νυνὶ φιλοφροσύνην (28) οὐ μόνον καλύψων, ἀλλὰ καὶ σβέσων τὴν προλαβοῦσαν δυσμένειαν· δέδεξο τοίνυν αὐτὸν ὑπτίαις χερσίν (29).

ΤΓ'. — ΑΓΑΘΟΔΑΙΜΟΝΙ ΓΡΑΜΜΑΤΙΚΩ.

Εἰ καί τισιν ἴσως κολακεύουσί σε, ἔδοξε λογισμοῦ εἶναι, οὐκ ὀργῆς ἡ ἀπόκρισις, ἐμοὶ δοκεῖ θρασύτητος μᾶλλον εἶναι ἢ θράσους ὁ καρπός. Διὸ δὴ παραινῶ σοι ἔμπροσθεν τῆς ὀργῆς τιθέναι τὸν λογισμόν, καὶ οὕτω καὶ λέγειν καὶ γράφειν. Εἰ γὰρ συγχωρήσειας (30) αὐτῇ προπηδᾷν τοῦ λογισμοῦ, πάντα ἄνω καὶ κάτω ποιήσει.

ΤΔ'. — ΘΕΟΦΙΛΩ ΥΠΟΔΙΑΚΟΝΩ.

Ὅτι μὲν τῇ πείρᾳ τὴν φήμην ὑπερέβη ὁ μακάριος Τιμόθεος, καὶ κρειττων ἦν ἀκοῆς εἰς θέαν ἐρχόμενος, ἅπαντες οἱ τῆς μειλιχίου ἐκείνης ἀξιωθέντες συνουσίας ἴσασιν. Ὅτι δὲ καὶ αὐτὸς ηὐχόμην τοσοῦτον δυνηθῆναι φράσαι, ὁπόσον καὶ βούλομαι, οὐδείς, ὡς οἶμαι, ἀμφιβάλλει. Ἐπειδὴ εὔξασθαι μὲν ῥᾴδιον, τυχεῖν δὲ ἀπορώτερον, ἢ ὅσα πρόχειρον εὔξασθαι,

A tas, ut ad me scribis, gravis est, atque cum aliis collata gravior invenitur, ac denique hoc eam gravissimam et atrocissimam esse demonstrat, quod morbum suum ignorat, quid nobis perinde molestiam exhibes, tanquam incurabili morbo mederi queamus? Hoc enim Deum solum requirit, qui et turbulentas animorum permotiones, et omne vitii genus fundit ac profligat.

CCC. — PETRO.

De libertate loquendi Pauli in concionibus.

Magna me admiratione afficit celebris illius Pauli fortitudo[a], per quam et cum in judicium vocaretur, concionatoris munere fungebatur, et cum causa ei dicenda esset, doctoris partes obibat. Doctoris B enim est cum auctoritate loqui: rei autem sermones suos pro tempore moderari. At hic tamen contra se gerebat; nec mirum: habebat enim in seipso sapientiæ subministratorem ac moderatorem.

CCCI. — ARCHONTIO MAGISTRATUM GERENTI.

Illud ignorare videris, idem verbum, et idem nomen, et eumdem sermonem, dispari contentione prolatum, nunc quidem rationis ac prudentiæ, nunc autem iræ fructum præ se ferre.

CCCII. — ALYPIO.

Amicus tuus, ut iis, qui simultatem eam, quæ ipsi tecum intercessit, probri loco objecerunt, silentium indicat, istuc se contulit. Profectus est enim, ut non modo præsentem comitatem ac benevolentiam C superet, sed etiam ut pristinam animi offensionem exstinguat. Supinis itaque manibus eum excipe.

CCCIII. — AGATHODÆMONI GRAMMATICO.

Et si quibusdam tibi fortasse adblandientibus, responsum tuum a ratione ac judicio, non ab ira manasse visum est: mihi tamen contra ab audacia potius et temeritate profectum esse videtur. Quamobrem tibi faciendum esse censeo, ut rationem iræ anteponas: sicque et ad loquendum, et ad scribendum te compares. Nam si ipsi ante rationem prosilire permiseris, nihil erit, quod non sursum deorsumque volvat.

CCCIV. — THEOPHILO SUBDIACONO.

Quod quidem experimento famam beatus Timotheus superarit, aspectuque, quam auditione, præstantior fuerit, omnes quibus suavi ipsius consuetudine frui donatum est, **378** exploratum habent. Quod autem ipse quoque tantum eloqui posse optarim, quantum cupio, nemo, ut opinor, dubitat. At quoniam optare facile est, consequi autem difficilius

[a] Act. xxvi, 1 seqq.

VARIÆ LECTIONES ET NOTÆ.

(27) Idem cod., παραλαμβανομένη. Possin.

(28) Recte Vat. 650 substituit τῇ νυνὶ φιλοφροσύνῃ. Ib.

(29) Ὑπτίαις χερσίν. Supinis manibus excipere, proverbiale est, pro summo studio ac benevolentia. Sic Latini, *obviis ulnis amplecti*. Ritt.

(30) Cod. Vat. 650, συγχωρήσεις. Possin.

Digitized by Google

est quæ facile ac prompte optantur, idcirco ego quidem tacebo: tu vero ex his rebus, quas certo cognitas habes, encomium ipsi contexere ne graveris.

A ἐγὼ μὲν σιγήσω· σὺ δ' ἐξ ὧν ἀκριβῶς οἶσθα, τὸ ἐγκώμιον αὐτῷ ὑφᾶναι μὴ παραιτήσῃ.

CCCV. — PETRO LECTORI.

Posteaquam conscelerati atque nefarii Judæi propter audacissimum illud et insuave facinus adversus Dominum perpetratum angelico subsidio destituti sunt, tum vero Romanorum gladio traditi, tanto numero capti sunt, ut, qui conspexerunt, adduci vix possent ut crederent quemquam eorum interiisse: ac rursum tantus cæsorum numerus inventus est, ut omnes ambigerent, an quisquam captus fuisset. Cum enim adversus conservos duntaxat eorum furor acueretur, parcius plectebantur. At cum adversus Dominum furor ipsorum exarsisset, tum vero, ut ejusmodi scelere admisso, quod veniam omnem superaret, internecioni addicti sunt. Alii enim flamma et ferro, alii fame oppressi sunt. Qui autem cladi superfuerunt, ob id tantummodo superesse permissi sunt, ut et belli calamitates tragicum in modum deplorarent, et velut captivi quidam verberones orbem universum peragrantes, Crucifixi cultum ac venerationem omnibus in locis florentem prospicerent.

ΤΕ'. — ΠΕΤΡΩ ΑΝΑΓΝΩΣΤΗ.

Ὅτε οἱ ἀλιτήριοι Ἰουδαῖοι τῆς ἀγγελικῆς συμμαχίας, διὰ τὸ κατὰ τοῦ Δεσπότου τὴν πάντολμον ἐκείνην λύσσαν δεδραματουργηκέναι, ἐγυμνώθησαν· τότε δὴ τῇ Ῥωμαίων παραδοθέντες ἀσπίδι, τοσοῦτοι μὲν ἑάλωσαν, ὡς τοὺς τεθεαμένους (31) ἀπιστεῖν, εἴ τις ἀπώλετο· τοσοῦτοι δὲ οἱ πεπτωκότες εὑρέθησαν, ὡς ἀπορεῖν ἅπαντας εἴ τις ἑάλωκεν. Ὅτε μὲν γὰρ περὶ τοὺς συνδούλους ἡ μανία ἐθήγετο, μετρίως ἐσωφρονίζοντο. Ὅτε δὲ κατὰ τοῦ Δεσπότου ἐμάνησαν, ὡς συγγνώμης μείζονα πταίσαντες, πανωλεθρίᾳ παρεδόθησαν. Οἱ μὲν γὰρ πυρὸς καὶ σιδήρου, οἱ δὲ λιμοῦ ἔργον ἐγένοντο. Οἱ δὲ περιλειφθέντες διὰ τοῦτο περιεῖναι συνεχωρήθησαν, ἵνα καὶ τὰς τοῦ πολέμου τραγῳδήσωσι συμφορὰς, καὶ ὥσπερ αἰχμάλωτοι μαστιγίαι τὴν ὑφ' ἡλίῳ περιιόντες, ἴδωσι πανταχόσε ἀνθοῦν σταυρωθέντος τὸ σέβας.

B

CCCVI. — CYRILLO EPISCOPO.

Quemadmodum rex, qui legibus paret, viva lex est: eodem modo sacerdos quoque qui sanctionum ecclesiasticarum imperio subest, tacita norma et regula est.

ΤϚ'. — ΚΥΡΙΛΛΩ ΕΠΙΣΚΟΠΩ.

Ὥσπερ βασιλεὺς ὑπὸ τῶν νόμων ἀρχόμενος, ἔμψυχός ἐστι νόμος· οὕτω καὶ ἱερεὺς ὑπὸ τῶν θεσμῶν βασιλευόμενος, κανών ἐστιν ἄφθογγος (32).

CCCVII. — ISAIÆ MILITI.

Quemadmodum sinceri atque ardentes pudicitiæ amatores ex sua castitate de aliis etiam, quamvis minime tales sint, puras sententias ferunt, nec impudicum quemquam esse arbitrantur: eodem modo qui libidinis œstro tanquam rabie quadam agitantur (quorum te quoque unum esse aiunt) ex petulanti sua libidine alios, etiam qui non sunt, tales esse judicant. Utrique enim ex suis moribus de aliorum quoque morbis calculum ferunt.

C

ΤΖ'. — ΗΣΑΙΑ ΣΤΡΑΤΙΩΤΗ.

Ὥσπερ οἱ γνήσιοι καὶ διάπυροι τῆς σωφροσύνης ἐρασταὶ ἐκ τῆς οἰκείας ἁγνείας, καὶ περὶ τῶν ἄλλων καὶ περὶ μὴ ὄντων τοιούτων πολλάκις καθαρὰς τὰς ψήφους φέρουσι, καὶ οὐδένα ἡγοῦνται ἀκόλαστον εἶναι· οὕτω καὶ οἱ τῷ τῆς ἀσελγείας οἴστρῳ λυττῶντες, ὧν εἷς καὶ αὐτὸς, ὥς φασι, τυγχάνεις, ἐκ τῆς σφῶν λαγνείας, καὶ τοὺς μὴ ὄντας τοιούτους, τοιούτους εἶναι (33) ψηφίζονται. Ἕκαστοι γὰρ ἐκ τῶν καθ' ἑαυτοὺς, καὶ τὰς περὶ τῶν ἄλλων φέρουσι ψήφους.

CCCVIII. — AMMONIO TRIBUNO.

Et festi quoque dici tempus suo nomini respondens, naturæ felicitate ornatum est. Ut enim animorum ver, quod post peccatorum hiemem floruit, missum faciam, ne illud quidem, quo corpora utuntur, admiratione caret. Siquidem hibernam intemperiem subsequens, æstivam molestiam antecedit: quo nimirum illud ostendat, quod qui scelerum hieme defunctus est, nisi vernum et gravem ac moderatum statum in seipso retineat, judicii flammis addicetur. Ut enim necessitate quadam æstas veri succedit, **379** ad eumdem etiam modum post lenitatem et patientiam judicium omnino veniet.

D

ΤΗ'. — ΑΜΜΩΝΙΩ ΤΡΙΒΟΥΝΩ.

Καὶ ὁ καιρὸς τῆς πανηγύρεως ἐπαληθεύων ἑαυτὸν εὐμοιρίᾳ φύσεως κεκόσμηται. Ἵνα γὰρ παρῶ τὸ τῶν ψυχῶν ἔαρ, τὸ μετὰ τὸν χειμῶνα τῶν ἁμαρτημάτων ἀνθῆσαν, οὐδὲ τὸ τῶν σωμάτων ἔξω θαύματος καθέστηκε. Τῆς γὰρ χειμερίου δυσκρασίας δεύτερον ὁρμηθὲν, τῆς θερινῆς ὀχλήσεως προτρέχει, ἵνα δείξῃ, ὅτι ὁ τοῦ χειμῶνος τῶν ἁμαρτημάτων ἀπαλλαγεὶς, εἰ μὴ ἐαρινὴν καὶ βεβηκυῖαν κατάστασιν ἐν ἑαυτῷ φυλάξοι, τῷ πυρὶ τῆς κρίσεως παραδοθήσεται. Ὥσπερ γὰρ ἀνάγκῃ τινὶ μετὰ τὸ ἔαρ τὸ θέρος, οὕτω καὶ μετὰ τὴν ἀνεξικακίαν ἡ κρίσις πάντως ἐπιφοιτήσει.

VARIÆ LECTIONES ET NOTÆ.

(31) Pro τεθεαμένους cod. Vat. 630 habet θεωμένους, et vers. ult. post ἀνθοῦν addit τό. Possin.

(32) Idem cod., εὔφθογγος. Id.

(33) Ed. Paris., καὶ τοὺς μὴ ὄντας, τοιούτους εἶναι, etc. Ed. t.

Digitized by Google

ΤΘ'. — ΜΑΡΤΥΡΙΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Εἰ βούλει, ὦ βέλτιστε, μεγάλα δεῖξαι τὰ σαυτοῦ κατορθώματα, μὴ μέγα φρόνει, καὶ τότε ταῦτα μείζονα ἀποφαίνεις. Μὴ νομίσῃς τι πεποιηκέναι, καὶ τότε λαμπρότερος ἔσῃ. Εἰ γὰρ ὁ ἁμαρτωλὸς νομίζων εἶναι τοῦθ' ὅπερ ἐστὶ, δίκαιος γίνεται (ὥσπερ καὶ ὁ τελώνης)· ὁ δίκαιος ἁμαρτωλὸν ἑαυτὸν ἡγούμενος, πῶς οὐ σεμνότερός ἐστι καὶ εὐκλεέστερος; Ἡ εὐγνωμοσύνη στέφανον ἁμαρτωλῷ ἤνεγκεν (οὐδὲ γὰρ ταπεινοφρονῶν, ἀλλ' ἀληθεύων ἔλεγε), ταπεινοφροσύνη δικαίῳ πῶς οὐ μυρίους πλέξει στεφάνους;

CCCIX. — MARTYRIO PRESBYTERO.

Si illud tibi studio est, vir optime, ut quæ abs te cum virtute geruntur, magna esse videantur, ne subliniter ac magnifice de te sentias, ac tum ampliora ea reddes. Ne te fecisse existimes: ac tum majorem splendorem consequeris. Nam si peccator, id se, quod est, esse judicans, justus efficitur (quemadmodum publicano contigit), quid tandem afferri potest, quin justus, peccatorem se esse existimans, majorem hinc venerationem gloriamque sibi comparet? Si candida peccati agnitio coronam peccatori attulit (non enim per animi submissionem, sed veritate ductus, hoc dicebat), quid causæ est, quamobrem humilitas justo sexcentas coronas non nectat?

ΤΙ'. — ΠΕΤΡΩ ΣΧΟΛΑΣΤΙΚΩ.

Πολλοὶ μὲν ἀνθρώπων (πάντας γὰρ αἰτιᾶσθαι οὐχ ὅσιον), τὰ μὲν κακὰ καὶ μὴ μαθόντες δρῶσι, τὰ δὲ ἀγαθὰ οὐδὲ διδασκόμενοι συνίασιν· ἀλλὰ τὰ μὲν τιμωρίας πένοντα ἀφ' (34) ἑαυτῶν ποιοῦντες διατελοῦσι· τὰ δὲ στεφάνων πρόξενα, οὐδ' ἀναγκαζόμενοι διαπράττονται· κἀκεῖνα μὲν μηδὲ παραδείγματα πολλάκις ἔχοντες τίκτουσι· ταῦτα δὲ, καὶ παραδείγματα ὁρῶντες παραγράφονται. Τοσοῦτον ἀπέχουσι τοῦ μιμεῖσθαι. Τοῦ χάριν δὴ ταῦτα γράφω, τυχὸν οὐκ ἀγνοεῖς· ὅτι Ζωσίμου καὶ Μάρωνος τοὺς βίους ἐκωμῴδησας.

CCCX. — PETRO SCHOLASTICO.

Plerique mortalium (neque enim omnes accusare fas est) mala quidem etiam sine cujusquam disciplina faciunt, bona autem adhibito quoque magistro non intelligunt: atque ea quæ pœnam et cruciatum spirant, sua sponte agere non intermittunt, quæ autem coronas accersunt, ne coacti quidem administrant: atque illa, tametsi persæpe ne exempla quidem ulla habeant, pariunt: hæc autem, etiam exemplis ante oculos propositis, improbant, nedum imitentur. Quam ob causam hæc scribam, fortasse non ignoras: nempe quia Zosimi et Maronis vitas comicum in modum proscidisti.

ΤΙΑ'. — ΔΑΝΙΗΛ ΠΡΕΣΒΥΤΕΡΩ.

Ὁ σοφὸς Εὐστάθιος ὁ πρεσβύτερος, ὁ ὑπὸ θείας μισοπονηρίας, καὶ ἐπὶ τῇ ὁμωνυμίᾳ τοῦ ἐναγοῦς, ὡς οἶσθα, Εὐσταθίου βαρυνόμενος, καὶ ἀμεῖψαι ἑαυτοῦ τὴν προσηγορίαν βουλόμενος οἴχεται. Τέθνηκε γὰρ, εἰπεῖν ἴσως οὐ θέμις. Ἡ γὰρ τῶν φιλαρέτων ἀνδρῶν κοίμησις, ὧν εἷς ἦν καὶ αὐτὸς, τελευτὴ μέν ἐστι τῶν λυπηρῶν, ἀρχὴ δὲ τῶν ἀγαθῶν. Τὸ γὰρ τῶν ἄθλων πέρας, ἀρχὴ τῶν στεφάνων καθέστηκε.

CCCXI. — DANIELI PRESBYTERO.

Sapiens presbyter Eustathius, qui, pro divino suo in improbos odio, etiam idem sibi cum impuro et scelerato, ut nosti, Eustathio nomen esse graviter et moleste ferebat, ac nomen suum immutare cupiebat, hinc abscessit. Neque enim fortasse dicere fas est, mortuus est. Nam proborum virorum (quorum numerum ipse quoque augebat) somnus, molestiarum quidem finis est, bonorum vero initium. Siquidem certaminum finis, coronarum principium exsistit.

ΤΙΒ'. — ΠΑΛΛΑΔΙΩ ΔΙΑΚΟΝΩ.

Ἔχει τι ἡ ψυχή μου ἐπιῤῥεπὲς, ὦ φίλε, εἰς τὸ πιστεύειν μὲν τοῖς μεγίστοις κατορθώμασιν, ἀπιστεῖν δὲ τοῖς μεγάλοις ἁμαρτήμασι. Διὸ καὶ τοὺς ἐκείνα μὲν διηγουμένους ἐπαινῶ· τοὺς δὲ ταῦτα, εἰ μὲν δυναίμην, ἐπιστομίζω· εἰ δὲ μὴ, τῷ στυγνάζειν ἀναστέλλω. Εἰ τοίνυν καὶ τὸν σὸν ἐχθρὸν ἄῤῥητά τινα κατὰ σοῦ ῥητορεύσαντα ἐπεστόμισα, μὴ ἐμοὶ χάριν ἴσθι, ἀλλὰ τῷ Θεῷ τῷ τοιαύτην μοι προαίρεσιν χαρισαμένῳ. Καὶ πειρῶ ἐκεῖνον, δι' ὧν πράττεις, ἐλέγχειν. Οὕτω γὰρ ἐγὼ χάριν εἴσομαι, εἰ μὴ ἐλεγχοίμην ὑπὲρ σοῦ, ἀλλ' ὑπὲρ τῆς ἀληθείας τὸν λόγον ποιησάμενος.

CCCXII. — PALLADIO DIACONO.

Ea quodammodo animi propensione sum, o amice, ut maximis quidem virtutibus fidem adhibeam, ingentibus autem peccatis abrogem. Ex quo efficitur, ut eos, qui illa commemorant, laudibus afficiam: iis autem, qui hæc narrant, si possum, silentium indicam; sin minus, tristem vultum præferendo eos reprimam. Quamobrem, si hosti quoque, qui infanda quædam adversum te prolocutus fuerat, os obstruxi, ne mihi, sed Deo, qui mihi hanc animi inductionem dedit, gratiam habe: atque, ut illum, per ea quæ agis, coarguas, enitere. Nam ita demum ego gratiam tibi habiturus sum, si non tua, sed veritatis causa verba fecisse comperiar.

ΤΙΓ'. — ΛΑΜΠΕΤΙΩ ΔΙΑΚΟΝΩ.

Περὶ τῆς θείας ἐπιδημίας.

Ἴσθι, ὦ σοφίας αὐτοφυὲς ἄγαλμα, ὅτι ὁ καλλίνι-

380 CCCXIII. — LAMPETIO DIACONO.

De divino adventu.

Illud scito, o nativum sapientiæ simulacrum, quod

VARIÆ LECTIONES ET NOTÆ.

(34) Pro ἀφ' cod. Vat. 650 habet ἐφ' et vers. 8 εὑρόντες scribit pro ὁρῶντες. Vers. pen. pro ὅτι legit ὁ et vers. ult. pro ἐκωμῴδησας, ἐκμαθήσας. Possin.

Digitized by Google

ille victoriæ pulchritudine insignis cœlorum rex, qui ob humani generis salutem huc venit, postea-quam id omne, quod peccabat, tanquam barbarum subegit; tum vero parta victoria tanquam proprium miserationi habuit.

CCCXIV. — PETRO SCHOLASTICO.

Qui non solum eos, quibus injuria fit, ulciscitur, sed etiam illud providet, ne quis alium injuria afficiat, hic non modo acris ac fortis principis, verum etiam sapientis legislatoris nomen meretur: ut qui alterum per imperii potentiam, alterum per animi prudentiam conficiat.

CCCXV. — AUSONIO CORRECTORI.

Qui nec favore, nec odio, nec muneribus adducitur, ut jus labefactet, hic meo quidem judicio et optima est justitiæ regula, et incorruptus eorum, de quibus controversia est, judex ac disceptator.

CCCXVI. — HIERACI PRESBYTERO.

« Dans sapientiam sapientibus et prudentiam scientibus. »

Id quod a Daniele dictum est: « Dans sapientiam sapientibus et prudentiam scientibus [10]; » prudentiam potissimum quidem de seipso dixit: quoniam Deus non modo regis insomnium (quod ipsemet, qui viderat, ignorabat) ipsi patefecit, sed etiam causam eam, ob quam visum illud ei demonstratum fuerat, et interpretationem. Causa porro regis consilia erant. Quandoquidem enim, ut vero consentaneum est, ob tropæa supercilium attollebat (ut qui non tantum adversus alias nationes, sed etiam adversus Judæos, qui multis ac magnis, tum in Ægypto, tum in deserto, tum in Palæstina beneficiis auctos sese atque ornatos fuisse jactabant, rem militarem strenue ac feliciter administrasset), illud secum, ut credibile est, agitarat, cum multa imperia exstincta perspexisset (nam Assyriorum quoque imperium finem acceperat), an ipse quoque mutationem aliquam subiturus esset. Quocirca consentanee ipsius consiliis atque animi agitationibus visio contigit. Propheta autem ea, quæ ipse cum animo suo agitarat, primum ipsi exposuit: ut ab iis, quæ certa et indubitata erant, ea quoque quæ ignota et obscura erant, fidem invenirent, atque interpretata facile admitterentur. Ad hunc itaque modum rex ea, quæ dicta sunt, comprobavit. Neque enim ex eo duntaxat quod ea, quæ animo volvebat, dixit, conjecturam fecit vera esse quæ dicta fuerant: sed etiam id, quod viderat, mente fortasse resumpsit, atque per eorum, quæ narrata fuerant, sinceritatem, illud in memoriam revocavit. Atque hæc quidem hactenus.

[10] Dan. II, 21.

κος τῶν οὐρανῶν βασιλεὺς, ὁ ἐπὶ σωτηρίᾳ τῶν ἀνθρώπων τὴν ἐπιδημίαν (35) τῇδε ποιησάμενος, πᾶν τὸ ἁμαρτάνον ὡς βάρβαρον χειρωσάμενος, ὡς οἰκεῖον μετὰ τὴν νίκην ᾤκτειρε.

ΤΙΔ'. — ΠΕΤΡΩ ΣΧΟΛΑΣΤΙΚΩ.

Ὁ μὴ μόνον τοῖς ἀδικουμένοις ἐπαμύνων, ἀλλὰ καὶ ὅπως μηδεὶς ἀδικήσῃ προμηθούμενος, οὗτος οὐ μόνον ἄρχων δραστήριος, ἀλλὰ καὶ νομοθέτης σοφὸς δίκαιος ἂν εἴη καλεῖσθαι· τὸ μὲν τῇ ἀρχικῇ δυνάμει, τὸ δὲ τῇ ψυχικῇ συνέσει διαπραττόμενος.

ΤΙΕ'. — ΑΥΣΟΝΙΩ ΚΟΡΡΗΚΤΩΡΙ.

Ὁ μήτε χάριτι, μήτε δυσμενείᾳ, μήτε δωροδοκίᾳ λυμαινόμενος τὸ δίκαιον, οὗτος καὶ ἄριστός ἐστι τοῦ δικαίου κανὼν, καὶ ἀδέκαστος τῶν ἀμφισβητουμένων κριτής.

ΤΙϚ'. — ΙΕΡΑΚΙ ΠΡΕΣΒΥΤΕΡΩ.

« Διδοὺς σοφίαν τοῖς σοφοῖς, καὶ φρόνησιν τοῖς εἰδόσι σύνεσιν. »

Τὸ ῥηθὲν τῷ Δανιὴλ, « Διδοὺς σοφίαν τοῖς σοφοῖς, καὶ φρόνησιν τοῖς εἰδόσι· » σύνεσιν μάλιστα μὲν περὶ ἑαυτοῦ εἶπεν. Ἐπειδὴ οὐ μόνον αὐτῷ τὸ ἐνύπνιον τοῦ βασιλέως (ὅπερ αὐτὸς ὁ ἑωρακὼς οὐκ ᾔδει) ἀπεκάλυψεν ὁ Θεὸς, ἀλλὰ καὶ τὴν αἰτίαν, δι' ἣν ἐδείχθη ἡ ὄψις ἐκείνη, καὶ τὴν σύγκρισιν. Ἡ δὲ αἰτία ἦν, τοῦ βασιλέως τὰ βουλεύματα. Ἐπειδὴ γὰρ ὡς εἰκὸς, ὠφρύωτο τοῖς τροπαίοις, οὐ μόνον κατὰ τῶν ἄλλων ἐθνῶν ἀριστεύσας, ἀλλὰ καὶ κατὰ Ἰουδαίων, τῶν πολλὰ καὶ (36) μεγάλα αὐχούντων εὐηργετῆσθαι ἐπί τε τῆς Αἰγύπτου, ἐπί τε τῆς ἐρήμου, ἐπί τε τῆς Παλαιστίνης ἐνένοησεν, ὡς εἰκὸς, θεασάμενος πολλὰς βασιλείας σβεσθείσας (ἦν γὰρ καὶ ἡ τῶν Ἀσσυρίων τελευτήσασα), εἰ καὶ αὐτῷ μεταβολή τις γενήσεται. Ἀκολούθως τοιγαροῦν τοῖς βουλεύμασιν ἡ ὄψις γέγονεν. Ὁ δὲ προφήτης τὰ βεβουλευμένα αὐτῷ πρῶτον διηγήσατο, ἵνα ἀπὸ τῶν ὡμολογημένων καὶ τὰ λανθάνοντα ἀξιόπιστα γένωνται, καὶ ἡ ἑρμηνεία εὐπαράδεκτος εἴη. Οὕτως οὖν καὶ ὁ βασιλεὺς κατεδέξατο τὰ λεχθέντα. Οὐ γὰρ μόνον ἀφ' (37) ὧν τὰ κατὰ διάνοιαν ἔφη, ἐστοχάσατο ὡς ἀληθῆ τὰ εἰρημένα τυγχάνει· ἀλλὰ καὶ ἀνεπόλησεν ἴσως τὸ ὀφθὲν, καὶ εἰς μνήμην ἦλθεν ὑπὸ τῆς ἀκριβείας τῶν λεχθέντων. Καὶ ταῦτα μὲν ἐπὶ τοσοῦτον. Εἰ δὲ καὶ περὶ τῶν ἄλλων τοῦτο ἔφη, σοφοὺς, οἶμαι, καλεῖ τοὺς τὸν θεῖον κτησαμένους φόβον (« Ἀρχὴ γὰρ σοφίας, φόβος Κυρίου· ») εἰδότας δὲ σύνεσιν, τοὺς πεπαιδευμένους τὸν νόμον. Εἰ γὰρ τῆς τῶν εἰδώλων ἀποστατεῖν ἀπάτης, ἔψονται δὲ τοῖς οὐρανίοις χρησμοῖς, λήψονται τὴν τῶν ἀῤῥήτων γνῶσιν. « Δίδωσι γὰρ σοφίαν τοῖς

VARIÆ LECTIONES ET NOTÆ.

(35) Post ἐπιδημίαν addit cod. Vat. 650, τὴν, et mox pro ποιησάμενος legit πεποιημένος. Possin.

(36) Pro πολλὰ καὶ cod. Vat. 650 legit πολλάκις. Id.

(37) Cod. Vat., ἀφ' et vers. post sexto, κεκτημένους pro κτησαμένους. Id.

Digitized by Google

σοφοῖς, » τουτέστι τὴν θείαν χάριν τοῖς φοβουμένοις (38) ὁρέγει· « φρόνησιν δὲ τοῖς εἰδόσι σύνεσιν, » τουτέστι τῶν κεκρυμμένων τὴν γνῶσιν τοῖς συνετῶς ἐπὶ τὸν τὰ τοιαῦτα ἀποκαλύπτειν δυνάμενον κατατρέχουσιν. Ἢ πάλιν, σοφίαν μὲν τοῖς σοφῶς ἑαυτοὺς ἄγουσι φρόνησιν δὲ, τοῖς σύνεσιν γεωργοῦσιν, ἵν' ἡ προαίρεσις τὴν χάριν ἐπισπάσηται, καὶ μὴ κατὰ ἀποκλήρωσιν δόξῃ χαρίζεσθαι. Πρὸς γὰρ τὰς παρασκευὰς καὶ ἡ χάρις ἐφίπταται. Ἢ πάλιν, ἐπειδὴ πολλοὶ καὶ τῶν ἔξωθεν σοφῶν καὶ συνετῶν προσελθόντες τῷ θείῳ κηρύγματι τὴν ὄντως σοφίαν, καὶ τὴν τῷ ὄντι σύνεσιν δρέψασθαι ἤμελλον, τοῦτο προεφήτευσε.

A Quod si de aliis etiam hoc dixit, per sapientes, ut mea opinio fert, eos intelligit, qui divino metu præditi sunt **381** (principium enim sapientiæ est timor Domini [11]), per eos autem qui prudentiam sciunt, eos qui legis cognitione atque doctrina instructi sunt. Nam si a falso idolorum cultu se avertant, ac cœlestia oracula sequantur, rerum earum, quæ nulla oratione explicari possunt, scientiam accipient. « Dat enim Deus sapientiam sapientibus, » hoc est, divinam gratiam iis, a quibus timetur, præbet : « prudentiam autem scientibus prudentiam, » hoc est, abditarum rerum cognitionem his, qui prudenter ad eum, qui res hujusmodi patefacere potest, confugiunt; vel rursum, sapientiam quidem iis qui seipsos sapienter regunt; prudentiam vero iis qui prudentiam excolunt, ut animi inductio gratiam attrahat, ac non Deus velut sortitione quadam gratificari videatur. Nam prout se quisque præparaverit, gratia quoque advolat. Aut rursum, quoniam multi etiam ex iis qui apud exteros sapientiæ prudentiæque laude floruerunt, ad divinam prædicationem accedentes, veram sapientiam ac veram prudentiam percepturi erant, idcirco hoc prædixit.

ΤΙΖ'. — ΘΕΩΝΙ.

Οὐχ ἡ δύναμις μόνον, ὦ θαυμάσιε, τοῦ κηρύγματος, ἀλλὰ καὶ ὁ βίος τῶν κηρυττόντων συμβαίνων τῷ κηρύγματι, τοὺς ἀνθρώπους ἐπηγάγετο. Τίς γὰρ ἂν ἐπείσθη ἀνθρώποις, ἄλλα μὲν φράζουσιν, ἕτερα δὲ πράττουσιν; Εἰ γὰρ νῦν πολλοὶ ῥιζωθέντες ἐν τῇ πίστει, ἐκ τοῦ βίου τῶν ὑφηγητῶν, οὐ μόνον ἐσαλεύθησαν, ἀλλὰ καὶ αὐτόπρεμνοι ἀνεσπάσθησαν· τίς ἂν παρὰ τὴν ἀρχὴν μὴ ὁρῶν πολιτείαν τοῖς λεγομένοις συμβαίνουσαν ἐπείσθη; καὶ ταῦτα, κελευόμενος τῶν πατρῴων θεῶν τε καὶ ἐθῶν ἀποστῆναι, καὶ πλοῦτον μὲν καὶ τρυφὴν καὶ ἡδονὴν μισῆσαι, ἀσπάσασθαι δὲ ἀκτημοσύνην καὶ νηστείαν, καὶ ἁγνείαν, καὶ πρὸς καθημερινοὺς παρασκευάσασθαι θανάτους.

B

CCCXVII. — THEONI.

Non prædicationis duntaxat virtus, eximie vir, sed etiam prædicantium vita prædicationi consentiens hominum animos alliciebat. Quisnam enim alioqui hominibus aliud loquentibus, et aliud agentibus fidem adhibuisset? Nam cum nunc permulti, actis jam in fide radicibus, ob magistrorum tamen vitam non modo vacillarint, verum etiam radicitus evulsi sint, quisnam, quæso, sub initium vitam cum sermonibus congruentem minime perspiciens ad credendum adductus fuisset? Idque cum paternis diis ac ritibus abscedere juberetur, atque opes quidem et divitias, et voluptates odio prosequi, paupertatem autem et inediam et castitatem amplecti, atque ad quotidianas mortes sese comparare.

C

ΤΙΗ'. — ΙΣΙΔΩΡΩ ΔΙΑΚΟΝΩ.

Οὐδὲν δυνατώτερον ἀρετῆς, ὦ ὁμώνυμε, οὐδὲ τυραννικώτερον. Αὕτη γὰρ ἐλέγχουσα τὰς τῶν πραγμάτων μεταβολὰς, ὑπ' αὐτῶν ἐλέγχεσθαι οὐκ ἀνέχεται· ἀλλὰ πάσας τὰς ἡνίας τοῦ πρέποντος ἐπιβάλλουσα, ἡνιοχεῖ καὶ ἄγει πρὸς ὅπερ βούλεται.

CCCXVIII. — ISIDORO DIACONO.

Nihil virtute fortius est, vir mihi cognominis, nec violentius. Ipsa enim rerum mutationes vincens, ab ipsis vinci minime sustinet : verum omnes honesti ac decori habenas immittens, aurigæ munere fungitur, ducitque quo libet.

ΤΙΘ'. — ΑΣΚΛΗΠΙΩ ΕΠΙΣΚΟΠΩ.

Εἰ καὶ ἐπὶ τῆς Εὐσεβίου, ὡς γέγραφας, ἀναρχίας (τὴν γὰρ ἀρχὴν αὐτοῦ ἀναρχίαν εἰκότως κέκληκας) τῶν ἐγκλημάτων τιμωρία προηγεῖται, καὶ αἱ κολάσεις τοὺς ἐλέγχους φθάνουσι, μὴ θαύμαζε. Ἀλογίας γὰρ ὢν θρέμμα, καὶ πάσης δικαιοσύνης ἀμύητος, ταράττειν τὸ δίκαιον οὐκ ὀκνεῖ. Χρὴ (39) δὲ οὐχ οὕτως· ἀλλὰ τοῖς ἐγκλήμασι τὴν κρίσιν συμπεφυκέναι, καὶ μετὰ τοὺς ἐλέγχους τὴν πίστιν ἕπεσθαι· καὶ τελευταίαν τὴν ψῆφον φέρεσθαι, τὴν τοῦ πταίσματος φύσιν, μέτρον τῆς δίκης ὁρίζουσαν.

D

CCCXIX. — ASCLEPIO EPISCOPO.

Et si vigente Eusebii, ut scripsisti, anarchia (ipsius enim imperium anarchiam haud abs re appellasti) crimina supplicium antecedit, atque cruciatus probationes antevertunt : ne tamen hoc tibi mirandum accidat. Nam cum ipse temeritatis et amentiæ alumnus sit, ac justitiæ omnis rudis et imperitus, idcirco jus perturbare minime veretur. At non ita faciendum est : verum curandum ut judicium criminibus adnascatur, ac post probationes fides sequatur : ac postremo sententia feratur, quæ pro culpæ natura pœnæ modum constituat.

[11] Prov. I, 7.

VARIÆ LECTIONES ET NOTÆ.

(38) Idem cod. post φοβουμένοις addit αὐτὸν, et vers. inde tertio pro κατατρέχουσιν scribit καταφεύγουσιν. Possin.

(39) Pro χρὴ idem cod. legit χρῆν, et vers. penult. ante τὴν τοῦ addit πρός. Id.

Digitized by Google

332 CCCXX. — EIDEM.

Quomodo sit intelligendum, « Noli esse multum justus [18-19]. »

Quandoquidem quo sensu illud dictum sit, « Noli esse justus multum, » a me tibi exponi cupis, duplicem horum verborum interpretationem esse arbitror : nempe ut vel hoc significent : Noli jus tuum severe ac rigide persequi, verum per bonitatem id exsupera. Justum enim est ab alio non lædi : philosophicum autem, acceptam injuriam æquo animo ferre. Vel hoc : « Medium virtutis iter tene. » Siquidem ipsius excessus et defectus a recta via abducentes, in peccata desinunt. Quod autem huc spectet sapientissimum hoc præceptum, ex eo, quod deinceps sequitur, constabit. Nec supervacanee sapiens sis, ut ne obstupescas. Quod quidem, ut opinor, quidam ex celeberrimis illis septem sapientibus furatus, aut certe sententia collapsus (furtum enim est alienorum [verborum] subreptio : collapsio autem fortuita rerum similitudo) illud pronuntiavit : « Modus optimus. » Alius autem hoc traducens : « Ne quid nimis, » dixit. Porro non in virtutibus duntaxat, sed etiam in pietate hoc valere perspicias. Pietas enim inter impietatem et superstitionem interjecta utramque abdicat.

A

B

CCCXXI. — EIDEM.

Quoniam, qua ratione virtutes mediocritates sint, ex me quæsisti, illud scito, quod prudentia inter simplicitatem et malitiam consistat : liberalitas item inter luxum et tenacitatem : eodemque modo animi magnitudo inter vanitatem et humilitatem : ac denique fortitudo inter temeritatem et ignaviam. Quamobrem nobis faciendum est, ut extrema fugiamus, ac media consectemur.

C

CCCXXII. — MARTINIANO PRESBYTERO.

Ne divitias expetas, vir optime, quæ superbiam et arrogantiam pariunt, voluptates subministrant, vitii omnis architectæ sunt, atque homini amicitiam ad Deum eripiunt ; verum virtutem, quæ ab omnibus malis nos vindicat. Quod si labores ac sudores habet, ne propterea ipsam fugias : quin potius hoc ipso nomine præsertim eam complectere, illud cum animo tuo reputans, quod in cæteris etiam rebus id quod cum laboribus ac sudoribus

D

[18-19] Eccle. VII, 17.

ΤΚ'. — ΤΩ ΑΥΤΩ.

Πῶς νοητέον τὸ τῷ ἐκκλησιαστικῷ γεγραμμένον, « Μὴ γίνου δίκαιος πολύ. »

Ἐπειδὴ ὅπως εἴρηται τὸ, « Μὴ γίνου δίκαιος πολύ, » ἠθέλησας μαθεῖν, οἶμαι διττὴν ἐρμηνείαν ἔχειν· ἢ, Μὴ γίνου ἀκριβοδίκαιος, ἀλλ' ὑπέδυνε τοῦτο τῇ ἀγαθότητι. Δίκαιον μὲν γὰρ τὸ μὴ ἀδικεῖσθαι· φιλόσοφον δὲ τὸ ἀδικούμενον φέρειν· ἢ, « Τὴν μέσην ὁδὸν τῆς (40) ἀρετῆς βάδιζε. » Αἱ γὰρ ὑπερβολαὶ αὐτῶν καὶ ἐλλείψεις τῆς ὀρθῆς ἀπάγουσαι ὁδοῦ, εἰς ἁμαρτήματα τελευτῶσιν. Ὅτι δὲ εἰς τοῦτο ὁρᾷ ἡ σοφωτάτη παραίνεσις, τὸ ἑξῆς ἐγγυήσεται. Καὶ μὴ σοφίζου, φησί, περιττὰ, ἵνα μὴ καταπλαγῇς. Ὅπερ ἤ κακλοφῶς τις, ὡς οἶμαι, τῶν ἐπὶ θρυλλουμένων σοφῶν (41), ἢ συμπεσὼν (42) τῇ γνώμῃ (κλοπὴ (43) μὲν γάρ ἐστιν ἡ τῶν ἀλλοτρίων ὑφαίρεσις· συνέμπτωσις δὲ, ἀπερίπτωτος ἐμφέρεια πραγμάτων), ἀπεφήνατο, « Μέτρον ἄριστον (44). » Ἄλλος δέ τις τοῦτο παραφράσας, « Μηδὲν ἄγαν (45), » ἔφη. Οὐκ ἐπὶ τῶν ἀρετῶν δὲ μόνον, ἀλλὰ καὶ ἐπὶ τῆς εὐσεβείας τοῦτο κρατοῦν ἔστιν ἰδεῖν. Ἡ γὰρ εὐσέβεια, ἀσεβείας καὶ δεισιδαιμονίας μέση τυγχάνουσα, ἑκατέραν ἀποκηρύττει.

ΤΚΑ'. — ΤΩ ΑΥΤΩ.

Ἐπειδὴ ὅπως καὶ αἱ ἀρεταὶ μεσότητές εἰσιν, ἠθέλησας μαθεῖν, ἴσθι, ὅτι ἡ μὲν φρόνησις, μέση ἀφελείας καὶ κακουργίας ἵστηκεν· ἡ δὲ ἐλευθεριότης, ἀσωτίας καὶ φειδωλίας· ἡ δὲ μεγαλοψυχία, ἀλαζονείας καὶ ταπεινότητος· ἡ δὲ ἀνδρία, θρασύτητος καὶ δειλίας. Χρὴ οὖν τὰς μὲν ἀκρότητας φεύγειν, τὰς δὲ μεσότητας διώκειν.

ΤΚΒ'. — ΜΑΡΤΙΝΙΑΝΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Μὴ ζήτει πλοῦτον, ὦ βέλτιστε, τὸν τῆς ὑπερηφανίας πατέρα, τὸν τῆς ὑπεροψίας γεννήτορα, τὸν τῶν ἡδονῶν χορηγὸν, τὸν πάσης κακίας δημιουργὸν, τὸν τῆς πρὸς Θεὸν φιλίας ἀποσυλῶντα τὸν ἄνθρωπον· ἀλλ' ἀρετὴν, τὴν πάντων τῶν κακῶν ἀπαλλάττουσαν. Εἰ δὲ ἱδρῶτας ἔχει καὶ πόνους, μὴ διὰ τοῦτο αὐτὴν ἀποφύγοις, ἀλλὰ διὰ τοῦτο μάλιστα περίπτυξαι, λογιζόμενος, ὅτι καὶ ἐπὶ τῶν ἄλλων πραγμάτων τὸ μετὰ πόνων καὶ ἱδρώτων κτηθὲν (46), κἂν μικρὸν

VARIÆ LECTIONES ET NOTÆ.

(40) Inter τῆς et ἀρετῆς idem cod. infudit hæc duo vocabula, τῶν ἀρετῶν. Possin.

(41) Ἔκπτα ἀριστοκρατόρων σοφῶν. Vide Diogenem Laertium in *Vitis philosophorum*, et Ausonium *Ludo septem sapientum*. Ritt.

(42) Ab his verbis, ἢ συμπεσὼν, usque ad illa versus septimi, ἐμφέρεια πραγμάτων, cuncta, inclusis utrinque terminis, absunt a cod. Vat. 650. Possin.

(43) Κλοπὴ μὲν γάρ ... κλοπή. Hujusmodi furta parvima detexit olim Clemens Alexand. et nostra memoria Fulvius Ursinus Rom. Ritt.

(44) Μέτρον ἄριστον. In B. C. est πᾶν μ. ἄ., unde suspicabar legend. πάντων μ. ἀ. Est enim carmen Phocylideum :

Πάντων μέτρον ἄριστον· ὑπερβασίαι δ' ἀλεγειναί. Ritt.

(45) Μηδὲν ἄγαν. Unus ex VII sapientibus dictum hoc est ; de quo exstat hoc phaleucium :

Τὸ γὰρ μηδὲν ἄγαν με τέρπει.

Illud, Nil nimis, ah, nimis jurat me! Id.

(46) Τὸ μετὰ πόνων καὶ ἱδρώτων κτηθέν. Sic Pindarus *Nemeo.* 7. Εἰ πόνος ἦν, τὸ περαίνειν πλέον ἀνδρὸς κρέσσων. Et Basilius Magnus : Τὸ πόνῳ κτηθὲν, πῶς χαρᾶς ὑποδέχῃ, καὶ φιλοτίμως διεφυλάχθη ·

Digitized by Google

τυγχάνῃ, ποθεινότερόν ἐστι. Τὸ δ' αὐτομάτως (47) προσπεσὸν, εὐκαταφρόνητον, κἂν ὑπάρχῃ μέγα.

A partum est, quamvis alioqui exiguum sit, jucundius et suavius exsistit : quod autem casu ac sponte contigit, etiam si magnum sit, in contemptum tamen facile venit.

ΤΚΓ'. — ΖΩΣΙΜΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Ἐπειδὴ αἱ παραινέσεις ἴσχυσαν οὐδὲν, τῆς σῆς μανίας, τῆς περὶ τὴν κακίαν, κρείττονος διορθώσεως εὑρεθείσης, εἰς εὐχὰς πάλιν τρεπόμεθα. Εἶη τοίνυν σὲ ἀποφοιτῆσαι μὲν τῆς μανίας (48), εἰς νοῦν δὲ σώφρονα ἥκειν.

CCCXXIII. — ZOSIMO PRESBYTERO.

Quandoquidem cohortationes atque consilia nullam vim habuerunt, quod scilicet furiosum illud improbitatis studium, quo flagras, omni correctione fortius inventum sit, ad vota rursum me converto. Faxit igitur Deus, ut ab hoc furore abscedas, ac prudentem mentem induas.

ΤΚΔ'. — ΣΤΡΑΤΗΓΙΩ ΜΟΝΑΖΟΝΤΙ.

Οἱ ἀρετῆς ἐρῶντες καὶ σοφίας ἐαλωκότες, ἀκόρεστοι τὴν ἐπιθυμίαν ὄντες, οὐ διαλιμπάνουσι τὸν B θεῖον τοῦτον πυρσὸν ἐν ἑαυτοῖς ἀνάπτοντες. Τοῦτο μὲν ἔργον, τὰ δ' ἄλλα πάντα νομίζοντες εἶναι πάρεργα. Μικρὰ γοῦν αὐτοῖς τὰ τοῖς ἄλλοις μεγάλα εἶναι δοκοῦντα φαίνεται, καὶ γελῶσι τὰ περιμάχητα, καὶ πατοῦσι τὰ ἀπόβλητα, καὶ τῶν ὑπερκοσμίων μόνων ἐφίενται. Εἰς τὸν τοιοῦτον τοίνυν χορὸν, καὶ αὐτὸς τελέσαι προῃρημένος, ἀκοίμητον δίκαιος ἂν εἴης τὸ τῆς ψυχῆς ὄμμα διατηρῆσαι.

CCCXXIV. — STRATEGIO MONACHO.

Qui virtutem amant, ac sapientiæ studio **383** tenentur, inexplebili quadam cupiditate flagrantes divinam hanc facem in animis suis excitare minime intermittunt, hoc quidem pro serio opere, alia autem omnia pro rebus levioris operæ ducentes. Ac propterea parva ipsis esse videntur, quæ alii magna et ampla existimant : atque ea de quibus alii inter se digladiantur, risui habent, et quæ alii suspiciunt, pedibus proculcant, cœlestiaque sola expetunt. Cum igitur ad hujusmodi chorum nomen tuum ascribere in animum induxeris, æquum profecto fuerit, te insomnem animæ oculum conservare.

ΤΚΕ'. — ΣΕΡΗΝΩ.

Λίαν θαυμάζω πῶς πρότερον μὲν τὰ ἴδια χρήματα εἰς τὴν κοινὴν ὠφέλειαν, οἱ τῷ θείῳ λόγῳ μαθητευ- C θέντες προὐτίθεσαν, νυνὶ δέ τινες τῶν ὑφηγητῶν τοῦ λόγου (οὐ γὰρ πάντων καταψηφίζεσθαι θέμις) τὰ κοινὰ σφετερίζεσθαι τολμῶσι. Πεποιήκασι γοῦν ἀπὸ ταύτης τῆς ἀτοπίας, καὶ τοὺς καρποφορεῖν εἰωθότας ἀπαναρκῆσαι. Δέον γὰρ ἐν τῇ εὐγνωμοσύνῃ τῶν ὑπηκόων ἀποκεῖσθαι τοὺς τῆς Ἐκκλησίας θησαυροὺς, τοῦτο οὐ συγχωροῦσι γίνεσθαι.

CCCXXV. — SERENO.

Magna me admiratio tenet, qui fiat, ut cum prius ii, qui divino sermone instituti erant, opes suas ad communem utilitatem proposuerint, nunc contra nonnulli ex sermonis magistris et interpretibus (neque enim omnes condemnare fas est) communes opes ad se avertere non vereantur. Itaque ob hujusmodi absurditatem hoc effecerunt, ut illi etiam, qui offerre consueverant, elanguerint. Nam cum Ecclesiæ thesauros in subditorum probitate animique candore reconditos esse oporteat, hoc ipsi fieri minime sinunt.

ΤΚϚ'. — ΤΩ ΑΥΤΩ.

Εἰ οἱ ἱερωμένοι, καὶ οἱ ὑπὲρ ὧν ἡ ἱερωσύνη τελεῖται ἐν τοῖς αὐτοῖς, τίς ἐξιλάσεται τὸ Θεῖον; Χρὴ τοίνυν ἐν μὲν ταῖς τῶν ἀρχομένων γνώμαις ἀποκεῖσθαι τοὺς τῶν πενήτων θησαυροὺς, τοὺς δ' ἱερωμέ- D νους τῇ ἱερουργίᾳ μόνῃ σχολάζειν, ἵνα δυνηθεῖεν εὐμενὲς τὸ Θεῖον ἑαυτοῖς τε καὶ τοῖς ὑπηκόοις καθιστᾷν. Εἰ δὲ θεώμενοι οἱ λαοὶ τοὺς τὴν ἱερωσύνης ἁγιστείαν κεκληρωμένους, πάντα τὰ βιωτικὰ μεταχειριζομένους, ἐξήμβλωσαν τὴν εὐλάβειαν, οὐκ ἔστιν αὐτοῖς τυσοῦτον μέμψασθαι, ὅσον ἐκείνοις τοῖς ἐμπόροις, καὶ παλιγκαπήλοις, καὶ πᾶσαν κινοῦσι πραγματείας ὁδὸν ἄδικον. Εἰ γὰρ τὰ καθ' ἑαυτοὺς οὗτοι διορθώσονται, ἐλπίς ἐστι καὶ τὰ τῶν λαῶν ἕψεσθαι.

CCCXXVI. — EIDEM.

Si ii, qui sacris ordinibus initiati sunt, et ii, pro quibus sacerdotii munus obitur, in iisdem rebus versantur, quisnam divinum Numen placabit? Quocirca opus est ut pauperum thesauri in subditorum animis et voluntate recondantur, sacerdotes autem sacrosancto duntaxat ministerio dent operam : ut Deum, tum sibi ipsis, tum subditis propitium reddant. Si vero populi eos, qui sacerdotii sanctitatem sortiti sunt, omnia ea, quæ ad hanc vitam pertinent, tractare atque administrare conspicientes, religiosam pietatem excusserunt, non tam ipsi accusandi sunt, quam negotiatores illi atque cauponcs, qui iniquam omnem et sceleratam quæstus faciendi rationem ineunt. Nam si ipsi mores suos correxerint, spes est plebem quoque secuturam esse.

VARIÆ LECTIONES ET NOTÆ.

ὧν μέντοι πρόχειρος ὁ πορισμὸς, τούτων ἡ κτῆσις εὐκαταφρόνητος. Xenophon *Pædia Cyri* : Ἐκεῖνο δεῖ καταμαθεῖν, ὅτι τοσούτῳ τἀγαθὰ μᾶλλον εὐφραίνει, ὅσῳ ἂν μᾶλλον προπονήσας τις ἐπ' αὐτὰ ἀπίοι. Ritt.

(47) Cod. Vat. 650 pro αὐτομάτως solum legit αὖ. Possin.

(48) Idem cod., κακίας. Id.

Digitized by Google

CCCXXVII. — STRATEGIO SCHOLASTICO.

Etsi Mosis legi innitens acceptam injuriam ulcisci constituisti, illud tamen scito fieri etiam posse, ut qui modum in ulciscendo excedit, injuriam inferat. Nam cum quispiam majores delictis cruciatus infert, rursum injuriæ auspex est. Ac proinde melius quidem atque consultius fuerit illatam injuriam minime referre, verum animi patientiam adhibere : non tamen ineptum atque absurdum, ut qui patientem animum præstare nesciat, mediocriter sese ulciscatur. Nam si id immodice fiat, eum, qui acceptam injuriam vindicat, ad illius, qui lacessivit gradum transmittit. Ac de his hactenus. Illud autem ne ignores, vir sapiens, legislatorem Mosem, effrenatum Judæorum impetum reprimentem (quo videlicet perpetiendi metu ab inferendis injuriis deterrerentur) hoc potius permisisse, quam sanxisse.

ΤΚΖ'. — ΣΤΡΑΤΗΓΙΩ ΣΧΟΛΑΣΤΙΚΩ.

Εἰ καὶ τῷ νόμῳ Μωϋσέως ἐπερειδόμενος, ἀμύνασθαι δ.έγνως· ἀλλ' ἴσθι ὅτι ἔστι καὶ ἀμέτρως ἀμυνόμενον ἀδικεῖν. Ὅταν γάρ τις μείζους τῶν πταισμάτων ἐπιφέρῃ τὰς τιμωρίας, δεύτερον ἄρχει πάλιν. Οὐκοῦν ἄμεινον μὲν τὸ μὴ ἀμύνασθαι, ἀλλὰ φιλοσοφεῖν· οὐκ ἀπίθανον (49) δὲ καὶ τὸ ἀμύνεσθαι μετρίως τὸν φιλοσοφεῖν μὴ ἐπιστάμενον. Τὸ γὰρ ἀμέτρως εἰς τὴν τοῦ ἐξ ἀρχῆς ἀδικοῦντος τάξιν παραπέμπει τὸν ἀμυνόμενον. Καὶ ταῦτα μὲν εἰς τοσοῦτον. Μὴ ἀγνόει δὲ, ὦ σοφὲ, ὡς ὁ νομοθέτης Μωσῆς προαναστέλλων τῶν Ἰουδαίων τὴν ἀκάθεκτον ὁρμὴν (ἵνα φόβῳ τοῦ παθεῖν μὴ δράσοιεν), τοῦτο συνεχώρησε μᾶλλον ἢ ἐθέσπισεν.

384 ### CCCXXVIII. — AETIO COMITI.

Qui iis, a quibus primum beneficio affecti sunt, etiamsi illi minime æqua petant, omnibus tamen in rebus obsecundare satagunt, meo judicio peccant, quamvis, dum iniquæ rei participes se præbent, culpam suam altero jure obvelare videantur, nempe quod iis, a quibus beneficium acceperint, gratiam rependant. At vero convenit ut qui beneficio affectus est, ita beneficium referat, ut in bonis atque honestis rebus eum, cujus beneficio usus est, remuneretur, non autem in malis operam ipsi navet. Hæc enim non remuneratio est, sed injustitia.

ΤΚΗ'. — ΑΕΤΙΩ ΚΟΜΗΤΙ.

Οἱ τοῖς ἐξ ἀρχῆς εὐεργετήσασιν εἰς ἅπαντα κατακολουθεῖν σπουδάζοντες, κἂν μὴ δίκαια ἐκεῖνοι αἰτοῖεν, ἁμαρτάνειν μοι δοκοῦσι· κἂν δοκῶσι κοινωνοῦντες οὐ δικαίῳ πράγματι, δικαίῳ ἑτέρῳ (50) περιστέλλειν τὴν μέμψιν, τῷ ἀμείβεσθαι τοὺς εὖ ποιήσαντας. Χρὴ δὲ τὸν εὖ παθόντα ἀντευποιεῖν ἐν καλοῖς ἀμειβόμενον, οὐκ ἐν κακοῖς συμπράττοντα. Αὕτη γὰρ οὐκ ἔστιν ἀμοιβὴ, ἀλλ' ἀδικία.

CCCXXIX. — MACHARIO PRESBYTERO.

In illud, « *Cantate Domino canticum novum* [18]. »

Quo tempore pestiferi dæmones una cum imperatore suo diabolo nihil in ordine manere permiserunt, verum omni iniquitatis ac rapacitatis genere se ingurgitantes, nec ullam contumeliæ suæ atque petulantiæ satietatem agnoscentes, mortales in malorum extremum compulerunt : tum vero, tum, inquam, ille omnium rex, et paternus sermo, quod et illorum tyrannidem odisset, et horum miseria commoveretur, humanam naturam subiens in acie stetit. Itaque tropæa partim jam statuebantur, partim erigebantur, partim in spe erant : atque barbaricum quidem dæmonum agmen una cum suo duce calamitates suas deplorabat : humana autem natura ad libertatem tanquam postliminio recurrebat. Eaque de causa Psalmistes iis, qui in libertatem asserti fuerant, ut canticum novum quod futurum erat cernebat.

ΤΚΘ'. — ΜΑΚΑΡΙΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Εἰς τὸ, « *Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν.* »

Ὅτε οἱ ἀλιτήριοι δαίμονες μετὰ τοῦ στρατηγοῦντος αὐτοῖς διαβόλου, οὐδὲν εἴασαν ἐν τάξει μένειν, ἀλλὰ πάσης ἀδικίας καὶ πλεονεξίας ἐμφορούμενοι, καὶ ὕβρεως κόρον οὐκ εἰδότες ἐπὶ τὸ ἔσχατον τῶν παθῶν (51) τοὺς ἀνθρώπους ἀπήλασαν· τότε δὴ τότε ὁ τῶν ἁπάντων βασιλεὺς, ὁ πατρῷος Λόγος, τῶν μὲν μισήσας τὴν τυραννίδα, τῶν δὲ οἰκτείρας τὰς συμφορὰς, ἀνθρωπείαν ὑποδὺς φύσιν, ἐπὶ τῆς παρατάξεως ἔστη. Τρόπαια τοιγαροῦν τὰ μὲν εἱστήκει, τὰ δὲ ἠγείρετο, τὰ δὲ ἦν (52) ἐν ἐλπίσι. Καὶ τὸ μὲν βάρβαρον τῶν δαιμόνων στίφος μετὰ τοῦ στρατηγοῦ τὰς συμφορὰς ἔστενεν· ἡ φύσις δὲ ἡ ἀνθρωπεία εἰς ἐλευθερίαν ἀνέτρεχε. Διὸ καὶ ὁ Μελῳδὸς ᾆσμα καινὸν ᾄδειν τοῖς ἐλευθερωθεῖσι παρεκελεύετο. Προφητικοῖς γὰρ ὀφθαλμοῖς ἐθεᾶτο τὸ μέλλον.

canerent, imperabat. Siquidem propheticis oculis

CCCXXX. — THEODOSIO EPISCOPO.

Per commiserationem ac mansuetudinem, vir sapientissime, calamitates eorum, qui in tentationes inciderunt, lenire admitere, atque ipsos leni ac

ΤΛ'. — ΘΕΟΔΟΣΙΩ ΕΠΙΣΚΟΠΩ.

Οἴκτῳ καὶ πραότητι, ὦ σοφώτατε, καταπραΰνειν πειρῶ τὰς τῶν πειρασμοῖς περιπεπτωκότων συμφορὰς, καὶ ἐκδιάζου αὐτοὺς λόγῳ ἡπίῳ πρὸς εὐθυμίαν,

[18] Psal. xcv, 1.

VARIÆ LECTIONES ET NOTÆ.

(49) Cod. Vat. 650, ἄτοπον. Possin.

(50) Pro δικαίῳ ἑτέρῳ idem cod. scribit uno verbo, δικαιοτέρῳ. Ip.

(51) Pro παθῶν idem cod. Vat. 650. legit, κακῶν. Ip.

(52) Ἦν abest a cod. Vat. 650. Vers. ult. pro τὸ μέλλον idem cod. habet τὰ μέλλοντα. Ip.

Digitized by Google

καὶ ἀναμόχλευε τὰς τῆς ἀθυμίας ῥίζας. Εἰ γὰρ γνοῖεν παρὰ σοῦ, ὅτι εἰ μὲν δικαίως ἐπήχθησαν, κουφισμὸν (53) τῶν πταισμάτων ἐργάζονται, εἰ δὲ συνεχωρήθησαν ἐπελθεῖν μηδὲν φαῦλον δράσασι, στεφάνους προξενοῦσιν· οὐ μόνον τὴν ἀθυμίαν ἐξοστρακιοῦσιν, ἀλλὰ καὶ θυμηδίας ἐμπλησθήσονται.

A suavi sermone ad hilaritatem trahe, mœrorisque radices evelle. Nam si hoc ex te intelligant, quod si juste invectæ sunt, delictorum levationem efficiunt; sin autem, cum nihil sceleris admisissent, oboriri permissæ sunt, coronas conciliabunt : non modo conceptum animo mœrorem profligabunt, verum etiam lætitia perfundentur.

ΤΛΑ'. — ΔΑΝΙΗΛ ΠΡΕΣΒΥΤΕΡΩ.

Ὅτι μὲν ὁ μακάριος Εὐστάθιος πρεσβύτερος τὰς μὲν τῶν αἰσχρῶν λημμάτων ἐπιθυμίας κατακράτος ἐχειρώσατο, ὅ τι δὲ ἦν καὶ ἀνδραγαθίας οἰκεῖον, εἰς τοῦτο ῥέπων ἐωρᾶτο, οὐδὲ ἡ σὴ ἄγνοεῖ σύνεσις. Ὅτι δὲ τούτου εἰς τὴν ἄνω σύγκλητον μεταπεμφθέντος, οἱ μὲν ἀνδραποδώδεις (ὧν εἷς ἐστι καὶ ὁ ἐναγὴς Εὐστάθιος ὁ διάκονος, οὗ ἐπὶ τῇ ὁμωνυμίᾳ κομιδῇ ἐκεῖνος, ὡς οἶσθα, ἤχθετο), ὡς τεθνεῶτος ἐχάρησαν· οἱ δὲ φιλάρετοι ἐλυπήθησαν τῆς αὐτοῦ συνουσίας στερηθέντες, τοῦτο παρ' ἐμοῦ μάνθανε.

CCCXXXI. — DANIELI PRESBYTERO.

Quod beatus presbyter Eustathius turpium quidem quæstuum cupiditates fregerit ac profligarit, quidquid autem ad probitatem attinebat, ad id propendere cernebatur, ne tua quidem prudentia ignorat. Quod autem, eo ad cœlitum concilium transmisso, servili animo homines (quorum in numero est impurus quoque diaconus Eustathius, qui cum idem sibi nomen esse permoleste ille, ut posti, ferebat) tanquam mortuo lætitiam conceperint, **385** virtutis autem amantes, ipsius consuetudine orbati mœrore affecti sunt, illud ex me disce.

B

ΤΛΒ'. — ΗΡΩΝΙ (54).

Περὶ τῆς ἀλλοιώσεως καὶ ἀποκαταστάσεως τοῦ Ναβουχοδονόσωρ.

Ὁπηνίκα τῶν Βαβυλωνίων ὁ βασιλεὺς πέρα τῆς ἀνθρωπίνης φύσεως καὶ φρονήσας, καὶ φράσας, καὶ πράξας ἐφωράθη, ἐξηλάθη μὲν τῆς τῶν ἀνθρώπων συνουσίας τε καὶ τιμῆς, τοῖς δὲ θηρίοις συνέστιος καὶ σύνοικος γέγονεν. Ὅτε δὲ τὴν προσήκουσαν ἔσχε περὶ τοῦ Θεοῦ δόξαν, τότε καὶ τὴν οἰκείαν δόξαν ἀπέλαβε. Τῆς γὰρ συμφορᾶς ὅρος ἦν ἡ τοῦ κρείττονος ἐπίγνωσις.

CCCXXXII. — HERONI.

De mutatione et restitutione in regnum Nabuchodonosoris.

Quando Babyloniorum rex supra humanæ naturæ modulum, et sensisse, et locutus fuisse, et egisse compertus est, ab hominum cœtu et honore submotus est, communemque cum bestiis mensam ac domum habuit. Posteaquam autem eam, quam conveniebat, de Deo sententiam tenuit, tunc etiam gloriam suam recepit. Quippe calamitatis terminus C erat præstantioris agnitio.

ΤΛΓ'. — ΜΑΡΤΙΝΙΑΝΩ, ΖΩΣΙΜΩ, ΜΑΡΩΝΙ, ΕΥΣΤΑΘΙΩ.

Πότερος ἆρα πότερον ἀδικεῖν ἤρξατο καὶ παρανομεῖν, οὐδεὶς ἔχει ῥᾳδίως λέγειν, οὕτως ἀντίπαλον τὴν κακίαν ἐπὶ κακῷ τῆς ἑαυτῶν κεφαλῆς ἔχετε. Ὥσπερ οὖν οὐ ῥᾴδιον τὸν κατάρξαντα καὶ τὸν ἀκολουθήσαντα εἰδέναι, οὕτως οὐδὲ τὸ καταπαῦσαι τὴν μανίαν ὑμῶν εὐχερὲς, ἀλλὰ καὶ πάνυ δύσκολον εἶναι νομίζουσι· τῷ ἕκαστον τὸν ἕτερον ἐν τῇ πονηρίᾳ ὑπερβάλλειν φιλοτιμεῖσθαι, οὐκ ἀγνοοῦντα (ἢ γὰρ ἂν ἴσως καὶ συνεγνώσθη), ἀλλ' ἐπιστάμενον μέν, ὑπὸ δὲ τῆς ἀνανταγωνίστου ἔχθρας εἰς τοῦτο τρεπόμενον.

CCCXXXIII. — MARTINIANO, ZOSIMO, MARONI, EUSTATHIO.

Quisnam tandem alterum lædere atque injuria afficere incepit, nemo facile dicere potest. Ita adversariam improbitatem in capitis vestri perniciem habetis. Quemadmodum igitur haud facile est, eum qui lacessivit, et eum qui secutus est, agnoscere : eodem modo furorem vestrum comprimere haudquaquam promum ac proclive, verum perquam difficile atque arduum esse homines existimant : propterea quod unusquisque alterum improbitate superare contendit, non ignorans (sic enim fortasse veniam consequeretur), verum id quidem cognitum atque compertum habens, cæterum ab insuperabili quadam D inimicitia ad hoc impulsus.

ΤΛΔ'. — ΙΣΧΥΡΙΩΝΙ ΠΡΕΣΒΥΤΕΡΩ.

Εἰς τὸ εἰρημένον ὑπὸ τοῦ Κυρίου πρὸς τὴν Σαμαρείτιδα, « Ἡμεῖς προσκυνοῦμεν ὃ οἴδαμεν (55). »

Μάλιστα μὲν οὐδ' ἀποκρίσεως ἐχρῆν τυχεῖν τοὺς

CCCXXXIV. — ISCHYRIONI PRESBYTERO.

In illud dictum a Domino ad Samaritanam, « Nos adoramus quod scimus [16].

Maxime quidem nec responsum eos consequi

[16] Joan. IV, 22.

VARIÆ LECTIONES ET NOTÆ.

(53) Post κουφισμὸν adde ἢ ἀφανισμόν ex cod. Vat. 650. Possin.

(54) Cod. Vat. 650 addit πρεσβυτέρῳ. Vers. 2 et 3 ep. hæc verba καὶ φράσας, absunt a codice Ib.

(55) Confer Augustinum serm. 176 de temp., et *De hæresibus*, cap. 54, et Photium, *Biblioth.* pag. 11; Theodoret. lib. IV. *De hæretic. fabul.*; Nicet. Choniatem lib. VII, *De vita Manuelis Comneni*, pag. 107. Ritt.

Digitized by Google

oportebat, qui Eunomio fidem adhibuerunt, homini opinione sua facundo atque arguto, sed qui dicere non dubitarit Filium ex adorantium numero esse, neque illud animadvertere potuerit, imo, ut quidem ipse reor, ob anticipatam opinionem ac dominandi libidinem noluerit hoc dicere, quod et verum est, et sapientes juxta ac stolidi animadvertunt, nempe quod ad Samaritanæ opinionem, quæ cum ipso tanquam cum Judæo colloquebatur, suamque religionem Judæorum religioni præferebat, ad hunc modum respondeat : « Nos adoramus quod scimus. » Constat enim eum inter eos, qui adorantur, recenseri. Sed tamen ne ab ipsis fastidii ac superbiæ accusemur, adversus eos velitans, his verbis utere : « Extrema sane stoliditate laboratis, huic homini fidem arrogantes, qui Patrem extra omnem comparationem esse tradere ausus est, divinumque Paulum rejecit, apud quem hæc verba habentur : « Non rapinam arbitratus est esse æqualem Deo [17]. » Illud enim *majus*, quod ad Filii extenuationem profertis, ex comparatione dictum est, non autem ex incomparabili præstantia. **386** Quamobrem si ex non ente, ut ipsi asseritis, factus est, de vestra quidem sententia majus illud non consistit. (Quænam enim comparatio est ejus qui sempiternus est, cum eo qui ex non ente factus sit?) Sin autem sine tempore ac perpessione ipsum factum fuisse, profecto eumdem paterna sempiternitate confitebimini : etiamsi perfectam et exactam consequi nequeatis, ob quam dictum sit, « Pater meus major me est [18]. » Neque enim doctrinæ, sed consolationis duntaxat causa hoc ad apostolos, qui tanquam confestim perituri, metu confecti ac pene exstincti erant, dictum est : quo nimirum bono animo essent, tanquam ipse ad eum, quem illi majorem existimabant, proficisceretur. Atque huic rei perspicuo argumento illud est, quod non in alio tempore, verum in sola ea nocte, in qua futurum erat ut traderetur, hoc dictum sit : in ea, inquam, nocte, in qua ad tantam humilitatem sermones suos conformavit, ut diceret : « An putatis quod non possum rogare Patrem meum, et exhibebit mihi duodecim legiones angelorum [19]? » Quid enim tanto numero opus erat, cum unus duntaxat, Ezechia regnum obtinente, centum octoginta quinque hominum millia necasset, ac Persicam potentiam concidisset [20]? Verum, ut dixi, ad ipsorum timiditatem et opinionem locutus est. Quocirca si veram hanc sententiam haud assequimini, atque interim tamen ab Anomœorum impietate absistere constituistis, illud vobis dicere licet, quod a quodam dum adversus eos dissereret allatum est, nempe quod et *majus* consistit, qua ratione genitor est : et æquale, quatenus Deus est, ejusdemque substantiæ.

Εὐνομίῳ πεισθέντας, ἀνθρώπῳ δεινῷ μὲν εἶναι οἰηθέντι, εἰπεῖν δὲ τολμήσαντι, ὅτι τῶν προσκυνούντων ἐστὶν ὁ Υἱὸς, καὶ μὴ δυνηθέντι ἐννοῆσαι, ἢ, ὡς ἔγωγε οἶμαι, μὴ βουληθέντι ὑπὸ προλήψεως καὶ φιλαρχίας εἰπεῖν τοῦθ' ὅπερ καὶ ἀληθές ἐστι, καὶ σοφοί τε καὶ ἀνόητοι ἐννοοῦσιν, ὅτι πρὸς τὴν ὑπόνοιαν τῆς Σαμαρείτιδος, τῆς ὡς Ἰουδαίῳ αὐτῷ διαλεγομένης, καὶ τὰ ἑαυτῆς τῶν Ἰουδαϊκῶν προκρινούσης, τὴν ἀπόκρισιν ταύτην πεποίηται, ὅτι « Ἡμεῖς προσκυνοῦμεν ὃ οἴδαμεν· » εὔδηλον γὰρ ὅτι τῶν προσκυνουμένων ἐστί. Πλὴν ἀλλ' ἵνα μὴ δόξωμεν ὑπεροψίας γραφὴν γράφεσθαι παρ' αὐτῶν, ἀκροβολιζόμενος πρὸς αὐτοὺς εἰπὲ, ὅτι Ἀδελτηρίαν ἐσχάτην νοσεῖτε, πεισθέντες ἀνθρώπῳ δογματίσαι τολμήσαντι, ἀσύγκριτον εἶναι τὸν Πατέρα, καὶ παραγραψαμένῳ τὸν θεσπέσιον Παῦλον εἰρηκότα· « Οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ. » Τὸ γὰρ *μεῖζον*, ὃ προφέρετε πρὸς ἐλάττωσιν τοῦ Υἱοῦ, ἐκ συγκρίσεως εἴρηται, καὶ οὐκ ἐκ τῆς ἀσυγκρίτου ὑπεροχῆς. Εἰ μὲν οὖν ἐξ οὐκ ὄντων, ὥς φατε, γέγονεν, οὐδὲ τὸ μεῖζον ἵσταται (56) καθ' ὑμᾶς. Ποία γὰρ σύγκρισις τοῦ ἀεὶ ὄντος πρὸς τὰ ἐκ μὴ ὄντων γεγονότα; Εἰ δὲ ἀχρόνως καὶ ἀπαθῶς γεγενῆσθαι αὐτὸν ἐκ τῆς πατρικῆς ἰδιότητος ὁμολογήσετε, κἂν μὴ δυνηθείητε τῆς ἀκριβοῦς ἐννοίας ἐφικέσθαι, ἧς ἕνεκεν εἴρηται, « Ὁ Πατήρ μου μείζων μού ἐστιν. » Οὐ γὰρ διδασκαλίας, ἀλλὰ παραμυθίας ἕνεκεν μόνης τοῦτο εἴρηται τοῖς ἀποστόλοις (57) τεθνηκόσι τῷ δέει, ὡς αὐτίκα μάλα ἀλλασσομένοις (58), ἵνα θαρρῶσιν, ὡς πρὸς τὸν δοκοῦντα αὐτοῖς μείζονα, πορευομένου αὐτοῦ. Καὶ τούτου ἀπόδειξις ἐναργὴς, τὸ μὴ ἐν ἄλλῳ καιρῷ, ἐν αὐτῇ δὲ τῇ νυκτὶ μόνῃ, ἐν ᾗ ἔμελλε παραδίδοσθαι, τοῦτο εἰρῆσθαι, ἐν ᾗ καὶ εἰς τοσαύτην ταπεινότητα ἐσχημάτισε τὰ λεγόμενα, ὡς εἰπεῖν, « Δοκεῖτε ὅτι οὐ δύναμαι παρακαλέσαι τὸν Πατέρα μου, καὶ δώσει μοι δώδεκα λεγεῶνας ἀγγέλων; » Τί γὰρ τοσούτων ἔδει, ἑνὸς ἐπὶ ἑξήκοντα χιλιάδας ἀνελόντος, καὶ τὴν Περσικὴν δύναμιν ἀποχειράντος; Ἀλλ' ὡς ἔφην, πρὸς τὴν δειλίαν αὐτῶν καὶ τὴν ὑπόνοιαν ἐφθέγξατο. Εἰ τοίνυν ταύτης (59) ἀληθοῦς ἐννοίας οὐκ ἐφικνεῖσθε, ἀφεστάναι δὲ τῆς τῶν Ἀνομοίων ἀσεβείας προῄρησθε, δύνασθε λέγειν, ὃ ἔφησέ τις πρὸς αὐτοὺς διαλεγόμενος, ὅτι καὶ τὸ *μεῖζον* ἵσταται, ᾗ γεννήτωρ, καὶ τὸ ἴσον καθ' ὃ Θεὸς καὶ ὁμοούσιος.

[17] Philipp. II, 6. [18] Joan. XIV, 28. [19] Matth. XXVI, 53. [20] IV Reg. XIX, 35.

VARIÆ LECTIONES ET NOTÆ.

(56) Pro ἵσταται cod. Vat. habet ἵστατο. Versu 3 pro πρὸς τὰ, legit idem, πρὸς τὸν ἐκ μή, etc. Vers. 5 pro κἂν habet καί. Possin.

(57) *Οὐ γὰρ διδασκαλίας..... τοῖς ἀποστόλοις.* Utilissima admonitio, non oportere ea quæ consolandi causa prolata sunt in sacris Litteris, ita accipere quasi δογματικῶς essent dicta. Similiter judicandum de iis quæ laudandi causa dicta sunt. Eadem est Joannis Chrysostomi observatio. Ritt.

(58) Cod. Vat., ἀλωσομένους. Ib.

(59) Post ταύτης idem cod. addit τῆς. Versu inde 2 pro πρὸς αὐτοὺς idem scribit πρὸς ὑμᾶς. Vers. ult. pro (κα' δ) cod. Vat. 650 sic habet, ᾗθ' ὁ, etc. Ib.

Digitized by Google

ΤΑΥ. — ΤΩ ΑΥΤΩ (60).

Εἰ πνευματικοῖς πνευματικὰ (δηλονότι ῥήματα καὶ ὀνόματα) συγκρίνειν ὁ θεσπέσιος ἐνομοθέτησε Παῦλος, προσήκει καὶ ἡμᾶς τῷ κανόνι τούτῳ πειθομένους, τὰς θείας βασανίζειν (61) Γραφάς. Πρῶτον τοιγαροῦν, τὸ μὴ δύνασθαι πῶς εἰρηται, σκοπητέον· καὶ οὕτως ἐπὶ τὴν λύσιν τοῦ ζητουμένου βαδιστέον. Ἄκουε τοίνυν πρῶτον τοῦ νομοθέτου Μωσέως. Δίκαιον γὰρ ἀπὸ μὲν τῆς Παλαιᾶς Διαθήκης θεμελιῶσαι τὸ νόημα· ἀπὸ δὲ τῆς Καινῆς στεφανῶσαι. Τί φησι τῷ λαῷ; « Οὐ δυνήσῃ τὸ Πάσχα ποιεῖν ἐν οὐδεμιᾷ τῶν πόλεών σου, ἀλλ' εἰς τὸν τόπον ὃν ἂν ἐκλέξηται Κύριος ὁ Θεός σου. » Τὸ, *οὐ δυνήσῃ*, ἀντὶ τοῦ, μὴ ἐξόντος, μηδὲ ἐγχωροῦντος, μηδὲ συγκεχωρημένου, μηδὲ ἐνδεχομένου (62) τεθειχώς. Ὅτι γὰρ ἠδύναντο ποιῆσαι τὸ Πάσχα καὶ ἐν ἄλλαις πόλεσι, δῆλόν ἐστι. Καὶ γὰρ καὶ νῦν ποιοῦσι μὲν, παρανομοῦντες δέ. Τί οὖν ἐστιν, « Οὐ δυνήσῃ; » Οὐκ ἔξεστί σοι, οὐ προσάξεις, οὐ ποιήσεις. Ὅτι δὲ ταύτῃ τῇ ἐννοίᾳ εἴρηται, ἄκουσον καὶ τῶν ἀποστόλων τῷ νομοθέτῃ ἀκολουθούντων καὶ φραζόντων· « Ἡμεῖς οὐ δυνάμεθα, ἃ ἠκούσαμεν καὶ εἴδομεν, μὴ λαλεῖν. » Τί οὖν; οὐκ ἠδύναντο σιγῆσαι; Πάνυ μὲν οὖν. Τί οὖν εἰπεῖν ἐβουλήθησαν; Οὐκ ἐνδέχεται, οὔτε πρέπει σιγῇ παραδοθῆναι τὰ ἀνακηρυχθῆναι λαμπρῶς καὶ σαφῶς ὀφείλοντα. Καὶ Ἰουδαῖοι δὲ ἔφασαν (σεμνὴ δὲ δήπουθεν καὶ ἡ τῶν ἐχθρῶν μαρτυρία)· Ὅτι γὰρ γνωστὸν σημεῖον γέγονε, φανερὸν, καὶ οὐ δυνάμεθα ἀρνεῖσθαι. Διὰ τοῦ μὴ δύνασθαι, τὸ μὴ ἐγχωροῦν μηνύοντες. Καὶ ὁ Ἀπόστολος δέ φησι περὶ τοῦ Θεοῦ καὶ Πατρός· « Ἐν οἷς ἀδύνατον ψεύσασθαι Θεόν. » Οὐκ ἀσθένειάν τινα κατηγορῶν τῆς παγκρατοῦς (63) δυνάμεως, ἀλλὰ μεγίστην ῥώμην, ὅτι ἀνεπίδεκτός ἐστι τοῦ ψεύδους ὁ τῆς ἀληθείας πατήρ. Καὶ ἀλλαχόσε δὲ ταύτην ὀχυρῶν τὴν ἔννοιαν ἔφη· « Ἐὰν ἀρνησώμεθα αὐτὸν, ἐκεῖνος πιστὸς μένει· ἀρνήσασθαι γὰρ ἑαυτὸν οὐ δύναται. » Καὶ τοῦτο γὰρ οὐκ ἀσθενείας ἐστὶν ἀπόδειξις, ἀλλ' ἀνυπερβλήτου ἰσχύος, ὅτι οὐκ ἐγχωρεῖ τὴν θείαν φύσιν ἑαυτὴν ἀρνήσασθαι. Εἰ δὲ καὶ αὐτοῦ τοῦ Σωτῆρος, οὗ τὴν λέξιν κακούργως ἑρμηνεύειν ἐπιχειροῦσιν οἱ αἱρετικοὶ, μαρτυρίαν χρὴ προσαγαγεῖν, ἄκουσον αὐτοῦ φράζοντος· « Οὐ δύνανται οἱ υἱοὶ τοῦ νυμφῶνος νηστεύειν, ἐφ' ὅσον μετ' αὐτῶν ἐστιν ὁ Νυμφίος. » Ἀντὶ τοῦ, οὐκ ἐγχωρεῖ, οὐ πρέπει, οὐ προσήκει, οὐκ ἐνδέχεται, οὐχ ἁρμόττει. Τούτων τοιγαροῦν οὕτως εἰρημένων, ὁ σκοπὸς ὁ σωτήριος δῆλός ἐστι. Τὸ γὰρ, « Οὐ δύναται ὁ Υἱὸς ποιεῖν ἀφ' ἑαυτοῦ οὐδὲν, » οὐκ ἀσθένειαν αὐτοῦ κατηγορεῖ, ἀλλὰ καὶ μεγίστην

A

CCCXXXV. — EIDEM.

Si spiritualibus spiritualia (verba scilicet et nomina) comparari præcepit divus Paulus [61], convenit sane ut nos quoque huic regulæ obtemperantes divinas Scripturas perpendamus. Primum igitur, quo sensu, non posse, dictum sit, considerandum est : atque ita demum ad quæstionis solutionem proficiscendum. Prius itaque legislatorem Mosem audi. Æquum est enim a Veteri quidem Testamento sententiam fundare : ac postea eamdem a Novo tanquam corona quadam ornare. Quidnam ergo ille ad plebem ait? « Non poteris Pascha facere in ulla ex urbibus tuis : præterquam in eo loco, quem elegerit Dominus Deus tuus [62]. » Hoc, *non poteris*, pro eodem positum est ac si dixisset : Non licet, non concessum ac permissum est. Nam quod in aliis etiam civitatibus Pascha celebrare possent, per-picue constat. Quid igitur est : Non poteris? Non tibi licet, non offeres, non facies. Quod autem hoc sensu dictumsit, audi etiam apostolos Legislatorem sequentes ac dicentes : « Nos non possumus, quæ audivimus et vidimus, non loqui [63]. » Quid ergo, Non poterant silere? Maxime vero. Quidnam igitur dicere voluerunt? **387** Non decet, nec fas est ea silentio tradere quæ clare atque aperte prædicari debent. Quin Judæi quoque dixerunt (grave autem scilicet est atque auctoritatis plenum illud testimonium quod ab hostibus ducitur) : Nam quod notum signum factum est, constat, nec possumus negare. Quo quidem in loco per non posse, non licere significarunt. Eodemque modo Apostolus de Deo et Patre ait : « In quibus impossibile est mentiri Deum [64]. » Quibus verbis non imbecillitatis cujusdam omnipotentem illam vim coarguit : verum contra summum ipsius robur indicat, quod ille veritatis pater mendacii minime capax sit. Atque alio rursum loco eamdem sententiam muniens, his verbis usus est : « Si negaverimus eum, ipse fidelis manet : negare enim seipsum non potest [65]. » Nam hic quoque non infirmitatis, sed singularis atque insuperabilis potentiæ argumentum est, quod fieri non potest ut divina natura seipsam inficietur. Quod si ipsius etiam Salvatoris (cujus dictum hæretici maligne ac veteratorie interpretari conantur) testimonium proferre oportet, audi ipsum loquentem : « Non possunt filii Sponsi jejunare, quandiu cum illis est Sponsus [66], » pro eo ac si dixisset : Non licet, non decet, non quadrat, non convenit. His igitur ad hunc modum expositis, quo tendat Salvator

B

C

D

[61] I Cor. II, 13. [62] Deut. XVI, 5, 6. [63] Act. IV, 20. [64] Hebr. VI, 18. [65] II Tim. II, 13. [66] Matth. IX, 15.

VARIÆ LECTIONES ET NOTÆ.

(60) Confer Theodoretum dialogo cui titulus, Ἀτρεπτος, et Greg. Naz.; item Chrysost. *in Joannem*. Rivet.

(61) Pro βασανίζειν cod. Vat. scribit, βαδίζειν, et vers. seq. pro βαδιστέος habet χωρητέος. Possin.

(62) Hæc verba μηδὲ ἐνδεχομένου ut subditicia præterminuntur a cod. Vat. 650, qui pro statim sequenti verbo τεθειχὼς ponit adverbium θετικῶν. Idem vers. post sexto, qui inter ἀποστόλων et τῷ inserit τῶν. Id.

(63) Pro παγκρατοῦς idem legit πανσθενοῦς. Versu inde tertio, omittit idem illa verba, ἀρνησώμεθα αὐτόν et vice illorum solum ponit ἀπιστήσωμεν. Vers. seq. post ἀρνήσασθαι omittit γάρ. Id.

Digitized by Google

perspicuum est. Illud enim : « Non potest Filius a se ipso facere quidquam [17], » non ipsius imbecillitatem prodit, verum maximum robur : quod videlicet in eum cadere nequeat ut aliquid, quod Patri adversetur, efficiat. Quoniam enim in suspicionem apud eos venerat, tanquam qui Deo adversarius esset, atque alienam gloriam usurparet, idcirco hæc verba habuit, tantum non ad hunc modum loquens : Ne me existimetis quidquam præter Patris sententiam ac voluntatem facere. Hoc enim minime contingere potest. Fieri nequit, ut ab illius scopo alienum quidquam faciam : fieri non potest, ut Patri repugnem et adverser. Quodque illud his verbis significet, cum ex his, quæ a nobis dicta sunt, constat, tum etiam ex eo liquet, quod valde submissum et humile verbum collocavit. Quid enim dixit? « Non potest Filius a seipso facere quidquam. » Nam si illud dixisset, se a seipso quædam efficere, quædam autem non a seipso, fortasse non absurdum esset existimare, propter imbecillitatem ipsum his verbis usum esse. Cum autem ipse se nihil facere posse dixerit, hoc ipsum eos etiam, qui sublime aliquid ac generosum animo complecti minime volunt, ad cogitationem Deo consentaneam ac divina illa essentia dignam prosilire cogit. Nihil a seipso facit? Atqui maximum illud facinus, et bonorum omnium caput, quod patriarchæ ardentibus verbis expetebant, prophetæ prædicabant, cœlitum agmina ad stuporem usque mirabantur, ipse fecit. Clamat hoc vas illud electionis, ille divinorum mysteriorum velut promus condus, **388** ille prædicationis antistes, his verbis utens : « Qui cum in forma Dei esset, non rapinam arbitratus est esse se æqualem Deo, sed semetipsum exinanivit, formam servi accipiens [28]. » Nihil a seipso facit? Atqui ipse disertis verbis clamat : « Et Filius quos vult vivificat [29]. » Nihil a seipso facit? Atqui centurionem, qui imperatoriam vim ac potentiam ipsi testimonio suo tribuerat, collaudavit, doctrinam videlicet hanc confirmans, ut quod dictum fuerat, non modo centurionis sententia, verum etiam ipsiusmet Salvatoris suffragio niti videretur. Atque item ad leprosum, qui ipsum quidem posse clara voce confessus fuerat, ut autem vellet aperte supplicarat, ac dixerat : « Si vis, potes me mundare, » perfectamque ipsi potentiam haud obscure attribuerat, ac velut consecrarat, sententiam ejus sua sententia confirmans, dixit : « Volo, mundare [30]. » Nihil a seipso facit? Atqui ad Chananæam his verbis usus est : « Fiat tibi sicut vis [31]. » Atque et ventum et mare increpuit [32], et cæcum illuminavit [33], et paralyticum astrinxit [34], et Lazarum excitavit [35]. Verum si cuncta ea, quæ Filii auctoritatem ac potentiam prædicant, in medium proferre conemur, ne, si

ῥώμην, ὅτι ἀνεπίδεκτός ἐστι τοῦ ἐναντίον τι τῷ Πατρὶ ποιεῖν. Ἐπειδὴ γὰρ ὑπωπτεύετο παρ' αὐτῶν ὡς ἀντίθεος, καὶ ἀλλοτρίαν σφετεριζόμενος δόξαν, τοῦτο ἔφη, μονονουχὶ φράζων (64)· Μὴ νομίζετέ με παρὰ γνώμην τι τοῦ Πατρὸς ποιεῖν, οὐ δύναται τοῦτο γενέσθαι. Οὐκ ἐνδέχεταί με παρὰ σκοπὸν αὐτοῦ πράττειν τι· οὐκ ἐγχωρεῖ ἐναντιωθῆναί με τῷ Πατρί. Καὶ ὅτι τοῦτο μηνύει, δῆλον μὲν καὶ ἀπὸ τῶν εἰρημένων, δῆλον δὲ καὶ ἀπὸ τοῦ ἄγαν ταπεινῶς τεθεικέναι τὸ ῥῆμα. Τί γὰρ ἔφη; « Οὐ δύναται ὁ Υἱὸς ποιεῖν ἀφ' ἑαυτοῦ οὐδέν. » Εἰ μὲν γὰρ εἶπεν, ὅτι τὰ μὲν ἀφ' ἑαυτοῦ ποιεῖ, τὰ δὲ οὐκ ἀφ' ἑαυτοῦ, τάχα ἂν οὐκ ἀπεικὸς ἦν ἐννοῆσαι ὅτι δι' ἀσθένειαν τοῦτο ἔφη. Εἰ δὲ οὐδὲν ἔφη δύνασθαι ποιεῖν, αὐτὸ τοῦτ' ἀναγκάζει καὶ τοὺς μὴ βουλομένους ὑψηλόν τι ἐννοῆσαι καὶ γενναῖον, εἰς ἔννοιαν ἀναπηδῆσαι θεοπρεπῆ καὶ τῆς θείας ἐκείνης οὐσίας ἀξίαν, λέγοντας· Οὐδὲν ἀφ' ἑαυτοῦ ποιεῖ; Καὶ μὴν τὸ μέγιστον κατόρθωμα, καὶ τῶν ἀγαθῶν ἁπάντων τὸ κεφάλαιον, ὃ πατριάρχαι μὲν ὠδινον, προφῆται δὲ προέλεγον, οἱ δ' οὐράνιοι δῆμοι ἐξεπλήττοντο, αὐτὸς πεποίηκε. Καὶ βοᾷ τὸ σκεῦος τῆς ἐκλογῆς ὁ τῶν θείων μυστηρίων ταμίας, ὁ τοῦ κηρύγματος μυσταγωγός, φράζων· « Ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβών. » Οὐδὲν ἀφ' ἑαυτοῦ ποιεῖ; Καὶ μὴν αὐτὸς διαῤῥήδην βοᾷ· « Καὶ ὁ Υἱός, οὓς θέλει, ζωοποιεῖ. » Οὐδὲν ἀφ' ἑαυτοῦ ποιεῖ; Καὶ μὴν τὸν μὲν ἑκατόνταρχον μαρτυρήσαντα αὐτῷ αὐτοκρατορικὴν δύναμίν τε καὶ ἐξουσίαν ἀνεκήρυξε, βεβαιῶν τὸ δόγμα, ἵνα μὴ μόνον τῆς τοῦ ἑκατοντάρχου γνώμης, ἀλλὰ καὶ τῆς αὐτοῦ τοῦ Σωτῆρος ψήφου, νομισθείη τὸ λεχθέν. Τῷ δὲ λεπρῷ τὸ μὲν δύνασθαι αὐτὸν λαμπρῶς ὁμολογήσαντι· ὑπὲρ δὲ τοῦ βούλεσθαι τὴν ἱκετηρίαν σαφῶς ποιησαμένῳ, καὶ φήσαντι, « Ἐὰν θέλῃς, δύνασαί με καθαρίσαι, » καὶ ἐντελῆ αὐτῷ ἐξουσίαν σαφῶς ἀφιερώσαντι, ἔφη, κυρῶν τὴν γνώμην τῇ ἀποφάσει· « Θέλω, καθαρίσθητι. » Οὐδὲν ἀφ' ἑαυτοῦ ποιεῖ; Καὶ μὴν τῇ Χαναναίᾳ ἔφη, « Γενηθήτω σοι ὡς θέλεις· » καὶ τῷ μὲν ἀνέμῳ ἐπετίμησε καὶ τῇ θαλάσσῃ· τὸν δὲ τυφλὸν ὠμμάτωσε· καὶ τὸν μὲν παράλυτον ἔσφιγξε· τὸν δὲ Λάζαρον ἤγειρεν. Ἀλλ' εἰ πάντα τὰ τὴν αὐθεντίαν τοῦ Υἱοῦ ἀνακηρύττοντα εἰς μέσον ἀγαγεῖν πειραθείημεν, οὐδ' εἰ παύσασθαι βουληθείημεν, ἴσως δυνηθείημεν. Διόπερ ταῦτα παρέντες ἀπὸ τῶν καθ' ἑαυτοὺς συλλογισώμεθα. Οὐδὲν ἀφ' ἑαυτοῦ ποιεῖ; Καὶ μὴν ἡμεῖς, ὧν οὐδὲν εὐτελέστερον γένοιτ' ἄν, πολλὰ οἴκοθεν πράττομεν, καὶ κακίαν φεύγομεν, καὶ ἀρετὴν διώκομεν. Εἰ δὲ μὴ ἀφ' ἑαυτῶν ὁρῶμεν, οὔτε δίκην ἁμαρτάνοντες δοῦναι δίκαιοι ἂν εἴημεν, οὔτε κατορθοῦντες στεφάνων ἀπολαῦσαι. Ὁρᾷς ὅτι ἡ ταπεινότης τοῦ ῥήματος, μεθ' ὑπερβολῆς τεθειμένη, καὶ τοὺς ἀγνώμονας πείθει μετ' εὐσεβοῦς

[17] Joan. v, 19. [28] Philipp. II, 6, 7. [29] Joan. v, 21. [30] Luc. v, 12, 13. [31] Matth. xv, 28. [32] Marc. IV, 39. [33] Joan. IX, 1 seqq. [34] Matth. IX, 2 seqq. [35] Joan. XI, 1 seqq.

VARIÆ LECTIONES ET NOTÆ.

(64) Φράζων cod. idem recte mutat in κράζων. Possin.

Digitized by Google

διανοίας καταδέξασθαι τὸ ὕψος τῶν λελεγμένων; Εἰ δὲ καὶ τὴν ἀντιδιαστολὴν βασανίσειας, εὑρήσεις αὐτὴν οὕτως εἰρημένην, ὡς παρ' ἡμῶν ἡρμηνεύθη. Οὔτε γὰρ εἶπεν, Οὐ δύναται ὁ Υἱὸς ποιεῖν ἀφ' ἑαυτοῦ οὐδὲν, ἐὰν μὴ λάβῃ τὸ δύνασθαι παρὰ τοῦ Πατρός. Τοῦτο γὰρ τῷ ὄντι, τῷ μὴ δύνασθαι ἀντιδιασταλῆναι ἐχρῆν (εἴγε ἀσθένειαν αὐτοῦ κατηγορεῖν ἔμελλε τὸ ῥηθέν)· ἀλλὰ τί; « Ἐὰν μήτι βλέπῃ τὸν Πατέρα ποιοῦντα. » Ὁρᾷς πῶς τὴν ἰσοτιμίαν καὶ τὸ ἰσοσθενὲς, καὶ τὸ ὁμοούσιον κηρύττει;

A cupiamus quidem, finem fortasse facere queamus. Quamobrem his prætermissis, a nostrismet ipsis rebus argumentum ducamus. Nihil a seipso facit? Atqui nos, quibus nihil vilius atque abjectius fingi potest, multa a nobis facimus, ac vitium fugimus, et virtutem consectamur. Quod si nihil a nobis ipsis facimus, nec cum peccamus, supplicio jure afficimur, nec cum virtute aliquid gerimus, coronas consequimur. Videsne quemadmodum vocabuli humilitas cum excessu posita, malignos etiam et præposteros homines adducat, ut eorum, quæ dicta sunt, sublimitatem pio sensu excipiant? Quod si etiam distinctionem ipsam expendas : eam ita, ut a nobis explanatum est, dictam esse comperies. Neque enim dixit : Non potest Filius a seipso facere quidquam, nisi potestatem a Patre acceperit (hoc enim revera impotentiæ per distinctionem adjungi oportebat, si hoc dictum imbecillitatem ipsius proditurum erat), verum quid? « Nisi quod viderit Patrem facientem. » Perspicisne quonam pacto honoris ac roboris æqualitatem, eamdemque substantiam prædicet?

ΤΑΣ'. — ΗΡΩΝΙ ΠΟΛΙΤΕΥΟΜΕΝΩ.

Τοῖς ἐν τῇ σκηνῇ, ὦ βέλτιστε, σπουδὴ μεγίστη, οὐ τὸ σωφρονίζειν πολλοὺς τοῖς σκώμμασιν, ὡς ἔφης, σαυτὸν, καὶ τοὺς ἀκούοντάς σου παραλογιζόμενος, ἀλλὰ τὸ πολλοὺς ἁμαρτάνειν. Ἐν γὰρ τῇ κακίᾳ τῶν θεατῶν τὴν εὐημερίαν ἔχουσιν, ὥστε εἰ ἐκεῖνοι βελτίους γένοιντο, τούτοις ἂν ἀπόλοιτο ἡ τέχνη. Οὔτε οὖν ἔλοιντο ἐπανορθῶσαι τοὺς πταίοντας, καὶ βουληθεῖσιν, οὐχ οἷόν τε. Πέφυκε γὰρ αὐτοῖς ἐπὶ τὸ βλάπτειν ἡ μίμησις.

CCCXXXVI. — HERONI REMPUBLICAM GERENTI.

Scenicis, vir optime, summum hoc studium est, non ut per ipsorum cavillos multi meliores reddantur (quemadmodum ipse dixisti, teipsum, et eos, qui te audiunt, decipiens), verum ut multi peccent. Etenim in spectatorum improbitate felicitatem suam constitutam habent. Ita fit, ut si illi meliores efficiantur, sua his ars peritura sit. **389** Quamobrem nec unquam eos, qui delinquunt, corrigere in animum induxerint, nec, si velint, id possint. Mimica enim eorum ars natura tantummodo ad nocendum comparata est.

ΤΑΖ'. — ΘΕΟΔΟΣΙΩ ΕΠΙΣΚΟΠΩ.

Ὥσπερ ἄριστος ἰατρὸς τέχνῃ πρὸς συμμαχίαν τῆς ἀῤῥωστούσης φύσεως ὡπλισμένος, ὅταν πολύτροποι (65) νοσημάτων ἰδέαι τὸ σῶμα πολιορκῶσι, πρὸς τὸ κατεπεῖγον ἱστάμενος (ὁ γὰρ ἐξὸν σῶσαι, περιορῶν, τῆς ἀπωλείας δηλονότι αἴτιος) τὰ ἀναβολὴν καὶ ὑπέρθεσιν ἐπιδεχόμενα τηρεῖ δεύτερα, ἵνα μὴ ταῦτα δόξας νενικηκέναι, ὑπ' ἐκείνου λάθῃ νικώμενος τοῦ καὶ τὴν δόξασαν γεγενῆσθαι νίκην εἰς ἧτταν περιτρέποντος· οὕτω καὶ αὐτὸς, τῇ συνέσει τὴν τῆς θεραπείας τῶν ψυχῶν ἐπιστήμην κεράσας, πρὸς τὸ κατεπεῖγον βλέψον. Ἐκείνου γὰρ ἰαθέντος ἐλπὶς καὶ τὰ λοιπὰ συνιαθήσεσθαι.

CCCXXXVII. — THEODOSIO EPISCOPO.

C Quemadmodum optimus medicus ad ægrotantis naturæ subsidium arte instructus et armatus, cum variis morborum generibus corpus obsidetur, adversus eum, qui acrius urget in procinctu stans (qui enim cum salutem afferre liceat, id facere negligit, interitus scilicet causa est) eos, qui moram ac dilationem admittunt, in posterius servat, ne alioqui, dum hos vicisse sibi videtur, ab illo, qui etiam victoriam eam, quæ exstitisse videbatur, in cladem convertit, imprudens superetur : eodem modo tu quoque mandatarum animarum scientiam prudentia temperans, ad id, quod amplius urget, oculorum aciem intende. Nam eo sanato, spes est fore ut reliqua etiam sanentur.

ΤΑΗ'. — ΩΡΙΩΝΙ.

Αἱ μὲν τοῦ σώματος ἡδοναὶ στωμύλαι (66) εἰσὶ, καὶ δειναὶ γοητεῦσαι, καὶ τὸν λογισμὸν τῆς ἡγεμονίας ἐκβάλλειν, καὶ πάντα ἄνω καὶ κάτω ποιεῖν. Ἀλλ' εἰ ὁ θυμὸς τῷ λογισμῷ συμμαχήσειε, καὶ καθάπερ ὑπασπιστὴς βασιλεῖ ὑπακούσειε, ῥᾳδίως ἐκεῖναι καταγωνισθήσονται. Δικαίας γὰρ ὀργῆς κατ' αὐτῶν κινηθείσης οὐχ ὑποστήσονται τὴν ἀπειλὴν,

CCCXXXVIII. — ORIONI.

D Corporis quidem voluptates lepidæ sunt, eamque vim habent ut hominem velut præstigiis quibusdam illiciant, ac rationem e principatu exturbent, atque omnia sursum et deorsum misceant. At si ira rationi suppetias ferat, ac tanquam stipator regi obedientem se præbeat, facili negotio illæ opprimentur. Justa enim ira adversus eas excitata, minas haud

VARIÆ LECTIONES ET NOTÆ.

(65) Πολύτροποι ad eodem. cod. mutatur in πολυτρόπων. Vers. 4 et 5 tollit idem signa parenthesis. Possin.

(66) Cod. Vat. 650, αἰμύλαι. Versu epist. penult. παρεσκευάσατο pro παρεκελεύσατο legit. Id.

Digitized by Google

quaquam sustinebunt : verum irrito conatu abibunt, victoriam rationi, quæ victrix esse debet, concedentes. Atque hoc est quod Psaltes quidem monuit, tu autem intelligere cupis : « Irascimini, et nolite peccare [36]. »

A ἀλλὰ φροῦδοι οἰχήσονται, τὸ νικᾷν, τῷ νικᾷν ὀφείλοντι λογισμῷ ἐπιτρέψασαι. Καὶ τοῦτ' ἔστιν ὅπερ ὁ Μελῳδὸς μὲν παρεκελεύσατο, σὺ δὲ μαθεῖν ἠθέλησας· « Ὀργίζεσθε, καὶ μὴ ἁμαρτάνετε. »

CCCXXXIX. — NEMESSIANO SCHOLASTICO.

Quemadmodum gentiles et Judæos, et si qui sunt qui eorum dogmata consectentur, impios et vecordes esse statuo, quod prophetas nihil de Salvatore locutos esse pronuntient : eodem modo eos, qui universum Vetus Testamentum ad ipsum transferre conantur culpa minime carere sentio, ut qui in ea pugna, quam adversum nos ineunt, adversarios adjuvent. Nam dum quæ de ipso non sunt dicta ad ipsum velut obtorto naso trahere ab ipsis convincuntur, eorum etiam in his, quæ vere ac disertis verbis de eo dicta sunt, suspicionem pariunt. Atqui non ita facere convenit : verum ea quidem, quæ ad eum aperte spectant, dicere ; quæ autem de aliis rebus, ea de his rebus, de quibus dicta sunt, dicta esse sinere. Nam hæc demum veritatis ac demonstrationis regula est. Qui autem ea, quæ ad eum minime attinent, proferunt, hoc efficiunt, ut ea etiam, quæ ipsi conveniunt, evertantur.

ΤΛΘ'. — ΝΕΜΕΣΣΙΑΝΩ ΣΧΟΛΑΣΤΙΚΩ.

Ὥσπερ Ἕλληνας, καὶ Ἰουδαίους, καὶ εἴ τινες τὰ ἐκείνων ἐζήλωσαν, ἀσεβεῖς τε καὶ ἀνοήτους (67) ὁρίζομαι, ἀποφαινομένους μηδὲν περὶ τοῦ Σωτῆρος τοὺς προφήτας εἰρηκέναι· οὕτως τοὺς πᾶσαν τὴν Παλαιὰν εἰς αὐτὸν μεταφέρειν πειρωμένους, οὐκ ἔξω αἰτίας τίθημι, ἅτε δὴ ἐν τῇ καθ' ἡμῶν μάχῃ τρόπον τινὰ τοῖς διαδίκοις συμπράττοντας. Τῷ γὰρ ἐλέγχεσθαι παρ' ἐκείνων περὶ αὐτοῦ μὴ εἰρημένα εἰς B αὐτὸν ἕλκειν ἐκβιαζόμενοι, τούτων κἀν τοῖς περὶ αὐτοῦ ἀληθῶς καὶ διαῤῥήδην εἰρημένοις, ὑπόνοιαν τίκτουσι. Χρὴ δ' οὐχ οὕτως, ἀλλὰ τὰ μὲν εἰς αὐτὸν εἰρημένα, σαφῶς λέγειν, τὰ δὲ περὶ ἄλλων πραγμάτων ἐξὸν περὶ ἐκείνων εἰρῆσθαι, περὶ ὧν εἴρηται. Οὗτος γὰρ καὶ ἀληθείας καὶ ἀποδείξεως ὅρος. Οἱ δὲ τὰ μὴ προσήκοντα προφέροντες, καὶ τὰ προσήκοντα ἀνατρέπεσθαι παρασκευάζουσι.

CCCXL. — ZOSIMO PRESBYTERO.

Vir quidam disertus, atque et moribus integer, et vita splendidus (nam quod etiam **390** ipse luculenta dignitate ornatus sit, præteribo : umbra enim hoc est et insomnium), me convenit, illudque narravit se ad venerandum quidem altare accessisse, C ut divina mysteria perciperet : at ubi te, hominem, ætate quidem senem, dignitate autem presbyterum, libidine autem vigentem, atque omnes, quorum impudicitia hominum sermone celebratur, superantem, illic astare conspexit, pedem retulisse ; quod scilicet indignam rem esse duxisset, sacrosancta mysteria per impuram ac scelestam manum suscipere. Ego vero his auditis quantum animo vulnus acceperim, dicere prætermittam : quibus autem verbis eum gravissime reprehenderim, exponam. Nullo, inquam, detrimento, vir sapientissime, is, qui suscipit, afficitur, etiam si is qui tribuit indignus esse videatur; neque incontaminata mysteria conspurcantur, etiamsi sacerdos omnes mortales improbitate superet. Quod si mihi diffidis, corvum cogita, impurum, inquam, illud atque in pullos suos crudele animal, cujus opera ille in cœlum excurrens ac cœli civis Elias alebatur [37]. Atque alia insuper multa dixi, quæ duplici de causa ad te scribere recusavi : altera, ne supervacaneam prolixitatem epistolæ adderem ; altera, ne tua vitia nimium exaggerare videar. Quemadmodum igitur illi succensui, sic etiam te moneo ut aut resipiscas, aut a venerando altari absredas ; ne alioqui eos, qui ad ipsum accedere instituunt, per tuas actiones submoveas.

ΤΜ'. — ΖΩΣΙΜΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Ἀνὴρ ἐλλόγιμος καὶ ὀρθὸς μὲν τὸν τρόπον, λαμπρὸς δὲ τὸν βίον (τὸ γὰρ καὶ ἀξιώματι αὐτὸν λαμπρῷ κεκοσμῆσθαι, παρήσω· σκιὰ γὰρ τοῦτο καὶ ὄναρ), ἐντυχὼν ἡμῖν ἀπήγγειλεν, ὅτι προσῆλθε μὲν τῷ σεπτῷ θυσιαστηρίῳ τῶν θείων μυστηρίων μεταλη- ψόμενος· θεασάμενος δέ σε αὐτῷ παρεστῶτα, ἄνθρωπον πρεσβύτην μὲν τὴν ἡλικίαν, πρεσβύτερον δὲ τὴν ἀξίαν, ἀκμάζοντα δὲ τῇ λαγνείᾳ, καὶ πάντας τοὺς ἐπ' ἀσελγείᾳ βεβοημένους ὑπερακοντίσαντα, εἰς τοὐπίσω κεχώρηκε, μὴ ἀξιώσας τὰ ἱερὰ μυστήρια διὰ μιαρᾶς χειρὸς δέξασθαι. Ἐγὼ δ' ὅπως μὲν ἐπλήγην τὴν ψυχὴν ταῦτα ἀκούσας, παρήσω· ἃ δ' ἐκεῖνον κατακράτος ἐμεμψάμην, λέξω. Οὐδὲν, ἔφην, ὦ σοφώτατε, παραβλάπτεται ὁ δεχόμενος, εἰ καὶ ὁ διδοὺς ἀνάξιος εἶναι δοκοίη, οὐδὲ τὰ ἄχραντα χραίνεται μυστήρια, εἰ ὁ ἱερεὺς πάντας ἀνθρώπους εἰς κακίαν παρελάσειεν. Εἰ δ' ἀπιστεῖς, ἐννόει τὸν κόρακα, τὸ ἀκάθαρτον καὶ μισότεκνον ζῶον, δι' οὗ ὁ οὐρανοδρόμος καὶ οὐρανοπολίτης Ἠλίας ἐτρέφετο. D Καὶ ἄλλα δὲ πολλὰ ἔφην, ἅπερ γράψαι σοι δυεῖν ἕνεκεν παρῃτησάμην, τοῦ τε μὴ μῆκος περιττὸν τῇ ἐπιστολῇ προσθεῖναι, τοῦ τε μὴ δόξαι λίαν τὰ σὰ ἐκτραγῳδεῖν κακά. Ὥσπερ τοίνυν ἐκείνῳ ἐμεμψάμην, οὕτω καὶ σοὶ παραινῶ, ἢ μεταγνῶναι, ἢ ἀποστῆναι τοῦ σεπτοῦ θυσιαστηρίου, ἵνα μὴ τοὺς προσιέναι αὐτῷ προῃρημένους διὰ τῶν σαυτοῦ πράξεων ἀπελαύνοις.

[36] Psal. IV, 5. [37] III Reg. XVII, 4.

VARIÆ LECTIONES ET NOTÆ

(67) Idem cod., ἀνόμους. ID.

Digitized by Google

ΤΜΑ'. — ΠΑΥΛΩ. A

Εἰς τὸ γεγραμμένον « Οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος. »

Ἐπειδὴ Ἑβραῖοι τεσσαράκοντα ἔτη τῷ μάννα τρεφόμενοι, οὐκ ἀξιοπίστῳ, ὅσον κατ' ἀνθρώπινον λογισμὸν, πρὸς ἰσχὺν σωμάτων τυγχάνοντι, διέμενον ἐπὶ τῆς ἴσης ἀλκῆς τε καὶ ῥώμης, ἴσως δὲ καὶ μείζονος ἀπέλαυον δυνάμεως (οὐ γὰρ ἡ τροφὴ, ἀλλ' ὁ θεῖος ὅρος διεκράτει καὶ τὰς ψυχὰς καὶ τὰ σώματα), ἔφη ὁ νομοθέτης, ὅπερ μαθεῖν [ἦ] ἐθέλησας (68)· « Οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ' ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος Θεοῦ. » Ὅπερ καὶ ὁ Χριστὸς διακρουόμενος τὸ διαβολικὸν μηχάνημα, προεβάλλετο, καὶ κατέσεισε τοῦ πειράζοντος τὴν ἰσχύν.

CCCXLII. — PAULO.

In illud, « Non in solo pane vivit homo [38]. »

Quoniam Hebræi, cum quadraginta annorum spatio manna alerentur (quod, si humanam rationem spectes, ad robur corporibus afferendum parum idoneum erat), in eadem fortitudine ac robore perstabant, ac fortasse majorem etiam vim consequebantur (non enim alimonia, sed divinum decretum animas et corpora conservabat), idcirco, id quod tibi exponi quæsisti, legislator dixit : « Non in solo pane vivit homo, sed in omni verbo quod procedit de ore Dei. » Quod etiam Christus, diabolicam machinam propulsans, opposuit : atque hac ratione tentatoris vires concussit ac perfregit.

ΤΜΒ'. — ΘΕΩΝΙ. B

Περὶ Ἀρειανῶν καὶ Εὐνομιανῶν.

Λανθάνουσιν αἱρετικοὶ δι' ὧν κατασκευάζουσι, διὰ τούτων ἁλισκόμενοι, καὶ δι' ὧν νικᾷν οἴονται, διὰ τούτων λαμπρῶς ἡττώμενοι. Εἰ γὰρ κτίσμα ἐστὶν ὁ Υἱὸς, οὐδὲ τὸ μεῖζον κατ' αὐτοὺς ἵσταται. Τὸ γὰρ μεῖζον λέγεται ἐκ συγκρίσεως, καὶ οὐκ ἐκ τῆς ἀσυγκρίτου ὑπεροχῆς. Ποίαν οὖν σύγκρισιν ἔχει τὸ κτίσμα πρὸς τὸν Κτίστην; λεγέτωσαν οἱ σοφοί.

CCCXLII. — THEONI.

De Arianis et Eunomianis.

Non animadvertunt hæretici per ea ipsa, quæ astruunt, se irretiri, ac per ea ipsa perspicue vinci, per quæ se vincere arbitrantur. Nam si creatum quiddam est Filius, ne majus quidem de eorum sententia stat. Majus enim ex comparatione dicitur, non autem ex incomparabili præcellentia. Quamnam igitur id quod creatum est, cum Creatore comparationem habeat, sapientes et eruditi homines velim exponant.

ΤΜΓ'. — ΠΕΤΡΩ.

Οὐ μικρὸν συνετὸς ἀκροατὴς, ὁ μὴ μόνον θαύματι διακόπτων τοῦ λόγου τὸν δρόμον, ἀλλὰ καὶ ἐπινοῶν τὰ δυσθεώρητα, καί τι παρ' ἑαυτοῦ εἰσφέρειν δυνάμενος. Ὅτι δὲ οὐ μικρὸν, μετὰ τῶν ἄλλων τῶν μεγάλων καὶ ἐξαιρέτων ὧν ἠπείλησεν ὁ Θεὸς ἀπὸ τῆς Ἱερουσαλὴμ παραιρεῖσθαι (69), καὶ τὸν συνετὸν ἀκροατὴν ἐνέταξεν· οὐκ ἂν τοῦτο φήσας, εἰ μηδὲν μέγα συνετέλει. Διὸ καὶ ὁ Παροιμιαστὴς ἔφη, « Οὖς ἀκροατοῦ, ἐπιθυμία σοφοῦ. » Οὐ γὰρ πολλοὺς πόνους, οὐθ' ἱδρῶτας αὐτῷ παρέχει, ἀλλ' ἀφορμὰς μόνον καὶ σπέρματα ἀπαιτεῖ. Πρὸς γὰρ τὴν γεωργίαν ἡ σύνεσις ἀρκεῖ.

391 CCCXLIII. — PETRO.

Non parvi momenti res est acutus et sagax auditor, qui non tantum ob admirationem orationis cursum interrumpit, verum etiam ea quæ arduæ contemplationis sunt, excogitat, atque a seipso aliquid erogare potest. Quodque non parvi momenti sit, hinc constat quod Deus una cum magnis aliis et eximiis rebus, quæ se Hierosolymitanæ urbi detracturum minabatur, prudentem quoque ac sagacem auditorem adjunxit. Quod profecto non dixisset, si nihil magni ipse conferret. Eaque de causa Parœmiastes his verbis usus est : « Auris auditoris, desiderium est sapientis [39]. » Neque enim multos labores ac sudores ipsi exhibet, verum argumenta duntaxat ac semina requirit. Siquidem ad cultum ac segetem ingenii sagacitas sufficit.

ΤΜΔ'. — ΙΕΡΑΚΙ ΛΑΜΠΡΟΤΑΤΩ.

Ἴσθι, ὦ καθαρότητος τέμενος, ὡς ἅδῃ κατὰ πᾶσαν τὴν πόλιν· παράδοξον γὰρ ἔργον ἀνύσας (70), παραδοξότερον αὐτὸ πεποίηκας τῷ τάχει. Ἦν μὲν γὰρ καὶ αὐτὸ καθ' ἑαυτὸ μέγα, τὸ δὲ τάχος μεῖζον, μᾶλλον δὲ μέγιστον αὐτὸ ἔδειξε, κοσμῆσαν τὴν χάριν καὶ χαριεστέραν πεποιηκός. Διάλαμπε τοίνυν ἐν τοῖς τοιούτοις κατορθώμασι. Πρέπει γάρ σοι.

CCCXLIV. — HIERACI CLARISSIMO.

Hoc scias velim, o pietatis delubrum, te tota urbe celebrari. Nam cum admirabile opus confeceris, admirabilius illud per celeritatem effecisti. Erat enim id quidem per se quoque magnum : at celeritas majus ipsum, imo maximum reddidit, qua beneficium ornatum est, gratiusque ac iucundius effectum. Quamobrem in hujusmodi virtutibus fac eluceas. Id enim te dignum est.

ΤΜΕ'. — ΑΡΠΟΚΡΑ ΣΟΦΙΣΤΗ.

Περὶ τῆς δυνάμεως τοῦ θείου κηρύγματος.

Εἰ ἀγχίνοια ἀνθρώπου τῆς τῶν γραμμάτων εἰδή-

CCCXLV. — ARPOCRÆ SOPHISTÆ.

De virtute divinæ prædicationis.

Si humani ingenii acrimonia, litterarum scientiæ

[38] Matth. IV, 4. [39] Eccli. XXV, 12.

VARIÆ LECTIONES ET NOTÆ

(68) Pro ἐθέλησας cod. Vat. 650 scribit ἐζήτησας, et præcedens ἦ tollit. Possin.

(69) Idem cod., παραινεῖσθαι. Id.

(70) Hæc, παράδοξον.... ἀνύσας, omittebat ed. Paris.; adduntur ex cod. Vatic. 650. Edit.

Digitized by Google

antefertur, quid mirum si apostoli, qui indocti atque illitterati erant, divina sapientia impleti, dialecticos etiam et oratores superarunt ? Nam si eum quidem qui legit, interpretationem ignorare verisimile est, eum vero qui litterarum notas ignorat, eorum quæ scripta sunt mentem tenere impossibile est. Verum persæpe usu venit ut qui legit, sensum nesciat : qui autem audit, si modo majori acumine sit et ingenii acrimonia præstet, eum intelligat, etiamsi alioqui litterarum notas minime cognitas habeat. Nam qui ob elementorum ignorationem ea, quæ litteris consignata sunt, percipere nequit, hujus sæpenumero, dum alii legunt, ingenium viget. Quocirca cum mentis acumen scientiam superet, quid afferri potest, quin divina sapientia sermonum artificium vincat?

A σεως προκρίνεται, τί θαυμαστὸν εἰ οἱ Ἀπόστολοι, ἰδιῶται ὄντες καὶ ἀγράμματοι τῆς θείας ἐμπεπλησμένοι σοφίας, καὶ τῶν διαλεκτικῶν, καὶ τῶν ῥητόρων ἐκράτησαν; Εἰ γὰρ τὸν μὲν ἀναγινώσκοντα μὴ εἰδέναι τὴν ἑρμηνείαν εἰκὸς, τὸν δ' ἀγνοοῦντα τῶν γραμμάτων τοὺς χαρακτῆρας τὸν νοῦν ἐπίστασθαι τῶν γεγραμμένων ἀδύνατον. Ἀλλ' ἔστι πολλάκις τὸν μὲν ἀναγινώσκοντα μὴ εἰδέναι τὸν νοῦν (71), τὸν δ' ἀκούοντα ὀξύτερον ὄντα καὶ συνέσει διαφέροντα εἰδέναι, καίτοι τῶν γραμμάτων μὴ ἐπιστάμενον τοὺς χαρακτῆρας. Ὧ γὰρ ἀδύνατος ἡ κατάληψις τῶν ἐγκειμένων διὰ τὴν ἄγνοιαν τῶν στοιχείων, τούτῳ ἡ σύνεσις ἁκμάζει πολλάκις, ἄλλων ἀναγινωσκόντων. Εἰ τοίνυν ἀγχίνοια τῆς ἐπιστήμης κρατεῖ, πῶς οὐ θεία σοφία, λόγων τέχνης περιέσται;

CCCXLVI. — LAMPETIO EPISCOPO. *De altari.*

Quandoquidem inexpugnabilis atque omni contradictione major ea oratio est, cui adversarii assentiuntur, idcirco ad quamque nationem ex iis quæ apud eam moribus recepta sunt, disserendum est. Quod etiam ille sensorum Christi dispensator Paulus faciebat, apud Judæos quidem de Scripturis disputans, apud Athenienses autem ab ara. Idcirco dicebat : « Factus sum legem non habentibus tanquam legem non habens [40]. » Perinde enim ac si **392** de lege nihil audiisset, ab ara monendi materiam arripiebat, non quod aram plus auctoritatis quam Scripturas habere judicaret, sed ut eos, qui nullam ipsis fidem arrogabant, ab ipsorummet dogmatibus subigeret.

B

ΤΜϚ'. — ΛΑΜΠΕΤΙΩ ΕΠΙΣΚΟΠΩ. *Περὶ τοῦ βωμοῦ.*

Ἐπειδὴ ἄμαχος καὶ ἀνατίῤῥητος πᾶς λόγος παρὰ τῶν ἐναντίων συνομολογούμενος, ἑκάστῳ ἔθνει ἀπὸ τῶν παρ' αὐτοῖς νενομισμένων διαλεκτέον, ὅ καὶ [ὁ] τῶν [τοῦ] Χριστοῦ νοημάτων ταμίας ἐποίει Παῦλος, Ἰουδαίοις μὲν ἀπὸ τῶν Γραφῶν διαλεγόμενος, Ἀθηναίοις δὲ ἀπὸ τοῦ βωμοῦ. Διὸ καὶ ἔφη, « Ἐγενόμην τοῖς ἀνόμοις, ὡς ἄνομος. » Ὡς γὰρ ἀνήκοος ὢν τοῦ νόμου, ἀπὸ τοῦ βωμοῦ τὴν παραίνεσιν ἐποιεῖτο, οὐ τὸν βωμὸν ἀξιοπιστότερον τῶν Γραφῶν ἡγούμενος, ἀλλὰ τοὺς ἀπιστοῦντας αὐταῖς, ἀπὸ τῶν οἰκείων χειρούμενος δογμάτων.

CCCXLVII. — PAULO TRIBUNO.

Vetus sermo, ac lex omnium hominum judicio recta et laudanda, hoc præscribit, ut ne quis lapsis insultet, nec jacentes trucidet, verum tanquam supplices misereatur, captisque manum porrigat. Audio autem feras etiam, quibus plus animi inest, id quidem, quod obluctatur, ulcisci : quod autem fractum et debilitatum est, misericordia prosequi solere. Cum igitur, et apud homines, et apud feras inimicitiæ ac belli certi limites sint quos transilire minime oporteat, ne tu quoque committas, ut iis qui victi sunt, irascaris, nec eos qui humi prostrati sunt tanquam hostes premas.

C

ΤΜΖ.' — ΠΑΥΛΩ ΤΡΙΒΟΥΝΩ.

Παλαιὸς λόγος (72) διαγορεύει, καὶ θεσμὸς εὖ ἔχειν ἅπασιν ἀνθρώποις δόξας, μὴ ἐπεμβαίνειν τοῖς πεπτωκόσι, μηδὲ κατασφάττειν τοὺς κειμένους, ἀλλ' αἰδεῖσθαι ὡς ἱκέτας, καὶ χεῖρα ὀρέγειν τοῖς ἑαλωκόσιν. Ἀκούω δὲ ὅτι τὰ θηρία, οἷς μέτεστι φρονήματος, τὸ μὲν ἀνθεστηκὸς ἀμύνεται· τὸ δὲ ἀπειρηκὸς αἰδεῖται. Εἰ τοίνυν καὶ παρὰ ἀνθρώποις, καὶ παρὰ θηρσὶν εἰσὶν ἔχθρας καὶ πολέμου ὅροι, οὓς οὐ χρὴ ὑπερβαίνειν· μηδὲ αὐτὸς ὀργίζου τοῖς ἡττημένοις, μηδὲ τοῖς χαμαὶ κειμένοις ὡς ἀντιπάλοις ἔγκεισο.

CCCXLVIII. — ISAIÆ.

Si tu illud veritus, ne is qui a te contumelia affectus est prior te accusaret, existimasti fore ut, si anteverteres, culpam adumbrares, ac crimina ea, quæ in te conferuntur, succideres, scitum revera, ne dicam malignum ac veteratorium, est hoc artifi-

D

ΤΜΗ'. — ΗΣΑΙΑ.

Εἰ μὲν τοῦτο δεδιὼς, μὴ φθάσῃ ἐγκαλέσας ὁ παροιντηθεὶς παρὰ σοῦ, ψήθης προλαβὼν ἐπισκιάσασθαι (73) τὰς αἰτίας, καὶ τὰς μέμψεις τὰς κατὰ σαυτοῦ ὑποτεμεῖσθαι, σοφὸν τῷ ὄντι, ἵνα μὴ κακοῦργον εἴπω, καὶ τοῦτο μηχάνημα· εἰ δ' ὡς ἀληθῶς; αἰ-

[40] I Cor. IX, 21.

VARIÆ LECTIONES ET NOTÆ.

(71) Quæ leguntur in edito hæc verba, ἀλλ' ἔστι πολλάκις τὸν μὲν ἀναγινώσκοντα μὴ εἰδέναι τὸν νοῦν, ea cuncta in cod. Vat. 650 velut ὑποβολιμαῖα omittuntur. Vers. ult. ep. idem pro λόγων scribit λόγου. Possin.

(72) Pro παλαιὸς λόγος melius legit cod. Vat. 650, παλαιὸς νόμος. V. 5 inter ὅτι et τὰ interserit idem καί. Id.

(73) Pro ἐπισκιάσασθαι idem cod. habet ἐπισκιάσαι, et vers. seq. pro ὑποτεμεῖσθαι, ὑποτεμεῖς. Denique vers. pen. ep. pro ἑάλως legit ἑάλω. Id.

Digitized by Google

ρήσειν προσδοκῶν, ἠλίθιόν τι πέπονθας. Οὐ γὰρ ἂν ἄλοίη ἐφ' οἷς ἤδη ἑάλως κατὰ τὴν τῶν γραψάντων ἀψευδῆ μαρτυρίαν.

A cium. Si autem hoc ea spe atque exspectatione fecisti, tanquam judicio superior vere discessurus, in quadam profecto stultitia versaris. Neque enim ille ob ea convincetur, ob quæ tu jam juxta verum eorum, qui scripserunt, testimonium convictus es.

ΤΜΘ'. — ΘΕΟΔΟΣΙΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Ἴσθι, ὦ θαυμασιώτατε, ὅτι μήτ' ἐξειπὼν, μήτε κοινωσάμενός (74) μοι ὁ δοκῶν εἶναι φίλος (ἦδει γὰρ οὐκ ἀνεξόμενον, οὐδὲ συγχωρήσοντα αὐτῷ λύσαι πολυχρόνιον φιλίαν) πέπραχεν ἃ πέπραχε. Διὸ καὶ τῆς φιλίας ἡμῶν ἀπεκηρύχθη.

CCCXLIX. — THEODOSIO PRESBYTERO.

Illud scito, vir cumprimis admirande, eum, qui amici speciem præ se ferebat, re mihi minime significata nec communicata (norat enim me non perpessurum, nec ipsi permissurum, ut amicitiam vetustam discinderet), ea fecisse quæ fecit. Ac proinde ab amicitia nostra proscriptus est.

ΤΝ'. — ΕΡΜΕΙΑ ΓΡΑΜΜΑΤΙΚΩ.

Περὶ τοῦ, « Φάσκοντες εἶναι σοφοὶ ἐμωράνθησαν. »

B

Κινδυνεύεις ἀγνοεῖν, ὅτι οἱ ποιηταὶ τοὺς πλεονεκτήμασιν εὐγενείας ἐμπρέπειν οὐκ ἔχοντας, μυθολογίαις ἀπίστοις ἐσέμνυναν.

CCCL. — HERMIÆ GRAMMATICO.

De eo, « Dicentes esse sapientes stulti facti sunt [61]*. »*

Illud ignorare videris, poetas, eos qui veris nobilitatis dotibus eminere non poterant, incredibilibus fabulis exornasse.

ΤΝΑ'. — ΑΝΤΩΝΙΩ ΣΧΟΛΑΣΤΙΚΩ.

Ὁ τῆς παρθενίας ἀγὼν, μέγας μὲν καὶ λαμπρὸς καὶ ἔνθεος (πρὸς γὰρ τὴν ἔμφυτον τοῦ σώματος ἡδονὴν ὁ πόλεμος), ἐν δὲ τοῖς ἄλλοις ἄθλοις (75) ἐξευμαρίζει τοὺς πόνους. Ῥᾳδίως γὰρ φιλοχρηματίας κρατήσει, κόσμου σωματικοῦ, ἀνδρός τε καὶ παίδων μὴ φροντίζουσα, δι' ὃ ὁ τῶν χρημάτων πορισμὸς ἀναγκαῖος εἶναι τοῖς ἀφιλοσόφοις δοκεῖ· πένθει τε ἀνάλωτος ἔσται. Οὐ γὰρ ἤνθησε κλάδους, οἷς συνανθοῦσι καὶ αἱ φροντίδες καὶ τὰ πένθη (76). Ζώντων μὲν γὰρ τῶν παίδων, ἀναγκάζονται μεριμνᾷν, τεθνεώτων δὲ πενθεῖν. Ὀδυνῶν τε καὶ ἀθυμιῶν ἔξω ἐσκήνωται, μηδ' ἀνδρὸς δουλευομένη φρονήματος, μήτε ὠδῖσι ταῖς τοῦ θανάτου γείτοσι διακοπτομένη. Οὐ παρευδοκιμουμένη ζηλοῖ, οὐκ ἀγαπωμένη ὑπτιοῦται. Οὐκ ἀποστρεφόμενον κολακεύει, οὐ μισοῦντα θωπεύει, οὐχ ὑβρίζοντα ἀποστρέφεται, ἀλλὰ πάντων τούτων τῶν ἀνηκέστων κακῶν (77) ἀπαλλαγὴ, ἡ πρὸς τὴν ἔμφυτον ἐπιθυμίαν μάχη, ἧς κρατοῦσα, πάντα ἐκεῖνα ὑποκύπτοντα ἔχει. Διὸ καὶ ὁ τῶν ἀνθρωπίνων πραγμάτων ἀκριβῶς βασανίσας τὴν φύσιν, ἔγραφε περὶ τῶν πάντα ὑπομενόντων τὰ δυσχερῆ, ἵνα μόνον τὴν ἀπὸ τῆς ἐπιθυμίας λύτταν μὴ χειρώσωνται, « Θλίψιν τῇ σαρκὶ ἕξουσιν οἱ τοιοῦτοι. Ἐγὼ δὲ ὑμῶν φείδομαι. » Ἀλλ' ἐπειδὴ πολλοὶ μὲν τὴν ἀποστολικὴν συμβουλὴν, ὡς διὰ πραγμάτων μὴ δεικνυμένην ἀτιμάζοντες, τὸ δ' ἀληθὲς τῇ ἡδονῇ συνηγοροῦντές φασιν, ὅτι, Θλίψιν μὲν οὐκ ἔχουσιν οἱ τὸν γάμον ἀσπασάμενοι, ἀλλὰ καὶ τέρψιν καὶ τρυφήν· πολλοὶ δὲ δεινότητι χρώμενοι, καὶ ἀνδρειοτέρους ἑαυτοὺς τῶν τὴν ἁγνείαν ἐστεμμένων οἰόμενοι, οὐ δεόν-

C

D

Virginitatis certamen magnum quidem et præclarum ac divinum est (nam adversus corporis voluptatem ipsi bellum est), at in aliis certaminibus labores minuit. Etenim pecuniarum amorem facile vincet, cum corporis ornatum, ac virum, et liberos, ob quæ pecuniarum quæsitio hominibus parum philosophis necessaria esse videtur, minime curet. Mœrori etiam haudquaquam obnoxia erit; non enim ramos protulit, cum quibus et curæ et mœrores efflorent. Viventibus quippe filiis, sollicito animo esse coguntur; morte autem functis, in luctu versari. A doloribus item et **393** animi angoribus immunis est, ut quæ nec viri arrogantiæ tanquam in servitutem addicatur, nec partus doloribus mortis vicinis interrumpatur. Cum superatur, invidiam non concipit : non, cum amatur supino animo est; non aversanti se assentatur : non odio habenti blanditur : non eum, a quo contumeliis afficitur, aversatur : verum ab omnibus his pestiferis vitiis libera est pugna adversus cupiditatem a natura insitam : quam cum superat, omnia illa sibi subjecta habet. Qua etiam de causa is, qui humanarum rerum naturam accurate perpenderat, de iis, qui molestias omnes sustinent, ut duntaxat libidinis rabiem minime subigant, scribebat : « Tribulationem carnis habebunt hujusmodi. Ego autem vobis parco [62]. » At quoniam permulti apostolicum consilium, quod per res ipsas minime demonstratur, contemnentes, imo revera voluptatis patrocinium suscipientes, eos, qui matrimonium amplexi sunt,

[61] Rom. I, 22. [62] I Cor. VII, 28.

VARIÆ LECTIONES ET NOTÆ.

(74) Pro κοινωσάμενος idem cod. legit κοινωνησάμενος, et vers. ult. pro ἀπεκηρύχθη, ἀπέστη. Ib.

(75) Pro ἄθλοις idem cod. scribit λόγοις, et vers. 7 ep. pro ἀφιλοσόφοις, φιλοσωμάτοις. Possin.

(76) *Ἤνθησε κλάδοις, οἷς συνανθοῦσι καὶ αἱ φροντίδες καὶ τὰ πένθη.* Eleganter περιφράζει liberos. Sic Eveni apud Plutarchum et Artemidorum laudatus versus exclamat :

Ἰδὲ ὅση λύπη παῖς πατρὶ πάντα χρόνον. Ritt.

(77) Idem cod., κακιῶν. Vers. inde quarto μόνον mutat in μόνην. Possin.

Digitized by Google

tribulationem habere negant, verum oblectationem potius ac delicias, ac plerique etiam vim dicendi adhibentes, parum convenienter asserunt ignavæ animæ istud argumentum esse : nam dum cœlibatus sanctitati sese dicarunt, generationi aditum præcluserunt, matrimonii expertes manentes : atque dum per difficultatum nuditatem adversus rerum mutationes strenue se gesserunt similiter quodammodo faciunt, ut si quis corpore vacans, glorietur se nullo ulcere affici posse : eodem enim modo ipsi quoque inopinatas fortuitarum rerum incursiones pertimescentes, gignendorum liberorum legem contempserunt, ut qui videlicet adversus mutationes sterilitate sese muniverint, ac per eam hoc sibi compararint, ut vinci et capi non possint; nos autem qui inopinatis mutationis momentis nos ipsos tradidimus, nec calonum more adversus eam collocati extra aciem stetimus, verum, vita nostra ipsius telis exposita concessaque ei amplissima facultate, nos in quibus ipsi libuerit rebus feriendi adversus eam armati sumus, adeo ut etiam cum vulneramur, non feriamur, et cum telo petiti sumus, sine aculeo configamur atque in rerum molestarum experimento dogma illud confirmantes, nimirum virtutem mutationis dominio minime subjectam esse, certissimum documentum edimus. Quoniam igitur illi hujusmodi quædam colligentes in adversam partem declamitant, quod scilicet a virginitatis quidem certaminibus vinci se atque a tergo relinqui erubescant, speciosam autem defensionem proferre arbitrentur, per ipsas quidem res atque in ipsis certaminibus intelligent, quanto et uxori maritus, et marito uxor, et uxoris ac filiorum cura ad salutem impedimento sit : convincuntur autem nunc quoque per ea in imam malorum voraginem impelli, per quæ ipsi se, partim delicias et voluptates percepturos, **394** partim majores coronas consecuturos esse confidebant. Quibus enim perturbationibus non obnoxii sunt? Quod cauponæ genus non tractant? Quot molestias perferunt, nec eas sentiunt? Quid enim boni eos non præterit? Quid autem apud eos habitat, quod laudem mereatur? Nec tamen hæc eo commemoro, quod illos, qui honorabile connubium amplectuntur, abdicem ac proscribam (absit!) verum ut eos, qui lubrica et petulanti lingua matrimonium virginitati anteferre audent, perstringam. Quanto enim cœlum terra præstantius est, et anima corpore : tantum etiam virginitas conjugio antecellit. Illa enim primas partes in acie tenet, ac phalangis frontem exornat, illustria-

A τως λέγουσιν, ὅτι ἀγεννοῦς τοῦτο ψυχῆς τεκμήριον. Ταῖς γὰρ τῆς ἀγαμίας ἁγιστείαις ἀφιερώσαντες ἑαυτοὺς, ἀπέκλεισαν τῇ γενέσει τὰς διεξόδους, γάμων ἀμύητοι μείναντες, καὶ τῇ τῶν ἀναγκῶν (78) γυμνότητι πρὸς τὰς μεταβολὰς τῶν πραγμάτων νεανευσάμενοι, παραπλήσιόν τι ποιοῦσιν, ὡσπερανεί τις ἀσώματος τυγχάνων ἐνηδρύνετο τῷ ἄτρωτος εἶναι. Καὶ γὰρ καὶ αὐτοὶ τὰς παραλόγους τῶν ἀδουλήτων ἐφόδους δείσαντες, τὸν τῆς παιδογονίας θεσμὸν ἠτίμασαν, ἀτεχνίᾳ ἑαυτοὺς πρὸς τὰς μεταβολὰς ὀχυρώσαντες, καὶ τὸ ἀνάλωτον διὰ ταύτης πραγματευσάμενοι. Ἡμεῖς δὲ ταῖς τῆς μεταβολῆς παραλόγοις ῥοπαῖς παραδόντες ἑαυτοὺς, καὶ οὐ ψιλῶν τάξιν πρὸς αὐτὴν ταγέντες, ἔξω τῆς φάλαγγος ἑστημεν, ἀλλὰ τοῖς βέλεσιν αὐτοῖς ὑποθέντες τὴν πολιτείαν, καὶ
B ἀφθονίαν παρασχόντες εἰς ἃ βούλοιντο πλήττειν (79), πρὸς ἐκείνην ἐφραξάμεθα, ὡς καὶ τιτρωσκομένους μὴ πλήττεσθαι, καὶ βληθέντας, ἄκεντρα τοξεύεσθαι, καὶ ἐν τῇ τῶν δυσκόλων πείρᾳ τὸ δόγμα βεβαιούμενοι, ὡς ἀρετὴ (80) μεταβολῆς ἀδέσποτος, τὴν ἀκριβεστάτην ἐκφέρομεν βάσανον. Ἐπεὶ τοίνυν τοιαῦτά τινα συνείροντες καταρητορεύουσιν, αἰσχυνόμενοι μὲν ἐπὶ τῷ ἀπολελεῖφθαι τῶν τῆς παρθενίας ἄθλων, εὐπρόσωπον δὲ δοκοῦντες ἀπολογίαν προβάλλεσθαι, εἰσονται μὲν διὰ τῶν πραγμάτων ἐπὶ τῶν ἐπάθλων, ὅτον γυναικὶ μὲν ἀνὴρ, ἀνδρὶ δὲ γυνὴ, καὶ γυναικὸς καὶ παίδων φροντίδες ἐμπόδιόν ἐστι πρὸς σωτηρίαν· ἐλέγχονται δὲ καὶ νῦν εἰς τῶν κακῶν (81) πυθμένα, διὰ ταῦτα συνελαυνόμενοι, δι' ἃ καὶ οἱ μὲν τρυφῆς
C καὶ ἀνέσεως ἀπολαύσεσθαι, οἱ δὲ καὶ μειζόνων στεφάνων ἀξιωθήσεσθαι προσεδόκησαν. Ποίοις γὰρ πάθεσιν οὐχ ὑπόκεινται; Ποίαν δὲ καπηλείαν οὐ μεταχειρίζονται; Πόσας δὲ ἀηδίας ὑπομένοντες, οὐκ αἰσθάνονται; Τί γὰρ τῶν καλῶν αὐτοὺς οὐ παριππεύει; Τί δὲ κατασκηνοῖ παρ' αὐτοῖς ἐπαίνου ἄξιον; Καὶ ταῦτα, οὐ τοὺς τὸν τίμιον γάμον ἀσπαζομένους ἀποκηρύττων λέγω (ἄπαγε) ἀλλὰ τοὺς ἀθυρώτῳ καὶ ὀλισθηρᾷ γλώττῃ (82) τολμῶντας τὸν γάμον τῆς παρθενίας ὑπερτιθέναι κωμῳδῶν. Ὅσον γὰρ οὐρανὸς γῆς, καὶ ψυχὴ σώματος διαφέρει· τοσοῦτον ἡ παρθενία τοῦ γάμου διενήνοχεν. Ἐκείνη μὲν γὰρ τὰ πρωτεῖα ἐν τῇ παρατάξει ἔχει, καὶ τὸ μέτωπον κοσμεῖ τῆς φάλαγγος, καὶ τὰ λαμπρὰ τρόπαια ἵστησιν· οὗτος δὲ σύμμετρος ὢν, καὶ τοῖς ἀσθενεστέροις
D ἔρεισμα δοθεὶς, δύναται μὲν σώζειν τοὺς φυλάττοντας, οὐ μὴν εἰς τὴν τῆς παρθενίας ἀνάξει κορυφὴν. (83) Διὸ καὶ ὁ πνευματικὸς νόμος (84) τοὺς γήμαντας καὶ ἀμπέλους φυτεύσαντας εἰς τὸν κατὰ τῶν πνευματικῶν τῆς πονηρίας πόλεμον ἐξελθεῖν ἀπηγό-

VARIÆ LECTIONES ET NOTÆ.

(78) Idem cod., ἀναγκαίων. Possim.

(79) Post πλήττειν idem addit οὕτω, et paulo post ἐφραξάμεθα mutat in ἐφθεγξάμεθα. Vers. post 2, pro βληθέντας scribit βληθέντας. Id.

(80) Pro ὡς ἀρετὴ idem cod. legit ὡς γάρ ἐστι, et paulo post nomen ἀδέσποτος ponit in nominativo plurali. Id.

(81) Εἰς τῶν κακ. scribit cod. Vat. εἰς τὸν τῶν κ. etc. Vers. seq. ἀπολαῦσαι pro ἀπολαύσεσθαι. Id.

(82) Hæc verba, ἀθυρώτῳ καὶ ὀλισθηρᾷ γλώττῃ, absunt omnia a cod. Vat. 650. Id.

(83) Sequentia, δύναται μὲν σώζειν τοὺς φυλάττοντας, οὐ μὴν εἰς τὴν τῆς παρθενίας ἀνάξει κορυφὴν, idem cod. transfert ab illo loco in vers. post 3, ubi ea collocat post ἀπηγόρευσε. Id.

(84) Deuteron. xx, 6. Similem allegoriam vide apud Clement. Alex. lib. II *Stromat.*, p. 449. Rittr.

Digitized by Google

ρευσε. Μὴ τοίνυν οἱ τοιούτῳ κατεχόμενοι δεσμῷ τοῖς λελυμένοις ἀμιλλᾶσθαι οἰέσθωσαν· οὐδὲ γὰρ οἷόν τε. Μηδὲ οἱ χρηματισμῷ καὶ κόσμῳ σωματικῷ ὅλον ἑαυτῶν ἀναθέντες τὸν βίον, νομιζέτωσαν ἴσα ἄθλα λήψεσθαι τῶν ἀφιερωσάντων ἑαυτοὺς, καὶ τὰ τοῦ Κυρίου μεριμνώντων· ἀλλὰ ἐν τῇ προσηκούσῃ τάξει ἑαυτοὺς φυλάττοντες, μὴ ὀπλιζέτωσαν γλῶτταν κατὰ τῶν εἰς τὴν οὐράνιον κορυφὴν ἀναβάντων. Οὐ γὰρ ὁ γάμος κακόν· ἄπαγε· ἀλλὰ καὶ ἔννομον καὶ σύμμετρον ἀγαθόν. Ἀλλὰ τὰ ἐπισυρέντα τῷ γάμῳ κακὰ, ἱκανὰ καὶ τὴν τοῦ γάμου ἀμβλῦναι ἡδονήν. Εἰ δὲ καὶ μηδὲν τούτων ἐπήγετο, οὐδ' οὕτως τῇ παρθενίᾳ παραβάλλεσθαι δίκαιος ἦν. Ὃ δέ με καὶ ἐπειγόμενον παραδραμεῖν οὐκ ἐᾷ, τοῦτο ῥητέον· ὅτι ἡ μὲν παρθενία καὶ τἄλλα χειροῦται πάθη, ὁ δὲ γάμος καὶ τοῖς ἄλλοις ἁλίσκεται πάθεσι. Τίς γὰρ ἵνα παισὶ χορηγήσῃ τροφὰς, οὐ πάντα ποιεῖ τὰ μὴ πρέποντα καὶ εἰς κινδύνους ἑαυτὸν ῥιπτεῖ, καὶ εἰς πέλαγος, καὶ εἰς θηρίων βοράν. Οὗτοι οὖν ὡς ἀνδρεῖοι καὶ τροπαιοῦχοι ἐναβρύνεσθαι θέλουσι (85). Καὶ τίς ἀνέξεται; τίς γὰρ αὐτοῖς ἐπαρκέσει καιρὸς πρὸς τὸ ταῦτα τὰ τραύματα θεραπεῦσαι; Τίς δὲ οὐ συναλγήσει τοῖς ὑπὸ τοσούτων βελῶν κατατετρωμένοις; Τοσαῦτα γὰρ αὐτοὺς περιέχει κακὰ, οἷα οὐδ' ἐννοῆσαι, οὐδὲ φράσαι διὰ τὸ πλῆθος δυνατόν. Παυέσθωσαν οὖν τῶν τοιούτων λόγων, καὶ μὴ κατὰ τῆς παρθενίας ὁπλιζέτωσαν τὴν γλῶτταν· ἀλλ' ὡς βασιλίδα αὐτὴν γεραιρέτωσαν, καὶ ὑπ' αὐτῇ ταττέσθωσαν, ἵνα ἔχοιεν αὐτὴν καὶ ὑπερασπίζουσαν καὶ πρεσβεύουσαν. Ἡλίῳ μὲν γὰρ τοὺς τὴν παρθενίαν (ἵνα καὶ οὐρανίοις χρήσωμαι παραδείγμασι)· σελήνῃ δὲ τοὺς τὴν ἐγκράτειαν, ἄστροις δὲ τοὺς τὸν τίμιον γάμον ἀσπασαμένους καὶ διατηρήσαντας, παραβάλλεσθαι θέμις, μάλιστα ἐπιψηφίσαντος τοῦ θεσπεσίου Παύλου, καὶ λέγοντος· « Ἄλλη δόξα ἡλίου, καὶ ἄλλη δόξα σελήνης, καὶ ἄλλη δόξα ἀστέρων. »

que tropæa statuit : hoc autem cum mediocre sit, atque imbecillioribus adminiculi loco concessum, potest quidem eos, qui ipsum illæsum custodiunt, servare : at non item ad virginitatis fastigium subvehere. Unde etiam spiritualis lex, eos, qui uxorem duxerant, ac vites plantaverant, ad bellum illud, quod cum spiritualibus nequitiæ suscipitur, egredi vetuit. Quæ cum ita sint, non in ea opinione versentur ii qui hujusmodi vinculis constricti tenentur, ut cum his, qui soluti ac liberi sunt, certare se posse existiment (nec enim id fieri potest) nec qui augendis opibus, corporique adornando universam vitam suam addixerunt, eadem præmia se accepturos esse arbitrentur, quæ ii, qui Deo totos se consecrarunt, ac quæ Domini sunt curant : verum in congruenti gradu seipsos tenentes, adversus eos, qui ad cœleste cacumen ascenderunt, linguam ne acuant. Neque enim conjugium malum est (absit!), verum legitimum etiam ac mediocre bonum. At mala ea et incommoda, quæ matrimonium secum trahit, ad retundendam et hebetandam matrimonii voluptatem satis magnam vim habent. Atque etiam si nihil horum secum traheret, ne sic quidem tamen dignum esset, quod cum virginitate conferretur. Quod autem me etiam properantem, præterire non sinit, hoc dicendum est, nempe quod virginitas alia etiam vitia expugnat : matrimonium autem aliis quoque vitiis corripitur. Quotus enim quisque est, qui ut alimenta filiis subministret, non omnia, quæ parum conveniant, faciat, atque in pericula et in pelagus, ac belluis in prædam se conjiciat? At interim tamen isti, ut fortes et laurigeri gloriari volunt. Et quis hoc ferat? Quod enim ad hæc vulnera persanandæ temporis spatium sufficiet? Quisnam autem eorum, qui tot telis sauciati sunt, vicem non doleat? Tot enim eos mala circumdant, ut ea ob multitudinem nec mente comprehendi, nec verbis explicari possint. Quamobrem hujusmodi sermonibus finem imponant, ac non adversus virginitatem linguam instruant : verum ut reginam ipsam honore prosequantur, eique se subjiciant, ut eam et propugnatricem et **395** interventricem habeant. Soli enim (ut cœlestibus quoque exemplis utar) eos, qui virginitatem amplexi sunt, lunæ autem eos, qui continentiam, ac denique stellis eos, qui honorabile connubium amplexi sunt atque conservarunt, comparare licet, maxime cum divinus Paulus calculum suum addat, ac dicat : « Alia gloria solis, alia gloria lunæ, alia gloria stellarum [43]. »

ΤΝΒ'. — ΤΩ ΑΥΤΩ.

Ἐκεῖνον μόνον ἂν ἔγωγε ζῆν κυρίως ὁρισαίμην, τὸν τῶν σωματικῶν παθῶν κρείττονα καὶ ἀνώτερον. Ὁ γὰρ ἐκείνοις ἑαυτὸν ὑποζεύξας, καὶ κατὰ κράτος ὑπ' αὐτῶν ἐλαυνόμενος, οὐ μόνον εἰς τὸ ἔσχατον τελευτᾷ βάραθρον, ἀλλ' οὐδὲ ζῆν ἐνταῦθα δύναται διὰ τὰς ἐξ αὐτῶν λύπας, καὶ τοὺς φόβους, καὶ τοὺς κινδύνους, καὶ τὸν μυρίον αὐτῶν ἐσμόν. Ἂν τε γὰρ θάνατος προσδοκηθῇ, τέθνηκε καὶ πρὸ τοῦ θανάτου τῷ δέει· ἂν τε νόσος, ἂν τε ὕβρις, ἂν τε πενία, ἂν τε ἕτερόν τι τῶν ἀδοκήτων, ἀπόλωλε καὶ ἀπὸ τῆς

CCCLII. — EIDEM.

Eum equidem ipse solum proprie vivere statuerim, qui corporis passionibus præstantiorem ac sublimiorem se præbet. Nam qui seipsum illis subjecit, atque ab iis summa vi exagitatur, non modo in extremam exitii voraginem desinit, sed ne hic quidem vivere potest, ob eas, quæ ab illis manant, molestias, et metus, et pericula, et infinitum eorum examen. Nam sive mors exspectetur, metu etiam ante mortem exanimatur : sive morbus, sive contumelia, sive paupertas, sive aliud quiddam inopi-

[43] I Cor. xv, 41.

VARIÆ LECTIONES ET NOTÆ.

(85) Pro θέλουσι ponit cod. Vat. δίκαιοι, et vers. post 3, pro βελῶν scribit κακῶν. Possin.

Digitized by Google

nati, etiam ex sola suspicione periit et exstinctus est. At non in eadem causa est, qui turbulentis animi permotionibus dominatur : verum et timoribus et periculis, ac denique omni mutatione superior est : non quod nihil patiatur (hoc enim fortasse fieri nequit), sed, quod multo majus atque admirabilius tropæum efficit, quia ea impetum facientia, et velitantia, telaque mittentia contemnat.

A ὑπονοίας μόνης, καὶ διέφθαρται. Ἀλλ' οὐχ ὁ τῶν παθῶν κρατῶν τοιοῦτος· ἀλλὰ καὶ φόβων, καὶ κινδύνων, καὶ μεταβολῆς ἁπάσης ἔστηκεν ὑψηλότερος, οὐ τῷ μηδὲν ὑπομένειν (τοῦτο γὰρ ἴσως ἀμήχανον), ἀλλ' ὃ καὶ πολλῷ μεῖζόν ἐστι καὶ παραδοξότερον ποιεῖ τὸ τρόπαιον τῷ καὶ προσβαλλόντων αὐτῶν καὶ ἀκροβολιζομένων καὶ κατατοξευόντων καταφρονεῖν.

CCCLIII. — TIMOTHEO CLARISSIMO.

Et si Chæremon, ut scripsisti, ille, inquam, Eusebii stipator, ex ipsius consuetudine atque familiaritate exacutus, ad omne scelus tanquam œstro quodam incitatur, nec fidem agnoscit, verum ob iniquitatis licentiam jurejurando abutitur (reconciliationis enim fœdera percutit, et implacabilis manet; pacta init, et rescindit; jurat, et fraudis materiam atque instrumentum juramenta habet); attamen meo judicio is, qui eum tuetur, nunc quidem scelerum ipsius culpam percipit : postea autem ampliorem etiam supplicii partem percipiet.

TNΓ'. — ΤΙΜΟΘΕΩ ΛΑΜΠΡΟΤΑΤΩ.

Εἰ καὶ Χαιρήμων, ὡς γέγραφας, ὁ Εὐσεβίου ὑπασπιστής, ἐκ τῆς αὐτοῦ συνουσίας ἠκονημένος πρὸς πᾶσαν κακίαν οἱστρᾷ, καὶ πίστιν οὐκ οἶδεν, ἀλλ' ἐπ' ἀδικίας ἀδείᾳ (86) κέχρηται τοῖς ὅρκοις (σπένδεται γάρ, καὶ μένει ἀκήρυκτος· συνθήκας ποιεῖται καὶ λύει· ὄμνυσι καὶ πανουργίας ἐφόδιον ἔχει τοὺς ὅρκους (87))· ἀλλά γε ὁ τοῦτον συγχρωτῶν, παρ' ἐμοὶ κριτῇ, νῦν μὲν καρποῦται τῶν κακιῶν τὴν αἰτίαν· ὕστερον δὲ καὶ τῆς δίκης τὸ πλέον καρπώσεται.

CCCLIV. — PAULO PRESBYTERO.

Sacerdoti pro opibus est virtutis ornamentum pro voluptate castitas, pro luxu frugalitas, pro lætitia, eorum, quibus præest, ad virtutem incrementum. Quod si quis contraria his instituta sequens, sacerdotii nomine gloriatur, hic profanus est, atque imperio indignus.

TNΔ'. — ΠΑΥΛΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Τῷ ἱερωμένῳ πλοῦτος μὲν ὁ τῆς ἀρετῆς κόσμος, ἡδονὴ δὲ ἡ σωφροσύνη, τρυφὴ δὲ ἡ αὐτάρκεια, εὐφροσύνη δὲ ἡ τῶν ὑπηκόων πρὸς ἀρετὴν ἐπίδοσις· εἰ δέ τις τἀναντία τούτων ἐπιτηδεύων ἱερωσύνης ὀνόματι ἐναβρύνεται, οὗτος ἀνίερος τυγχάνει, καὶ τῆς ἀρχῆς ἀνάξιος.

CCCLV. — MARTYRIO PRESBYTERO.

De Arianis et Eunomianis.

Si humanas affectiones (quod ne dictu **396** quidem fas est) per omnia sequatur, qui divinam generationem describit, illud merito audire queat. Si tibi circa generationem affectio fingitur, et mihi quoque circa creationem : neque enim id quod creatur (si imbecilles hominum cogitationes sequar), absque affectione creatur. Sin autem, ut divinitati consentaneum est, ea quidem, quæ purissimæ illi essentiæ conveniunt, admittat, quæ autem aliena et absona sunt, prætereat, illud, si modo sanæ rationis est, cogitare debet, quod quoniam mortalis ad hunc modum gignit, immortalis non item : quemadmodum videlicet in creando ille cum labore, hic citra laborem creat. Hæc enim secum reputans, illa quoque oculatissima mens, ac velut divino numine correpta, terrenis omnibus exemplis præteritis, splendorem gloriæ, et figuram paternæ substantiæ [a], Filium haud immerito definivit : per illud nimirum coæternitatem, per hoc autem eum personam constituere demonstrans. Quandoquidem enim prius, quod hypostasis expers esset, speciem fortasse atque imaginationem nonnullis pariebat, idcirco per posterius hypostasim hypostaseon efficientem notavit.

TNE'. — ΜΑΡΤΥΡΙΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Περὶ Ἀρειανῶν καὶ εὐνομιανῶν.

Εἰ μὲν τοῖς ἀνθρωπίνοις πάθεσιν (ὅπερ οὐδὲ εἰπεῖν θέμις κατὰ πάντα ἔψοιτο ὁ τὴν θείαν γέννησιν ὑπογράφων, ἀκοῦσαι ἃ εἴη δίκαιος, ὅτι εἴ σοι πάθος πλάττεται περὶ τὴν γέννησιν, κἀμοὶ περὶ τὴν κτίσιν. Οὐδὲ γὰρ τὸ κτιζόμενον (εἰ τοῖς ἀσθενέσι τῶν ἀνθρώπων λογισμοῖς ἐψοίμην) ἀπαθῶς κτίζεται· εἰ δὲ θεοπρεπῶς, τὰ μὲν ἁρμόττοντα τῇ ἀκηράτῳ (87*) οὐσίᾳ καταδέξοιτο, τὰ δὲ ἀπηχῆ παριππεύσειεν, ἐννοῆσαι ὀφείλει εἴγε τὸ λογιστικὸν ἐρρωμένον ἔχει ὅτι ἐπειδὴ ὁ θνητὸς οὕτως τίκτει, ὁ ἀθάνατος οὐχ οὕτως· ὥσπερ οὖν καὶ ὁ κτίζων, ὁ μὲν μετὰ πόνου, ὁ δὲ ἀμογητὶ κτίζει. Ταῦτα γὰρ ἐννοήσας καὶ ὁ πολυόμματος νοῦς, καὶ ὥσπερ ἔνθους γενόμενος, πάντα τὰ γῆϊνα παραδείγματα παραδραμών, ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτῆρα τῆς ὑποστάσεως τῆς πατρικῆς, τὸν υἱὸν εἰκότως ὡρίσατο· τῷ μὲν τὸ συναΐδιον, τῷ δὲ τὸ ἐνυπόστατον παριστάς. Ἐπειδὴ γὰρ τὸ πρῶτον ἀνυπόστατον φαντασίαν ἴσως τισὶν ἔτικτε, διὰ τοῦ δευτέρου τὴν ὑποστάσεων ποιητικὴν ὑπόστασιν ἐχαρακτήρισε.

[a] Hebr. I, 3.

VARIÆ LECTIONES ET NOTÆ.

(86) Pro ἀδείᾳ idem cod. habet ἀεί. Possin.

(87) Confer Salvian. lib. *De gubernat. Dei*. Ritt.

(87*) Pro ἀκηράτῳ idem cod. legit ἀκράτῳ. Possin.

Digitized by Google

ΤΝϚ'. — ΤΩ ΑΥΤΩ.

Ἔοικας οὐ συνορᾷν (88) τὰ μέχρι νῦν γινόμενα, καὶ διὰ τοῦτο γεγραφέναι, δι' ἣν αἰτίαν Δαρείου τοῦ Μήδου τρεῖς ταχτικοὺς χειροτονήσαντος (ὧν εἷς ἦν καὶ ὁ Δανιήλ), ὥστε ἄρχειν τῶν χειροτονηθέντων παρὰ αὐτοῦ ἑκατὸν εἴκοσιν ἀρχόντων, συγκρίνουσα αὐτὸν ἡ Γραφὴ, δέον τοῖς ἴσοις μόνον συγκρῖναι, καὶ τοῖς πολλῷ (88) ὑποδεεστέροις συνέκρινεν. Ἦρκει γὰρ, ἔφης, ἡ τῶν συντεταγμένων ὑπεροχὴ, καὶ τὴν κατὰ τῶν ὑποτεταγμένων νίκην ἐνδείξασθαι. Νῦν δέ φησι· « Καὶ ἦν Δανιὴλ ὑπὲρ τοὺς ταχτικοὺς καὶ τοὺς σατράπας· τοῦτ' ἔστι, σοφώτερος ἀπεδείχθη, καὶ κατὰ τὴν διοίκησιν ἐπιτηδειότερος, οὐ μόνον τῶν δυοῖν τῶν ἐξόχων, ἀλλὰ καὶ τῶν μετ' αὐτούς. Ἡ δὲ λύσις τοῦ ζητουμένου αὕτη. Ἐπειδὴ ἐνεδέχετο τὴν τοῦ βασιλέως κρίσιν οὐχ ὑγιῆ τυγχάνουσαν, πολλάκις τοὺς φαυλοτέρους εἰς ἀρχὴν φέρειν (ὃ δὴ φιλεῖ γίνεσθαι, οὐ μόνον ἐπὶ τῶν βασιλειῶν, ἀλλὰ καὶ ἐπὶ τῶν Ἐκκλησιῶν· τί γὰρ δεῖ θαυμάζειν, εἰ οἱ βιωτικὰ πράγματα ἐγχειρισμένοι τοιαῦτα ἁμαρτάνουσιν, ὁπότε καὶ εἰς τὰ ἅγια εἰσεκώμασεν αὕτη ἡ ἀλογία;) εἶναι δέ τινας ἐν τῷ πλήθει συνέσει τούτων προὔχοντας, ἀναγκαίως τὴν σύγκρισιν τοῦ δικαίου οὐ πρὸς τοὺς δύο μόνους ἐποιήσατο ταχτικοὺς, τοῦτ' ἔστι, τοὺς τῶν στρατιωτικῶν τάξεων ἡγουμένους, καὶ τάττοντας ταύτας ὅποι χρὴ, εἴτε ἐν πολέμῳ, εἴτε ἐν εἰρήνῃ, ἀλλὰ καὶ πρὸς τοὺς ἄλλους ἅπαντας· οὐκ ἀπὸ τῆς κρατοῦντος γνώμης, τῆς πολλάκις διαμαρτανούσης, ἀλλ' ἀπὸ τῆς τῶν πραγμάτων ἀληθείας αὐτὸν στεφανοῦσα (89). Ὑπερέφερε γὰρ οὐ μόνον τῶν δοξάντων τῷ βασιλεῖ συνετῶν εἶναι, ἀλλὰ καὶ τῶν ὄντως συνετῶν. Διὸ καὶ [ὁ] βασιλεὺς μὲν κατέστησεν αὐτὸν ἐφ' ὅλης τῆς βασιλείας, ἐκ τῶν πραγμάτων, κρείττονα τῶν λοιπῶν δηλονότι ὀφθέντα· οἱ δ' ἄλλοι δόλους καὶ σκευωρίας ῥάπτειν διεγίνωσκον. Φθόνος γὰρ ταῖς εὐπραγίαις ἀντιστρατεύεσθαι πέφυκεν.

CCCLVI. — EIDEM.

Videris ea, quæ ad hoc usque tempus fiunt, minime perspecta habere, ac propterea per litteras ex me quæsiisse, quamnam ob causam, cum Darius tres duces instituisset (inter quos etiam Daniel erat), ut centum et viginti præfectis ab eo designatis præessent, Scriptura eum comparans, pro eo atque ipsum æqualibus duntaxat conferri oportebat, cum iis etiam, qui multo inferiores erant, comparabat. Abunde enim, inquis, erat collegarum præcellentia ad illud indicandum, eum adversus inferiores quoque victoriam obtinuisse. Nunc autem ait : « Et erat Daniel super duces et satrapas [88], » hoc est, sapientior, atque ad rerum administrationem aptior esse demonstratus est, non modo duobus illis eximiis ac primariis, sed etiam iis, qui posteriorem iis dignitatis locum tenebant. Quæstionis autem solutio hæc est. Quoniam fieri poterat, ut regis judicium minime sanum et integrum deteriores persæpe ad imperium efferret (quod quidem fieri consuevit, non tantum in regnis, sed etiam in Ecclesiis. Quid enim est, quamobrem mirum videri debeat, si ii, quibus hujusce vitæ negotia commissa sunt, in hujusmodi peccata prolabantur, cum etiam in sancta hæc temeritas irruperit?), essent autem in multitudine nonnulli, qui prudentia eos anteirent, necessario proinde justi viri comparationem non cum solis illis duobus ducibus fecit, hoc est, iis qui militaribus ordinibus præerant, eosque, tum in bello, tum in pace, ubi oportebat, collocabant, sed etiam cum aliis omnibus : quo videlicet non imperatoris sententia, quæ plerumque a recto aberrat, sed a rerum veritate coronam ipsi necteret. **397** Præstabat enim non iis duntaxat, qui regi prudentes et cordati esse videbantur, verum iis quoque qui revera prudentes erant. Quocirca etiam rex quidem totius regni administrationi eum præfecit, ut qui scilicet ex rerum procuratione reliquis omnibus præstantiorem se præbuisset : alii autem dolos ac fraudes adversus eum concinnare in animo habebant. Sic enim natura comparatum est, ut livor adversus res secundas bellum ineat.

ΓΝΖ'. — ΗΣΑΙΑ.

Βλέπε μή ποτε ἡ ἀνυπέρβλητός σου ἀλαζονεία ἀναγκάσῃ τὴν θείαν καὶ ἡμερωτάτην φύσιν τὴν οἰκείαν ἐπιδείξασθαι δύναμιν, τὴν κάνταῦθα πανολεθρίαν (90) σε παραδοῦναι, κἀκεῖσε πικροτάτας ἀπαιτῆσαι δίκας δυναμένην.

CCCLVII. — ISAIÆ.

Vide, quæso, ne insuperabilis tua arrogantia divinam illam et mansuetissimam naturam vim suam, quæ te et hic funditus delere, et illic acerbissimas abs te pœnas expetere potest, demonstrare cogat.

ΤΝΗ'. — ΤΩ ΑΥΤΩ.

Ὁ χρημάτων κρείττων, οὔτε εἰς τοὺς πλούτῳ κομῶντας, οὔτε εἰς τοὺς δυσνουθετήτῳ θηρίῳ, τῇ πενίᾳ φημὶ μαχομένους, παρὰ νόμον τι ἀξιοῖ διαπράξασθαι. Οὔτε γὰρ ἐκείνους ἀδικεῖ ἁρπάζων τὰ χρήματα· οὔτε τούτους, λήμματι παραφθείρων τὸ δίκαιον.

CCCLVIII. — EIDEM.

Qui pecuniis superior est, nec adversus eos qui opibus abundant, nec adversus eos quibus cum contumaci fera, hoc est, cum paupertate certamen est, aliquid præter legem perpetrare in animum inducit. Nam nec illos lædit, pecunias eripiens : nec hos, juris religionem ob munera pervertens.

[88] Dan. VI, 3.

VARIÆ LECTIONES ET NOTÆ.

(88) Cod. Vat. 650, ἔοικάς μοι συνορᾷν, sine negatione. Vers. 7 pro τοῖς πολλῷ legit. τοῖς πολλοῖς. Possin.

(89) Idem cod., στεφανῶσαι. Id

(90) Idem cod., πανωλεθρίᾳ. Id

Digitized by Google

CCCLIX. — AUSONIO CORRECTORI.

Quandoquidem ad subripiendam non fortium tantum, sed etiam prudentum virorum mentem assentatio magnam vim habet : idcirco non injuria metu valentiorem eam esse assero. Illi etenim plerique cedere verentur : huic autem libentius animis succumbunt, temere videlicet ac citra cruciatum seipsos dedentes.

ΤΝΘ'. — ΑΥΣΟΝΙΩ ΚΟΡΡΗΚΤΟΡΙ.

Ἐπειδὴ δεινὸν ἡ κολακεία οὐ μόνον τῶν ἀνδρείων, ἀλλὰ καὶ τῶν ἐμφρόνων κλέψαι τὸν νοῦν· διὰ τοῦτο εἰκότως τοῦ φόβου ταύτην φημὶ δυνατωτέραν εἶναι. Τῷ μὲν γὰρ αἰσχύνονται πολλοὶ εἴξαι· τῆς δὲ (91) ἡδέως ἡττῶνται, ἀκρίτως καὶ ἀδασανίστως ἑαυτοὺς ἐνδιδόντες.

CCCLX. — LEONTIO.

Ne mireris, vir optime, nec, ultra quam par sit, doloris jaculo configatur animus tuus, propterea quod, cum Zosimo, ut scripsisti, loquendi libertas clausa sit, non cancellis quibusdam et januis, quas etiam quidam fortasse aperire queant, verum tot ac tantis criminibus, adhuc tamen linguæ petulantia laboret. Ut enim iis, qui aliquid ex virtute gerunt, postquam virtutis muneribus perfuncti sunt, modestiam adhibere mos est : sic etiam iis, qui peccant, post delicta superbire atque animis efferri. Quod si hujus rei argumentum capere cupis, perspice quidnam tres illi pueri, qui ob vitæ probitatem ac justitiam igne superiores exstiterunt, dicant : « Peccavimus, inique egimus, injustitiam fecimus[46]. » At contra Judæi, qui nec ab ullo scelere, nec ab obsceno ullo sermone abstinuerant, his verbis utebantur : « Custodivimus præcepta tua et justificationes tuas : ac nunc alienos beatos prædicamus[47]. » Quamobrem nec tu quoque perturberis, nec absurdum quidquam et absonum proloquaris : illud pro certo habens, extremæ ipsius stupiditatis hoc in primis argumentum esse.

ΤΞ'. — ΛΕΟΝΤΙΩ.

Οὐ χαλκῆ εἰκὼν χρυσῷ ἀπαστράπτουσα τῆς σῆς πράξεως ἄξια, ἀλλὰ ζωὴ τέλος οὐκ ἔχουσα. Τὴν μὲν γὰρ ὁ χρόνος ἀφανίζει· τὴν δὲ αἰῶνες στεφανοῦσι, τελευτὴν μὴ ἐπιστάμενοι.

ΤΞΒ'. — ΕΡΜΟΓΕΝΕΙ ΕΠΙΣΚΟΠΩ.

Ὥσπερ λόγος ἄπρακτος ἀτελής· οὕτως καὶ πρᾶξις ἄλογος. Ἐκ τούτων γὰρ ἀμφοῖν, εἰ καὶ μὴ βούλοιντο οἱ τὴν ἐλλόγιμον σοφίαν, φαῦλόν τι καὶ πεπατημένον πρᾶγμα παραλόγως οἰόμενοι, ὁ ὀρθὸς καὶ λαμπρὸς χαρακτηρίζεται τῶν ὑφηγητῶν βίος. « Ὃς γὰρ ἂν ποιήσῃ καὶ διδάξῃ, μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. » Εἰ δὲ χρὴ σύγκρισιν ἀμφοῖν ποιήσασθαι, ἄμεινον πράττειν μὴ λέγοντα, ἢ λέγειν μὴ πράττοντα.

ΤΞΓ'. — ΑΠΟΛΛΩΝΙΩ ΕΠΙΣΚΟΠΩ.

Ἐπειδὴ τὸ βιάζεσθαι καὶ ἕλκειν πρὸς εὐσέβειαν τοὺς ἀντεξουσίους γεγονότας, εὐπρεπὲς οὔτ' ἐστὶν, οὔτε δοκεῖ· τῷ πείθειν οὗ καιρός ἐστι χρησάμενος, φώτιζε τῷ σαυτῷ βίῳ τοὺς ἐν σκότῳ διατρίβοντας.

[66] Dan. III, 29; IX, 7. [67] Malach. III, 13, 14. [68] Matth. V, 19.

VARIÆ LECTIONES ET NOTÆ.

(91) Cod. Vat. 650, τῇ δέ. Possin.
(92) Pro κεκλεισμένης cod. Vatic. 650 legit κεκλιμένης. Vers. seq. pro κιγκλίσι (quanquam hæc perbona est lectio ἐγκλείσαι legit. In.

Digitized by Google

ΤΞΔ'. — ΝΕΙΛΑΜΜΩΝΙ ΔΙΑΚΟΝΩ.

Οἱ μὲν πταίοντες, καὶ τοῖς ἱεροῖς μυστηρίοις προσιέναι μὴ τολμῶντες, εὐγνώμονές εἰσι, καὶ ταχέως καὶ εἰς τὸ μὴ ἁμαρτάνειν περιστήσονται. Οἱ δὲ καὶ πλημμελοῦντες, καὶ τῶν ἀχράντων μυστηρίων μιαραῖς χερσὶ τολμῶντες ἅπτεσθαι, ὧν εἷς, καθὼς γέγραφας, καὶ Ζώσιμος, μυρίων εἰσὶ τιμωριῶν ἄξιοι. Ἐνόχους γὰρ ἑαυτοὺς ἀποφαίνουσι, κατὰ τὴν ἀψευδῆ τοῦ Παύλου φωνὴν, τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Κυρίου. Διὸ δὴ τοῖς μὲν πρώτοις οὐ πάνυ ἐπιτίθεται ὁ διάβολος, εἰδὼς ὅτι καὶ πταίουσιν, ἀλλ' οὖν γε γινώσκοντες τοῖς θείοις τὸ σέβας φυλάττουσι· τοῖς δὲ δευτέροις τοῖς καὶ πλημμελοῦσι καὶ μὴ γινώσκουσιν, ἢ γινώσκουσι μὲν, καταφρονοῦσι δὲ, καὶ τῶν ἱερῶν μυστηρίων τολμῶσιν ἅψασθαι, ὅλος ἐπικωμάζει, τεκμήριον τῆς ἀναλγησίας καὶ τῆς διαφθορᾶς τῆς παντελοῦς, τοῦτ' εἶναι εἰκότως οἰόμενος. Ὃ δὴ καὶ ἐπὶ τοῦ προδότου πεποίηκεν. Οὐ γὰρ, ὡς ἠγῇ, τοῦ Δεσποτικοῦ καταφρονῶν σώματος εἰσῆλθεν εἰς αὐτὸν, ἀλλὰ τῆς πονηρίας αὐτοῦ καταγνοὺς, ὅτι λοιπὸν ἀνίατα νοσεῖ· προδοῦναι μὲν διανοούμενος, μεταχεῖν δὲ μὴ παραιτούμενος, ᾤχετο ἄγων. Εἰ γὰρ εἶδεν αὐτὸν εὐλαβῶς ἔχοντα περὶ τὸ θεῖον μυστήριον, καὶ παραιτησάμενον, ἴσως ἂν ὡς ἔτι νήφοντα παρώδευσεν. Ἐπεὶ δ' εἶδεν αὐτὸν ὑπὸ τῆς φιλοχρηματίας καρηβαροῦντα, καὶ μηκέτι τὸν ὀρθὸν ἔχοντα λογισμὸν, ἀλλ' ἐκβακχευθέντα ὑπὸ τῆς ἀκορέστου μέθης. Οὐ μὴν ἔδ, ἀλλὰ καὶ τολμήσαντα ἅψασθαι, ὧν ἅψασθαι τοιοῦτον ὄντα οὐκ ἐχρῆν, τῆς ἀναλγησίας αὐτοῦ καταγνοὺς, ὅλος εἰς αὐτὸν ἐχώρησε.

A

CCCLXIV. — NILAMMONI DIACONO.

Qui peccant, atque ad sacra mysteria accedere minime audent, sincero judicio præditi sunt, ac confestim eo adducentur, ut a peccato abstineant. Qui autem peccant, et incontaminata mysteria scelestis manibus attingere non dubitant (in quorum numero, ut scribis, Zosimus etiam est), sexcentis suppliciis digni sunt. Reos enim, juxta minime mendacem Pauli vocem, corporis et sanguinis Domini seipsos reddunt [99]. Quamobrem etiam primos quidem diabolus haud valde aggreditur, quod scilicet exploratum habeat, eos, quamvis peccent, tamen id agnoscentes divinis rebus venerationem conservare : at vero in secundos, hoc est eos, qui peccant, nec peccatum agnoscunt, aut, licet agnoscant, tamen contemnunt, ac sacrosancta mysteria contingere minime verentur, totus se insinuat, istud nempe perfectæ stupiditatis et corruptionis argumentum esse non abs re existimans. Quod etiam in proditore quoque fecit. Non enim, quemadmodum tu putas, eo in ipsum ingressus est, quod Dominicum corpus contemneret, sed cum ipsius improbitatem perspectam haberet, nempe quod jam incurabili morbo teneretur, ut qui Dominum quidem prodere in animo haberet, nec tamen mysteria percipere recusaret, idcirco eum abduxit. Nam si eum erga divinum mysterium religiose ac reverenter affectum, id deprecantem conspexisset, fortasse ipsum, tanquam adhuc sanæ ac sobriæ mentis hominem præteriisset. Posteaquam autem præ avaritia tanquam vertigine laborantem, nec jam amplius mentis compotem esse, verum ab inexplebili temulentia in furorem actum vidit, atque adeo in eam audaciam elatum, ut ea, quæ ab ejusmodi homine attingi minime oportebat, attingere minime vereretur, tum vero ipsius stuporem agnoscens, totus in eum se injecit.

B

399

ΤΞΕ'. — ΤΑΥΡΩ ΥΠΑΡΧΩ.

Τότε ὁ ὀρθὸς τῆς δίκης ὅρος σώζεται, ὦ ἀρχικῆς ἀρετῆς ἀψευδέστατον βασανιστήριον, ὅταν τῇ μὲν αἰτιάσει ἡ κρίσις ἀκολουθήσῃ, τῇ δὲ κρίσει ὁ ἔλεγχος, τῷ δὲ ἐλέγχῳ ἡ ψῆφος, ἡ πρὸς τὴν ποιότητα τοῦ ἁμαρτήματος (93) τὴν τιμωρίαν ὁρίζουσα.

C

CCCLXV. — TAURO HYPARCHO.

Tum denique recta justitiæ regula servatur (o virtutis illius, quæ a præfecto requiritur verissimum examen), cum accusationem disceptatio sequitur, disceptationem probatio, probationem sententia, pro criminis qualitate supplicium constituens.

ΤΞϚ'. — ΜΑΡΤΙΝΙΑΝΩ, ΖΩΣΙΜΩ, ΜΑΡΩΝΙ, ΕΥΣΤΑΘΙΩ.

Κινδυνεύετε, ὡς πυνθάνομαι, πεφραγμένας ἀπογνώναι τὰς ἀκοὰς ἔχειν, καὶ ὡς ἂν ἐκπαλαι καθοσιώσαντες ἑαυτοὺς ταῖς τιμωρίαις, παροξύνεσθαι πρὸς τοὺς παραινοῦντα τὰ κάλλιστα. Ἐγὼ δὲ εὔχομαι ὑμᾶς ἀνενεγκεῖν ἐκ τῆς μανίας, οὐχ ὅτι βλάβην ὑποστήσομαι μὴ ἀνενεγκόντων ὑμῶν, πλὴν εἰ μή τις λέγει τὴν ἀθυμίαν τὴν προγιγνομένην μοι ἐκ τούτου. Εἰς γὰρ τὸν τοῦ μισθοῦ λόγον οὐδὲν παραβλαβήσομαι. Ἀλλ' ἐπειδὴ ποθεινοτέρα μοι ὑμῶν ἡ σωτηρία, τῆς τῶν μισθῶν ἀπολαύσεως. Εἰ δέ τις ἀπιστεῖ, πόῤῥω μὲν τυγχάνων φιλικῆς ἕξεως ἀλώσεται καὶ τὰ ἑαυτοῦ μόνον ζητῶν φωραθήσεται (94). Εἰ δὲ ἐλεγ-

D

CCCLXVI. — MARTINIANO, ZOSIMO, MARONI ET EUSTATHIO.

Desperatione obseptas aures, ut audio, habere videmini, atque, ut qui jampridem vos ipsos suppliciis devoveritis, adversus eos qui optima consilia vobis porrigunt, iracundia incitari. Ego vero, ut ex hac insania emergatis, opto, non quod, nisi emerseritis, detrimenti quidquam hinc subiturus sim (nisi tamen quispiam mœrorem, qui hinc ad me redit, commemoret : nam quod ad præmii rationem attinet, nihil damni faciam), verum quod majore salutis vestræ, quam præmii consequendi cupiditate tenear. Quod si quis mihi diffidit, is longe ab amicitiæ habitu remotus esse et sui tantum ipsius utilitati

[99] I Cor. xi, 27.

VARIÆ LECTIONES ET NOTÆ.

(93) Pro ἁμαρτήματος idem cod. legit πταίσματος. Possin.

(94) Hæc, καὶ τὰ ἑαυτοῦ... φωραθήσεται, omittebat edit. Paris., ut versa post quinto verba, ὁ δὲ

Digitized by Google

consulens deprehenditur. Quod si cum coarguitur, ad impudentiam se convertat, ac neminem mortalium hoc unquam præstitisse contendat, a viro Deo charo Mose, atque a sapientissimo Paulo refelletur. Ex quibus alter de divino libro expungi optabat, nisi Judæis ignosceretur: alter hac conditione anathema esse cupiebat, ut Judæi omnes ad vitam accederent. Quod si rursum dicat: Quid igitur? virisne illis te comparas? illud responderem: quod cum in aliis omnibus virtutum prærogativis cunctis fere hominibus nedum his duobus inferior sim, at unum tamen hoc arcte atque ardenti animo teneo, quod, quantum in me situm est, omnes salutem consequi cupiam.

A χόμενος εἰς ἀναισχυντίαν τραπείη, καὶ μηδένα ἀνθρώπων τοῦτο κατωρθωκέναι φαίη, ἐλεγχθήσεται καὶ παρὰ τοῦ θεοφιλοῦς Μωσέως, καὶ παρὰ τοῦ σοφωτάτου Παύλου. Ὧν ὁ μὲν ἐξαλειφθῆναι τῆς θείας βίβλου ἠύξατο, εἰ μὴ συγγνωσθείεν Ἰουδαῖοι, ὁ δὲ καὶ ἀνάθεμα ἠύξατο εἶναι, ἵνα Ἰουδαῖοι πάντες πιστεύσωσιν. Εἰ δὲ πάλιν φαίη· Ἐκείνοις οὖν τοῖς ἀνδράσι παραβάλλεις σαυτόν; Εἴποιμ' ἂν ὅτι ἐν τοῖς ἄλλοις ἅπασι πλεονεκτήμασιν ἁπάντων σχεδὸν ἀνθρώπων ἐλαττούμενος· οὗ φημι τούτοιν μόνον τοῖν δυοῖν· τούτου μόνου ἐκθύμως περιέχομαι, τοῦ βούλεσθαι πάντας, τόγε ἡμέτερον (95) μέρος, σωθῆναι.

CCCLXVII. — HERMOGENI ET LAMPETIO EPISCOPIS.

Quandoquidem, ut a vobis scriptum est, Eusebius, qui ad alios objurgandos, et ad falsa crimina objicienda, et confingendas absurdas reprehensiones callidissimus ac vehementissimus est, ipse quidem magis quam quivis alius iis obnoxius est quæ insectatur: verum per hoc artificium id se assecuturum putat, ut vitia sua obscura sint; id velim discat, solertiam suam stultitiam ipsi fore. Atque hoc ipsum maxime nos haudquaquam fugit, quod dum id agit ac molitur, ut flagitia sua nos fugiant, magis deprehenditur atque irretitur.

ΤΞΖ'. — ΕΡΜΟΓΕΝΕΙ ΚΑΙ ΛΑΜΠΕΤΙΩ ΕΠΙΣΚΟΠΩ.

B Ἐπειδή, ὡς γεγράφατε, δεινότατος ὢν Εὐσέβιος ἐπιτιμῆσαι ἑτέροις, καὶ αἰτιάσασθαι τὰ ψεύδη (96), καὶ μέμψεις ἀτόπους συμπλάσαι, αὐτὸς μὲν παντὸς μᾶλλον ἔνοχός ἐστιν οἷς αἰτιᾶται, διὰ δὲ μηχανῆς ταύτης λήσειν οἴεται, μανθανέτω, ὅτι τὸ σοφὸν αὐτῷ, ἠλίθιον ἔσται. Καὶ τοῦτ' αὐτὸ μάλιστα εὖ λανθάνει, ὅτι λαθεῖν μηχανώμενος, μᾶλλον ἁλίσκεται.

CCCLXVIII. — ZOSIMO PRESBYTERO.

Furibundas et rabidas carnis affectiones cicurare ac mitigare et lenire oportet: quod si non obtemperent, etiam, quoad ejus fieri potest, coercere. At tu, **400** quemadmodum fama fert, habenas ipsis remittens, quo illæ volunt duceris: volunt autem in perniciem et exitium desinere. Quamobrem ne in profundum malorum præceps feraris, da operam ut eas tanquam injecto freno reprimas.

ΤΞΗ'. — ΖΩΣΙΜΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Τὰ μεμηνότα καὶ λυττῶντα τῆς σαρκὸς πάθη τιθασσεύειν καὶ ἐξημεροῦν καὶ πραΰνειν χρή. Εἰ δὲ C μὴ πείθοιντο, καὶ κολάζειν, ὡς δέχεται. Σὺ δὲ, ὡς φασι, τὰς ἡνίας αὐτοῖς ἐνδοὺς, ἄγῃ ὅποι δ' ἂν ἐκεῖνα βούλοιντο. Βούλονται δὲ εἰς ὄλεθρον καὶ ἀπώλειαν τελευτᾶν. Ἵν' οὖν μὴ εἰς τὸν πυθμένα τῶν κακῶν ἐξακοντισθείης, φρόντισον αὐτὰ ἀνασειράσαι.

CCCLXIX. — EUSTATHIO DIACONO.

Si statim ab ipso ortu ea animi tui pars, in qua ratio sedem habet, læsa et vitiata, aut etiam propter incurabiles quosdam morbos exstincta et deleta fuisset, fortasse ob ea, quæ abs te perpetrantur, veniam obtinuisses. Cum autem id tibi minime acciderit, verum ob singularem quamdam atque insuperabilem socordiam, eam animi facultatem obrueris vel potius necaveris, idcirco ne veniam D quidem ullam ab iis, qui hæc spectant, consequeris. Nam cum eam per congruentem curam et diligentiam rursum exsuscitare queas, non modo, ut id fiat, nihil curæ suscipis, sed etiam ut nunquam id fiat, laboras. Tantum enim improbitas virtutem apud te superavit, ut ne improbitas quidem esse censeatur. Quocirca si ab hominum dicteriis liberari cupis, oculos paulum erige: ut, quo malorum proruperis, intelligens, pedem referre studeas.

ΤΞΘ'. — ΕΥΣΤΑΘΙΩ ΔΙΑΚΟΝΩ.

Εἰ μὲν κεκάκωτό σου τὸ λογιστικὸν τῆς ψυχῆς εὐθὺς ἀπὸ γονῆς, ἢ διὰ νόσους τινὰς ἀνιάτους ἠφάνιστο, ἴσως ἂν συγγνώμης ἔτυχες ἐπὶ τοῖς ἐρωμένοις. Εἰ δὲ τοῦτο μὲν οὐ πέπονθας, ὑπὸ δὲ ἀνυπερβλήτου ῥᾳθυμίας κατέχωσας τοῦτο, μᾶλλον δὲ ἐνέκρωσας, οὐδὲ συγγνώμης τυγχάνεις παρὰ τῶν θεωμένων. Δυνάμενος γὰρ τοῦτο αὖθις ἀναζωπυρῆσαι ταῖς δεούσαις ἐπιμελείαις, οὐ μόνον οὐ φροντίζεις, ὅπως τοῦτο γένηται, ἀλλὰ καὶ ὅπως μηδέποτε γένηται κατασκευάζεις. Τοσοῦτον γὰρ ἡ κακία τὴν ἀρετὴν παρὰ σοὶ παρηνδοκίμησεν, ὡς μηδὲ κακία εἶναι νομίζεσθαι. Εἰ τοίνυν βούλει τῆς κωμῳδίας ἀπαλλαγῆναι, ἀνάνευσον μικρὸν, ἵνα γνοὺς οἵ τῶν κακῶν ἐξηκοντίσθης, σπουδαίως ἀναδραμεῖν.

VARIÆ LECTIONES ET NOTÆ.

καὶ ἀνάθημα ἠύξατο εἶναι, ἵνα Ἰουδαῖοι. Locus uterque suppletur ex codice Vaticano 630 apud Possinum. Edit.

(95) Pro τό γε ἡμέτερον cod. idem habet εἰς τὸ ἐμόν μοι μέρος. Possin.

(96) Cod. Vat. 630, ψευδῆ. et vers. δ pro ἐστὶν habet ἔσται. Denique vers. auctor. pro αὐτῷ legit αὐτοῦ. Ir.

Digitized by Google

ΤΟ'. — ΕΡΜΙΝΩ ΚΟΜΗΤΙ.

Πολλοὶ μὲν τροπαιοῦχοι ἀνδρίαν κτησάμενοι, φιλανθρωπίᾳ τοὺς ὑπηκόους διεσώσαντο. Καὶ οὓς ἄκοντας κατεδουλώσαντο, τούτους ἑκόντας ἐχειρώσαντο. Ἡ μὲν γὰρ ἀνδρία δεινὴ τὸ μὴ ὑπάρχον κτήσασθαι, ἡ δὲ πραότης αὐτὸ τὸ κτηθὲν ἀμείνων φυλάξαι. Οἱ δὲ τοῦ πράου τροπαιούχου αὐχοῦντες εἶναι φοιτηταί, καὶ τοῦ οὐρανίου βασιλέως στρατιῶται, οὓς οἱ παρὰ τὴν ἀρχὴν ὑπασπισταὶ πραότητι ἑκόντας ἐχειρώσαντο, τούτους ἀλαζονείᾳ ἄκοντας ἀποσοβοῦσιν. Οὓς γὰρ ἐκεῖνοι ἑκόντας εἰς τὴν ἀρχὴν παρεστήσαντο, τούτους καὶ μὴ βουλομένους διὰ τῆς ἑαυτῶν τυραννίδος ἀπελαύνουσιν. Ὡς γὰρ λυμεῶνες καὶ ἀλάστορες, οὐχ ὡς ποιμένες τοῖς ὑπηκόοις προσφέρονται. Τί οὖν ποιητέον, ἔφης; Οὐδὲν ἄλλο ἢ ἀρετὴν ἀσκοῦντας, τὸ θεῖον ἀναμένειν δικαστήριον (97).

A

B

eos, quibus præsunt, tractant. Quid igitur facto opus est, inquis? Nihil aliud, quam ut virtutem colentes divinum tribunal exspectemus.

CCCLXX. — HERMINO COMITI.

Multi quidem victores, eos quos virtute atque animi magnitudine adepti erant, humanitate conservarunt: et quos invitos in servitutem redegerant, eosdem libentes tenuerunt. Etenim fortitudo ad id, quod non habeas, comparandum, magnam vim habet: clementia autem et facilitas, ad id, quod quæsitum est, tuendum atque conservandum majorem obtinet. At contra ii, qui lenis et mansueti victoris discipulos, ac cœlestis regis milites se esse profitentur, eos, quos primi satellites per lenitatem sponte ceperunt, per fastum et arrogantiam invitos submovent. Nam quos illi libentibus animis imperio suo ac ditioni subjecerunt: hos, etiam repugnantes, per tyrannidem suam expellunt. Siquidem ut perditores et carnifices, non autem ut pastores,

ΤΟΑ'.— ΘΕΟΔΟΣΙΩ ΠΡΕΣΒΥΤΕΡΩ (97').

Ὁ μὲν τὸν ἐγκρατέστατον καὶ αὐταρκέστατον βίον ἑλόμενος, τῇ μὲν ψυχῇ λαμπρός ἐστι καὶ μέγας, τῷ δὲ βίῳ εὐτελής. Πολλοῦ γὰρ ἄξιος ὢν, ἀναλίσκει ὀλίγα. Ὁ δὲ τὸν ἀβροδίαιτον βίον τιμῶν, καὶ τὴν φλεγμαίνουσαν τράπεζαν διώκων, τῇ μὲν ψυχῇ ταπεινός ἐστι καὶ μικρὸς, καὶ χαρίτων ἔρημος, τῷ δὲ βίῳ πολυτελής. Οὐδενὸς γὰρ ἄξιος ὢν πλεῖστα ἀναλίσκει. Διὸ ἐκεῖνος μὲν ἅτε ὀλίγοις ἀρκούμενος, πλουσιώτατον ἑαυτὸν εἶναι ἡγεῖται· οὗτος δὲ πολλὰ ἀναλίσκων, εἰς τὰς τῶν πέλας οὐσίας τὰς μιαρὰς ἑαυτοῦ ῥίπτει χεῖρας. Διὸ καὶ πενέστατον ἑαυτὸν εἶναι ἡγεῖται. Τίς οὖν τῶν ἐχεφρόνων τὸν μὲν πρότερον οὐ ζηλώσει, τὸν δὲ δεύτερον οὐ μισήσει;

CCCLXXI. — THEODOSIO PRESBYTERO.

Qui vitam maxime continentem et frugalem sibi consectandam proposuit, animo magnus et splendidus est, victus autem cultu tenuis. Nam cum ipse magni pretii sit, pauca expendit. At qui vitæ lautitiam in pretio habet ac turgidam mensam consectatur, animo quidem parvus et abjectus est, gratiisque vacuus, victu autem profusus. Nam cum ipse nullius pretii sit, plurima insumit. Quo fit, ut ille, paucis contentus, copiosissimum se esse existimet: hic autem ingentes **401** sumptus faciens, in proximorum bona scelerata suas manus injiciat, ac proinde pauperrimum se esse arbitretur. Quisnam igitur sanæ mentis priorem beatum non prædicet; secundum autem oderit ac detestetur?

C

ΤΟΒ'. — ΘΕΩΝΙ ΠΡΕΣΒΥΤΕΡΩ.
Περὶ Μάρωνος.

Λίαν ἥσθην πυθόμενος ὅτι ὁ σὸς διάδικος ὥρμησε μὲν κατὰ σοῦ ὡς αὐτοβοεὶ περιεσόμενος. Ἐῤῥάγη δὲ καθάπερ ἐν τοῖς Ὀλυμπικοῖς ἀγῶσιν ὑπὸ τῆς σῆς φιλοσοφίας νενικημένος.

CCCLXXII.— THEONI PRESBYTERO.
De Marone.

Magna voluptate affectus sum, cum illud audivi, adversarium tuum, in te quidem impetum fecisse, tanquam te statim superiorem futurum; disruptum autem fuisse, non secus atque in Olympicis certaminibus, a te sapientia victum atque prostratum.

ΤΟΓ'. — ΕΡΜΙΝΩ, ΔΩΡΟΘΕΩ, ΙΕΡΑΚΙ ΛΑΜΠΡΟΤΑΤΩ (98).

Ὁ μὲν ἀρετὴν ἀσκῶν, στέφανον ἔχει λαμπρόν· ὁ δὲ κατορθῶν μὲν, μὴ ἡγούμενος κατωρθωκέναι, καὶ αὐτοῦ τοῦ οὕτω διακεῖσθαι χάριν, στέφανον ἕξει λαμπρότερον. Ἀντίῤῥοπον γὰρ τῶν κατορθωμάτων ἐστὶ, τὸ κατορθοῦντα μὴ ἡγεῖσθαι κατωρθωκέναι. Μᾶλλον δὲ τοῦτο παρὸν μὲν κἀκεῖνα δείκνυσι μεγάλα, ἀπὸν δὲ καὶ τὰ μέγιστα κατασμικρύνει. Ὁ βουλόμενος τοιγαροῦν μεγάλα ἑαυτοῦ ποιῆσαι τὰ

D

CCCLXXIII. — HERMINO, DOROTHEO, HIERACI CLARISSIMO.

Is quidem, qui virtutem colit, præclaram coronam habet; at qui virtutis officia præstans, minime tamen se præstitisse existimat, hoc etiam ipso, quod ita affectus sit, splendidiorem coronam habiturus est. Non minoris enim, quam virtutes ipsæ, laudis est, cum ex virtute aliquid geras, minime tamen te gessisse arbitrari. Imo, ut rectius loquar, hoc cum adest, illa quoque magna esse iudicat: cum autem

VARIÆ LECTIONES ET NOTÆ.

(97) Vide Augustin. serm. 34. et seq. de verb. Apostoli. Rittt.

(97') Duobus simul hæc inscribitur epistola in cod. Vat. 650, non solum Theodosio presbytero, sed καὶ Ἐλισσαίῳ μονάζοντι, *Elisæo monacho.* Possin.

(98) Titulus hujus epistolæ, in cod. Vat. 650 valde diversus ab edito sic est: Ἄρχοντι πρεσβυτέρῳ. Vers. 2 post ἡγούμενος idem cod. addit δὲ et v. 5 post ἡγεῖσθαι adjungit τό. Ib.

Digitized by Google

abest, etiam maxima quæque imminuit. Quamobrem qui virtutes suas magnas reddere cupit, ne eas magnas esse existimet: ac tum magnæ erunt.

A κατορθώματα, μὴ ἡγείσθω αὐτὰ εἶναι μεγάλα, καὶ τότε ἔσται μεγάλα (99).

CCCLXXIV. — ARCHONTIO PRESBYTERO.

Virtus et secundas et adversas res ornare consuevit: doctrina autem illarum ornamentum, harum autem portus esse videtur. Quocirca si ambas quispiam obtinere possit, præclare se res habebit. Si autem alterutra desideretur, virtutem eligere præstat. Optimum enim esse quam videri, me quidem judice, præstantius est.

ΤΟΔ'. — ΑΡΧΟΝΤΙῼ ΠΡΕΣΒΥΤΕΡῼ (1).

Ἡ μὲν ἀρετὴ καὶ τὴν εὐημερίαν καὶ τὴν δυσημερίαν κοσμεῖν εἴωθεν· ἡ δὲ παίδευσις, τῆς μὲν δοκεῖ κόσμος εἶναι, τῆς δ' ὅρμος. Εἰ μὲν οὖν ἄμφω ἔχειν δυνατὸν, εὖ ἂν ἔχοι. Εἰ δὲ θάτερον λείπεται, ἄμεινον ἑλέσθαι τὴν ἀρετήν. Τὸ γὰρ εἶναι τοῦ δοκεῖν ἄριστον, παρ' ἐμοὶ κριτῇ προτιμότερον.

CCCLXXV. — HERMINO COMITI.

Mirifica quædam de te ii, quibus conspectu tuo frui contigit, ubique decantant, nempe quod, cum mansuetudinis decus atque ornamentum sis, atque affusum vultui tuo pudorem habeas, eos tamen, qui peccare instituunt, oculorum gravitate deterres: sic nimirum te comparans, ut iis, qui recte atque integre vivunt, serenum ac placidum vultum, iis autem, qui desidia torpent, horrendum ostendas. Illum enim iis, quibus injuria fit, profers. Istum vero iis, qui injuriam inferunt obtendis. His igitur admirandis virtutum dotibus, vir admirande, in perpetuum utere.

ΤΟΕ'. — ΕΡΜΙΝῼ ΚΟΜΗΤΙ (2).

Θαυμαστά τινα περὶ σοῦ οἱ τῆς σῆς θέας ἀπολαύ-
B σαντες περιᾴδουσιν, ὅτι ἡμερότητος τυγχάνων ἄγαλμα, καὶ ἐπανθοῦσαν ἔχων τῷ προσώπῳ τὴν αἰδῶ, τῷ βλοσυρῷ τῶν ὀφθαλμῶν, τοὺς πλημμελεῖν προῃρημένους προαναστέλλεις· τὴν μὲν γαλήνην τοῖς ὀρθῶς βιοῦσι, τὸν δὲ φόβον τοῖς ῥᾳθύμοις ἐπιδεικνύμενος. Τὴν μὲν γὰρ τοῖς ἀδικουμένοις προτείνεις, τὸν δὲ τοῖς ἀδικοῦσιν ἐφοπλίζεις. Χρῶ τοίνυν, ὦ θαυμάσιε, διὰ τέλους τοῖς θαυμαστοῖς τούτοις πλεονεκτήμασι.

CCCLXXVI.—INCERTO.

Qui una cum aliis magnis et admirandis nominibus, divinæque ipsius naturæ magnificentiam, ut licet, significantibus, etiam Verbum vocari dignatus est, verba non odit, nec sapientia sapientiam abdicat: verum tum demum et illa, et hanc extra sacrosancta septa relegat cum vitium laudant, atque idolorum cultum tuentur. Quod si nihil horum faciant, et eas amplectitur et admittit, et **402** sacris conventibus contubernales ac commensales efficit.

ΤΟϚ' (3). — ΤΙΝΙ ΗΓΝΟΗΜΕΝῼ.

Μετὰ τῶν ἄλλων ἐπωνυμιῶν τῶν μεγάλων καὶ θαυμαστῶν, καὶ τῆς θείας αὐτοῦ φύσεως τὴν μεγα-
C λοπρέπειαν, ὡς ἐνδέχεται, σημαινουσῶν, καὶ λόγος κληθῆναι καταξιώσας, οὐ μισεῖ τοὺς λόγους, οὐδὲ ἡ σοφία τὴν σοφίαν ἀποκηρύττει. Ἀλλὰ τότε κἀκείνους, καὶ ταύτην ἔξω ἱερῶν περιβόλων ἀπελαύνει, ὅταν τὴν κακίαν ἐπαινῶσι, καὶ τὴν εἰδωλολατρείαν συγκροτῶσιν. Εἰ δὲ μηδὲν τούτων ποιοῖεν, καὶ ἀσπάζεται καὶ προσίεται, καὶ τοῖς ἱεροῖς συλλόγοις συνεστίους ποιεῖ καὶ ὁμοτραπέζους.

CCCLXXVII. —GERMANO COMITI.

Non qui externos barbaros vincit, hic victor merito vocandus fuerit, sed qui intestinum voluptatum bellum conficit. Multi enim illis devictis ab istis fœdum ac miserandum in modum capti sunt.

ΤΟΖ'. — ΓΕΡΜΑΝῼ ΚΟΜΗΤΙ.

Οὐχ ὁ τοὺς ἔξωθεν βαρβάρους νικῶν, τροπαιοῦχος ἂν εἰκότως καλοῖτο· ἀλλ' ὁ τὸν ἔσω πόλεμον τῶν ἡδονῶν χειρούμενος. Πολλοὶ μὲν ἐκείνους νενικηκότες, ὑπὸ τούτων αἰσχρῶς καὶ ἐλεεινῶς ἑάλωσαν.

CCCLXXVIII. — EPIMACHO SCHOLASTICO.

Amicus tuus, in magnis negotiorum procellis relictus, atque omni mota machina, quemadmodum naucleri, quorum artem tempestas demersit, in vo-

D ΤΟΗ'. — ΕΠΙΜΑΧῼ ΣΧΟΛΑΣΤΙΚῼ.

Ὁ φίλος ὁ σὸς ἐν μεγίστῳ κλύδωνι πραγμάτων ἀπολειφθεὶς, καὶ πᾶσαν κινήσας μηχανὴν, ὥσπερ οἱ κυβερνῆται, ὧν ὁ χειμὼν τὴν τέχνην ἐβάπτισεν, ἐν

VARIÆ LECTIONES ET NOTÆ.

(99) Necessaria valde est hujus epistolæ admonitio, de cavenda in recte factis animi elatione. « Nam, ut ait Leo M. serm. 4 *De Quadragesima*, diabolus, qui omnium virtutum est adversarius, ad hoc vim suæ malignitatis armare solet, ut pietati laqueos de ipsa pietate prætendat, et quos non potuerit dejicere per diffidentiam, conetur superare per gloriam. Vicinum enim est rectis actionibus superbiæ malum, et de proximo semper virtutibus insidiatur elatio, quia difficile est, ut laudabiliter viventem laus non capiat humana, nisi, ut scriptum est, *qui gloriatur, in Domino glorietur* (*I Cor.* I, 31). » RITT.

(1) Abest hæc epistola a cod. Vatic. 650. POSSIN.

(2) In titulo hujus epistolæ post Ἑρμίνῳ κόμητι cod. Vat. 650 addit, καὶ Ἀμφοδίῳ καὶ Ἱέρακι λαμπροτάτοις. ID.

(3) Hæc epistola in cod. Vatic. 650 titulum habet: Τῷ αὐτῷ. Ante μετὰ primo vocabulo ep. idem cod. præmittit ὁ. ID.

Digitized by Google

εὐχαῖς σαλεύει. Εὔχου τοίνυν καὶ αὐτὸς ὅπως κρείττων χειμῶνος γένηται.

A tis ac precibus fluctuat. Quamobrem ipse quoque vota fac, ut tempestate superior evadat.

ΤΟΘ'. — ΘΕΟΔΩΡΩ ΣΧΟΛΑΣΤΙΚΩ.

Οὔτε ἀλαζόνα εἶναι χρὴ, οὔτε κόλακα· ἀλλ' ἀμφοτέρων τῶν κακιῶν (4) τούτων τὴν ἀμετρίαν κολάζοντα, ἐλευθέριον εἶναι, μήτε εἰς αὐθάδειαν ἀποκλίνοντα, μήτε εἰς δουλοπρέπειαν καταπίπτοντα.

CCCLXXIX. — THEODORO SCHOLASTICO.

Nec vanum et arrogantem esse oportet, nec adulatorem, verum utriusque vitii excessum fugientem, liberum esse : sic nempe ut nec in fastidium et insolentiam quispiam declinet, nec in servilem quamdam animi affectionem prolabatur.

ΤΠ'. — ΤΙΜΟΘΕΩ ΣΧΟΛΑΣΤΙΚΩ.

Μάνθανε, ὦ σοφώτατε, καὶ ῥητορικώτατε, ὅπερ κινδυνεύεις, ὡς ἔοικεν, ἀγνοεῖν, ὅτι εἰ συμβαίη φίλοις πρὸς ἀλλήλους διενεχθῆναι, ἢ ἐχθροῖς, οὐχ ὁμοίως διαγωνιοῦνται· ἀλλ' οἱ μὲν ὡς διαλλαγησόμενοι διοίσονται, οἱ δὲ ὡς ἀκήρυκτον ἔξοντες τὸν πόλεμον.

CCCLXXX. — TIMOTHEO SCHOLASTICO.

Disce, o sapientissime et disertissime, id quod, ut apparet, ignoras, nempe quod si amicis aut inimicis inter se dissidere contingat, non eodem modo concertabunt : verum illi quidem, ut in mutuam gratiam redituri, contendent ; hi autem, ut inexpiabile B bellum habituri.

ΤΠΑ'. — ΔΩΡΟΘΕΩ ΛΑΜΠΡΟΤΑΤΩ.

Ἐγὼ καὶ μετριόφρονα καλῶ καὶ μεγαλόφρονα, τὸν μέγιστα μὲν κατορθοῦντα, τῆς δὲ ἐπὶ τῷ μεγάλα πράττειν μὴ ἀντιποιούμενον δόξης, ἀλλὰ σιωπῇ κρύπτοντα τὰ πλεονεκτήματα, καὶ κατὰ τῶν πέλας μὴ ἐπιφυόμενον. Τῷ μὲν γὰρ πρᾶξαι μεγάλα, μεγάλως ἐφρόνησε, τῷ δὲ κρύψαι, μετρίως· τῷ γὰρ μικρόφρονι τὸν μεγαλόφρονα ἀντισταλτέον, καὶ οὐ τῷ ταπεινόφρονι. Μικρὰ γὰρ φρονεῖ, ὁ τὰ γῆϊνα ὀνειροπολῶν. Μεγάλα δὲ, ὁ τὰ ὑπερκόσμια ζητῶν. Διὸ δὴ καὶ ἀπὸ μεγάλης μὲν καὶ ὑψηλῆς διανοίας τίκτεσθαι συμβαίνει τὴν ταπεινοφροσύνην, ἀπὸ δὲ μικρᾶς καὶ φαύλης τὴν ἀλαζονείαν. Εὐγνώμονα δὲ οὐ ταπεινόφρονα κλητέον, τὸν πταίοντα μὲν, ὁμολογοῦντα δὲ καὶ γνωσιμαχοῦντα, οἷος ἦν ὁ τελώνης. Κενόδοξον C δὲ, τὸν ἐφ' οἷς μὴ πράττει δοξάζεσθαι βουλόμενον· φιλόδοξον δὲ, τὸν ἐφ' οἷς πράττει ἐναβρυνόμενον· ὑπερήφανον δὲ, τὸν πράττοντα μὲν, σεμνυνόμενον δὲ, καὶ τοὺς ἄλλους ὀνειδίζοντα· μεγαλόψυχον δὲ, τὸν καὶ τὴν εὐημερίαν μετρίως, καὶ τὴν δυσπραγίαν γενναίως φέροντα· μικρόψυχον δὲ, τὸν τἀναντία τῷ μεγαλοψύχῳ πράττοντά τε καὶ πάσχοντα.

CCCLXXXI. — DOROTHEO CLARISSIMO.

Ego et modestum et animi magnitudine præstantem eum voco, qui cum maximis virtutis muneribus fungatur, non tamen ob magnas et præclaras actiones gloriam affectat, verum virtutes suas silentio tegit, nec in proximos insultat. Quatenus enim magna efficit, magnifice sensit; quatenus autem ea occultavit, modeste. Siquidem is, qui parvo animo est, magnanimo opponi debet : non autem submisso et humili. Exigue enim sentit, qui terrena insomnii errore sibi fingit; magne autem et excelse, qui ea, quæ mundo sublimiora sunt, quærit. Unde etiam a magna quidem et sublimi mente animi submissionem ac modestiam procreari contingit; a parva autem et vili, arrogantiam. At enimvero eum judicii sinceritate præditum, non autem modestum, vocare debemus, qui cum peccet, id confitetur, ac pœnitudine ducitur, ut publicanus. Κενόδοξον autem, hoc est inanis gloriæ morbo laborantem, qui ob ea, quæ minime agit, gloriam consequi cupit; φιλόδοξον vero, id est gloriæ amantem, eum, qui ob ea quæ agit, sibi placet: insolentem item, qui facit quidem, sed ea nomine gloriatur, aliosque probris afficit; magnanimum porro, eum, qui et res secundas moderate, et sinistras fortiter ac strenue fert; μικρόψυχον denique, hoc 403 est parvi animi hominem, qui contraria magnanimo facit, ac moderatur.

ΤΠΒ'. — ΤΩ ΑΥΤΩ.

Εἰ καὶ, ὡς γέγραφας, ὁ λόγος τὸν κρότον ἐγέννησεν· ἀλλ' οὖν γε καὶ ὁ κρότος τὸν λόγον ἐπέῤῥωσεν ἔρεισμα τῷ τεκόντι φανείς. Ἀλλ' ἐπειδὴ πολλάκις ὁ κρότος τὸν μὲν λόγον νευροῖ, τὸν δὲ τρόπον τοῦ λέγοντος λυμαίνεται, εἰς ὑπτιότητα αὐτὸν χειραγωγῶν, παραινῶ τῇ σῇ συνέσει, μάλιστα μὲν τῷ Θεῷ εἰδέναι χάριν, τῷ καὶ τοιαύτην δεδωκότι χάριν· εἰ δὲ καὶ ἐπαινεῖν βούλει (ὡς γὰρ ἔφης ἀδύνατον, μὴ κρότοις τὸν λόγον ἀμείβεσθαι), τὸν λόγον ἐπαινῶν, ὡς βούλει, μὴ ἄμετρα ὕφαινε κατ' ἐμοῦ ἐγκώμια, ἵνα μή με ὀπτιώσῃς.

CCCLXXXII. — EIDEM.

D Etsi, ut abs te scriptum est, oratio plausum peperit : at etiam orationi plausus robur comparavit, quippe qui parenti adminiculi loco fuerit. At quoniam sæpenumero usu venit, ut plausus orationi quidem robur comparet, verum oratoris mores inficiat et labefactet, ad supinitatem videlicet ac socordiam eum tanquam porrecta manu ducens, prudentiam tuam moneo, maxime quidem ut Deo, qui hujusmodi gratiam largitus est, gratiam habeas, quod si etiam laudare vis (negas enim fieri posse ut orationi plausus tandem non rependatur), orationem quidem arbitratu tuo laudans, ne nimias adversum me laudes contexas, ut ne me supinum atque ignavum reddas.

VARIÆ LECTIONES ET NOTÆ.

(4) Pro τῶν κακιῶν cod. Vat. 650 legit τῶν κακῶν. Possin.

Digitized by Google

CCCLXXXIII.—DIOGENI PRESBYTERO.

Consimili modo mihi peccare videntur, et qui ad maximas virtutes silentio veritatem produnt (livore enim, hoc est gravissimo, atque prudentum virorum judicio veniæ experte affectu, contabescunt), et qui eos, qui omni commemoratione carent, nimis prompte ac temere laudibus afficiunt. Siquidem adulatorum notam atque infamiam sibi inurunt, qui eos qui castigatione opus habent, laudare aggrediuntur.

CCCLXXXIV.— TIMOTHEO CLARISSIMO.

Quod tu quidem non despicabilem lenitatem habeas, nec agrestem et immanem fortitudinem (humanitas enim ac mansuetudo crudelitatem coercet), omnes exploratum habemus. Quod autem aliis quoque virtutibus redimitum te esse oporteat, ut in omni laudis genere clarus sis, hoc ex me discas velim.

CCCLXXXV. — THEODOSIO PRESBYTERO.

Non simpliciter adoritur callidus ille prædo eos, qui hoc tempestatis plenum mare navigant : verum exploratis prius atque cognitis animæ propensionibus et appetitionibus, ita demum aggreditur, ac machinas suas instruit. Quid enim est, quamobrem Judam non ad libidinem, sed ad proditionem impulerit? Nimirum quia partem illam præsidiis firmatam videbat : eam autem, quæ ad avaritiam pertinebat, infirmam et imbecillem. Ex crumenæ enim furto in spem venit fore, ut ipse ad proditionem quoque facile se conferret. Quocirca uniuscujusque appetitiones atque inclinationes et assensus inquirens, nec tempus ullum aut horam prætermittens, ita denique materias externe subministrat, atque in ea parte, ad quam eum propensionem habere sentit, vulnus infert. Ac propterea eum, qui laudem et gloriam et consequi cupit, omni ex parte munitum ac obseptum esse oportet. Sæpenumero enim hominis vitam, non secus ac civitatem quamdam inexpugnabilibus muris circumdatam, per nutantem et imbecillam partem ditioni suæ subjecit, atque inanem et inutilem reliquorum murorum firmitatem reddidit.

404 CCCLXXXVI. —ELISÆO MONACHO.
De Arianis et Eunomianis.

Si sanctus Daniel, angelum conspicatus, atque ex conspecti pulchritudine admiratione perculsus, in terram pronus cecidit, spectaculi videlicet novitate attonitus : quamnam tandem excusationem habituri sunt, qui Patri et Filio arbitros ac sequestros se præbere audent, naturamque omnem sermonis facultatem superantem sermonibus superare aggrediuntur?

CCCLXXXVII. — LEONTIO EPISCOPO

Ego te, o puritatis delubrum, non sacerdotii nomine admiror : sed quia illud, ut conveniebat, es

ΤΠΓ'. — ΔΙΟΓΕΝΕΙ ΠΡΕΣΒΥΤΕΡΩ.

Ἀδελφὰ ἁμαρτάνειν μοι δοκοῦσιν, οἵ τε ἐπὶ τοῖς μεγίστοις κατορθώμασι σιγῇ προέμενοι (5) τὴν ἀλήθειαν, (φθόνῳ γὰρ τήκονται, πάθει χαλεπωτάτῳ, καὶ συγγνώμης παρά γε τοῖς ἐχέφροσιν ἀμοίρῳ) καὶ οἱ προχείρως ἐπαινοῦντες τοὺς πάσης εὐφημίας ἐρήμους. Τὴν γὰρ τῶν κολάκων ἐναπομάττονται δυσκλειαν, τοῦ σωφρονισμοῦ δεομένους ἐγκωμιάζειν ἐπιχειροῦντες.

ΤΠΔ'. — ΤΙΜΟΘΕΩ ΛΑΜΠΡΟΤΑΤΩ.

Ὅτι μὲν τὸ πρᾶον οὐκ εὐκαταφρόνητον ἔχεις, οὐδὲ τὸ ἀνδρεῖον ἀνήμερον (ἡ γὰρ φιλανθρωπία κολάζει τὴν ὠμότητα) ἅπαντες ἴσμεν. Ὅτι δὲ χρὴ σε καὶ τὰς ἄλλας ἀρετὰς ἀναδήσασθαι, ἵνα ἐν πᾶσι διαλάμποις, τοῦτο παρ' ἐμοῦ μάνθανε.

ΤΠΕ'. — ΘΕΟΔΟΣΙΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Οὐχ ἁπλῶς ἐπιτίθεται ὁ δεινὸς πειράτης τοῖς ταύτην τὴν χειμῶνος γέμουσαν πλέουσι θάλατταν, ἀλλὰ πρῶτον διακωδωνήσας, καὶ τὰς ῥοπὰς καὶ τὰς ὁρμὰς τῆς ψυχῆς καταμαθὼν, οὕτως ἐπιχειρεῖ, καὶ τὰς μηχανὰς πλέκει. Διὰ τί γὰρ εἰς πορνείαν οὐκ ὤθησε τὸν Ἰούδαν, ἀλλ' εἰς προδοσίαν; Ὅτι ἐκεῖνο μὲν τὸ μέρος ἐώρα ἠσφαλισμένον· τὸ δὲ περὶ φιλοχρηματίαν σφαλερὸν καὶ σαθρόν. Ἐκ γὰρ τῆς κλοπῆς τοῦ γλωσσοκόμου ἤλπισε καὶ εἰς προδοσίαν αὐτὸν ῥᾳδίως ὁρμήσειν. Τὰς ὁρμὰς οὖν ἑκάστου καὶ τὰς συγκαταθέσεις πολυπραγμονῶν, καὶ οὐδένα καιρὸν οὐδ' ὥραν παραλείπων, οὕτως τὰς ὕλας ἔξωθεν χορηγεῖ, καὶ εἰς ὃ ἐπιῤῥεπῶς ἔχοντα αἰσθάνεται, εἰς ἐκεῖνο τιτρώσκει. Χρὴ οὖν πανταχόθεν ἠσφαλίσθαι τὸν εὐδόκιμον. Πολλάκις γὰρ πολιτείαν ὥσπερ πόλιν ἀπορθήτοις τείχεσι πεπυργωμένην, διὰ *μέρους* σαθροῦ παρεστήσατο, ματαίαν τὴν τῶν λοιπῶν τειχῶν δείξας ὀχυρότητα.

ΤΠΣ'. — ΕΛΙΣΣΑΙΩ ΜΟΝΑΖΟΝΤΙ.
Περὶ Ἀρειανῶν καὶ Εὐνομιανῶν.

Εἰ ὁ ἅγιος Δανιὴλ ἄγγελον θεασάμενος, καὶ ἀγασθεὶς τὸ κάλλος τοῦ ὀφθέντος, πρηνὴς ἔπεσεν, ἐκπλαγεὶς πρὸς τὸ παράδοξον τῆς θέας· ποίαν ἕξουσιν ἀπολογίαν, οἱ Πατρὶ καὶ Υἱῷ μεσιτεύειν τολμῶντες, καὶ τὴν ἄῤῥητον φύσιν λόγοις ζυγοστατεῖν ἐπιχειροῦντες;

ΤΠΖ'. — ΛΕΟΝΤΙΩ ΕΠΙΣΚΟΠΩ.

Ἐγώ σε, ὦ ἁγνείας ἀνάκτορον, οὐκ ἐκ τῆς ἱερωσύνης θαυμάζω· ἀλλ' ὅτι προσηκόντως ταύτης τετύ-

VARIÆ LECTIONES ET NOTÆ.

(5) Idem cod. προέμενοι mutat in προσιέμενοι, et vers. post quarto ἐρήμους in ἀμοίρους. Possin.

Digitized by Google

χηκας. Πολλοὶ μὲν γὰρ αὐτῇ ἐπεκώμασαν οὐκ εὐαγῶς· οἱ δὲ εἰκότως τετυχηκότες τῆς τιμῆς, καὶ διὰ τέλους ἑαυτοὺς οὐ μόνον μέμψεως κρείττους, ἀλλὰ καὶ θαύματος ἀξίους ἀποφήναντες, οὗτοι παρὰ πάντων ἀναῤῥηθῆναι ἂν εἶεν δίκαιοι. Ὧν εἷς καὶ αὐτὸς τυγχάνων, μυρίοις ὀφθαλμοῖς τὰ κατὰ σαυτὴν περισκόπει· μή ποτέ τι παροφθὲν, τῇ τοσαύτῃ λυμήνηται ἀρετῇ. A consecutus. Multi enim ad eam dignitatem haud pie sancteque irruperunt : qui autem eam honesta ratione obtinuerunt, ac perpetuo seipsos non modo omni reprehensione superiores, sed etiam admiratione dignos præstiterunt, hi omnium laude ac prædicatione efferri merentur. Quorum in numero cum ipse quoque sis, sexcentis oculis vitam tuam ac mores circumspice : nec alioqui neglectum abs te quidpiam tantæ virtuti labem ac perniciem afferat.

ΤΠΗ'. — ΙΕΡΑΚΙ ΠΡΕΣΒΥΤΕΡΩ.

Περὶ ἀναγνώσεως, κατὰ Ἑλλήνων. Περὶ τῆς χάριτος τῶν θεοπνεύστων Γραφῶν, καὶ τῆς ἐξ αὐτῶν ὠφελείας.

Οἱ θεῖοι καὶ οὐράνιοι χρησμοὶ τοῖς μὲν τῶν καλῶν ἀνεράστοις (6) γράμματα μόνον εἶναι δοκοῦσι τοῖς δὲ ὑπερκοσμίοις [καὶ] φιλοθεάμοσι, λειμῶνές εἰσιν εὐ- B ανθεῖς, ὥσπερ ἐξ οὐρανίου νέκταρος βρύοντες ἀκηράτοις ἄνθεσιν. Ἐξαρκοῦσι μὲν γὰρ καὶ μόνον ῥηθέντες πρὸς ἔκπληξιν· κατανοοῦσι δὲ σχολὴν ἄγειν οὐκ ἐπιτρέπουσιν, ἀλλὰ παρασκευάζουσι πᾶσαν τὴν νοερὰν αἴσθησιν τρέπειν (7) εἰς ἑαυτοὺς, ὡς πρὶν τὸ παρὸν ἀκριβῶς θεάσασθαι, ποθεῖν τὸ ἐξῆς· κἀκεῖνο θεασαμένους, ὅπερ ἀπέλιπον ζητεῖν, καὶ τὸ τρίτον ἰδόντας, οὐκ ἔχειν ὅτι θαυμάσουσιν. Εἶσω γὰρ τοῦ γράμματος παραπέμποντες τὸν νοῦν, τοσούτου πίμπλανται θαύματος, καὶ τοσαύτης πληροῦνται χάριτος, ὥστε μηδὲν ἔτι χωρῆσαι τῶν ἐπιγείων πραγμάτων δύνασθαι, μηδὲ ἂν πάντα πρὸς αὐτοὺς συῤῥέῃ τὰ περιμάχητα, λήθης ὧν πρότερον ἐθαύμαζον ἐκνικησάσης. Divina et cœlestia oracula, iis quidem, qui pulchrarum rerum fastidio tenentur, litteræ solum esse videntur : iis autem, qui supra mundum assurrexerunt, ac spectaculis gaudent, virentes et amœni sunt, tanquam ex cœlesti nectare purissimis floribus scatentes. Etenim, vel pronuntiata duntaxat, ad animos admiratione defigendos sufficiunt : iis autem, qui ea considerant et animadvertunt, feriari non permittunt : verum hoc efficiunt, ut omnes animi sensus ad ea se convertant : adeo ut priusquam id, quod præsens est, conspexerint, id quod sequitur expetant : et cum illud perspexerint, id quod reliquerint quærant : et cum id quod tertium est, viderint, quod potissimum admirentur non habeant. Intra enim litteræ penetralia mentem mittentes, tanta admiratione implentur, ac tanta gratia cumulantur, ut jam terrenarum rerum nihil capere queant, ne si omnia quidem ea quæ certatim homines appetunt, ad ipsos confluant : quod videlicet earum rerum, quas prius admiratione prosequebantur, oblivio victrix exstiterit.

CCCLXXXVIII. — HIERACI PRESBYTERO.

De lectione, contra gentiles. — De gratia divinitus inspiratarum Scripturarum, et utilitate.

ΤΠΘ'. — ΔΙΟΓΕΝΕΙ ΜΑΓΙΣΤΡΙΑΝΩ.

Εἰς τὸ γεγραμμένον, « Ἐὰν ἴδῃς τὸ ὑποζύγιον τοῦ ἐχθροῦ σου πεπτωκὸς ὑπὸ τὸν γόμον, οὐ παρελεύσῃ ἀλλὰ συνεγείρῃς. »

Καὶ ἐν τῇ Παλαιᾷ Διαθήκῃ, ὦ σοφὲ, ἐπειδήπερ ἀπὸ ταύτης μόνης ἡμῖν διαλέγῃ, τὴν Νέαν παρεὶς, εἰ καὶ (8) μὴ φανερῶς μηδὲ διαῤῥήδην, ἀλλ' αἰνιγματωδῶς ἡμῖν ἐνομοθέτησεν ἡ ἡμερωτάτη φύσις, καταλλάττεσθαι τῷ ἐχθρῷ, φήσασα· « Ἐὰν ἴδῃς τὸ ὑποζύγιον τοῦ ἐχθροῦ σου πεπτωκὸς ὑπὸ τὸν γόμον, οὐ παρελεύσῃ, ἀλλὰ συνεγείρῃς αὐτό. » Εἰ δὲ οὐκ ἐφικνῇ ἀτενίσαι πρὸς τὸ βάθος τοῦ χρησμοῦ, ἐγώ σοι τοῦτον ἑρμηνεῦσαι, καὶ τοῦ νομοθέτου ἀναπτύξαι τὸ βούλημα πειράσομαι. Οὐ γὰρ τοῦ ζώου τοσοῦτον κηδόμενος, ἀλλ' αὐτῶν ἕνεκα μάλιστα τῶν ἀνθρώπων τοῦτ' ἐθέσπισεν. Ὁ γὰρ ἐχθρὸς ἐρχόμενος εἰς τὸ D συνεγεῖραι τὸ πεπτωκὸς ζῶον, πάντως ὁμιλήσει τῷ ἐχθρῷ, καὶ λέξει, ἐκεῖθεν σὺ ἔγειρον, κἀγὼ ἐντεῦθεν. Ὁμιλία δὲ προοίμιόν ἐστι καταλλαγῆς, καὶ ὁδὸς ἐπὶ φιλίαν ἄγουσα. Τρία τοίνυν κάλλιστα ἐσπούδασε κατορθωθῆναι ἡ θεία γαληνότης, ἓν μὲν, τὸ μὴ C CCCLXXXIX. — DIOGENI MAGISTRIANO.

In illud, « Si videris jumentum inimici cecidisse sub onus, non præteribis, sed eriges ipsum [80]. »

Et in Veteri quoque Testamento, vir erudite (quoniam ab eo duntaxat nobiscum disputas, Novo prætermisso), si non aperte ac disertis **405** verbis, at obscure saltem, nobis mansuetissima illa natura, ut cum inimico in gratiam redeamus præscripsit, his verbis utens : « Si videris jumentum inimici tui prolapsum in foveam, non pertransibis, sed eriges ipsum [81]. » Quod si tu in hujusce oraculi penetrale oculorum aciem intendere nequis, ego tibi illud interpretari, ac legislatoris mentem explicare conabor. Non enim quod animantis cura tantopere tangeretur, sed ipsorum præsertim hominum causa hanc legem tulit. Nam inimicus, ad prolapsum animal erigendum accedens, inimicum omnino alloquetur, ac dicet : Tu istinc erige, ego hinc. Colloquium porro reconciliationis præludium est, ac via ad amicitiam ducens. Quamobrem divinæ

[80] Exod. XXIII, 4, 5.

VARIÆ LECTIONES ET NOTÆ.

(6) Ed. Paris., ἐν ἁρίστοις. Emend. ex cod. Vatic. 650. Edit.

(7) Cod. Vatic. 650 scribit πρέπειν et vers. pen- ultimo post περιμάχητα addit ἀλλὰ καί. Possin.

(8) Pro εἰ καὶ, cod. Vat. 650 leg. κἂν. Id.

Digitized by Google

providentiæ tranquillitas tria pulcherrima hoc loco sibi informanda proposuit : unum quidem, ne pereat animal ; alterum, ne tantam dominus ejus jacturam faciat ; tertium denique, ut inimici in gratiam redeant. Qui enim beneficio affectus est, nisi sensu magis quam lapides privatus sit, ei a quo beneficium acceperit, par pari referre curabit. Alter vero beneficus audiens, inimicum non amplius eo nomine definiet. Viden' qui ineffabilis illa leges suas ferat ?

A διαφθαρῆναι τὸ ζῶον· ἕτερον δὲ, τὸ μὴ ζημιωθῆναι τὸν δεσπότην. Τρίτον δὲ, τὸ καταλλαγῆναι πρὸς φιλίαν τοὺς ἐχθρούς. Ὁ γὰρ παθὼν εὖ, εἰ καὶ λίθων ἀναισθητότερος εἴη, σπουδάσει ἀμείψασθαι τὸν εὐεργέτην· ὁ δὲ εὐεργέτην ἐπιγραφόμενος, οὐκ ἂν δήπου ἐχθρὸν ἔτι ὁριεῖται. Ὁρᾷς πῶς ἡ ἄῤῥητος σοφία πρὸς ἀγαθότητα καὶ φιλανθρωπίαν βλέπουσα νομοθετεῖ (9);

sapientia ad bonitatem et humanitatem collimans

CCCXC. — LAMPETIO DIACONO.

Etsi hyperbolice dictum esse quidam existimaturi sunt, id quod dicturus sum (non enim me fugit multos ignave atque effeminate affectos esse) ; ego tamen sententiam meam dicam. Arbitror enim nonnullos fore, qui eam approbent. Quod si etiam nemo comprobaturus sit, veritas præferatur. Quid igitur est quod dicere volo ? Breviter exponendum est. Libentius, cum de omnibus bene meritus essem, tanquam qui injuria omnes affecissem, pœnas darem : quam cum unum læsissem, tanquam de omnibus bene meritus, corona donarer ac prædicarer.

Τι'. — ΛΑΜΠΕΤΙΩ ΔΙΑΚΟΝΩ.

Εἰ καὶ ὑπερβολικῶς νομιοῦσί τινες εἰρῆσθαι τὸ ῥηθησόμενον (οἶδα γὰρ πολλοὺς ἀγεννῶς καὶ ἀνάνδρως (10) διακειμένους) ἐγὼ τὴν ἐμαυτοῦ γνώμην φράσω. Ἡγοῦμαι γὰρ, εἶναί τινας τοὺς ἀποδεξομένους· εἰ δὲ καὶ μηδεὶς ἀποδέξοιτο, ἡ ἀλήθεια προκεκρίσθω. Τί οὖν ἐστιν ὃ βούλομαι φράσαι ; Συντόμως λεκτέον. Ἥδιστα ἂν (11) πάντας εὐεργετήσας, ὡς πάντας ἀδικήσας, δοίην δίκην, ἢ ἀδικήσας τινὰ, ὡς πάντας εὐεργετήσας, στεφανωθείην καὶ ἀναῤῥηθείην.

CCCXCI. — EIDEM.

In illud Deuteronomii de stellis dictum, « Quæ attribuit Dominus Deus tuus omnibus gentibus [81]. »

Quid est, inquis, quod de cœlestibus luminaribus dictum est, « Quæ tribuit Dominus Deus tuus omnibus nationibus ? » Audi igitur. Ad doctrinam et institutionem ac cognitionem ea tribuit, ut ex rerum conditarum magnitudine Creator, qui oculis cerni non potest, conspiciatur. Hoc autem idcirco dixit, quoniam Hebræis una cum rerum creatione legis quoque doctrina data est, artificem et architectum prædicans et concelebrans. Quod si quidam ideo tributa ea esse putent, ut ipsis adorationem adhibeant, inscitiam suam perspicue produnt : quippe cum universa Scriptura sacra eos, qui hoc facere ausi sunt, accuset, atque acerrime reprehendat.

ΤΙΑ'. — ΤΩ ΑΥΤΩ.

Τοῦ Δευτερονομίου. Εἰς τὸ εἰρημένον περὶ τῶν ἀστέρων, « Ἃ ἀπένειμε Κύριος ὁ Θεός σου πᾶσι τοῖς ἔθνεσιν. »

Τί ἐστιν, ἔφης, τὸ περὶ τῶν οὐρανίων φωστήρων εἰρημένον, « Ἃ ἀπένειμε Κύριος ὁ Θεός σου πᾶσι τοῖς ἔθνεσιν ; » Ἄκουε τοίνυν, ἀπένειμε πρὸς διδασκαλίαν, πρὸς παίδευσιν, πρὸς γνῶσιν, ἵν' ἐκ τοῦ μεγέθους, καὶ τῆς καλλονῆς τῶν κτισμάτων ὁ γενεσιουργὸς, ἀόρατος ὤν, θεωρῆται. Τοῦτο δὲ ἔφη, ἐπειδὴ τοῖς Ἑβραίοις μετὰ τῆς κτίσεως καὶ ἡ τοῦ νόμου διδασκαλία ἐδόθη, ἀνακηρύττουσα τὸν δημιουργὸν καὶ τεχνίτην. Εἰ δέ τινες οἴονται ἀπονενεμῆσθαι πρὸς τὸ προσκυνῆσαι αὐτοῖς, λαμπρῶς τὴν οἰκείαν ἀπαιδευσίαν στηλιτεύουσι (12), πάσης τῆς ἱερᾶς Γραφῆς αἰτιωμένης, καὶ καταφορικῶς κατηγορούσης τῶν τοῦτο ποιῆσαι τολμησάντων.

406 CCCXCII. — HIERACI CLARISSIMO.

Non parvum, vir optime, verum quantum maximum edi potest, virtutis indicium exhibes, qui bonam potius famam colligere, quam ingentes opes cumulare in animum induxeris. Quamobrem si in hac sententia perstiteris, non defuturi sunt, qui te laudibus vehant, ac prudentiam tuam ad omnes mortales perferant.

ΤΙΒ'. — ΙΕΡΑΚΙ ΛΑΜΠΡΟΤΑΤΩ.

Ἀρετῆς σημεῖον οὐ μικρὸν, ὦ ἄριστε, ἀλλ' ὡς δυνατὸν καὶ μέγιστον ἐκφέρεις, προῃρημένος δόξαν καλὴν κτήσασθαι μᾶλλον ἢ πλοῦτον μέγαν συναγαγεῖν (13). Ὥστε ἂν ἐμμείνῃς ταύτῃ τῇ γνώμῃ, οὐκ ἀπορήσεις τῶν ἐγκωμιασομένων καὶ πᾶσιν ἀνθρώποις τὴν σὴν φρόνησιν ἀγόντων (14).

[81] Deut. IV, 19.

VARIÆ LECTIONES ET NOTÆ.

(9) Confer epist. 410 infra hujus libri et Philonem ; item Augustin. serm. 168 et 254 *De temp.* RITT.

(10) Pro ἀνάνδρως cod. Vat. 650 scribit ἄνδρας : Possin.

(11) *Ἥδιστα ἄν.* Forte, ἥδιον ἄν. In hujusmodi enim comparationibus non superlativo, sed comparativo locus est. Ad rem quod attinet, non absimile est huic Isidori sententiæ (melius esse, ut quis bene de omnibus meritus inique plectatur, quam immerens atque indignus præmio afficiatur) illud Platonis paradoxon : Præstare puniri ob peccata, quam impunitum abire. RITT.

(12) Contra tales graviter concionatur Leo M. Ib.

(13) Vid. J. Stobæum, serm. 104. Ib.

(14) Cod. Vat. 650 ἀγόντων. Poss.

Digitized by Google

Τιγ'. — ΑΡΠΟΚΡΑ ΣΟΦΙΣΤΗ'.

Οἱ τὰς τῶν λόγων δυνάμεις ἀποδοκιμάζοντες, οὐ λανθάνουσι τὸ τῆς οἰκείας ἀλογίας ὄνειδος ἐπὶ ταύτας μεταφέρειν τολμῶντες. Οἱ δὲ ταύτας ἀποδεχόμενοι μὲν, ὅταν τῇ ἀληθείᾳ συναγωνίζοιντο, κακίζοντες δὲ ὅταν τῇ κακίᾳ συμπράττοιεν· οὗτοι καὶ τὴν τῆς ἀνθρωπότητος εὐγένειαν ἴσασιν, ὅτι λόγῳ τετίμηται, καὶ τὴν τῆς κακουργίας τῶν οὐκ ὀρθῶς τοῖς λόγοις χρωμένων οὐκ ἀγνοοῦσι σκαιότητα.

CCCXCIII. — HARPOCRÆ SOPHISTÆ.

Qui sermonis facultatem improbant, non est obscurum quin inscitiæ suæ ac infantiæ probrum in eam derivare audeant. Qui autem eam probant, cum veritatis patrocinium suscipit, vituperant autem, cum improbitati operam navat, hi nimirum et humanæ naturæ nobilitatem, ut quæ sermone donata sit, cognitam atque perspectam habent, et malignitatis eorum qui sermonibus non recte utuntur, absurditatem haudquaquam ignorant.

Τιδ'. — ΔΩΡΟΘΕΩ ΛΑΜΠΡΟΤΑΤΩ.

Ἀπιστεῖν μέν σοι οὐκ ἔχω· παραινῶ δὲ μὴ σκανδαλίζεσθαι, ἀλλ' ἀναμένειν τὴν ἀδέκαστον κρίσιν. Καὶ γὰρ παραινέσας τοιαῦτα, καὶ ἄλλον ἄνδρα μισοπόνηρον ἀνέστειλα, ταὐτά σοι φράσαντα καὶ καταῤῥητορεύσαντα αὐτὴν, καὶ φήσαντα· Οἱ μὲν ἀπόστολοι, ἅτε τῷ θείῳ Πνεύματι σεσοφισμένοι, καὶ τὴν Ἐκκλησίαν, ὡς δεσποτικὴν νύμφην οὕτω διεκόσμησαν, ὡς μήτε τῶν χειρόνων αὐτῇ μηδὲν διενοχλεῖν, μήτ' εἶναί τι κάλλιον, ὃ χρὴ τῷ θεσμῷ προστεθῆναι. Τινὲς δὲ τῶν νῦν τὸν διδασκαλικὸν οὐκ οἶδ' ὅπως ἐμπεπιστευμένων θρόνον, τολμῶσι νεωτερίζειν, καὶ τὸν παρ' ἐκείνων κοσμίως καὶ εὐσεβῶς θεμελιωθέντα θεσμὸν ἀτιμάσαντες, τὰ οἰκεῖα προχρίνουσι, τὸν ἐξ ἀρχῆς κόσμον ἀτιμότερον, δι' ὧν ποιοῦσι νομίζοντες. Ἵνα γὰρ τὰ ἄλλα παρῶ, ἓν εἰς ὃ πάντα τείνει λέξω· ἐκείνῳ γὰρ (15) τῷ χρήμασιν ὠνήσασθαι προσδοκήσαντι τὴν ἀποστολικὴν ἀξίαν, ἐπιπληξάντων καὶ φησάντων, « Τὸ ἀργύριόν σου σὺν σοὶ εἴη εἰς ἀπώλειαν, ὅτι τὴν δωρεὰν τοῦ Θεοῦ ἐνόμισας διὰ χρημάτων κτᾶσθαι, οὐκ ἔστι σοι μερὶς οὔτε κλῆρος ἐν τῷ λόγῳ τούτῳ· » οὗτοι τούτοις μάλιστα τοῖς ἱερωσύνην ἐνεχείρισαν, τοῖς ὥσπερ ἐξ ἀγορᾶς αὐτὴν ὠνησαμένοις. Καὶ οὐ τοῦτό πω δεινὸν, καίπερ ὂν δεινόν· ἀλλὰ καὶ μεῖζον φρονοῦσιν ἐπὶ τούτῳ ἢ ἕτεροι ἐπὶ καλοκἀγαθίᾳ καὶ ἀκτημοσύνῃ. Καὶ ὅταν μὲν δόξωσι παρά τινων λοιδορεῖσθαι, εὐθὺς τὸ ἀποστολικὸν ἀξίωμα προφέρουσιν (οὐ γὰρ ἡμᾶς, φασὶν, ἀλλὰ τὴν ἐπισκοπὴν ὕβρισαν)· ὅταν δὲ δέῃ τι πρᾶξαι τῶν δεόντων, οὐκ ἔτι τοῦτο προφέρουσιν, ὡς ἐξὸν αὐτοῖς τιμᾶσθαι μὲν ὡς ἀποστόλους, μὴ πράττειν δὲ ὡς ἀποστόλους. Ὥσπερ τοίνυν ἐκεῖνος πεισθεὶς τῇ ἡμετέρᾳ παραινέσει, καὶ ἀκούσας ὅτι ἀτοπώτατόν ἐστι τὰ ἑαυτῶν παρέντας κακὰ, τὰ τῶν ἄλλων περιεργάζεσθαι, ἀπῆλθε χαλινὸν ἐμβαλὼν τῇ ἑαυτοῦ γλώττῃ, καὶ σιγὴν ἑαυτοῦ καταψηφισάμενος· οὕτω καὶ σὺ πείσθητι, καὶ ἀπὸ τῶν διδασκάλων, πρὸς σαυτὸν τρέψον τὴν ἔρευναν.

CCCXCIV. — DOROTHEO CLARISSIMO.

Fidem equidem tibi abrogare nequeo, verum illud te moneo, ut ne offendaris, sed incorruptum judicium exspectes. Nam etiam per hujusmodi admonitionem alium quemdam virum improborum odio flagrantem, repressi, qui eadem, quæ tu loquebatur, atque adversus illud declamabat, verbisque hujusmodi utebatur : apostoli quidem, utpote a divino Spiritu sapienter instructi, Ecclesiam quoque ut Domini sponsam ita exornarunt, ut nec mali quidquam ipsi molestiam exhiberet, nec quidquam melius esset, quod ad ipsius ornatum adjungi posset. At nonnulli ex his, quibus nunc magisterii ac doctrinæ thronus haud scio quonam pacto commissus est, res novas moliri audent, ac legem honeste pieque ab illis fundatam pro nihilo ducentes, sua proferunt, veterem scilicet ornatum, per ea quæ agunt, viliorem atque contemptiorem esse judicantes. Et ut alia exempla omittam, unum commemorabo quod omnia comprehendit. Nam cum ille qui apostolicam dignitatem pecunia empturum se speraverat, objurgatus fuerit ac audierit, « Pecunia tua tecum sit in perditionem, quoniam donum Dei existimasti pecunia possideri : non est tibi pars nec sors in hoc sermone [93] : » isti contra sacerdotii munus iis præsertim commiserunt, qui tanquam in foro ipsum emerunt. Nec vero hoc adhuc grave est, quamvis alioqui grave, verum etiam hoc nomine magis efferuntur, quam alii ob probitatem ac voluntariam paupertatem. Atque cum a quibusdam conviciis impeti videntur, statim apostolicam dignitatem proferunt (non enim nos, inquiunt, sed episcopatum contumelia affecerunt), cum autem aliquid eorum, quæ officii sunt, agendum est, non amplius hoc proferunt, perinde atque hoc ipsis liceat, honori haberi ut apostoli, non autem facere ut apostoli. Quemadmodum igitur ille, cum consilio nostro paruisset, atque illud audiisset, absurdissimum esse, vitiis nostris omissis, aliorum **407** vitia inquirere, freno linguæ injecto, ac seipso silentio multato abiit : eodem modo tu quoque obtempera, et a magistris ad teipsum hujusmodi perscrutationem converte.

[93] Act. VIII, 20.

VARIÆ LECTIONES ET NOTÆ.

(15) Quæ sequuntur post ἵνα γὰρ, usque ad ἐκείνῳ γάρ, omittebat ed. Paris. Adduntur ex cod. Vatic. 650. EDIT.

Digitized by Google

CCCXCV. — PETRO SCHOLASTICO.

Sacrum conventum equidem ipse eum proprie esse dixerim, qui a nulla turpi permistione contaminatur, verum castitate atque aliis virtutum generibus exsultat.

CCCXCVI. — AUSONIO CORRECTORI.

Prudentia, cum pecuniarum amorem expulit, certissima et verissima res est, ad quam justitia exploretur. At si hunc admiserit, jus quæstui habere ac sententiam adulterare minime recusabit.

CCCXCVII. — THEODOSIO EPISCOPO.

Scio me persæpe mihi ipsi hujusmodi quoddam consilium præbuisse : O Isidore, quoniam res magnæ magnis periculis confici solent, ea, qua decet, loquendi libertate utere. Fortassis erubescent ii, qui in peccatis erubescere minime norunt. Ac quidem fortasse aliquid efficies. Sin autem aliquid etiam injucundi patiaris, cum prophetis et apostolis, atque aliis sanctis viris patieris, cum quibus tibi, qui unus e vulgo es, optandum est, etiamsi non in virtutibus, at certe in perpessionibus numerari. Verum ad hunc modum contra mihi ipse respondi : Aliis quidem in rebus præclare loqueris, ac tibi morem gerere paratus sum. At quonam pacto libere loquemur? Sicne ut meram libertatem adhibeamus, an ut ipsam suavitate temperemus? Quosdam enim novi, qui acri ac vehementi objurgationis genere sanati sunt : quosdam rursum, qui eo obtriti sunt, atque ad graviorem improbitatem eruditi : alios denique, qui moderatam admonitionem atque orationis libertatem ludibrio habuerunt, eamque pro nihilo putarunt. Quonam igitur modo quispiam tot morbis unum remedium afferet? quonamque modo eos curabit, cum causæ ex diversis affectionibus oriuntur? Ergo, ad meipsum dixi id quod etiam nunc ad te dico : Si tu solus futurus esses, qui operam luderes, cunctari, atque id munus defugere oporteret. Cum autem et Moses et Elias et Joannes, pii ac Deo chari viri, neque consilio, neque libera reprehensione illos juverint, nec tamen propterea suis rebus deterius consuluerint, sermonis quidem libertati suavitatem admiscere oportet, divinæ autem dextræ sanationem permittere. Mala enim propemodum ex seipsis omnes homines norunt : bona autem, nec ab aliis quidem audientes, addiscere in animum inducunt.

408 CCCXCVIII. — ALYPIO.

De eo cui credita sunt quinque talenta [53]

Pecuniæ numerationem, vir optime, divinarum Scripturarum doctrinam ac præceptionem appellat, auditionis autem fenus, operum demonstrationem. Nihil enim utilitatis ex auditione percipitur, cum operum demonstratio cum iis, quæ dicuntur, non

[53] Matth. xxv, 15.

ΤΚΕ'. — ΠΕΤΡΩ ΣΧΟΛΑΣΤΙΚΩ.

Πανήγυριν ἔγωγε κυρίως εἶναί φημι, τὴν ὑπὸ μηδεμιᾶς αἰσχρᾶς ἐπιμιξίας χραινομένην, ἀλλὰ τῇ ἁγνείᾳ καὶ ταῖς ἀρεταῖς ἐναβρυνομένην.

ΤΚϚ'. — ΑΥΣΟΝΙΩ ΚΟΡΡΗΚΤΩΡΙ.

Ἡ σύνεσις, ὅταν τὸν τῶν χρημάτων ἐξοστρακίσῃ ἔρωτα, βασανιστήριόν ἐστι δικαιοσύνης ἀψευδέστατον. Εἰ δὲ τοῦτον προσοίτο, καπηλεῦσαι τὸ δίκαιον, καὶ νοθεῦσαι τὴν ψῆφον οὐ παραιτήσοιτο.

ΤΚΖ'. — ΘΕΟΔΟΣΙΩ ΕΠΙΣΚΟΠΩ.

Οἶδα πολλάκις ἐμαυτῷ παραινέσας τοιαῦτά τινα· Ὦ Ἰσίδωρε, ἐπειδὴ τὰ μεγάλα πράγματα μεγάλοις κινδύνοις φιλεῖ κατορθοῦσθαι, χρῆσαι τῇ πρεπούσῃ παῤῥησίᾳ· τάχα πως ἐρυθριάσουσιν, οἱ μηδὲ ἐρυθριᾷν ἐν τοῖς πταίσμασιν (16) εἰδότες. Ἴσως μὲν γὰρ κατορθώσεις. Εἰ δέ τι καὶ πείσαιο ἄχαρι, μετὰ τῶν προφητῶν, καὶ τῶν ἀποστόλων, καὶ τῶν ἄλλων ἁγίων πείσῃ, μεθ' ὧν σοι εὐκταῖόν ἐστιν ἑνὶ τῶν πολλῶν ὄντι, εἰ καὶ μὴ ἐν τοῖς κατορθώμασιν, ἀλλ' οὖν γε ἐν τοῖς παθήμασιν ἀριθμεῖσθαι. Ἀλλ' ἀνταπεκρίθην ἐμαυτῷ λέγων, ὅτι τὰ μὲν ἄλλα εὖ λέγεις, καί σοι ἕτοιμός εἰμι πείθεσθαι. Πῶς δὲ δὴ παῤῥησιασόμεθα; Ἆρα ἀκράτῳ τῇ παῤῥησίᾳ χρησάμενοι, ἢ κεράσαντες αὐτὴν προσηνείᾳ; Οἶδα γάρ τινας μὲν ὑπὸ τῆς σφοδρᾶς ἐπιτιμήσεως ἰαθέντας· τινὰς δὲ ἐπιτριβέντας, καὶ εἰς χαλεπωτέραν παιδοτριβηθέντας κακίαν· ἄλλους δὲ τῆς μετρίας συμβουλῆς καὶ παῤῥησίας καταγελάσαντας, καὶ οὐδὲν αὐτὴν εἶναι ἡγησαμένους. Πῶς οὖν τις τοσούτοις πάθεσιν ἐν προσενέγκῃ φάρμακον; Πῶς δὲ θεραπεύσει, τῶν αἰτιῶν ἐξ ἐναντίων παθῶν φυουσῶν; Οὐκοῦν ἔφην πρὸς ἐμαυτὸν, ὅπερ καὶ πρὸς σὲ νῦν φημι· ὅτι Εἰ μὲν σὺ μόνος ἀποτυγχάνειν ἔμελλες, ὀκνεῖν ἐχρῆν, εἰ καὶ Μωσῆς καὶ Ἠλίας καὶ Ἰωάννης, οἱ θεοφιλεῖς ἄνδρες, οὔτε συμβουλεύσαντες, οὔτε παῤῥησιασάμενοι ὤνησαν ἐκείνους· οὐ μὴν τὰ καθ' ἑαυτοὺς χεῖρον διέθεσαν, χρῇ τῇ μὴν παῤῥησίᾳ μιγνύναι τὴν προσήνειαν· τῇ δὲ θείᾳ δεξιᾷ ἐπιτρέπειν τὴν ἰατρείαν· τὰ κακὰ γὰρ ἴσασι πάντες ἄνθρωποι σχεδὸν ἀφ' ἑαυτῶν· τὰ καλὰ δὲ, οὐδὲ παρ' ἄλλων ἀκούοντες, μαθεῖν ἐθέλουσιν.

ΤΚΗ'. — ΑΛΥΠΙΩ.

Περὶ τοῦ πιστευθέντος τὰ ε' τάλαντα.

Καταβολὴν, ὦ βέλτιστε, ἀργυρίου λέγει, τὴν τῶν θείων Γραφῶν διδασκαλίαν· τόκον δὲ ἀκροάσεως, τὴν τῶν ἔργων ἐπίδειξιν. Ὄφελος γὰρ οὐδὲν ἀκροάσεως, ὅταν ἡ διὰ τῶν ἔργων ἐπίδειξις μὴ συμβαίνει τοῖς λεγομένοις. Ὅτι δὲ τοῦτ' ἔστιν ἀληθὲς, τιμωρία ἔπε-

VARIÆ LECTIONES ET NOTÆ.

(16) Pro πταίσμασιν cod. V. 650 scribit πράγμασιν, et vers. post 2, pro ἄχαρι habet χεῖρον. Denique vers. ult. ep. pro μαθεῖν legit μανθάνειν. Possin.

Digitized by Google

ται τῷ μὲν διδάσκοντι (17) καὶ πράττοντι, εἰ μὴ καὶ φράσειεν· τῷ δὲ ἀκούοντι, εἰ μὴ καὶ πράξειεν.

A concurrit. Quod autem hoc verum sit, hinc constat, quod docentem quidem et facientem pœna sequitur, si non etiam loquatur : audientem autem, si non etiam faciat.

ΤΙΘ'. — ΑΡΧΟΝΤΙΩ.

Εἰς τὸ, « Καθ' ἡμέραν ἀποθνήσκω. »

« Καθ' ἡμέραν ἀποθνήσκω, » ἔφη ὁ Ἀπόστολος, τῷ πρὸς τοῦτο παρεσκευάσθαι. Ὁ γὰρ παρασκευαζόμενος εἴς τι, εἰ καὶ μὴ τῇ πείρᾳ αὐτὸ ὑποσταίη, ὑφίσταται τῇ προσδοκίᾳ καὶ τῇ προθυμίᾳ. Ἀπὸ γὰρ τῶν ἐπιχειρημάτων, οὐκ ἐκ τῶν ἀποτελεσμάτων τὰ πράγματα, ὡς τὰ πολλὰ, κρίνεται· ἀπὸ τῆς γνώμης, οὐκ ἀπὸ τοῦ τέλους ὁ στέφανος πλέκεται. Εἰ δὲ καὶ, ὅτι κινδυνεύουσιν οἱ ὀρθῶς ἁπτόμενοι φιλοσοφίας, λέληθε τοὺς πολλοὺς (18), ὅτι τῷ κόσμῳ ἀποθνήσκουσι, διὰ τοῦ νεκροῦν τὰς ἡδονὰς, ἐπίστησον. Ἐκεῖνο μὲν γὰρ πιθανώτερον, τοῦτο δὲ πικρότερον.

CCCXCIX. — ARCHONTIO.

In illud, « Quotidie morior [85]. »

« Quotidie morior, » ideo dixit Apostolus quod ad id paratus esset. Nam qui ad aliquid paratus est, et si reipsa id non sufferat, exspectatione tamen animique promptitudine id suffert. Siquidem res a conatibus plerumque, non ab affectibus judicantur : atque ab animi sententia et voluntate, non a fine, corona nectitur. Num autem etiam, quia qui philosophiam recte capessunt, periclitantur, ignorant plerique eos mundo mori dum voluptates morte afficiunt, animadvertas velim. Illud enim probabilius est : hoc autem amarulentius.

B

Υ'. — ΚΑΣΣΙΩ ΠΡΕΣΒΥΤΕΡΩ (19).

Τὸ μὲν εἰδέναι αἰσχύνεσθαι ἃ δεῖ, αἰσχύντης ὄντως ἀπαλλάττει. Τὸ δὲ μὴ εἰδέναι, αἰσχύνῃ ἀθανάτῳ περιβάλλει.

CD. — CASSIO PRESBYTERO.

Pudore ob ea quæ oportet scire affici, a pudore procul dubio liberat. Nescire autem, in immortalem infamiam conjicit.

ΥΑ'. — ΖΩΣΙΜΩ ΠΡΕΣΒΥΤΕΡΩ

Εἰ οἱ νηστείαις καὶ χαμευνίαις καὶ ταῖς ἄλλαις σκληραγωγίαις τὸ σῶμα δαμάζοντες, καὶ ταύτῃ τὴν ἄλογον τῶν παθῶν ἐξουσίαν κολάζοντες, ἀλλ' οἱ ἐνάπαξ (20) ὑπὸ ἐπιθυμίας κεχειρωμένοι, οὐ συγγνωσθήσονται· οἱ τὸ ἀκόλαστον παρακαλοῦντες, καὶ διὰ τῆς τρυφῆς τοῦτο διεγείροντες, ὧν ἕνα σέ φασιν εἶναι, ποίας ἀπολαύσειαν συγγνώμης;

CDI. — ZOSIMO PRESBYTERO.

Si, qui jejuniis, et humi dormitationibus, aliisque asperioris vitæ generibus, corpus domant, atque hac ratione brutam libidinum potentiam coercent, si a libidine semel subacti deprehendantur, veniam haudquaquam consecuturi sunt : qui libidinem alliciunt, ac per luxum eam excitant (inter quos nomen tuum vulgo referunt) quam tandem veniam obtinere queant?

C

ΥΒ'. — ΚΑΣΣΙΑΝΩ ΔΙΑΚΟΝΩ.

Τῆς Νέας, τῶν δ' Εὐαγγελίων. Εἰς τὸ, « Ἐν ἀρχῇ ἦν ὁ Λόγος. »

Ὁ θεολόγος καὶ θεοφιλὴς Ἰωάννης, ὁ τῆς βροντῆς ὄντως υἱὸς, θεοφράστῳ γλώττῃ (ὑπὸ ἁγίου γὰρ Πνεύματος ἐκινεῖτο) τὴν τοῦ θείου Λόγου ὑπόστασίν τε καὶ ἰδιότητα, ἀϊδιότητά τε καὶ βασιλείαν, οὐκ ἐπίκτητον, ἀλλ' οὐσιώδη τυγχάνουσαν ἀνεκήρυξε. Καὶ τῷ πολλάκις τὸ *ἦν* εἰπεῖν, τὸ *ἐκ μὴ ὄντων*, ἐξωστράκισε.

CDII. — CASSIANO DIACONO.

In illud, « In principio erat Verbum [86]. »

Theologus ille ac Deo charus Joannes, ac vere tonitrui filius, deiloqua lingua (nam a Spiritu sancto movebatur) divini Verbi hypostasim et proprietatem, atque æternitatem et regnum, quod non adventitium sed essentiale sit, prædicavit. Ac per id quod sæpius dixit, *erat*, illud, *ex non existentibus*, eliminavit.

ΥΓ'. — ΤΩ ΑΥΤΩ.

Κιρνᾷν χρὴ, ὦ σοφώτατε, τῇ τῶν δογμάτων ὀρθότητι, τὴν ἀπὸ τῆς πολιτείας φιλοσοφίαν, εἴγε ἀληθές ἐστιν, ἀληθὲς δὲ, ὅτι ἡ πίστις χωρὶς τῶν ἔργων νεκρά ἐστιν. Εἰ δὲ τὸ μεῖζον χωρὶς τοῦ ἐλάττονος νεκρόν ἐστιν, εὔδηλον ὅτι καὶ τὸ ἔλαττον χωρὶς τοῦ μείζονος (21). Εἰ δ' ἀμφότερα κερασθείη, καὶ τρόπον

CDIII. — EIDEM.

Cum rectis dogmatibus, vir sapientissime, vitæ probatæ studium conjungere oportet, **409** siquidem illud verum est, ut certe est, fidem sine operibus mortuam esse. Si autem majus sine minore mortuum est, sequitur etiam minus sine majore mortuum esse. Quod si ambo permisceantur, ac

D

[85] I Cor. xv, 31. [86] Joan. i, 1.

VARIÆ LECTIONES ET NOTÆ.

(17) Pro his verbis quæ leguntur in edito, ἔπεται τῷ μὲν διδάσκοντι, in cod. Vat. 650 hæc habentur, ἔποιτ' ἂν τῷ μὲν διδασκάλῳ. Ib.

(18) Pro λέληθε τοὺς πολλούς idem cod. habet λελῆθέναι τοὺς ἄλλους. Ib.

(19) In titulo hujus epistolæ pro πρεσβυτέρῳ idem cod. legit πολιτευομένῳ. Ib.

(20) Pro his ἀλλ' οἱ ἐνάπαξ, recte cod. Vat. 650 hæc ponit, ἀλοῖεν ἅπαξ. Possin.

(21) Ed. Paris., [εἰ δὲ τὸ μεῖζον χωρὶς τοῦ μείζονος] εἰ δ' ἀμφότερα, etc. Lectionem sequimur codicis Vatic. 650, sed non sine glossæ suspicione. Edit.

Digitized by Google

quodammodo copulentur, tum denique perfecta et suprema gloria elucet, pietate nimirum et virtute in unum concurrentibus.

CDIV. — MARONI.

Quandoquidem exiguæ causæ ingentia bella persæpe accendunt, dehortor te ne contentionum igniculos injicias. Nam cum pugnæ excitantur, omnia bona ex eorum, qui inter se dissident, animis radicitus evellunt.

CDV. — PALLADIO DIACONO.

In illud, « Propter vos blasphematur nomen meum inter gentes [86]. »

Quoniam per litteras ex me quæsivisti, quidnam illud sibi velit : « Propter vos nomen meum blasphematur, » hoc respondeo, quod quia Judæi quidem, cum peccabant, in captivitates adducebantur; qui autem eos captivos abducebant, non divinæ iræ, sed simulacrorum suorum potentiæ victoriam ascribentes, rerum omnium præpotentem dextram imbecillitatis damnabant : eam ob causam his verbis usus est. Auctores enim erant, dum peccarent, atque hostibus dederentur, hujusmodi opinionis ac blasphemiæ. Fortasse etiam quia pugnantia quoque cum his, quæ agere jubebantur, efficiebant. Id quod etiam apud nos nunc usu venire videtur. Nam cum nobis imperatum sit ut inimicos amemus, tamen ne amicos quidem amamus ; cum paupertatem colere, nos contra non modo his quæ habemus contenti non sumus, sed etiam ex alienis calamitatibus opes nostras augemus; cum nobis inductum sit, ut quietem agamus, nos contra negotiorum amantes iis etiam, qui quietem agunt, molestiam exhibemus.

Nec solum hæc facimus, sed etiam alios docere aggredimur, quæ ipsi facere nolumus. Reliqua enim prætermitto, nihil enim, quod animos offendat, dicere cupio. Hæc igitur cum homines audiunt, ac nos alia quidem docere conari, alia autem agere conspiciunt, nos tanquam simulatione uti, atque in rebus minime ludicris ludere existimantes adversus divinam providentiam linguas acuunt : quæ etiam in ipsos, verum in nos, qui hujusmodi blasphemiæ causam præbemus, gravius animadvertet.

CDVI. — ZOSIMO ET MARONI.

Si ea, quæ nostrarum partium sunt, sine ulla prætermissione ac cum omni studio et diligentia fiant, tum demum divini quoque auxilii momentum implorandum est. Veniet enim omnino, victoriam concilians. Si autem nihil eorum, quæ officii nostri sunt, fiat, frustra ipsius auxilium imploratur. Neque enim simulationem perferet, nec ad eos accedet, qui in profundum exitii pelagus libenti animo sese projiciunt.

410 CDVII. — DIOGENI DIACONO.

Peccatum venia gravius admittis, vir optime, dum Eusebii tyrannidem magis quam æquitatem colis

τινὰ ἐνωθείη, τότε δὴ, τότε ἡ τελεία καὶ ἀκροτάτη εὐδοκίμησις ἀναφαίνεται (22), εὐσεβείας καὶ ἀρετῆς εἰς ταὐτὸν συνδραμούσης.

ΥΔ'. — ΜΑΡΩΝΙ.

Ἐπειδὴ μικραὶ αἰτίαι μεγάλους πολλάκις ἀνάπτουσι πολέμους, παραινῶ σοι μὴ σπινθῆρας φιλονεικιῶν ἐμβάλλειν. Ἀναῤῥιπιζόμεναι γὰρ αἱ μάχαι, πάντα τὰ καλὰ ἐκ τῆς τῶν διαφερομένων ἐκριζοῦσι ψυχῆς.

ΥΕ'. — ΠΑΛΛΑΔΙΩ ΔΙΑΚΟΝΩ.

Εἰς τὸ, « Δι' ὑμᾶς βλασφημεῖται τὸ ὄνομά μου ἐν τοῖς ἔθνεσιν.

Ἐπειδὴ γέγραφας τί ἐστι, « Τὸ ὄνομά μου δι' ὑμᾶς βλασφημεῖται· » φημὶ, ὅτι ἐπειδὴ Ἰουδαῖοι μὲν ἁμαρτάνοντες, αἰχμαλωσίαις παρεδίδοντο· οἱ δ' αἰχμαλωτεύοντες, οὐ τῇ τοῦ Θεοῦ ὀργῇ, ἀλλὰ τῇ τῶν οἰκείων ξοάνων δυνάμει τὴν νίκην ἐπιγράφοντες τῆς παγκρατούσης δεξιᾶς ἀσθένειαν κατεψηφίζοντο· διὰ τοῦτο, τοῦτο ἔφη. Αἴτιοι γάρ τε ἐγίνοντο ἁμαρτάνοντες καὶ παραδιδόμενοι τῆς τοιαύτης ὑπονοίας τε καὶ βλασφημίας. Ἴσως δὲ ἐπειδὴ καὶ τἀναντία ὧν προσετάττοντο ποιεῖν ἔπραττον, ὅπερ καὶ ἐφ' ἡμῶν νυνὶ κινδυνεύει συμβαίνειν· κελευσθέντες γὰρ τοὺς ἐχθροὺς ἀγαπᾶν, οὐδὲ τοὺς φίλους ἀγαπῶμεν· καὶ ἀκτημοσύνην ἀσκεῖν, οὐ μόνον οἷς ἔχομεν οὐκ ἀρκούμεθα, ἀλλὰ καὶ ἐκ τῶν ἀλλοτρίων χρηματιζόμεθα συμφορῶν· καὶ ἡρεμεῖν προσταχθέντες, φιλοπραγμονοῦντες καὶ τοῖς ἡσυχάζουσι παρενοχλοῦμεν. Καὶ οὐ μόνον ταῦτα δρῶμεν, ἀλλὰ καὶ διδάσκειν ἄλλους ἐπιχειροῦμεν, ἃ ποιεῖν οὐκ ἐθέλομεν· τὰ γὰρ ἄλλα παρίημι· οὐδὲν γὰρ βούλομαι δυσχερὲς εἰπεῖν. Ταῦτ' οὖν ἀκούοντες οἱ ἄνθρωποι, καὶ ὁρῶντες, ἄλλα μὲν ὑμᾶς διδάσκειν ἐπιχειροῦντας, ἄλλα δὲ δρῶντας, ὥσπερ εἰρωνεύεσθαι ἡμᾶς καὶ παίζειν ἐν οὐ παικτοῖς ἡγούμενοι, κατὰ τῆς θείας προνοίας ἀκονῶσι τὰς γλώττας· ἥτις καὶ αὐτοὺς μὲν, ἡμᾶς δὲ πλέον ἀμυνεῖται, τοὺς αἰτίους τῆς τοιαύτης βλασφημίας γινομένους.

ΥϚ'. — ΖΩΣΙΜΩ ΚΑΙ ΜΑΡΩΝΙ.

Εἰ μὲν τὰ παρ' ἡμῶν ἀπαραλείπτως, καὶ μετὰ πάσης σπουδῆς γίγνοιτο, τότε καὶ τὴν θείαν ῥοπὴν κλητέον εἰς συμμαχίαν· ἥξει γὰρ παντὶ τρόπῳ τὴν νίκην πρυτανεύουσα. Εἰ δὲ μηδὲν τῶν δεόντων παρ' ἡμῶν γίγνοιτο, περιττὴ καὶ ἡ κλῆσις· εἰρωνείας γὰρ οὐκ ἀνέξεται, οὐδ' ἐπιφοιτήσει τοῖς ἑαυτοὺς εἰς τὸ ἀχανὲς τῆς ἀπωλείας ἀσμένως ῥίπτουσι πέλαγος.

ΥΖ' — ΔΙΟΓΕΝΕΙ ΔΙΑΚΟΝΩ.

Συγγνώμης μείζονα, ὦ βέλτιστε, ἁμαρτάνεις, τὴν Εὐσεβίου τυραννίδα πρὸ τοῦ δικαίου θεραπεύων. Ἢ

[86] Isa. LII, 5.

VARIÆ LECTIONES ET NOTÆ.

(22) Vers. penult. ep. Pro ἀναφαίνεται idem cod. Vat. habet ἀναφανεῖται. Possin.

Digitized by Google

τοίνυν συνὼν, αἴσθησιν αὐτῷ ἐμποίει τῆς ἀνηκέστου νόσου, ἢ ἀπόστηθι, ἐπιτρίβων αὐτοῦ τὴν κακίαν.

atque observas. Quamobrem aut cum eo consuetudinem habens gravissimi ac pene incurabilis morbi sensum ipsi ingenera : aut ipsius improbitatem obterens, ab eo te remove.

ΥΗ'. — ΖΗΝΩΝΙ ΜΟΝΑΧΩ (23).

Ὅτι μὲν ἀκμαζούσης τῆς Ἐκκλησίας, καὶ μήπω νενοσηκυίας, τὰ θεῖα περὶ αὐτὴν ἐχόρευε χαρίσματα, τοῦ ἁγίου Πνεύματος δημαγωγοῦντος, καὶ τῶν προεστώτων ἕκαστον κινοῦντος, καὶ οὐρανὸν τὴν Ἐκκλησίαν ποιοῦντος, πᾶσι δῆλόν ἐστιν. Ὅτι δὲ νοσησάσης καὶ στασιασάσης, ἀπέπτη πάντα ἐκεῖνα, καὶ ἀπεπήδησεν, οὐ τὰ χαρίσματα μόνον· οὐ γὰρ ἦν οὕτω δεινὸν εἰ τοῦτο μόνον ἦν· ἀλλὰ καὶ βίος καὶ ἀρετὴ, καὶ τοῦτο πᾶσι δῆλον. Ἵνα γὰρ τἄλλα παρῶ, ἐξ ἑνὸς πράγματος καὶ περὶ τῶν λοιπῶν αἰνίξομαι. Τὸ μὲν γὰρ τῆς εἰρήνης ὄνομα, πανταχοῦ· τὸ δὲ πρᾶγμα, οὐδαμοῦ. Ἀλλ' ἔοικεν Ἐκκλησία γυναικί τινι τῆς ἀρχαίας εὐημερίας ἐκπεσούσῃ, καὶ τὰ σύμβολα μόνον ἐχούσῃ. Τὰς μὲν γὰρ θήκας τῶν κοσμίων ἔχει καὶ τὰ κιβώτια· τοῦ δὲ πλούτου ἐστέρηται, οὐ παρὰ τὴν τοῦ ἐξ ἀρχῆς κοσμήσαντος ἀμέλειαν, ἀλλὰ παρὰ τὴν τῶν οὐ δεόντως τὰ πράγματα μεταχειριζομένων κακίαν. Οἱ μὲν γὰρ πωλεῖν, οἱ δὲ ἀγοράζειν τὴν ἱερωσύνην τολμῶσιν. Οἱ μὲν πράττουσιν, ἃ μηδὲ λέγειν τολμῶ ἐξόν· οἱ δὲ λέγουσιν, ἃ μηδ' ἐννοεῖν θέμις. Εἰκότως οὖν ἠπείλησε τοῖς τοιούτοις ὁ τῆς Ἐκκλησίας Δεσπότης καὶ νυμφίος τοῦθ' ὅπερ μαθεῖν ἐζήτησας, ὅτι Ἥξει ὁ Κύριος τοῦ δούλου ἐκείνου, καὶ διχοτομήσει αὐτὸν, καὶ τὸ μέρος αὐτοῦ μετὰ τῶν ἀπίστων θήσει. Ἀλλὰ μῦθος αὐτοῖς ἡ τοιαύτη ἀπειλὴ, καὶ ἡ ἀπόφασις, ἀγυρτικὴ νομίζεται λογοποιία· καίτοι λοιπὸν τοῦ κόσμου εἰς τέλος ἐπειγομένου, καὶ τὴν τιμωρίαν ὠδίνοντος. Ἀλλὰ σὺ, ὦ τῆς Ἐκκλησίας θρέμμα περίβλεπτον, μὴ τοῖς ναυαγοῦσι πρόσεχε, μηδὲ τοῖς ῥαθυμοῦσι παράβαλλε σεαυτὸν, ἀλλὰ τὸ φῶς τῆς γνώσεως λαμπρότερον κατασκεύαζε, ποτίζων (24) αὐτὸ διὰ τῆς κατὰ τὸν βίον ἀρετῆς. Καὶ τὸν νυμφίον περίμενε, εἰσελευσόμενον μὲν μετὰ τῶν παρθένων ψυχαῖς τε καὶ σώμασι· μετελευσόμενον δὲ τοὺς τὸ τῆς παρθενίας καὶ τῆς ἱερωσύνης ἀξίωμα, δι' ὧν δεδράκασιν, ἐνυβρίσαντας.

CDVIII. — ZENONI MONACHO.

Quod florente Ecclesia, et nondum morbo laborante divinæ gratiæ circum eam velut chorum agerent, sancto videlicet Spiritu res administrante, atque antistitum unumquemque incitante, ac Ecclesiam in cœlum convertente, omnibus notum et perspicuum est. Quod autem, posteaquam ea morbo affecta est, ac seditione laboravit, omnia illa avolarint, atque non gratiæ duntaxat (neque enim ita gravis res esset, si hoc solum mali esset) sed etiam vita et virtus abscesserint, id quoque nemini obscurum est. Ut enim alia omittam, ex una re cætera etiam significabo. Etenim pacis quidem nomen ubique est : res autem ipsa nusquam : verum Ecclesia feminæ cuidam, quæ ex antiqua felicitate excidit, ac signa tantum habet, similis est. Ornamentorum enim suorum thecas et arculas habet, opibus autem spoliata est : non ob ejus, qui eam primum exornavit, incuriam ac negligentiam, sed ob eorum, qui non, ut convenit, res administrant, improbitatem. Alii enim vendere, alii emere sacerdotium audent. Alii ea agunt, quæ etiamsi liceat, dicere tamen non audeo ; alii autem ea dicunt, quæ ne cogitare quidem fas est. Merito proinde hujusmodi hominibus Ecclesiæ Dominus ac Sponsus hoc interminatus est, quod tibi a me exponi quæsiisti : Veniet Dominus servi illius, et dividet eum, et partem ejus cum infidelibus ponet [87]. Verum hujusmodi comminationem pro fabula ducunt, atque hanc sententiam pro circulatoris cujusdam figmento : etiamsi mundus jam ad finem properet, ac supplicium parturiat. At tu, o conspicue Ecclesiæ alumne, ne ad eos, qui naufragio pereunt, animum attendas, nec cum segnibus et ignavis teipsum compares : verum scientiæ lumen splendidius subinde redde, per vitæ probitatem ipsum irrigans. Atque sponsum exspecta ingressurum quidem cum iis, qui animis et corporibus virgines sunt : de iis autem, qui virginitatis et sacerdotii dignitati per flagitia sua contumeliam intulerunt, supplicium sumpturum.

ΥΘ'. — ΛΑΜΠΕΤΙΩ ΕΠΙΣΚΟΠΩ.

Ἐξανύσων τὸ παρὰ σοῦ προσταχθησόμενον (25), ἅσμενος ἦκεν ὁ φίλος, εὖ εἰδὼς ὅτι τὰ παρὰ σοῦ κελευόμενα, εἰς εὐσέβειαν καὶ δικαιοσύνην βλέπει. Ἀγασθεὶς οὖν τὴν προθυμίαν, ἄμειψαι τῇ εὐμενείᾳ.

CDIX. — LAMPETIO EPISCOPO.

Libenti animo, ut quod abs te imperatum fuerit, exsequatur, amicus venit, pro certo videlicet habens ea, quæ abs te imperantur, ad pietatem et justitiam spectare. Quamobrem animi promptitudinem admiratus, benevolentiam ipsi repende.

ΥΙ'. — ΜΑΡΤΙΝΙΑΝΩ (26) ΠΡΕΣΒΥΤΕΡΩ.

Ἐγὼ οὔτε ἀπταιστός εἰμι, οὔτε ἀπταίστους ζητῶ

411 CDX. — MARTINIANO PRESBYTERO.

Ego nec culpa careo, nec amicos, qui culpa ca-

[87] Luc. XII, 46.

VARIÆ LECTIONES ET NOTÆ.

(23) In tit. hujus ep. pro μοναχῷ cod. Vatic. 650 habet, ναυάρχῳ, *navarcho*. Possin.

(24) Idem cod., φωτίζων. Id.

(25) Idem cod., προσταχθέν. Id.

(26) Non Μαρτινιανῷ sed Μαρτυρίῳ. Inscribitur hæc ep. in cod. Vat. 650. Id.

Digitized by Google

reant, quæro, nec enim nanciscar : verum eos, qui plurimas et maximas virtutes habeant, pauca autem et exigui momenti vitia (fieri enim omnino non potest, quin in eo, qui homo est, vitium aliquod deprehendatur) in amicorum album ascribo. Nam qui ob exiguum vitium maximam etiam virtutem parvi pendunt, nec res humanas considerant, nec apostolo Paulo morem gerunt, ad hunc modum admonenti : « Alter alterius onera portate, et sic adimplebitis legem Christi [58]. » Nam qui parvum vitium minime suffert, is nec maxima virtute perfruetur, nec Christi legem, hoc est charitatem explebit. Quod si dixeris in Veteri Testamento minime dictum fuisse : « Diliges proximum tuum sicut teipsum, » hoc responderim, maxime quidem eum illam etiam sanxisse; deinde autem in carnali sua præsentia aliquid amplius adjunxisse, cum dixit : « Mandatum novum do vobis, ut diligatis invicem, sicut ego dilexi vos [59-60]. » Etenim diligere quidem in Veteri Testamento situm est : hoc vero, « sicut ego dilexi vos, » adjecit. Eoque nomine *mandatum novum* ipsum appellavit. Aliud enim est diligere proximum suum sicut seipsum : aliud sua negligere, ut proximorum commodis consulat. Ut enim ipse non suam sublimitatem, sed hominum utilitatem sibi ob oculos proposuit, ac seipsum humilians formam servi suscipere minime gravatus est, ut servos ad filiorum adoptionem duceret : eodem modo etiam unumquemque nostrum, non privatum commodum, sed proximorum utilitatem spectare jussit. Quod si quispiam est, qui se per hujusmodi demissionem detrimento affici existimet, illud audiat hujusmodi demissionem ad ipsum honoris verticem eum subvehere.

A φίλους· οὐ γὰρ εὑρήσω· ἀλλὰ τοὺς πλεῖστα μὲν ἔχοντας καὶ μεγάλα κατορθώματα, ὀλίγα δὲ καὶ εὐτελῆ ἐλαττώματα (δεῖ γὰρ πάντως τὸν ἄνθρωπον τυγχάνοντα ἐλεγχθῆναι) εἰς τοὺς φίλους ἐγγράφω. Οἱ γὰρ διὰ μικρὸν ἐλάττωμα, καὶ τὸ μέγιστον πλεονέκτημα (27) ἐξευτελίζοντες, οὔτε τἀνθρώπινα σκοποῦσιν, οὔτε τῷ ἀποστόλῳ πείθονται Παύλῳ παραινοῦντι· Ἀλλήλων τὰ βάρη βαστάζετε, καὶ οὕτως ἂν ἀναπληρώσατε τὸν νόμον τοῦ Χριστοῦ. » Ὁ γὰρ μὴ φέρων τὸ μικρὸν ἐλάττωμα, οὔτε τοῦ μεγίστου κατορθώματος ἀπολαύσει, οὔτε τὸν νόμον τοῦ Χριστοῦ, τοῦτ' ἔστι, τὴν ἀγάπην πληρώσει. Εἰ δὲ φαίης, ἐν τῇ Παλαιᾷ οὖν Διαθήκῃ οὐκ εἴρηται· « Ἀγαπήσεις τὸν πλησίον σου ὡς ἑαυτόν· » φαίην ὅτι μάλιστα μὲν κἀκείνην αὐτὸς ἐθέσπισεν, ἔπειτα B δὲ ἐν τῇ παρουσίᾳ αὐτοῦ τῇ κατὰ σάρκα, προσέθηκέ τι πλέον, εἰπὼν ὅτι « Ἐντολὴν καινὴν δίδωμι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους, καθὼς ἐγὼ ἠγάπησα ὑμᾶς. » Τὸ μὲν γὰρ ἀγαπῆσαι καὶ ἐν τῇ Παλαιᾷ κεῖται· τὸ δὲ, « Καθὼς ἐγὼ ἠγάπησα ὑμᾶς, » προσέθηκε. Διὸ καὶ *καινὴν ἐντολὴν* αὐτὴν ἐκάλεσεν. Ἄλλο γὰρ τὸ ἀγαπῆσαι τὸν πέλας ὡς ἑαυτόν· ἄλλο καὶ τὰ οἰκεῖα παριδεῖν, ἵνα τὰ τῶν πέλας ἐπανορθώσῃ. Ὥσπερ γὰρ αὐτὸς οὐ πρὸς τὸ οἰκεῖον ὕψος, ἀλλὰ πρὸς τὸ τῶν ἀνθρώπων ὄφελος εἶδε, καὶ ταπεινώσας ἑαυτὸν, μορφὴν δούλου κατῇξίωσε λαβεῖν, ἵνα τοὺς δούλους εἰς υἱοθεσίαν ἀγάγῃ· οὕτω καὶ ἕκαστον ἡμῶν ἐκέλευσε, μὴ πρὸς τὸ οἰκεῖον κέρδος ὁρᾷν, ἀλλὰ πρὸς τὸ τῶν πέλας ὄφελος βλέπειν. Εἰ δὲ νομίζει τις βλάπτεσθαι C συγκαταβαίνων, μανθανέτω, ὅτι ἡ συγκατάβασις αὕτη εἰς αὐτὴν αὐτὸν ἀνάγει τῆς τιμῆς τὴν κορυφήν.

CDXI. — PETRO.

Cur lex leprosos, et alios involuntariis morbis laborantes, extra sacra septa versari præcepit [61].

Quod ex parentum intemperie proles quoque intemperiem contrahat, rationi consentaneum et perspicuum est : quod autem ex intemperantia, incertum quidem, sed verisimile est. Nam quod ex iis, qui adversa valetudine laborant, atque ægritudine aliqua occupati sunt, imbecilles filii nascuntur, rationi dissentaneum non est : quod autem ex sanis D quidem, verum intemperantiæ deditis, verisimile quidem est, non tamen perspicuum. Unde etiam, ut opinor, propheta Ezechiel simul cum aliis peccatis illud etiam collocavit, quod peccator ad mulierem menstruo profluvio laborantem accesserit. **412** Quanquam enim potissimum hoc idcirco di-

ΥΙΑ. — ΠΕΤΡΩ.

Διὰ τί ὁ νόμος τοὺς λεπρῶντας, ἢ ἑτέρους νοσήματα ἀκούσια νοσοῦντας, ἔξω εἶναι τῶν ἱερῶν περιβόλων προσέταξε.

Τὸ μὲν ἐκ δυσκρασίας τῶν γονέων καὶ τὰ τικτόμενα δύσκρατα εἶναι, καὶ εἰκὸς καὶ δῆλον· τὸ δ' ἐξ ἀκρασίας, δῆλον μέν, εἰκὸς δέ. Τὸ μὲν γὰρ ἐκ νοσούντων, καὶ πάθεσι [τισὶ] προσκαταληφθέντων ἀσθενῆ τίκτεσθαι, οὐκ ἀπεικός· τὸ δὲ ἐξ ὑγιαινόντων μὲν, ἀκρασίᾳ δὲ προσεχόντων, εἰκὸς μὲν, δῆλον δέ. Διό, ὡς οἶμαι, καὶ ὁ προφήτης Ἰεζεχιὴλ μετὰ τῶν ἄλλων ἁμαρτημάτων ἔταξε τὸ καὶ πρὸς γυναῖκα ἐν ἀφέδρῳ οὖσαν εἰσεληλυθέναι τὸν ἁμαρτωλόν. Μάλιστα μὲν γὰρ τοῦτ' ἔφη, τὸ πρέπον τῇ φύσει φυλάττων, καὶ καθαιρομένην αὐτὴν ἐνοχλεῖσθαι, ἀποπώτατον εἶναι ἡγούμενος· ἔπειτα δὲ ἵνα μὴ καὶ τοῖς τικτομένοις νοσημάτων εἰδεχθῶν αἴτιοι γένωνται (28).

[58] Galat. vi, 2. [59-60] Joan. xiii, 34. [61] Levit. xxii, 4; Num. v, 2.

VARIÆ LECTIONES ET NOTÆ.

(27) Cod. Vat. 650, ὑπερέτημα. Possis.

(28) De morbis hereditariis, qui a parentibus non bene sanis in liberos transmitti propagarique solent, vide Hippocratem lib. *Περὶ φύσεως ἀνθρώπου*, et *Prædiction.* lib. II, Galenum *De sanit. tuend.* ; Joan. Fernel. Amœban. *Pathology.* l. 2, cap. 2 ; quem loco indicavit mihi vir cl. G. R mus. Rutt.

Digitized by Google

Μιγνύμενον γὰρ τὸ τοῦ ἀνδρὸς σπέρμα τῷ ἀκαθάρτῳ τῆς θηλείας αἵματι, σώματα ἀποτίκτει νοσήμασι διαφόροις ὑποκείμενα. Ἐναπομάσσονται γὰρ τρόπον τινὰ τὴν τῶν γονέων ἀκρασίαν. Εἰ τοίνυν, φησὶ, φροντίζετε τῆς τῶν τικτομένων εὐκρασίας τε καὶ ὑγιείας, καὶ οὐ βούλεσθε αὐτὰ Ἐκκλησίας Κυρίας χωρίζεσθαι, φυλάττεσθε, καὶ καιρὸν συνουσίας γινώσκετε, ἵνα μὴ καὶ τὰ τέκνα τῆς ἀκολασίας ὑμῶν τὰ σύμβολα περιφέρωσι.

A xit, ut honestatem naturæ custodiret, et quia ipsi, dum in purgatione versatur, negotium exhiberi, absurdissimum facinus esse duceret, tamen etiam hoc ea ratione dixit, ut ne filiis quoque suis fœdorum morborum causa exsisterent. Siquidem virile semen cum impuro feminæ sanguine commistum corpora variis morborum generibus obnoxia procreat. Etenim parentum intemperantiam et libidinem quodammodo exprimunt. Quamobrem, innuit, si probi filiorum vestrorum temperamenti, et sanitatis cura vos tangit, nec vultis ut ex Dominica Ecclesia sejungantur, cavete, atque congressus feminei tempus agnoscite, ne alioqui filii quoque intemperantiæ atque impudicitiæ vestræ notas circumferant.

ΥΙΒ'. — ΜΑΡΤΙΝΙΑΝΩ ΚΑΙ ΜΑΡΩΝΙ (29).

Εἰ καὶ τὸ εἶδος τῆς μέθης τῶν ἐπὶ οἴνῳ καὶ χρήμασι λυττώντων ἐστὶ διάφορον (τὸ μὲν γὰρ ἐξ οἴνου, τὸ δὲ ἀπὸ χρημάτων γίνεται), ἀλλά γε τὸ πάθος ὅμοιον. Καὶ γὰρ ἀμφότεροι ὁμοίως ἐπιθυμίᾳ ἀτόπῳ κεχείρωνται. Ὁ τε γὰρ φίλοινος ὅσῳ ἂν πλείους ἐκπίῃ κύλικας, τοσούτῳ πλειόνων ὀρέγεται· ὁ τε ἐρασιχρήματος, ὅσῳπερ ἂν πλείω συνάγῃ, τοσούτῳ μᾶλλον ἀνάπτει τῆς ἐπιθυμίας τὴν κάμινον. Τούτῳ μὲν οὖν ἔοικεν· ἑτέρῳ δὲ πάλιν ὁ φιλάργυρος πλεονεκτεῖ. Ἐκεῖνος μὲν γὰρ, εἰ καὶ πάσης ἐστὶ καταγνώσεως ἄξιος, ἀλλ' οὖν γε πρᾶγμα πάσχει κατὰ φύσιν (ὁ γὰρ οἶνος θερμὸς ὢν καὶ διακαὴς, καὶ τὴν ἔμφυτον ἐπιτείνων ξηρότητα, τοὺς μεθύοντας ποιεῖ διψῆν)· οὗτος δὲ πόθεν ἀεὶ πλειόνων ὀρέγεται, οὐκ ἔχω λέγειν πόθεν. Ἐπειδὰν γὰρ μειζόνως πλουτήσῃ, τότε μάλιστά ἐστιν ἐν πενίᾳ. Ἄπορον γὰρ τοῦτο τὸ νόσημα, καὶ αἰνίγματι μᾶλλον ἐοικός. Οὐκοῦν εἰ θεραπευόμενον ἐπιτρίβεται, καὶ τῷ ἐπινενοημένῳ φαρμάκῳ χαλεπώτερον γίνεται, παυσώμεθα ὕλην παρέχοντες τῷ τοιούτῳ πυρὶ, καὶ τὴν προϋπάρχουσαν ἢ ἀθρόως, ἢ κατὰ μικρὸν ὑπεξέλωμεν· ἵνα μὴ ἄσβεστον γενόμενον κἀνταῦθα ἡμᾶς τεφρώσῃ, κἀκεῖσε τῷ ἀσβέστῳ παραπέμψῃ πυρί.

B

C

CDXII. — MARTINIANO ET MARONI.

Etsi temulentiæ eorum, qui vini et pecuniarum rabie tenentur, species diversa est (altera enim a vino, altera vero a pecuniis proficiscitur), at affectus tamen similis est. Nam utrique eodem modo a turpi et absurda cupiditate subacti sunt. Siquidem et qui vini avidus est, quo plures calices exhauserit, eo plures appetit: et qui pecuniarum amore tenetur, quo plura collegerit, eo magis cupiditatis fornacem accendit. Atque hæc quidem ea re illi similis est. At vero alia rursum ratione is qui pecuniæ studio flagrat, superiores fert. Nam cum alter, et si omni reprehensione atque condemnatione dignus sit, tamen rem naturæ consentaneam perpetiatur (vinum quippe cum fervidum et ardens sit, ac naturalem siccitatem augeat, ebriis sitim accersit); hic contra, qua de causa plura semper appetat, dicere nequeo. Nam cum ampliores opes consecutus est, tum demum maxime in paupertate versatur. Inexplicabilis enim hic morbus est, atque ænigmati similis. Quamobrem si cum curatur ingravescit, ac per excogitatum remedium atrocior redditur, materiam ejusmodi igni præbere desinamus, ac pristinam vel subito vel paulatim subtrahamus: ne alioqui inexstinctus effectus, et hic nos in cinerem rediget, et illic ad nunquam exstinguendum ignem transmittat.

ΥΙΓ'. — ΔΙΟΓΕΝΕΙ ΠΡΕΣΒΥΤΕΡΩ.

Ἡγοῦμαι ὅτι ἕκαστος ἐξ ὧν πράττει, καὶ περὶ τῶν μελλόντων ἀποφαίνεται. Οὐδεὶς γοῦν τῶν ὀρθῶς καὶ σεμνῶς βεβιωκότων, καὶ πολιτείαν ἀρίστην ἐπιδειξαμένων, ἀπιστεῖ τῇ κρίσει. Οἱ δὲ ῥᾴθυμοι, τῷ πονηρῷ ἀγχόμενοι συνειδότι, οὔτε κρίσιν, οὔτε ἀντίδοσιν εἶναι ἐθέλοντες, ὃ βούλονται, καὶ δογματίζουσιν, οὐ τὴν ἀλήθειαν σκοποῦντες, ἀλλὰ τὴν ἰδίαν βούλησιν κυροῦντες (30). Ἐπεὶ τοίνυν τὴν κρίσιν καὶ ποιητῶν καὶ ῥητόρων καὶ συγγραφέων καὶ φιλοσόφων οἱ ἐνδοξότατοι κηρύττουσιν (31) (ἡ γὰρ μερι-

D

CDXIII. — DIOGENI PRESBYTERO.

Sic existimo unumquemque ex his, quæ facit, de futuris quoque pronuntiare. Nemo etenim eorum qui recte atque honeste vixerunt, atque optimæ vivendi rationis specimen ediderunt, judicio fidem abrogat. At segnes et ignavi, quod improba conscientia constringantur, nec judicium, nec remunerationem esse cupientes, quod cupiunt, id quoque astruunt, non veritatem spectantes, sed voluntatem suam confirmantes. **413** Quoniam igitur judicium et poetarum, et oratorum, et historicorum,

VARIÆ LECTIONES ET NOTÆ.

(29) Confer epist. 146, lib. II, et Stob. serm. 53, 54 et seq., Spinæ. lib. I. *De tranquillit. animi.* Ritt.

(30) Cod. Vat. 650, τηροῦντες. Ib.

(31) *Οἱ ἐνδοξότατοι κηρύττουσιν.* Sic Chrysostomus: Οὐκ ἔστι μῦθος περὶ τῆς γεέννης λόγος, ἀλλ' οὕτως ἐστὶν ἀληθὴς, ὅτι οὐχ ἡμεῖς μόνον ἀλλὰ καὶ ποιηταὶ, καὶ φιλόσοφοι, καὶ λογοποιοὶ περὶ τῆς μελλούσης ἀνταποδόσεως ἐφιλοσόφησαν, καὶ ἐν ᾅδου κολάζεσθαι τοὺς πονηροὺς εἰρήκασι· εἰ γὰρ καὶ μετὰ ἀληθείας ὡς ἔχει ταῦτα, εἰπεῖν οὐκ ἠδυνήθησαν, ἅτε ἀπὸ λογισμῶν κινηθέντες, καὶ παρ' ἀκουσμάτων τῶν παρ' ἡμῖν· ἀλλ' ὅμως εἰκόνα τινὰ κρίσεως ἔλαβον· Κωκυτοὺς γάρ φασί τινας, καὶ πυριφλεγέθοντα, ποταμοὺς καὶ στυγὸς ὕδωρ, καὶ τάρταρον τοσοῦτον ἀπέχοντα τῆς γῆς ὅσον αὐτὴ τοῦ οὐρανοῦ, καὶ πολλοὺς κολάσεως τρόπους. Καὶ πάλιν ἠλύσιον πεδίον, καὶ

Digitized by Google

et philosophorum celeberrimi quique prædicant (nam quod ex aliqua parte hic habetur judicium, generali fidem conciliat) nemo judicio temere atque inconsulte dissidat : verum, si virtuti studeat, coronas : si autem vitium perpetret, supplicia exspectet.

A κῶς ἐνταῦθα γινομένη, τὴν γενικὴν ἐγγυᾶται), μηδεὶς ἀκρίτως τῇ κρίσει ἀπιστείτω· ἀλλ' ἀρετὴν μὲν ἀσκῶν, στεφάνους· κακίαν δ' διαπραττόμενος, κολάσεις προσδοκάτω.

ΤΩΝ ΤΟΥ ΑΓΙΟΥ

ΙΣΙΔΩΡΟΥ ΠΗΛΟΥΣΙΩΤΟΥ

ΕΠΙΣΤΟΛΩΝ ΒΙΒΛΙΟΝ Δ'.

S. ISIDORI PELUSIOTÆ

EPISTOLARUM

LIBER QUARTUS.

DE OPIFICIO UNIVERSITATIS RERUM.

I. — ISIDORO EPISCOPO.

In coronam anni, et rotam generationis.

Quandoquidem circularis est figura temporis, quippe cum dies septies circumvolvatur in hebdo-

B

ΠΕΡΙ ΤΗΣ ΤΟΥ ΠΑΝΤΟΣ ΔΗΜΙΟΥΡΓΙΑΣ.

Α'. — ΙΣΙΔΩΡΩ ΕΠΙΣΚΟΠΩ.

Εἰς τὸν στέφανον ἐνιαυτοῦ καὶ τροχοῦ γενέσεως.

Ἐπειδὴ κυκλικόν (32) ἐστι τοῦ χρόνου τὸ σχῆμα, τῆς μὲν ἡμέρας ἑπτάκις ἀνακυκλουμένης, τῆς δὲ

VARIÆ LECTIONES ET NOTÆ.

μακάρων νήσους, καὶ λειμῶνας εὐανθεῖς, καὶ εὐωδίαν πολλὴν, καὶ αὔραν λεπτὴν, καὶ χοροὺς ἐκεῖ διατρίβοντας, καὶ λευκὴν περιβλεδλημένους στολήν· καὶ ᾄδοντας ὕμνους τινάς· καὶ ὅλως καὶ ἀγαθοῖς καὶ πονηροῖς ἀποκειμένην ἀντίδοσιν, μετὰ τὴν ἐντεῦθεν ἔξοδον· μὴ τοίνυν ἀπιστῶμεν γέενναν, ἵνα μὴ ἐμπέσωμεν εἰς αὐτήν. Cæterum, ut omittam testimonia Platonis et aliorum, ascribam, qui instar sint omnium, versus veteris comici, sive is Philemon, sive Diphilus est. Variant enim scriptores qui eos nobis conservarunt. Illi ascribit Justinus Martyr in lib. *De monarchia Dei;* huic Clemens Alexandrinus lib. v *Stromat.* et Eusebius lib. XIII, *De præparat. evangelica*, nec non Theodoretus orat. *De providentia Dei*, in opere therapeutico Græcanic. affect. Ex horum enim scriptis aureos istos versus de futuro judicio et pœnis impiorum contraque æternis piorum gaudiis, ita duxi concinnandos.

Οἶει σὺ τοὺς θανόντας, ὦ Νικόστρατε (*al.* Νικόρατε)
Τρυφῆς ἁπάσης μεταλαδόντας ἐν βίῳ
Καὶ γῆν καλύψειν, ὡς ἀπὸ τοῦ πάντ' εἰς χρόνον
Πεφευγέναι τὸ θεῖον, ὡς λεληθότας;
Ἔστιν Δίκης ὀφθαλμὸς, ὃς τὰ πάνθ' ὁρᾷ.
Καὶ γὰρ καθ' Ἅδην δύο τρίδους νομίζομεν,
Μίαν δικαίων, ἑτέραν δ' ἀσεδῶν εἰν' ὁδόν.
Εἰ γὰρ ὁ δίκαιος κἀσεδὴς ἐξουσιν ἓν,
Ἁρπαζ' ἀπελθὼν, κλέπτ', ἀποστέρει, κύκα.
Μηδὲν πλανηθῇς· ἔστι κἀν ᾅδου κρίσις,
Ἥτπερ ποιήσει θεὸς, ὁ πάντων δεσπότης,
Οὗ τοὔνομα φοδερὸν, οὐδ' ἂν ὀνομάσαιμ' ἐγὼ,
Ὃς τοῖς ἁμαρτάνουσι πρὸς μῆκος βίον
Δίδωσιν.
Εἴ τις δὲ θνητῶν οἴεται τ' οὐφήμερον
Κακόν τι πράσσων τοὺς θεοὺς λεληθέναι,
Δοκεῖ πονηρὰ, καὶ δοκῶν ἁλίσκεται,

Ὅταν σχολὴν ἄγουσα τυγχάνει δίκη.
Ὁρᾶθ', ὅσοι δοκεῖτε οὐκ εἶναι θεόν.
Ἔστιν γὰρ, ἔστιν· εἰ δέ τις πράττει κακῶς
Κακὸς πεφυκὼς, τὸν χρόνον κερδαινέτω.
Χρόνῳ γὰρ οὗτος ὕστερον δώσει δίκην.

Quorum sententiam sic utcunque Latinis senariis exprimebam :

Tunc arbitrare mortuos, Nicostrate (vel *Nicorate*)
In omnibus qui deliciis superstites
Sese hic volutarunt, humo sic contegi,
Exinde Numen æviterno tempore
Ut lateant, atque ab hoc fuga sese eximant,
Quæ cuncta cernant, justitiæ sunt lumina.
Nam credimus duas ad inferos vias :
Quarum una justorum; impiorum est altera.
Quod si et pios et impios eadem manet
Fortuna, quin feras, clepas, et harpages
Quidquid queas, et ima summis misceas,
Quid obstat? Error, o bone, ne te fascinet
Sua quemque defunctum manent arbitria,
Queis præsidebit omnium rector Deus
Cujus tremendum nomen effari haud queam :
Peccantibus qui sæpe vitam prorogat.
At si quis est mortalium, mala in dies
Qui dum patrat, se clam diis putat fore,
Falso is putat, sese inque casses induit,
Donec Deum paulum quiescit ultio.
Videte vos, queis fabulæ sunt numina :
Est, est Deus. Sed improbe si quis facit
Pravæ indolis, tempus lucrifaciat sibi.
Post namque pœnas tempore elapso dabit,

Illustre quoque est Pindari testimonium *in Olymp.* 2 de futura vita, et in ea suppliciis impiorum sempiternis, et piorum beatitudine ac gaudiis nunquam finiendis. RITT.

(32) *Ἐπειδὴ κυκλικόν.* Idem est initium primæ

Digitized by Google

ἑβδομάδος εἰς μῆνα, τῶν δὲ μηνῶν εἰς ἐνιαυτόν· καὶ πάλιν εἰς τὰ αὐτὰ σημεῖα ἀποκαθίσταται· διὰ τοῦτο πῇ μὲν στέφανον ἐνιαυτοῦ, πῇ δὲ τροχὸν γενέσεως ἐκάλεσεν ἡ Γραφή· κύκλου γὰρ καὶ στεφάνου καὶ τροχοῦ τὸ αὐτὸ σχῆμα. Τῶν τεσσάρων ὡρῶν, ἐαρινῆς, θημὶ, καὶ θερινῆς, μετοπωρινῆς καὶ χειμερινῆς, τρόπον τινὰ τὰς χεῖρας συναπτουσῶν καὶ τὸν ἐνιαυτὸν ἑλιττουσῶν, ἀρίστην χορείαν χορεύουσιν (33). Οὕτω γὰρ σοφῶς καὶ ἐναρμονίως ὑπὸ τοῦ ἀριστοτέχνου Θεοῦ ἐδημιουργήθησαν, ὡς ῥέμα ἑκάστης τὸ τέλος τῇ ἀρχῇ τῆς ἄλλης κιρνώμενον λανθανόντως καὶ ἀνεπαισθήτως καὶ ἀβλαβῶς ἐν (34) τοῖς σώμασι χορεύειν. Ἵνα δὲ σαφέστερον γένηται τὸ λεγόμενον, δι' αὐτοῦ τοῦ πράγματος ὁ λόγος βαδιεῖτω. Τὸ ἀκρότατον θέρος οὐκ εὐθὺς εἰς χειμῶνα ἄκρον παραπέμπει· ἦ γὰρ ἂν ἐβλάβη τὰ σώματα καὶ τὰ σπέρματα καὶ τὰ φυτὰ, τῆς ἀθρόας μεταβολῆς μὴ ἐνεγκόντων (35) τὴν ἔφοδον· ἀλλὰ τὸ μὲν τῷ μετοπώρῳ παραχωρῆσαν λήγει, τὸ δὲ κατὰ μὲν τὴν ἀρχὴν τῷ θέρει, κατὰ δὲ τὴν τελευτὴν ῥέμα καὶ κατὰ μικρὸν τῷ χειμῶνι ὁμοιωθὲν, ἀβλαβῶς τῷ χειμῶνι παραπέμπει, εἶτα ὁ χειμὼν τῷ ἔαρι παραχωρήσας, λήγει· τὸ δὲ κατὰ μικρὸν λανθανόντως κιρνώμενον παραπέμπει τῷ θέρει.

madam, hebdomada autem in mensem, menses vero in annum, rursumque in eadem signa, quæ peragravit, restituatur: hanc ob causam alibi quidem coronam anni, alibi vero rotam generationis Scriptura appellavit (circuli namque et coronæ et rotæ eadem est figura), quod quatuor horæ, videlicet vernum tempus et æstivum et autumnale et hibernum invicem quodammodo manus connectant, et annum circumvolvant, atque ita optimam quamdam choream ducant. Adeo enim sapienter et apte convenienterque ab optimo artifice Deo creatæ sunt quatuor illæ anni horæ, ut paulatim cujusque finis cum alterius principio inadvertenter sineque sensu ac noxa ulla corporibus illata convertantur. Sed quo manifestius fiat id quod dico, per ipsam, qua de agitur, rem nostra oratio gradiatur. Summam æstatem non e vestigio in summam hiemem transmittit Deus. Profecto enim si id fieret, tum vero et corpora animantium, et semina et gignentia lædi, necesse esset, quod subitæ mutationis invasionem ferre non possent: sed æstas quidem autumno cedens desinit: autumnus vero in hiemem absque omni noxa transit, dum initio sui, æstati, fine autem clementer ac paulatim hiemi conformatur. Hiems deinde veri dans locum desinit: et ver quoque paulatim ex diversis qualitatibus contemperatum in æstatem transmigrat.

Β'. — ΖΩΣΙΜΩ.

Εἰς τὸ, « Καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας μου. »

Γέλωτα ὀφλισκάνεις (ὦ τί σε καλέσας τῆς σῆς ἀναλγησίας καθάψομαι); εὐχόμενος· « Καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας μου. » Τῶν μὲν γὰρ τὰ παρ' ἑαυτῶν εἰσφερόντων, καὶ νηστευόντων καὶ τῇ αὐταρκείᾳ χρωμένων, καὶ τοῦ σώματος κολαζόντων τὰ σκιρτήματα, ἐστὶν αὕτη ἡ εὐχὴ, ἐπικουρίαν τῇ αὐτῶν (36) ἀσκήσει πεμφθῆναι οὐρανόθεν παρακαλούντων. Τῶν δὲ, ὥσπερ σὺ, κραιπάλῃ ἀμέτρῳ παιζόντων τὸ σῶμα, καὶ τρυφῇ ποικίλῃ καὶ παντοδαπῇ τὰ σκιρτήματα αὐτῆς διεγειρόντων, καὶ τῇ εὐεξίᾳ τοὺς ἀθλητὰς ἀποκρυπτόντων, οὐκ ἔστι. Ταὐτὸν γὰρ ποιεῖς, ὡς ἂν εἰ καὶ ἑταίρᾳ συμπλεκόμενος καὶ ἐρῶν αὐτῆς, εὔξοιο (37) σωφροσύνην λαβεῖν. Τῶν γὰρ ἀνωτέρω τῶν δικτύων ἐκείνης πετομένων ἐστὶν ἡ εὐχή· οὐ τῶν ἄρκυσιν ὑποκυπτόντων ἑαυτοὺς ταῖς αὐτῆς ἢ ὡς ἂν ἀπὸ πλοίου εἰς πέλαγος ἄπειρον σαυτὸν

414 II. — ZOSIMO.

In illud Psalmi dictum, « Confige timore tuo carnes meas [69]. »

Risu profecto dignus es, mi homo (quem ego quo nomine appellem nescio, dum stuporem tuum reprehendo), quando precaris: « Confige timore tuo carnes meas. » Eorum enim hæc est precatio, qui quod in se est conferunt, et jejunant, et sua sorte contenti, parvoque beati vivunt, eaque ratione carnis exsultantem lasciviam castigant et compescunt, quique cœlitus opem et auxilium suæ exercitationi mitti postulant. At illis minime convenit, qui, quemadmodum tu facis, crapula immodica corpus saginant, et variis omnimodisque deliciis ejus petulantiam tantum abest ut reprimant, ut potius excitent, et bene curata cuticula ipsos etiam athletas vincunt. Perinde namque facere videris; ac si in meretriciis hærens amplexibus, et scorti amori dans operam, interea pudicitiæ compos fieri optes. Eorum

[69] Psal. cxviii, 120.

VARIÆ LECTIONES ET NOTÆ.

epistolæ ms. cod. Veneti, quem in bibliotheca S. Marci exstare testatur Xystus Senensis. Id mihi satis augmenti est, præter alia quæ domi habeo, ex illo ipso hunc cod. Bavaricum, unde has epistolas de promptas publici juris primi facimus, descriptum esse. De ordine epistolarum Isidori dixi in prolegomenis. Ritt. — Pro χορεύουσιν cod. Vat. 650 legit. χορευουσῶν. Possin.

(33) Ἀρίστην χορείαν χορεύουσιν. Geminum in modum loquitur Isidorus noster epist. 170 lib. III. ὥσπερ χορείαν τινὰ ἀρίστην τῶν ὡρῶν χορευουσῶν. De quatuor anni horis, quam apte sint ordinatæ, et se invicem consequatur, magnum providentiæ Dei argumentum præbentes, vide et Theodoretum lib. V. *De Providentia*. Conferri quoque utiliter poterit Isidori nostri epist. 158 lib. II, et ep. 308 lib. III. Ritt.

(34) Idem cod., om. ἐν et versu post tertio βαδιζέτω legit, pro βαδιεῖτω. Possin.

(35) Cod. Vat. ἐνέγκοντα versu penult. post μικρὸν addit καί. Id.

(36) Idem cod., σφῶν, et vers. post 2 pro τὸ σῶμα, τὴν σάρκα. Id.

(37) Pro εὔξοιο idem cod. legit εὔξαιο, et vers. post 2 pro ὑποκυπτόντων, ὑποβαλλόντων.

Digitized by Google

enim est istud votum, qui meretricis retibus altius volant : non eorum, qui ipsius compedibus ultro semetipsos induunt. Vel perinde, quasi ex navi te ipsum in immensum pelagus projiciens, et ultro te periculo objiciens, pro salute et conservatione tui supplicares. Et quo pacto, quæso, hunc talem hominem ipsa, si velit, salus servare possit? Nam iis, qui omnia quæ in se sunt, implent, quique artem suam in auxilium vocant, ne a tempestate submerganter, ejusmodi convenit precatio : nequaquam vero iis, qui etiam antequam coorta in mari fuerit tempestas, seipsos in pelagus præcipitant. Desine igitur delicias facere. Nam si ventrem perdomueris, etiam iis quæ sub ventre sunt, eris superior : nec ultra ridiculum te præbebis, ut qui contraria te consequi posse optes iis quæ agis.

A ῥίπτων, ἀντιβολοίης σωθῆναι ἐμβρόντητε, σαυτῷ κατασκεύαζων τὸν κίνδυνον, εὐχῇ σωθῆναι (38). Καὶ πῶς οἷόν τε; Τῶν γὰρ πάντα τὰ παρ' ἑαυτῶν πληρούντων, καὶ παρακαλούντων μὴ βαπτισθῆναι τὴν οἰκείαν τέχνην ὑπὸ τοῦ χειμῶνος, ἐστὶν αὕτη ἡ δέησις· οὐ τῶν ἑαυτοὺς εἰς τὸ πέλαγος καὶ πρὸ τοῦ κλύδωνος ῥιπτούντων. Παῦσαι τοίνυν τρυφῶν. Εἰ γὰρ γαστρὸς περιέσῃ, καὶ τῶν μετὰ γαστέρα κρατήσεις, καὶ γέλωτα οὐκ ὀφλήσεις, ὡς τἀναντία ὧν διαπράττῃ λαβεῖν προσευχόμενος.

III. — EIDEM.

De eodem.

Γ'. — ΤΩ ΑΥΤΩ.

Εἰς τὸ αὐτό.

B

Quoniam per litteras ex me quæsivisti, quid sibi velit illud : « Confige timore tuo carnes meas » (fortassis enim imprudens id petiisti, quod accipere nolueris) ausculta. Fige ipsas, mortifica, immobiles fac ad voluptatem : pro clavis timor tui ipsas figat, et morte afficiat, et in crucem agat, et immobiles atque inefficaces ad peccatum faciat. Cognita igitur interpretatione, tu qui deliciis indulges, ne hoc petas : aut si petis, deliciari ac luxuriare desine : præsertim, cum ne quidem domi tuæ tibi materia deliciarum suppeditetur, sed alienis mensis impudenter insiliens (quod unum ex rebus abominandis ac miseris esse pronuntiavit Salomon) : carnem prorsus indecore pinguefacias. Non enim necessitati C te accommodas; sed et satietatem contumelia afficis.

Ἐπειδὴ γέγραφας, τί ἐστι τό· « Καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας μου » (ἴσως γὰρ ἀγνοῶν ᾔτεις ὃ μὴ ἐβούλου λαβεῖν)· ἄκουε. Πῆξον αὐτὰς, νέκρωσον, ἀκινήτους ποίησον πρὸς ἡδονήν, ἀντὶ ἥλων ὁ φόβος ὁ σὸς πηγνύτω αὐτὰς, καὶ νεκρούτω, καὶ σταυρούτω, καὶ ἀκινήτους καὶ ἀνενεργήτους πρὸς ἁμαρτίαν παρασκευαζέτω. Γνοὺς οὖν τὴν ἑρμηνείαν ὁ τρυφῶν, τοῦτο μὴ αἴτει· ἢ αἰτῶν μὴ τρύφα· καὶ μάλιστα, ὅτι οὐδ' ἡ τρυφὴ οἰκαδέ σοι παρασκευάζεται, ἀλλ' ἀλλοτρίαις ἀναισχύντως ἐπιπηδῶν τραπέζαις· ὅπερ ἓν τῶν ἀπευκταίων καὶ ἀθλίων ὡρίσατο εἶναι ὁ Σολομών· τὴν σάρκα οὐ δεόντως ὅλως πιαίνεις. Οὐ γὰρ τῆς χρείας γίνῃ· ἀλλὰ καὶ τὸν κόρον ὑβρίζεις.

415 IV. — EIDEM.

De eadem re.

Δ'. — ΤΩ ΑΥΤΩ.

Εἰς τὸ αὐτό.

Is quidem, qui virtutem germanitus atque ex animo adamat, etiam divinum numen jure meritoque invocet ad opem ferendam, quo desideria sua ad optatum exitum perducat. At qui cum ea perpetuum bellum gerit, is ne quidem si Deum in auxilium vocarit, propitium habebit. Quæ ergo hæc est amentia, quod cum carnem tuam crapula et ebrietate assidua pinguefacias ac sagines, ignemque igni addas, et nullam non voluptatis viam novam rimeris, et libidinem sopitam quoque excites et instiges ultro, tamen in precibus dicere ausis : « Confige timore D tuo carnes meas [68] ? » Nam ei quidem, qui jejuniis et humi cubationibus et per vigilias carnem suam tabefacit, et spiritus habenis obsequentem ipsam exhibet, aptissima convenientissimaque est hæc precatio. Qui vero, id quod tu facis, ita parat et assuefacit carnem, ut luxuria exsultet, quique luxuriosas comessationes et temulentiam perpetuo assectatur,

Ὁ μὲν τῆς ἀρετῆς γνήσιος ἐραστὴς, καὶ τὸ Θεῖον εἰς τὸ ἀγαγεῖν τὸ ποθούμενον εἰς πέρας δίκαιος ἂν εἴη καλεῖν· ὁ δὲ ἄσπονδος ἐχθρὸς, οὐδὲ ἂν καλέσας (39) ἐπήκοον ἕξει τὸ Θεῖον. Τί τοιγαροῦν τὴν σάρκα τὴν σαυτοῦ κραιπάλαις καὶ μέθαις καταπαίνων, καὶ πῦρ ἐπὶ πῦρ ὀχετεύων, καὶ πᾶσαν καινοτομῶν ὁδὸν ἡδονῆς, καὶ τὸ ἀκόλαστον καὶ κοιμώμενον διεγείρων τε καὶ παρακαλῶν, ἐν ταῖς εὐχαῖς λέγεις· « Καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας μου; » Τῷ μὲν γὰρ νηστείαις καὶ χαμευνίαις, καὶ παννυχίσι τὴν οἰκείαν κατατήκοντι σάρκα, καὶ εὐήνιον αὐτὴν τῷ πνεύματι κατασκευάζοντι, πρεπωδεστάτη αὕτη ἡ εὐχή· τῷ δὲ, ὥσπερ σὺ, σκιρτᾷν παρασκευάζοντι τὴν σάρκα, καὶ τὰς ἀσώτους συνεστιάσεις καὶ τὰς κραιπάλας διώκοντι, ἐξ ὧν ἡδοναὶ βρύουσιν, οὐ μόνον ἀπρεπὴς αὕτη ἡ εὐχὴ, ἀλλὰ καὶ εἰρωνείας, μᾶλλον δὲ κινδύνου μεστή (40). Ὅταν γὰρ τὸν ἀκήρατον νοῦν ταῦτα αἰτῇ, ἃ ποιεῖν οὐ θέλει, οὐ μόνον ἀνθρώ-

[68] Psal. CXVIII, 120.

VARIÆ LECTIONES ET NOTÆ.

(38) Hæc, ἐμβρόντητε σαυτῷ.... σωθῆναι, omittebat ed. Paris. et habet cod. Vat. 650. EDIT.

(39) Cod. Vatic. 650, καλέσῃ, et vers. post quarto pro καὶ κοιμώμενον scribit uno verbo κεκοιμημένων. ID.

(40) Vox μεστή, quæ in ed. Paris. deerat, additur ex cod. Vatic. EDIT.

Digitized by Google

πους, ἀλλὰ καὶ αὐτὸν παραχρούεσθαι θέλει τὸν κριτήν. A unde voluptates ebulliunt, ei non modo non convenit ista precatio, verum etiam ludibrii, imo et periculi plena est. Quando enim integerrimam illam divinam mentem ea rogat, quæ facere non vult, tum vero non solum homines, sed ipsum quoque judicem fallere conatur.

Ε'. — ΙΣΙΔΩΡΩ ΔΙΑΚΟΝΩ.

Τί ἐστι γεγραμμένον ἐν τοῖς Ἄσμασι, « Ἑξήκοντά εἰσι βασίλισσαι. »

Γέγραφας, τί ἐστιν, « Ἑξήκοντά εἰσι βασιλίδες, » καὶ τὰ ἑξῆς. Ἄκουε τοίνυν· Ἐχέτω μὲν ἡ ἄμωμος καὶ παρθένος Ἐκκλησία, ἡ ὀρθὴν περὶ τὸ Θεῖον τὴν πίστιν ἔχουσα, τὰ πρωτεῖα· καὶ αὐτὴ καλείσθω περιστερὰ τελεία, ὅλων τῶν ταγμάτων ὑπερβαίνουσα τὴν ἀξίαν. Εἰ δὲ καὶ εἰς πράξεις αὐτὸ ἐκλαβεῖν χρή, λελέχθω καὶ τάδε· Ἑξήκοντά εἰσι βασιλίδες, αἱ τῆς βασιλείας ἕνεκεν εἰσπράττουσαι ψυχαί· καὶ ὀγδοήκοντα παλλακαὶ, αἱ φόβῳ τῆς κολάσεως ἀπεχόμεναι τοῦ κακοῦ· καὶ νεάνιδες, ὧν οὐκ ἔστιν ἀριθμὸς, αἱ διά τινας προφάσεις κοσμικὰς σωφρονοῦσαι, καὶ τὸ δίκαιον διώκουσαι, αἳ οὐδὲ πόθῳ τῆς βασιλείας, οὐδὲ φόβῳ τῆς κρίσεως τὸ δέον πράττουσιν (41)· ἀλλ' ἵνα πλούτου, ἢ δόξης, ἢ τιμῆς τινος μὴ στερηθῶσι. Μία ἐστὶ περιστερὰ τελεία, ἡ τὸ καλὸν δι' αὐτὸ τὸ καλὸν πράττουσα, τῶν ἄκρων ἁγίων σύνοδος· ἡ οὔτε διὰ μισθὸν, οὔτε διὰ τιμωρίαν, οὔτε διὰ πρόφασίν τινα βιωτικὴν, ἀλλὰ διὰ τὸ τῷ Θεῷ φίλον, πράττουσα τὸ δέον. Δῆλον δ' ὅτι τὸν Θεὸν ἔχουσα, καὶ πάντα τὰ αὐτοῦ ἕξει· κἀκεῖναι μὲν ἀκοῦσαι δυνήσονται· Χάρις τῇ βασιλείᾳ, καὶ τῇ γεέννῃ, τῇ παρασκευασάσῃ ἡμᾶς ἀριστεῦσαι. Αὕτη δὲ οὐδὲν τοιοῦτον ἀκούσεται, ἀλλὰ καὶ παρὰ πάντων μακαρισθήσεται.

V. — ISIDORO DIACONO.

Quid sibi velit quod in Canticis scriptum est, « Sexaginta sunt reginæ[66]. »

Quæsivisti per epistolam, quid sit : « Sexaginta sunt reginæ, » et quæ sequuntur. Adverte igitur : Principem quidem obtineat locum pura atque integra virgo Ecclesia, quæ rectam in Deum fidem servat : ipsaque vocetur columba perfecta, omnes acies atque ordines dignitate antecedens. Quod si vero etiam de actionibus accipi debet hoc dictum, B dicantur hæc quoque. Sexaginta sunt reginæ, animæ, quæ regni cœlestis virtutem operantur : Et octoginta pellices, quæ supplicii metu a vitiis abstinent. Et juvenculæ, quarum non est numerus, quæ ob aliquos prætextus mundanos temperantiam colunt, et justitiam sectantur : quæ nec regni cœlestis desiderio, nec judicii et condemnationis metu officium faciunt ; sed ne divitiis, aut gloria, aut honore aliquo priventur. Una est columba perfecta, nempe summe sanctorum cœtus, qui honestum ipsius honestatis causa colit : qui neque ob mercedem, neque ob supplicium, neque ob aliquem hujus vitæ prætextum, sed ob id quod Deo gratam rem faciat, officium facit. Cum autem habeat Deum, constat quod C omnia simul habeat quæ sunt Dei. Ac illæ quidem audire poterunt : Gratia sit regno cœlesti et gehennæ, quæ nos ad recte agendum paraverit; **416** ista vero nihil tale audiet, sed etiam ab omnibus beata prædicabitur.

Ϛ'. — ΕΠΙΜΑΧΩ ΑΝΑΓΝΩΣΤΗ.

Εἰς τὸ, « Εἴ τις δοκεῖ σοφὸς εἶναι, γενέσθω μωρός. »

Γέγραφας, τί ἐστι τῷ Παύλῳ εἰρημένον· « Εἴ τις δοκεῖ ἐν αἰῶνι τούτῳ σοφὸς εἶναι, γενέσθω μωρὸς, ἵνα γένηται σοφός. » Ἄκουε τοίνυν συντόμως. Ἡ οἴησις προκοπῆς ἐστιν ἐγκοπή (42). Ὥστε κενῶσαι χρὴ τὸν ὄγκον καὶ τὴν φλεγμονὴν (τοιοῦτον γὰρ ἡ Ἑλληνικὴ σοφία, οὐδὲν ἔχουσα στερέμνιον, οὐδὲ σταθηρὸν (43), καὶ οὕτως ἐμπλησθῆναι τῆς θείας παιδεύσεως. Εἰ γὰρ μὴ τὸ φύσημα κενωθείη, ἡ στερρὰ D διαφθαρήσεται τροφή. Εἰ δὲ βούλει, καὶ διὰ παραδείγματος χωρήσει ὁ λόγος. Ὅνπερ γὰρ τρόπον ἐπὶ τοῦ σώματος, ἐὰν πνεῦμα (44) κενὸν ἐν τῇ γαστρὶ οἰκήσῃ, λυμαίνεται τὴν πέψιν· οὕτω καὶ ἀπόνοια,

VI. — EPIMACHO LECTORI.

In dictum, « Si quis videtur sapiens esse, fiat stultus[67]. »

Quæsivisti per epistolam, quid sibi velit quod a Paulo dictum est : « Si quis videtur in hoc sæculo sapiens esse, fiat stultus, ut sapiens fiat. » Audi igitur breviter. Persuasio inanis sapientiæ impedimento est profectui. Quocirca evacuare oportet tumorem et fastum (talis enim res est Græcanica gentilium sapientia, nihil solidum neque stabile habens), atque ita impleri divina eruditione. Nisi enim flatus evacuetur prius, corrumpi solidum alimentum necesse est. Quod si vis, etiam exemplum adjunget oratio, quo res fiat manifestior. Quemadmodum enim in corpore, si flatus inanis in ventre insideat, co-

[66] Cant. vi, 7. [67] I Cor. iii, 18.

VARIÆ LECTIONES ET NOTÆ.

(41) Cod. Vat. 650, τὸ δίκαιον πράττουσαι. Vers. penult. et ult. ep. pro παρὰ πάντων idem cod., legit πάντως. Possin.

(42) *Ἐγκοπή*. In ms. B. [et in cod. Vat. 650] erat, ἐκκοπή. Est autem trilissimum hoc dictum : Οἴησις ἐγκοπὴ προκοπῆς· cujus veritatem testatur experientia : cujus rationem aperit Isidorus epist. 21, infra, ut Senecam nunc taceam. Ritt.

(43) Pro σταθηρόν idem cod. habet στεανόν, et vers. post 2, pro στερρὰ scribit στρεά. Possin.

(44) Post πνεῦμα idem cod. inserit duo hæc verba, πολὺ καί. Paulo post, pro τὴν πέψιν habet, τῇ πέψει, Vers. seq. inter τῷ et λόγῳ idem infindit θείῳ. Ib.

Digitized by Google

ctionem lædit : sic etiam vecordia, si aditum præcluserit sanæ rationi et orationi, sanitatem lædit. Maximum vero ejus sanitatis fundamentum est modestia : quam ipsa quoque naturæ nostræ conditio, ex quo ortum accepit, tantum non edita voce clamans docet, ut quæ nihil nisi pulvis et cinis sit, et supercilium ac fastum eorum, qui arrogantiæ morbo laborant, ipsis rerum argumentis comprimit.

A ἐὰν ἀποκλείσῃ τῷ λόγῳ τὴν εἴσοδον, λυμαίνεται τὴν ὑγείαν τῆς ψυχῆς. Μεγίστη δὲ ὑπόθεσις ὑγείας ταπεινοφροσύνη, ἣν καὶ ἡ φύσις ἡμῶν, ὅθεν γέγονε, βοῶσα διδάσκει, κόνις καὶ τέφρα τυγχάνουσα, καὶ τὸ φρύαγμα τῶν ἀλαζονείαν νοσούντων δι' αὐτῶν τῶν πραγμάτων καταστέλλουσα.

VII. — ISIDORO EPISCOPO.

In id quod ab Apostolo dictum est, « Oramus autem Deum, ne faciatis quidquam mali [66]. »

Quæsivisti per epistolam, quid sibi velit, quod dixit Paulus : « Oramus autem Deum, ne afficiat vos ullo malo, non ut nos probati appareamus, sed ut vos bonum faciatis ; nos vero tanquam improbati B simus. » Audi igitur breviter. Quoniam pœna, quæ peccantibus irrogabatur verbo (ut illa quæ Ananiæ et Saphiræ, illa item quæ excæcato magο), peccantes quidem affligebat, eos autem, qui pœnas infligebant, conspicuos atque illustres et formidabiles efficiebat : idcirco dicit : Nolumus ex vestra malitia et afflictione illustres ac celebres fieri, sed libenter obscuri, quantum ad hoc quidem attinet, latere, dum vos clari probatique sitis. Nam qui suæ virtutis splendorem ex eorum qui suppliciis afficiuntur calamitate exsistere cupiunt, illi mihi non patres esse neque doctores habendi videntur, sed potius pestiferi quidam homines et hostes atque tyranni.

Z'. — ΙΣΙΔΩΡΩ ΕΠΙΣΚΟΠΩ.

Εἰς τὸ εἰρημένον ὑπὸ τοῦ Ἀποστόλου, « Εὐχόμεθα δὲ τῷ Θεῷ, μὴ ποιῆσαι ὑμᾶς μηδὲν κακόν. »

Γέγραφας, τί ἐστιν ὃ ἔφη ὁ Παῦλος, « Εὐχόμεθα δὲ τῷ Θεῷ, μὴ ποιῆσαι ὑμᾶς μηδὲν κακόν, οὐχ ἵνα ἡμεῖς δόκιμοι φανῶμεν, ἀλλ' ὑμεῖς τὸ καλὸν ποιῆτε, ἡμεῖς δὲ ὡς ἀδόκιμοι ὦμεν. » Ἄκουε τοίνυν συντόμως. Ἐπειδὴ ἡ λόγῳ τικτομένη κατὰ τῶν ἁμαρτανόντων τιμωρία, οἷον ἡ κατὰ τῶν περὶ Ἀνανίαν καὶ Σάπφειραν, καὶ ἡ κατὰ τοῦ τυφλωθέντος μάγου, τοὺς μὲν ἁμαρτάνοντας ἐταπείνου, τοὺς δὲ κολάζοντας λαμπροὺς καὶ ἐπισήμους καὶ φοβεροὺς ἀπέφαινε, διὰ τοῦτό φησιν, ὅτι Οὐ βουλόμεθα ἐκ τῆς ὑμετέρας κακίας λαμπροὶ φαίνεσθαι, ἀλλ' ἡδέως ἄσημοι διὰ τοῦτ' ἂν εἴημεν, ἵνα ὑμεῖς εὐδόκιμοι εἶητε. Οἱ γὰρ βουλόμενοι τῆς οἰκείας ἀρετῆς τὴν ἐπιφάνειαν (45) ἐκ τῆς τῶν κολαζομένων συμφορᾶς τίκτεσθαι, οὗ μοι δοκοῦσι πατέρες εἶναι ἢ διδάσκαλοι (46), ἀλλὰ λυμεῶνες καὶ ἐχθροὶ καὶ τύραννοι.

VIII. — ISAIÆ.

De Caino et Lamecho [67].

Quæsivisti, quid causæ sit, cur Cain et Lamech, cum uterque cædem patrarint, non tamen similibus affecti sint pœnis. Alter enim pœnas dependit; alter autem veniam **417** consecutus est. (Respondeo :) Quia ille etiam reprehensus (a Deo) factum negavit ; iste vero non reprehensus ultro confessus est. Quanquam enim (ipsorum) peccata fuerint æqualia, tamen quæ peccatum sunt consecuta, non fuerunt æqualia. Divinum est enim oraculum, quod jubet : « Dic tu peccata tua primus, ut justificeris [68]. » Demus itaque operam sedulo, ne peccemus. Ubi autem forte peccaverimus, nec per negationem nobismet-ipsis graviorem pœnam accersamus.

C

Η'. — ΗΣΑΙΑ.

Περὶ τοῦ Κάϊν καὶ τοῦ Λάμεχ.

Διὰ τί, ἔφης, ὁ Κάϊν καὶ ὁ Λάμεχ φόνον δράσαντες οὐχ ὁμοίως ἐκολάσθησαν ; Ὁ μὲν γὰρ δίκας ἔδωκεν · ὁ δὲ συνεγνώσθη. Ἐπειδὴ ὁ μὲν καὶ ἐλεγχόμενος ἠρνήσατο · ὁ δὲ μὴ ἐλεγχόμενος ἐξωμολογήσατο. Εἰ γὰρ καὶ τὰ τῆς ἁμαρτίας ἴσα, ἀλλὰ τὰ μετὰ τὴν ἁμαρτίαν οὐκ ἴσα. Θεῖος γάρ ἐστι χρησμὸς παρακελευόμενος · « Λέγε σὺ τὰς ἁμαρτίας σου πρῶτος (47), ἵνα δικαιωθῇς. » Οὐκοῦν μάλιστα μὲν σπουδάζωμεν (48) μὴ πλημμελεῖν. Εἰ δὲ καὶ πλημμελήσωμεν, μὴ διὰ τῆς ἀρνήσεως χαλεπωτέραν (49) ἑαυτοῖς τὴν δίκην παρασκευάσωμεν.

IX. — EUDÆMONIO DIACONO.

Quare pueri (tres) in fornace (Babylonica) communiter omnibus auctores et hortatores fuerunt laudandi Deum; peculiariter vero Danieli [69].

Quæsivisti, quare pueri tres, posteaquam communiter omnibus hominibus hortatores exstiterunt ad

D

Θ'. — ΕΥΔΑΙΜΟΝΙΩ ΔΙΑΚΟΝΩ.

Διὰ τί ἐν τῇ καμίνῳ οἱ παῖδες κοινῇ πᾶσι παρεκελεύσαντο εὐλογεῖν τὸν Θεόν, ἰδίως δὲ τῷ Δανιήλ.

Διὰ τί, ἔφης, οἱ παῖδες οἱ τρεῖς μετὰ τὸ πᾶσιν ἀνθρώποις κοινῇ παρακελεύσασθαι, εὐλογεῖν τὸν

[66] II Cor. XIII, 7. [67] Gen. IV, 1 seqq. [68] Isa. XLIII, 26. [69] Dan. III, 26 seqq.

VARIÆ LECTIONES ET NOTÆ.

(45) Cod. Vat. περιφάνειαν. Possin.

(46) Ἢ διδάσκαλοι. Dissimulare non debeo, in ms. B. esse ἢ δέδι δ., ex quo conjiciat quis, legend. οὐδὲ διδ. Ritt.

(47) Λέγε σὺ τὰς ἁμαρτίας σου πρῶτος. Græc. Bibl. Isa. XLIII, habent, ἀνομίας. In sensu nihil interest, utrum usurpes verbum. Nam, ut Joannes apostolus ait, ἡ ἁμαρτία ἐστὶν ἡ ἀνομία. Ib

(48) Ed. Paris., ἵνα δικαιωθῇς σπουδάσωμεν cum asterisco defectus indice. Possin.

(49) Pro χαλεπωτέραν cod. Vatic. legit ἀργαλεωτέραν. Ib.

Digitized by Google

Θεὸν, ἰδίᾳ τῷ Δανιὴλ παρεκελεύσαντο(50). Φημὶ τοί- A benedicendum Deum, privatim Danielem hortati
νυν, ὅτι (51) ἐπειδὴ οἱ μὲν κοινῆς προνοίας, οἱ δὲ καὶ fuerint (ad idem officium). Aio itaque (hanc mihi
ἰδικῆς καὶ ἐξαιρέτου προστασίας ἀπήλαυσαν· καὶ οἱ ejus rei causam videri fuisse), quoniam illi quidem
μὲν τὸν ἔμφυτον εἶχον· οἱ δὲ καὶ τὸν γραπτὸν ἐδέ- generalis Providentiæ, hi vero etiam insuper pecu-
ξαντο νόμον. liaris atque eximiæ cujusdam protectionis fructum
perceperunt; et illi quidem natura insitam habue-
runt, hi vero etiam scriptam legem acceperunt.

Ι'. — ΙΣΙΔΩΡΩ ΕΠΙΣΚΟΠΩ.

Περὶ τοῦ ῥητοῦ τῆς ἐπιστολῆς Ἰακώβου· « Ἡ γλῶσσα πῦρ. »

Διττήν μοι δοκεῖ, τὴν μὲν πιθανωτέραν, τὴν δὲ (52) πικροτέραν ἑρμηνείαν ἔχειν τὸ παρὰ σοῦ ζητηθέν· « Ἡ γλῶσσα πῦρ, ὁ κόσμος (53) τῆς ἀδικίας. » Μάλιστα μὲν ἐπειδὴ εὔστροφος οὖσα καὶ ῥᾴστη εὐχερῶς πολλὰ λαλοῦσα κακά. Καὶ γὰρ καὶ κατηγορεῖ, καὶ κακηγορεῖ, καὶ ἐπιορκεῖ, καὶ ψεύδεται, καὶ B
ψευδομαρτυρεῖ, καὶ πολλοὺς ἀδίκως εἰς πῦρ ἐμβάλλει, καὶ εἰς ξίφος, καὶ εἰς πέλαγος ὠθεῖ. Κόσμον δὲ εἴθε καλεῖν ἡ Γραφὴ τὸ πλῆθος. « Ὁ κόσμος γὰρ, φησὶν, αὐτὸν οὐκ ἔγνω· » τοῦτ' ἔστι, τὸ πλῆθος. Ἡ γλῶσσα οὖν, φησὶν, ἡ πῦρ ἐστι, πλῆθος ἀδίκως κατακαίουσα, ἢ πλήθους πυρὸς ἀδίκου δοχεῖον. Ἐπειδὴ δὲ πολλοὶ τῇ κακίᾳ συμπράττοντες, καὶ τὴν ἀδικίαν σεμνύνοντες, δεινότατοι ὄντες ῥητορεύειν ἐπὶ πράξεσι πονηραῖς καὶ παρανόμοις, λόγων εὐπρέπειαν ἐχόντων οὐκ ἀποροῦντες, λανθάνουσι καθ' ἑαυτῶν τὴν ψῆφον τιθέμενοι, καὶ δεῖγμα τῆς ἑαυτῶν προαιρέσεως τῆς ἐπὶ τὰ φαῦλα ῥεπούσης διὰ τῶν λόγων τούτων ἐκφέρουσιν, ἴσως στηλιτεύων αὐτοὺς τοῦτ' ἔφη· « Ἡ γλῶσσα πῦρ, ὁ κόσμος τῆς ἀδικίας· » ὡς ἂν εἰ ἔλεγεν, ὅτι ὁ τῆς εὐγλωττίας πυρσὸς, ὅταν C
τοὺς μεγάλα πταίοντας κοσμῇ, ἐγκαλλώπισμα δοκεῖ τῆς ἀληθείας. Χρὴ τοιγαροῦν τῇ δεινότητι κεχρῆσθαι οὐ πρὸς τὸ τὴν κακίαν κοσμεῖν, ἀλλὰ πρὸς τὸ τὴν ἀρετὴν σεμνύνειν, τὴν καὶ χωρὶς λόγων ὑπέρλαμπρον.

X. — ISIDORO EPISCOPO.

De dicto Epistolæ Jacobi, « Lingua est ignis [70], » etc.

Quando libidinosi illi et impotentes amatores desideriis cupiditatum immersi ad castissimam Susannam accesserunt (luxuria enim et ebrietas ipsos ad hanc contumeliam exercendam instituerant) **436** tunc sapientia, quæ in discipulis inerat, eos qui magistri esse videbantur divinum atque incorruptum docuit judicium. Quia vero cupiditas cædem machinata erat, et animi perturbatio rationem rectam non admittebat, exclamabat illa, sincerum atque integrum castitatis thesaurum conservare satagens. Postquam autem ipsa quidem, quod volebat, perfecit, illi vero frustrati sunt eo quo potiri non debebant : tunc accusatio adversus ipsos, qualem merebantur, instituta fuit : et ex inopinato superve-

D

ΜΕ'. — (38) ΙΕΡΑΚΙ ΚΑΙ ΔΙΟΝΥΣΙΩ ΠΡΕΣΒΥΤΕΡΟΙΣ.

Τοῦ Δανιήλ· Περὶ τῆς σώφρονος Σωσάννης.

Ὅτε οἱ ἀκρατεῖς ἐκεῖνοι ἐρασταὶ βεβαπτισμένοι τῷ πόθῳ, ἦκον ἐπὶ τὴν σωφρονεστάτην Σωσάννην (ἀκολασία γὰρ καὶ μέθη παροινεῖν αὐτοὺς ἐπαίδευσαν), τότε δὴ τοὺς δοκοῦντας διδασκάλους ἡ τελοῦσα ἐν τοῖς μαθητευομένοις (39) τὴν θείαν καὶ ἀδέκαστον ἐδίδασκε κρίσιν. Ἐπεὶ δὲ ὁ πόθος τὸν φόνον παρεγράψατο, καὶ τὸ πάθος τὸν λόγον οὐ παρεδέξατο, ἐβόησεν ἐκείνη, τὸ τῆς σωφροσύνης κειμήλιον ἀκέραιον καὶ ἀνέπαφον φυλάξαι ἐπειγομένη. Ὡς δ' αὐτὴ μὲν ἤνυσεν ὅπερ ἐβούλετο, ἐκεῖνοι δ' ἀπέτυχον, οὗπερ ἐπιτυχεῖν οὐκ ὤφελον· τότε δὴ ἐγράψαντο γραφὴν, ἣν γραφῆναι ἦσαν δίκαιοι, ἀλλ' ἡ παράλογος (40) ψῆφος ἀντιπεριέστησεν εἰς ἑαυτοὺς τὸ ἔγκλημα. Εἰ τοίνυν καὶ Εὐσέβιος, ὡς γεγράφατε,

[1] Psal. CXLIV, 15. [2] Psal. CXLVI, 9. [3] Jerem. XXXI, 29 ; Ezech. XVIII, 2. [4] Jerem. XXXI, 30 ; Ezech. XVIII, 3, 4. [5] Dan. XIII, seqq.

VARIÆ LECTIONES ET NOTÆ.

(35) *Περιπταμένα-τούτοις.* Inter hæc duo verba videtur interponendum tale quidpiam, τρέφει αὐτοὺς (vel τροφὴν αὐτοῖς παρέχει) μέχρις οὗ πτηνοὶ γένωνται (vel πτερωθεῖεν). Itaque verti, quasi hæc adessent, quæ a ms. aberant, *pabulum ipsis præbent, quoad volare possint.* Ritt. — Post περιπταμένα adjunge ex cod. Vatic., τροφὴ γίνεται τούτοις· μονονουχὶ γὰρ συνεβ. Possin.

(36) Pro ἀπάνθρωπον idem legit ἀπανθρωπότερος. In fine ep. pro illis, τὰ τῆς φιλανθρωπίας, etc., sic is cod. habet, διὰ τῆς φιλανθρωπίας ὑπερεῖδε δίκαια. Ib.

(37) Post ἀσεβησάντων, adde καὶ κολασθέντων ex cod. Vat. 650. Vers. post 2, pro ὠμοδίασαν idem habet ἠμοδίασαν. Vers. 8 et 9 ep. pro ἀπῃτοῦντο idem legit ἀπαιτοῦνται. Ib.

(38) Titulus hujus ep. sic est in cod. Vat. 650), Διονυσίῳ πρεσβυτέρῳ. Idem vers. 3 non habet notam parenthesis. Ib.

(39) Hæc verba, διδασκάλους ἡ τελοῦσα ἐν τοῖς μαθητευομένοις, non comparent in cod. Vat., qui pro iis ponit, ἡ εἰς τοὺς φοιτητὰς τελοῦσα. Possin. — De est, mea opinione, σοφία. Ritt.

(40) Pro παράλογος, scribit idem παραλόγιστος. Ib.

Digitized by Google

τῷ δ.δασκαλικῷ ἀξιώματι ὑφρυωμένος, καὶ τολμῶν ἃ μὴ θέμις, οὐδὲ συμβουλῆς ἀνέχεται, ἄνω καὶ κάτω τὸ τῆς ἐπισκοπῆς, οὐ τὸ τῆς ἀρετῆς προφέρων ἄξίωμα, μὴ ὀλιγωρεῖτε. Ἀξια γὰρ πάντων, ἢ ἐνταῦθα ἢ ἐκεῖσε, τῶν δρωμένων ἀπαιτηθήσεται τὰ ἐπίχειρα. Dignæ enim omnium, vel hic, vel in altero sæculo pœnæ ab ipso reposcentur.

A niens calculus in ipsos crimen convertit (quod falso intentarant innocenti). Si igitur Eusebius quoque, ut scripsistis, doctoris dignitate superbiens et altum gerens supercilium, nefandaque audens aggredi, neque consilium admittit ullum, sursum ac deorsum episcopatus, non autem virtutis, ostentans et jactans dignitatem : nolite id parvipendere.

ΜΖ'. — ΔΩΡΟΘΕΩ ΑΝΑΓΝΩΣΤΗ.

Εἰς τό, « Εἰ καὶ ἐγνώκαμεν κατὰ σάρκα Χριστόν. »

Ἴσως ἐπειδὴ ἀδελφοὺς ἐκάλεσεν ὁ Χριστὸς τοὺς ποιοῦντας τὸ πατρῷον θέλημα, καὶ ἔδειξε τὴν κατὰ σάρκα συγγένειαν (41), ἄνευ τῆς κατὰ πνεῦμά φημι (42) · καὶ εἶπεν ὁ Ἀπόστολος · « Εἰ καὶ ἐγνώκαμεν κατὰ σάρκα Χριστὸν, ἀλλὰ νῦν οὐκέτι γινώσκομεν · » οἷον · Εἰ καὶ ἐσεμνυνόμεθα πρώην οἱ ἐξ Ἰουδαίων πιστεύσαντες τῇ κατὰ σάρκα αὐτοῦ συγγενείᾳ, νῦν οὐ ταύτῃ ἐναβρυνόμεθα, ἀλλὰ τῇ κατ' οἰκειότητα αὐτοῦ ἀγχιστείᾳ, ἣν διὰ τῆς ἀρετῆς καρπούμεθα. Διὸ καὶ ἔλεγε · « Μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ · » ὡσανεὶ ἔλεγε · Τῇ μιμήσει σεμνύνομαι μᾶλλον ἢ τῇ κατὰ σάρκα ἀγχιστείᾳ.

XLVI. — DOROTHEO LECTORI.

In illud Pauli dictum : « Etsi cognovimus Christum secundum carnem [10], etc. »

Fortassis quia Christus fratres suos appellavit eos qui voluntatem paternam faciunt, et hoc pacto demonstravit, carnalem cognationem parvi esse momenti (dico, si absit cognatio secundum spiritum), idcirco etiam Apostolus dixit : « Etsi cognovimus Christum secundum carnem, at nunc non amplius novimus. » Quasi diceret, Quanquam nos, qui ex Judæis credidimus Christo, soliti sumus antea carnali propinquitate, qua cum ipso conjuncti sumus, gloriari, jam tamen non amplius ea nos efferimus, sed potius illa propinquitate, quæ nos ipsi similes efficit, qua per virtutem fruimur. Quam etiam ob causam dixit : « Imitatores mei estote, sicut et ego sum Christi [11]. » Quasi diceret, Imitatione magis glorior Christi, quam carnali cognatione.

B

ΜΖ'. — ΠΑΥΛΩ (43).

Ὅτι χρὴ τὸ φρόνημα τῶν σφαλλομένων, μὴ οἰομένων δὲ σφάλλεσθαι, καθαιρεῖν · γνωσιμαχοῦσι δὲ συγγνώμην νέμειν.

Ἴσθι, ὦ βέλτιστε, ὅτι οὐ λήσεταί σε οὐδεὶς τὸν φανότατον καὶ ἀκοίμητον ὀφθαλμὸν, οὐδ' εἰ ἐν παραδύστῳ τι δράσειε. Γυμνὰ γὰρ αὐτῷ πάντα, κἂν ἀπόκρυφα εἶναι δοκῇ. Διὸ καὶ τοὺς ἁμαρτάνοντας καὶ μὴ μετανοοῦντας, ποταμοί τινες ἀένναοι ὑποδέξονται, πῦρ φοβερὸν ἀναζέοντες, ὧν τὰ ῥεῖθρα φλόγες εἰς τιμωρίαν κυμαίνουσαι. Τοιγαροῦν φοβηθῶμεν (44) τὸ Θεῖον · φοβερὸν γάρ · καὶ σέβωμεν, ὅτι δὴ ἀγαθόν · αἰτῶμέν τε αὐτῷ πρέποντα δοῦναι, καὶ ἡμῖν συμφέροντα λαβεῖν · πρὸς γὰρ τοῦτο ἐπήκοον · καὶ γνωσιμαχῶμεν πταίοντες · καὶ εὐεργετικὸν γὰρ, καὶ δεκτικὸν τῶν γνησίως μεταγινωσκόντων · μηδαμῶς δὲ ὀλιγωρῶμεν, ὅτι δὴ δυνατὸν καὶ ἀπαραλόγιστον, ἀλλ' ἐνθύμως ἀγαπῶμεν. Τοῖς γὰρ ποθοῦσιν (45) οἷς λόγοις (46) καὶ μειλίχιον.

C

XLVII. — PAULO.

Oportere superbiam eorum qui errant, nec tamen se errare putant, deprimere : pœnitentibus autem veniam indulgere.

Scire debes, bone vir, quod nemo latebit illustrissimum illum ac pervigilem oculum, ne quidem si in occultissimis penetralibus aliquid patrarit. Aperta enim ac nuda ipsi sunt omnia [12], quantumvis operta et abdita esse videantur. Quamobrem etiam peccantes neque resipiscentes excipient fluvii quidam perpetui, ignem terribilem ebullientes, quorum flumina nihil sunt aliud quam flammæ ad supplicium fluctuantes. Metuamus igitur divinum numen **437** (est enim formidabile); et idem quoque veneremur colamus (est enim bonum atque beneficum); et petamus ab ipso talia, quorum et datio ipsum deceat, et nobis salutaris sit acceptio (ad talia enim danda pronum est), et lapsi in peccata resipiscamus (nam et beneficum est, et vere resipiscentes ac serio recipit). Nullo autem modo negligentes aut securi simus (quia potens est, nec deceptionibus obnoxium) : sed toto pectore ipsum diligamus. Erga eos enim qui obtemperant ejus verbis dictoque audientes sunt, benignum est.

ΜΗ'. — ΑΜΜΩΝΙΩ.

Εἰς τό · « Ἐγείρεσθε, ἄγωμεν ἐντεῦθεν. »

Ἵνα μὴ προλήψει, πάθει ἀργαλεωτάτῳ, καὶ

D

XLVIII. — AMMONIO.

In illud Christi dictum, « Surgite, eamus hinc [13]. »

Ne anticipatis opinionibus ac præjudiciis, malo

[10] II Cor. v, 16. [11] Philipp. III, 17. [12] Hebr. IV, 13. [13] Joan. XIV, 31.

VARIÆ LECTIONES ET NOTÆ.

(41) *Καὶ ἔδειξε τὴν κατὰ σάρκα συγγένειαν.* Videtur addendum tale quid, οὐδὲν οὖσαν, vel μηδὲν ἰσχύειν. Ritt.

(42) Cod. Vat. 650 pro φημὶ ponit, μικράν, et mox tollit καί · versu post quinto post ἀλλὰ addit ἐπί. Possin.

(43) Non Παύλῳ, sed Ἀλυπίῳ inscribitur hæc ep. cod. in Vat. 650. Vers. 2. epist. pro his, φανότατον καὶ ἀκοίμητον, idem cod. habet, τὸν ἀκοίμητον καὶ .... νότατον. Id.

(44) Pro φοβηθῶμεν idem cod. legit, ὀρρωδῶμεν. Id.

(45) *Τοῖς γὰρ ποθοῦσιν.* Leg. πείθουσιν. Ritt.

(46) Cod. Vat. omittit hæc duo verba, οἷς λόγοις. Possin.

Digitized by Google

certe gravissimo et tali quod ægre expelli potest, in terra detenti occupatique, a cœlestium præmiorum societate excludamur, idcirco dixit Salvator : « Surgite, eamus hinc. » Emissæ namque voci suam admiscens potentiam, germanos discipulos suos tyrannicis perturbationibus liberatos, in senatum cœtumque mundo hoc sublimiorem transtulit.

A δυσκόλως ἀναμοχλευθῆναι (47) δυναμένῳ (48), κατεχόμενοι ἐν τῇ γῇ, τῶν οὐρανίων εἰργοίμεθα γερῶν, ἔφη ὁ Σωτήρ· « Ἐγείρεσθε, ἄγωμεν ἐντεῦθεν. » Τῇ γὰρ πεμφθείσῃ φωνῇ τὴν ἑαυτοῦ καταμίξας δύναμιν (49), τοὺς γνησίους αὐτοῦ φοιτητὰς τῶν τυραννικῶν παθῶν ἐλευθερώσας, εἰς τὴν ὑπερκόσμιον μετεκόμισε σύγκλητον.

XLIX. — ORIONI.

In illud, « Si vero est gustus in verbis inanibus. »

Scire debes, invalescente morbo, et vires luctatoris instar dejiciente, et ad finem impellente, et hoc agente, ut animam quidem (a corpore) separaret; corpus autem morti traderet, quod exigua meditationis adhibita cura, jam ea, quæ abs te scripta fuerant, interpretari simus aggressi. Dictum illud: « Si vero est etiam gustus in verbis inanibus, » arbitror equidem duo significare. Vel hoc, quod falso objectum probrum non ultra aures progrediatur (neque enim attingit audientis mentem); vel quod oporteat modicis salibus conditum esse sermonem, ut et suavis sit intelligentibus, et aptus ad nutriendum, et in animum auditorum penetret. Sales autem orationum monitoriarum et exhortatoriarum sunt divinorum oraculorum testimonium, et metus judicii (extremi) et regni [sive æternæ vitæ] ratio, quæ omnia fortiorem et efficaciorem et ad alendum aptiorem præstant admonitionem cohortationemque, et non solum bono præditis stomacho, verum etiam male affectis et male habitis aptum atque conveniens præbent nutrimentum.

ΜΘ'. — ΩΡΙΩΝΙ.

Εἰς τό· « Εἰ δέ ἐστι γεῦμα ἐν ῥήμασι κενοῖς. »

Ἴσθι, ὅτι ἐρρωμένης τῆς νόσου, καὶ τὴν δύναμιν καταπαλαιούσης, καὶ εἰς τελευτὴν ἐλαυνούσης καὶ ἀπειλούσης (50) τὴν ψυχὴν μὲν χωρίσαι, τὸ δὲ σῶμα νεκρῶσαι, ὀλίγα φροντίσαντες, τὰ γραφέντα παρὰ σοῦ ἑρμηνεῦσαι προεθυμήθημεν νῦν· τό· « Εἰ δὲ καὶ ἔστι γεῦμα ἐν ῥήμασι κενοῖς, » οἶμαι δύο μηνύειν· B ἢ ὅτι τὸ ψευδὲς ὄνειδος οὐ περαιτέρω τῆς ἀκοῆς ἀφικνεῖται· οὐ γὰρ ἅπτεται τῆς τοῦ ἀκούοντος διανοίας· ἢ ὅτι χρὴ μετρίοις ἅλασι (51) τὸν λόγον ἠρτύσθαι, ἵνα καὶ ἡδὺς ᾖ τοῖς εὐγνώμοσι, καὶ τρόφιμος, καὶ καθάπτηται τῆς τῶν ἀκουόντων διανοίας. Ἅλες δὲ τῶν παραινετικῶν λόγων ἡ τῶν θείων λογίων μαρτυρία, ὅ τε τῆς κρίσεως φόβος, καὶ τῆς βασιλείας λόγος, ἰσχυροτέραν καὶ δραστικωτέραν καὶ τροφιμωτέραν δημιουργοῦντες τὴν παραίνεσιν, καὶ οὐ μόνον τοῖς εὐστομάχοις, ἀλλὰ καὶ τοῖς κακοσίτοις πρόσφορον καὶ κατάλληλον τροφὴν ὀρέγοντες.

L. — EUTONIO DIACONO.

In illud a populo dictum Herodi, « Vox Dei, et non hominis[46] ! »

Nosse debes, eos quidem qui te norunt, non fuisse miratos illa quæ prædicas; qui vero antea te non norant, eos jam te nosse cœpisse; qui denique invidebant tibi, eos magis quoque a morbo illo consumptos esse, et pœnas dedisse tantas, **438** ut majores ab ipsis exigere non facile possis. Si igitur vis (ut omnino velle debes) illos quidem lætitia denuo complere, alteris autem penitiorem tui notitiam conciliare, a tertio denique hominum genere pœnas repetere : tuam necesse est adaugeas virtutis præstantiam. Atque hæc quidem hactenus. Quoniam autem per epistolam ex me quæsivisti, quid causæ sit, quod cum alii Herodi ultra dignitatis modum

Ν'. — ΕΥΤΟΝΙΩ ΔΙΑΚΟΝΩ.

Πρὸς τὸ εἰρημένον ὑπὸ τοῦ δήμου τῷ Ἡρώδῃ· « Θεοῦ φωνὴ, καὶ οὐκ ἀνθρώπου. »

Ἴσθι, ὅτι οἱ μὲν γινώσκοντές σε οὐκ ἐξενίσθησαν, ἐφ' οἷς ἀνακηρύττεις (52)· οἱ δὲ ἀγνοοῦντες, ἔγνωσαν· οἱ δὲ φθονοῦντες, ἔτι μᾶλλον ὑπὸ τῆς νόσου κατεδαπανήθησαν, καὶ δίκην ἔδοσαν, ἧς μείζονα οὐκ ἂν δύναιο παρ' αὐτῶν λαβεῖν. Εἰ τοίνυν βούλει τοὺς μὲν πάλιν θυμηδίας ἐμπλῆσαι, τοῖς δὲ ἀκριβεστέραν γνῶσιν ἐνθεῖναι, τοὺς δὲ δίκας (53) ἀπαιτῆσαι, τῇ σαυτοῦ καλοκαγαθίᾳ πρόσθες. Καὶ ταῦτα μὲν ἐς τοσοῦτον. Ἐπειδὴ δὲ γέγραφας, δι' ἣν αἰτίαν, ἄλλων ὑπὲρ τὴν ἀξίαν κολακευσάντων τὸν Ἡρώδην, καὶ εἰπόντων· « Θεοῦ φωνὴν, καὶ οὐκ ἀνθρώπου, » αὐτὸς δίκην δέδωκε· φημὶ ὅτι οὐκ ἐπέπληξεν ἐκεῖνος, οὐδὲ D τὴν κολακείαν ἀσεβοῦσαν καὶ μαινομένην ἀπετρίψατο.

[46] Act. XII, 22.

VARIÆ LECTIONES ET NOTÆ.

(47) Pro ἀναμοχλευθῆναι cod. Vat. 650 legit ἀναβακχευθῆναι. Vers. ult. cap. μετεκόμισε idem mutat in μετεκόσμησε. Possin.

(48) De vi ac pertinacia anticipatarum opinionum, quanta sit, idem Isidorus infra epist. 56 agit. Nec Galenus eam ignoravit, cujus ἐν τῷ *Περὶ δυσκρισίας* sunt ista : Οὐδεμία βαφὴ δεισποιὸς οὕτως, ὡς τὸ τῶν ἄνευ λογισμοῦ πρὸς τὰ μοχθηρὰ δόγματα πάθος· οὐ γὰρ ἔστι μεταπεῖσαι τοὺς ἐν αὐτοῖς τραφέντας. Et idem etiam vehementius lib. VIII. *De composit. pharmac. sec. gen.* : Ψευδεῖς δόξαι προκαταλαμβάνουσαι τὰς τῶν ἀνθρώπων ψυχὰς, οὐ κωφοὺς μόνον, ἀλλὰ καὶ τυφλοὺς ἀπεργάζονται. Exempla ubivis obvia sunt. Ritt.

(49) Similiter loquitur epistol. 147 libri III, quæ ejus plane cum hac est argumenti. Id.

(50) *Καὶ ἀπειλούσης*. Add. ex cod. Vatic. vers. 3 lit. D. Possin.

(51) Pro ἅλασι cod. idem scribit, ἁλσὶ, et vers. post 4 pro λόγος, πόθος. Id.

(52) Pro ἀνακηρύττεις cod. Vat. 650 habet ἀνακηρύττῃ. Id.

(53) Post δίκας addit idem μεγίστας et vers. seq. πρόσθες mutat in προστίθει, itemque vers. 8 φωνὴν in φωνή. Vers. 9 post inter ὅτι et οὐκ inserit ἐπειδή. Id.

Digitized by Google

Τῷ γὰρ καταδέξασθαι, καὶ εἰς μείζονα αὐτοὺς ἀσέβειαν (54) ἐπαιδοτρίβησεν. Εἰκὸς δὲ κἀκείνους, εἰ καὶ μὴ παραυτίκα, ἀλλ' ὕστερον δεδωκέναι δίκην. Εἰ δὲ καὶ ἐνταῦθα διέφυγον, τὰ ἐκεῖσε οὐ διαφεύξονται.

dum eam acceptavit, etiam ad majorem ipsos impietatem assuefecit atque erudivit. Credibile autem est, ipsos quoque (adulatores illos) si maxime non evestigio, at certe posterius pœnas persolvisse. Quod si etiam hic divinam animadversionem impuniti evadent.

A adulati essent, dixissentque « vox Dei, et non hominis, » ipse pœnas luerit : aio (id propterea factum), quia ipse populum non reprehenderit, neque adulationem impiam et insanam repudiarit. Nam effugerunt, æterna alterius sæculi supplicia non

ΝΑ'. — ΘΕΩΝΙ.

Εἰς τό· « Τοῖς κατὰ πρόθεσιν κλητοῖς οὖσιν. »

Ἡ θεία χάρις (55) τῇ ἀνθρωπίνῃ κιρνωμένη (56) προθυμίᾳ, σώζει τὸν ἄνθρωπον. Διόπερ καὶ ὁ τὸν Χριστὸν ἔχων ἐν ἑαυτῷ λαλοῦντα εἶπε· « Συνεργεῖ τοῖς κατὰ πρόθεσιν κλητοῖς οὖσιν. » Οὐ γὰρ ἡ κλῆσις μόνον (πάντες γὰρ ἐκλήθησαν μὲν, οὐχ ὑπήκουσαν δέ)· ἀλλὰ καὶ πρόθεσις τῶν κεκλημένων τὴν σωτηρίαν εἰργάσατο. Οὐ γὰρ ἠναγκασμένη γέγονεν ἡ κλῆσις, οὐδὲ βεβιασμένη, ἀλλ' ἑκούσιος.

LI. — THEONI.

In illud (Pauli dictum) : « Iis qui secundum propositum vocati sunt [15]. »

Divina gratia humanæ mista industriæ animique promptitudini, salvum facit hominem. Quocirca etiam Apostolus, qui Christum habebat in se loquentem, dicebat : « Cooperatur iis, qui secundum B propositum vocati sunt. » Non enim sola vocatio (omnes enim vocati sunt quidem, sed non obedierunt vocationi), verum etiam propositum voluntatis animique propensio et studium obsequendi in vocatis salutem operatur. Non enim coacta est vocatio, neque violenta, sed voluntaria ac spontanea.

ΝΒ'. — ΑΘΑΝΑΣΙΩ ΠΡΕΣΒΥΤΕΡΩ (57).

Ὅτι ἡ ἁμαρτία τοῦ θανάτου χαλεπωτέρα. Εἰς τό· « Εἰ γὰρ τὰ ὀψώνια τῆς ἁμαρτίας θάνατος· » καὶ· « Μὴ βασιλευέτω ἐν ὑμῖν ἡ ἁμαρτία· » καὶ πάλιν· « Τὸ δὲ κέντρον τοῦ θανάτου ἡ ἁμαρτία. »

Ἡ ἁμαρτία πολλῷ τοῦ θανάτου ἐστὶ χαλεπωτέρα. Διὸ καὶ ὁ Παῦλος, ὁ μάλιστα πάντων τὰ τοιαῦτα διασκέπτεσθαι δεινὸς (58), τὴν μὲν βασιλίδα εἶπε, τὸν δ' ὀψώνιον, ὡς τοῦτον ὑπ' ἐκείνην ταττόμενος (59). C Βασιλίδα δὲ, οὐ διὰ τὴν ἀξίαν (οὐδὲν γὰρ αὐτῆς αἰσχρότερον)· ἀλλὰ διὰ τὴν σφοδρὰν τῶν ἀλόντων ὑπακοήν. Εἰ γοῦν τὰ ὀψώνια τῆς ἁμαρτίας θάνατος, μὴ βασιλευέτω ἐν ὑμῖν ἡ ἁμαρτία, ἡ τοῦ θανάτου, τοῖς γε νοῦν ἔχουσιν, ἀργαλεωτέρα. Εἰ γοῦν αἵρεσις προκέοιτο, καὶ δυνατὸν εἴη, ἑλοίμην ἂν ἀποθανεῖν μὴ ἁμαρτήσας, ἢ ἁμαρτήσας μὴ ἀποθανεῖν. Οὕτω τοῦτο ἐκείνου δεινότερόν ἐστι, παρ' ἐμοὶ κριτῇ. Ὁ μὲν γὰρ θάνατος ὑπ' ἀναστάσεως σβεσθήσεται· ἡ δὲ ἁμαρτία καὶ μετὰ τὴν ἀνάστασιν τιμωρηθήσεται (60)· ὥστε οὐδὲν κερδάνῃ ὁ ἁμαρτάνων μὲν, μὴ ἀποθνήσκων δὲ (καθ' ὑπόθεσιν δὲ εἰρήσθω), εἴγε καὶ μετὰ τὴν ἀνάστασιν τιμωρίαν ὑφέξει. Καὶ ἄλλῳ δὲ παραδείγματι ἐναργεῖ τοῦτ' ἐποίησε δῆλον, εἰπών· « Τὸ δὲ κέντρον τοῦ θανάτου ἡ ἁμαρτία. » Ὥσπερ D τοίνυν ὄφιν ἢ σκορπίον ὀδόντας ἢ κέντρον μὴ ἔχοντας, δι' ὧν τὸν ἰὸν παραπέμψουσιν, οὐκ ἄν τις φοβη-

LII. — ATHANASIO PRESBYTERO.

Peccatum morte gravius esse. In dictum Pauli : « Stipendium peccati mors est [16]. » Et : « Ne regnet in vobis peccatum [17]. » Et rursum : « Stimulus autem mortis est peccatum [18]. »

Peccatum multo gravius est morte. Quocirca Paulus quoque, qui accuratissime omnium talia perspicere poterat, illud quidem reginam esse dixit ; istam vero, stipendium militare, quasi qui hanc (mortem) infra illud (peccatum) collocaret. Reginam autem peccatum fecit, non dignitatis ergo (nihil enim eo deformius cogitari aut fingi potest), sed propter vehemens obediendi studium, quo flagrant, quoscunque peccatum occupavit. Quare si peccati stipendium mors est, ne regnet in vobis peccatum, quod morte, apud eos quidem quibus sana mens est, gravius est. Si igitur optio detur, et fieri posset, equidem mori mallem, ita ut immunis a peccato manerem, quam admisso peccato mortem effugere. Tanto illud hac est gravius, me judice. Mors enim a resurrectione exstinguetur ; de peccato autem etiam post resurrectionem pœna exigetur. Nihil igitur lucri ferret is, qui peccaret, sed mortem effugeret **439** (ex hypothesi autem hoc dictum esto), si quidem etiam post resurrectionem supplicium subiturus esset. Alio quoque evidenti

[15] Rom. VIII, 28. [16] Rom. VI, 23. [17] ibid. 12. [18] I Cor. XV, 56.

VARIÆ LECTIONES ET NOTÆ.

(54) Pro ἀσέβειαν idem cod. scribit βλασφημίαν. Possin.

(55) *Ἡ θεία χάρις.* Confer epist. 13 supra hoc lib. et lib. II, epist. 2 ; et Irenæum lib. IV, cap. 71. Rittr.

(56) Pro κιρνωμένη cod. Vatic. 650 legit κιρναμένη. Vers. 5 pro γὰρ ponit γοῦν. Vers. 6. post καὶ addit ἡ. Vers. ult. pro ἑκούσιος habet ἑκούσια. Possin.

(57) Inscriptio suppletur ex codice Vaticano. Edit.

(59) Pro ταττόμενος cod. Vat. legit ταττόμενον. vers. seq. post αἰσχρότερος, addit καὶ ἀτιμότερος. Possin.

(60) *Ἡ δὲ ἁμαρτία .... τιμωρηθήσεται.* Hæc deerant in ed. Paris. et supplentur ex codice Vaticano ap. Possinum. Edit.

Digitized by Google

exemplo hoc declaravit idem Apostolus, cum ait : « Stimulus autem mortis est peccatum. » Quemadmodum igitur serpentem aut scorpionem dentibus aut stimulo destitutos, quibus mordentes virus suum transfundant, nemo facile pertimescat : sic mors quoque, si non ob peccatum afferatur, imperterrito animo excipienda est; quod si etiam pro virtute, multo quoque libentiore. Fieri hoc non posse putas? Testes accipe martyres, qui non aliter mortem amplexi sunt, quam aditum quemdam ad immortalitatem.

A θείη, οὕτω καὶ τὸν θάνατον, εἰ μὴ δι' ἁμαρτίαν προσάγοιτο, ἀδεῶς καταδεκτέον· εἰ δὲ καὶ ὑπὲρ ἀρετῆς, ἀσμενέστερον (61). Οὐχ ἡγῇ τοῦτο δυνατόν; Μάρτυρας δέχου τοὺς μάρτυρας (62), τοὺς καθάπερ προοίμιον ἀθανασίας τὸν θάνατον ἀσπασαμένους.

LIII. — DIONYSIO SCHOLASTICO.

« *Quæcunque volueritis ut faciant vobis*[19], etc. »

Laude quidem digni sunt illi, qui naturali lege instituti atque imbuti officium fecerunt. Habet enim in se natura ipsa virtutum exactum et incorruptum judicium : quod Christus quoque ipse exhortationis et consilii causa proposuit, cum dixit : « Omnia quæcunque volueritis, ut faciant vobis homines, vos etiam similiter facite illis. » Deinde cum demonstrasset, hanc esse omnis et pietatis et humanitatis regulam, addidit : « Hæc enim est lex et prophetæ. » Posteaquam vero claudicavit, et de statu integritatis delapsa est natura hominum, virtutisque notas oblitteravit : tum et lex scripta data est. Quia vero hæc quoque violata est hominum transgressione, tunc prophetarum cœtui commendata est generis humani correctio ac restitutio. At quia hic quoque abnegavit, dicens : « Medicinam fecimus Babyloni, et non est sanata[20]; » huc in terras venit is, qui et virtutis semina insevit naturæ, et per legem docuit eamdem, et per prophetas præconium fecit. Postquam igitur cœlorum Rex advenit in carnem, necessario et dogmata cœlo digna sancita sunt, eaque vivendi ratio ac norma, quæ angelis potius conveniat, quam hominibus placeat, in sanctis Evangeliis, non secus ac in regiis mandatis et edictis, est promulgata.

B

C

ΝΓ'. — ΔΙΟΝΥΣΙΩ ΣΧΟΛΑΣΤΙΚΩ.

« *Ὅσα ἂν θέλητε ἵνα ποιῶσιν ὑμῖν.* »

Εὐδόκιμοι μὲν οἱ τῷ ἐμφύτῳ νόμῳ παιδαγωγηθέντες, καὶ τὸ δέον πεποιηκότες· ἔχει γὰρ ἡ φύσις ἐν ἑαυτῇ τῶν ἀρετῶν ἀκριβὲς καὶ ἀδέκαστον τὸ κριτήριον, ὅπερ καὶ ὁ Χριστὸς ἐν παραινέσεως μέρει καὶ συμβουλῆς εἰσήγαγε, λέγων· « Πάντα, ὅσα ἐὰν θέλητε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, καὶ ὑμεῖς ὁμοίως ποιεῖτε αὐτοῖς. » Εἶτα δεικνὺς ὅτι κανών ἐστιν οὗτος καὶ εὐσεβείας καὶ φιλανθρωπίας (63), ἔφη· « Οὗτος γάρ ἐστιν ὁ νόμος καὶ οἱ προφῆται. » Ἐπειδὴ δ' ὤκλασεν ἡ φύσις, καὶ ἠμαύρωσε τοὺς τῆς ἀρετῆς χαρακτῆρας, ἐδόθη καὶ ὁ νόμος γραπτός. Ἐπειδὴ δὲ καὶ αὐτὸς παρεβάθη, ὁ τῶν προφητῶν χορὸς ἐνεχειρίσθη τὴν διόρθωσιν. Ὡς δὲ καὶ οὗτος ἀπεῖπεν· « Ἰατρεύσαμεν, λέγων, τὴν Βαβυλῶνα, καὶ οὐκ ἰάθη· » δεῦρ' ἐπεφοίτησεν ὁ καὶ τῇ φύσει ἐνθεὶς τὰ τῆς ἀρετῆς σπέρματα, καὶ διὰ τοῦ νόμου διδάξας, καὶ διὰ τῶν προφητῶν κηρύξας. Ἐλθόντος τοίνυν τοῦ τῶν οὐρανῶν Βασιλέως, ἀναγκαίως καὶ δόγματα οὐρανῷ πρέποντα ἐθεσπίσθη, καὶ πολιτεία ἀγγέλοις μᾶλλον ἢ ἀνθρώποις ἁρμόζουσα (64), ἀρέσκουσα (65), καθάπερ ἐν βασιλικοῖς διατάγμασιν, ἐν τοῖς ἱεροῖς Εὐαγγελίοις διηγορεύθη.

LIV. — PAULO SUBDIACONO.

In eamdem rem.

Ineffabilis Dei sapientia, ne concertemus inter nos opinionibus, dum virtutis definitionem quærimus, perfectissimum opus suam cujusque voluntatem constituens dixit : « Omnia quæcunque volueritis ut faciant vobis homines, et vos facite ipsis. »

ΝΔ'. — ΠΑΥΛΩ ΥΠΟΔΙΑΚΟΝΩ.

Εἰς τὸ αὐτό.

Ἡ ἄῤῥητος σοφία, ἵνα μὴ ζυγομαχῶμεν, τί ἐστιν ἀρετὴ ζητοῦντες, τελειότατον ἔργον (66) τὴν ἑκάστου βούλησιν πηξαμένη, ἔφη· « Πάντα ὅσα ἐὰν θέλητε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς. » Εἰ τοίνυν ἐν σεαυτῷ ἔχεις καὶ τὸν κανόνα

[19] Matth. VII, 12. [20] Jerem. LI, 9.

VARIÆ LECTIONES ET NOTÆ.

(61) Pro ἀσμενέστερον et quæ seq. usque ad μάρτυρας, hic ponit idem cod. ἀσμενιστέον· εἰ δὲ οὐχ ἡγῇ τοῦτο δυνατὸν εἶναι, μαρ. Possin.

(62) Elegans πλοκὴ notanda in μάρτυρας quæ non potest in Latina interpretatione exprimi. Priori loco vulgari significatu accipitur vox pro quibusvis testibus; posteriore, pro illis qui veritatem cœlestem testimonio proprii sanguinis obsignarunt. Ritt.

(63) *Κανών ἐστιν οὗτος καὶ εὐσεβείας καὶ φιλανθρωπίας.* Sic idem Christi præceptum, ut faciamus aliis quod nobis fieri ab aliis cuperemus epist. seq. vocat Isid. κανόνα τῶν ἀρετῶν, et κανὼν τῆς ἀρετῆς, epistol. 91 et alibi quoque pro compendio omnis justitiæ prædicat. Quo tamen bonitatis compendio aliud etiam compendiosius nobis subjicit Gregor. Nazianz. in *Tetrastich.*

D *Τί χρηστότητος δόγμα συντομώτερον,*
Τοιοῦτος ἴσθι τοῖς φίλοις καὶ τοῖς πέλας
Οἵους σεαυτῷ τοὺσδε τυγχάνειν θέλεις,
Καὶ συντομώτερόν τι τὰ Χριστοῦ πάθη. Ritt.

(64) Pro ἁρμόζουσα cod. Vat. scribit ἁρμόττουσα et omittit vocem seq. ἀρέσκουσα. Possin.

(65) *Ἁρμόζουσα, ἀρέσκουσα.* Posterius horum videtur redundare, nisi quibusdam transpositis legamus, ἀγγέλοις μᾶλλον ἁρμόζουσα, ἢ ἀνθρώποις ἀρέσκουσα. Et quasi ita legeretur, sic verti : *quæ angelis potius conveniat, quam hominibus placeat.* Ritt.

(66) Pro ἔργον ponit cod. Vat. 650, ὅρον εἰς. Vers. 3. pro ἐὰν habet ἄν· vers. antepen. ep. post ἔχεις addit τὸν γνώμονα. Vers. ult. pro οἰκείῳ scribit οἴκαδε. Possin.

Digitized by Google

τῶν ἀρετῶν, μὴ παρ' ἄλλοις τοῦτο ζήτει (67), ἀλλὰ χρῶ τῷ οἰκείῳ θησαυρῷ. A

ΝΕ'. — ΑΡΠΟΚΡΑ ΣΟΦΙΣΤΗ.

Ὅτι ἀπὸ φιλαρχίας ἢ προλήψεων φύονται αἱρέσεις.

Ἡ φιλαρχία ἁπάντων αἰτία τῶν κακῶν, ἣ καὶ τὰ καθεστῶτα ἀνατρέπειν πειρωμένη, δεινοὺς πολέμους οὐ μόνον ἐφ' ἡμῶν, ἀλλὰ καὶ ἐπὶ τῶν παλαιῶν ἐπικωμάσαι παρεσκεύασεν. Οἱ μὲν γὰρ Πυθαγόρειοι σιγὴν ἠσκηκότες, τοὺς μέγα φρονοῦντας ἐπὶ εὐγλωττίᾳ ἀπεκήρυττον. Οἱ δὲ Ὁμηρίζοντες, τοὺς Πλατωνίζοντας διέσυρον· οἱ δὲ Πλατωνίζοντες τοὺς Ὁμηρίζοντας ἀσεβείας ἐγράφοντο· καὶ οἱ μὲν Ἀριστοτελικοὶ πρὸς τοὺς Πλατωνίζοντας ἐπαπεδύσαντο· οἱ δὲ Στοϊκοὶ πρὸς τοὺς Ἀριστοτελικοὺς ἐφράξαντο. Ἐπικουρείων δὲ, τῶν τῇ κακίᾳ ἐπικουρῆσαι τολμησάντων, καὶ μεμνῆσθαι ἀτοπώτατον. Καὶ ἐπὶ τῆς ἰατρικῆς δὲ τὸ αὐτὸ ἐπηκολούθησαν. Οἱ μὲν γὰρ Λογικοὶ τοὺς Μεθοδικοὺς (68) ἐστηλίτευσαν· οἱ δὲ Μεθοδικοὶ κατὰ τῶν Λογικῶν ἐφράξαντο. Οἱ μὲν γὰρ πολλὰς καὶ ποικίλας ῥίζας ἔφασαν τῶν παθῶν· διὸ καὶ ποικίλοις ἐχρῶντο βοηθήμασι, τὰς ῥίζας πολυπραγμονοῦντες τῶν νοσημάτων, καὶ οὕτως ἀναστέλλοντες τὰς πηγὰς τῶν παθῶν. Οἱ δὲ δύο μόνας αἰτίας ὡρίσαντο, στέγνωσιν καὶ ῥῦσιν· διὸ καὶ τὸ, ἢ κενωτέον, ἢ στακτέον, ἐδογμάτισαν. Οἱ δὲ Ἐμπειρικοὶ καὶ τούτους κἀκείνους ἔσκωπτον. Εἰ δὲ καὶ τὰς τῶν ῥητόρων, καὶ τὰς τῶν ποιητῶν, καὶ τὰς τῶν συγγραφέων πρὸς ἀλλήλους διαφορὰς εἰπεῖν ἐθελήσαιμι, πολὺς καὶ λόγος καὶ χρόνος ἀναλωθήσεται. Καὶ θαυμαστὸν οὐδέν. Ὅπου γὰρ οἱ φιλοσοφίας ὀνόματι βρενθυόμενοι οὐκ ὤκνησαν διαπρύσιον καθ' ἑαυτῶν κινῆσαι πόλεμον, σχολὴ γ' ἂν τοῖς ῥήτορσι καὶ τοῖς ποιηταῖς ἐμέλησεν εἰρήνης, οἵ γε καὶ πρὸς τοὺς ἐγκράτειαν, καὶ δικαιοσύνην, καὶ σωφροσύνην ἐγκρίνοντας Σωκρατικοὺς διεφέροντο, οὓς Πλάτων ἐκκωμῳδήσας ἐν διαλόγοις, ἀνεκωμῳδήθη παρὰ τῶν Κυνικῶν, ὧν εἷς ἦν καὶ Λουκιανός, ὁ τοὺς διαλόγους κατὰ πάντων ὁμοῦ σχεδὸν τῶν τε εἰρημένων, τῶν τε παραλελειμμένων συντάξας. Ὃν οἱ μὲν Πλατωνικοὶ (69), διὰ τὸ τοὺς παρὰ τῶν ποιητῶν ἀναπλασθέντας θεοὺς τεθεατρικέναι, ἀπεδέξαντο. Οἱ δὲ τῶν ποιητῶν τρόφιμοι δύσφημον ἀπεκάλεσαν· δεινῶς γὰρ τοὺς παρ' αὐτῶν ἐκθειαζομένους θεοὺς ἐξεκωμῴδησε. Τίς οὖν τολμήσει τὰ τῶν Ἑλλήνων πρε- B C D

Quare si in te ipso habes normam virtutum (sicut profecto habes), noli apud alios eam quærere, sed proprio thesauro utere.

LV. — HARPOCRÆ SOPHISTÆ.

Ab ambitione aut anticipatis opinionibus nasci hæreses.

Ambitio et imperandi cupiditas, omnium causa malorum, quæ etiam bene 440 constituta evertere conatur, gravia bella non solum nostra memoria, sed etiam antiquis temporibus invexit in res humanas. Nam Pythagorei quidem, cum ipsi silentium colerent, alios qui eloquentia se magnifice efferebant, repudiabant: Homeri autem studiosi Platonis asseclas traducebant: Platonis vero sectatores Homeri studiosis impietatis dicam scribebant: et Aristotelici quidem adversus Platonicos (philosophos) pugnabant: Stoici vero contra Aristotelicos armabantur. Epicureorum autem, qui vitiis patrocinari ausi sunt, etiam mentionem fieri indignum atque absurdum est. Sed et in arte medica idem sectati sunt studium. Nam Logici quidem Methodicos insectabantur, Methodici vero contra Logicos se armabant. Altera enim secta multas ac varias radices morborum esse aiebat; quapropter etiam variis utebantur auxiliis, sollicite radices morborum singulorum inquirentes, atque ita fontes morborum obstruentes. Altera vero, duas tantum causas definiebant: astrictionem sive constipationem, et fluxionem. Unde hoc dogma tradiderunt, aut evacuandum, aut instillandum. Empirici autem tam hos quam illos deriserunt. Quod si et oratorum, et poetarum, et historicorum inter se contentiones et controversias oratione persequi vellem, multum et verborum et temporis mihi consumeretur. Et nihil adeo mirum est. Quando enim illi, qui philosophiæ nomine se magnifice efferebant, non dubitarunt implacabile adversus se invicem movere bellum: vix potuit fieri, ut oratoribus et poetis pax curæ esset, qui etiam cum Socraticis, qui temperantiam et justitiam et modestiam in pretio habuerunt, contentiones susceperunt: quos Plato in Dialogis deridens, ipse quoque mutuo derisus est a Cynicis: quorum e numero Lucianus etiam fuit, qui dialogos contra omnes propemodum, tam eos qui jam sunt dicti, quam eos qui omissi sunt, composuit. Quem Platonici quidem ob id quia a poetis confictos deos quasi

VARIÆ LECTIONES ET NOTÆ.

(67) *Τοῦτο ζήτει.* Non esse quærenda aliunde, quorum ipsi domini sumus, quæque in potestate nostra habemus, sententia est etiam D. Basilii et Ambrosii in *Hexaemer.* Ritt.

(68) *Οἱ μὲν γὰρ Λογικοὶ τοὺς Μεθοδικούς.* Medicorum antiquitus tres erant sectæ: Logici, Methodici, Empirici. Ausonius Grypho ternarii:

Triplex quoque forma medendi:
Quot Logos, aut Methodos, cuique Experientia nomen,

B. Hieronymus ad Paulinum: « Taceo, inquit de medicis, quorum scientia mortalibus vel utilissima est, et in tres partes scinditur: τὸ δόγμα, τὴν μέθοδον, τὴν ἐμπειρίαν: id est decretum vel doctrinam, rationem et experientiam, ubi δόγμα vocat qui alii λόγος. Q. Serenus Sammonicus epilogo poematis *De re medica.* Ritt.

Quod Logos, aut Methodus, simplexque Empirica [pandit.

Simplicem vocat Empiricam, ut quæ non sit sollicita de causis et rationibus, sed tantum observatione, collectione atque inductione exemplorum sive experientia (unde et nomen accepit) nitatur. Ritt.

(69) Conf. ep. 91 inf. hujus libri IV. Notandum ex fine hujus epist. saluberrimum nostris etiam temporibus exulceratissimis consilium, de via ac ratione orthodoxæ concordiæ sarciendæ et sanciendæ. Ritt.

Digitized by Google

in theatro deridendos propinavit atque tradurit, approbarunt; poetarum autem alumni infamem declararunt. Graviter enim perstrinxit illos, quos ipsi magnopere venerabantur, deos. Quis igitur eorum, qui paganismum amplectuntur, ausit nobis objicere, multas apud Christianos hæreses natas esse, cum tam multas videat etiam apud ipsos Græcos propter ambitionem et imperandi studium (vera enim dicere oportet) natas esse? Si vero hæc expelleretur ex rebus humanis, spes bona esset, fore ut omnes in divinum (Evangelii) præconium unanimi et orthodoxo consensu convenirent.

A σβευόντων εἰπεῖν, ὅτι πολλαὶ παρὰ Χριστιανοῖς αἱρέσεις ἐτέχθησαν, τοσαύτας ὁρῶν καὶ παρ' ἐκείνοις διὰ φιλαρχίαν (χρὴ γὰρ τἀληθῆ λέγειν) τεχθείσας; Εἰ δ' αὖτη ἐξοστρακισθείη ἐκ τῶν ἀνθρώπων, ἐλπὶς ἐστι χρηστὴ, πάντας εἰς τὸ θεῖον κήρυγμα ὁμοφώνως καὶ ὀρθοδόξως συνδραμεῖν.

441 LVI. — PETRO SCHOLASTICO.
Eadem de re.

Aut ex ambitione, aut ex anticipata aliqua opinione, duabus expugnatu difficillimis affectionibus, hæreses et sectas natas esse arbitror. Nam qui in subditorum classe vivere æquo animo non potuerunt, neque imperium excipere, novæ doctrinæ sementem sparserunt, in iis quæ constituta essent, permanere dedignati.

NϚ'. — ΠΕΤΡΩ ΣΧΟΛΑΣΤΙΚΩ.
Περὶ τοῦ αὐτοῦ.

Ἢ ἐκ φιλαρχίας, οἶμαι, ἢ ἐκ προλήψεως, δύο δυσκαταγωνίστων παθῶν, τὰς αἱρέσεις τετέχθαι. Οἱ μὲν γὰρ ἐν τοῖς ὑπηκόοις μὴ ἀξιώσαντες εἶναι (70), μηδὲ καταδεξάμενοι, νεωτέρας διδασκαλίας σπέρμα καταβεβλήκασι, τοῖς καθεστῶσιν ἐμμένειν μὴ καταξιώσαντες (71).

B

LVII. — ADAMANTIO.
Eadem de re.

Quid adeo miraris, si etiam post Salvatoris in carnem adventum multæ hæreses enatæ sunt, diabolo, quippe qui jam perspicue ac diserte audivisset, omnino se judicio et damnationi subjectum iri et pœnas daturum, eas disseminante, ut videlicet multos suppliciorum socios atque participes habeat, cum ante ipsius quoque adventum non paucæ exstiterint hæreses? Nam partim homines ne quidem esse Deum putarunt: partim esse quidem aliquod divinum numen, sed providentia rerum humanarum non esse præditum: partim vero, procurationem id quidem habere, sed cœlestium duntaxat rerum; alii autem non solum cœlestibus rebus, sed etiam terrenis providere, non tamen omnibus, verum duntaxat excellentibus: ut regum ac principum. Et alii quidem omnia temerario ac cæco casu ferri dixerunt; alii contra omnia fatali quadam necessitate fieri; alii denique ut fors tulit, omnia agi asseruerunt. Et alii quidem idola adorare fas piumque esse existimarunt; alii vero matrum connubia probarunt; alii humanas hostias; alii animalium cædes; alii boum mactationem, alii camelorum; alii mutuam hominum devorationem, alii ex herbis victum. Sed si omnia in medium proferre velim, fortassis fidem non invenero, nec tamen falsum dixisse argui queam. Quare si sem-

C

D

NZ'. — ΑΔΑΜΑΝΤΙΩ.
Εἰς τὸ αὐτό.

Τί θαυμάζεις, εἰ μετὰ τὴν τοῦ Σωτῆρος ἔνσαρκον παρουσίαν πολλαὶ αἱρέσεις ἐτέχθησαν, τοῦ διαβόλου, ἅτε δὴ σαφῶς καὶ διαῤῥήδην ἀκούσαντος, ὅτι πάντα κρίσει καθυποβληθήσεται (72), καὶ δίκην δώσει, τοῦ ταύτας κατασπείραντος (73), ἵν' ἔχῃ πολλοὺς τοὺς συγκολασθησομένους, ὁπότε καὶ πρὸ τῆς παρουσίας αὐτοῦ οὐκ ὀλίγαι ἦσαν αἱρέσεις; Τῶν γὰρ ἀνθρώπων οἱ μὲν μηδὲ εἶναι τὸ Θεῖον (74) ἐνόμιζον· οἱ δὲ εἶναι μέν, μὴ προνοεῖν δέ· καὶ οἱ μὲν προνοεῖν μὲν, τῶν δ' οὐρανίων μόνον· οἱ δ' οὐ μόνων τῶν οὐρανίων, ἀλλὰ καὶ τῶν ἐπιγείων, οὐ πάντων δὲ, ἀλλὰ τῶν ἐξόχων, οἷον βασιλέων τε καὶ ἀρχόντων. Καὶ οἱ μὲν αὐτοματισμὸν, οἱ δ' εἱμαρμένην, οἱ δ' εἰκῇ φέρεσθαι τὰ πάντα ἀπεφήναντο. Καὶ οἱ μὲν τὰ εἴδωλα προσκυνεῖν εὐσεβὲς ἐνόμιζον· οἱ δὲ τὸ μητρογαμεῖν· καὶ οἱ μὲν τὸ ἀνθρωποθυτεῖν, οἱ δὲ τὸ ζωοθυτεῖν· οἱ μὲν τὸ βουθυτεῖν, εἰ δὲ καμηλοσφαγεῖν· καὶ οἱ δὲ τὸ ἀλληλοφαγεῖν, οἱ δὲ τὸ ποηφαγεῖν (75). Ἀλλ' εἰ πάντα εἰς μέσον ἀγάγοιμι, ἴσως ἂν ἀπιστηθήσομαι μὲν, οὐκ ἐλεγχθήσομαι δέ. Εἰ τοίνυν ἀεὶ πρὸς ἑαυτὸ ἐστασίαζε τὸ γένος (76), καὶ οὐ τὰ αὐτὰ ἐδόξαζε (κατὰ καιροὺς γὰρ ἄνθρωποι νεωτεροποιοὶ (77) ἦ καὶ στασιάζοντες, τὰ καθεστῶτα μὲν ἐκίνουν, ἐνομοθέτουν δὲ τὰ δοκοῦντα)· τί θαυμάζεις, εἰ καὶ νῦν περὶ πρᾶγμα θεῖον καὶ λόγου κρεῖττον διαφωνεῖν προσποιοῦνται ὑπὸ φιλαρχίας ἐκβακχευόμενοι;

VARIÆ LECTIONES ET NOTÆ,

(70) *Ἐν τοῖς ὑπηκόοις μὴ ἀξιώσαντες εἶναι.* Exemplum præbet Arius. RITT.

(71) *Τοῖς καθεστῶσιν ἐμμένειν.* Ὅπερ γενναίων εἶναι ἀνδρῶν, οὐκ οἶδ' ὅστις ἔγραψε. Huic contrarium, τὸ τὰ καθεστῶτα κινεῖν, infra epist. proxima. ID.

(72) *Ὅτι πάντα κρίσει καθυποβληθήσεται.* Verissima sententia, sed a mente Isidori hoc loco aliena, quæ postulat ut legamus πάντως. RITT. [Cod. Vat. πάντως.]

(73) *Τοῦ ταύτας κατασπείραντος* Videturomnino rejiciendum τοῦ, ut superfluum. RITT. [Cod. Vatic. τοῦ non agnoscit.]

(74) *Οἱ μηδὲ εἶναι τὸ θεῖον.* De variis ac multiplicibus hominum erroribus in rebus divinis vide similem locum infra ep. 99 et 163. RITT.

(75) Hæc, οἱ δὲ τὸ ποηφ. omittebat ed. Paris. EDIT.

(76) *Ἐστασίαζε τὸ γένος.* Videtur deesse ἀνθρώπινον, vel ἡμέτερον vel τῶν ἀνθρώπων.

(77) Cod. Vatic. addit, καὶ στασιαστὰς ἐπιπολάζοντες τὰ καθεστηκότα. POSSIN.

Digitized by Google

per inter homines fuerunt contentiones atque dissidia, nec eadem omnibus fuit sententia (nam pro temporum varietate homines novarum rerum et novorum morum cupidi, aut etiam seditiosi, præsentia quidem convellerunt, novas autem pro suo ingenio leges tulerunt), quid miraris, si nunc quoque circa negotium (religionis Christianæ) divinum et ratione humana superius contentiones affectant, et dissident animis homines ab ambitione tanquam furore bacchico agitati?

ΝΗ'. — ΙΩΑΝΝΗ ΔΙΑΚΟΝΩ.

Τῆς Ἰούδα Ἐπιστολῆς. Τί ἐστιν· « Ἀστέρες πλανῆται, οἷς ὁ ζόφος τοῦ σκότους εἰς αἰῶνα τετήρηται. »

Εἰ μὲν αὐτὸς μόνος ἐπέστειλας, εἰσόμενος, δι' ἣν αἰτίαν εἴρηται· « Ἀστέρες πλανῆται, οἷς ὁ ζόφος τοῦ σκότους εἰς αἰῶνα τετήρηται· » ἴσως ἂν σοι καταγνοὺς ἀμαθίαν, καὶ συντόμως ἐπιστείλας τοῖς ἀνδράσιν οὐ τοῖς ἀστράσιν, ἀπηλλάγην. Ἐπειδὴ δὲ πολλοί, καὶ τῶν δοκούντων εἶναι συνετῶν, τοῦτ' ἐζήτησαν μαθεῖν, καὶ πολλὰ κινήσαντες, ὕστερον μαθόντες ἐξεθείασαν, καταγνώσομαι μὲν σου οὐδαμῶς, ἑρμηνεῦσαι δὲ αὐτὸ σαφέστερον πειράσομαι. Φημὶ τοίνυν, ὅτι περὶ ἀνθρώπων συγγνώμης πταιόντων ὑψηλότερα ἦν τῷ ἐπιστείλαντι ὁ λόγος, οὐ περὶ ἄστρων καὶ νεφελῶν, κυμάτων τε καὶ δένδρων· οἷς δὴ παραδείγμασι κέχρηται· ὅπερ ἔχουσιν ἐκεῖνα κατὰ φύσιν, τοῦτο πεπονθέναι τοὺς ἀνθρώπους κατὰ προαίρεσιν αἰτιώμενος. Ὥσπερ γὰρ αἱ νεφέλαι αἱ ἄνυδροι, αἱ ὑπὸ ἀνέμων ἐλαυνόμεναι, καὶ τὰ ἄκαρπα δένδρα, ἃ δισσῶς ἔφη ἀποθανόντα, οὐ τιμωρηθήσονται· ἀλλ' οὐδὲ (78) τὰ κύματα τὰς ἑαυτῶν ἀπαφρίζουσιν αἰσχύνας, ἄλογα ὄντα καὶ αἰσθήσεως ἄμοιρα· οὕτως καὶ οἱ λεγόμενοι ἀστέρες πλανῆται οὐ τὸν ζόφον κληρονομοῦσιν, ἀλλ' οἱ ἄνθρωποι, οἱ κατὰ προαίρεσιν ἁμαρτάνοντες· περὶ ὧν καὶ τὰ ὑποδείγματα ταῦτα ἐλήφθη, ὡς εἶναι τοιοῦτον τὸ λεγόμενον· οἱ ἄνθρωποι οὗτοι, περὶ ὧν ὁ λόγος, ὥσπερ πλανῆταί εἰσιν ἀστέρες, τῆς εὐθείας ἐκτρεπόμενοι, καὶ τὴν ἐναντίαν αὐτῇ (79) ὁδὸν βαδίζοντες· διὸ αὐτοῖς ὁ ζόφος τετήρηται, οὐχὶ τοῖς ἀστράσιν, ἀλλὰ τοῖς ἀνδράσιν. Οὐ γὰρ περὶ ἄστρων, ἢ νεφελῶν, ἢ κυμάτων ἦν αὐτῷ, ὡς ἔφην εἰπών, ὁ λόγος, ἀλλὰ περὶ ἀνθρώπων εἰς θηριωδίαν, καὶ ἀσέλγειαν, καὶ ἀλαζονείαν ἐκπεπτωκότων, καὶ διὰ τῆς συνουσίας καὶ τοὺς πλησιάζοντας λυμαινομένων. Ὅτι δὲ ταῦτα οὕτως ἔχει, γυμνάσωμεν, εἰ δοκεῖ, τὸν λόγον. Οἱ μὲν οὖν περὶ ταῦτα δεινοί, οὔτε εἰκότα, οὔτε πιθανὰ τοῖς πολλοῖς λέγουσιν. Τῇ γὰρ ἐναργείᾳ καὶ διὰ τῶν ὄψεων μαρτυρίᾳ μάχονται. Λέγουσι δ' οὖν ὅμως, ὅτι οἱ πλανῆται τὸν μὲν οἰκεῖον δρόμον ἔχουσιν, ἀπὸ δυσμῶν εἰς ἀνατολάς· καὶ τοῦτον ἐπείγονται ἀνύειν· ὑπὸ δὲ τῆς τῶν ἀπλανῶν ἐναντίας καὶ ὀξυτέρας κινήσεως ἐκνικώμενοι εἰς δύσιν φέρονται. Καὶ ὑποδείγματι τοιούτῳ χρῶνται. Ὥσπερ τροχοῦ ὀξέως φερομένου, μύρμηξ τὴν ἐναντίαν αὐτῷ κίνησιν πορευομένη οὐδὲν τοσοῦ-

LVIII. — JOANNI DIACONO.

Ex Epistola Judæ. Quid sit illud, « Sidera errantia, quibus caligo tenebrarum servata est in æternum [21]. »

Si quidem tu solus ad me scripsisses, sciscitatus causam, quare dictum sit: « Sidera errantia, quibus procella tenebrarum servata est in æternum; » fortassis ita me expedivissem, ut inscitiæ ruditatisque te damnarem, et breviter tibi respondissem, **442** hominibus, non sideribus ista convenire. Verum quia multi, et illi quidem ex eorum numero, qui pro sapientibus habentur, discendi studio idem ex me quæsiverunt, et postquam multa sategerant, tandem vero sensu percepto divinum eum prædicarunt; equidem nullo modo te condemnabo, sed potius hoc dictum planius tibi interpretari conabor. Aio igitur: De hominibus hujusmodi, qui veniam excedentia delicta committunt, scriptori illi sermonem fuisse institutum; non de sideribus, et nubibus, et fluctibus atque arboribus, quibus pro exemplis usus est, reprehendens et accusans homines, quod ea quæ illis per naturam insunt, ipsi libero animi proposito in se admittant. Nam sicut nubes aqua destitutæ, quæ a ventis agitantur, et steriles arbores, quas dupliciter ait mortuas, nullo afficientur supplicio, sed neque fluctus suas despumant confusiones, quippe qui rationis ac sensus expertes sint: ita etiam sidera quæ dicuntur errantia non percipiunt caliginem, sed homines, qui libera voluntatis electione usi peccant: de quibus etiam exempla illa sumuntur, ut tale quidpiam dicatur: Homines isti, de quibus sermo est, sunt quasi errantia quædam sidera, a recta via aversi, et contrariam illi viam ingressi; quamobrem ipsis procella servatur, non sideribus, sed hominibus. Non enim, ut dicere cœperam, de sideribus aut nubibus aut fluctibus verba faciebat, sed de hominibus in quamdam feritatem et luxuriam et jactantiam prolapsis, quique sua consuetudine etiam alios secum versantes corrumpunt. Hæc autem ita se habere ut demonstremus, age, si videtur, sermonem exerceamus. Qui igitur harum rerum scientiam profitentur, ii neque verisimilia neque probabilia vulgo affirmant. Pugnant enim cum evidentia, et visus testimonio adversantur. Verumtamen aiunt: Planetas proprium quidem cursum obtinere, ab

[21] Jud. 13.

VARIÆ LECTIONES ET NOTÆ.

(78) Idem cod., ἀλλ' οὐ. Vers. post 3 ante κατὰ omittit οἱ. Possin.

(79) Pro αὐτῇ idem cod., ἀρετῇ. Vers. seq. pro οὐχὶ τοῖς scribit οὐχ ὡς ἀστρ. etc. Vers. 1 lit. E. pro ὥσπερ scribit ὅτι, et mox pro φερομένου habet κινουμένου. Vers. 2. pro πορευομένη habet πορευόμενος. Vers. 6 ἔλεγχος mutat in ἐλέγχειν. Eodem vers. post ποτὲ μὲν addit αὐτούς. Possin.

Digitized by Google

occasu versus ortum : eumque ut perficiant satagere : cæterum motu inerrantium siderum contrario atque vehementiore victos in occasum ferri. Eamque ad rem comparatione tali utuntur. Quemadmodum si rota vehementi feratur impetu, formica contrario ipsi motu ingrediens nihil tantopere promovet (nam rotæ celerrimo rapidissimoque motu superatur) : ita et errantia sidera se habent, si cum inerrantium motu comparentur. Qua in sententia id quidem, quod ipsosmet refutat, nempe quod aliquando pro numinibus ea extollunt, aliquando autem cum formicis comparant, digito duntaxat notatum in præsentiarum (ad alia enim festino) omittam ; atque ad id de quo quæritur, revertar. **443** Hæc igitur ipsi. At ego sic existimo : quia etiam Scriptura, sive proprie loquens, sive improprie, sive vulgi consuetudinem sequens, his nominibus utitur, quandoquidem solem et lunam, et reliqua quinque sidera, non multis cognita, Saturnum et Jovem, Mercurium et Martem, quin etiam Venerem in planetarum numerum referunt homines te stultiores, quorumdam autem, qui in terra potentes fuerunt et vitam egerunt turpem, et eam glorioso exitu finierunt, nomina illis imposuerunt : sol autem in latitudinem annuo spatio septentrionales atque australes mundi partes obit ; at luna (Græcis μήνη dicta) quot mensibus : unde puto etiam mensem dictum esse, non autem ideo quod luna sit μηνοειδής, ut quidam perhibent : sed et quod unoquoque mense suam regulam impleat. (Luna enim quæ alias σελήνη, alio nomine μήνη a Græcis appellatur). Reliqui vero planetæ omnes convenienter suis circulis et cursibus circuitum istum conficiunt : hanc, inquam, ob causam planetas, hoc est errantia sidera, appellatos esse. Sed sive istud sive illud verum sit, Opificis prædicat scientiam, qui et ordinavit illa, et leges ipsis tulit ; ut tum ipse ait : « Ego stellis præcepi [22] ; » tum Psalmorum auctor,

A τον ἀνύει (ἐκνικᾶται γὰρ ὑπὸ τῆς τοῦ τροχοῦ ὠκυτάτης κινήσεως), οὕτω καὶ οἱ πλανῆται πρὸς τὴν τῶν ἀπλανῶν διάκεινται κίνησιν. Τὸ μὲν οὖν ἐλέγχον αὐτοὺς, ὅτι μὲν ὡς θεοὺς ἐκθειάζουσι, ποτὲ δὲ μύρμηξι παραβάλλουσι, μόνον ἐπισημαινόμενος (80) (εἰς ἄλλο γὰρ ἐπείγομαι) νυνὶ παρήσω · ἐπὶ δὲ τὸ ζητούμενον ἥξω. Ταῦτα μὲν οὖν ἐκεῖνοι. Ἐγὼ δ' οἶμαι, διὰ τὸ χρήσασθαι καὶ τὴν Γραφὴν τούτῳ τῷ ὀνόματι, ἢ κυριολεκτοῦσαν, ἢ καταχρωμένην, ἢ τῇ τῶν πολλῶν συνηθείᾳ ἑπομένην, ὅτι, ἐπειδὴ τὸν ἥλιον καὶ τὴν σελήνην, καὶ τοὺς ἄλλους πέντε ἀστέρας, οὐ πολλοῖς γνωρίμους (81), φαίνοντά τε καὶ φαέθοντα, στίλβοντα (82) τε καὶ πυρόεντα, καὶ μὴν καὶ φωσφόρον εἰς τοὺς πλανήτας τάττουσιν οἱ σου ἀνοητότεροι, τινῶν δὲ ἐπὶ γῆς δυναστευσάντων καὶ
B αἰσχρῶς βεβιωκότων, καὶ εὐκλεῶς (83) τὸν βίον καταστρεψάντων τὰς προσηγορίας ἐπέθεσαν. Ὁ δ' ἥλιος εἰς τὸ πλάτος κατ' ἐνιαυτὸν περιπολεῖ τὰ ἀρκτῷα καὶ τὰ νότια μέρη · ἡ δὲ σελήνη κατὰ μῆνα, ὅθεν οἶμαι καὶ τὸν μῆνα, οὐ διὰ τὸ μηνοειδῆ γίνεσθαι τὴν σελήνην, ὥς φασί τινες · ἀλλὰ καὶ διὰ τὸ κατὰ μῆνα πάντα ἑαυτῆς πληροῦν τὸν κανόνα. Μήνη γὰρ ἡ σελήνη καλεῖται. Οἱ δὲ ἄλλοι πάντες ἀναλόγως τοῖς ἑαυτῶν κύκλοις τε καὶ δρόμοις τὴν περίοδον ταύτην ἀποτελοῦσι · διὰ τοῦτο πλανήτας αὐτοὺς κεκλῆσθαι. Πλὴν εἴτε τοῦτο, εἴτ' ἐκεῖνο ἀληθὲς εἴη, τοῦ Δημιουργοῦ ἀνακηρύττει τὴν ἐπιστήμην, τοῦ (84) καὶ τάξαντος, καὶ νομοθετήσαντος, ὡς καὶ αὐτὸς μέν φησιν · « Ἐγὼ τοῖς ἄστροις ἐνετειλάμην. » Ὁ δὲ
C Μελῳδὸς, δεικνὺς ὡς ἐν γῇ μὲν παρεβάθη τὸ θεῖον πρόσταγμα, τῶν ἀνθρώπων εἰς παρανομίαν αὐτομολησάντων, ἐν οὐρανῷ δὲ ἐφυλάχθη, ἔφη · « Εἰς τὸν αἰῶνα, Κύριε, ὁ λόγος σου διαμένει ἐν τῷ οὐρανῷ. » Εἰ δὲ διὰ τὸ εἰρῆσθαι, « Τοῖς ἄστροις ἐνετειλάμην, » ζῶα λογικὰ αὐτὰ καὶ αὐτεξούσια ὁριοῦνταί τινες (οἶδα γάρ τινας οὐ μόνον τῶν ἔξω τῆς πίστεως, ἀλλὰ καὶ τῶν πεπιστευκότων τοῦτο δογματίσαντας), περιττὴν καὶ ἀνωφελῆ τὴν ζήτησιν ταύ-

[22] Job xxxvi, 22.

VARIÆ LECTIONES ET NOTÆ.

(80) Pro ἐπισημαινόμενος idem cod. habet ἐπισημηνάμενος. Vers. inde 5, inter ὅτι et ἐπειδὴν inserit ἴσως. Possin.

(81) Pro his verbis, τοὺς ἄλλους πέντε ἀστέρας οὐ πολλοῖς γνωρίμους et quæ seq. usque ad εἰς τοὺς exclusive, hæc alia habet : φλέγοντα, στίλβοντά τε, καὶ πυρόεντα, ναὶ μὴν καὶ φωσφόρον, πέντε ἀστέρας οὐ πολλοῖς γνωρίμους εἰς τούς. Quod paulo post in edito ponitur σοι abest a cod. Vat. 650, uti et δὲ vers. seq. Ip.

(82) *Στίλβοντα.* Hesych. : στίλβων, ὁ τοῦ Ἑρμοῦ ἀστήρ. Notandus est hic locus de nominibus septem planetarum, in quo procul dubio habuit ante oculos ista ex libro *De mundo*, quem vulgo Aristoteli tribuunt, etsi doctioribus νοθεύεται. Sic igitur ibi legimus. Συνεχῆ δὲ ἔχει ἀεὶ ταύτην τὴν θέσιν · καὶ φαίνοντος ἅμα καὶ Κρόνου καλούμενος κύκλος, ἐφεξῆς δὲ ὁ τοῦ Φαέθοντος, Διὸς λεγόμενος · εἶθ' ὁ Πυρόεις (non recte igitur apud Isid. legitur πυρόεις), ὁ Ἡρακλέους τε καὶ Ἄρεως προσαγορευόμενος · ἑξῆς δὲ ὁ Στίλβων, ὃν ἱερὸν Ἑρμοῦ καλοῦσιν ἔνιοι, τινὲς δὲ Ἀπόλλωνος · μεθ' ὃν ὁ τοῦ Φωσφόρου, ὃν Ἀφρο-
D δίτης, οἱ δὲ Ἥρας προσαγορεύουσιν · εἶτα ὁ Ἡλίου · καὶ τελευταῖος, ὁ τῆς Σελήνης, μέχρι τῆς γῆς ὁρίζεται. Quibus hæc Apuleiana respondent : « Septem V deorum, nominibus illustres, totidem orbibus affixæ sunt et gradatim sibimet superlatæ, ut superior inferiore sit major, ac vicissim mutuis adhæsionibus nexæ, complexu illius orbis, qui inerrabilis dicitur, continentur. Hic Phænonis globus quem appellamus Saturnum, post quem Phaethon secundus est, quem Jovem dicimus : et loco tertio Pyroeis, quem multi Herculis, plures Martis stellam vocant. Hanc sequitur Stilbon, cui quidam Apollinis, cæteri Mercurii nomen dederunt. Quintus Phosphorus, Junonia, imo Veneris stella censetur. Deinde Solis est orbis, et ultima omnium Luna, altitudinis ætherææ principia disterminans. » Ritt.

(83) Εὐκλεῶς idem cod. mutat in ἀκλεῶς. Vers. post 5, post μῆνα addit κεκλῆσθαι. Vers. inde 4 pro πάντες ἀναλόγως scribit idem πέντε ἀναλόγοις. Possin.

(84) Inter τοῦ et καὶ idem cod. inserit οὕτω. Vers. post 2, pro δεικνὺς scribit δεικνύων. Ip.

Digitized by Google

την εἶναι ἡγούμενος (« Μειζότερα (85) γάρ σου, φησὶ, μὴ ζήτει· καὶ ἰσχυρότερά σου μὴ ἐξέταζε· ἃ προσετάγη σοι, ταῦτα διανοοῦ· οὐ γάρ ἐστί σοι χρεία τῶν κρυπτῶν), οὐκ ἐγκρίναιμι τοῦτο, οὔτ' ἀποψηφίσαιμι· ἐκεῖνο δὲ μᾶλλον εἴποιμι, ὅτι περὶ ἀλόγων καὶ ἀναισθήτων τούτῳ τῷ ὀνόματι κέχρηται ἡ Γραφὴ, λέγουσα· « Ἐνετείλατο Κύριος καύσωνι· » καί· « Ἐνετείλατο Κύριος νεφέλαις· » καί· « Ἐνετείλατο Κύριος σκώληκι. » Εἴτε οὖν λογικά ἐστι ζῶα, ὡς φασί τινες, εἴτε πύρινοι σφαῖραι, εἴτε διηκοειδῆ σώματα, ἐκ τοῦ αἰθερίου πυρὸς ἐξαφθέντα, εἴτε σφαιροειδεῖς πυρὸς πτήσεις (86), εἴτε μυδροὶ (τινὲς γὰρ τῶν φιλοσόφων τοῦτ' ἐδογμάτισαν), εἴτε χρήματα δεκτικὰ τοῦ ἀΰλου καὶ ὑπερκοσμίου φωτὸς, οὐ σφόδρα ἰσχυρισαίμην· οὐδὲν γὰρ τοῦτο πρὸς ἀρίστην πολιτείαν συντείνειν ἡγοῦμαι· ἀλλ' ἐκεῖνο εἴποιμι, ὅτι οὐ μόνον περὶ τῆς ψυχῆς, ὅταν ἐκτραπείη τῆς ἀρετῆς, ἀλλὰ καὶ ἐπὶ τοῦ σώματος, ὅταν διαμάρτῃ τῆς προκειμένης ὁδοῦ, τὸ τῆς πλανήσεως (87) ὄνομα κεῖται ἐν ταῖς Γραφαῖς. « Εἶδε γάρ, φησὶ, τὸν Ἰωσὴφ ἄνθρωπος πλανώμενον ἐν τῇ ὁδῷ (88)· » καὶ πάλιν· « Ἐπλάνησεν αὐτοὺς ἐν ἀβάτῳ, καὶ οὐχ ὁδῷ. » Οὐδὲν οὖν θαυμαστὸν, εἰ καὶ τὴν τῶν ἑπτὰ ἀστέρων ἄνω καὶ κάτω περιτρεχόντων ἀρκτῴαν τε καὶ νότιον περιπόλησιν, πλάνησίν τινες κεκλήκασιν, ὡς πρὸς τὴν τῶν ἀπλανῶν μίαν καὶ τὴν αὐτὴν ὁδὸν περιθεόντων. Εἰ τοίνυν ἐμμελῶς καὶ ἐναρμονίως περιπολοῦσι, τίνος ἕνεκεν διδόασι δίκας; Εἰ μὲν γάρ, ὅπερ οὐδὲ εἰπεῖν θέμις, ἀγενήτους καὶ αἰτίας κρείττους εἶναι φαῖεν Ἕλληνες, μάλιστα μὲν ἐκ τῆς ἐμμελείας αὐτῶν καὶ τῆς εὐταξίας ἐλεγχθήσονται. Ἡ γὰρ τάξις τὸν ταξίαρχον κηρύττει. Εἰ δ' οὐ πείθονται, ἀκουέτωσαν μὲν Πλάτωνος λέγοντος·

Ἀγαθός ἐστιν ὁ τοῦδε τοῦ παντὸς δημιουργός.

Εὐριπίδης δέ·

Ὡς ἥλιος μὲν νύξ τε δουλεύει βροτοῖς (88*).

Καὶ παυέσθωσαν τῆς τοιαύτης ἀσεβείας. Ἡ δ' (89)

ostendens, in terra quidem transgressione hominum ad iniquitatem deficientium violatum esse divinum præceptum, in cœlo autem servatum, dixit : « In æternum, Domine, verbum tuum permanet in cœlo [23]. » Quod si qui sunt, qui ob id quia dictum est, « Stellis præcepi, » animalia ratione prædita et libera voluntate utentia esse sidera definiverint (novi enim quosdam non solum inter eos qui a fide alieni sunt, sed etiam ex eorum numero, qui fidem Christi sunt amplexi, qui id statuerint) : hanc quæstionem pro supervacanea atque inutili habens (« Altiora enim te ne quæsieris, et fortiora te ne scrutatus fueris; sed quæ præcepit tibi Deus, illa cogita semper ; non est enim tibi necessarium ea quæ abscondita sunt videre oculis tuis [24] »), neque approbo hoc neque rejicio; illud autem potius dixerim, Scripturam de rebus etiam ratione carentibus et sensu hoc nomine uti; verbi gratia cum ait : « Præcepit Dominus vento calido et urenti [25]; » et : « Præcepit Dominus nubibus; » et : « Præcepit Dominus vermi. » Sive igitur animalia sunt ratione prædita, ut quidam aiunt, sive igneæ sphæræ, sive disci figuram habentia corpora, ex ætherio igne accensa, sive sphæræ in modum conformati ignis volatus, sive laminæ quædam (nam et hoc non defuerunt ex philosophis qui traderent), sive res quædam lumen materiæ expers et mundo altius recipientes, 444 non valde contenderim (nihil enim quidquam hoc ad optimam vivendi rationem conducere arbitror), sed illud dixerim : Non solum de anima, cum a virtutis tramite desciverit, sed etiam de corpore, si forte a proposita via aberraverit, in Scripturis nomen errationis usurpari. « Vidit enim, inquit, Josephum homo errantem in via [26]. » Et rursum : « Errare ipsos fecit in invio, et non in via [27]. » Nihil itaque mirum, si etiam septem siderum sursum ac deorsum circumcurrentium septentrionalem et australem revolutionem aliqui errationem appellarunt, ut quæ circa inerrantium unam eamdemque viam decurrant. Si igitur concinne atque apte suos singuli planetæ cursus conficiunt, quid causæ est quare pœnas luant? Si enim (quod nefas est dicere) non factos a Deo, et causa superiores esse dixerint Græci, maxime quidem ex ipsorum concinnitate pulcherrimoque et aptissimo ordine redarguentur. Ordo enim ordinis auctorem ac principem prædicat. Quod si non credunt, audiant Platonem, qui ait :

Bonus est hujus universitatis opifex.

Euripides quoque inquit :

Sol atque nox inserviunt mortalibus.

Tandemque ab hac tanta impietate quiescant. Si

[23] Psal. CXVIII, 89. [24] Eccli. III, 20, 21. [25] Jonæ IV, 8. [26] Gen. XXXVII, 15. [27] Psal. CVI, 40.

VARIÆ LECTIONES ET NOTÆ.

(85) Pro μειζότερα idem habet ὑψηλότερα. Vers. inde 5 pro οὐκ ἐγκρ. idem ponit οὔτ' ἐγκρ. etc., et paulo post pro ἀποψηφίσαιμι legit ἀποψηφισαίμην. Possin.

(86) Pro πτήσεις idem cod. habet πιλήσεις, et vers. seq. χρήματα mutat in ὀχήματα. Ib.

(87) Ed. Paris, ὅταν διαμάρτῃ, τῆς πλαν. Locus ex cod. Vatic. restituitur Edit.

(88) Pro ὁδῷ idem habet ἐρήμῳ. Possin.

(88*) Euripid. in Phœnissis, ubi eum vers. pronuntiat Jocasta in illa pulcherrima exhortatione ad concordiam, qua filios suos Eteoclem et Polynicem, capitales hostes, placare conatur, sed frustra. Idem versus etiam Eusebio laudatur lib. VI *Προπαρασκευῆς*, c. 8, ubi σοφίστευμα Εὐριπίδειον vocat, h. e. *sapiens dictum Euripideum*. Elegans est observatio, Solem Hebræa lingua dictum שֶׁמֶשׁ, a ministrando. Quo respexisse videtur Draconius in Hexaemero hoc versu :

Sol oculus cœli, famulus super astra Tonantis. Ritt.

(89) Pro ἡ δ' legit εἰ δ'. Vers post 2, illa verba : καὶ Ἰουδαίοις absunt a cod. Vat 650. Possin.

Digitized by Google

ἀπαλλάξαι βουλόμεθα· μήποτε καὶ ὁ Ἀπόστολος ἐπὶ τῆς πορνείας τοῦτο ἔφη. Τὸν γὰρ πορνεύσαντα παρὰ Κορινθίοις σωφρονίσαι βουλόμενος, ταύτην ἔρρηξε τὴν φωνήν. Εἰ δὲ καὶ τρίτην, ἐννόει, ὅτι ὥσπερ ὁ εἰς θάλατταν σῖτον ἢ ἕτερόν τι σπέρμα ῥίπτων εἰς τὸν σπόρον ἁμαρτάνει, κωλύων αὐτὸν εἰς γένεσιν ἐλθεῖν· οὕτω καὶ ὁ εἰς ἑταίραν ῥίπτων τὸ ἑαυτοῦ σπέρμα, εἰς τὸ οἰκεῖον σῶμα ἁμαρτάνει, ἐκείνης οὐ τὸ τεχθὲν ἀναιρούσης μόνον, ἀλλὰ καὶ τεχθῆναι κωλυούσης (27). Εἰ δὲ τετάρτην· ἐννοεῖν χρὴ, ὅτι καθ' ὃ δρᾷ, καὶ πάσχει (28). Εἰ γὰρ μὴ ἔπαθεν, οὐκ ἂν ἔῤῥευσεν· εἰ δὲ ἔῤῥευσεν, ἐφθάρη· εἰ δὲ ἐφθάρη, ὑβρίσθη. Ἀμέλει ἐπ' οὐδεμιᾷ ἄλλῃ πράξει, ἢ ἐπὶ μόνῃ τῇ ἀνδρὸς πρὸς γυναῖκα συνόδῳ λέγεται ἐφθάρθαι τὴν παρθένον καὶ τὸν νεανίσκον πειραθέντας. Εἰ δὲ καὶ πέμπτην, ἐννόει, ὅτι τῷ πόρνῃ συνερχομένῳ εἰ τεχθείη παιδίον, εἰς πορνείαν τρέφεται, καὶ ὁ ὁρῶν μετὰ ταῦτα, λέξει· Οὕτως ἑαυτὸν ἐκεῖνος ἠδίκησεν· ἰδοὺ γὰρ τὸ σπέρμα, μᾶλλον δὲ τὸ σῶμα αὐτοῦ πορνεύει. Εἰ δὲ καὶ ἕκτην, ἐπίστησον, ὅτι εἰ δούλῃ τις κοινωνήσειε, δοῦλον ἔσται τὸ τικτόμενον· πῶς οὖν οὐκ εἰς ἑαυτὸν ἁμαρτάνει, ὁ δοῦλον σπουδάζων τεκεῖν; Εἰ δὲ καὶ ἑβδόμην, ὅρα ὅτι καὶ τὸ τικτόμενον ἀδικεῖται, νόθον καλούμενον, καὶ ἄτιμον πανταχοῦ γινόμενον, κἂν ἐν βουλευτηρίῳ, κἂν ἐν δικαστηρίῳ (29) δὲ εἰσέλθῃ, ἐκβάλλεται· δι' οὗ καὶ ὁ φυτευσάμενος συναπολαύει τῆς αἰσχύνης· ὑπόμνημα γὰρ τῆς οἰκείας λαγνείας κατέλειψεν. Εἰ δὲ καὶ ὀγδόην, δοκιμάσωμεν καὶ τὸ ῥηθησόμενον· ἐπειδὴ ὁ πορνεύων, ἓν πρὸς τὴν πορνευομένην γίνεται, ὡς τὰ οἰκεῖα μέλη ποιῶν πόρνης μέλη, εἰς ἑαυτὸν τῷ ὄντι ἁμαρτάνει. Φόνῳ μὲν γάρ τινες εὖ ἐχρήσαντο (ὡς Μωσῆς καὶ Φινεὲς), καὶ ὀργῇ (ὁ Πέτρος καὶ Παῦλος)· πορνείᾳ δὲ οὐδεὶς πώποτε εὖ ἐχρήσατο. Διὸ καὶ τὸν δρῶντα μολύνει. Σιωπῶ γάρ, ὅτι τοὺς ἐν πολέμῳ φονεύοντας καὶ σηλῶν καὶ ἀνῤῥήσεων ἀξιοῦσιν. Εἰ δὲ καὶ τραπῆναι ἡμᾶς βούλει εἰς τὴν τῆς ἀλληγορίας ὁδὸν, ἐννάτη ἔστω ἡ λεχθησομένη. Ἐπειδὴ ἓν σῶμά ἐστιν ἡ Ἐκκλησία, οἱ δὲ καθεῖς ἀλλήλων μέλη, ὁ δὲ πορνεύων εἰς πάντας ἁμαρτάνει· ἀνατρέχει γὰρ αὐτοῦ τὸ σφάλμα ἐπὶ τὸ τῆς Ἐκκλησίας πλήρωμα, οὗ καὶ ἐκκοπῆναι αὐτὸν προσέταξεν, ἕως ἂν μετανοήσῃ. Εἰ δὲ καὶ δεκάτην βούλει, λεχθείη ἄν, ὅτι ἐπειδὴ οἱ νόμῳ τοῦ τιμίου γάμου συνιόντες ἓν σῶμα γίνονται (« Ἔσονται γὰρ, φησὶν, οἱ δύο εἰς σάρκα μίαν· » διὸ καὶ ἡ γυνὴ τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ' ὁ ἀνήρ· οὐδ' ὁ ἀνὴρ τοῦ ἰδίου σώματος ἐξουσιάζει, ἀλλ' ἡ γυνή)· εἰκότως ὁ πορνεύων μὲν ἀνὴρ, εἰς τὴν γαμετὴν, τουτέστιν εἰς τὸ ἴδιον σῶμα (30) ἁμαρτάνει· ἡ δὲ πορνευομένη, εἰς τὸ ἴδιον σῶμα, τουτέστι, τὸν ἄνδρα, σῶμα

A is non commiserit peccata venia majora, dicimus admonitionis causa : Desiste, mi frater, ab hoc morbo : hic morbus omnium est deterrimus, non quod hic omnes alios superet, sed quod ipso quoque eum liberare cupiamus : annon etiam Apostolus similiter de fornicatione hoc dixerit. Nam dum corrigere atque emendare vellet eum qui apud Corinthios fornicatus erat, in hanc vocem erupit. Jam si tertiam quoque vis tibi aperiri januam, hoc animadverte : Quemadmodum qui in mare frumentum aut aliud quodpiam semen projicit, in semen peccat, dum id prohibet ad generationem pervenire : ita etiam is qui in meretricem projicit suum semen, in proprium corpus peccat, ipsa non solum perimente id quod natum fuerit, sed nasci prohi-
B bente. Porro si quartam (desideras interpretationem) cogitare oportet, secundum id quod agit, ipsum etiam pati. Nam nisi passus quid esset, non fluxisset. Si autem fluxit, corruptus est : si vero corruptus est, contumelia affectus est. Quæ etiam causa est, quod de nulla alia actione, sed de solo viri cum muliere congressu dicitur, corruptos esse virginem et adolescentem rem expertos veneream. Si et quintam (vis interpretationem), cogita, si ei qui cum scorto congressus est, natus fuerit aliquis filius, is ad fornicationem educatur, et qui postea eum conspexerit, dicet : Revera in seipsum ille fuit injurius : ecce enim semen, vel potius corpus ejus scortatur. Si vero etiam sextam, scire
C debes, quod si cum serva quis rem habuerit, servum erit id quod ex ea nascetur. Quomodo ergo non in seipsum peccat, qui servum satagit procreare? Si et septimam, vide quod etiam id quod ex tali complexu nascitur, contumelia afficitur, quippe quod nothum ac spurium vocetur, et ignominia ubique locorum notetur : et sive in senaculum sive in judicium ingrediatur, inde exturbatur : quo ipso etiam genitor ejus probri et ignominiæ particeps fit. Monumentum enim suæ libidinis ac lasciviæ post se reliquit. Si vero etiam octavam (requiris interpretationem), examinemus et hoc quod dicetur : Quia qui fornicatur, unum quiddam cum ea fit, cum qua se commiscet, quod propria sua membra faciat scorti membra : in semetipsum
D revera peccat. Nam cæde quidem nonnulli bene usi sunt, ut Moses et Phinees; et ira, Petrus et Paulus; fornicatione autem nemo unquam bene usus est. Qua de causa etiam ipsum qui stuprum patrat, polluit. **486** Taceo enim, quod eos, qui in bello cædes committunt, etiam columnis et præconiis dignos et honorandos censent. Quod si etiam

VARIÆ LECTIONES ET NOTÆ.

(27) Hæc, οὐ μόνον...: κωλυούσης om. ed. Paris. Supplentur ex codice Vatic. 650 Edit.

(28) *Καθ' ὃ δρᾷ, καὶ πάσχει.* Ms. καθ' ὃν, non recte. Notum est illud vetus, Τὸ δρῶντα δεῖ τι καὶ παθεῖν. Notum et physicorum consentiens dogma. Eo et hic respicere videtur Isidorus. Rittr.

(29) *Καὶ ἐν βουλευτηρίῳ, καὶ ἐν δικαστηρίῳ.* Pro ἐν utroque loco hic reponendum censeo εἰ. Possis etiam retento ἐν ante εἰσέλθῃ reponere omissum ἄν. Id.

(30) Quæ sequuntur post ἴδιον σῶμα, nimirum, ἁμαρτάνει· ἡ δὲ πορνευομένη, εἰς τὸ ἴδιον σῶμα, hæc, inquam, omnia ut superflua cod. Vat. 650 omittit. Possin.

Digitized by Google

in viam allegorici sensus nos deflectere vis, nona eit (interpretatio) quæ jam dicetur : quia unum corpus est Ecclesia, et singuli sunt invicem aliorum membra ; qui vero fornicatur, is in omnes peccat. Pertinet enim ipsius peccatum ad Ecclesiæ plenitudinem, a qua etiam ipsum (ejus auctorem delicti) abscindi præcepit Paulus, quoad usque resipuerit. Denique si et decimam vis interpretationem, dicetur sane : quia illi qui lege honorabilis conjugii congrediuntur, unum corpus fiunt (« erunt enim, inquit, duo illi in carnem unam [35] : » unde etiam fit, ut mulier proprii corporis potestatem non habeat, sed vir : neque vir sui corporis potestatem habeat, sed mulier [36]) : merito vir quidem scortationem exercens, in uxorem, hoc est, in proprium corpus peccat : mulier autem scortatrix, in proprium corpus, hoc est in virum, qui corpus ipsius factus est, peccat. Quæ causa quoque est, quod alia quidem peccata extra corpus sunt proprium, quod legitime in unum coactum est. Neque enim, si perjerarit vir, aut cædem perpetrarit, aut furatus fuerit, aut quid aliud commiserit, quod atrocitatem habeat facinoris, in uxorem redundat peccatum : sicut etiam, vice versa, neque si mulier cædem aut perjurium commiserit, in virum recidit peccatum. Sola autem fornicatio consuetudinem ac cœtum conjugalem attingit ac violat, et alter conjugum lædit alterum, si hanc perpetrarit, et liberorum sinceritatem atque (ut sic loquar) germanitatem reddit suspectam, omniaque a fundamentis propriis convellit. Quamobrem Christus quoque pronuntiavit, oportere virum cætera, quæ in muliere desiderari possunt, omnia æquo animo ferre (neque enim alia delicta quæ ab ea committuntur, ad ipsum spectant) : ob solam vero fornicationem expelli conjugem jussit, quippe cum hæc injuria in personam matrimonio conjunctam redundet.

A αὐτῆς γενόμενον, ἁμαρτάνει. Διὸ τὰ μὲν ἄλλα ἁμαρτήματα ἐκτὸς τοῦ σώματός ἐστι τοῦ ἰδίου τοῦ ἐννόμου συναχθέντος (31) εἰς ἕν. Οὔτε γὰρ ἐὰν ἐπιορκήσῃ, ἢ φονεύσῃ, ἢ κλέψῃ, ἢ ἄλλο τι δράσῃ ὁ ἀνὴρ χαλεπὸν, εἰς τὴν γυναῖκα φθάνει τὸ ἁμάρτημα· ὡς αὖ πάλιν οὐδὲ γυνὴ, ἐὰν φονεύσῃ, ἢ ἐπιορκήσῃ, εἰς τὸν ἄνδρα ἀνατρέχει τὸ ἁμάρτημα· ἡ δὲ πορνεία μόνη τῆς συνοικήσεως καὶ τῆς συνόδου ἅπτεται, καὶ θάτερος θάτερον ἀδικεῖ, εἰ ταύτην δράσειε, καὶ τὴν τῶν τέκνων (32) γνησιότητα ὑποπτεύεσθαι παρασκευάζει, καὶ πάντα ἐκ βάθρων τὸν οἶκον σαλεύει· διὸ καὶ ὁ Χριστὸς πάντα τὰ ἐλαττώματα τὰ τῆς γυναικὸς καταδέχεσθαι τὸν ἄνδρα ἀναγκαῖον εἶναι ἔφη· οὐ γὰρ εἰς αὐτὸν βλέπει τὰ γινόμενα· ἐπὶ δὲ πορνείᾳ μόνῃ ἐκβάλλειν ἐκέλευσεν, ὡς τῆς ἀδικίας ταύτης εἰς τὸν B συνεζευγμένον ἀνατρεχούσης.

Multi mortales, non solum ex iis qui in externis certaminibus contendunt, sed ex iis qui conantur sacras interpretari Scripturas, dum non eodem modo se auditores præbent, multorum variorumque malorum auctores exsistunt. Alii enim veritatis nullam curam habentes, ad gratiam eorum qui dicunt, plausum excitant, perinde ac si aurigarum ac saltatorum essent amatores : alii contra odii causa sibilum attollunt, et quidem sæpe antequam accurate audiverint ea quæ dicuntur, tantum abest ut intellexerint. **487** Atque ex his sæpenumero aliqui nec sapientes et eruditi, nec bene dicentes, forsan male quoque loquentes, non au- D

CXXX. — HYPATIO.

Quid sit, communem se exhibere, et quid æqualem ; et quid sit ambigere, et quid non esse contentiosum ; et quid lætari, et quid delectari.

ΡΛ'. — ΥΠΑΤΙΩ.

Τί κοινὸν παρέχειν ἑαυτὸν, καὶ τί ἴσον· καὶ τί ἀμφισβητεῖν, καὶ μὴ φιλονεικεῖν· καὶ τί εὐφραίνεσθαι· καὶ τί ἥδεσθαι.

Πολλοὶ τῶν ἀνθρώπων, οὐ μόνον τῶν ἐν τοῖς ἔξωθεν ἀγῶσιν ἀμιλλωμένων, ἀλλὰ καὶ τῶν τὰς θείας ἑρμηνεύειν πειρωμένων Γραφὰς (33), οὐχ ὁμοίως ἀκροατὰς παρέχοντες ἑαυτοὺς, πολλῶν καὶ ποικίλων κακῶν αἴτιοι γίνονται· οἱ μὲν γὰρ τῆς ἀληθείας μηδὲν φροντίζοντες, πρὸς χάριν τῶν λεγόντων κροτοῦσιν (34), ὥσπερ ἡνιόχων ἢ ὀρχηστῶν τυγχάνοντες ἐρασταί· οἱ δὲ πρὸς ἔχθραν συρίττουσι· καὶ ταῦτα πολλάκις μηδ' ἀκριβῶς ἐπακούσαντες τῶν λεγομένων, μήτι γε νοήσαντες· καὶ ἐκ τούτων (35) πολλάκις τῶν οὐ σοφῶν, οὐδὲ καλῶς λεγόντων τινές· τυχὸν δὲ καὶ κακῶς φραζόντων· οὐ τὴν τῶν ἀκουόντων εὔνοιαν, οὐ τὴν τῶν πρὸς αὐτοὺς φιλίαν, οὐ τὴν

[35] Gen. II, 24. [36] I Cor. VII, 4.

VARIÆ LECTIONES ET NOTÆ.

(31) Hæc verba : τοῦ ἰδίου τοῦ ἐννόμου συναχθέντος, in hæc idem mutat, διὰ τοῦ ἐννόμου γάμου συναφθέντος. Vers. post 4. inter τόν et ἄνδρα inserit ἴδιον. Vers. seq. ἁμάρτημα mutat in πταῖσμα. Possin.

(32) Ed. Paris. τεκόντων, et vers. seq. τῶν οἰκείων. Corr. cod. Vat. Edit.

(33) Hæc, ἀλλὰ καὶ τῶν τ. θ. ἑρ. πειρ. Γρ. omittebat eadem editio Paris. Edit.

(34) Attingit hic morem priscum favendi doctoribus per acclamationes, olim ex theatris et spectaculis etiam in Ecclesiam Christianam sacrasque concliones translatum : quem etsi Augustinus non improbavit, ut ex ejus lib. IV *De doctrina Christiana*, c. 26, et aliis scriptorum ipsius locis videre est, tamen alii, ut inprimis Joannes Chrysostomus, graviter morem illum tulere, et severis reprehensionibus tollere sunt conati, donec tandem in desuetudinem ille abiit. Plurimas doctissimas observationes hac de re contulit Isaacus Casaubonus, τὸ πεπλασμένον ἐκ Διὸς ἔρνος, in suas notas ad Avidium Cassium Vulcatii Gallicani, etc. Ritt.

(35) Cod. Vat. 650, τοῦ. Vers. post 5. pro ἐννοοῦντες habet ἐννοήσαντες. Vers. seq. pro πτερωθέντες in contextu cod. Vat. 650 legitur πτοηθέντες, sed in margine e regione signatur πτερωθέντες. Possin.

Digitized by Google

τῶν ἐναντίων ἔχθραν, δι' ἣν ἐκροτήθησαν, ἐννοοῦντες, οὐ μόνον ὑπὸ τῶν κρότων πτερωθέντες, ἀλλὰ καὶ ὑπὸ φιλαυτίας μεθύοντες, οὐ μὴν ἀλλὰ καὶ ὑπὸ προλήψεως κεχειρωμένοι, δογματίζουσι πολλάκις ἀδόξά τινα καὶ καταγέλαστα δόγματα· ἔπειτα, δέον μηδὲ διὰ γλώττης προφέρεσθαι, κρατύνειν πειρῶνται. Χρὴ τοιγαροῦν τοὺς ἐν τοῖς τοιοῖσδε λόγοις φοιτῶντας, γινώσκοντας, ὅτι περὶ ψυχῆς ἐστιν ὁ κίνδυνος, καὶ ὅτι τῆς ἀληθείας οὐδὲν προύργιαίτερον· οὐ μὴν δὲ ἀλλὰ καὶ ἐννοοῦντας τὰ κακὰ, τὰ ἐκ τῆς ἔχθρας καὶ τῆς προλήψεως τικτόμενα, κοινοὺς μὲν ἑαυτοὺς παρέχειν τοῖν λεγόντοιν ἀκροατὰς, οὐ μὴν ἴσους· ἔστι δ' οὐ ταυτὸν, ὡς οἴονταί τινες. Κοινῇ μὲν γὰρ χρὴ ἀκροᾶσθαι ἀμφοτέρων· οὐ μὴν ἑκατέρῳ νέμειν τὸ ἴσον· ἀλλὰ τῷ μὲν συνετωτέρῳ μᾶλλον, τῷ δὲ ἀμαθεστέρῳ ἧττον· καὶ τῷ μὲν σοφῷ ἐπαίνους, τῷ δὲ ἀπαιδεύτῳ, εἰ μὲν ὑπὸ ψόγων οἷός τε εἴη σωφρονισθῆναι, ψόγους· εἰ δὲ μὴ, σιγήν. Ταῦτα μὲν οὖν περὶ τῶν ἀκροωμένων εἰρήσθω. Τοὺς δὲ λέγοντας, πρεπωδέστερον εἶναί φημι, ἀμφισβητεῖν μὲν, μὴ ἐρεθίζειν (36) δέ. Ἀμφισβητοῦσι μὲν γὰρ πολλάκις πρὸς φίλους· φιλονεικοῦσι δὲ οἱ δυσμενεῖς. Οὕτω γὰρ καλλίστη καὶ ὠφελιμωτάτη ἡ συνουσία τοῖς τε φράζουσι, τοῖς τ' ἀκούουσι γενήσεται. Οἵ τε γὰρ λέγοντες, μάλιστα ἂν ἐν τοῖς ἀκροωμένοις οὕτως εὐδόκιμοι ἦσαν μὲν, οὐκ ἐπαινοῦντο δέ. Εὐδόκιμοι μὲν γάρ ἐστι κυρίως τὸ ἀποδοχῆς ἀξιοῦσθαι ἐν ταῖς ψυχαῖς τῶν ἀκουόντων, ταῖς ἄνευ ἀπάτης ἀδεκάστως τὰς ψήφους φερούσαις· ἐγκωμιάζεσθαι ἐν λόγῳ πολλάκις κολακείαν πνέοντι, καὶ μηδὲν ἀληθεύοντι. Οἵ τε ἀκούοντες μάλιστα εὐφραίνοιντο μὲν, οὐχ ἥδοιντο δέ. Εὐφραίνεσθαι μὲν γάρ ἐστι, τὸ μαθεῖν τι τῶν καλλίστων, καὶ τὴν φρόνησιν ἐπὶ τὸ ἄμεινον ἀκονῆσαι· ἥδεσθαι δὲ, ἐσθίοντα ἤ τι τοιοῦτον διαπραττόμενον διὰ τοῦ σώματος. Ταῦτα κεκρίσθω· ταῦτα ὡρίσθω· ταῦτα πεφυλάχθω· καὶ πολλὴ ἐπίδοσις ἔσται οὐ μόνον ἐν τοῖς ἀκροωμένοις εἰς ἀρετὴν, ἀλλὰ καὶ τοῖς λέγειν πειρωμένοις εἰς φιλοσοφίαν.

A ditorum benevolentiam, non amicitiam erga se, non adversariorum odium, quas ob res plausus et tumultus excitati sunt, cogitantes, non solum applausibus istiusmodi elati, sed etiam amore sui inebriati, quin et ab anticipata aliqua opinione devicti, sæpe absurda atque ridicula quædam dogmata excogitant et tradunt; deinde cum ne quidem lingua proferri ea oportuerit, obtinere etiam illa contendunt. Quæ cum ita sint, oportet ejusmodi doctrinarum studiosos, cum sciant, animam hic in discrimine versari, et veritate nihil præstabilius aut antiquius esse, præterea etiam cogitantes ea mala, quæ ex odio et anticipata opinione oriuntur, communes quidem se præbere dicentium auditores; non tamen æquales. Non est autem unum et idem, B ut quidam arbitrantur. Nam oportet quidem utrumque communiter audire; non tamen utrique æqualitatem tribuere, sed prudentiori magis, indoctiori vero minus; et sapienti quidem laudes, rudi vero atque imperito, si quidem reprehensionibus corrigi emendarique possit, reprehensiones: sin minus, silentium adhibere. Hæc igitur de auditoribus dicta sunto. Porro quod ad eos qui dicunt attinet, aio ipsos maxime decere modestam dubitationem, non autem rixosam contentionem. Sæpe enim ad amicos ambigere solent homines: contentionibus vero dant operam inimici. Hæc igitur pulcherrima atque utilissima erit conversatio, et iis qui dicunt, et iis qui audiunt. Nam et qui dicunt, ita maxime apud eos qui audiunt probabiles et grati erunt, non au- C tem laudabuntur. Probabilem enim esse hoc proprie est, si quis in animis audientium approbatione dignus censeatur, qui sine fraude ac deceptione incorrupte calculos ferunt. Laudari vero consistit in oratione, quæ sæpenumero assentationem spirat, nihilque veri in se continet. Et vero auditores maxime quidem lætabuntur, non autem delectabuntur. Est enim lætari, discere aliquid rerum pulcherrimarum et honestissimarum: delectari vero suaviterque affici est, dum quis comedit, aut quidpiam simile per corpus agit. Hæc ita judicata sint, hæc definita, hæc observentur: sic futurum est, ut magna non solum in auditoribus ad virtutem, sed etiam in iis qui dicendi studio tenentur, ad sapientiam, fiat accessio.

ΡΛΒ'. — ΠΑΥΛΩ.

Ὅτι οὐκ ἦν συμφέρον τῶν πάντων γνῶσιν ἔχειν ἡμᾶς.

Πολλῶν προβλημάτων ἐσμὸν συντόμως ἐπιλῦσαι πειράσομαι. Φημὶ τοίνυν, ὅτι ἡ θήρα τῆς γνώσεως τῶν μελλόντων ἡμῖν κατὰ τόνδε τὸν βίον ἢ πράττεσθαι ἢ συμβαίνειν, κἂν εἰ (37), ὡς ἔφης, ἐφικτὴ καὶ ἀλώσιμος, παντελῶς καὶ ἀνωφελὴς καὶ σφαλερὰ τυγχάνει. Εἰ μὲν γὰρ οὐκ ἔστι φυλάξασθαι, ἀφαιρεῖται ἡμῶν τὴν πρὸς τὰ συμπίπτοντα παρασκευασθῆναι ὀφεῖλουσαν ἀρετήν. Τοῦ γὰρ προσπίπτοντος ἀδυκήτως, οὐδὲν οὕτως τὴν εὐθημοσύνην πορίζειν

CXXXII. — PAULO.

Non fuisse ex usu nostro, ut omnium rerum cognitione præditi essemus.

D Multarum quæstionum turbam compendiose 488 solvere conabor. Aio igitur, investigationem cognitionis earum rerum, quæ nobis in hac vita aut agendæ, aut eventuræ restant, quantumvis, ut inquiebas, eam assequi atque comprehendere possemus, et inutilem tamen omnino et periculosam esse. Nam si vitari nequeunt, præscientia illa aufert nobis eam, quæ adversus casus, qui nobis accidunt, fortiter ferendos instrui debet, virtutem. Nihil est

VARIÆ LECTIONES ET NOTÆ.

(36) Pro ἐρεθίζειν idem cod. habet ἐρίζειν. Vers. et verbo ult. ep. φιλοσοφίαν idem breviat in σοφίαν. Possin.

(37) Pro κἂν εἰ legit κἂν ἤ cod. Vat. 650. Id.

Digitized by Google

enim rerum omnium, quod jam hæc despexere, videat aut possit improbitas evenire, quam virtutis exercitatio. Nam qui omnem spem humanam ex animo suo expulerint, nihil eorum quæ oportet agere prætermittunt, ob præcogitationem futurorum eventuum.

A [illegible], ὡς ἡ τῆς ἀρετῆς ἄσκησις. Οἱ γὰρ πᾶσαν ἐλπίδα ἀνθρωπίνην ἐκ τῆς ἑαυτῶν ἐξορίσαντες ψυχῆς, οὐδὲν τῶν δεόντων πρᾶξαι ἐκ τοῦ [illegible] [illegible].

CXXXIII. LEONTIO EPISCOPO.

Quod bello sacrarum Litterarum destructa est et corrupta, et quod unusquisque suos affectus divinis oraculis præfert, ea res tantarum tragœdiarum et calamitatum causa exstitit. Nam bellum irreconciliabile et non indictum legitime incidit inter eos, qui pacis conciliatores esse debuerunt: qui avidissime eos mutuo, siquidem possint, vorent; et antiquissimum hoc ducunt, et omnibus rebus anteponunt, vivos quidem occidere, sepultos autem refodere, et domos evertere, et monumentum omne abolere. Ita in se invicem armantur, et bellum inferunt: cum quidem didicerint, Christum non signis et miraculis, sed dilectione charitateque suos notasse discipulos [44]. Hæc igitur mihi quidem causa esse videtur, quare etiam subditi officium suum non faciunt. Non enim amplius tanquam erga doctores discipuli, sed tanquam adversus condemnatos judices affecti sunt, defensionem suorum lapsuum ignaviam doctorum, infeliciter illi quidem ac misere, sed tamen se habere existimantes. Quid igitur faciendum est? inquis. Si quidem id fieri potest, malum hoc corrigendum: sin minus, quiescendum est.

ΡΛΓ'. — ΛΕΟΝΤΙῼ ΕΠΙΣΚΟΠῼ.

Τὸ τὴν ἀνάγνωσιν κατεῤῥᾳθυμῆσθαι (38) τῶν θείων Γραφῶν, καὶ τὸ ἕκαστον τὰ οἰκεῖα πάθη τῶν θείων προκρίνειν χρησμῶν, τῶν τοσούτων τραγῳδιῶν αἴτιον γέγονε. Πόλεμος γὰρ ἄσπονδος καὶ ἀκήρυκτος ἐμπέπτωκε τοῖς τῆς εἰρήνης βραβευταῖς· ἤδιστ' ἂν ἀλλήλους, εἰ ἠδύναντο, γεύσοιντο· περὶ παντὸς δὲ ποιήσαιντο, ζῶντας μὲν ἀποκτεῖναι· ταφέντας δὲ B ἀποκηρύξαι (39)· τὰς δ' οἰκίας ἀνασκάψαι· μνημεῖον δὲ ἅπαν ἀφανίσαι. Οὕτως κατ' ἀλλήλων ὁπλίζονται, καὶ μηχανὰς πλέκουσιν, οἱ μεμαθηκότες, ὅτι οὐκ ἀπὸ σημείων ὁ Χριστὸς, ἀλλ' ἀπὸ τῆς ἀγάπης τοὺς οἰκείους ἐχαρακτήρισε φοιτητάς. Διὰ τοῦτο οὖν, οἶμαι, καὶ τὰ παρὰ τῶν ὑπηκόων οὐχ ἕπεται. Οὐκ ἔτι γὰρ ὡς πρὸς ὑφηγητὰς φοιτηταὶ, ἀλλ' ὡς πρὸς κατακρίτους δικασταὶ διάκεινται, ἀπολογίαν τῶν οἰκείων πταισμάτων τὴν τῶν διδασκάλων ῥᾳθυμίαν, ἀθλίως μὲν καὶ ταλαιπώρως, ὅμως δ' οὖν ἔχειν οἰόμενοι. Τί οὖν ποιητέον; φής. Εἰ μὲν δυνατὸν, διορθωτέον· εἰ δὲ μὴ, ἡσυχαστέον.

CXXXIV. HIERACI CLARISSIMO.

Legales et propheticæ doctrinæ præparatoriæ sunt ad novam et evangelicam philosophiam. Illæ enim manui, hæc vero animo leges sancit. Et illæ quidem actionem, hæc autem cogitationem dirigit et gubernat. Illæ namque grammaticæ seu litteratori, hæc vero supremo perfectissimoque philosopho conveniunt.

C ΡΛΔ'. — ΙΕΡΑΚΙ ΛΑΜΠΡΟΤΑΤῼ.

Τὰ νομικὰ καὶ προφητικὰ μαθήματα προπαιδεύματά εἰσι (40) τῆς νέας καὶ εὐαγγελικῆς φιλοσοφίας. Τὰ μὲν γὰρ τῇ χειρὶ, ἡ δὲ τῇ ψυχῇ νομοθετεῖ. Καὶ τὰ μὲν τὴν πρᾶξιν, ἡ δὲ τὴν ἔννοιαν εὐθύνει καὶ οἰακίζει· τὰ μὲν γὰρ γραμματιστῇ, τὰ δὲ ἄκρως φιλοσόφῳ ἔοικεν.

CXXXV. JACOBO LECTORI.

In illud Christi dictum, « Qui recipit prophetam in nomine prophetæ, mercedem prophetæ accipiet [45]. »

Illud, « Qui recipit prophetam in nomine prophetæ, mercedem prophetæ accipiet, » ut paucis complectar, tale est: non si quis, o bone, alterius cujusdam [illegible] aut prætextus causa honestatem [illegible] honore et cultu, tam statim etiam gloriæ ejus particeps [illegible], quæ honestati debetur: sed is demum [452] honoris gloria [illegible], qui ipsum honestum propter ipsam coluerit. Multi enim prophetas aut [illegible] honore afficiunt, aut propter gloriam

ΡΛΕ'. — ΙΑΚΩΒῼ ΑΝΑΓΝΩΣΤῌ (41).

Εἰς τό· « Ὁ δεχόμενος προφήτην εἰς ὄνομα προφήτου, μισθὸν προφήτου λήψεται. »

Τὸ, « Ὁ δεχόμενος προφήτην εἰς ὄνομα προφήτου, μισθὸν προφήτου λήψεται, » ὡς ἐν βραχεῖ, τοιοῦτόν ἐστιν· Οὐκ εἴ τις, ὦ βέλτιστε, καθ' ἑτέραν τινὰ D χρείαν ἢ πρόφασιν τιμῆς ἀξιοῖ τὸ καλὸν, ἤδη καὶ τῆς τοῦ καλοῦ μεθέξει δόξης· ἀλλ' ἐκεῖνος [illegible] δόξης ἀξιωθήσεται, ὁ αὐτὸ τὸ καλὸν δι' αὐτὸ τιμήσας. Πολλοὶ γὰρ προφήτας ἢ [illegible] ἢ διὰ δόξαν [illegible], ἢ διὰ [illegible] [illegible]. [illegible] [illegible]

[44] Joan. XIII, 35. [45] Matth. X, 41.

VARIÆ LECTIONES ET NOTÆ.

[illegible]

ματα παρέχοντες, οὓς οὐκ ἄν τις φαίη μισθὸν προφήτου λαμβάνειν. Εἰ δέ τις ἄνευ τῶν τοιούτων ἐπικαλυμμάτων γυμνῇ τῇ ψυχῇ πρὸς τὸ ἀγαθὸν βλέπων τιμήσειε τοὺς ἁγίους, ὁ τοιοῦτος μετὰ τῶν ἁγίων εἰκότως συνδοξασθήσεται.

A humanam, aut lucri alicujus gratia ad hanc vitam redundantis. Sunt enim qui talia exercent, et pecunias elargiuntur, quos nemo dixerit, mercedem prophetæ accipere. Si quis autem absque hujusmodi velamentis nuda anima ad bonum ipsum respiciens sanctos honore affecerit, talis una cum sanctis merito gloria perfruetur.

ΡΛϚ'. — ΑΛΥΠΙΩ.

Πῶς ἡ βασιλεία τῶν οὐρανῶν βιάζεται.

Τὰ ἔπαθλα μείζονα ὄντα πάσης ἀνθρωπίνης ἀξίας, καὶ ἐκ πολλοῦ τοῦ περιόντος τὴν τοῖς πόνοις χρεωστουμένην ἀμοιβὴν ὑπερβαίνοντα· οὐκ ἄξια γὰρ τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς, ἔφη τὸ σκεῦος τῆς ἐκλογῆς· καὶ τὴν ἀσθένειαν τῆς φύσεως ἐκβιάζεται. Διὸ καὶ ἐρρέθη· « Ἡ βασιλεία τῶν οὐρανῶν βιάζεται (42), καὶ βιασταὶ ἁρπάζουσιν αὐτήν. » Ποῖοι βιασταί; Οἱ τὸ οἰκεῖον σῶμα νηστείαις, καὶ σωφροσύνῃ, καὶ τῇ ἄλλῃ ἀρετῇ ἐκβιαζόμενοι (43), καὶ τοῖς τοῦ πνεύματος νόμοις ὑποτάξαντες, καὶ εὐήνιον καὶ ὁρμητήριον ἀρετῆς ἀποφήναντες.

B

CXXXVI. — ALYPIO.

Quomodo regnum cœlorum vim patiatur [39].

Præmia (alterius vitæ, piis a Deo proposita) cum sint omni humana dignitate majora, longissimeque omnem laboribus debitam remunerationem excedant (« Non enim sunt pares passiones hujus temporis ad futuram gloriam, quæ revelabitur erga nos [40], » inquit vas electionis) : etiam imbecillitatem naturæ cogunt. Ideo scriptum est : « Regnum cœlorum vim patitur et violenti rapiunt illud. » Quales violenti ? Qui proprium corpus jejuniis et temperantia abstinentiaque et aliis virtutibus cogunt, et legibus spiritus subjecerunt, et pronum atque obediens exercendæ virtuti id reddiderunt.

ΡΛΖ'. — ΩΡΙΩΝΙ (44) ΜΟΝΑΖΟΝΤΙ.

Εἰς τὸ γεγραμμένον· « Φρόνιμοι ὡς οἱ ὄφεις, καὶ ἀκέραιοι ὡς αἱ περιστεραί. »

Τὰ παραδείγματα οὐχ ἅπαντα λαμβάνεται· ἐπεὶ οὐκ ἂν εἴη παραδείγματα, ἀλλὰ ταυτότης. Εἰ γὰρ καὶ τὸ ἀκέραιον καὶ ἀκακόηθες προσέταξε μιμεῖσθαι τῆς περιστερᾶς, ἀλλὰ τὸ ἀνόητον ἐκκλίνειν χρή· ὅπερ ἐστὶ τὸ εἰς ἐκείνους καταφεύγειν, τοὺς θηρᾶν σπουδάζοντας. Εἰ γὰρ καὶ μὴ βλάπτειν χρὴ, ἀλλὰ οὐδὲ εἰς (45) τὰ καίρια βλάπτεσθαι προσήκει· οὐδὲ εἰς ἐκείνους τρέχειν, ὧν κέρδος μέγιστον ἡ ἀπαλλαγή. Εἰ δὲ καὶ μαρτυρίαν θέλεις ἐναργῆ λαβεῖν τῶν λεγομένων, ἄκουε τοῦ προφήτου λέγοντος· « Καὶ ἦν Ἐφραὶμ ὡς περιστερὰ ἄνους, οὐκ ἔχουσα καρδίαν. » Εἰ δὲ καὶ τὴν αἰτίαν ζητεῖς, εὐθὺς αὐτὸς ἐπάγει· « Αἴγυπτον ἐπεκαλεῖτο· καὶ εἰς Ἀσσυρίους ἐπορεύετο. » Δύο, φησὶν, ἐθνῶν, τυραννίδα καὶ μῖσος, καὶ ἀρχαίαν νοσούντων πλεονεξίαν, τὸ μὲν ἐπεκαλεῖτο εἰς βοήθειαν· πρὸς δὲ τὸ καταφεύγων (46) ὡς σωτηρίας τευξόμενος. Τίς οὖν, φησὶ, τούτου ἀνοητότερος γένοιτ' ἂν, τοῦ πρὸς ἐκείνους ὁρμῶντος τοὺς μὲν τὴν αἰχμαλωσίαν αὐτοῦ καὶ τὴν δουλείαν ὀνειροπολοῦντας;

C

D

CXXXVII. — ORIONI MONACHO.

In id quod scriptum est : « Prudentes sicut serpentes, et simplices sicut columbæ [41]. »

Exempla non per omnia capiuntur : alioquin enim non essent exempla et similitudines, sed res eadem. Etsi enim simplicitatem et morum probitatem, quæ in columba est, imitari nos jussit : tamen stoliditatem ejusdem fugere oportet : qualis est, verbi gratia, confugere ad eos, qui capere satagunt. Quanquam enim lædere neminem oportet, tamen neque letales accipere plagas ab aliis convenit : neque ad eos currere, quibus liberari maximum est lucrum. Quod si etiam testimonium evidens eorum quæ dixi, accipere vis, audi prophetam, dicentem : « Et erat Ephraim ut columba amens, non habens cor [42]. » Si vero causam quoque requiris, ipse eam statim affert : « Ægyptum invocabat, et ad Assyrios proficiscebatur [43]. » Duarum gentium, tyrannide et odio et antiqua avaritia iniquitateque laborantium, alteram quidem in auxilium advocabat ; ad alteram vero confugiebat, quasi salute ibi potitura. Quis ergo, inquit, hoc dementior esse possit, qui ad eos confugit, qui etiam captivitatem et servitutem ipsius assidue meditantur?

ΡΛΗ'. — ΑΛΥΠΙΩ.

Εἰς τό· « Ἐν τῷ κόσμῳ θλῖψιν ἕξετε. »

Τῇ ἐλπίδι τῶν μελλόντων δίδοσθαι ἀγαθῶν τοῖς τὰ τρόπαια στήσασι κατὰ τῆς κακίας λαμπρὰ ὁπλίζων σαυτὸν, καὶ περιφράττων καλῶς πάντοθεν, καὶ εὐχαῖς τοῦτο τὸ τεῖχος ἰσχυρὸν κατασκευάζων, ἀπο-

490 CXXXVIII. — ALYPIO.

In dictum, « In mundo afflictionem habebitis [44]. »

Spe bonorum illorum, quæ dabuntur iis, qui tropæa splendida contra vitia statuerint, teipsum armans, et undique probe te muniens, et precibus hunc murum firmum efficiens, repelle tristitiæ as-

[39] Matth. xi, 12. [40] Rom. viii, 18. [41] Matth. x, 16. [42] Osee v, 7. [43] ibid. [44] Joan. xvi, 33.

VARIÆ LECTIONES ET NOTÆ.

(42) Hæc, Διὸ καὶ usque ad βιάζεται, omittebat ed. Paris., lapsu, ut videtur, typographi quem decepit homœoteleuton. Edit.

(43) Cod. Vat., ἐκβιαζάμενοι. Possin.

(44) Ἥρωνι, *Heroni*, cod. Vat. 650. Id.

(45) Pro εἰς idem cod. πρός. Id.

(46) Cod. Vat., κατέφευγεν. Possin.

Digitized by Google

sultum. Nam vel generosum animum subigere valet, nisi assidue ille in cogitatione coronarum occupatus, toleraverit adversa ac tristia.

A κρούου τῆς ἀθυμίας (46') τὴν ἔφοδον. Δεινὴ γάρ ἐστι καὶ γενναίαν ψυχὴν χειρώσασθαι, ἂν μὴ διὰ παντὸς ἐκείνη τοὺς στεφάνους ὀνειροπολοῦσα, ὑποφέρῃ τὰ λυπηρά.

CXXXIX. — THEOGNOSTO.

In illud (Ezechielis dictum), « Et tu, si prohibueris iniquum, nec reversus fuerit ab iniquitate sua, iniquus ille in iniquitate sua morietur ; at tu animam tuam liberabis [45]. »

Reprehensores vitiorum sæpenumero solent improbi, cum sunt plures, et male ab ipsis dissonent, languentes ac ignavos reddere quominus libere in vitia invehantur eaque compescant. Miscenda igitur est comitate libertas reprehensionum, et vituperium charitate temperandum, atque ita admonitiones adhibendæ sunt. Quod si ne sic quidem illi utilitatem ullam inde percipiunt, sed insuper etiam male repudiant ac traducunt eos, qui maximis coronis digni sunt, omninoque etiam a Deo præconiis recte factorum ornabuntur et a prudentibus commendatione digni judicabuntur : generoso magnoque animo id ferant vitiorum reprehensores et correctores, ac doleant, non quidem suarum rerum consideratione (nihil enim aliud ipsis accidit, quam quod scelerati ac detestabiles visi sint, cum tales revera minime sint), sed super illorum perversitate et insania, quod ita incurabilibus morbis laborent, ut etiam medicis probra atque convicia ingerant.

ΡΛΘ'. — ΘΕΟΓΝΩΣΤΩ.

Εἰς τό· « Καὶ σὺ ἐὰν διαστείλῃς τῷ ἀνόμῳ, καὶ μὴ ἀναστρέψῃ ἀπὸ τῆς ἀνομίας αὐτοῦ, ὁ ἄνομος ἐν τῇ ἀνομίᾳ αὐτοῦ ἀποθανεῖται· σὺ δὲ τὴν ψυχήν σου ῥύσῃ. »

Τοὺς ἐπιτιμητὰς (47) τῶν κακιῶν οἱ μοχθηροί, πλείους ὄντες, καὶ διηχοῦντες κακῶς, ἀποναρκῆσαι πολλάκις πεποιήκασι πρὸς τὸ μὴ τῇ παῤῥησίᾳ ἀναστέλλειν τὰ πταίσματα. Χρὴ τοιγαροῦν μιγνύναι τῇ παῤῥησίᾳ τὴν προσήνειαν, καὶ τῷ ἐλέγχῳ κιρνᾷν τὴν ἀγάπην, καὶ οὕτω νουθετεῖν. Εἰ δὲ μηδ' οὕτως ὠφελοῦνται ἐκεῖνοι, ἀλλὰ καὶ κακῶς ἀπαγορεύσειαν (48) τοὺς μεγίστων στεφάνων ἀξίους, καὶ πάντως καὶ παρὰ Θεοῦ κηρυχθησομένους καὶ παρὰ τοῖς συνετοῖς ἀποδοχῆς ἀξιωθησομένους (49), γενναίως φερέτωσαν οἱ σωφρονισταὶ τῶν κακῶν, καὶ λυπείσθωσαν, μὴ τὰ καθ' ἑαυτοὺς ἐννοοῦντες, ὅτι μηδὲν ἕτερον, ἢ τὸ δοκεῖν μιαροὺς περιγέγονεν, ἀλλ' ὑπὲρ τῆς ἐκείνων διαστροφῆς καὶ μανίας, ὅτι ἀνίατα οὕτως νοσοῦσιν, ὡς καὶ τοὺς ἰατροὺς κακηγορεῖν.

CXL. — HARPOCRÆ SOPHISTÆ.

De lectione sacrarum Litterarum adversus paganos. De gratia divinitus inspiratarum Scripturarum, deque utilitate ex illis capienda.

Eorum quidem, qui sunt extra Ecclesiam, multi multa scripsere, quæ nec ullum iis qui ea amplexi fuerint commodum, neque ullum ea respuentibus damnum afferunt. Divinæ autem Scripturæ iis quidem qui fidem ipsis adhibuerint, maximum lucrum ; incredulis vero non exiguum pariunt detrimentum. Illi namque gloriam captantes propriam, ad scribendum sese contulerunt : hæ vero salutem audientium ante oculos habent.

ΡΜ'. — ΑΡΠΟΚΡΑ ΣΟΦΙΣΤΗ.

Περὶ ἀναγνώσεως, κατὰ Ἑλλήνων. Περὶ τῆς χάριτος τῶν θεοπνεύστων Γραφῶν, καὶ τῆς ἐξ αὐτῶν ὠφελείας.

Τῶν μὲν ἔξωθεν πολλοὶ πολλὰ γεγράφασιν, ἃ μήτε τοῖς πεισθεῖσιν ὠφέλειαν, μήτε τοῖς ἀνηκόοις ζημίαν φέρει· αἱ δὲ θεῖαι Γραφαὶ τοῖς μὲν πεισθεῖσι μέγιστον κέρδος, τοῖς δ' ἀπειθήσασιν (50) οὐ μικρὰν ὠδίνουσι βλάβην. Οἱ μὲν γὰρ δόξαν θηρώμενοι γεγράφασιν· αἱ δὲ πρὸς σωτηρίαν τῶν ἀκουόντων ὁρῶσιν.

CXLI. — LEONTIO DIACONO.

Quare lex eos qui lepra aut aliis morbis involuntariis laborabant, extra sacra castra commorari jusserit [46].

Malam quidem temperaturam corporum, et ad aspectum deformes morbosa luxuria parentum multis provenire credibile est ; at non **491** vice versa luxuriam libidinum omnino a malo temperamento exsistere. (Nam utrum leprosus procreet leprosum, et fluxu laborans seminis gignat etiam seminifluum, certo affirmare non possum ; quod autem podagri-

ΡΜΑ'. — ΛΕΟΝΤΙΩ.

Διὰ τί ὁ νόμος τοὺς λεπρῶντας ἢ ἑτέρους νοσήματα ἀκούσια νοσοῦντας ἔξω εἶναι τῶν ἱερῶν περιβόλων προσέταξεν.

Τὴν μὲν δυσκρασίαν τῶν σωμάτων, καὶ τὰ εἰδεχθῆ νοσήματα ἀπὸ ἀκρασίας τῶν γονέων πολλοῖς (51) συμβαίνειν εἰκός· οὐ μὴν τὴν ἀκρασίαν πάντως ἀπὸ δυσκρασίας (εἰ μὲν γὰρ λεπρὸν λεπρὸν τίκτει, καὶ γονορρύης γονορρύην, ἀκριβῶς οὐκ ἔχω λέγειν· ὅτι δὲ ποδαλγὸς ποδαλγὸν τίκτει πάντες ἂν συμφήσαιεν)· τῷ μὲν οὖν νομοθέτῃ, ὡς οἶμαι (οὐ γὰρ χρὴ ἀποφαί-

[45] Ezech. III, 19. [46] Levit. XIII, 46.

VARIÆ LECTIONES ET NOTÆ.

(46') Ἀθυμίας auget in ῥαθυμίας cod. Vat. 650, et vers. ult. pro ὑποφέρῃ scribit διαφέρῃ. Possin.

(47) Cod. Vat. 650 pro ἐπιτιμητάς scribit ἐπιτιμηθέντας. Id.

(48) Pro ἀπαγορεύσειαν idem cod. legit ἀγορεύοιεν. Id.

(49) Hæc, καὶ παρὰ... ἀξιωθησομένους deerant in edit. Paris., sed leguntur in codice Vaticano. Edit.

(50) Pro ἀπειθήσασιν cod. Vat. 650 habet ἀπειθέσιν. Possin.

(51) Cod. Vat. 650 πολλοῖς mutat in πολλάκις. Id.

Digitized by Google

νεσθαι περὶ τῶν ἀδήλων, ἀλλὰ τοῖς ἀκουσομένοις ἐπιτρέπειν τὴν κρίσιν), περὶ τῆς ἀκρασίας ἦν ὁ λόγος, ὅπως μὴ ἐν παντὶ καιρῷ συνέρχοιντο, ὡς τῆς βλάβης εἰς τὰ ἐξ αὐτῶν τεχθησόμενα διαβησομένης. Ὅτι δὲ οὐκ ἔστι τοῦτο ἀπὸ σκοποῦ, τεκμήριον (52), τὸ τοὺς ποδαλγοὺς ἱερῶν περιβόλων μὴ εἴργθῆναι. Οἱ μὲν γὰρ ἐξ ἀρχῆς τοῦτο νοσήσαντες τὸ πάθος, οὐκ ἀπὸ δυσκρασίας, ἀλλ' ἀπὸ πονηρᾶς διαίτης, καὶ τρυφῆς, καὶ βλακείας, καὶ ἀργίας τοῦτ' ἐσχήκασι· δι' ὃ καὶ δι' αὐτοῦ ἐκολάσθησαν· οἱ δ' ἐξ αὐτῶν τεχθέντες, οὐκ ἐκωλύθησαν ἱερῶν κοινωνῆσαι συνόδων. Τῆς γὰρ δυσκρασίας, ἀλλ' οὐ τῆς ἀκρασίας τῶν γονέων γεγόνασιν ἀναγκαίως κληρονόμοι· οἱ δὲ τὴν ἀκολασίαν τῶν γονέων ἐν τοῖς σώμασιν ἀπομαξάμενοι, οὐκ ἐκολάσθησαν μὲν (οὐ γὰρ ἐκέλευσεν αὐτοὺς καταλευσθῆναι· ἀδούλητον γὰρ ἦν τὸ πάθος), ἠτιμώθησαν (53) δὲ, πρὸς σωφρονισμὸν τῶν τεκόντων. Εἰ δέ τις οἴεται, τοῦτο μὴ εὐλόγως νενομοθετῆσθαι, τί φαίη περὶ τοῦ θανάτου, ὅτι μιᾶς ἁμαρτησάσης (φημὶ δὴ τῆς Εὔας), ὅλον τὸ γένος θανάτῳ κατεκρίθη, καίτοι πολλῶν εὐδοκιμησάντων, καὶ τοῖς πταίσμασι τοῖς προγονικοῖς μὴ ἀκολουθησάντων; Εἰ δ' ἐκεῖ τῆς ῥίζης τεθνεώσης ἀναγκαίως καὶ οἱ κλάδοι, ὡς κληρονόμοι τῆς ἀποφάσεως, συναπήλαυσαν τοῦ πάθους· τί θαυμαστὸν, εἰ κἀνταῦθα διὰ τὴν ῥίζαν ὁ κλάδος ἠτιμώθη, παραπέμπων ἀναγκαίως καὶ εἰς τὴν ῥίζαν τὸ πάθος; Τοῦ γὰρ ἀτιμωθέντος κλάδου τῇ ῥίζῃ οὐκ ἐλάττων ἡ ὀδύνη. Ἡ γὰρ εὐχομένη τὸν κλάδον ἄριστον ἰδεῖν, ὅταν αἴσθηται, ὅτι ἐκ τῆς αὐτῆς ἀκολασίας τὸ πάθος εἰς ἐκεῖνον διέβη, ἐνταῦθα μὲν τοῖς οἰκείοις λογισμοῖς καταικισθήσεται· ἐκεῖσε δὲ καὶ τῇ κρίσει. Εἰ δὲ καὶ προγινώσκων αὐτοὺς ὁ Θεὸς πονηροὺς ἐσομένους προκατέσχε τούτοις τοῖς δεσμοῖς, καὶ ἐχαλίνωσε τοῖς πάθεσιν, ἀκριβῶς οὐκ ἔχω λέγειν· ὅτι δὲ καὶ στεφάνων πολλοῖς (54) αἴτια γέγονε ταῦτα τὰ νοσήματα, θαῤῥούντως διισχυρισαίμην. Εἰ δὲ σκιὰν εἶχεν ὁ νόμος τῶν μελλόντων ἀγαθῶν, καὶ οὐκ αὐτὴν εἰκόνα τῶν πραγμάτων, οἶμαι, ὅτι μὲν διὰ τοῦ λεπροῦ τὸν ποικίλον καὶ κακοῦργον, διὰ δὲ τοῦ γονορῥυοῦς, τὸν πόρνον καὶ τὸν ἀσελγῆ· διὰ δὲ τοῦ ἀκαθάρτου ἐπὶ ψυχῇ ἀνθρώπου, τουτέστι διὰ τοῦ ἁπτομένου νεκροῦ σώματος, τὸν ψυχῇ ἁμαρτανούσῃ συμπράττοντα καὶ συναιρόμενον· διὰ δὲ τοῦ πενθοῦντος, τὸν ἐπὶ ταῖς συμφοραῖς πενθήρη καὶ θρηνώδη, τῆς τῶν ἀμώμων ἱερᾶς συνόδου καὶ Ἐκκλησίας ἐξοστρακισθῆναι ἐθέσπισεν.

A cus podagricum procreet, omnes consentiunt.) Quocirca legislator, ut mihi quidem videtur (non enim de rebus obscuris præcise aliquid asseverare oportet, sed audituris permittere judicium), sollicite curabat de incontinentia libidinum, ne quovis tempore in cœtum convenirent conjuges, ut qui scirent, noxam in suos liberos transituram. Quod autem non sit hoc, quod dixi, impertinens, aut a scopo aberret, argumento est, quod podagrici a sacris castris et conventibus non arceantur. Nam ipsi quidem, qui ab initio (et primi in sua familia) hoc malo laborare cœperunt, non ab infelici temperamento (quod male nati essent), sed a prava victus ratione, et deliciis, et inertia atque ignavia hoc contraxerunt : unde etiam per id puniti sunt. Qui B vero ex ipsis nati sunt (podagrici), ii sacris interesse cœtibus minime prohibentur. Nam parentum suorum mali temperamenti, non autem incontinentiæ libidinum, necessario exstiterunt hæredes. Alteri vero (qui ex parentum luxurioso concubitu nati sunt) libidinis parentum notas in suis corporibus impressas habentes, non quidem puniti sunt (neque enim ipsos lapidibus obrui jussit, quia malum ipsis nolentibus contigerat), ignominia tamen affecti sunt, idque ad emendationem parentum. Quod si quis est qui sic existimat, hoc nulla bona ratione sancitum fuisse, quid ille dixerit de morte, quod cum una peccarit femina (Evam intelligo) totum genus humanum, quod ab ea descendit, morte damnatum est, cum tamen multi laudabiliter vixerint, C et peccata primorum parentum non fuerint secuti? Si vero ibi radice mortua necessario etiam rami, tanquam scilicet hæredes sententiæ damnatoriæ, ejusdem mali participes facti sunt : quid est quod adeo miremur, si hic quoque propter radicem ramus ignominia notatus est, necessario etiam in ipsam radicem id malum transmittens? Nam ramo ignominia affecto non minor radicem cruciatus affligit. Radix enim, quæ in votis habet, ramum quam optimum videre, ubi animadverterit, ex sua intemperantia hoc malum in ipsum transiisse ac propagatum esse, in præsenti quidem vita propriis cogitationibus (animi male sibi conscii) lacerabitur; in altero autem sæculo etiam judicio affligetur. An D autem Deus etiam præscius, ipsos malos futuros esse, hisce velut vinculis quibusdam ante cohibuerit, ac refrenarit his malis, de eo nihil certi habeo dicere. Illud autem confidenter contenderim, tales morbos multis etiam coronarum causas aut occasiones exstitisse. Quod si lex (Paulo teste) umbram habuit futurorum bonorum, et non ipsam imaginem rerum, puto, quod sub persona leprosi designatum hominem varium et vafrum atque malefícum, per seminifluum, scortatorem et impurum; per immundum in anima hominis, **492** hoc est per eum qui tetigit corpus mortuum, eum qui animam peccatricem ope et auxilio adjuvat; denique per lugentem, eum qui de calamitatibus suis querulus et lacrymosus est, ex sacro cœtu inculpatorum hominum, et ab Ecclesia exterminari præceperit.

VARIÆ LECTIONES ET NOTÆ.

(52) Pro τεκμήριον idem cod. Vat. scribit τεκμηριοῖ. Possin.

(53) Ἠτιμώθη idem mutat in ἐτιμωρήθη. Ib.

(54) Pro πολλοῖς iterum ponit πολλάκις, et vers. inde 3 inter αὐτὴν et εἰκόνα inserit τὴν.

Digitized by Google

CXLI. — HELIÆ DIACONO.

In illud, « In principio erat Verbum[a]. »

Sacræ Litteræ temporis expertem et æternam [illegible] immediatam, omnique et oratione et mente superiorem Christi a Patre progressionem vocant generationem, non ut perpessionem [illegible] [illegible], sed ut essentiæ, ut sic loquar, identitatem statuant. Nam qui gignuntur [illegible] cum gignentibus essentiam habent. Sed ne recentius aut posterius [illegible] [illegible], in principio, [illegible] erat Verbum [illegible] etiam [illegible] Patrem [illegible] [illegible], tum aiunt : « Et Verbum erat apud Deum. » Postliac et [illegible]. « Et Deus erat Verbum. » [illegible] [illegible] essentiam ; et Verbi generationem perpessionis expertem ; et in [illegible] in principio [illegible] æternitatem ; [illegible] [illegible] Deum, [illegible] cum Patre ; et [illegible] Deus sit, dignitatem [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] quod [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] Filii [illegible] [illegible] essentias [illegible] posterius [illegible] Verbi [illegible], [illegible] Deum [illegible], [illegible], absque perpessione, et [illegible] ex Patre progressum [illegible] [illegible].

ΡΜΑ'. — ΗΛΙΑ ΔΙΑΚΟΝῼ.

Εἰς τὸ, « Ἐν ἀρχῇ ἦν ὁ Λόγος. »

[illegible]

CXLII. — [illegible]

[illegible] regnum, is [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] Quod etiam [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] igitur hoc imperium [illegible] [illegible] [illegible], illi quas coronam auream et lapidibus pretiosis compactam sibi imponunt, habentes pietatem, et justitiam tanquam purpura induti, in Deo imperare, et principatum [illegible] [illegible] [illegible] [illegible]. **432** Ostendunt enim in semetipsis verissimum sacrum oracu-

ΡΜΒ'. — [illegible]

[illegible] ἔοικεν ἐν θεῷ τὸ ἄρχειν, καὶ κρατεῖν [illegible] [illegible] [illegible] [illegible] [illegible] ἐφ' ἑαυτοῖς τὸ ἴσον [illegible] [illegible], τὸ [illegible] « Δι' ἐμοῦ βασιλεῖς βασιλεύουσι, καὶ δυνάσται κρά-

[a] Joan. i, 1.

VARIÆ LECTIONES ET NOTÆ.

(63) Pro Χριστοῦ cod. Vat. 650 legit Υἱοῦ, et vers. [illegible] [illegible] [illegible] [illegible]. Possin.

(64) Inter [illegible] et [illegible], hæc omnia idem cod. inserit, extrita in [illegible] in edito leguntur, [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible] [illegible]. Vers. penult. inter [illegible] et [illegible] idem inserit [illegible]. Id.

(65) *Τυραννὶς ἐστὶ ἡ βασιλεία ἀντίστροφος.* Nota differentiam tyrannidis a regno. Confer epist. 494 lib. ii, et Aristot. *Polit.* nec non Ammianum Marcellinum, qui sæpissime hoc inculcat in suis historiis, nihil aliud esse justum ac legitimum imperium, quam curam salutis alienæ. Sic apud Ignatium epist. 7, officium boni regis est, [illegible] καὶ [illegible] τοῖς [illegible] [illegible]. Ritt.

Digitized by Google

φουσι δικαιοσύνην. » Ἴσασι γὰρ, ὅτι Ἀρχὴ ὁδοῦ ἀγαθῆς ποιεῖν δίκαια.

lum, quod sic ait : « Per me reges regnant, et potentes describunt justitiam [48]. » Sciunt enim, initium esse viæ bonæ justa agere [49].

ΡΜΔ'. — Ἀνεπίγραφος.

Τὴν τιμίαν κέλευσιν τοῦ εὐσεβοῦς καὶ θεοπροβλήτου ἡμῶν μεγάλου βασιλέως, πρῶτον μὲν διὰ τοῦ βασιλικοῦ ἀποκρισιαρίου μαθόντες, καὶ τὴν ἐν Κυρίῳ ὑγείαν καὶ σωτηρίαν τῆς εὐσεβοῦς ὑμῶν βασιλείας, καὶ χαρᾶς μεγίστης πλησθέντες, δόξαν καὶ εὐχαριστίαν τῷ Θεῷ ἡμῶν ἐκτενῶς ἀνεπέμψαμεν, καὶ ἐκ τῆς ἀῤῥωστίας ἡμῶν ἀνερῤῥώσθημεν, καὶ προθυμίας πολλῆς ἐνεπλήσθημεν. Ἐντυχὼν δὲ τῇ τιμίᾳ κελεύσει, εὗρον, ὅπως ὁ περὶ τῆς εἰρήνης λόγος παρηκολούθησεν ἐπὶ τῶν πρώην ἀρξάντων. Καὶ ἡμεῖς μὲν ἤδη καὶ πρὸ μικροῦ χρόνου περὶ τούτου μερικῶς ἀκηκόαμεν· ἐν ἀπορίᾳ δὲ γεγόναμεν τοῦ συγκαταθέσθαι τῷ λογισμῷ, εἰδότες ὅτι τὸ τόλμημα, ὃ οὐδεὶς τῶν Χριστιανῶν ἐπετήδευσεν, οὐδὲ εἰς νοῦν ἤγαγε τῶν προλαβόντων, ἐθάρσησαν ποιῆσαι. Φαίνεται δὲ ἡμῖν, ἢ ἐκ πολλῆς ἀπειρίας καὶ ἀμαθίας τῶν Χριστιανῶν δογμάτων, ἢ ἐκ πολλῆς ἀπιστίας καὶ καταφρονήσεως τῶν τοῦ Θεοῦ ἐντολῶν ἐγένετο. Εἰ γὰρ θείων λογίων κατήκοοι ἐγένοντο, τὸ τῆς εὐαγοῦς καὶ ἀμωμήτου ἡμῶν θρησκείας σεβάσμιον ἐφύλαττον, καὶ τοὺς ἐθνικοὺς καὶ ἀλόγους τῶν παρ' ἡμῖν ἁγίων καὶ σεβασμίων ἅψασθαι οὐ συνεχώρουν· οὔτε αὐτοὶ τοῖς μιάσμασι καὶ βδελύγμασι τῶν ἐθνικῶν κατὰ τοὺς ὅρκους αὐτῶν τοὺς ἐναγεῖς καὶ ἀλλοκότους ἐκοινώνουν. Τί γὰρ τὸ διάφορον, εἰ Χριστιανὸς καὶ ἐθνικὸς, αὐτοῖς τε ὅρκοις καὶ τοῖς αὐτοῖς ἔθεσιν ἐμπιστεύοντες, ἀλλήλους βεβαιοῦν δοκοῦσιν, ἐφ' οἷς χαλεπαίνειν καὶ ὀργίζεσθαι τὸν Θεὸν ἐπιστάμεθα; Ἐντέταλται γὰρ ὁ τῶν ὅλων Θεὸς καὶ Δεσπότης διὰ Γραφῶν ἁγίων αὐτοῦ· « Μὴ ἐκκλίνετε ἀπὸ τῆς γεγραμμένης, εἰς δεξιὰν, ἢ εἰς εὐώνυμον. »

CXLIV. — *Caret inscriptione.*

Cum venerandum mandatum pii et a Deo nobis præfecti magni imperatoris nostri primum quidem per imperatorium apocrisiarium cognovissemus, necnon sanitatem et salutem pii vestri imperii : et maxima repleti lætitia, gloriam atque gratiarum actionem ad Deum nostrum omnibus intentis nervis effudimus, et ex infirmitate nostra convaluimus, et multa animi alacritate impleti sumus. Cum autem venerandum legissem mandatum, inveni, quo pacto ratio de pace concilianda secuta sit anteriorum imperatorum rationes. Ac nos sane jam paulo ante nonnihil hac de re audivimus; verum dubitavimus, an assensum huic ratiocinationi præberemus, cum sciremus, quod ejusmodi facinus, quale veterum Christianorum nemo unquam aggressus fuit, neque in animum induxit suum, ausi sint suscipere. Nobis autem sic videtur, vel ex magna imperitia ruditateque Christianicorum decretorum, vel ex magna diffidentia atque contemptione mandatorum Dei hoc omne proficisci. Nam si divina audivissent oracula, tum vere sancte inculpateque religionis nostræ venerandum atque augustum mysterium custodivissent, neque permisissent, ut ethnicis et rationis expertibus hominibus fas esset nostra sacra et veneranda arcana attingere; neque ipsi nefariis atque abominandis paganorum sacris per juramenta ipsorum scelerata atque absurda communicassent. Quid enim interest, si Christianus et paganus iisdem et sacramentis et moribus fidem sibi invicem facientes, alteri alteros securos reddere atque confirmare videantur, quibus Deum irasci novimus atque indignari? Præcepit enim universarum rerum Deus ac Dominus per sacras Scripturas suas : « Ne declinate a præscripta vobis via, neque ad dextram, neque ad sinistram [50]. »

ΡΜΕ'. — ΘΕΟΔΟΣΙΩ ΕΠΙΣΚΟΠΩ.

Εἰς τὸ, « Τίς ἄρα ἐστὶν ὁ πιστὸς δοῦλος καὶ φρόνιμος, ὃν καταστήσει; »

Τὴν ἄνοιαν, μᾶλλον δὲ τὴν ἀπόνοιαν, ὦ μακάριε, τῶν ἑαυτοὺς ἐπιῤῥιπτόντων ἀμηχάνῳ πράγματι (58), ἢ ῥᾳδίως αὐτὸ καταδεχομένων, κωμῳδήσας, οὐκ οἶδα ὅπως ἐκεῖνο παραλέλοιπας, ὃ μάλιστα αὐτὴν δείκνυσι. Τί οὖν ἐστι τοῦτο; Οὐ πάντες ἄνθρωποι τοῖς αὐτοῖς νοσήμασιν ἑάλωσαν· οὐδὲ πάντες τῇ αὐτῇ θεραπείᾳ εἴκουσιν· ἀλλὰ πολλῶν ὄντων καὶ ποικίλων καὶ παντοδαπῶν τῶν παθῶν, τὰ βοηθήματα πλείονα

CXLV. — THEODOSIO EPISCOPO.

In illud, « Quis est fidelis ille servus et prudens, quem constituet [51]? »

Dementiam, vel potius vecordiam, o beate, eorum qui semetipsos conjiciunt in negotium difficile, aut certe id facile recipiunt, insectatus, nescio quo pacto illud prætermisisti, quod tamen vel maxime eam ostendit. Quidnam ergo illud est? Non omnes homines iisdem morbis laborant : **494** neque omnes eidem curationi cedunt, sed cum sint multæ ac variæ omnisque generis affectiones, auxilia ac

[48] Prov. VIII, 16. [49] Prov. XVI, 5. [50] Deut. V, 32. [51] Matth. XXIV, 45.

VARIÆ LECTIONES ET NOTÆ.

(58) *Ἀμηχάνῳ πράγματι.* Intelligit sacerdotium, sive episcopatum, cujus difficultatem muneris alibi quoque sæpe describit. Eo tamen multi nihil facilius esse putant, φαῦλόν τι καὶ πεπατημένον πρᾶγμα ἡγούμενοι, ut est apud Isidor. epistol. 122 et 199 lib. II. Ex quo natum illud proverbium sive dictorium vulgi quod refert Agathias : *Pudem porrige, et eris sacerdos.* Non ita Basilius, non ita Joan. Chrysostomus, non Nazianzenus, non Gregorius Magnus, non alii, qui regimen animarum artem artium pronuntiarunt. Unde et Ignatius epist. 7 scripsit : Ἱερωσύνη ἐστὶ τὸ πάντων ἐν ἀνθρώποις ἀγαθῶν ἀναβεβηκός. Rittr.

Digitized by Google

remedia plura etiam ac magis varia esse oportet. Quod si perturbat te id quod dictum est, paulisper sustine, ita fiet, ut qui nunc te detinet animi tumultus, eo vergat tandem, ut magis etiam miserandos illos esse existimet. Cum enim multi ac varii sint (animorum) morbi, primum quidem homini nato perdifficile atque arduum est, eos perspectos et cognitos habere: deinde etiamsi cognitos habeat, nosse quale eis conveniat remedium. Non enim omnibus eadem apta convenientiaque sunt auxilia, neque omnes iisdem curantur remediis. Nam quod hunc juvit, alteri nocuit: et quod alteri bene successit, hoc alterum evertit. Ac ne tibi forte paradoxa et absurda quædam proferre videar, quod dictum est, latius explicabo. Non qui oratione ducuntur, iidem et exemplo emendantur et ad modestiam flectuntur; sed alius hoc, alius illo in meliorem statum traducuntur. Neque illi qui stimulis indigent, iidem etiam frenos patiuntur: sed pigri quidem atque ignavi, qui ad honestatem capessendam difficulter permoventur, rationis plaga excitantur; qui autem justo ferventiores sunt, nec facile retinentur, ac tanquam pulli (indomiti) procul a linea feruntur, ii constringendo retinendoque juvantur. Alii laudibus, alii reprehensionibus corriguntur, si utraque tempestive adhibeantur. In contrariam vero cadent partem, si extra justa et convenientia tempora evagentur. Alii namque cohortationi cedunt, alii objurgationi; alii quidem in conventibus ac cœtibus hominum reprehensi, alii vero in penetrali domus admoniti suos nævos detergent. Solent enim alii quidem, cum alioquin contemnerent eos qui ad ipsos verba faciunt, publica increpatione corrigi; alii autem cum ad publicas reprehensiones potius impudentiores fiant, omnemque pudorem exutiant, privata et arcana objurgatione remotis arbitris facta, necnon si ostendamus, nos ipsorum vicem dolere, ad obedientiam instituuntur et assuefiunt. Porro alios quidem per omnia observare convenit, quos nimirum illa opinio, quod putant se latere, dum id moliuntur, tanquam sapientiores inflaverit. Aliorum vero nonnullæ sunt actiones vitiosæ, quas etiam dissimulare oporteat, ne ad indolentiam irritentur, tandemque per omnia tales evadant, qui nulla ratione in officio queant contineri, quippe qui pudorem ac verecundiam, maximum illud obedientiæ remedium, detriverint atque absterserint. Præterea etiam irasci nonnullis in speciem oportet, quamvis revera irati

A εἶναι ὀφείλει καὶ ποικιλώτερα. Εἰ δὲ καὶ θορυβεῖ σε τὸ εἰρημένον, μικρὸν ἀνάμεινον, καὶ ὁ νῦν σε κατέχων θόρυβος εἰς τὸ ἐκείνους πλέον ταλανίσαι μεταπεσεῖται. Πολλῶν γὰρ καὶ παντοδαπῶν ὄντων τῶν ἀῤῥωστημάτων, πρῶτον μὲν ἄνθρωπον ὄντα χαλεπὸν συνιδεῖν, ἔπειτα δὲ καὶ μαθόντα, τὸ εἰδέναι, ποῖον ἁρμόττει φάρμακον. Οὐ γὰρ πᾶσι τὰ αὐτὰ ἁρμόττει βοηθήματα, οὐδὲ πάντες τοῖς αὐτοῖς θεραπεύονται· ὃ γὰρ τοῦτον ὠφέλησεν, ἄλλον ἔβλαψε· καὶ τὸ ἄλλῳ κατάλληλον, ἕτερον ἐπέτριψε· καὶ ἵνα μὴ δόξαιμί σοι παράδοξά τινα λέγειν, ἀπαμφιάσω τὸ λεγόμενον. Οὐχ οἱ λόγῳ ἀγόμενοι, καὶ παραδείγματι σωφρονίζονται· ἀλλὰ (59) ὁ μὲν τούτῳ, ὁ δὲ ἐκείνῳ, εἰς βελτίονα κατάστασιν ἄγονται. Οὐδὲ οἱ κέντρων δεόμενοι, οὗτοι καὶ χαλινῶν ἀνέχονται· ἀλλ' οἱ μὲν
B νωθροὶ (60) καὶ δυσκίνητοι τὸ καλὸν, τῇ λογικῇ πληγῇ διεγείρονται· οἱ δὲ θερμότεροι τοῦ δέοντος καὶ δυσκάθεκτοι, καὶ καθάπερ πῶλοι πόῤῥω τῆς νύσσης ὁρμῶντες, τῷ ἄγχεσθαι καὶ ἀνακόπτεσθαι ὠφελοῦνται. Οἱ μὲν ἐπαίνοις, οἱ δὲ ψόγοις σωφρονίζονται, ἦν ἀμφότερα καιρίως γένοιντο· εἰς τοὐναντίον δὲ μεταπεσεῖται, εἰ ἔξω τῶν καιρῶν φέροιντο. Οἱ μὲν γὰρ παρακλήσει εἴκουσιν, οἱ δὲ ἐπιτιμήσει· οἱ μὲν ἐν συλλόγοις ἐλεγχόμενοι, οἱ δὲ ἐν παραδύστῳ νουθετούμενοι ἀποτρίβονται τὰ ἐλαττώματα· φιλοῦσι γὰρ οἱ μὲν καταφρονεῖν τῶν διαλεγομένων (61), δημοσίᾳ ἐπιτιμήσει σωφρονιζόμενοι· οἱ δὲ πρὸς τοὺς δημοσίους ἐλέγχους μᾶλλον ἀποδυόμενοι καὶ τὴν αἰσχύνην ἀποσείεσθαι, τῷ τῆς ἐπιτιμήσεως μυστηριώδει καὶ
C τῇ συμπαθείᾳ πρὸς εὐπείθειαν παιδοτριβούμενοι. Τοὺς μὲν κατὰ πάντα παρατηρεῖν προσήκει, ὅσους τὸ οἴεσθαι λανθάνειν, ἐπειδὴ τοῦτο μηχανῶνται, ὡς σοφωτέρους ἐφύσησε· τῶν δ' ἔστιν ἃ καὶ παροῤῥῆχρεών, ἵνα μὴ πρὸς ἀναλγησίαν ἐρεθίζωνται, καὶ τελευταῖον (62) πρὸς ἅπαντα γένωνται ἀκάθεκτοι, τὸ μέγιστον εἰς πειθὼ φάρμακον τὴν αἰδὼ ἀποτριψάμενοι. Καὶ ὀργίζεσθαι δ' ἔτι εἰς ὃ χρὴ, οὐκ ὀργιζομένους, καὶ ὑπεροῤῥῆν οὐχ ὑπερορῶντας, καὶ ἀπογινώσκειν οὐκ ἀπογινώσκοντας· καὶ ἄλλους μὲν ἐπιτείνειν θεραπεύειν, ἄλλους δὲ χωρισμῷ· καὶ τοὺς μὲν νικᾶν, τῶν δὲ καὶ ἡττᾶσθαι δοκεῖν, ὅσοις τοῦτο λυσιτελεῖ. Τοσούτων οὖν ὄντων καὶ τῶν ἀῤῥωστημάτων καὶ τῶν βοηθημάτων, καὶ πάντων μὴ τοῖς αὐτοῖς εἰκόντων, ἀλλὰ καὶ τοὐναντίον εἰς χείρονα
D πλημμελήματα ἐρεθιζομένων (63), τίς μὴ τῷ θείῳ Πνεύματι τὴν ψυχὴν φωτισθεὶς, εἰδέναι ἢ ἐπαρκέσαι δυνήσεται; ἀλλ' ἐπειδὴ ἄρχειν, εἰ καὶ ἀρχὴν νομίζουσιν ἐπιτηδείαν αὐτοῖς, τολμῶσι, μήτε τὴν δυσχέρειαν ἐννοοῦντες, μήτε τῆς Δεσποτικῆς φωνῆς ἀκούοντες,

VARIÆ LECTIONES ET NOTÆ.

(59) Post ἀλλὰ cod. Vat. 650 pro ὁ μὲν legit οἱ μὲν, et paulo post οἱ δὲ pro ὁ δέ. Possin.

(60) Pro νωθροὶ habet νωθεῖς. Id.

(61) Pro διαλεγομένων scribit idem ἰδίᾳ λεγομένων Vers. post 2, ἀποδυόμενοι mutat in ἀποδύεσθαι. Vers. seq. post ἐπιτιμήσεως quæ sequuntur usque ad τοὺς μὲν exclusive sic exhibet cod. Vat. 650, μυστηρίῳ παιδοτριβούμενοι καὶ ἀμειβόμενοι τῇ εὐπειθείᾳ τὴν συμπάθειαν. Id.

(62) Idem τελευταῖον mutat in τελευτῶντες. Vers. seq. pro τὸ μέγιστον εἰς πειθὼ φάρμακον, cod. Vat. 650 habet, τὸ μέγεθος τῆς πειθοῦς φάρμακον.

(63) Idem ἐρεθιζομένων mutat in ἐρεθιζόντων. Vers. seq. post ἀλλ' addit ἴσως. Vers. 6, post ἄρχειν quæ sequuntur in edito usque ad τολμῶσι inclusive sic codex Vat. 650 exhibet. ἁπλῶς αὐτὴν εἶναι νομίζουσιν, ἐπειδὰν αὐτοὶ τολμῶσι. Vers. ult. ep. hæc verba, τοῦ διδόναι αὐτοῖς τὸ σιτομέτριον, absunt a cod. Vat. 650. Id.

Digitized by Google

οὕτω τὸ σπάνιον ἐνδεικνυμένης, ὡς καὶ ἐπαπορητικῇ χρήσασθαι λέξει· « Τίς ἄρα ἐστὶν ὁ πιστὸς δοῦλος καὶ φρόνιμος, ὃν καταστήσει ὁ Κύριος ἐπὶ τῆς οἰκίας αὐτοῦ, τοῦ διδόναι αὐτοῖς τὸ σιτομέτριον; »

A non simus, et negligere aliqua, tametsi non negligamus: et alios quidem moderatione et æquitate animi sanare; alios vero separatione: et alios quidem vincere; ab aliis autem vinci quoque videri, quibus videlicet hoc expedit. **495** Cum igitur tot tamque multiplicia sint genera et morborum et auxiliorum, neque omnes iisdem cedant, sed etiam contra ad deteriora nonnunquam peccata admittenda irritentur: quis, quæso, aut omnia scire, aut huic tanto muneri par esse queat, nisi divinus Spiritus animum ipsius illustrarit? Sed quia imperium sibi probe convenire existimant, ideo tantum sumunt audaciæ (ut episcopatum invadant), neque ejus difficultatem muneris apud animum perpendentes, neque vocem Dominicam audientes, quæ adeo rarum negotium esse demonstrat (ut quis bene ei præsit), ut etiam dubitabunda oratione usus fuerit, dicens: « Quis, putas, est fidelis servus et prudens, quem constituet Dominus super familiam suam, ut det illis demensum? »

ΡΜϚ'. — ΙΣΙΔΩΡΩ ΕΠΙΣΚΟΠΩ.

« Καὶ ἀπαλλάξῃ τούτους. »

Τί ἐστιν, ἔφης, « Καὶ ἀπαλλάξῃ τούτους, ὅσοι φόβῳ θανάτου διὰ σύμπαντος (64) τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας; » Ἄκουε τοίνυν. Οὐχ ὁ θάνατος, ὦ βέλτιστε, ἀλλὰ τὸ δικαστήριον τὸ μετὰ τὸν θάνατον, ἀποτρέπει τῶν ἁμαρτημάτων. Οἱ γὰρ ἀσεβεῖς, σπινθῆρα νομίσαντες εἶναι τὴν ψυχήν, οὗ ἀποσβεσθέντος (65), ὡς ἔφασαν, τέφρα ἀποβήσεται τὸ, σῶμα, μόνον τεθνᾶναι νομίζοντες, μὴ κρίνεσθαι δὲ (ταῦτα γὰρ ἐν τῇ ἐπιγεγραμμένῃ Σοφίᾳ Σολομῶντος εἰρήκασιν, ὡς οἶσθα· εἰ δ' ἀγνοεῖς, λαβὼν μετὰ χεῖρας τὸ βιβλίον, εἶσῃ), οὐδὲν ἄπρακτον εἴασαν· ὡς γὰρ μηκέτι ὄντες μετὰ θάνατον, πάντα δρᾷν τὰ αἰσχύνης καὶ θανάτων (66) καὶ κολάσεως ἄξια ἐπεχείρουν, λέγοντες· « Αὕτη ἡ μερὶς ἡμῶν, καὶ ὁ κλῆρος οὗτος. » Ἦλθε τοίνυν ὁ Σωτὴρ, μετὰ τῶν ἄλλων, ὧν κατώρθωσε, καὶ ταύτης ἀπαλλάξων τοὺς ἀνθρώπους τῆς ὑπονοίας. Τὴν γὰρ τῆς ψυχῆς ἀθανασίαν ὁρισάμενος, ἐν τῷ φάναι· « Τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι· καὶ τὴν τῶν σωμάτων ἀνάστασιν εὐαγγελισάμενος διὰ τοῦ εἰπεῖν· « Ἐν τῇ ἀναστάσει τῶν νεκρῶν οὔτε γαμοῦσιν οὔτε γαμίζονται, ἀλλ' ἔσονται ὡς (67) ἄγγελοι· » τήν τε κρίσιν μηνύσας διὰ πολλῶν μὲν ἄλλων, καὶ ἐν τῷ φρᾶσαι δέ· « Φοβηθῆτε τὸν δυνάμενον καὶ ψυχὴν καὶ σῶμα ἀπολέσαι ἐν γεέννῃ· » πάσης ἐκείνης ἠλευθέρωσεν ἅπαντας τῆς ὑπονοίους (68)· μᾶλλον δ' ἀληθέστερον εἰπεῖν, τῆς δουλείας. Τὸ γὰρ θεῖον δικαστήριον ἐν νῷ λαμβάνοντες, καὶ ὡς πρὸς σκοπὸν τὸ ὄμμα τείνοντες, καὶ οὐδὲν φαῦλον πρᾶξαι τολμήσειαν. Οἶμαι μὲν οὖν σεσαφηνίσθαι τὸ ῥητόν. Εἰ δὲ καὶ μεταφρασθῆναι αὐτὸ βούλει, φήσαιμι· Ἐπειδὴ ὡς μέλλοντες ἀποθνήσκειν, ἐδούλευσαν ἀφειδῶς ταῖς ἁμαρτίαις (ὁ γὰρ τοῦ θανάτου φόβος, βλυσυρὸν αὐτοῖς ἐνορῶν, καὶ τὴν τοῦ μηκέτι εἶναι ἔννοιαν τίκτων, εἰς πᾶσαν αὐτοὺς δουλείαν ἁμαρτίας παρέπεμπε), διὰ

CXLVI. — ISIDORO EPISCOPO.

« Et liberaret eos [83], » etc.

Quæsivisti quid sit illud: « Et liberaret eos, qui timore mortis per totam vitam obnoxii erant servituti. » Ausculta igitur. Non mors ipsa, o bone, sed judicium, quod post mortem futurum est, avertit a peccatis. Impii enim cum existimarent animam esse scintillam quamdam, qua exstincta, ut aiebant, corpus in cinerem abibit, mori se tantum (more brutorum) putantes, non autem (post mortem) judicari: (hæc enim talia in libro qui Sapientia Salomonis inscribitur [84], dixerunt, ut nosti: quod si nescis, sume in manus eum librum, et scies) nihil intentatum vel inausum relinquebant. Non aliter enim ac si post mortem non amplius futuri [85] essent, omnia probro ac pudore et multis mortibus et supplicio digna agere aggressi sunt, dicentes: « Hæc est pars nostra et hæreditas nostra est ista [86]. » Quare venit Salvator, præter alia (multa) quæ præclare gessit ac restituit, hac etiam suspicione homines liberaturus. Nam cum animæ immortalitatem definivisset per id quod dixit: « Animam autem occidere non possunt [87]; » cum item corporum resurrectionem annuntiasset per id quod dixit: « In resurrectione mortuorum neque ducunt uxores, neque nuptum dantur, sed erunt tanquam angeli [88]; » cumque judicium supremum significasset partim aliis multis verbis, partim eo dum dixit: « Timete eum qui potest et animam et corpus perdere in gehenna [89] »; omnes omni illa suspicione, vel potius (ut verius dicam) servitute, penitus liberavit. Divinum namque judicium apud animum agitantes, et eo tanquam ad scopum dirigentes oculum mentis, nihil unquam mali facere audebunt. Atque his quidem hactenus puto a me dictum illud expositum esse satis. Quod si etiam a me postulas, ut id metaphrasi quadam illustrem (aliis verbis eadem

[83] Hebr. II, 15. [84] Sap. II, 1 seqq. [85] ibid. 9. [86] Matth. X, 28. [87] Matth. XXII, 30. [88] Matth. X, 28.

VARIÆ LECTIONES ET NOTÆ.

(64) Pro σύμπαντος cod. Vatic. 650 scribit διὰ παντός. Possin.

(65) Ἀποσβεσθέντος mutat idem cod. in ἀποσκευασθέντος, minus commode, ut videtur. Id.

(66) Verba illa καὶ θανάτων idem cod. recte omittit. Id.

(67) Inter ὡς et ἄγγελοι idem cod. inserit οἱ. Mox post κρίσιν verbum μηνύσας auget præpositio προ. Vers. inde 2, φοβηθῆτε emendat in φοβήθητε. Id.

(68) Ὑπονοίους mutat in ὑποψίας, et vers. post 3 ante οὐδὲν tollit καί. Vers. inde 3, ἐδούλευσαν mutat in ἐδούλευον. Id.

Digitized by Google

[illegible] 436 [illegible]

ut ostendunt gesta Josephi, et historia Susannæ. Venit (Christus), instituturus homines mortem esse longe eligendam, quam ut vitium aliquod in nos admittamus, et illam potius libenti animo obeundam, quam aliquid rerum turpissimarum vel faciamus vel patiamur. Nam mors quidem in resurrectione extinguetur, probra autem illa ac supplicia desinent.

[illegible] ἀντὶ τῆς ἀναστάσεως [illegible] ἡδέως ὑπομένειν ἢ [illegible] τῶν αἰσχίστων ποιεῖν ἢ πάσχειν. Ὁ μὲν γὰρ ὑπὸ τῆς ἀναστάσεως σβεσθήσεται, τὰ δὲ εἰς κολάσεις καταλήξουσι.

CXLVII. — MARCIANO.

In id quod scriptum est : « Nam si eis Jesus requiem præstitisset[59]. »

Non de requie Hebræorum, quæ ipsis in Palæstina contigit, parta per militiam Jesu filii Nave, divino Paulo fuit sermo (neque enim nullam habuit rationem), sed ad eam quæ futura est respicit, et ad eam scopus sententiarum ipsius contendit. Hoc autem verum esse, ipse semet interpretatur, dicens : « Nam si eis Jesus (videlicet filius Nave seu Nun) requiem præstitisset, nunquam de alia loqueretur post hac die. Itaque relinquitur sabbatismus populo Dei[59]. » — « Si enim ipse, inquit, eis requiem contulisset, non certe David post multas generationes de requie disserens dixisset : Hodie si vocem ejus audieritis, nolite obdurare corda vestra, sicut in exacerbatione[60]. » 437 « Quocirca, inquit, vera requies populo Dei, » hoc est iis qui postquam crediderunt, vitam quoque laudabilem adjunxerunt, reposita est, quæ non in Palæstina, sed in Jerusalem supramundana est adornata.

ΡΜΖ'. — ΜΑΡΚΙΑΝῼ.

Εἰς τὸ γεγραμμένον· « Εἰ γὰρ αὐτοὺς Ἰησοῦς κατέπαυσεν. »

Οὐ περὶ τῆς καταπαύσεως τῶν Ἑβραίων, τῆς γενομένης ἐν τῇ Παλαιστίνῃ, διὰ τῆς Ἰησοῦ τοῦ υἱοῦ τοῦ Ναυῆ στρατηγίας, τῷ θεσπεσίῳ Παύλῳ ὁ λόγος· ἐκείνης γὰρ οὐδεὶς λόγος αὐτῷ· εἰς δὲ τὴν μελλούσην ἔσεσθαι βλέπει, καὶ κατ' ἐκείνης ὁ τῶν νοημάτων σκοπὸς συντείνεται. Ὅτι δὲ τοῦτ' ἔστιν ἀληθές, αὐτὸς ἑαυτὸν ἑρμηνεύει λέγων· « Εἰ γὰρ αὐτοὺς Ἰησοῦς (δῆλον δ' ὅτι ὁ τοῦ Ναυῆ) κατέπαυσεν, οὐκ ἂν περὶ ἄλλης ἐλάλει μετὰ ταῦτα ἡμέρας. Ἄρα ἀπολείπεται σαββατισμὸς τῷ λαῷ τοῦ Θεοῦ. » — « Εἰ γὰρ αὐτούς, φησιν, ἐκεῖνος κατέπαυσεν, οὐκ ἂν ὁ Δαβὶδ μετὰ πολλὰς γενεὰς περὶ καταπαύσεως διαλεγόμενος ἔλεγε· Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ. » — « Οὐκοῦν, φησιν, ἡ ἀληθινὴ ἀνάπαυσις τῷ λαῷ τοῦ Θεοῦ, » τοῦτ' ἔστι, τοῖς εὐδοκίμως μετὰ τὴν πίστιν πολιτευσαμένοις, ἀπόκειται, οὐκ ἐν τῇ Παλαιστίνῃ, ἀλλ' ἐν τῇ ὑπερκοσμίῳ Ἱερουσαλὴμ εὐτρεπισθεῖσα.

[58] Hebr. IV, 8, 9. [59] ibid. [60] ibid. 6, 7.

VARIÆ LECTIONES ET NOTÆ.

(69) Pro ἦκεν idem cod. scribit ἦλθεν. Possin.

(70) [illegible] idem mutat in [illegible]. Vers. seq. pro [illegible] scribit [illegible]. Id.

(71) Inter ἵνα et μὴ idem inserit μόνον. Vers. inde 3, pro κατεσκεύαζον habet κατεσκεύασαν. Vers. ult. ep. κολάσεις singulariter effert, κόλασιν. Id.

Digitized by Google

ΡΜΗ'. — ΙΣΙΔΩΡΩ ΔΙΑΚΟΝΩ (72).

Εἰς τό, « Καὶ ὁ ἀδικῶν ἐνευλογεῖται. »

Τί ἐστιν, [ὃ] ἔφης, τό, « Καὶ ὁ ἀδικῶν ἐνευλογεῖται; » Ἄκουε τοίνυν. Παρὰ τὸ εὖ λέγεσθαι ἐνταῦθα εἴρηται τὸ εὐλογεῖται, τοῦτ' ἔστιν ἐπαινεῖται, ἐγκωμιάζεται παρὰ τῶν κολακευόντων αὐτόν, καὶ ἐπιτριβόντων αὐτοῦ τὴν κακίαν, καὶ μὴ αἴσθησιν τῆς νόσου διὰ τῆς σιωπῆς ἐμποιῆσαι ἀνεχομένων· διὸ καὶ ἀνήκεστος ὁ τοιοῦτος εὑρίσκεται. Τῷ γὰρ μηδ' αἴσθησιν τοῦ πάθους ἔχειν, θεραπείαν οὔτε ζητεῖ οὔτε προσίεται. Καὶ τοῦτό ἐστι τὸ πάντων δεινότατον, ὅταν ἡ κακία ἐπαινῆται, καὶ μηδὲ κακία εἶναι νομίζηται. Διὸ χρὴ μάλιστα μὲν, εἰ δυνατὸν, διορθοῦν τὸν τοιοῦτον. Εἰ δὲ μὴ, μηδὲ κολακεύειν, μηδ' ἐπιτρίβειν τὸ πάθος· ἀλλὰ τῇ σιωπῇ αἴσθησιν αὐτῷ τῆς πονηρίας ἐμποιεῖν. Εἰ δὲ μηδὲ τοῦτο βούλοιτό τις ποιεῖν, φεύγειν προτροπάδην· ἵνα μὴ κοινωνὸς τῆς ἀδικίας διὰ τῆς κολακείας ὀφθείς, κοινωνὸς αὐτῷ κἀν ταῖς τιμωρίαις εὑρεθῇ. Ὥσπερ γὰρ (73) ὁ εἰς ἀρετὴν ἐνάγων στεφανοῦται, κἂν μηδὲν ἀνύσῃ (τὸ γὰρ ἑαυτοῦ πεπλήρωκεν)· οὕτω καὶ ὁ εἰς ἀδικίαν ἀλείφων κολάζεται, κἂν μηδὲν ἰσχύσῃ· τὸ γὰρ ἑαυτοῦ καὶ οὗτος ἐποίησεν.

CXLVIII. — ISIDORO DIACONO.

In illud, « Et injuste agens in eo laudatur [61]. »

Quærebas, quid sibi vellet illud, quod dicitur : « Et injuste agens in eo benedicitur. » Ausculta igitur. Benedicitur hoc loco deductum est ab eo quod est bene dicere, et valet idem quod laudatur, encomiis ornatur ab assentatoribus suis, qui improbitatem ipsius demulcent, ac ne sensum quidem morbi suo silentio ei ingenerare sustinent. Quæ causa quoque est, cur talis inveniatur incurabilis. Nam quia ne sensum quidem mali habet, curationem nec quærit, nec admittit. Atque hoc omnium est gravissimum, quando improbitas laudatur, ac ne quidem pro improbitate habetur. Quocirca maxime quidem in id incumbendum est, ut, si fieri potest, talem corrigamus. Sin minus, cavendum tamen omni studio, ne vel adulatione vel demulcendo malum foveamus : sed silentio saltem improbitatis sensum ipsi injiciamus. Quod si nec hoc quidem voluerit quis facere, contento cursu unicuique fugiendum est, ne injustitiæ particeps fieri per assentationem deprehensus eidem quoque in suppliciis perferendis socius efficiatur. Quemadmodum enim is, qui alteri ad virtutem capessendam sese ducem præbuerit, coronatur, tametsi nihil apud eum profecerit (nam quantum in se fuit, implevit): ita etiam punitur is, qui alterum ad injustitiam instigat, tametsi nihil valuerit. Nam et hic quod suum erat, fecit.

ΡΜΘ'. — ΗΛΙΑ ΔΙΑΚΟΝΩ.

Εἰς τό, « Ἅπαξ ἐλάλησεν ὁ Θεὸς, » εἰς τὸν ξα' ψαλμόν.

Τὸ θήραμα, ὦ βέλτιστε, ὃ θηρεῦσαι ποθεῖς, τοῖς μὲν συνετωτέροις ἐστὶ δυσθήρατον· τοῖς δὲ παχυτέροις ἀθήρατον. Ἔφης γάρ· Τί ἐστιν· « Ἅπαξ ἐλάλησεν ὁ Θεός· δύο ταῦτα ἤκουσα; » Οἶμαι τοίνυν (ἐπειδὴ τοῦ νοήματος χρὴ ἀνοῖξαι τὰς θύρας, καὶ τοῖς συνετωτέροις ἐφεῖναι τὸ τὰ ἀδύνατα τοῦ ῥητοῦ κατοπτεῦσαι) οὕτως εἰρῆσθαι, ὡς ἄν τις εἴποι· Ὃ δεῖνα ἅπαξ μέν μοι συνέτυχε· περὶ δὲ διαφόρων διελέχθη πραγμάτων. Οὗτος μὲν οὖν ὁ πρόχειρος νοῦς. Ὁ δὲ βαθύτερος καὶ εἰλικρινέστερος ἐν πάσαις μὲν διέσπαρται ταῖς Γραφαῖς· ἓν δὲ ἢ δεύτερον μεταχειρισάμενος φράσω, εἰ καὶ ἐπὶ πολλὰς ἔστιν ἐκδοχὰς τρέψαι τὴν διάνοιαν, ἐχομένας τῆς τοῦ Μελῳδοῦ μεγαλονοίας (74) Ἐπειδὴ εἶπεν ὁ Θεὸς τῷ Ἀδάμ· « Γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ· » οὐ προσέθηκε δὲ, Ἀφανισθήσῃ, οὐδὲ μὴ ἐπανελεύσῃ· ἐγὼ διὰ τοῦ ταῦτα παρασεσιωπῆσθαι, τὴν ἀνάστασιν προσυπήκουσα. Ἐλπίδα γὰρ ἐπανόδου τῷ ἐξορίστῳ ἔδωκεν. Ἡ γὰρ ἀπόφασις, μονότροπος εἶναι δοκοῦσα (75), ἐμφαίνει βασιλικὴν φιλανθρωπίαν, καὶ ἐπανόδου τίκτει ἐλπίδα. Καὶ Νινευῖται δὲ ἄνθρωποι βάρβαροι, σχεδὸν ἀπόφασιν καθαρὰν δεξάμενοι, οὐδὲν βάρβαρον ἔπαθον, ἀλλ'

CXLIX. — HELIÆ DIACONO.

In illud, « Semel locutus est Deus, » in psalmum LXI.

Venatura illa, o bone, quam venari cupis, illis quidem qui sunt cordatiores, captu perdifficilis est; crassioribus autem ac pinguioribus captu impossibilis. Quærebas enim, quid sit illud : « Semel locutus est Deus, duo hæc audivi [62]. » Arbitror igitur (quoniam intellectus januæ aperiendæ sunt, et intelligentioribus permittendum, ut impossibilia (vulgo) hujus dicti contemplentur) ita hoc dictum esse, ut si quis dicat : Ille semel quidem mihi occurrit; de diversis autem capitibus verba mecum communicavit. Hic sane obvius est sensus ejus dicti. Profundior autem atque sincerior in omnibus quidem Scripturis passim dispersus est : unum tamen duntaxat alterumve in manus sumptum commemorabo, quamvis in multos ac varios intellectus liceat vertere cogitationem, qui sint consentanei sublimibus Psalmographi sensibus. **498** Quoniam Adamo dixit Deus : « Terra es, et in terram reverteris [63]; » non addidit autem : In nihilum redigeris, neque iterum redibis; ego per id, quod ista silentio prætermisit, subintellexi resurrectionem. Spem enim reversionis dedit exsuli.

[61] Prov. xxiv, 25. [62] Psal. lxi, 12. [63] Gen. iii, 19.

VARIÆ LECTIONES ET NOTÆ.

(72) In tit. διακόνῳ mutat in ἐπισκόπῳ codex Vat. 650. Vers. 5 ep. pro μὴ cod. idem habet μηδέ. Vers. seq. idem ex ἐμποιῆσαι tollit ἐμ. Possin.

(73) Cod. Vat. addit καί. Ib.

(74) Ante ἐπειδὴ εἶπεν supplet cod. Vatic. 650, ὅτι ὅτ., Ib.

(75) Pro εἶναι δοκοῦσα idem simpliciter ponit οὖσα. Ib.

Digitized by Google

enim rerum omnium, quod tam bene disponere soleat aut possit inopinatos casus, quam virtutis exercitatio. Nam qui omnem spem bonam ex animo suo expulerint, nihil eorum quæ oportet agere parati erunt, ob præcognitionem futurorum eventuum.

εἰωθεν, ὡς ἡ τῆς ἀρετῆς ἄσκησις. Οἱ γὰρ πᾶσαν ἐλπίδα ἀγαθὴν ἐκ τῆς ἑαυτῶν ἐξορίσαντες ψυχῆς, οὐδὲν τῶν δεόντων πρᾶξαι ἐκ τοῦ προμαθεῖν προθυμηθήσονται.

CXXXIII. — LEONTIO EPISCOPO.

Quod lectio sacrarum Litterarum destructa est et corrupta, et quod unusquisque suos affectus divinis oraculis præfert, ea res tantarum tragœdiarum et calamitatum causa exstitit. Nam bellum irreconciliabile et non indictum legitime incidit inter eos, qui pacis conciliatores esse debuerunt : qui avidissime sese mutuo, siquidem possint, vorent : et antiquissimum hoc ducant, et omnibus rebus anteponant, vivos quidem occidere, sepultos autem refodere, et domos evertere, et monumentum omne abolere. Ita in se invicem armantur, et fallacias texunt : cum quidem didicerint, Christum non signis et miraculis, sed dilectione charitateque suos notasse discipulos [37]. Hæc igitur mihi quidem causa esse videtur, quare etiam subditi officium suum non faciant. Non enim amplius tanquam erga doctores discipuli, sed tanquam adversus condemnatos judices affecti sunt, defensionem suorum lapsuum ignaviam doctorum, infeliciter illi quidem ac misere, sed tamen se habere existimantes. Quid igitur faciendum est? inquis. Si quidem id fieri potest, malum hoc corrigendum : sin minus, quiescendum est.

ΡΛΓ'. — ΛΕΟΝΤΙΩ ΕΠΙΣΚΟΠΩ.

Τὸ τὴν ἀνάγνωσιν κατερρυθμῆσθαι (38) τῶν θείων Γραφῶν, καὶ τὸ ἕκαστον τὰ οἰκεῖα πάθη τῶν θείων προκρίνειν χρησμῶν, τῶν τοσούτων τραγῳδιῶν αἴτιον γέγονε. Πόλεμος γὰρ ἄσπονδος καὶ ἀκήρυκτος ἐμπέπτωκε τοῖς τῆς εἰρήνης βραβευταῖς· ἥδιστ' ἂν ἀλλήλων, εἰ ἠδύναντο, γεύσοιντο· περὶ παντὸς δὲ ποιήσαιντο, ζῶντας μὲν ἀποκτεῖναι· ταφέντας δὲ ἀποκηρύξαι (39)· τὰς δ' οἰκίας ἀνασκάψαι· μνημεῖον δὲ ἅπαν ἀφανίσαι. Οὕτως κατ' ἀλλήλων ὁπλίζονται, καὶ μηχανὰς πλέκουσιν, οἱ μεμαθηκότες, ὅτι οὐκ ἀπὸ σημείων ὁ Χριστὸς, ἀλλ' ἀπὸ τῆς ἀγάπης τοὺς οἰκείους ἐχαρακτήρισε φοιτητάς. Διὰ τοῦτο οὖν, οἶμαι, καὶ τὰ παρὰ τῶν ὑπηκόων οὐχ ἕπεται. Οὐκ ἔτι γὰρ ὡς πρὸς ὑφηγητὰς φοιτηταὶ, ἀλλ' ὡς πρὸς κατακρίτους δικασταὶ διάκεινται, ἀπολογίαν τῶν οἰκείων πταισμάτων τὴν τῶν διδασκάλων ῥᾳθυμίαν, ἀθλίως μὲν καὶ ταλαιπώρως, ὅμως δ' οὖν ἔχειν οἰόμενοι. Τί οὖν ποιητέον; φής. Εἰ μὲν δυνατὸν, διορθωτέον· εἰ δὲ μή, ἡσυχαστέον.

CXXXIV. — HIERACI CLARISSIMO.

Legales et propheticæ doctrinæ præparatoriæ sunt ad novam et evangelicam philosophiam. Illæ enim manui, hæc vero animo leges sancit. Et illæ quidem actionem, ista autem cogitationem dirigit et gubernat. Illæ namque grammatistæ seu litteratori, hæc vero supremo perfectissimoque philosopho convenit.

ΡΛΔ'. — ΙΕΡΑΚΙ ΛΑΜΠΡΟΤΑΤΩ.

Τὰ νομικὰ καὶ προφητικὰ μαθήματα προπαιδεύματά εἰσι (40) τῆς νέας καὶ εὐαγγελικῆς φιλοσοφίας. Τὰ μὲν γὰρ τῇ χειρὶ, ἡ δὲ τῇ ψυχῇ νομοθετεῖ. Καὶ τὰ μὲν τὴν πρᾶξιν, ἡ δὲ τὴν ἔννοιαν εὐθύνει καὶ οἰακίζει· τὰ μὲν γὰρ γραμματιστῇ, τὰ δὲ ἄκρως φιλοσόφῳ ἔοικεν.

CXXXV. — JACOBO LECTORI.

In illud Christi dictum, « Qui recipit prophetam in nomen prophetæ, mercedem prophetæ accipiet [38]. »

Illud, « Qui recipit prophetam in nomen prophetæ, mercedem prophetæ accipiet, » ut paucis complectar, tale est non si quis, o bone, alterius cujusdam utilitatis aut prætextus causa honestatem dignatur honore et cultu, jam statim etiam gloriæ ejus particeps fiet, quæ honestati debetur : sed is demum **489** honesti gloria decorabitur, qui ipsum honestum propter ipsum coluerit. Multi enim prophetas aut justos honore afficiunt, aut propter gloriam

ΡΛΕ'. — ΙΑΚΩΒΩ ΑΝΑΓΝΩΣΤΗ (41).

Εἰς τό· « Ὁ δεχόμενος προφήτην εἰς ὄνομα προφήτου, μισθὸν προφήτου λήψεται. »

Τὸ, « Ὁ δεχόμενος προφήτην εἰς ὄνομα προφήτου, μισθὸν προφήτου λήψεται, » ὡς ἐν βραχέσι, τοιοῦτόν ἐστιν· Οὐκ εἴ τις, ὦ βέλτιστε, καθ' ἑτέραν τινὰ χρείαν ἢ πρόφασιν τιμῆς ἀξιοῖ τὸ καλὸν, ἤδη καὶ τῆς τοῦ καλοῦ μεθέξει δόξης· ἀλλ' ἐκεῖνος τῷ ἀγαθῷ συνδοξασθήσεται, ὁ αὐτὸς τὸ ἀγαθὸν δι' αὐτὸ τοῦτο τιμήσας. Πολλοὶ γὰρ προφήτας ἢ δικαίους τιμῶσιν, ἢ διὰ δόξαν ἀνθρωπίνην, ἢ διὰ κέρδος βιωτικόν. Εἰσὶ γὰρ οἱ τοῖς τὰ τοιαῦτα ἐπιτηδεύουσι, καὶ χρή-

[37] Joan. XIII, 35. [38] Matth. XI, 14.

VARIÆ LECTIONES ET NOTÆ.

(38) Κατερρύθμῆσθαι mutat in κατερράθυμεῖσθαι cod. Vat. 650. Vers. 4 ep. inter πόλεμος et γὰρ idem inserit μέν. Possin.

(39) Pro ἀποκηρύξαι legit idem cod. ἀνορύξαι. Vers. seq. ἀνασκάψαι mutat in κατασκάψαι. Ib.

(40) Pro εἰσὶ idem cod. Vat. legit, ἔστι. Vers. 5 χειρὶ mutat in σαρκὶ, et v. 5 ep. εὐθύνει breviat in ἰθύνει. Vers. penult. ep. post γραμματιστῇ mutat idem τὰ in ἡ. Ib.

(41) Deest inscriptio in Paris., sumitur ex cod. Vatic. Edit.

Digitized by Google

ματα παρέχοντες, οὓς οὐκ ἂν τις φαίη μισθὸν προφήτου λαμβάνειν. Εἰ δέ τις ἄνευ τῶν τοιούτων ἐπικαλυμμάτων γυμνῇ τῇ ψυχῇ πρὸς τὸ ἀγαθὸν βλέπων τιμήσειε τοὺς ἁγίους, ὁ τοιοῦτος μετὰ τῶν ἁγίων εἰκότως συνδοξασθήσεται.

humanam, aut lucri alicujus gratia ad hanc vitam redundantis. Sunt enim qui talia exercent, et pecunias elargiuntur, quos nemo dixerit, mercedem prophetæ accipere. Si quis autem absque hujusmodi velamentis nuda anima ad bonum ipsum respiciens sanctos honore affecerit, talis una cum sanctis merito gloria perfruetur.

ΡΛϚ'. — ΑΛΥΠΙΩ.

Πῶς ἡ βασιλεία τῶν οὐρανῶν βιάζεται.

Τὰ ἔπαθλα μείζονα ὄντα πάσης ἀνθρωπίνης ἀξίας, καὶ ἐκ πολλοῦ τοῦ περιόντος τὴν τοῖς πόνοις χρεωστουμένην ἀμοιβὴν ὑπερβαίνοντα· οὐκ ἄξια γὰρ τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς, ἔφη τὸ σκεῦος τῆς ἐκλογῆς· καὶ τὴν ἀσθένειαν τῆς φύσεως ἐκβιάζεται. Διὸ καὶ ἐρρέθη· « Ἡ βασιλεία τῶν οὐρανῶν βιάζεται (42), καὶ βιασταὶ ἁρπάζουσιν αὐτήν. » Ποῖοι βιασταί; Οἱ τὸ οἰκεῖον σῶμα νηστείαις, καὶ σωφροσύνῃ, καὶ τῇ ἄλλῃ ἀρετῇ ἐκβιαζόμενοι (43), καὶ τοῖς τοῦ πνεύματος νόμοις ὑποτάξαντες, καὶ εὐήνιον καὶ ὁρμητήριον ἀρετῆς ἀποφήναντες.

CXXXVI. —ALYPIO.

Quomodo regnum cœlorum vim patiatur [39].

Præmia (alterius vitæ, piis a Deo proposita) cum sint omni humana dignitate majora, longissimeque omnem laboribus debitam remunerationem excedant (« Non enim sunt pares passiones hujus temporis ad futuram gloriam, quæ revelabitur erga nos [40], » inquit vas electionis) : etiam imbecillitatem naturæ cogunt. Ideo scriptum est : « Regnum cœlorum vim patitur et violenti rapiunt illud. » Quales violenti ? Qui proprium corpus jejuniis et temperantia abstinentiaque et aliis virtutibus cogunt, et legibus spiritus subjecerunt, et pronum atque obediens exercendæ virtuti id reddiderunt.

ΡΛΖ'. — ΩΡΙΩΝΙ (44) ΜΟΝΑΖΟΝΤΙ.

Εἰς τὸ γεγραμμένον· « Φρόνιμοι ὡς οἱ ὄφεις, καὶ ἀκέραιοι ὡς αἱ περιστεραί. »

Τὰ παραδείγματα οὐχ ἅπαντα λαμβάνεται· ἐπεὶ οὐκ ἂν εἴη παραδείγματα, ἀλλὰ ταυτότης. Εἰ γὰρ καὶ τὸ ἀκέραιον καὶ ἀκακόηθες προσέταξε μιμεῖσθαι τῆς περιστερᾶς, ἀλλὰ τὸ ἀνόητον ἐκκλίνειν χρή· ὅπερ ἐστὶ τὸ εἰς ἐκείνους καταφεύγειν, τοὺς θηρᾶν σπουδάζοντας. Εἰ γὰρ καὶ μὴ βλάπτειν χρὴ, ἀλλὰ οὐδὲ εἰς (45) τὰ καίρια βλάπτεσθαι προσήκει· οὐδὲ εἰς ἐκείνους τρέχειν, ὧν κέρδος μέγιστον ἡ ἀπαλλαγή. Εἰ δὲ καὶ μαρτυρίαν θέλεις ἐναργῆ λαβεῖν τῶν λεγομένων, ἄκουε τοῦ προφήτου λέγοντος· « Καὶ ἦν Ἐφραὶμ ὡς περιστερὰ ἄνους, οὐκ ἔχουσα καρδίαν. » Εἰ δὲ καὶ τὴν αἰτίαν ζητεῖς, εὐθὺς αὐτὸς ἐπάγει· « Αἴγυπτον ἐπεκαλεῖτο· καὶ εἰς Ἀσσυρίους ἐπορεύετο. » Δύο, φησὶν, ἐθνῶν, τυραννίδα καὶ μῖσος, καὶ ἀρχαίαν νοσούντων πλεονεξίαν, τὸ μὲν ἐπεκαλεῖτο εἰς βοήθειαν· πρὸς δὲ τὸ καταφεύγων (46) ὡς σωτηρίας τευξόμενος. Τίς οὖν, φησὶ, τούτου ἀνοητότερος γένοιτ' ἂν, τοῦ πρὸς ἐκείνους ὁρμῶντος τοὺς μὲν τὴν αἰχμαλωσίαν αὐτοῦ καὶ τὴν δουλείαν ὄνειρο πλοῦντας ;

CXXXVII. — ORIONI MONACHO.

In id quod scriptum est : « Prudentes sicut serpentes, et simplices sicut columbæ [41]. »

Exempla non per omnia capiuntur : alioquin enim non essent exempla et similitudines, sed res eadem. Etsi enim simplicitatem et morum probitatem, quæ in columba est, imitari nos jussit : tamen stoliditatem ejusdem fugere oportet : qualis est, verbi gratia, confugere ad eos, qui capere satagunt. Quanquam enim lædere neminem oportet, tamen neque letales accipere plagas ab aliis convenit : neque ad eos currere, quibus liberari maximum est lucrum. Quod si etiam testimonium evidens eorum quæ dixi, accipere vis, audi prophetam, dicentem : « Et erat Ephraim ut columba amens, non habens cor [42]. » Si vero causam quoque requiris, ipse eam statim affert : « Ægyptum invocabat, et ad Assyrios proficiscebatur [43]. » Duarum gentium, tyrannidis et odii et antiqua avaritia iniquitateque laborantium, alteram quidem in auxilium advocabat ; ad alteram vero confugiebat, quasi salute ibi potitura. Quis ergo, inquit, hoc dementior esse possit, qui ad eos confugit, qui etiam captivitatem et servitutem ipsius assidue meditantur?

ΡΛΗ'. — ΑΛΥΠΙΩ.

Εἰς τό· « Ἐν τῷ κόσμῳ θλῖψιν ἕξετε. »

Τῇ ἐλπίδι τῶν μελλόντων δίδοσθαι ἀγαθῶν τοῖς τὰ τρόπαια στήσασι κατὰ τῆς κακίας λαμπρὰ ὁπλίζων σαυτὸν, καὶ περιφράττων καλῶς πάντοθεν, καὶ εὐχαῖς τοῦτο τὸ τεῖχος ἰσχυρὸν κατασκευάζων, ἀπο-

490 CXXXVIII. — ALYPIO.

In dictum, « In mundo afflictionem habebitis [44]. »

Spe bonorum illorum, quæ dabuntur iis, qui tropæa splendida contra vitia statuerint, teipsum armans, et undique probe te muniens, et precibus hunc murum firmum efficiens, repelle tristitiæ as-

[39] Matth. xi, 12. [40] Rom. viii, 18. [41] Matth. x, 16. [42] Osee v, 7. [43] ibid. [44] Joan. xvi, 33.

VARIÆ LECTIONES ET NOTÆ.

(42) Hæc, Διὸ καὶ usque ad βιάζεται, omittebat ed. Paris., lapsu, ut videtur, typographi quem decepit homæoteleuton. EDIT.

(43) Cod. Vat., ἐκβιασάμενοι. POSSIN.

(44) Ἥρωνι, *Heroni*, cod. Vat. 650. ID.

(45) Pro εἰς idem cod. πρός. ID.

(46) Cod. Vat., κατέφευγεν. POSSIN.

Digitized by Google

sultum. Nam vel generosum animum subigere valet, nisi assidue ille in cogitatione coronarum occupatus, toleraverit adversa ac tristia.

A κρούου τῆς ἀθυμίας (46') τὴν ἔφοδον. Δεινὴ γάρ ἐστι καὶ γενναίαν ψυχὴν χειρώσασθαι, ἂν μὴ διὰ παντὸς ἐκείνη τοὺς στεφάνους ὀνειροπολοῦσα, ὑποφέρῃ τὰ λυπηρά.

CXXXIX. — THEOGNOSTO.

In illud (Ezechielis dictum), « Et tu, si prohibueris iniquum, nec reversus fuerit ab iniquitate sua, iniquus ille in iniquitate sua morietur ; at tu animam tuam liberabis [45]. »

Reprehensores vitiorum sæpenumero solent improbi, cum sunt plures, et male ab ipsis dissonent, languentes ac ignavos reddere quominus libere in vitia invehantur eaque compescant. Miscenda igitur est comitate libertas reprehensionum, et vituperium charitate temperandum, atque ita admonitiones adhibendæ sunt. Quod si ne sic quidem illi utilitatem ullam inde percipiunt, sed insuper etiam male repudiant ac traducunt eos, qui maximis coronis digni sunt, omninoque etiam a Deo præconiis recte factorum ornabuntur et a prudentibus commendatione digni judicabuntur : generoso magnoque animo id ferant vitiorum reprehensores et correctores, ac doleant, non quidem suarum rerum consideratione (nihil enim aliud ipsis accidit, quam quod scelerati ac detestabiles visi sint, cum tales revera minime sint), sed super illorum perversitate et insania, quod ita incurabilibus morbis laborent, ut etiam medicis probra atque convicia ingerant.

ΡΛΘ'. — ΘΕΟΓΝΩΣΤΩ.

Εἰς τό· « Καὶ σὺ ἐὰν διαστείλῃς τῷ ἀνόμῳ, καὶ μὴ ἀναστρέψῃ ἀπὸ τῆς ἀνομίας αὐτοῦ, ὁ ἄνομος ἐν τῇ ἀνομίᾳ αὐτοῦ ἀποθανεῖται· σὺ δὲ τὴν ψυχήν σου ῥύσῃ. »

Τοὺς ἐπιτιμητὰς (47) τῶν κακιῶν οἱ μοχθηροὶ, πλείους ὄντες, καὶ διηχοῦντες κακῶς, ἀποναρκῆσαι πολλάκις πεποιήκασι πρὸς τὸ μὴ τῇ παῤῥησίᾳ ἀναστέλλειν τὰ πταίσματα. Χρὴ τοιγαροῦν μιγνύναι τῇ παῤῥησίᾳ τὴν προσήνειαν, καὶ τῷ ἐλέγχῳ κιρνᾷν τὴν ἀγάπην, καὶ οὕτω νουθετεῖν. Εἰ δὲ μηδ' οὕτως ὠφελοῦνται ἐκεῖνοι, ἀλλὰ καὶ κακῶς ἀπαγορεύσειαν (48) τοὺς μεγίστων στεφάνων ἀξίους, καὶ πάντως καὶ παρὰ Θεοῦ κηρυχθησομένους καὶ παρὰ τοῖς συνετοῖς ἀποδοχῆς ἀξιωθησομένους (49), γενναίως φερέτωσαν οἱ σωφρονισταὶ τῶν κακῶν, καὶ λυπείσθωσαν, μὴ τὰ καθ' ἑαυτοὺς ἐννοοῦντες, ὅτι μηδὲν ἕτερον, ἢ τὸ δοκεῖν μιαροὺς περιγέγονεν, ἀλλ' ὑπὲρ τῆς ἐκείνων διαστροφῆς καὶ μανίας, ὅτι ἀνίατα οὕτως νοσοῦσιν, ὡς καὶ τοὺς ἰατροὺς κακηγορεῖν.

CXL. — HARPOCRÆ SOPHISTÆ.

De lectione sacrarum Litterarum adversus paganos. De gratia divinitus inspiratarum Scripturarum, deque utilitate ex illis capienda.

Eorum quidem, qui sunt extra Ecclesiam, multi multa scripsere, quæ nec ullum iis qui ea amplexi fuerint commodum, neque ullum ea respuentibus damnum afferunt. Divinæ autem Scripturæ iis quidem qui fidem ipsis adhibuerint, maximum lucrum ; incredulis vero non exiguum pariunt detrimentum. Illi namque gloriam captantes propriam, ad scribendum sese contulerunt : hæ vero salutem audientium ante oculos habent.

ΡΜ'. — ΑΡΠΟΚΡΑ ΣΟΦΙΣΤΗ.

Περὶ ἀναγνώσεως, κατὰ Ἑλλήνων. Περὶ τῆς χάριτος τῶν θεοπνεύστων Γραφῶν, καὶ τῆς ἐξ αὐτῶν ὠφελείας.

Τῶν μὲν ἔξωθεν πολλοὶ πολλὰ γεγράφασιν, ἃ μήτε τοῖς πεισθεῖσιν ὠφέλειαν, μήτε τοῖς ἀντικόοις ζημίαν φέρει· αἱ δὲ θεῖαι Γραφαὶ τοῖς μὲν πεισθεῖσι μέγιστον κέρδος, τοῖς δ' ἀπειθήσασιν (50) οὐ μικρὸν ὠδίνουσι βλάβην. Οἱ μὲν γὰρ δόξαν θηρώμενοι γεγράφασιν· αἱ δὲ πρὸς σωτηρίαν τῶν ἀκουόντων ὁρῶσιν.

CXLI. — LEONTIO DIACONO.

Quare lex eos qui lepra aut aliis morbis involuntariis laborabant, extra sacra castra commorari jusserit [46].

Malam quidem temperaturam corporum, et ad aspectum deformes morbosa luxuria parentum multis provenire credibile est ; at non **491** vice versa luxuriam libidinum omnino a malo temperamento exsistere. (Nam utrum leprosus procreet leprosum, et fluxu laborans seminis gignat etiam seminiflumum, certo affirmare non possum ; quod autem podagri-

ΡΜΑ'. — ΛΕΟΝΤΙΩ.

Διὰ τί ὁ νόμος τοὺς λεπρῶντας ἢ ἑτέρους νοσήματα ἀκούσια νοσοῦντας ἔξω εἶναι τῶν ἱερῶν περιβόλων προσέταξεν.

Τὴν μὲν δυσκρασίαν τῶν σωμάτων, καὶ τὰ εἰδεχθῆ νοσήματα ἀπὸ ἀκρασίας τῶν γονέων πολλοῖς (51) συμβαίνειν εἰκός· οὐ μὴν τὴν ἀκρασίαν πάντως ἀπὸ δυσκρασίας (εἰ μὲν γὰρ λεπρὸς λεπρὸν τίκτει, καὶ γονορρύης γονορρύην, ἀκριβῶς οὐκ ἔχω λέγειν· ὅτι δὲ ποδαλγὸς ποδαλγὸν τίκτει πάντες ἂν συμφήσαιεν)· τῷ μὲν οὖν νομοθέτῃ, ὡς οἶμαι (οὐ γὰρ χρὴ ἀποφαί-

[45] Ezech. III, 19. [46] Levit. XIII, 46.

VARIÆ LECTIONES ET NOTÆ.

(46') Ἀθυμίας auget in ῥαθυμίας cod. Vat. 650, et vers. ult. pro ὑποφέρῃ scribit διαφέρῃ. Possin.

(47) Cod. Vat. 650 pro ἐπιτιμητάς scribit ἐπιτιμηθέντας. Id.

(48) Pro ἀπαγορεύσειαν idem cod. legit ἀγορεύοιεν. Id.

(49) Hæc, καὶ παρὰ... ἀξιωθησομένους deerant in edit. Paris., sed leguntur in codice Vaticano. Edit.

(50) Pro ἀπειθήσασιν cod. Vat. 650 habet ἀπειθέσιν. Possin.

(51) Cod. Vat. 650 πολλοῖς mutat in πολλάκις. Id.

Digitized by Google

νεσθαι περὶ τῶν ἀδήλων, ἀλλὰ τοῖς ἀκουσομένοις ἐπιτρέπειν τὴν κρίσιν), περὶ τῆς ἀκρασίας ἣν ὁ λόγος, ὅπως μὴ ἐν παντὶ καιρῷ συνέρχοιντο, ὡς τῆς βλάβης εἰς τὰ ἐξ αὐτῶν τεχθησόμενα διαβησομένης. Ὅτι δὲ οὐκ ἔστι τοῦτο ἀπὸ σκοποῦ, τεκμήριον (52), τὸ τοὺς ποδαλγοὺς ἱερῶν περιβόλων μὴ εἴργεσθαι. Οἱ μὲν γὰρ ἐξ ἀρχῆς τοῦτο νοσήσαντες τὸ πάθος, οὐκ ἀπὸ δυσκρασίας, ἀλλ' ἀπὸ πονηρᾶς διαίτης, καὶ τρυφῆς, καὶ βλακείας, καὶ ἀργίας τοῦτ' ἐσχήκασι· δι' ὃ καὶ δι' αὐτοῦ ἐκολάσθησαν· οἱ δ' ἐξ αὐτῶν τεχθέντες, οὐκ ἐκωλύθησαν ἱερῶν κοινωνῆσαι συνόδων. Τῇ γὰρ δυσκρασίας, ἀλλ' οὐ τῆς ἀκρασίας τῶν γονέων γεγόνασιν ἀναγκαίως κληρονόμοι· οἱ δὲ τὴν ἀκολασίαν τῶν γονέων ἐν τοῖς σώμασιν ἀπομαξάμενοι, οὐκ ἐκολάσθησαν μὲν (οὐ γὰρ ἐκέλευσεν αὐτοὺς καταλευσθῆναι· ἀδούλητον γὰρ ἦν τὸ πάθος), ἠτιμώθησαν (53) δὲ, πρὸς σωφρονισμὸν τῶν τεκόντων. Εἰ δέ τις οἴεται, τοῦτο μὴ εὐλόγως νενομοθετῆσθαι, τί φαίη περὶ τοῦ θανάτου, ὅτι μιᾶς ἁμαρτησάσης (φημὶ δὴ τῆς Εὔας), ὅλον τὸ γένος θανάτῳ κατεκρίθη, καίτοι πολλῶν εὐδοκιμησάντων, καὶ τοῖς πταίσμασι τοῖς προγονικοῖς μὴ ἀκολουθησάντων; Εἰ δ' ἐκεῖ τῆς ῥίζης τεθνεώσης ἀναγκαίως καὶ οἱ κλάδοι, ὡς κληρονόμοι τῆς ἀποφάσεως, συναπήλαυσαν τοῦ πάθους· τί θαυμαστὸν, εἰ κἀνταῦθα διὰ τὴν ῥίζαν ὁ κλάδος ἠτιμώθη, παραπέμπων ἀναγκαίως καὶ εἰς τὴν ῥίζαν τὸ πάθος; Τοῦ γὰρ ἀτιμωθέντος κλάδου τῇ ῥίζῃ οὐκ ἐλάττων ἡ ὀδύνη. Ἡ γὰρ εὐχομένη τὸν κλάδον ἄριστον ἰδεῖν, ὅταν αἴσθηται, ὅτι ἐκ τῆς αὐτῆς ἀκολασίας τὸ πάθος εἰς ἐκεῖνον διέβη, ἐνταῦθα μὲν τοῖς οἰκείοις λογισμοῖς καταικισθήσεται· ἐκεῖσε δὲ καὶ τῇ κρίσει. Εἰ δὲ καὶ προγινώσκων αὐτοὺς ὁ Θεὸς πονηροὺς ἐσομένους προκατέσχε τούτοις τοῖς δεσμοῖς, καὶ ἐχαλίνωσε τοῖς πάθεσιν, ἀκριβῶς οὐκ ἔχω λέγειν· ὅτι δὲ καὶ στεφάνων πολλοῖς (54) αἴτια γέγονε ταῦτα τὰ νοσήματα, θαῤῥούντως διισχυρισαίμην. Εἰ δὲ σκιὰν εἶχεν ὁ νόμος τῶν μελλόντων ἀγαθῶν, καὶ οὐκ αὐτὴν εἰκόνα τῶν πραγμάτων, οἶμαι, ὅτι μὲν διὰ τοῦ λεπροῦ τὸν ποικίλον καὶ κακοῦργον, διὰ δὲ τοῦ γονορῥυοῦς, τὸν πόρνον καὶ τὸν ἀσελγῆ· διὰ δὲ τοῦ ἀκαθάρτου ἐπὶ ψυχῇ ἀνθρώπου, τουτέστι διὰ τοῦ ἁπτομένου νεκροῦ σώματος, τὸν ψυχῇ ἁμαρτανούσῃ συμπράττοντα καὶ συναιρόμενον· διὰ δὲ τοῦ πενθοῦντος, τὸν ἐπὶ ταῖς συμφοραῖς πενθήρη καὶ θρηνώδη, τῆς τῶν ἀμώμων ἱερᾶς συνόδου καὶ Ἐκκλησίας ἐξοστρακισθῆναι ἐθέσπισεν.

A cus podagricum procreet, omnes consentiunt.) Quocirca legislator, ut mihi quidem videtur (non enim de rebus obscuris præcise aliquid asseverare oportet, sed audituris permittere judicium), sollicite curabat de incontinentia libidinum, ne quovis tempore in cœtum convenirent conjuges, ut qui scirent, noxam in suos liberos transituram. Quod autem non sit hoc, quod dixi, impertinens, aut a scopo aberret, argumento est, quod podagrici a sacris castris et conventibus non arceantur. Nam ipsi quidem, qui ab initio (et primi in sua familia) hoc malo laborare cœperunt, non ab infelici temperamento (quod male nati essent), sed a prava victus ratione, et deliciis, et inertia atque ignavia hoc contraxerunt : unde etiam per id puniti sunt. Qui B vero ex ipsis nati sunt (podagrici), ii sacris interesse cœtibus minime prohibentur. Nam parentum suorum mali temperamenti, non autem incontinentiæ libidinum, necessario exstiterunt hæredes. Alteri vero (qui ex parentum luxurioso concubitu nati sunt) libidinis parentum notas in suis corporibus impressas habentes, non quidem puniti sunt (neque enim ipsos lapidibus obrui jussit, quia malum ipsis nolentibus contigerat), ignominia tamen affecti sunt, idque ad emendationem parentum. Quod si quis est qui sic existimat, hoc nulla bona ratione sancitum fuisse, quid ille dixerit de morte, quod cum una peccarit femina (Evam intelligo) totum genus humanum, quod ab ea descendit, morte damnatum est, cum tamen multi laudabiliter vixerint, C et peccata primorum parentum non fuerint secuti? Si vero ibi radice mortua necessario etiam rami, tanquam scilicet hæredes sententiæ damnatoriæ, ejusdem mali participes facti sunt : quid est quod adeo miremur, si hic quoque propter radicem ramus ignominia notatus est, necessario etiam in ipsam radicem id malum transmittens? Nam ramo ignominia affecto non minor radicem cruciatus affligit. Radix enim, quæ in votis habet, ramum quam optimum videre, ubi animadverterit, ex sua intemperantia hoc malum in ipsum transiisse ac propagatum esse, in præsenti quidem vita propriis cogitationibus (animi male sibi conscii) lacerabitur; in altero autem sæculo etiam judicio affligetur. An D autem Deus etiam præscius, ipsos malos futuros esse, hisce velut vinculis quibusdam ante cohibuerit, ac refrenarit his malis, de eo nihil certi habeo dicere. Illud autem confidenter contenderim, tales morbos multis etiam coronarum causas aut occasiones exstitisse. Quod si lex (Paulo teste) umbram habuit futurorum bonorum, et non ipsam imaginem rerum, puto, quod sub persona leprosi designatum hominem varium et vafrum atque maleficum, per seminiflluum, scortatorem et impurum; per immundum in anima hominis, **492** hoc est per eum qui tetigit corpus mortuum, eum qui animam peccatricem ope et auxilio adjuvat; denique per lugentem, eum qui de calamitatibus suis querulus et lacrymosus est, ex sacro cœtu inculpatorum hominum, et ab Ecclesia exterminari præceperit.

VARIÆ LECTIONES ET NOTÆ.

(52) Pro τεκμήριον idem cod. Vat. scribit τεκμηριοῖ. Possin.

(53) Ἠτιμώθη idem mutat in ἐτιμωρήθη. Ib.

(54) Pro πολλοῖς iterum ponit πολλάκις, et vers. inde 3 inter αὐτὴν et εἰκόνα inserit τὴν.

Digitized by Google

CXLII. — HELIÆ DIACONO.

In illud, « In principio erat Verbum [47]. »

Sacræ Litteræ temporis expertem et æternam atque immediatam, omnique et oratione et mente superiorem Christi a Patre progressionem vocant generationem, non ut perpessionem aliquam adumbrent, sed ut essentiæ, ut sic loquar, identitatem statuant. Nam quæ gignuntur revera eamdem cum gignentibus essentiam habent. Sed ne recentius aut posterius quid forte cogitetur : « In principio, inquiunt, erat Verbum. » Deinde etiam ejusdem ad Patrem habitudinem prædicant, cum aiunt : « Et Verbum erat apud Deum. » Posthæc et dignitatem : « Et Deus erat Verbum. » Quare ex appellatione Filii eamdem essentiam : ex Verbo generationem perpessionis expertem ; ex eo porro quod fuerit in principio, eamdem æternitatem ; denique ex eo, quod fuerit apud Deum, conjunctionem cum Patre : ex eo vero quod Deus sit, dignitatem atque excellentiam ipsius discentes ; ex unoquoque autem nomine removentes inconveniens et indecorum illud, quod inde se forte in animos nostros insinuat atque ingerit, verbi gratia, a Filii nomine, id quod est recentius sive posterius ; a Verbi appellatione, id quod nullam habet subsistentiam, Deum æternum, consubstantialem, absque perpessione, et extra tempus ex Patre progressum agnoscamus et adoremus.

ΡΜΒ'. — ΗΛΙΑ ΔΙΑΚΟΝΩ.

Εἰς τό· « Ἐν ἀρχῇ ἦν ὁ Λόγος. »

Τὴν ἄχρονον καὶ ἀΐδιον καὶ ἀμεσίτευτον, καὶ παντὸς λόγου καὶ νοῦ κρείττονα πρόοδον τοῦ Χριστοῦ (55) ἀπὸ Πατρὸς, γέννησιν καλοῦσιν αἱ Γραφαὶ, οὐχ ἵνα πάθος ὑπογράψωσιν, ἀλλ' ἵνα τὸ ὁμοούσιον στήσωσιν. Ὁμοούσια γὰρ τῷ ὄντι τὰ τικτόμενα τοῖς τίκτουσιν (56). Ἵνα δὲ μὴ νεώτερον ἐπινοηθείη, « Ἐν ἀρχῇ ἦν ὁ Λόγος, » φασίν. Εἶτα καὶ τὴν σχέσιν κηρύττουσι τὴν πρὸς τὸν Πατέρα· « καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν. » Εἶτα καὶ τὴν ἀξίαν· « Καὶ Θεὸς ἦν ὁ Λόγος. » Ἐκ μὲν τοῦ Υἱοῦ τὸ ὁμοούσιον· ἐκ δὲ τοῦ Λόγου τὸ ἀπαθές· ἐκ δὲ τοῦ ἐν ἀρχῇ εἶναι, τὸ συναΐδιον· ἐκ δὲ τοῦ πρὸς τὸν Θεὸν εἶναι, τὴν πρὸς τὸν Πατέρα οἰκειότητα· διὰ δὲ τοῦ Θεὸν εἶναι, τὴν ἀξίαν αὐτοῦ καταμαθόντες· καὶ ἐξ ἑκάστου ὀνόματος τὸ ἐφορμοῦν ἀπρεπὲς ἀποπεμψάμενοι· οἷον, ἀπὸ μὲν τοῦ Υἱοῦ τὸ νεώτερον, ἀπὸ δὲ τοῦ Λόγου τὸ ἀνυπόστατον, Θεὸν ἀΐδιον, ὁμοούσιον, ἀπαθῶς καὶ ἀχρόνως ἐκ τοῦ Πατρὸς προελθόντα εἰδείημέν τε καὶ προσκυνήσαιμεν.

CXLIII. — AD BASILIUM.

Quibus imperium contigit legitimum, iis etiam bene procedet. Bene autem tunc demum succedet, ubi obtinuerit pietas, quæ est omnium bonorum supremum, et divinorum mandatorum caput ac summa : quam constituit recta de divino Numine opinio, et sincera incorruptaque confessio, et ostendit timor atque dilectio Dei, et erga cognatum genus charitas atque affectio : quibus ex rebus tota lex et prophetæ omnes pendent. Quod etiam in magistratibus est supramundanum quiddam et excellens et præstantissimum. Hæc legitima est præfectura, et omnium subditorum utilitatis procuratio : sicut e contrario tyrannis est dominatio quæ ipsa sibi lex est, quæque nihil nisi propriam tyranni utilitatem consectatur. Quibuscunque igitur hoc imperium sorte obtigit administrandum, illi quasi coronam auream ex lapidibus pretiosis compactam sibi impositam habentes pietatem, et justitia tanquam purpura induti, in Deo imperare, et principatum admodum justum obtinere studebunt. **493** Ostendunt enim in semetipsis verissimum sacrum oracu-

ΡΜΓ'. — ΠΡΟΣ ΒΑΣΙΛΕΙΟΝ.

Οἷς τὸ ἄρχειν καθέστηκεν ἔννομον, τούτοις δήπου καὶ εὖ ὑπάρξει ἀκόλουθον· εὖ δὲ πράσσειν κατορθωθήσεται, ἡνίκα κρατύνηται ἡ εὐσέβεια, τῶν ἀγαθῶν τὸ ἀκρότατον, καὶ τῶν θείων προσταγμάτων κεφάλαιον, ἣν συνίστησιν ἡ ὀρθὴ περὶ τὸ Θεῖον δόξα, καὶ εἰλικρινὴς ὁμολογία, φόβος τε ὁ τοῦ Θεοῦ ἐμφανίζει καὶ ἀγάπησις, καὶ ἡ πρὸς τὸ ὁμόφυλον ἀγάπη τε καὶ συμπάθεια· ἐν οἷς ἅπας ὁ νόμος καὶ οἱ προφῆται κρέμανται. Τὸ καὶ ἐν ἀρχαῖς τι ὑπερκόσμιον, τὸ προὔχον καὶ κράτιστον. Ἥδε ἐστὶν ἐπιστασία ἔννομος, καὶ τοῦ παντὸς ὑπηκόου πρὸς τὸ λυσιτελὲς ἐπιμέλεια· ὥσπερ δὴ ἐκ τοῦ ἐναντίου, τυραννὶς ἐστι δυναστεία αὐτόνομος (57), ἐπὶ τὸ οἰκεῖον μόνον συμφέρον τῷ τυραννοῦντι μετερχομένη. Ὅσοι τοίνυν ταύτην διέπειν τὴν ἀρχὴν ἀποκεκλήρωνται, ἀναδούμενοι ὥσπερ στέφανον χρυσοῦ ἐκ λίθων τιμίων συνηρμοσμένον, τὴν εὐσέβειαν δικαιοσύνην τε ὥσπερ ἁλουργῖδα ἐνδιδυσκόμενοι, ἐν Θεῷ τε ἄρχειν, καὶ κρατεῖν δικαίαν μάλα ἀρχὴν φιλοτιμήσονται· δεικνῦσι γὰρ ἐφ' ἑαυτοῖς τὸ ἱερὸν ἀληθέστατον λόγιον, τὸ φάσκον· « Δι' ἐμοῦ βασιλεῖς βασιλεύουσι, καὶ δυνάσται γρά-

[47] Joan. I, 1.

VARIÆ LECTIONES ET NOTÆ.

(55) Pro Χριστοῦ cod. Vat. 650 legit Υἱοῦ, et vers. pro στήσωσιν scribit παραστήσωσι. Possin.

(56) Inter τίκτουσιν et ἀρχῇ hæc omnia idem cod. inserit, extritis iis quæ in edito leguntur, ἵνα δὲ μὴ ἡ πάθους φαντασία ἐπιχωμάσῃ λόγον προσαγορεύουσιν· ἵνα δὲ νεώτερος ὑπονοηθείη. Vers. penult. inter λόγος et ἐκ idem inserit ἵν'. Ip.

(57) *Τυραννὶς ἐστι δυναστεία αὐτόνομος.* Nota differentiam tyrannidis a regno. Confer epist. 194 lib. II, et Aristot. *Polit.*, nec non Ammianum Marcellinum, qui sæpissime hoc inculcat in suis historiis, nihil aliud esse justum ac legitimum imperium, quam curam salutis alienæ. Sic apud Ignatium epist. 7, officium boni regis est, εἰρήνην καὶ εὐνομίαν τοῖς ἀρχομένοις πρυτανεύειν. Rittr.

Digitized by Google

φουσι δικαιοσύνην. » Ἴσασι γάρ, ὅτι Ἀρχὴ ὁδοῦ ἀγαθῆς ποιεῖν δίκαια.

ΡΜΔ'. — Ἀνεπίγραφος.

Τὴν τιμίαν κέλευσιν τοῦ εὐσεβοῦς καὶ θεοπροβλήτου ἡμῶν μεγάλου βασιλέως, πρῶτον μὲν διὰ τοῦ βασιλικοῦ ἀποκρισιαρίου μαθόντες, καὶ τὴν ἐν Κυρίῳ ὑγείαν καὶ σωτηρίαν τῆς εὐσεβοῦς ὑμῶν βασιλείας, καὶ χαρᾶς μεγίστης πλησθέντες, δόξαν καὶ εὐχαριστίαν τῷ Θεῷ ἡμῶν ἐκτενῶς ἀνεπέμψαμεν, καὶ ἐκ τῆς ἀῤῥωστίας ἡμῶν ἀνερῤῥώσθημεν, καὶ προθυμίας πολλῆς ἐνεπλήσθημεν. Ἐντυχὼν δὲ τῇ τιμίᾳ κελεύσει, εὗρον, ὅπως ὁ περὶ τῆς εἰρήνης λόγος παρηκολούθησεν ἐπὶ τῶν πρώην ἀρξάντων. Καὶ ἡμεῖς μὲν ἤδη καὶ πρὸ μικροῦ χρόνου περὶ τούτου μερικῶς ἀκηκόαμεν· ἐν ἀπορίᾳ δὲ γεγόναμεν τοῦ συγκατατίθεσθαι τῷ λογισμῷ, εἰδότες ὅτι τὸ τόλμημα, ὃ οὐδεὶς τῶν Χριστιανῶν ἐπετήδευσεν, οὐδὲ εἰς νοῦν ἤγαγε τῶν προλαβόντων, ἐθάρσησαν ποιῆσαι. Φαίνεται δὲ ἡμῖν, ἢ ἐκ πολλῆς ἀπειρίας καὶ ἀμαθίας τῶν Χριστιανῶν δογμάτων, ἢ ἐκ πολλῆς ἀπιστίας καὶ καταφρονήσεως τῶν τοῦ Θεοῦ ἐντολῶν ἐγένετο. Εἰ γὰρ θείων λογίων κατήκοοι ἐγένοντο, τὸ τῆς εὐαγοῦς καὶ ἀμωμήτου ἡμῶν θρησκείας σεβάσμιον ἐφύλαττον, καὶ τοὺς ἐθνικοὺς καὶ ἀλόγους τῶν παρ' ἡμῖν ἁγίων καὶ σεβασμίων ἅψασθαι οὐ συνεχώρουν· οὔτε αὐτοὶ τοῖς μιάσμασι καὶ βδελύγμασι τῶν ἐθνικῶν κατὰ τοὺς ὅρκους αὐτῶν τοὺς ἐναγεῖς καὶ ἀλλοκότους ἐκοινώνουν. Τί γὰρ τὸ διάφορον, εἰ Χριστιανὸς καὶ ἐθνικός, αὐτοῖς τε ὅρκοις καὶ τοῖς αὐτοῖς ἔθεσιν ἐμπιστεύοντες, ἀλλήλους βεβαιοῦν δοκοῦσιν, ἐφ' οἷς χαλεπαίνειν καὶ ὀργίζεσθαι τὸν Θεὸν ἐπιστάμεθα; Ἐντέταλται γὰρ ὁ τῶν ὅλων Θεὸς καὶ Δεσπότης διὰ Γραφῶν ἁγίων αὐτοῦ· « Μὴ ἐκκλίνετε ἀπὸ τῆς γεγραμμένης, εἰς δεξιὰν, ἢ εἰς εὐώνυμον. »

CXLIV. — *Caret inscriptione.*

Cum venerandum mandatum pii et a Deo nobis præfecti magni imperatoris nostri primum quidem per imperatorium apocrisiarium cognovissemus, necnon sanitatem et salutem pii vestri imperii : et maxima repleti lætitia, gloriam atque gratiarum actionem ad Deum nostrum omnibus intentis nervis effudimus, et ex infirmitate nostra convaluimus, et multa animi alacritate impleti sumus. Cum autem venerandum legissem mandatum, inveni, quo pacto ratio de pace concilianda secuta sit anteriorum imperatorum rationes. Ac nos sane jam paulo ante nonnihil hac de re audivimus; verum dubitavimus, an assensum huic ratiocinationi præberemus, cum sciremus, quod ejusmodi facinus, quale veterum Christianorum nemo unquam aggressus fuit, neque in animum induxit suum, ausi sint suscipere. Nobis autem sic videtur, vel ex magna imperitia ruditateque Christianicorum decretorum, vel ex magna diffidentia atque contemptione mandatorum Dei hoc omne proficisci. Nam si divina audivissent oracula, tum vere sancte inculpateque religionis nostræ venerandum atque augustum mysterium custodivissent, neque permisissent, ut ethnicis et rationis expertibus hominibus fas esset nostra sacra et veneranda arcana attingere; neque ipsi nefariis atque abominandis paganorum sacris per juramenta ipsorum scelerata atque absurda communicassent. Quid enim interest, si Christianus et paganus iisdem et sacramentis et moribus fidem sibi invicem facientes, alteri alteros securos reddere atque confirmare videantur, quibus Deum irasci novimus atque indignari? Præcepit enim universarum rerum Deus ac Dominus per sacras Scripturas suas: « Ne declinate a præscripta vobis via, neque ad dextram, neque ad sinistram [50]. »

ΡΜΕ'. — ΘΕΟΔΟΣΙΩ ΕΠΙΣΚΟΠΩ.

Εἰς τὸ, « Τίς ἄρα ἐστὶν ὁ πιστὸς δοῦλος καὶ φρόνιμος, ὃν καταστήσει; »

Τὴν ἄνοιαν, μᾶλλον δὲ τὴν ἀπόνοιαν, ὦ μακάριε, τῶν ἑαυτοὺς ἐπιῤῥιπτόντων ἀμηχάνῳ πράγματι (58), ἢ ῥᾳδίως αὐτὸ καταδεχομένων, κωμῳδήσας, οὐκ οἶδα ὅπως ἐκεῖνο παραλέλοιπας, ὃ μάλιστα αὐτὴν δείκνυσι. Τί οὖν ἐστι τοῦτο; Οὐ πάντες ἄνθρωποι τοῖς αὐτοῖς νοσήμασιν ἑάλωσαν· οὐδὲ πάντες τῇ αὐτῇ θεραπείᾳ εἴκουσιν· ἀλλὰ πολλῶν ὄντων καὶ ποικίλων καὶ παντοδαπῶν τῶν παθῶν, τὰ βοηθήματα πλείονα

CXLV. — THEODOSIO EPISCOPO.

In illud, « Quis est fidelis ille servus et prudens, quem constituet [51]? »

Dementiam, vel potius vecordiam, o beate, eorum qui semetipsos conjiciunt in negotium difficile, aut certe id facile recipiunt, insectatus, nescio quo pacto illud prætermisisti, quod tamen vel maxime eam ostendit. Quidnam ergo illud est? Non omnes homines iisdem morbis laborant : **494** neque omnes eidem curationi cedunt, sed cum sint multæ ac variæ omnisque generis affectiones, auxilia ac

[50] Prov. VIII, 16. [51] Prov. XVI, 5. [50] Deut. V, 32. [51] Matth. XXIV, 45.

VARIÆ LECTIONES ET NOTÆ.

(58) *Ἀμηχάνῳ πράγματι.* Intelligit sacerdotium, sive episcopatum, cujus difficultatem muneris alibi quoque sæpe describit. Eo tamen multi nihil facilius esse putant, φαῦλόν τι καὶ πεπατημένον πρᾶγμα ἡγούμενοι, ut est apud Isidor. epistol. 122 et 199 lib. II. Ex quo natum illud proverbium sive dicterium vulgi quod refert Agathias : *Eadem porrige, et eris sacerdos.* Non ita Basilius, non ita Joan. Chrysostomus, non Nazianzenus, non Gregorius Magnus, non alii, qui regimen animarum artem artium pronuntiarunt. Unde et Ignatius epist. 7 scripsit : Ἱερωσύνη ἐστὶ τὸ πάντων ἐν ἀνθρώποις ἀγαθῶν ἀναβεβηκός. Ritt.

Digitized by Google

remedia plura etiam ac magis varia esse oportet. Quod si perturbat te id quod dictum est, paulisper sustine, ita fiet, ut qui nunc te detinet animi tumultus, eo vergat tandem, ut magis etiam miserandos illos esse existimet. Cum enim multi ac varii sint (animorum) morbi, primum quidem homini nato perdifficile atque arduum est, eos perspectos et cognitos habere: deinde etiamsi cognitos habeat, nosse quale eis conveniat remedium. Non enim omnibus eadem apta convenientiaque sunt auxilia, neque omnes iisdem curantur remediis. Nam quod hunc juvit, alteri nocuit: et quod alteri bene successit, hoc alterum evertit. Ac ne tibi forte paradoxa et absurda quædam proferre videar, quod dictum est, latius explicabo. Non qui oratione ducuntur, iidem et exemplo emendantur et ad modestiam flectuntur; sed alius hoc, alius illo in meliorem statum traducuntur. Neque illi qui stimulis indigent, iidem etiam frenos patiuntur: sed pigri quidem atque ignavi, qui ad honestatem capessendam difficulter permoventur, rationis plaga excitantur; qui autem justo ferventiores sunt, nec facile retinentur, ac tanquam pulli (indomiti) procul a linea feruntur, ii constringendo retinendoque juvantur. Alii laudibus, alii reprehensionibus corriguntur, si utraque tempestive adhibeantur. In contrariam vero cadent partem, si extra justa et convenientia tempora evagentur. Alii namque cohortationi cedunt, alii objurgationi; alii quidem in conventibus ac cœtibus hominum reprehensi, alii vero in penetrali domus admoniti suos nævos detergent. Solent enim alii quidem, cum alioquin contemnerent eos qui ad ipsos verba faciunt, publica increpatione corrigi; alii autem cum ad publicas reprehensiones potius impudentiores fiant, omnemque pudorem excutiant, privata et arcana objurgatione remotis arbitris facta, necnon si ostendamus, nos ipsorum vicem dolere, ad obedientiam instituuntur et assuefiunt. Porro alios quidem per omnia observare convenit, quos nimirum illa opinio, quod putant se latere, dum id moliuntur, tanquam sapientiores inflaverit. Aliorum vero nonnullæ sunt actiones vitiosæ, quas etiam dissimulare oporteat, ne ad indolentiam irritentur, tandemque per omnia tales evadant, qui nulla ratione in officio queant contineri, quippe qui pudorem ac verecundiam, maximum illud obedientiæ remedium, detriverint atque absterserint. Præterea etiam irasci nonnullis in speciem oportet, quamvis revera irati

εἶναι ὀφείλει καὶ ποικιλώτερα. Εἰ δὲ καὶ θορυβεῖ σε τὸ εἰρημένον, μικρὸν ἀνάμεινον, καὶ ὁ νῦν σε κατέχων θόρυβος εἰς τὸ ἐκείνους πλέον ταλανίσαι μεταπεσεῖται. Πολλῶν γὰρ καὶ παντοδαπῶν ὄντων τῶν ἀῤῥωστημάτων, πρῶτον μὲν ἄνθρωπον ὄντα χαλεπὸν συνιδεῖν, ἔπειτα δὲ καὶ μαθόντα, τὸ εἰδέναι, ποῖον ἁρμόττει φάρμακον. Οὐ γὰρ πᾶσι τὰ αὐτὰ ἁρμόττει βοηθήματα, οὐδὲ πάντες τοῖς αὐτοῖς θεραπεύονται· ὃ γὰρ τοῦτον ὠφέλησεν, ἄλλον ἔβλαψε· καὶ τὸ ἄλλῳ κατάλληλον, ἕτερον ἐπέτριψε· καὶ ἵνα μὴ δόξαιμί σοι παράδοξά τινα λέγειν, ἀπαμφιάσω τὸ λεγόμενον. Οὐχ οἱ λόγῳ ἀγόμενοι, καὶ παραδείγματι σωφρονίζονται· ἀλλὰ (59) ὁ μὲν τούτῳ, ὁ δὲ ἐκείνῳ, εἰς βελτίονα κατάστασιν ἄγονται. Οὐδὲ οἱ κέντρων δεόμενοι, οὗτοι καὶ χαλινῶν ἀνέχονται· ἀλλ' οἱ μὲν νωθροὶ (60) καὶ δυσκίνητοι τὸ καλὸν, τῇ λογικῇ πληγῇ διεγείρονται· οἱ δὲ θερμότεροι τοῦ δέοντος καὶ δυσκάθεκτοι, καὶ καθάπερ πῶλοι πόῤῥω τῆς νύσσης ὁρμῶντες, τῷ ἄγχεσθαι καὶ ἀνακόπτεσθαι ὠφελοῦνται. Οἱ μὲν ἐπαίνοις, οἱ δὲ ψόγοις σωφρονίζονται, ἤν ἀμφότερα καιρίως γένοιντο· εἰς τοὐναντίον δὲ μεταπεσεῖται, εἰ ἔξω τῶν καιρῶν φέροιντο. Οἱ μὲν γὰρ παρακλήσει εἴκουσιν, οἱ δὲ ἐπιτιμήσει· οἱ μὲν ἐν συλλόγοις ἐλεγχόμενοι, οἱ δὲ ἐν παραβύστῳ νουθετούμενοι ἀποτρίβονται τὰ ἐλαττώματα· φιλοῦσι γὰρ οἱ μὲν καταφρονεῖν τῶν διαλεγομένων (61), δημοσίᾳ ἐπιτιμήσει σωφρονιζόμενοι· οἱ δὲ πρὸς τοὺς δημοσίους ἐλέγχους μᾶλλον ἀποδυόμενοι καὶ τὴν αἰσχύνην ἀποσείεσθαι, τῷ τῆς ἐπιτιμήσεως μυστηριώδει καὶ τῇ συμπαθείᾳ πρὸς εὐπείθειαν παιδοτριβούμενοι. Τοὺς μὲν κατὰ πάντα παρατηρεῖν προσήκει, ὅσου; τὸ οἴεσθαι λανθάνειν, ἐπειδὴ τοῦτο μηχανῶνται, ὡς σοφωτέρους ἐφύσησε· τῶν δ' ἔστιν ἃ καὶ παροῤῥῆχρεών, ἵνα μὴ πρὸς ἀναλγησίαν ἐρεθίζωνται, καὶ τελευταῖον (62) πρὸς ἅπαντα γένωνται ἀκάθεκτοι, τὸ μέγιστον εἰς πειθὼ φάρμακον τὴν αἰδὼ ἀποτριψάμενοι. Καὶ ὀργίζεσθαι δ' ἔτι εἰς ὃ χρὴ, οὐκ ὀργιζομένους, καὶ ὑπεροῤῥῆν οὐχ ὑπεροῤῥῶντας, καὶ ἀποτινώσκειν οὐκ ἀποτινώσκοντας· καὶ ἄλλους μὲν ἐπιεικεῖᾳ θεραπεύειν, ἄλλους δὲ χωρισμῷ· καὶ τοὺς μὲν νικᾶν, τῶν δὲ καὶ ἡττᾶσθαι δοκεῖν, ὅσοις τοῦτο λυσιτελεῖ. Τοσούτων οὖν ὄντων καὶ τῶν ἀῤῥωστημάτων καὶ τῶν βοηθημάτων, καὶ πάντων μὴ τοῖς αὐτοῖς εἰκόντων, ἀλλὰ καὶ τοὐναντίον εἰς χείρονα πλημμελήματα ἐρεθιζομένων (63), τίς μὴ τῷ θείῳ Πνεύματι τὴν ψυχὴν φωτισθεὶς, εἰδέναι ἢ ἐπαρκέσαι δυνήσεται; ἀλλ' ἐπειδὴ ἄρχειν, εἰ καὶ ἀρχὴν νομίζουσιν ἐπιτηδείαν αὐτοῖς, τολμῶσι, μήτε τὴν δυσχέρειαν ἐννοοῦντες, μήτε τῆς Δεσποτικῆς φωνῆς ἀκούοντες,

VARIÆ LECTIONES ET NOTÆ.

(59) Post ἀλλὰ cod. Vat. 650 pro ὁ μὲν legit οἱ μὲν, et paulo post οἱ δὲ pro ὁ δέ. Possin.

(60) Pro νωθροὶ habet νωθεῖς. Id.

(61) Pro διαλεγομένων scribit idem ἰδίᾳ λεγομένων Vers. post 2, ἀποδυόμενοι mutat in ἀποδύεσθαι. Vers. seq. post ἐπιτιμήσεως quæ sequuntur usque ad τοὺς μὲν exclusive sic exhibet cod. Vat. 650, μυστηρίῳ παιδοτριβούμενοι καὶ ἀμειβόμενοι τῇ εὐπειθείᾳ τὴν συμπάθειαν. Id.

(62) Idem τελευταῖον mutat in τελευτῶντες. Vers. seq. pro τὸ μέγιστον εἰς πειθὼ φάρμακον, cod. Vat. 650 habet, τὸ μέγεθος τῆς πειθοῦς φάρμακον.

(63) Idem ἐρεθιζομένων mutat in ἐρεθιζόντων. Vers. seq. post ἀλλ' addit ἴσως. Vers. 6, post ἄρχειν quæ sequuntur in edito usque ad τολμῶσι inclusive sic codex Vat. 650 exhibet, ἁπλῶς αὐτὴν εἶναι νομίζουσιν, ἐπειδὰν αὐτοὶ τολμῶσι. Vers. ult. ep. hæc verba, τοῦ διδόναι αὐτοῖς τὸ σιτομέτριον, absunt a cod. Vat. 650. Id.

Digitized by Google

οὕτω τὸ σπάνιον ἐνδεικνυμένης, ὡς καὶ ἐπαπορητικῇ A non simus, et negligere aliqua, tametsi non negligamus: et alios quidem moderatione et æquitate animi sanare; alios vero separatione: et alios quidem vincere; ab aliis autem vinci quoque videri, quibus videlicet hoc expedit. **495** Cum igitur tot tamque multiplicia sint genera et morborum et auxiliorum, neque omnes iisdem cedant, sed etiam contra ad deteriora nonnunquam peccata admittenda irritentur: quis, quæso, aut omnia scire, aut huic tanto muneri par esse queat, nisi divinus Spiritus animum ipsius illustrarit? Sed quia imperium sibi probe convenire existimant, ideo tantum sumunt audaciæ (ut episcopatum invadant), neque ejus difficultatem muneris apud animum perpendentes, neque vocem Dominicam audientes, quæ adeo rarum negotium esse demonstrat (ut quis bene ei præsit), ut etiam dubitabunda oratione usus fuerit, dicens: « Quis, putas, est fidelis servus et prudens, quem constituet Dominus super familiam suam, ut det illis demensum? »

χρήσασθαι λέξει· « Τίς ἄρα ἐστὶν ὁ πιστὸς δοῦλος καὶ φρόνιμος, ὃν καταστήσει ὁ Κύριος ἐπὶ τῆς οἰκίας αὐτοῦ, τοῦ διδόναι αὐτοῖς τὸ σιτομέτριον; »

PMϚ'. — ΙΣΙΔΩΡΩ ΕΠΙΣΚΟΠΩ.

« *Καὶ ἀπαλλάξῃ τούτους.* »

Τί ἐστιν, ἔφης, « Καὶ ἀπαλλάξῃ τούτους, ὅσοι φόβῳ θανάτου διὰ σύμπαντος (64) τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας; » Ἄκουε τοίνυν. Οὐχ ὁ θάνατος, ὦ βέλτιστε, ἀλλὰ τὸ δικαστήριον τὸ μετὰ τὸν θάνατον, ἀποτρέπει τῶν ἁμαρτημάτων. Οἱ γὰρ ἀσεβεῖς, σπινθῆρα νομίσαντες εἶναι τὴν ψυχὴν, οὗ ἀποσβεσθέντος (65), ὡς ἔφασαν, τέφρα ἀποβήσεται τὸ, σῶμα, μόνον τεθνᾶναι νομίζοντες, μὴ κρίνεσθαι δὲ (ταῦτα γὰρ ἐν τῇ ἐπιγεγραμμένῃ Σοφίᾳ Σολομῶντος εἰρήκασιν, ὡς οἶσθα· εἰ δ' ἀγνοεῖς, λαβὼν μετὰ χεῖρας τὸ βιβλίον, εἴσῃ), οὐδὲν ἄπρακτον εἴασαν· ὡς γὰρ μηκέτι ὄντες μετὰ θάνατον, πάντα δρᾷν τὰ αἰσχύνης καὶ θανάτων (66) καὶ κολάσεως ἄξια ἐπεχείρουν, λέγοντες· « Αὕτη ἡ μερὶς ἡμῶν, καὶ ὁ κλῆρος οὗτος. » Ἦλθε τοίνυν ὁ Σωτὴρ, μετὰ τῶν ἄλλων, ὧν κατώρθωσε, καὶ ταύτης ἀπαλλάξων τοὺς ἀνθρώπους τῆς ὑπονοίας. Τὴν γὰρ τῆς ψυχῆς ἀθανασίαν ὁρισάμενος, ἐν τῷ φάναι· « Τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι· καὶ τὴν τῶν σωμάτων ἀνάστασιν εὐαγγελισάμενος διὰ τοῦ εἰπεῖν· « Ἐν τῇ ἀναστάσει τῶν νεκρῶν οὔτε γαμοῦσιν οὔτε γαμίζονται, ἀλλ' ἔσονται ὡς (67) ἄγγελοι· » τήν τε κρίσιν μηνύσας διὰ πολλῶν μὲν ἄλλων, καὶ ἐν τῷ φρᾶσαι δέ· « Φοβηθῆτε τὸν δυνάμενον καὶ ψυχὴν καὶ σῶμα ἀπολέσαι ἐν γεέννῃ· » πάσης ἐκείνης ἠλευθέρωσεν ἅπαντας τῆς ὑπονοίους (68)· μᾶλλον δ' ἀληθέστερον εἰπεῖν, τῆς δουλείας. Τὸ γὰρ θεῖον δικαστήριον ἐν νῷ λαμβάνοντες, καὶ ὡς πρὸς σκοπὸν τὸ ὄμμα τείνοντες, καὶ οὐδὲν φαῦλον πρᾶξαι τολμήσειαν. Οἶμαι μὲν οὖν σεσαφηνίσθαι τὸ ῥητόν. Εἰ δὲ καὶ μεταφρασθῆναι αὐτὸ βούλει, φήσαιμι· Ἐπειδὴ ὡς μέλλοντες ἀποθνήσκειν, ἐδούλευσαν ἀφειδῶς ταῖς ἁμαρτίαις (ὁ γὰρ τοῦ θανάτου φόβος, βλυσυρὸν αὐτοῖς ἐνορῶν, καὶ τὴν τοῦ μηκέτι εἶναι ἔννοιαν τίκτων, εἰς πᾶσαν αὐτοὺς δουλείαν ἁμαρτίας παρέπεμπε), διὰ

CXLVI. — ISIDORO EPISCOPO.

« *Et liberaret eos* [63], » etc.

Quæsivisti quid sit illud: « Et liberaret eos, qui timore mortis per totam vitam obnoxii erant servituti. » Ausculta igitur. Non mors ipsa, o bone, sed judicium, quod post mortem futurum est, avertit a peccatis. Impii enim cum existimarent animam esse scintillam quamdam, qua exstincta, ut aiebant, corpus in cinerem abibit, mori se tantum (more brutorum) putantes, non autem (post mortem) judicari: (hæc enim talia in libro qui Sapientia Salomonis inscribitur [63], dixerunt, ut nosti: quod si nescis, sume in manus eum librum, et scies) nihil intentatum vel inausum relinquebant. Non aliter enim ac si post mortem non amplius futuri [64] essent, omnia probro ac pudore et multis mortibus et supplicio digna agere aggressi sunt, dicentes: « Hæc est pars nostra et hæreditas nostra est ista [64]. » Quare venit Salvator, præter alia (multa) quæ præclare gessit ac restituit, hac etiam suspicione homines liberaturus. Nam cum animæ immortalitatem definivisset per id quod dixit: « Animam autem occidere non possunt [65]; » cum item corporum resurrectionem annuntiasset per id quod dixit: « In resurrectione mortuorum neque ducunt uxores, neque nuptum dantur, sed erunt tanquam angeli [66]; » cumque judicium supremum significasset partim aliis multis verbis, partim eo dum dixit: « Timete eum qui potest et animam et corpus perdere in gehenna [67]; » omnes omni illa suspicione, vel potius (ut verius dicam) servitute, penitus liberavit. Divinum namque judicium apud animum agitantes, et eo tanquam ad scopum dirigentes oculum mentis, nihil unquam mali facere audebunt. Atque his quidem hactenus puto a me dictum illud expositum esse satis. Quod si etiam a me postulas, ut id metaphrasi quadam illustrem (aliis verbis eadem

[63] Hebr. II, 15. [63] Sap. II, 1 seqq. [64] Ibid. 9. [65] Matth. X, 28. [66] Matth. XXII, 30. [67] Matth. X, 28.

VARIÆ LECTIONES ET NOTÆ.

(64) Pro σύμπαντος cod. Vatic. 630 scribit διὰ παντός. Possin.

(65) Ἀποσβεσθέντος mutat idem cod. in ἀποσκευασθέντος, minus commode, ut videtur. Id.

(66) Verba illa καὶ θανάτων idem cod. recte omittit. Id.

(67) Inter ὡς et ἄγγελοι idem cod. inserit οἱ.

Mox post κρίσιν verbum μηνύσας auget præpositio προ. Vers. inde 2, φοβηθῆτε emendat in φοβήθητε. Id.

(68) Ὑπονοίους mutat in ὑποψίας, et vers. post 3 ante οὐδὲν tollit καί. Vers. inde 3, ἐδούλευσαν mutat in ἐδούλευον. Id.

Digitized by Google

[illegible]

[illegible]

[illegible]

437 [illegible]

[illegible] ibid. [illegible] ibid. C. 7.

VARIÆ LECTIONES ET NOTÆ.

[illegible] ... Possin.

[illegible] ... Vers. seq. pro [illegible] ... Id.

[illegible] Inter [illegible] et [illegible] inserit [illegible] ... Vers. [illegible] ... Id.

Digitized by Google

ΡΜΗ'. — ΙΣΙΔΩΡΩ ΔΙΑΚΟΝΩ (72).

Εἰς τό, « Καὶ ὁ ἀδικῶν ἐνευλογεῖται. »

Τί ἐστιν, [ὃ] ἔφης, τό, « Καὶ ὁ ἀδικῶν ἐνευλογεῖται; » Ἄκουε τοίνυν. Παρὰ τὸ εὖ λέγεσθαι ἐνταῦθα εἴρηται τὸ εὐλογεῖται, τοῦτ' ἔστιν ἐπαινεῖται, ἐγκωμιάζεται παρὰ τῶν κολακευόντων αὐτὸν, καὶ ἐπιτριβόντων αὐτοῦ τὴν κακίαν, καὶ μὴ αἴσθησιν τῆς νόσου διὰ τῆς σιωπῆς ἐμποιῆσαι ἀνεχομένων· διὸ καὶ ἀνήκεστος ὁ τοιοῦτος εὑρίσκεται. Τῷ γὰρ μηδ' αἴσθησιν τοῦ πάθους ἔχειν, θεραπείαν οὔτε ζητεῖ οὔτε προσίεται. Καὶ τοῦτό ἐστι τὸ πάντων δεινότατον, ὅταν ἡ κακία ἐπαινῆται, καὶ μηδὲ κακία εἶναι νομίζηται. Διὸ χρὴ μάλιστα μὲν, εἰ δυνατὸν, διορθοῦν τὸν τοιοῦτον. Εἰ δὲ μὴ, μηδὲ κολακεύειν, μηδ' ἐπιτρίβειν τὸ πάθος· ἀλλὰ τῇ σιωπῇ αἴσθησιν αὐτῷ τῆς πονηρίας ἐμποιεῖν. Εἰ δὲ μηδὲ τοῦτο βούλοιτό τις ποιεῖν, φεύγειν προτροπάδην· ἵνα μὴ κοινωνὸς τῆς ἀδικίας διὰ τῆς κολακείας ὀφθείς, κοινωνὸς αὐτῷ κἀν ταῖς τιμωρίαις εὑρεθῇ. Ὥσπερ γὰρ (73) ὁ εἰς ἀρετὴν ἐνάγων στεφανοῦται, κἂν μηδὲν ἀνύσῃ (τὸ γὰρ ἑαυτοῦ πεπλήρωκεν)· οὕτω καὶ ὁ εἰς ἀδικίαν ἀλείφων κολάζεται, κἂν μηδὲν ἰσχύσῃ· τὸ γὰρ ἑαυτοῦ καὶ οὗτος ἐποίησεν.

CXLVIII. — ISIDORO DIACONO.

In illud, « Et injuste agens in eo laudatur [61]. »

Quærebas, quid sibi vellet illud, quod dicitur : « Et injuste agens in eo benedicitur. » Ausculta igitur. Benedicitur hoc loco deductum est ab eo quod est bene dicere, et valet idem quod laudatur, encomiis ornatur ab assentatoribus suis, qui improbitatem ipsius demulcent, ac ne sensum quidem morbi suo silentio ei ingenerare sustinent. Quæ causa quoque est, cur talis inveniatur incurabilis. Nam quia ne sensum quidem mali habet, curationem nec quærit, nec admittit. Atque hoc omnium est gravissimum, quando improbitas laudatur, ac ne quidem pro improbitate habetur. Quocirca maxime quidem in id incumbendum est, ut, si fieri potest, talem corrigamus. Sin minus, cavendum tamen omni studio, ne vel adulatione vel demulcendo malum foveamus : sed silentio saltem improbitatis sensum ipsi injiciamus. Quod si nec hoc quidem voluerit quis facere, contento cursu unicuique fugiendum est, ne injustitiæ particeps fieri per assentationem deprehensus eidem quoque in suppliciis perferendis socius efficiatur. Quemadmodum enim is, qui alteri ad virtutem capessendam sese ducem præbuerit, coronatur, tametsi nihil apud eum profecerit (nam quantum in se fuit, implevit): ita etiam punitur is, qui alterum ad injustitiam instigat, tametsi nihil valuerit. Nam et hic quod suum erat, fecit.

ΡΜΘ'. — ΗΛΙΑ ΔΙΑΚΟΝΩ.

Εἰς τό, « Ἅπαξ ἐλάλησεν ὁ Θεὸς, » εἰς τὸν ξα' ψαλμόν.

Τὸ θήραμα, ὦ βέλτιστε, ὃ θηρεῦσαι ποθεῖς, τοῖς μὲν συνετωτέροις ἐστὶ δυσθήρατον· τοῖς δὲ παχυτέροις ἀθήρατον. Ἔφης γάρ· Τί ἐστιν· « Ἅπαξ ἐλάλησεν ὁ Θεὸς· δύο ταῦτα ἤκουσα; » Οἶμαι τοίνυν (ἐπειδὴ τοῦ νοήματος χρὴ ἀνοῖξαι τὰς θύρας, καὶ τοῖς συνετωτέροις ἐφεῖναι τὸ τὰ ἀδύνατα τοῦ ῥητοῦ κατοπτεῦσαι) οὕτως εἰρῆσθαι, ὡς ἄν τις εἴποι· Ὃ δεῖνα ἅπαξ μέν μοι συνέτυχε· περὶ δὲ διαφόρων διελέχθη πραγμάτων. Οὗτος μὲν οὖν ὁ πρόχειρος νοῦς. Ὁ δὲ βαθύτερος καὶ εἰλικρινέστερος ἐν πάσαις μὲν διέσπαρται ταῖς Γραφαῖς· ἓν δὲ ἢ δεύτερον μεταχειρισάμενος φράσω, εἰ καὶ ἐπὶ πολλὰς ἔστιν ἐκδοχὰς τρέψαι τὴν διάνοιαν, ἐχομένας τῆς τοῦ Μελῳδοῦ μεγαλονοίας (74) Ἐπειδὴ εἶπεν ὁ Θεὸς τῷ Ἀδάμ· « Γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ· » οὐ προσέθηκε δὲ, Ἀφανισθήσῃ, οὐδὲ μὴ ἐπανελεύσῃ· ἐγὼ διὰ τοῦ ταῦτα παρασεσιωπῆσθαι, τὴν ἀνάστασιν προσυπήκουσα. Ἐλπίδα γὰρ ἐπανόδου τῷ ἐξορίστῳ ἔδωκεν. Ἡ γὰρ ἀπόφασις, μονότροπος εἶναι δοκοῦσα (75), ἐμφαίνει βασιλικὴν φιλανθρωπίαν, καὶ ἐπανόδου τίκτει ἐλπίδα. Καὶ Νινευῖται δὲ ἄνθρωποι βάρβαροι, σχεδὸν ἀπόφασιν καθαρὰν δεξάμενοι, οὐδὲν βάρβαρον ἔπαθον, ἀλλ'

CXLIX. — HELIÆ DIACONO.

In illud, « Semel locutus est Deus, » in psalmum LXI.

Venatura illa, o bone, quam venari cupis, illis quidem qui sunt cordatiores, captu perdifficilis est; crassioribus autem ac pinguioribus captu impossibilis. Quærebas enim, quid sit illud : « Semel locutus est Deus, duo hæc audivi [62]. » Arbitror igitur (quoniam intellectus januæ aperiendæ sunt, et intelligentioribus permittendum, ut impossibilia (vulgo) hujus dicti contemplentur) ita hoc dictum esse, ut si quis dicat : Ille semel quidem mihi occurrit; de diversis autem capitibus verba mecum communicavit. Hic sane obvius est sensus ejus dicti. Profundior autem atque sincerior in omnibus quidem Scripturis passim dispersus est : unum tamen duntaxat alterumve in manus sumptum commemorabo, quamvis in multos ac varios intellectus liceat vertere cogitationem, qui sint consentanei sublimibus Psalmographi sensibus. **498** Quoniam Adamo dixit Deus : « Terra es, et in terram reverteris [63]; » non addidit autem : In nihilum redigeris, neque iterum redibis; ego per id, quod ista silentio præterita sunt, subintellexi resurrectionem. Spem enim reversionis dedit exsuli.

[61] Prov. xxiv, 25. [62] Psal. lxi, 12. [63] Gen. iii, 19.

VARIÆ LECTIONES ET NOTÆ.

(72) In tit. διακόνῳ mutat in ἐπισκόπῳ codex Vat. 650. Vers. 5 ep. pro μὴ cod. idem habet μηδέ. Vers. seq. idem ex ἐμποιῆσαι tollit ἐμ. Possin.

(73) Cod. Vat. addit καί. Ib.

(74) Ante ἐπειδὴ εἶπεν supplet cod. Vatic. 650, ὅτι ὅτ., Ib.

(75) Pro εἶναι δοκοῦσα idem simpliciter ponit οὖσα. Ib.

Digitized by Google

Sententia enim quæ uniusmodi esse videtur, regium simul indicat clementiam et humanitatem, et reditus gignit spem. Sed et Ninivitæ, quamvis barbari, nihil tamen barbari senserunt, pura ac præcisa ferme sententia accepta; sed cum cogitassent illud: « Adhuc tres dies, et Ninive evertetur [64], » ostendere divinam bonitatem; quippe sententia, quæ comminatione inevitabili plena videbatur, tacitam in se et latentem conditionem continebat, et quidem adjuncta dilatione occultatam: alioquin enim post tres dies non distulisset. Verum tale quiddam innuit: Tres dies exspectabo vos (num sitis pœnitentiam acturi), pœnitentia acta perniciem quidem impendentem a se depulerunt; salutis vero fructum sunt adepti. Non enim unum quiddam (præcise) videbatur in se continere sententia, sed duo capita: videlicet, aut supplicium impœnitentibus, aut pœnitentiam agentibus salutem. Quod quidem ita esse, ipse ostendit exitus, qui interpretationi potius quam verbis sententiæ consentaneus fuit.

A ἐννοήσαντες τὸ, « Ἔτι τρεῖς ἡμέραι, καὶ Νινευὴ καταστραφήσεται, » ὅτι ἐμφαίνει θείαν φιλανθρωπίαν (ἡ γὰρ ἀπόφασις, ἀπειλῆς ἀπαραιτήτου γέμουσα (76), αἵρεσιν λανθάνουσαν εἶχε τῇ συνεζευγμένῃ ὑπερθέσει κεκρυμμένην. Οὐ γὰρ περιεῖχε. Μετὰ τρεῖς ἡμέρας· ἀλλὰ τοιοῦτόν τί ἐστι· Τρεῖς ἡμέρας ἀνέχομαι ὑμῶν), καὶ γνωσιμαχήσαντες, τὴν μὲν ἀπώλειαν διεκρούσαντο, τὴν δὲ σωτηρίαν ἐκαρπώσαντο. Οὐ γὰρ ἕν τι ἔχειν ἐδόκει ἡ ἀπόφασις· ἀλλὰ δύο, ἢ ἀμετανοήτοις τιμωρίαν, ἢ μετανοοῦσι σωτηρίαν. Ὅπερ οὖν καὶ τὸ τέλος ἔδειξε, τῇ ἑρμηνείᾳ μᾶλλον τῆς ἀποφάσεως ἀκολουθῆσαν.

CL. — NILAMMONI.

Ex priore ad Corinthios. Quare dixerit Paulus, « Non enim judicavi me scire aliquid inter vos, nisi Christum, et hunc crucifixum [65]. »

Quæris, cur Paulus, relictis illis splendidis atque augustis, quæ de Christo annuntiabat, scripserit Corinthiis: « Non judicavi me scire aliquid inter vos, nisi Jesum Christum, et hunc crucifixum. » Arbitror itaque, quia ipsa quoque illa, quæ probris plena videntur, maximo et robore et honore scatent, idcirco eum ista dixisse, tantum non edita voce proclamantem: Vinctum athletam ecce in medium produco, ut posteaquam Olympia vicerit, clariori cum præconio ornem: vilissimam et contumeliæ plenam armaturam duci militiæ circumdo, ut tanto magis gemat, qui morbo multitudinis deorum laborat, ubi tam vilibus armis se victum senserit.

B

ΡΝʹ. — ΝΕΙΛΑΜΜΩΝΙ (77).

Πρὸς Κορινθίους α'. Διὰ τί εἶπεν ὁ Παῦλος· « Οὐ γὰρ ἔκρινά τι εἰδέναι ἐν ὑμῖν, εἰ μὴ Χριστὸν καὶ τοῦτον ἐσταυρωμένον. »

Τίνος ἕνεκεν, φῄς, τὰ σεμνὰ ἐκεῖνα καὶ λαμπρὰ, ἃ περὶ τοῦ Χριστοῦ ἀνεκήρυττεν ὁ Παῦλος παρεὶς, ἔγραψε Κορινθίοις· « Οὐκ ἔκρινά τι εἰδέναι ἐν ὑμῖν, εἰ μὴ Ἰησοῦν Χριστὸν, καὶ τοῦτον ἐσταυρωμένον; » Οἶμαι τοίνυν, ὅτι καὶ αὐτὰ τὰ ἐπονειδιστα μεγίστης ἔβρυον ῥώμης τε καὶ τιμῆς· διὰ τοῦτο ἔφη ταῦτα, μονονουχὶ βοῶν· Δεδεμένον εἰς μέσον φέρω τὸν ἀθλητὴν, ἵν' Ὀλυμπιονίκην γενόμενον σφοδρότερον ἀνακηρύξας, εὐτελεστάτην καὶ ὕβρεως μεστὴν ἀνατίθημι τῷ στρατηγῷ πανοπλίαν, ἵνα στενάξῃ πυκνότερον ὁ τὴν πολυθεΐαν νοσῶν, ὅπλοις εὐτελέσι νενικημένος.

C

CLI. — NILO.

Quid sit illud, « Qui in altis habitat, nonne videt [66]? »

Quod scriptum est: « An qui alta incolit, non videt? » discendi cupiditate adductus per litteras ex me quæsivisti quid significet. Ausculta igitur. Qui excelsa habitat (hoc enim significat ναίων, incolens: unde et νεὼς, hoc est ναὸς, derivatur, quorum utrumque templum denotat, quemadmodum ab οἴκου, quod est domus, descendit **499** verbum οἰκεῖν, ita etiam a nomine ναὸς verbum ναίειν) hic omnia intuetur, nec ipsum quidquam effugit. An igitur non videt, inquit, is qui excelsa inhabitat? pro eo quod est, certe videt. Quod Psalmorum auctor clarius dixit: « Qui in altis habitat, et humilia respicit [67]. » Tres autem pueri omnium clarissime idem protulerunt. « Benedictus es, qui intueris abyssos: sedens super cherubim [68]. » Nam

D

ΡΝΑʹ. — ΝΕΙΛΩ.

Τί ἐστιν, « Ἦ ὁ τὰ ὑψηλὰ ναίων, οὐκ ἐφορᾷ; »

Τὸ γεγραμμένον, « Ἦ ὁ τὰ ὑψηλὰ ναίων, οὐκ ἐφορᾷ, » μαθεῖν ἐθέλων γέγραφας. Ἄκουε τοίνυν. Ὁ τὰ ὑψηλὰ οἰκῶν (τοῦτο γάρ ἐστι τὸ ναίων, ἀφ' οὗ καὶ ὁ νεὼς, τοῦτ' ἔστιν ὁ ναός· ὥσπερ γὰρ ἀπὸ τοῦ οἴκου τὸ οἰκεῖν, οὕτω καὶ ἀπὸ τοῦ ναοῦ τὸ ναίειν), οὗτος ἐφορᾷ πάντα, καὶ οὐδὲν αὐτὸν διαδιδράσκει. Ἦ οὖν οὐκ ἐφορᾷ, φησὶν, ὁ τὰ ὑψηλὰ οἰκῶν; ἀντὶ τοῦ, Ναὶ, ἐφορᾷ. Ὅπερ ὁ Μελῳδὸς σαφέστερον εἶπεν· « Ὁ ἐν ὑψηλοῖς κατοικῶν, καὶ τὰ ταπεινὰ ἐφορῶν. » Οἱ δὲ παῖδες οἱ τρεῖς σαφέστατα· « Εὐλογητὸς εἶ, ὁ ἐπιβλέπων ἀβύσσους, καθήμενος ἐπὶ τῶν Χερουβίμ. » Ὁ [illegible] ὑπερκείμενος, φησὶ, τῶν ἄνω δήμων, οὐ [illegible] τὴν ἡμετέραν εὐτέλειαν, ἀλλὰ καὶ τῶν [illegible] δυνάμεων, νεύμασιν ἡμερωτάτοις καὶ τὰ ἐν τοῖς [illegible]θοῖς [illegible].

[64] Jon. III, 4. [65] I Cor. II, 2. [66] Eccli. XXIII, 25-27. [67] Psal. CXII, 5, 6. [68] Dan. III, 55.

VARIÆ LECTIONES ET NOTÆ.

(76) Pro γέμουσα legit. [illegible] Vers. [illegible] οὐ γὰρ [illegible] Vers. seq. post [illegible] δύο supplet [illegible] Possin.

— In titulo Νειλάμμωνι [illegible] cod. Vat. 650. [illegible] Vers. [illegible]

Digitized by Google

tu, inquit, quamvis præsidens superioribus angelorum populis, non tamen contemnis, aut negligis nostram vilitatem, sed etiamsi invisibilibus imperites virtutibus, tamen nutibus benignissimis ea quoque gubernas, quæ in profundis sita sunt.

ΡΝΒ'. — ΔΙΔΥΜΩ ΣΧΟΛΑΣΤΙΚΩ.

Εἰς τό, « Μακρόθυμος ἀνὴρ πολὺς ἐν φρονήσει. »

Τῷ ὄντι μακρόθυμος ἀνὴρ πολὺς ἐν φρονήσει. Εἴρηται γὰρ παρὰ τὸ μακράν τινα καὶ μεγάλην ἔχειν ψυχήν, καὶ ὑπὸ μηδενὸς ἐλεγχομένην· ἀλλὰ καὶ τὸν θυμόν, τὸν πάντων παθῶν ὀξύτερον (78), τὸν καὶ τὰς ἐννοίας (79) λανθάνοντα, καὶ τοὺς λογισμοὺς προπηδῶντα, χαλινοῦν, καὶ εἴσω τῶν οἰκείων ὅρων συγκλείειν (80)· οὗ μεγαλοψύχου κατὰ ἀντιδιαστολὴν καὶ τὸν μικρόψυχον ἔταξεν, εἰπών· « Ὁ δὲ ὀλιγόψυχος ἰσχυρῶς ἄφρων. » Ὁ γὰρ ὑπὸ πάντων διὰ μικροψυχίαν σαλευόμενος τῶν παθῶν, κομιδῇ ἐστιν ἄνους.

A

CLII. — DYDIMO SCHOLASTICO.

In illud, « Longanimis vir multus in sapientia [69]. »

Revera vir longanimis multus in prudentia. Dictus enim est ex eo, quod amplum quemdam et magnum habeat animum, quique a nemine redargui possit; quin etiam iram, omnibus affectibus ac perturbationibus acriorem vehementioremque, et quæ cogitationes quoque lateat, et ratiocinationes saltu antevertat, freno compescere, intraque suos terminos concludere norit. Cui magnanimo ex adverso etiam opposuit pusillanimum, dicens: « Pusillanimus autem valde insipiens est. » Nam qui ob animi parvitatem ab omnibus animi perturbationibus agitatur, vehementer excors est.

ΡΝΓ'. — ΙΣΙΔΩΡΩ ΔΙΑΚΟΝΩ (81).

Εἰς τὸ γεγραμμένον, « Ἐγὼ πᾶσι τοῖς ἄστροις ἐνετειλάμην· » καὶ εἰς τό, « Τὰ ἄστρα δὲ οὐ καθαρὰ ἐνώπιον· » ὅπερ ἐστὶ τοῦ Ἰώβ.

Τὸ, « Ἐγὼ τοῖς ἄστροις ἐνετειλάμην, » συναπτόμενον τῷ, « Εἰς τὸν αἰῶνα, Κύριε, ὁ λόγος σου διαμένει ἐν τῷ οὐρανῷ, » οὐδεμίαν μέμψιν ἢ παράβασιν παρίστησιν. Εἰ μὲν γὰρ περὶ τοῦ Θεοῦ Λόγου φαῖεν λελέχθαι τὸ, « Εἰς τὸν αἰῶνα, Κύριε, ὁ λόγος σου διαμένει ἐν τῷ οὐρανῷ, » πευσόμεθα αὐτῶν, τίνος ἕνεκεν οὐ πανταχοῦ εἴρηται; Αὐτὸς γάρ ἐστιν ὁ πάντα συνέχων καὶ συγκροτῶν. Εἰ δ' ἐλεγχόμενοι φήσουσι, τὸν διατεταγμένον αὐτοῖς νόμον, ὅπως χρὴ θέειν, ἐνταῦθα δηλοῦσθαι, ἐπειδήπερ ἐν γῇ παραβάθη, φαμέν (82)· Τίνος οὖν ἕνεκα ἐνταῦθα παράγεται τὸ, « Ἄστρα δὲ οὐ καθαρὰ ἐνώπιον αὐτοῦ; » Δείκνυται γὰρ τῷ λόγῳ αὐτοῦ ἀκολουθοῦντα, καὶ οὐ παραβαίνοντα διάταξιν. Εἰ δὲ τούτων οὕτω λεγομένων καὶ ἀποδειχθέντων, ἀπαιτηθείημεν ἡμεῖς. Τί δ' ἐστὶν, « Ἄστρα οὐ καθαρὰ ἐνώπιον αὐτοῦ; » φαίημεν, ὅτι Κατὰ μὲν τὴν ἑαυτῶν φύσιν τὰ ἄστρα καθαρά ἐστιν, ὥσπερ καὶ γεγένηται παρὰ τοῦ Δημιουργοῦ. Λύτῳ δὲ τῷ ποιητῇ παραβαλλόμενα τοσοῦτον ἀπέχει, ὅσον μύρμηξ οὐρανοῦ (83), ἢ ἡλίου, ἢ τινος τῶν ἄλλων κτισμάτων· ὅτ' ὃ οὐδ' ἀπολελυμένως εἶπεν, « οὐ καθαρά· » τοῦτο γὰρ ἦν δεῖξαι αὐτὰ πταίοντα· ἀλλὰ προσέθηκεν, « ἐνώπιον αὐτοῦ. » Καὶ οὐ σύγκρισιν νοείτω (84) τὸ εἰρημένον, κατὰ τὸ ἀλλαχοῦ ῥηθέν,

B

CLIII. — ISIDORO DIACONO.

In id quod scriptum est, « Ego omnibus stellis præcepi [70]. » Et in illud, « Stellæ autem non sunt puræ in conspectu ejus [71], » quod est ex Jobo.

Dictum illud: « Ego astris mandavi, » conjunctum cum altero, « In sæculum, Domine, verbum tuum permanet in cœlo [72]; » nullam reprehensionem aut transgressionem statuit. Nam si de Dei Verbo (sive Filio Dei) dicant prolatum esse illud, « In æternum, Domine, verbum tuum permanet in cœlo; » quæremus ex ipsis, cur non potius dictum sit: Ubique ipse enim est, qui omnia continet atque confirmat. Sin autem convicti dicent, constitutam ipsis legem, quomodo oporteat currere, hoc loco significari, quia in terra (lex divina) C violata est, instabimus; quare ergo hic additur: « Astra autem non sunt munda in conspectu ejus? » Ostenduntur enim verbo ipsius obsequentia, nec transgredientia constitutionem sibi præfixam. Quod si his ita dictis ac demonstratis, a nobis exigatur interpretatio, ut dicamus, quidnam sibi velit illud: « Astra non sunt munda in conspectu ejus » dicemus: **500** Suæ quidem naturæ ratione ac respectu astra sunt munda, qualia etiam a rerum opifice Deo facta sunt. Si vero cum ipso conditore conferantur, tantum (ab ejus puritate perfectioneque) absunt, quantum formica a cœlo, aut sole, aut alia quapiam creatura. Quæ causa quoque est,

[69] Prov. xvi, 32. [70] Job ix, 7. [71] Job xxv, 5. [72] Psal. cxviii, 89.

VARIÆ LECTIONES ET NOTÆ.

(78) *Τὸν θυμὸν, τὸν πάντων παθῶν ὀξύτερον.* Hinc et Heraclitus et Democritus, præstantissimi duo philosophi, quorum alter vitam humanam perpetuis lacrymis, alter assiduis cachinnis prosequebatur, unanimi ore pronuntiarunt, χαλεπὸν θυμῷ μάχεσθαι. Arist. lib. II, *Ethic. Nicom.*, cap. 3, et ad eumdem lib. II, c. 7, et *Polit.* lib. V, cap. 11. Stob. tit. *Περὶ ὀργῆς.* Rittt.

(79) Pro ἐννοίας, quæ non mala est lectio, cod. Vat. 650 habet εὐνοίας. Possin.

(80) *Συγκλείειν.* Deest fort. εἰδέναι. Rittt.

(81) Non Ἰσιδώρῳ sed Ἰωάννῃ διακόνῳ hæc ep. inscribitur in cod. Vat. 650. Vers. 4 ep. inter φαῖεν et λελέχθαι inserit idem ἐνταῦθα. Possin.

(82) Φαμὲν idem mutat in φαίημεν. Vers. inde 4, ante διάταξιν idem ponit τήν. Ib.

(83) Pro οὐρανοῦ cod. Vatic. 650 habet ἄνου, hoc est ἀνθρώπου, quod sane crediderim archetypo congruere. Ib.

(84) *Καὶ οὐ σύγκρισιν νοείτω.* F. leg. Κατὰ οὖν σύγκρισιν. Vel, Καὶ οὕτω σύγκρισις νοείσθω. Rittt. — Cod. Vatic. sic legit, ἵνα πρὸς παραβολὴν αὐτοῦ καὶ σύγκρισιν νοεῖται. Possin.

Digitized by Google

remedia plura etiam ac magis varia esse oportet. Quod si perturbat te id quod dictum est, paulisper sustine, ita fiet, ut qui nunc te detinet animi tumultus, eo vergat tandem, ut magis etiam miseandos illos esse existimet. Cum enim multi ac varii sint (animorum) morbi, primum quidem homini nato perdifficile atque arduum est, eos perspectos et cognitos habere: deinde etiamsi cognitos habeat, nosse quale eis conveniat remedium. Non enim omnibus eadem apta convenientiaque sunt auxilia, neque omnes iisdem curantur remediis. Nam quod hunc juvit, alteri nocuit: et quod alteri bene successit, hoc alterum evertit. Ac ne tibi forte paradoxa et absurda quædam proferre videar, quod dictum est, latius explicabo. Non qui oratione ducuntur, iidem et exemplo emendantur et ad modestiam flectuntur; sed alius hoc, alius illo in meliorem statum traducuntur. Neque illi qui stimulis indigent, iidem etiam frenos patiuntur: sed pigri quidem atque ignavi, qui ad honestatem capessendam difficulter permoventur, rationis plaga excitantur; qui autem justo ferventiores sunt, nec facile retinentur, ac tanquam pulli (indomiti) procul a linea feruntur, ii constringendo retinendoque juvantur. Alii laudibus, alii reprehensionibus corriguntur, si utraque tempestive adhibeantur. In contrariam vero cadent partem, si extra justa et convenientia tempora evagentur. Alii namque cohortationi cedunt, alii objurgationi; alii quidem in conventibus ac cœtibus hominum reprehensi, alii vero in penetrali domus admoniti suos nævos detergent. Solent enim alii quidem, cum alioquin contemnerent eos qui ad ipsos verba faciunt, publica increpatione corrigi; alii autem cum ad publicas reprehensiones potius impudentiores fiant, omnemque pudorem excutiant, privata et arcana objurgatione remotis arbitris facta, necnon si ostendamus, nos ipsorum vicem dolere, ad obedientiam instituuntur et assuefiunt. Porro alios quidem per omnia observare convenit, quos nimirum illa opinio, quod putant se latere, dum id moliuntur, tanquam sapientiores inflaverit. Aliorum vero nonnullæ sunt actiones vitiosæ, quas etiam dissimulare oporteat, ne ad indolentiam irritentur, tandemque per omnia tales evadant, qui nulla ratione in officio queant contineri, quippe qui pudorem ac verecundiam, maximum illud obedientiæ remedium, detriverint atque absterserint. Præterea etiam irasci nonnullis in speciem oportet, quamvis revera irati

A εἶναι ὀφείλει καὶ ποικιλώτερα. Εἰ δὲ καὶ θορυβεῖ σε τὸ εἰρημένον, μικρὸν ἀνάμεινον, καὶ ὁ νῦν σε κατέχων θόρυβος εἰς τὸ ἐκείνους πλέον ταλανίσαι μεταπεσεῖται. Πολλῶν γὰρ καὶ παντοδαπῶν ὄντων τῶν ἀῤῥωστημάτων, πρῶτον μὲν ἄνθρωπον ὄντα χαλεπὸν συνιδεῖν, ἔπειτα δὲ καὶ μαθόντα, τὸ εἰδέναι, ποῖον ἁρμόττει φάρμακον. Οὐ γὰρ πᾶσι τὰ αὐτὰ ἁρμόττει βοηθήματα, οὐδὲ πάντες τοῖς αὐτοῖς θεραπεύονται· ὃ γὰρ τοῦτον ὠφέλησεν, ἄλλον ἔβλαψε· καὶ τὸ ἄλλῳ κατάλληλον, ἕτερον ἐπέτριψε· καὶ ἵνα μὴ δόξαιμί σοι παράδοξά τινα λέγειν, ἀπαμφιάσω τὸ λεγόμενον. Οὐχ οἱ λόγῳ ἀγόμενοι, καὶ παραδείγματι σωφρονίζονται· ἀλλὰ (59) ὁ μὲν τούτῳ, ὁ δὲ ἐκείνῳ, εἰς βελτίονα κατάστασιν ἄγονται. Οὐδὲ οἱ κέντρων δεόμενοι, οὗτοι καὶ χαλινῶν ἀνέχονται· ἀλλ' οἱ μὲν
B νωθροὶ (60) καὶ δυσκίνητοι τὸ καλὸν, τῇ λογικῇ πληγῇ διεγείρονται· οἱ δὲ θερμότεροι τοῦ δέοντος καὶ δυσκάθεκτοι, καὶ καθάπερ πῶλοι πόρρω τῆς νύσσης ὁρμῶντες, τῷ ἄγχεσθαι καὶ ἀνακόπτεσθαι ὠφελοῦνται. Οἱ μὲν ἐπαίνοις, οἱ δὲ ψόγοις σωφρονίζονται, ἦν ἀμφότερα καιρίως γένοιντο· εἰς τοὐναντίον δὲ μεταπεσεῖται, εἰ ἔξω τῶν καιρῶν φέροιντο. Οἱ μὲν γὰρ παρακλήσει εἴκουσιν, οἱ δὲ ἐπιτιμήσει· οἱ μὲν ἐν συλλόγοις ἐλεγχόμενοι, οἱ δὲ ἐν παραβύστῳ νουθετούμενοι ἀποτρίβονται τὰ ἐλαττώματα· φιλοῦσι γὰρ οἱ μὲν καταφρονεῖν τῶν διαλεγομένων (61), δημοσίᾳ ἐπιτιμήσει σωφρονιζόμενοι· οἱ δὲ πρὸς τοὺς δημοσίους ἐλέγχους μᾶλλον ἀποδυόμενοι καὶ τὴν αἰσχύνην ἀποσείεσθαι, τῷ τῆς ἐπιτιμήσεως μυστηριώδει καὶ
C τῇ συμπαθείᾳ πρὸς εὐπείθειαν παιδοτριβούμενοι. Τοὺς μὲν κατὰ πάντα παρατηρεῖν προσήκει, ὅσους τὸ οἴεσθαι λανθάνειν, ἐπειδὴ τοῦτο μηχανῶνται, ὡς σοφωτέρους ἐφύσησε· τῶν δ' ἔστιν ἃ καὶ παρορᾷν χρεών, ἵνα μὴ πρὸς ἀναλγησίαν ἐρεθίζωνται, καὶ τελευταῖον (62) πρὸς ἅπαντα γένωνται ἀκάθεκτοι, τὸ μέγιστον εἰς πειθὼ φάρμακον τὴν αἰδὼ ἀποτριψάμενοι. Καὶ ὀργίζεσθαι δ' ἔτι εἰς ὃ χρὴ, οὐκ ὀργιζομένους, καὶ ὑπερορᾷν οὐχ ὑπερορῶντας, καὶ ἀπογινώσκειν οὐκ ἀπογινώσκοντας· καὶ ἄλλους μὲν ἐπιτείνειν θεραπεύειν, ἄλλους δὲ χωρισμῷ· καὶ τοὺς μὲν νικᾶν, τῶν δὲ καὶ ἡττᾶσθαι δοκεῖν, ὅσοις τοῦτο λυσιτελεῖ. Τοσούτων οὖν ὄντων καὶ τῶν ἀῤῥωστημάτων καὶ τῶν βοηθημάτων, καὶ πάντων μὴ τοῖς αὐτοῖς εἰκόντων, ἀλλὰ καὶ τοὐναντίον εἰς χείρονα
D πλημμελήματα ἐρεθιζομένων (63), τίς μὴ τῷ θείῳ Πνεύματι τὴν ψυχὴν φωτισθεὶς, εἰδέναι ἢ ἐπαρκέσαι δυνήσεται; ἀλλ' ἐπειδὴ ἄρχειν, εἰ καὶ ἀγχὴν νομίζουσιν ἐπιτηδείαν αὐτοῖς, τολμῶσι, μήτε τὴν δυσχέρειαν ἐννοοῦντες, μήτε τῆς Δεσποτικῆς φωνῆς ἀκούοντες,

VARIÆ LECTIONES ET NOTÆ.

(59) Post ἀλλὰ cod. Vat. 650 pro ὁ μὲν legit οἱ μὲν, et paulo post οἱ δὲ pro ὁ δέ. Possin.

(60) Pro νωθροὶ habet νωθεῖς. Id.

(61) Pro διαλεγομένων scribit idem ἰδίᾳ λεγομένων. Vers. post 2, ἀποδυόμενοι mutat in ἀποδύεσθαι. Vers. seq. post ἐπιτιμήσεως quæ sequuntur usque ad τοὺς μὲν exclusive sic exhibet cod. Vat. 650, μυστηρίῳ παιδοτριβούμενοι καὶ ἀμειβόμενοι τῇ εὐπειθείᾳ τὴν συμπάθειαν. Id.

(62) Idem τελευταῖον mutat in τελευτῶντες. Vers. seq. pro τὸ μέγιστον εἰς πειθὼ φάρμακον, cod. Vat. 650 habet, τὸ μέγεθος τῆς πειθοῦς φάρμακον.

(63) Idem ἐρεθιζομένων mutat in ἐρεθιζόντων. Vers. seq. post ἀλλ' addit ἴσως. Vers. 6, post ἄρχειν quæ sequuntur in edito usque ad τολμῶσι inclusive sic codex Vat. 650 exhibet, ἁπλῶς αὐτὴν εἶναι νομίζουσιν, ἐπειδὰν αὐτοὶ τολμῶσι. Vers. ult. ep. hæc verba, τοῦ διδόναι αὐτοῖς τὸ σιτομέτριον, absunt a cod. Vat. 650. Id.

Digitized by Google

οὕτω τὸ σπάνιον ἐνδεικνυμένης, ὡς καὶ ἐπαπορητικῇ χρήσασθαι λέξει· « Τίς ἄρα ἐστὶν ὁ πιστὸς δοῦλος καὶ φρόνιμος, ὃν καταστήσει ὁ Κύριος ἐπὶ τῆς οἰκίας αὐτοῦ, τοῦ διδόναι αὐτοῖς τὸ σιτομέτριον; »

A non simus, et negligere aliqua, tametsi non negligamus: et alios quidem moderatione et æquitate animi sanare; alios vero separatione: et alios quidem vincere; ab aliis autem vinci quoque videri, quibus videlicet hoc expedit. **495** Cum igitur tot tamque multiplicia sint genera et morborum et auxiliorum, neque omnes iisdem cedant, sed etiam contra ad deteriora nonnunquam peccata admittenda irritentur: quis, quæso, aut omnia scire, aut huic tanto muneri par esse queat, nisi divinus Spiritus animum ipsius illustrarit? Sed quia imperium sibi probe convenire existimant, ideo tantum sumunt audaciæ (ut episcopatum invadant), neque ejus difficultatem muneris apud animum perpendentes, neque vocem Dominicam audientes, quæ adeo rarum negotium esse demonstrat (ut quis bene ei præsit), ut etiam dubitabunda oratione usus fuerit, dicens: « Quis, putas, est fidelis servus et prudens, quem constituet Dominus super familiam suam, ut det illis demensum? »

ΡΜϚ'. — ΙΣΙΔΩΡΩ ΕΠΙΣΚΟΠΩ.

« Καὶ ἀπαλλάξῃ τούτους. »

B Τί ἐστιν, ἔφης, « Καὶ ἀπαλλάξῃ τούτους, ὅσοι φόβῳ θανάτου διὰ σύμπαντος (64) τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας; » Ἄκουε τοίνυν. Οὐχ ὁ θάνατος, ὦ βέλτιστε, ἀλλὰ τὸ δικαστήριον τὸ μετὰ τὸν θάνατον, ἀποτρέπει τῶν ἁμαρτημάτων. Οἱ γὰρ ἀσεβεῖς, σπινθῆρα νομίσαντες εἶναι τὴν ψυχήν, οὗ ἀποσβεσθέντος (65), ὡς ἔφασαν, τέφρα ἀποβήσεται τὸ σῶμα, μόνον τεθνᾶναι νομίζοντες, μὴ κρίνεσθαι δὲ (ταῦτα γὰρ ἐν τῇ ἐπιγεγραμμένῃ Σοφίᾳ Σολομῶντος εἰρήκασιν, ὡς οἶσθα· εἰ δ' ἀγνοεῖς, λαβὼν μετὰ χεῖρας τὸ βιβλίον, εἴσῃ), οὐδὲν ἄπρακτον εἶασαν· ὡς γὰρ μηκέτι ὄντες μετὰ θάνατον, πάντα δρᾷν τὰ αἰσχύνης καὶ θανάτων (66) καὶ κολάσεως ἄξια ἐπεχείρουν, λέγοντες· « Αὕτη ἡ μερὶς ἡμῶν, καὶ ὁ κλῆρος οὗτος. » Ἦλθε τοίνυν ὁ Σωτὴρ, μετὰ τῶν C ἄλλων, ὧν κατώρθωσε, καὶ ταύτης ἀπαλλάξων τοὺς ἀνθρώπους τῆς ὑπονοίας. Τὴν γὰρ τῆς ψυχῆς ἀθανασίαν ὁρισάμενος, ἐν τῷ φάναι· « Τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι· καὶ τὴν τῶν σωμάτων ἀνάστασιν εὐαγγελισάμενος διὰ τοῦ εἰπεῖν· « Ἐν τῇ ἀναστάσει τῶν νεκρῶν οὔτε γαμοῦσιν οὔτε γαμίζονται, ἀλλ' ἔσονται ὡς (67) ἄγγελοι· » τήν τε κρίσιν μηνύσας διὰ πολλῶν μὲν ἄλλων, καὶ ἐν τῷ φρᾶσαι δέ· « Φοβηθῆτε τὸν δυνάμενον καὶ ψυχὴν καὶ σῶμα ἀπολέσαι ἐν γεέννῃ· » πάσης ἐκείνης ἠλευθέρωσεν ἅπαντας τῆς ὑπονοίους (68)· μᾶλλον δ' ἀληθέστερον εἰπεῖν, τῆς δουλείας. Τὸ γὰρ θεῖον δικαστήριον ἐν νῷ λαμβάνοντες, καὶ ὡς πρὸς σκοπὸν τὸ ὄμμα τείνοντες, καὶ οὐδὲν φαῦλον πρᾶξαι τολμήσειαν. Οἶμαι μὲν οὖν σεσαφηνίσθαι τὸ ῥητόν. Εἰ δὲ καὶ μεταφρασθῆναι αὐτὸ βούλει, φήσαιμι· Ἐπειδὴ ὡς μέλλοντες ἀποθνήσκειν, ἐδούλευσαν ἀφειδῶς ταῖς ἁμαρτίαις (ὁ γὰρ τοῦ θανάτου φόβος, βλυσυρὸν αὐτοῖς ἐνορῶν, καὶ τὴν τοῦ μηκέτι εἶναι ἔννοιαν τίκτων, εἰς πᾶσαν αὐτοὺς δουλείαν ἁμαρτίας παρέπεμπε), διὰ

CXLVI. — ISIDORO EPISCOPO.

« Et liberaret eos [63], » etc.

Quæsivisti quid sit illud: « Et liberaret eos, qui timore mortis per totam vitam obnoxii erant servituti. » Ausculta igitur. Non mors ipsa, o bone, sed judicium, quod post mortem futurum est, avertit a peccatis. Impii enim cum existimarent animam esse scintillam quamdam, qua exstincta, ut aiebant, corpus in cinerem abibit, mori se tantum (more brutorum) putantes, non autem (post mortem) judicari: (hæc enim talia in libro qui Sapientia Salomonis inscribitur [63], dixerunt, ut nosti: quod si nescis, sume in manus eum librum, et scies) nihil intentatum vel inausum relinquebant. Non aliter enim ac si post mortem non amplius futuri [64] essent, omnia probro ac pudore et multis mortibus et supplicio digna agere aggressi sunt, dicentes: « Hæc est pars nostra et hæreditas nostra est ista [64]. » Quare venit Salvator, præter alia (multa) quæ præclare gessit ac restituit, hac etiam suspicione homines liberaturus. Nam cum animæ immortalitatem definivisset per id quod dixit: « Animam autem occidere non possunt [65]; » cum item corporum resurrectionem annuntiasset per id quod dixit: « In resurrectione mortuorum neque ducunt uxores, neque nuptum dantur, sed erunt tanquam angeli [66]; » cumque judicium supremum significasset partim aliis multis verbis, partim eo dum dixit: « Timete eum qui potest et animam et corpus perdere in gehenna [67] »; omnes omni illa suspicione, vel potius (ut verius dicam) servitute, penitus liberavit. D Divinum namque judicium apud animum agitantes, et eo tanquam ad scopum dirigentes oculum mentis, nihil unquam mali facere audebunt. Atque his quidem hactenus puto a me dictum illud expositum esse satis. Quod si etiam a me postulas, ut id metaphrasi quadam illustrem (aliis verbis eadem

[63] Hebr. II, 15. [63] Sap. II, 1 seqq. [64] ibid. 9. [65] Matth. X, 28. [66] Matth. XXII, 30. [67] Matth. X, 28.

VARIÆ LECTIONES ET NOTÆ.

(64) Pro σύμπαντος cod. Vatic. 650 scribit διὰ παντός. Possin.

(65) Ἀποσβεσθέντος mutat idem cod. in ἀποσκευασθέντος, minus commode, ut videtur. Id.

(66) Verba illa καὶ θανάτων idem cod. recte omittit. Id.

(67) Inter ὡς et ἄγγελοι idem cod. inserit οἱ.

Mox post κρίσιν verbum μηνύσας auget præpositio προ. Vers. inde 2, φοβηθῆτε emendat in φοβήθητε. Id.

(68) Ὑπονοίους mutat in ὑποψίας, et vers. post 3 ante οὐδὲν tollit καί. Vers. inde 5, ἐδούλευσαν mutat in ἐδούλευον. Id.

Digitized by Google

expressa sententia) sic dixerim: Quoniam velut A τοῦτο ἦκεν (69) ὁ Χριστὸς, καὶ ταύτης αὐτοὺς ἀπαλ-
morituri sine pudore affatim servierunt peccatis
496 (mortis namque metus, truculento suo aspectu eos terrifans, et cogitationem ejus status, quo non amplius erunt, in ipsorum animis gignens, in omnem peccati servitutem ipsos detrusit), idcirco venit Christus, et hac eos servitute liberavit atque exemit. Quod si ne sic quidem satis intelligitur (dictum) dicetur clarius. A multis enim non potest capi sensus apostolicus. Ut liberaret, inquit, eos metu mortis, quæ in nihilum ipsos redigeret, et adduceret in cogitationem incorrupti illius, quod post exitum ex hac vita futurum est, judicii. Hi enim libenti animo in via ad virtutem ducente decurrerunt, quod spe coronarum quasi quibusdam alis fuere subvecti, et peccatum fugerunt, metu futurorum suppliciorum. Quod si etiam aliam quamdam cogitationem respicit mens apostolica, tuæ prudentiæ erit judicare. Fit enim verisimile, quod tale etiam quiddam significet: Quia multi mortem, ut quæ in nihilum prorsus eos redigeret, metuentes, multa etiam contra animi sententiam tam facere quam pati turpia sustinuerunt, ne videlicet a potentioribus punirentur (amantes enim, et scopum non assecuti, dolos atque insidias mortem parientes struxerunt: ut ostendunt gesta Josephi, et historia Susannæ), venit (Christus), instituturus homines mortem esse magis eligendam, quam ut vitium aliquod in nos admittamus, et illam potius libenti animo oppetendam, quam aliquid rerum turpissimarum vel faciamus vel patiamur. Nam mors quidem a resurrectione exstinguetur; probra autem illa in supplicia desinent.

λάξων τῆς δουλείας. Εἰ δὲ μηδ' οὕτως νενόηται, σαφέστερον εἰρήσεται· πολλοῖς γὰρ ἀλώσιμον οὐκ ἔστι τὸ νόημα τὸ ἀποστολικόν. Ἀπαλλάξει, φησὶ, τούτους τοῦ φόβου τοῦ θανάτου, τοῦ ἀνυπαρξίαν αὐτοῖς ἀποτελοῦντος, καὶ ἀγάγοι εἰς ἔννοιαν τοῦ μετὰ τὴν ἐντεῦθεν τελευτὴν ἀδεκάστου δικαστηρίου. Οὗτοι (70) γὰρ ἅσμενοι τὴν ἐπὶ τὴν ἀρετὴν φέρουσαν ὁδὸν ἔτρεχον, τῇ ἐλπίδι τῶν στεφάνων πτερούμενοι, καὶ τὴν ἁμαρτίαν ἔφευγον, τῷ φόβῳ τῶν ἐσομένων τιμωριῶν. Εἰ δὲ καὶ εἰς ἄλλο ἐνθύμημα βλέπει ὁ νοῦς ὁ ἀποστολικὸς, τῆς συνέσεως τῆς σῆς ἐστι κρῖναι. Εἰκὸς γὰρ καί τι τοιοῦτον αὐτὸν ἐμφαίνειν· Ἐπειδὴ πολλοὶ τὸν θάνατον δεδιότες, ὡς εἰς ἀνυπαρξίαν παραπέμποντα, πολλὰ καὶ παρὰ γνώμην καὶ B δρᾶσαι καὶ παθεῖν αἰσχρὰ ὑπέμενον, ἵνα (71) μὴ τιμωρηθεῖεν παρὰ τῶν δυνατωτέρων (ἐρῶντες γὰρ, καὶ μὴ τυγχάνοντες τοῦ σκοποῦ, δόλους καὶ ἐπιβουλὰς θάνατον τίκτοντας κατεσκεύαζον, ὡς δηλοῦσι τὰ κατὰ τὸν Ἰωσὴφ, ἥ τε κατὰ τὴν Σωσάνναν ἱστορία)· ἦκε παιδεύσων τοὺς ἀνθρώπους, ὅτι ὁ θάνατος αἱρετώτερός ἐστι τῆς κακίας, καὶ χρὴ μᾶλλον τοῦτον καταδέχεσθαι, ἢ τι τῶν αἰσχίστων δρᾶσαί τε καὶ παθεῖν. Ὁ μὲν γὰρ ὑπὸ τῆς ἀναστάσεως σβεσθήσεται· τὰ δὲ εἰς κολάσεις καταλήξουσιν.

CXLVII. — MARCIANO.

In id quod scriptum est, « Nam si eis Jesus requiem præstitisset [88]. »

Non de requie Hebræorum, quæ ipsis in Palæstina contigit, parta per militiam Jesu filii Nave, divino Paulo fuit sermo (hujus enim nullam habuit rationem), sed ad eam quæ futura est respicit, et ad eam scopus sententiarum ipsius contendit. Hoc autem verum esse, ipse semet interpretatur, dicens: « Nam si eis Jesus (videlicet filius Nave seu Nun) requiem præstitisset, nunquam de alia loqueretur posthac die. Itaque relinquitur sabbatismus populo Dei [89]. » — « Si enim ipsis, inquit, ille requiem conciliasset, non certe David post multas generationes de requie disserens dixisset: Hodie si vocem ejus audieritis, nolite obdurare corda vestra, sicut in exacerbatione [90]. » **497** « Quocirca, inquit, vera requies populo Dei; » hoc est illis qui postquam crediderunt, vitam quoque laudabilem adjunxerunt, reposita est, quæ non in Palæstina, sed in Jerusalem supramundana est adornata.

PMZ'. — ΜΑΡΚΙΑΝΩ.

Εἰς τὸ γεγραμμένον, « Εἰ γὰρ αὐτοὺς Ἰησοῦς κατέπαυσεν. »

Οὐ περὶ τῆς καταπαύσεως τῶν Ἑβραίων, τῆς γενομένης ἐν τῇ Παλαιστίνῃ διὰ τῆς Ἰησοῦ τοῦ υἱοῦ τοῦ Ναυῆ στρατηγίας, τῷ θεσπεσίῳ Παύλῳ ὁ λόγος· ἐκείνης γὰρ οὐδεὶς λόγος αὐτῷ· εἰς δὲ τὴν προσδοκωμένην ἔσεσθαι βλέπει, καὶ κατ' ἐκείνης ὁ τῶν νοημάτων σκοπὸς συντείνεται. Ὅτι δὲ τοῦτ' ἔστιν ἀληθὲς, αὐτὸς ἑαυτὸν ἑρμηνεύει λέγων· « Εἰ γὰρ αὐτοὺς Ἰησοῦς (δῆλον δ' ὅτι ὁ τοῦ Ναυῆ) κατέπαυσεν, οὐκ ἂν περὶ ἄλλης ἐλάλει μετὰ ταῦτα ἡμέρας. Ἄρα ὑπολείπεται σαββατισμὸς τῷ λαῷ τοῦ Θεοῦ. » — « Εἰ γὰρ αὐτοὺς, φησὶν, ἐκεῖνος κατ- D έπαυσεν, οὐκ ἂν ὁ Δαβὶδ μετὰ πολλὰς γενεὰς περὶ καταπαύσεως διαλεγόμενος ἔλεγε· Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ. » — « Οὐκοῦν, φησὶν, ἡ ἀληθινὴ ἀνάπαυσις τῷ λαῷ τοῦ Θεοῦ, » τοῦτ' ἔστι, τοῖς εὐδοκίμως μετὰ τὴν πίστιν πολιτευσαμένοις, ἀπόκειται, οὐκ ἐν τῇ Παλαιστίνῃ, ἀλλ' ἐν τῇ ὑπερκοσμίῳ Ἱερουσαλὴμ εὐτρεπισθεῖσα.

[88] Hebr. IV, 8, 9. [89] ibid. [90] ibid. 6, 7.

VARIÆ LECTIONES ET NOTÆ.

(69) Pro ἦκεν idem cod. scribit ἦλθεν. Possin.

(70) οὗτοι idem mutat in οὕτω. Vers. seq. pro τὴν scribit τήνδε. Ib.

(71) Inter ἵνα et μὴ idem inserit μόνον. Vers. inde 3, pro κατεσκεύαζον habet κατεσκεύασαν. Vers. ult. ep. κολάσεις singulariter effert, κόλασιν. Ib.

Digitized by Google

ΡΜΗΓ. — ΙΣΙΔΩΡΩ ΔΙΑΚΟΝΩ (72).

Εἰς τὸ, « Καὶ ὁ ἀδικῶν ἐνευλογεῖται. »

Τί ἐστιν, [ὃ] ἔφης, τὸ, « Καὶ ὁ ἀδικῶν ἐνευλογεῖται; » Ἄκουε τοίνυν. Παρὰ τὸ εὖ λέγεσθαι ἐνταῦθα εἴρηται τὸ εὐλογεῖται, τοῦτ' ἔστιν ἐπαινεῖται, ἐγκωμιάζεται παρὰ τῶν κολακευόντων αὐτόν, καὶ ἐπιτριβόντων αὐτοῦ τὴν κακίαν, καὶ μὴ αἴσθησιν τῆς νόσου διὰ τῆς σιωπῆς ἐμποιῆσαι ἀνεχομένων· διὸ καὶ ἀνήκεστος ὁ τοιοῦτος εὑρίσκεται. Τῷ γὰρ μηδ' αἴσθησιν τοῦ πάθους ἔχειν, θεραπείαν οὔτε ζητεῖ οὔτε προσίεται. Καὶ τοῦτό ἐστι τὸ πάντων δεινότατον, ὅταν ἡ κακία ἐπαινῆται, καὶ μηδὲ κακία εἶναι νομίζηται. Διὸ χρὴ μάλιστα μὲν, εἰ δυνατὸν, διορθοῦν τὸν τοιοῦτον. Εἰ δὲ μή, μηδὲ κολακεύειν, μηδ' ἐπιτρίβειν τὸ πάθος· ἀλλὰ τῇ σιωπῇ αἴσθησιν αὐτῷ τῆς πονηρίας ἐμποιεῖν. Εἰ δὲ μηδὲ τοῦτο βούλοιτό τις ποιεῖν, φεύγειν προτροπάδην· ἵνα μὴ κοινωνὸς τῆς ἀδικίας διὰ τῆς κολακείας ὀφθεὶς, κοινωνὸς αὐτῷ κἀν ταῖς τιμωρίαις εὑρεθῇ. Ὥσπερ γὰρ (73) ὁ εἰς ἀρετὴν ἐνάγων στεφανοῦται, κἂν μηδὲν ἀνύσῃ (τὸ γὰρ ἑαυτοῦ πεπλήρωκεν)· οὕτω καὶ ὁ εἰς ἀδικίαν ἀλείφων κολάζεται, κἂν μηδὲν ἰσχύσῃ· τὸ γὰρ ἑαυτοῦ καὶ οὗτος ἐποίησεν.

CXLVIII. — ISIDORO DIACONO.

In illud, « Et injuste agens in eo laudatur [61]. »

Quærebas, quid sibi vellet illud, quod dicitur : « Et injuste agens in eo benedicitur. » Ausculta igitur. Benedicitur hoc loco deductum est ab eo quod est bene dicere, et valet idem quod laudatur, encomiis ornatur ab assentatoribus suis, qui improbitatem ipsius demulcent, ac ne sensum quidem morbi suo silentio ei ingenerare sustinent. Quæ causa quoque est, cur talis inveniatur incurabilis. Nam quia ne sensum quidem mali habet, curationem nec quærit, nec admittit. Atque hoc omnium est gravissimum, quando improbitas laudatur, ac ne quidem pro improbitate habetur. Quocirca maxime quidem in id incumbendum est, ut, si fieri potest, talem corrigamus. Sin minus, cavendum tamen omni studio, ne vel adulatione vel demulcendo malum foveamus : sed silentio saltem improbitatis sensum ipsi injiciamus. Quod si nec hoc quidem voluerit quis facere, contento cursu unicuique fugiendum est, ne injustitiæ particeps fieri per assentationem deprehensus eidem quoque in suppliciis perferendis socius efficiatur. Quemadmodum enim is, qui alteri ad virtutem capessendam sese ducem præbuerit, coronatur, tametsi nihil apud eum profecerit (nam quantum in se fuit, implevit): ita etiam punitur is, qui alterum ad injustitiam instigat, tametsi nihil valuerit. Nam et hic quod suum erat, fecit.

ΡΜΘ'. — ΗΛΙΑ ΔΙΑΚΟΝΩ.

Εἰς τὸ, « Ἅπαξ ἐλάλησεν ὁ Θεὸς, » εἰς τὸν ξα' ψαλμόν.

Τὸ θήραμα, ὦ βέλτιστε, ὃ θηρεῦσαι ποθεῖς, τοῖς μὲν συνετωτέροις ἐστὶ δυσθήρατον· τοῖς δὲ παχυτέροις ἀθήρατον. Ἔφης γάρ· Τί ἐστιν· « Ἅπαξ ἐλάλησεν ὁ Θεός· δύο ταῦτα ἤκουσα; » Οἶμαι τοίνυν (ἐπειδὴ τοῦ νοήματος χρὴ ἀνοῖξαι τὰς θύρας, καὶ τοῖς συνετωτέροις ἐφεῖναι τὸ τὰ ἀδύνατα τοῦ ῥητοῦ κατοπτεῦσαι) οὕτως εἰρῆσθαι, ὡς ἄν τις εἴποι· Ὃ δεῖνα ἅπαξ μέν μοι συνέτυχε· περὶ δὲ διαφόρων διελέχθη πραγμάτων. Οὗτος μὲν οὖν ὁ πρόχειρος νοῦς. Ὁ δὲ βαθύτερος καὶ εἰλικρινέστερος ἐν πάσαις μὲν διέσπαρται ταῖς Γραφαῖς· ἓν δὲ ἢ δεύτερον μεταχειρισάμενος φράσω, εἰ καὶ ἐπὶ πολλὰς ἔστιν ἐκδοχὰς τρέψαι τὴν διάνοιαν, ἐχομένας τῆς τοῦ Μελῳδοῦ μεγαλονοίας (74) Ἐπειδὴ εἶπεν ὁ Θεὸς τῷ Ἀδάμ· « Γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ· » οὐ προσέθηκε δὲ, Ἀφανισθήσῃ, οὐδὲ μὴ ἐπανελεύσῃ· ἐγὼ διὰ τοῦ ταῦτα παρασεσιωπῆσθαι, τὴν ἀνάστασιν προσυπήκουσα. Ἐλπίδα γὰρ ἐπανόδου τῷ ἐξορίστῳ ἔδωκεν. Ἡ γὰρ ἀπόφασις, μονότροπος εἶναι δοκοῦσα (75), ἐμφαίνει βασιλικὴν φιλανθρωπίαν, καὶ ἐπανόδου τίκτει ἐλπίδα. Καὶ Νινευῖται δὲ ἄνθρωποι βάρβαροι, σχεδὸν ἀπόφασιν καθαρὰν δεξάμενοι, οὐδὲν βάρβαρον ἔπαθον, ἀλλ'

CXLIX. — HELIÆ DIACONO.

In illud, « Semel locutus est Deus, » in psalmum LXII.

Venatura illa, o bone, quam venari cupis, illis quidem qui sunt cordatiores, captu perdifficilis est; crassioribus autem ac pinguioribus captu impossibilis. Quærebas enim, quid sit illud : « Semel locutus est Deus, duo hæc audivi [62]. » Arbitror igitur (quoniam intellectus januæ aperiendæ sunt, et intelligentioribus permittendum, ut impossibilia (vulgo) hujus dicti contemplentur) ita hoc dictum esse, ut si quis dicat : Ille semel quidem mihi occurrit; de diversis autem capitibus verba mecum communicavit. Hic sane obvius est sensus ejus dicti. Profundior autem atque sincerior in omnibus quidem Scripturis passim dispersus est : unum tamen duntaxat alterumve in manus sumptum commemorabo, quamvis in multos ac varios intellectus liceat vertere cogitationem, qui sint consentanei sublimibus Psalmographi sensibus. **498** Quoniam Adamo dixit Deus : « Terra es, et in terram reverteris [63]; » non addidit autem : In nihilum redigeris, neque iterum redibis; ego per id, quod ista silentio præterita sunt, subintellexi resurrectionem. Spem enim reversionis dedit exsuli.

[61] Prov. XXIV, 25. [62] Psal. LXII, 12. [63] Gen. III, 19.

VARIÆ LECTIONES ET NOTÆ.

(72) In tit. διακόνῳ mutat in ἐπισκόπῳ codex Vat. 650. Vers. 5 ep. p.o μὴ cod. idem habet μηδέ. Vers. seq. idem ex ἐμποιῆσαι tollit ἐμ. Possin.

(73) Cod. Vat. addit καί. Ib.

(74) Ante ἐπειδὴ εἶπεν supplet cod. Vatic. 650, ὅτι δή. Ib.

(75) Pro εἶναι δοκοῦσα idem simpliciter ponit οὖσα. Ib.

Digitized by Google

Sententia enim quæ uniusmodi esse videtur, regiam simul indicat clementiam et humanitatem, et reditus gignit spem. Sed et Ninivitæ, quamvis barbari, nihil tamen barbari senserunt, pura ac præcisa ferme sententia accepta ; sed cum cogitassent illud : « Adhuc tres dies, et Ninive evertetur[66], » ostendere divinam bonitatem ; quippe sententia, quæ comminatione inevitabili plena videbatur, tacitam in se et latentem conditionem continebat, et quidem adjuncta dilatione occultatam : alioquin enim post tres dies non distulisset. Verum tale quiddam innuit : Tres dies exspectabo vos (num sitis pœnitentiam acturi), pœnitentia acta perniciem quidem impendentem a se depulerunt ; salutis vero fructum sunt adepti. Non enim unum quiddam (præcise) videbatur in se continere sententia, sed duo capita : videlicet, aut supplicium impœnitentibus, aut pœnitentiam agentibus salutem. Quod quidem ita esse, ipse ostendit exitus, qui interpretationi potius quam verbis sententiæ consentaneus fuit.

A ἐννοήσαντες τὸ, « Ἔτι τρεῖς ἡμέραι, καὶ Νινευὶ καταστραφήσεται, » ὅτι ἐμφαίνει θείαν φιλανθρωπίαν (ἡ γὰρ ἀπόφασις, ἀπειλῆς ἀπαραιτήτου γέμουσα (76), αἵρεσιν λανθάνουσαν εἶχε τῇ συνεζευγμένῃ ὑπερθέσει κεκρυμμένην. Οὐ γὰρ περιεῖχε. Μετὰ τρεῖς ἡμέρας· ἀλλὰ τοιοῦτόν τί ἐστι· Τρεῖς ἡμέρας ἀνέχομαι ὑμῶν), καὶ γνωσιμαχήσαντες, τὴν μὲν ἀπώλειαν διεκρούσαντο, τὴν δὲ σωτηρίαν ἐκαρπώσαντο. Οὐ γὰρ ἕν τι ἔχειν ἐδόκει ἡ ἀπόφασις· ἀλλὰ δύο, ἢ ἀμετανοήτοις τιμωρίαν, ἢ μετανοοῦσι σωτηρίαν. Ὅπερ οὖν καὶ τὸ τέλος ἔδειξε, τῇ ἐρμηνείᾳ μᾶλλον τῆς ἀποφάσεως ἀκολουθῆσαν.

CL. — NILAMMONI.

Ex priore ad Corinthios. Quare dixerit Paulus, « Non enim judicavi me scire aliquid inter vos, nisi Christum, et hunc crucifixum[68]. »

Quæris, cur Paulus, relictis illis splendidis atque augustis, quæ de Christo annuntiabat, scripserit Corinthiis : « Non judicavi me scire aliquid inter vos, nisi Jesum Christum, et hunc crucifixum. » Arbitror itaque, quia ipsa quoque illa, quæ probris plena videntur, maximo et robore et honore scatent, ideirco eum ista dixisse, tantum non edita voce proclamantem : Vinctum athletam ecce in medium produco, ut posteaquam Olympia vicerit, clariori eum præconio ornem : vilissimam et contumelia plenam armaturam duci militiæ circumdo, ut tanto magis gemat, qui morbo multitudinis deorum laborat, ubi tam vilibus armis se victum senserit.

B

ΡΝ'. — ΝΕΙΛΑΜΜΩΝΙ (77).

Πρὸς Κορινθίους α'. Διὰ τί εἶπεν ὁ Παῦλος· « Οὐ γὰρ ἔκρινά τι εἰδέναι ἐν ὑμῖν, εἰ μὴ Χριστὸν καὶ τοῦτον ἐσταυρωμένον. »

Τίνος ἕνεκεν, φῄς, τὰ σεμνὰ ἐκεῖνα καὶ λαμπρὰ, ἃ περὶ τοῦ Χριστοῦ ἀνεκήρυττεν ὁ Παῦλος παρεὶς, ἔγραψε Κορινθίοις· « Οὐκ ἔκρινά τι εἰδέναι ἐν ὑμῖν, εἰ μὴ Ἰησοῦν Χριστὸν, καὶ τοῦτον ἐσταυρωμένον; » Οἶμαι τοίνυν, ὅτι καὶ αὐτὰ τὰ ἐπονείδιστα μεγίστης ἔβρυον ῥώμης τε καὶ τιμῆς· διὰ τοῦτο ἔφη ταῦτα, μονονουχὶ βοῶν· Δεδεμένον εἰς μέσον φέρω τὸν ἀθλητὴν, ἵν' Ὀλυμπιονίκην γενόμενον σφοδρότερον ἀνακηρύξας, εὐτελεστάτην καὶ ὕβρεως μεστὴν ἀνατίθημι τῷ στρατηγῷ πανοπλίαν, ἵνα στενάξῃ πυκνότερον ὁ τὴν πολυθεΐαν νοσῶν, ὅπλοις εὐτελέσι νενικημένος.

C

CLI. — NILO.

Quid sit illud, « Qui in altis habitat, nonne videt[66]? »

Quod scriptum est : « An qui alta incolit, non videt? » discendi cupiditate adductus per litteras ex me quæsivisti quid significet. Ausculta igitur. Qui excelsa habitat (hoc enim significat ναίων, incolens : unde et νεὼς, hoc est ναὸς, derivatur, quorum utrumque templum denotat, quemadmodum ab οἶκος, quod est domus, descendit **499** verbum οἰκεῖν, ita etiam a nomine ναὸς verbum ναίειν) hic omnia intuetur, nec ipsum quidquam effugit. An igitur non videt, inquit, is qui excelsa inhabitat? pro eo quod est, certe videt. Quod Psalmorum auctor clarius dixit : « Qui in altis habitat, et humilia respicit[67]. » Tres autem pueri omnium clarissime idem protulerunt. « Benedictus es, qui intueris abyssos : sedens super cherubin[68]. » Nam

D

ΡΝΑ'. — ΝΕΙΛΩ.

Τί ἐστιν, « Ἢ ὁ τὰ ὑψηλὰ ναίων, οὐκ ἐφορᾷ; »

Τὸ γεγραμμένον, « Ἢ ὁ τὰ ὑψηλὰ ναίων, οὐκ ἐφορᾷ; » μαθεῖν ἐθέλων γέγραφας. Ἄκουε τοίνυν. Ὁ τὰ ὑψηλὰ οἰκῶν (τοῦτο γάρ ἐστι τὸ ναίων, ἀφ' οὗ καὶ ὁ νεὼς, τοῦτ' ἔστιν ὁ ναός· ὥσπερ γὰρ ἀπὸ τοῦ οἴκου τὸ οἰκεῖν, οὕτω καὶ ἀπὸ τοῦ ναοῦ τὸ ναίειν), οὗτος ἐφορᾷ πάντα, καὶ οὐδὲν αὐτὸν διαδιδράσκει. Ἢ οὖν οὐκ ἐφορᾷ, φησὶν, ὁ τὰ ὑψηλὰ οἰκῶν; ἀντὶ τοῦ, Ναὶ, ἐφορᾷ. Ὅπερ ὁ Μελῳδὸς σαφέστερον εἶπεν· « Ὁ ἐν ὑψηλοῖς κατοικῶν, καὶ τὰ ταπεινὰ ἐφορῶν. » Οἱ δὲ παῖδες οἱ τρεῖς σαφέστατα· « Εὐλογητὸς εἶ, ὁ βλέπων ἀβύσσους, καθήμενος ἐπὶ τῶν Χερουβίμ. » Ὁ γὰρ ὑπερκείμενος, φησὶ, τῶν ἄνω ὁήμων, οὐ παροραῖ τὴν ἡμετέραν εὐτέλειαν, ἀλλὰ καὶ τῶν ἀοράτων δεσπόζων δυνάμεων, νεύμασιν ἡμερωτάτοις καὶ τὰ ἐν τοῖς βυθοῖς διοικεῖς.

[66] Jon. III, 4. [67] I Cor. II, 2. [68] Eccli. XXIII, 25-27. [66] Psal. CXII, 5, 6. [68] Dan. III, 55.

VARIÆ LECTIONES ET NOTÆ.

(76) Pro γέμουσα legit, πνέουσα. Vers. inde quinto οὐ γὰρ vertit in εἰ γάρ. Vers. seq. post ἀλλὰ δύο supplet ἐνέφηνεν. Possis.

(77) In titulo Νειλάμμωνι apponitur in cod. Vat. 659. διακόνῳ. Vers. 7 ante ἔφη idem addit αὐτὸ, et vers. 9 ἀνακηρύξας mutat in ἀνακηρύξῃς. Ib.

Digitized by Google

tu, inquit, quamvis præsidens superioribus angelorum populis, non tamen contemnis, aut negligis nostram vilitatem, sed etiamsi invisibilibus imperites virtutibus, tamen nutibus benignissimis ea quoque gubernas, quæ in profundis sita sunt.

PNB'. — ΔΙΔΥΜΩ ΣΧΟΛΑΣΤΙΚΩ.

Εἰς τό, « Μακρόθυμος ἀνὴρ πολὺς ἐν φρονήσει. »

Τῷ ὄντι μακρόθυμος ἀνὴρ πολὺς ἐν φρονήσει. Εἴρηται γὰρ παρὰ τὸ μακράν τινα καὶ μεγάλην ἔχειν ψυχὴν, καὶ ὑπὸ μηδενὸς ἐλεγχομένην· ἀλλὰ καὶ τὸν θυμὸν, τὸν πάντων παθῶν ὀξύτερον (78), τὸν καὶ τὰς ἐννοίας (79) λανθάνοντα, καὶ τοὺς λογισμοὺς προπηδῶντα, χαλινοῦν, καὶ εἴσω τῶν οἰκείων ὅρων συγκλείειν (80)· οὗ μεγαλοψύχου κατὰ ἀντιδιαστολὴν καὶ τὸν μικρόψυχον ἔταξεν, εἰπών· « Ὁ δὲ ὀλιγόψυχος ἰσχυρῶς ἄφρων. » Ὁ γὰρ ὑπὸ πάντων διὰ μικροψυχίαν σαλευόμενος τῶν παθῶν, κομιδῇ ἐστιν ἄνους.

PNΓ'. — ΙΣΙΔΩΡΩ ΔΙΑΚΟΝΩ (81).

Εἰς τὸ γεγραμμένον, « Ἐγὼ πᾶσι τοῖς ἄστροις ἐνετειλάμην· » καὶ εἰς τό, « Τὰ ἄστρα δὲ οὐ καθαρὰ ἐνώπιον· » ὅπερ ἐστὶ τοῦ Ἰώβ.

Τὸ, « Ἐγὼ τοῖς ἄστροις ἐνετειλάμην, » συναπτόμενον τῷ, « Εἰς τὸν αἰῶνα, Κύριε, ὁ λόγος σου διαμένει ἐν τῷ οὐρανῷ, » οὐδεμίαν μέμψιν ἢ παράβασιν παρίστησιν. Εἰ μὲν γὰρ περὶ τοῦ Θεοῦ Λόγου φαῖεν λελέχθαι τὸ, « Εἰς τὸν αἰῶνα, Κύριε, ὁ λόγος σου διαμένει ἐν τῷ οὐρανῷ, » πευσόμεθα αὐτῶν, τίνος ἕνεκεν οὐ πανταχοῦ εἴρηται; Αὐτὸς γάρ ἐστιν ὁ πάντα συνέχων καὶ συγκροτῶν. Εἰ δ' ἐλεγχόμενοι φήσουσι, τὸν διατεταγμένον αὐτοῖς νόμον, ὅπως χρὴ θέειν, ἐνταῦθα δηλοῦσθαι, ἐπειδήπερ ἐν γῇ παραβάθη, φαμέν (82)· Τίνος οὖν ἕνεκα ἐνταῦθα παράγεται τὸ, « Ἄστρα δὲ οὐ καθαρὰ ἐνώπιον αὐτοῦ; » Δείκνυται γὰρ τῷ λόγῳ αὐτοῦ ἀκολουθοῦντα, καὶ οὐ παραβαίνοντα διάταξιν. Εἰ δὲ τούτων οὕτω λεγομένων καὶ ἀποδειχθέντων, ἀπαιτηθείημεν ἡμεῖς. Τί δ' ἐστὶν, « Ἄστρα οὐ καθαρὰ ἐνώπιον αὐτοῦ; » φαίημεν, ὅτι Κατὰ μὲν τὴν ἑαυτῶν φύσιν τὰ ἄστρα καθαρά ἐστιν, ὥσπερ καὶ γεγένηται παρὰ τοῦ Δημιουργοῦ. Λύτῳ δὲ τῷ ποιητῇ παραβαλλόμενα τοσοῦτον ἀπέχει, ὅσον μύρμηξ οὐρανοῦ (83), ἢ ἡλίου, ἢ τινος τῶν ἄλλων κτισμάτων ὅτι δ οὐδ' ἀπολελυμένως εἶπεν, « οὐ καθαρά· » τοῦτο γὰρ ἦν δεῖξαι αὐτὰ πταίοντα· ἀλλὰ προσέθηκεν, « ἐνώπιον αὐτοῦ. » Καὶ οὐ σύγκρισιν νοείτω (84) τὸ εἰρημένον, κατὰ τὸ ἀλλαχοῦ ῥηθὲν,

A

CLII. — DYDIMO SCHOLASTICO.

In illud, « Longanimis vir multus in sapientia [69]. »

Revera vir longanimis multus in prudentia. Dictus enim est ex eo, quod amplum quemdam et magnum habeat animum, quique a nemine redargui possit; quin etiam iram, omnibus affectibus ac perturbationibus acriorem vehementioremque, et quæ cogitationes quoque lateat, et ratiocinationes saltu antevertat, freno compescere, intraque suos terminos concludere norit. Cui magnanimo ex adverso etiam opposuit pusillanimum, dicens: « Pusillanimus autem valde insipiens est. » Nam qui ob animi parvitatem ab omnibus animi perturbationibus agitatur, vehementer excors est.

B

CLIII. — ISIDORO DIACONO.

In id quod scriptum est, « Ego omnibus stellis præcepi [70]. » Et in illud, « Stellæ autem non sunt puræ in conspectu ejus [71], » quod est ex Jobo.

Εἰ τοίνυν ὁ τὰς κλεῖς τῶν οὐρανῶν ἐγκεχειρισμένος τὴν σάρκα κυρίως ἀπεφήνατο πεπονθέναι, τὴν παθῶν δεκτικήν (ἀπαθὲς γὰρ τὸ Θεῖον)· εἰ καὶ, ὡς τὸν κληρονόμον ἀποκτείναντες (36), Ἰουδαῖοι πεπόνθασι τραγῳδίας ἁπάσης μεῖζονα· μὴ ταράττέτω σε τὸ πάθος· ἀλλ' εἰς εὐχαριστίας μέγεθος χειραγωγείτω· ὅτι ὁ βασιλεὺς ὁ ἀπαθὴς, ὁ σκιὰν τροπῆς μὴ ἐπιδεχόμενος (37), τὴν οἰκείαν ἐκδέδωκε (38) σάρκα· καὶ πολλὰ ὡς ἄνθρωπος ἀσθενὴς φθεγξάμενος, ἵνα στρατηγήματι ἕλῃ τὸν πανοῦργον, τρόπαιά τε στήσας λαμπρὰ, ἀνέβη εἰς τοὺς οὐρανοὺς, τὴν ἀπαρχὴν τῆς ἡμετέρας φύσεως ἡμφιεσμένος. Εἰ δὲ ἄνθρωπος ἦν, ὡς φασι, ψιλὸς, θείᾳ χάριτι κοσμηθεὶς, δι' ἣν αἰτίαν πολλοὺς ἀνελόντες ἄνδρας ἁγίους Ἰουδαῖοι, οὐδὲν τοιοῦτον πεπόνθασιν· ἐπὶ δὲ τούτῳ πᾶσα νενίκηται τραγῳδία παραβαλλομένη τοῖς τούτων πάθεσιν; ἀλλὰ δῆλον ὅτι μὲν ἦσαν (39) ἅγιοι, ὁ δὲ μονογενὴς Υἱὸς ἐνανθρωπῆσαι καταξιώσας. Τὸ γὰρ μὴ ἀπὸ τῆς αὐτῆς ἀξίας ἧκειν ἐπὶ τὰ πάθη, ἀλλὰ τοὺς μὲν εἶναι δούλους, τὸν δὲ Δεσπότην, ἀσύγγνωστον ἔτεκεν Ἰουδαίοις τὴν δίκην. « Οὗτος γάρ, φησὶν, ἐστὶν ὁ κληρονόμος· » οἱ ἀμπελουργοὶ τὸν κληρονόμον ἀποκτεῖναι ὥρμησαν, οὐ τὸν σύνδουλον, τὸν υἱὸν τοῦ οἰκοδεσπότου τὸν γνήσιον, οὐχ ἕνα ἐξ αὐτῶν εἰς υἱοθεσίας ἀξίωμα ἀνακομισθέντα. Πῶς γὰρ μετὰ τοὺς δούλους Υἱὸς ἀπεστάλη, ὃν καὶ ἐντραπῆναι ἐχρῆν; Πῶς δὲ δεύτερος ἄνθρωπος ἐξ οὐρανοῦ εἴρηται; πῶς δὲ Θεὸς ἐπεδήμησεν, ἢ ἀνθρώπῳ συνέπραξεν; πῶς δὲ ἐταπείνωσεν ἑαυτὸν, ἴσα Θεῷ ὑπάρχων; πῶς δὲ ὁ Θεὸς τὸν Υἱὸν ἔπεμψεν, ὁμοιώματι (40) σαρκὸς ἁμαρτίας; Ἢ πῶς οὐκ ἐξευτελίζεται τὰ ἄχραντα μυστήρια, σῶμα καὶ αἷμα ἀνθρώπου δοκοῦντα εἶναι; πῶς δὲ ἔφη· « Σῶμά δὲ κατηρτίσω μοι; » Πῶς δὲ ἀναγκαῖον, ἔχειν τι καὶ τοῦτον, ὃ προσενέγκῃ; πῶς δὲ διὰ τοῦ ἰδίου αἵματος τοὺς αἰχμαλώτους ἐλυτρώσατο; ἢ πῶς τὸν Κύριον τῆς δόξης ἐσταύρωσαν; πῶς δὲ ὁ Λόγος σὰρξ ἐγένετο; πῶς δὲ πολυμερῶς καὶ πολυτρόπως ὁ Πατὴρ λαλήσας ἐν τοῖς προφήταις, ὕστερον ἐλάλησεν ἐν Υἱῷ; ἢ πῶς παραπλησίως Υἱὸς μετέσχε τῶν αὐτῶν; Ἀλλ' ἵνα μὴ πάντα καταλέγοντες ὄχλον πολὺν τῇ σῇ ἀκοῇ παρασκευάσωμεν, ἅπαντα τοίνυν (41) λέξω· τὸ Θεὸν (42) ὄντα ταπεινὰ

A dum omnia commemoro justo longius orationem producam. Quod si te passio (Christi) perturbat, quæ contra Deum quidem per summam audaciam adornata fuit, sed carnem attigit, audi corypheum ac principem apostolorum, dicentem : « Cum igitur Christus passus sit carne [97]. » Si ergo is, cui claves cœlorum traditæ sunt, carnem propriam esse pronuntiavit, quæ passiones videlicet recipere potuit (divina enim natura passionum expers est)? Si item Judæi, ut qui hæredem occiderint, eas perpessi sunt calamitates, quæ omnem tragœdiam longe superant, nihil est quod perturbet te passio; sed potius ea res debet te ad tanto majores agendas gratias excitare ac velut manu ducere. Quia scilicet rex passionis expers, qui umbram mu-
B tationis non recipit, propriam tradidit carnem, et multa ut homo imbecillis protulit, ut vafrum (hostem) stratagemate quodam sic caperet, tropæaque statuit splendida : ac deinde in cœlos ascendit, primitiis nostræ naturæ indutus. Quod si, ut ipsi aiunt (Ariani), nudus fuit homo, divina gratia decoratus, quare Judæi, cum olim multos viros sanctos sustulerint, nihil tamen ejusmodi unquam sunt ob id perpessi; propter hunc autem (Christum occisum) ea sustinuerunt, quorum atrocitas, si cum quavis tragœdia comparetur, longissimo omnes intervallo antecedit ? Sed manifestum est illos quidem fuisse viros sanctos; hunc vero unigenitum (Dei) Filium, qui homo fieri dignatus est. Nam
C quod non ab eadem (omnes tam hi quam illi) dignitate ad passiones ac supplicia sua descenderint : sed illi quidem servi fuerint, hic vero Dominus : hoc illud est, quod omnis veniæ expertes pœnas Judæis peperit. « Hic enim, inquit, est hæres [98]. » Hæredem, **509** inquam, non conservum invaserunt vinitores et ad cædem rapuerunt : Filium Patrisfamilias germanum, non unum ex suo numero in adoptionis dignitatem ascitum ac subvectum. Quomodo enim post servos missus est Filius, quem et revereri oportebat? Quomodo secundus homo ex cœlo dictus est? Quomodo item Deus in terris versatus est, aut cum homine operatus? Quomodo

[97] I Petr. IV, 1. [98] Matth. XXI, 38.

VARIÆ LECTIONES ET NOTÆ.

(36) Pro ἀποκτείναντες cod. Vat. legit ἀπεκτονότες. Possin.

(37) *Ὁ σκιὰν τροπῆς μὴ ἐπιδεχόμενος.* Videtur ante oculos habuisse Isidor. illa apostoli Jacobi I, 17 : Ἀπὸ τοῦ Πατρὸς τῶν φώτων, παρ' ᾧ οὐκ ἔστι παραλλαγὴ, ἢ τροπῆς ἀποσκίασμα. Ritt.

(38) *Τὴν οἰκείαν ἐκδέδωκε.* Fort. ἐκδεδωκώς. Eadem et aliorum Ecclesiæ doctorum est sententia, ut Leonis M. cum aliis locis, tum serm. 11 *De Passione Domini :* « Ut humanum genus vinculis mortiferæ prævaricationis absolveret, et sævienti diabolo potentiam suæ majestatis occultavit, et infirmitatem nostræ humilitatis objecit. Si enim crudelis et superbus inimicus consilium misericordiæ Dei nosse potuisset, Judæorum animos mansuetudine potius temperare, quam injustis odiis studuis-
D set accendere, ne omnium captivorum amitteret servitutem, dum nihil sibi debentis persequitur libertatem, » etc. Idem serm. 4 *De Quadrages. :* « Prudentiam diaboli stultam fecit sapientia Dei, ut superbus hostis hominem videns, quem aliquando superaverat, non metueret eum persequi, quem pro omnibus oportebat occidi. » Vide eumdem serm. 1 et 2 *De Nativit. Domini.* Ritt.

(39) *Ὅτι μὲν ἦσαν.* F. leg. ὅτι οἱ μέν, vel ὅτι ἐκεῖνοι μέν. Id.

(40) *Ἔπεμψεν, ὁμοιώματι.* Interponendum videtur ἐν. Id.

(41) Pro ἅπαντα τοίνυν recte cod. Vat. scribit, ἓν εἰς ὁ πάντα τείνει. Vers. post 2, ἀξίαν mutat in οὐσίαν, et vers. antepen. ep. inter ὥσπερ et καὶ inserit οὖν. Possin.

(42) *Τὸ Θεόν.* Videtur in medio deesse μέν. Ritt.

Digitized by Google

seipsum humiliavit, cum esset æqualis Deo [9]? Quomodo Deus Filium suum misit, in similitudine carnis peccati [1]? aut quomodo non redduntur vilia impolluta mysteria, si hominis tantum corpus et sanguis esse videantur? Quomodo autem dixit : « Corpus autem perfecisti mihi [2]? » Quomodo oportuit hunc etiam aliquid habere quod offerret? Quomodo per proprium sanguinem captivos redemit [3]? Quomodo Dominum gloriæ crucifixerunt [4]? Quomodo Verbum caro factum est [5]? Quomodo Pater, cum olim multifariam multisque modis locutus esset per prophetas, postremo locutus est per Filium [6]? aut quomodo similiter eorumdem particeps factus est Filius? Sed ne, dum omnia singulatim recensemus, auribus tuis molestiam nimiam creemus, universe ac semel omnia dicam : Eum quidem qui sit Deus, humilia locutum esse, et dispensationis ac submissionis fuit opus, et utile, et nullatenus impollutam ejus dignitatem lædens aut imminuens; eum vero qui sit (nudus) homo, divina quædam et naturæ humanæ terminos excedentia jactare, extremæ est audaciæ. Nam regi quidem licet moderate loqui et moderate sentire (seposita paulisper regia sua majestate) : militi autem vel etiam principi militiæ nefas est regales emittere voces. Si igitur Deus fuit (sicut certe fuit), homo factus, etiam humilia in ipso locum habent; si vero (nudus) homo fuit (ut Ariani falso perhibent), sublimia illa locum non habent.

A φθέγξασθαι, καὶ οἰκονομικόν ἐστι καὶ χρεῶδες, καὶ οὐδὲν τὴν ἄχραντον ἀξίαν καταβλάπτον· τὸ δ' ἄνθρωπον ὄντα θεῖά τινα καὶ ὑπερφυῆ φράζειν, τῆς ἀνωτάτω τυγχάνει τόλμης. Βασιλεῖ μὲν γὰρ ἔξεστι μετριολογεῖν καὶ μετριοφρονεῖν· στρατιώτῃ δὲ ἢ στρατηγῷ βασιλικὰς ἀφιέναι φωνάς, οὐ θέμις. Εἰ μὲν οὖν Θεὸς ἦν, ὥσπερ καὶ ἦν, ἐνανθρωπήσας, καὶ τὰ ταπεινὰ χώραν ἔχει· εἰ δ' ἄνθρωπος ἦν, τὰ ὑψηλὰ χώραν οὐκ ἔχει.

CLXVII. — NILO.

De sapientia Danielis et trium puerorum.

Babylonios, qui tunc temporis supercilia extulerant super victoriis et rebus bello feliciter gestis, et tropæis a se erectis superbiebant, et prædictione se jactabant, divinum numen obstupefecit, cum pueros captivos non sapientiores ipsis in comparatione (in illis enim rebus, quæ sunt ejusdem naturæ, comparatio valet), sed sapientissimos declaravit.

B

ΡΞΖ'. — ΝΕΙΛΩ (43)

Περὶ τῆς σοφίας Δανιὴλ καὶ τῶν παίδων.

Τοὺς Βαβυλωνίους τότε ὠφρυωμένους ἐπὶ τοῖς πολεμικοῖς πλεονεκτήμασι, καὶ ἐπηρμένους ἐπὶ τοῖς τροπαίοις, καὶ ἐναβρυνομένους ἐπὶ προρρήσει, κατέπληξε τὸ Θεῖον, παῖδας αἰχμαλώτους οὐ σοφωτέρους αὐτῶν κατὰ σύγκρισιν (ἐπὶ τῶν ὁμογενῶν γὰρ ἡ σύγκρισις (44)), ἀλλὰ σοφωτάτους ἀποφῆναν.

CLXVIII. — JOANNI DIACONO.

In illud (Pauli dictum), « Irritam quis faciens legem Moysis, sine ulla miseratione duobus vel tribus testibus moritur [7]. »

Dum lex eos qui majora gravioraque quam **510** C quibus ignosci posset, admiserant peccata, absque remissione ulla puniret : superveniens gratia (Evangelii), quæ mortalem et perturbationibus obnoxiam vitam per baptismum mortificavit, per regenerationem denuo homines quasi ex machina in aliam regeneravit vitam, præcepitque ut per optimam vivendi rationem corporis perturbationes non tam tabefactas compesceremus, quam omnino enecaremus. Eos autem qui adhuc peccare non destituri essent, neque pœnitentiam acturi, gravioribus atque acerbioribus etiam, quam lex, pœnis se affecturam comminata est. Qui enim tanto digni habiti dono, et in honorem regium evecti, et divinorum facti participes mysteriorum et donorum gratiæ, tamen etiam sic ignavi esse (ad bona opera) perseverant, majori supplicio digni censebuntur. Atque

ΡΞΙΓ. — ΙΩΑΝΝΗ ΔΙΑΚΟΝΩ.

Εἰς τὸ, « Ἀθετήσας τις νόμον Μωσέως, χωρὶς οἰκτιρμῶν ἐπὶ δυσὶν ἢ τρισὶ μάρτυσιν ἀποθνήσκει. »

Τοῦ νόμου τοὺς συγγνώμης ἁμαρτάνοντας μείζονα ἀπαραιτήτως κολάζοντος, ἡ χάρις ἐπιφοιτήσασα, καὶ τὸν θνητὸν καὶ ἐμπαθῆ θανατώσασα διὰ τοῦ βαπτίσματος βίον, διὰ παλιγγενεσίας αὖθις ὥσπερ ἐκ μηχανῆς εἰς ἄλλον ἀνεγέννησε βίον, καὶ προσέταξεν, διὰ πολιτείας ἀρίστης τὰ τοῦ σώματος μαρᾶναι, μᾶλλον δὲ νεκρῶσαι πάθη· τοῖς δὲ πταίσασι, καὶ μὴ μετανοήσασι, μᾶλλον ἢ ὁ νόμος πικροτέρως ἐκόλασε, καὶ ἠπείλησε τὰς τιμωρίας. Οἱ γὰρ τοσαύτης ἀξιωθέντες δωρεᾶς, καὶ εἰς τιμὴν βασιλικὴν ἀνακομισθέντες, καὶ θείων γενόμενοι μυστηρίων τε καὶ χαρισμάτων κοινωνοί, εἶτα ῥᾳθυμήσαντες, μείζονος ἂν εἶεν τιμωρίας ἄξιοι. Καὶ τοῦτ' ἐγγυᾶται ὁ Παῦλος φράζων τοῦθ' ὅπερ μαθεῖν ἠθέλησας· « Ἀθετήσας τις νόμον Μωσέως, χωρὶς οἰκτιρμῶν, ἀντὶ τοῦ D χωρὶς ἐλέους καὶ παραιτήσεως καὶ συγγνώμης, ἐπὶ δυσὶν ἢ τρισὶ μάρτυσιν ἀποθνήσκει (45), τοῦτ' ἔστι

[9] Philipp. II, 6. [1] Rom. VIII, 3. [2] Psal. XXXIX, 7; Hebr. X, 5. [3] Zachar. IV, 11. [4] I Cor. II, 8. [5] Joan. I, 14. [6] Hebr. I, 1. [7] Hebr. X, 28.

VARIÆ LECTIONES ET NOTÆ.

(43) In titulo post Νείλῳ cod. Vatic. 650 addit Διακόνῳ, et verbum ultimum epistolæ non ἀποφῆναν sed ἀποφῆναι scribit. Possin.

(44) Vide supra epist. 115. Ritt.

(45) Inter ἀποθνήσκει et τοῦτ' ἔστι hæc cod. Vat. 650 inserit : Δύο, φησὶν, ἢ τριῶν μαρτύρων μαρτυρησάντων ἀποθνήσκει [quæ ex margine in textum irrepsisse videntur]. Possin.

Digitized by Google

λιθοβολεῖται· πόσῳ δοκεῖτε χείρονος ἀξιωθήσεται τιμωρίας, ὁ τὸν ἐλευθερώσαντα, φησὶ, καὶ τιμήσαντα, δι' ὧν πράττει, καθυβρίζων; A hoc ipsum Paulus significat, cum id profert, quod tu discere voluisti : « Irritam quis faciens legem Moysis, sine ulla miseratione (hoc est absque misericordia, et excusatione, et venia), duobus vel tribus testibus moritur, hoc est, lapidibus obruitur; quanto magis putatis deteriora mereri supplicia, qui eum a quo liberatus, inquit, et honore affectus est, contumelia afficit? »

ΡΞΘ'. — ΙΣΙΔΩΡΩ ΕΠΙΣΚΟΠΩ.

Εἰς τὸ, « Μακάριοι οἱ εἰρηνοποιοί. »

Τοὺς εἰρηνοποιοὺς ὁ Σωτὴρ ἐμακάρισε, καὶ υἱοὺς ἐπηγγείλατο Θεοῦ γενέσθαι (46)· τοὺς πρῶτον μὲν ἐν ἑαυτοῖς εἰρηνεύοντας, καὶ μὴ διαστασιάζοντας, ἀλλὰ τὸν ἐμφύλιον πόλεμον καταλύοντας, τῷ τὸ σῶμα τῷ πνεύματι ὑποτάττειν, καὶ πείθειν τὸ ἔλαττον τῷ κρείττονι δουλεύειν, δουλείαν πάσης ἐλευθερίας καὶ βασιλείας ἀμείνω· ἔπειτα καὶ τοῖς ἄλλοις τοῖς τε πρὸς ἑαυτοὺς τοῖς τε πρὸς ἀλλήλους στασιάζουσιν εἰρήνην βραβεύοντας. Οὐκ ἂν δέ τις ἄλλῳ πρυτανεῦσαι δίκαιος ἂν εἴη, ὃ μὴ αὐτὸς ἔχει. Ὅθεν καὶ ἄγαμαι τῆς θείας φιλανθρωπίας τὴν ἀνυπέρβλητον φιλοτιμίαν, ὅτι τὰς ἀγαθὰς ἀντιδόσεις, οὐ μόνον πόνοις καὶ ἱδρῶσιν, ἀλλὰ καὶ εὐπαθείαις τρόπον τινὰ (47) ὀρέγειν ὑπισχνεῖται, εἴ γε ἡ κορυφὴ τῶν εὐφραινόντων ἡ εἰρήνη ἐστὶν, ἧς ἀπούσης, οὐδὲν τῶν εἰς θυμηδίαν ἡκόντων ἰσχύσει, πολέμου τὴν εἰρήνην κατασβεννύοντος· εὖ δὲ καὶ φάναι, υἱοὺς Θεοῦ κληθήσεσθαι τοὺς εἰρηνοποιούς· καὶ τὸ ἔπαθλον ἐκεῖνό τούτῳ τῷ ἄθλῳ ἀπονενεμῆχέναι. Ἐπειδὴ γὰρ αὐτὸς, γνήσιος ὢν Υἱὸς, εἰρηνοποίησε τὰ πάντα, τὸ μὲν σῶμα ὁρμητήριον τῆς ἀρετῆς ἀποφήνας, τοὺς δὲ δύο (48) τόν τε ἐξ Ἰουδαίων καὶ τὸν ἐξ ἐθνῶν πεπιστευκότας κτίσας εἰς ἕνα καινὸν ἄνθρωπον· τά τε οὐράνια τοῖς ἐπιγείοις συνάψας, εἰκότως τοὺς τὰ αὐτὰ ὡς ἐνδέχεται ποιοῦντας, τῆς αὐτῆς ἀξιωθήσεσθαι προσηγορίας ἔφη, καὶ εἰς τὴν τῆς υἱοθεσίας εἰσποιηθήσεσθαι ἀξίαν, ἥτις ἐστὶν ὁ ἀκρότατος τῆς μακαριότητος ὅρος. B C

CLXIX. — ISIDORO EPISCOPO.

In illud, « Beati pacifici [a]. »

Pacificos beatos prædicavit Salvator, et filios Dei futuros esse promisit : qui primo quidem in semetipsis pacem colunt, nec laborant seditione, sed bellum quasi civile et intestinum dirimunt, dum corpus spiritui subjiciunt, et partem sui inferiorem eo adducunt, ut præstantiori serviat servitutem quavis libertate, adeoque et regno quovis, potiorem : deinde, qui aliis quoque, vel secum ipsis vel cum aliis dissidentibus pacis sunt auctores. Nemo autem ad id alteri conciliandum idoneus fuerit, quod ipse non habet. Unde fit etiam ut immensam divinæ bonitatis vim demirer, quæ bonas retributiones non tantum laboribus ac sudoribus, sed quodammodo etiam voluptatibus sese daturam pollicetur, si quidem fastigium rerum delectabilium omnium pax continet : qua absente, nihil quidquam eorum valebit, quæ ad animum demulcendum sunt comparata, bello videlicet pacem exstinguente. Sed et hoc pulchre atque concinne dictum esse putandum est, filios Dei vocatum iri pacificos : quodque illud præmium huic certamini sit tributum. Cum enim ipse, ut qui genuinus sit Filius, ad pacem composuerit omnia, dum et corpus reddidit virtuti pronum atque obediens, et populos duos, qui, inquam, et Judæis pariter ac gentibus crediderunt, in unum novum hominem condidit, et denique cœlestia terrenis compaginavit : recte **511** atque ordine fecit, quod eadem, quantum quidem in ipsis est, præstantes, eadem quoque appellationis dignitate decorandos pronuntiavit, et in filiationis honorem cooptandos : qui supremus est beatitudinis terminus.

ΡΟ'. — ΖΩΣΙΜΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Ποίων ἁμαρτημάτων ἄφεσιν ἐδίδου ὁ νόμος διὰ θυσιῶν.

Τῶν μὲν δοκούντων εἶναι ἁμαρτημάτων, ὁ νόμος ἄφεσιν, ἢ διὰ θυσιῶν, ἢ δι' ἐλεημοσύνης, ἢ διὰ καθαρσίων, παρεῖχε· τῶν δὲ ὄντων οὐχί. Τὰ γὰρ συγγνώμης μείζονα, κατεδίκαζε θανάτῳ. Καταλύεσθαι (49) γὰρ παντὶ τρόπῳ τοὺς ταῦτα δρῶντας προσέταττεν, οὐχ ἵνα τὰ αὐτὰ δρῶμεν· λαθὼν (50) δὲ λίθον ἀκοντίσαι κατὰ τοῦ ἀλόντος· ἀλλ' ἵνα οἱ τῶν ἀσυγγνώ- D

CLXX. — ZOSIMO PRESBYTERO.

Qualium peccatorum remissionem dederit lex per sacrificia.

Apparentium quidem peccatorum remissionem lex vel per sacrificia et victimas, vel per eleemosynam, vel per lustrationes præbebat : verorum autem non item. Nam venia majora morte condemnabat. Omnino enim eos qui talia perpetrabant, de medio tolli atque aboleri præcipiebat : non ut eadem faciamus, quasi clanculum lex lapidem con-

[a] Matth. v, 9.

VARIÆ LECTIONES ET NOTÆ.

(46) Pro γενέσθαι idem cod. scribit κληθήσεσθαι. Possin.

(47) Inter τινὰ et ὀρέγειν inserit idem, καὶ θυμηδίαις. Vers. post 2, ἰσχύσει mutat in ἰσχύει. Paulo post pro εἰρήνην scribit εὐφροσύνην. Vers. seq. inter καὶ et φάναι, interserit τό. Id.

(48) *Τούς δὲ δύο.* F. decst λαούς, nisi pro τοὺς δύο λαούς. Ritt.

(49) Cod. Vat. καταλύεσθαι mutat in καταλεύεσθαι. Possin.

(50) Pro λαθὼν idem scribit λανθάνων, et pro ἀκοντίσαι, ἀκοντίζει. Vers. post 2, πταιόντων mutat in ἁλόντων. Vers. penult. ep. post καταλιθοῦν quæ sequuntur ad finem sic exhibet idem cod., τὸν ἐλάττονι πταίσματι φωραθέντα. Id.

Digitized by Google

tra deprehensum in ejusmodi peccato projecisset, sed ut illi qui a peccatis venia indignis atque carentibus mundi et immunes essent, supplicium illis qui peccarunt, irrogarent. Est enim absurdissimum et gravissimum, eos quidem, qui longe majora peccant, sed occulti latent, negligenter transmittere; lapidibus autem obruere eum qui minori quidem in re lapsus est, sed deprehensus in delicto.

στων πταισμάτων καθαρεύοντες, τὴν τιμωρίαν κατὰ τῶν πταιόντων ἀποφέροιεν. Ἀτοπώτατον γάρ ἐστι καὶ λίαν δεινότατον, τοὺς μείζονα πολλοὺς πταίοντας μὲν, λανθάνοντας δὲ, παροράν· καταλιθοῦν δὲ τὸν ἐπὶ ἐλάττονι μὲν πταίσαντα, φωραθέντα δέ.

CLXXI. — HERONI SCHOLASTICO.

Non solum ea, quæ non sunt in nostra potestate, ut tu, vir sapiens, arbitraris, sed ea quoque quorum nos sumus domini, si non magna auxilii copia nobis a divina providentia adveniat, non poterimus ad perfectum finem exitumque perducere. Aderit autem id præsto, omnino iis hominibus, qui absque tergiversatione ac prætextu ullo ea quæ penes se sunt inferunt, nihilque eorum, quæ ad illud impetrandum conducere videntur, prætermittunt. Nam (divina providentia) quæ non volentes excitat et hortatur ut velint, profecto eos, qui volunt, omniaque faciunt et sollicite agunt, omnino in ipsum præclare factorum subvehet fastigium.

ΡΟΑ'. — ΗΡΩΝΙ ΣΧΟΛΑΣΤΙΚΩ.

Οὐ μόνον τοῖς οὐκ ἐφ' ἡμῖν, ὦ σοφὲ, ὡς ἡγῇ, ἀλλὰ καὶ ἐν αὐτοῖς ἐφ' ἡμῖν, εἰ μὴ πολλὴ ἡμῖν ῥοπὴ παρὰ τῆς θείας προνοίας ἐπιφοιτήσει, οὐκ ἂν δυνηθείημεν αὐτὰ εἰς τέλος ἄρτιον (51) ἀγαγεῖν. Ἐπιφοιτήσει δὲ πάντως, τοῖς πάντα τὰ παρ' ἑαυτῶν ἄνευ σκήψεως εἰσφέρουσι, καὶ μηδὲν παραλιμπάνουσι τῶν εἰς τοῦτο φερόντων. Ἡ γὰρ τοὺς μὴ βουλομένους προτρέπουσα, τοὺς βουλομένους, καὶ πάντα ποιοῦντας, καὶ πραγματευομένους, πάντως εἰς αὐτὴν τῶν κατορθωμάτων ἀνοίσει τὴν κορυφήν.

CLXXII. — ÆMILIANO PRESBYTERO.

Non exigua ex maximorum præclarissimorumque virtutis operum commemoratione promanat utilitas. Nam et dormientes animas ad virtutem capessendam excuscitat, et ignavas ac socordes excitatiores efficit, et vitiis indulgentes erubescere docet, atque ad pœnitentiam agendam adducit. Idque ostendens sapiens ille Proverbiorum scriptor dixit: « Favi mellis sunt sermones honesti [9]. » Honestos vocat eos, qui de pietate ac virtute habentur; non illos, qui ascititia quadam venustate se venditant, sed qui ex se ipsis quasi domo afferunt veritatis pulchritudinem: non qui tanquam in curru poetico aut oratorio vehuntur, sed quia nativam atque a Deo datam pedestrem semitam terunt. **512** Et quid tandem hinc redit utilitatis? doce nos, quæso, o Sapiens. « Dulcedo autem eorum (inquit) est sanatio animæ [10]. » Quoniam igitur constat priscorum hominum præclara facinora, si crebris usurpentur sermonibus, non exiguam parere utilitatem; assidue ipsorum egregia facta in cœtibus et colloquiis in medium proferamus. Multi enim morbi animorum, tam latentes quam manifesti, hinc medicinam appositam et convenientem consequentur.

ΡΟΒ'. — ΑΙΜΙΛΙΑΝΩ ΠΡΕΣΒΥΤΕΡΩ.

(52) Οὐ μικρὰ (53) ἐκ τῶν μεγίστων κατορθωμάτων διηγήσεως ὠφέλεια. Τὰς μὲν γὰρ κοιμωμένας ψυχὰς διεγείρει πρὸς ἀρετήν· τὰς δὲ ὠθρὰς ὀξυτέρας παρασκευάζει· τὰς δὲ κακίαν ἀσπαζομένας ἐρυθριᾷν διδάσκει, καὶ εἰς μετάνοιαν ὁδηγεῖ. Καὶ τοῦτο ὁ σοφὸς δεικνὺς Παροιμιαστὴς ἔφη· « Κηρία μέλιτος λόγοι καλοί. » Καλοὺς λέγει, τοὺς περὶ εὐσεβείας καὶ ἀρετῆς κινουμένους, οὐ τοὺς ἐπικτήτῳ κομμωτικῇ σεμνυνομένους, ἀλλὰ τοὺς οἰκοθεν ἐπαγομένους τῆς ἀληθείας τὸ κάλλος· οὐ τοὺς ἐφ' ἅρματος ποιητικοῦ ἢ ῥητορικοῦ ὀχουμένους, ἀλλὰ τοὺς τὴν ἔμφυτον καὶ θεοδώρητον πεζὴν πορείαν ποιουμένους· καὶ τί τὸ ἐντεῦθεν ὄφελος; Δίδαξον, ὦ σοφέ. « Γλύκασμα δὲ αὐτῶν ἴασις ψυχῆς. » Ἐπεὶ τοίνυν οὐ μικρὰν ὠδίνει τὴν ὠφέλειαν τὰ τῶν παλαιῶν ἀνδραγαθήματα, συνεχῶς τὰς τούτων ἀριστείας ἐν συλλόγοις καὶ διαλόγοις ἐν μέσῳ φέρωμεν. Πολλὰ γὰρ ψυχικὰ νοσήματα, καὶ λανθάνοντα, καὶ δῆλα, θεραπείας προσφόρου τεύξεται.

CLXXIII. — HELIÆ DIACONO.

In illud, « Disponet sermones suos in judicio [11]. »

Sapientissime vir, qui ad gratiam laudant, et ad odium vituperant alios, non sunt in hominum numero habendi: sed illi, qui certo judicio et amant et reprehendunt. Quæ causa quoque est, cur Psalmorum scriptor virum justum prædicans, inter alia quibus excellit, etiam hoc apposuit eique tri-

ΡΟΓ'. — ΗΛΙΑ ΔΙΑΚΟΝΩ.

Εἰς τὸ, « Οἰκονομήσει τοὺς λόγους αὐτοῦ ἐν κρίσει. »

Οὐ χρὴ, ὦ σοφώτατε, τοὺς πρὸς χάριν ἐπαινοῦντας, καὶ πρὸς ἀπέχθειαν ψέγοντας, εἰς ἀνθρώπους ἀριθμεῖν· ἀλλ' ἐκείνους τοὺς κρίσει καὶ φιλοῦντας καὶ ἐλέγχοντας. Διὸ καὶ ὁ Μελῳδὸς τὸν δίκαιον ἀνακηρύττων, μετὰ τῶν ἄλλων πλεονεκτημάτων καὶ τοῦτο προσέθηκεν· « Οἰκονομήσει τοὺς λόγους αὐτοῦ

[9] Prov. xvi, 24. [10] ibid. [11] Psal. cxi, 5.

VARIÆ LECTIONES ET NOTÆ.

(51) Ἄρτιον mutat in αἴτιον cod. Vat. 650. Possin.

(52) Confer gnomicam epigraphen ep. 167 lib. II. Rittr.

(53) Post οὐ μικρὰ sic scribit codex Vat. 650, ἡ ἐκ τῆς διηγήσεως, et v. 2 omittit vocem διηγήσεως. Possin.

Digitized by Google

ἐν κρίσει. » Κρίσεως γὰρ ὑγιοῦς ἴσον οὐδέν. Οἱ γὰρ ταύτης ἄμοιροι, καὶ ταῖς οἰκείαις ἐπιθυμίαις ἐπόμενοι, καὶ τοὺς μὴ ἐλέγχεσθαι (54) ὀφείλοντας, κολακεύοντες, τοὺς δὲ ἐγκωμιάζεσθαι δικαίους κακίζοντες· οὗτοι ἀνδραποδωδέστατοί εἰσι, μᾶλλον δὲ εἰς τὴν τῶν ἀλόγων δικαίως ἂν καταχθεῖεν φύσει ψῆφον (55).

built : « Disponet sermones suos in judicio. » Sane enim judicio nihil est quod comparari queat. Hoc enim qui carent et suis obsecuti cupiditatibus, eos quidem quos reprehendere oportebat, adulantur; eos autem qui laudari merebantur, reprehendunt; illi vero servili admodum sunt ingenio præditi; ac potius in brutarum pecudum classem merito referendi.

ΡΟΔ'. — ΜΑΡΩΝΙ (56) ΕΠΙΣΚΟΠΩ.

Εἰς τὸ εἰρημένον· « Ἰδοὺ ἡ θεοσέβειά ἐστι σοφία. »

Οὔ μοι δοκεῖ ὁ ἀοίδιμος Ἰὼβ, ὁριζόμενος τὴν σοφίαν καὶ τὴν ἐπιστήμην, εἰρηκέναι· » Ἰδοὺ ἡ θεοσέβειά ἐστι σοφία. » Τὸ δὲ ἀπέχεσθαι κακῶν, ἐστὶν ἐπιστήμη· τῷ ὄντι γὰρ ἡ ἀκροτάτη σοφία ἐστὶν ἡ ὀρθὴ περὶ Θεοῦ διάληψις· καὶ ἡ θειοτάτη ἐπιστήμη, ἀρίστη πρᾶξις· ἡ μὲν τὸ Θεῖον ὀρθῶς δοξάζουσα, ἡ δὲ κακῶν ἀπεχομένη· ἡ μὲν διὰ πραγμάτων (57) θεολογοῦσα, ἡ δὲ διὰ πράξεων εὐδοκιμοῦσα. Εἰ τοίνυν ὁ θεοφιλὴς καὶ φιλόθεός (58) ἐστι καὶ ἐπιστήμων, καὶ τὴν θεωρητικὴν ἔχει ἀρετὴν, καὶ τὴν πρακτικήν, τὴν μὲν ὡς ψυχὴν, τὴν δὲ ὡς σῶμα· τί περιττὰ δοκοῦμεν φιλοσοφεῖν, πολιτείας μὲν ἀρίστης ὀλιγωροῦντες, εὐγλωττίας δὲ μόνης ἐπιμελόμενοι.

CLXXIV. — MARONI EPISCOPO.

In id quod dictum est, « Ecce pietas, sive cultus Dei, est sapientia [13]. »

Non videtur mihi celebris ille et decantatissimus Jobus, quod sapientiæ scientiæque definitionem tradere vellet, dixisse ista : « Ecce Dei cultus est sapientia; et abstinere a malis, est scientia. » Revera enim summa sapientia est recta de Deo existimatio, et divinissima scientia, optima actio : quarum illa recte de Deo sentit; ista a vitiis abstinet. Altera per dogmata de Deo philosophatur; altera per actiones laudem consequitur. Si igitur ita est, ut Deo charus sit is, qui et Deum amat et scientia est præditus, quique et contemplativam habet virtutem et activam : alteram quidem velut animam, alteram vero tanquam corpus; quid est quod nobis persuadeamus, nos eximie sapientes esse, dum optimam quidem vivendi rationem parum curamus; belle vero ornateque dicendi studio solum dediti sumus.

ΡΟΕ'. — ΗΡΩΝΙ ΠΡΕΣΒΥΤΕΡΩ (59).

Εἰς τὸ, « Τῷ τύπτοντί σε εἰς τὴν δεξιὰν σιαγόνα. »

Οὐκ ἂν, ὦ σοφὲ, εἰ τὸ τυπτηθῆναι καὶ ἀδικηθῆναι ἦττα ἦν, καὶ ὁ Χριστὸς καὶ ὁ Παῦλος τἀναντία ἔφησαν. Ὁ μὲν γὰρ Δεσπότης τῷ τύπτοντι εἰς τὴν δεξιὰν σιαγόνα, καὶ τὴν ἄλλην παρέχειν ἐθέσπισεν· ὁ δὲ Ἀπόστολος· « Διὰ τί οὐχὶ μᾶλλον ἀδικεῖσθε; » παρήνεσε. Καινὸς γὰρ οὗτος τῶν παλαισμάτων ὁ νόμος, ἐπειδὴ καὶ καινότερος τῶν ἐπάθλων ὁ τρόπος· οὐ γὰρ κότινος, καὶ σίτησις ἐν πρυτανείῳ, οὐδὲ χαλκαῖ εἰκόνες χρυσῷ ἀπαστράπτουσαι· τὰ οἰκτρὰ ταῦτα καὶ εὐτελῆ ἔπαθλά εἰσιν· ἀλλὰ καὶ βασιλεία οὐρανῶν, καὶ ζωὴ τέλος μὴ ἐπισταμένη. Μὴ τοίνυν, εἰ ὑποχωρήσεις καὶ φιλοσοφήσεις, νόμιζε ἡττᾶσθαι· ἀλλὰ δίωκε τὴν νίκην ἐν τῇ δοκούσῃ ἥττῃ κειμένην. Εἰ δὲ θαυμάζεις τὸ εἰρημένον, παραδείγματι, ὃ λέγω, ποιήσω σαφές. Λέγεταί τις βασιλεὺς μέλλων ναυμαχεῖν πρὸς τοὺς ἐναντίους, καὶ ἰδὼν πολλῷ πλέονας τὰς τῶν πολεμίων ναῦς, καὶ ὑποχωρήσας τοῖς πολεμίοις ἐπερχομένοις, εἰρηκέναι· Οὐ φεύγω· ἀλλὰ καὶ διώκω τὸ συμφέρον ὀπίσω κείμενον. Εἰ τοίνυν κάνταῦθα ἐν τῇ δοκούσῃ ἥττῃ καὶ ὑποχωρήσει

CLXXV. — HERONI PRESBYTERO.

In illud (Christi dictum), « Percutienti te in dextram maxillam [14], » etc.

Si percuti et injuria affici, esset succumbere, neque Christus neque Paulus unquam **513** contraria dixissent. Dominus enim præcepit percutienti in dextram maxillam, præbere etiam alteram; Apostolus autem admonuit in hæc verba : « Quare non potius injuriam patimini [15]? » Nova namque hæc est lex certaminum, quandoquidem magis etiam novus est præmiorum modus, videlicet non oleaster, et cibatio in prytaneo, neque æneæ statuæ auro fulgentes (misera ac vilia sunt ejusmodi præmia), sed regnum cœlorum, et vita finem nesciens. Noli igitur putare te, dum cedis et Christianæ meditationi das operam, succumbere ac vinci : sed potius persequere victoriam, quæ in eo ipso, dum succumbere videmur, sita est. Quod si miraris id quod dictum est, exemplo manifestum faciam quod dico. Perhibent regem quemdam, cum vellet pugnam navalem adversus hostem pugnare, vidisseque hostium naves longe plures quam suas, cedentem hostibus invadentibus, dixisse : Non fugio, sed

[13] Job xxviii, 28. [14] Matth. v, 39. [15] I Cor. vi, 7.

VARIÆ LECTIONES ET NOTÆ.

(54) *Καὶ τοὺς μὴ ἐλέγχ.* Videtur redundare μὴ, vel pro eo leg. μέν. Ritt.

(55) Pro ψῆφον cod. Vatic. 650 habet tantum φύσιν. Possin.

(56) Cod. Vat. 650 legit Μαρίνῳ. In principio ep. pro οὔ μοι idem habet, εὖ μοι. Ib.

(57) *Πραγμάτων.* Legend. arbitror δογμάτων vel ῥημάτων. Nam πραγμάτων quidem tolerari hic non potest, cum mox sequatur πράξεων. Ritt.

(58) Inter φιλόθεος et ἐστι idem cod. inserit καὶ σοφός. Possin.

(59) Inscriptio nulla erat in editione Parisiensi; suppletur ex codice Vaticano 650. Edit.

Digitized by Google

potius utilitatem persequor retro sitam. Si igitur etiam hac in vita (interdum), in eo dum quis superatur et cedit, utilitas et victoria consistit : ne paribus passibus procedamus cum iis qui nos percutiunt aut injuria afficiunt : sed potius ipsis concedamus. Hæc enim etiam cœlestium certaminum lex est et ratio.

A τὸ συμφέρον καὶ ἡ νίκη κεῖται, μὴ ὁμόσε τοῖς τύπτουσιν ἢ ἀδικοῦσι χωρῶμεν, ἀλλὰ παραχωρῶμεν αὐτοῖς. Οὕτος γὰρ καὶ τῶν οὐρανίων ἄθλων ὁ νόμος.

CLXXVI. — EULOGIO.

ΡΟϚ'. — ΕΥΛΟΓΙΩ.

Non historiam simpliciter animos legentium oblectare valentem propheta Moyses descripsit : sed quoniam legem ferre volebat, opificem et judicem universitatis rerum præponit, necnon hujus mundi creationem, ne (homines) cultum Deo debitum partibus mundi tribuerent : deinde posteaquam et piorum præmia et peccatorum supplicia adjunxit, ita ad legislationem processit, ut futuris fidem ab iis quæ jam facta erant astruens, subditos ad pietatem et justitiam exhortaretur atque excitaret.

(60) Οὐχ ἱστορίαν ἁπλῶς ψυχαγωγῆσαι δυναμένην ὁ ἱεροφάντης ἔγραψε Μωσῆς· ἀλλ' ἐπειδὴ νομοθετεῖν ἔμελλε, τὸν δημιουργὸν καὶ κριτὴν τοῦ παντὸς προτάττει, καὶ τὴν τοῦ κόσμου δημιουργίαν, ἵνα μὴ τοῖς μέρεσι τοῦ κόσμου τὸ σέβας ἀπονέμοιεν (61)· εἶτα τῶν ὁσίων τὰ γέρα, καὶ τῶν ἁμαρτωλῶν τὰς κολάσεις προσθεὶς, οὕτως ἐπὶ τὸ νομοθετεῖν ὥρμησεν, ἵνα ἀπὸ τῶν γεγενημένων καὶ τὰ μέλλοντα πιB στωσάμενος, εἰς εὐσέβειαν καὶ δικαιοσύνην τοὺς ὑπηκόους προτρέψειεν.

CLXXVII. — PHILITRIO.

ΡΟΖ'. — ΦΙΛΙΤΡΙΩ.

In illud, « *Oportebat te dare argentum* [15], » etc

Εἰς τό· « *Ἔδει σε βαλεῖν τὸ ἀργύριον.* »

Adeo procul a probro remotum est, cum optima quis et egerit et dixerit, tamen non potuisse persuadere, ut ipse Judex calculum tulerit ac dixerit illi qui nihil ad salutem proximorum contulerat : « Oportuit te dare argentum meum mensulariis, et ego cum venissem, id repetiissem; » hoc est dicere, Oportuit contestari. Oportuit vitam inculpatam ostendere. Nam opus rectum ac perfectum ad finem perducere, non est ejus qui dicit, sed ejus videlicet qui audit, ut incorruptus Judicis calculus declaravit.

Οὕτω πόρρω καθέστηκεν αἰσχύνης, τὸ τὰ βέλτιστα πράττοντά τε καὶ φράζοντα μὴ δυνηθῆναι πεῖσαι, ὡς αὐτὸν τὸν κριτὴν ψηφίσασθαι καὶ εἰπεῖν, τῷ μηδὲν εἰς τὴν τῶν πέλας σωτηρίαν εἰσενηνοχότι· « Ἔδει σε καταβαλεῖν τὸ ἀργύριόν μου ἐπὶ τοὺς τραπεζίτας, κἀγὼ ἐλθὼν ἀπῄτησα ἂν αὐτό· » τοῦτ' ἔστιν εἰπεῖν· Ἔχρῆν διαμαρτύρασθαι· ἔδει βίον ἄληπτον ἐπιδεικνύμενον. Τὸ γὰρ εἰς τέλος ἀγαγεῖν τὸ κατόρθωμα, οὐ τοῦ λέγοντος, ἀλλὰ τοῦ ἀκούοντος δῆλον ὅτι καθέστηκεν (62)· ὡς ἡ ἀδέκαστος ψῆφος τοῦ Χριτοῦ δεC δήλωκεν (63).

514 CLXXVIII. — DOROTHEO SCHOLASTICO.

ΡΟΗ'. — ΔΩΡΟΘΕΩ (64) ΣΧΟΛΑΣΤΙΚΩ.

In Abrahamum encomium, de mactatione Isaaci [16].

Εἰς τὸν Ἀβραὰμ ἐγκώμιον, ἐπὶ τῇ τοῦ Ἰσαὰκ σφαγῇ.

Nullum hoc quod dico illustrius, ac ne quidem huic simile proferre potes tropæum, quod statuit patriarcha Abrahamus. Non enim id contra tyrannos, sed contra ipsam, quæ maxime tyrannicam vim habet, naturam, erexit. Nam cum omnes ratiocinationes cogitationesque adversus ipsum insito paternæ storges affectu armatæ essent, et ipsum convulnerare niterentur, tamen ipse mansit invulnerabilis : et erat cernere naturam quidem ipsam cum suis armis atque copiis omnibus humi prostratam ; ipsum vero stantem, et manum extendentem, non

Οὐδὲν οὗ φημι λαμπρότερον, ἀλλ' οὐδὲν ἴσον ἔχεις εἰπεῖν τρόπαιον, οὗ ἔστησεν ὁ πατριάρχης Ἀβραάμ· οὐ γὰρ κατὰ τυράννων, ἀλλὰ κατὰ τῆς τυραννικωτάτης φύσεως (65) τοῦτ' ἤγειρε. Πάντων γὰρ τῶν λογισμῶν οὐδὲ ὁρᾶσιν, ἀλλὰ τῇ ἐμφύτῳ συμπαθείᾳ (66) ὡπλισμένων, κἀκείνων κατατιτρωσκόντων, αὐτὸς ἔμενεν ἄτρωτος· καὶ ἦν τὴν μὲν φύσιν αὐτὴν ἰδεῖν χαμαὶ ἐῤῥιμμένην μετὰ τῶν ὅπλων καὶ τῶν στρατοπέδων· αὐτὸν δὲ ἑστηκότα, καὶ τὴν χεῖρα ἀνατείνοντα, οὐχὶ στέφανον ἔχουσαν, ἀλλὰ μάχαιραν D παντὸς στεφάνου λαμπροτέραν. Διὸ καὶ πάντες μὲν

[15] Matth. xxv, 27. [16] Gen. xxii, 1 seqq.

VARIÆ LECTIONES ET NOTÆ.

(60) Cum hac epistola plane congruit quod scribit de Mosaica historia Philo in lib. *De opificio mundi*. Idcirco ipsum a mundi conditione orditi, ut ostendat, et mundum legi, et legem mundo consentire : legem, inquam, quam laturus erat, a mundo pendere; virumque bonum legis observantem, simul ac mundi civis factus est, ad voluntatem et arbitrium naturæ, quæ est lex mundi, suas omnes actiones dirigere et huic parare debere. Ritt.

(61) Cod. Vat. 650, ἀπονείμοιεν. Possin.

(62) Ut persuadeatur auditori quod vult orator, non est in manu oratoris, sed in potestate auditoris. Pluribus hanc sententiam probat Isidorus infra epist. 205, et rationibus et auctoritatibus etiam Arist., ubi vide not. Ritt.

(63) Cod. Vat. pro δεδήλωκεν scribit κεκύρωκεν. Possin.

(64) Θεοδώρῳ Cod. Vat. 650. Vers. 1 ep. pro ἴσον idem habet ἴσως. Id.

(65) *Τῆς τυραννικωτάτης φύσεως.* Videtur alludere ad illum ex tragœdia versum : Μεγάλη τυραννὶς ἀνδρὶ τέκνα καὶ γυνή. *Magna est tyrannis, uxor atque liberi.* Ritt.

(66) Συμπαθείᾳ cod. Vat. mutat in συνηθείᾳ. Possin.

Digitized by Google

οἱ λογισμοὶ καταπτήξαντες τὸ παράστημα τάνδρὸς, ἐστήκεσαν αὐτῷ ὑποτεταγμένοι, καὶ τρέμοντες μᾶλλον ἢ βασιλέα οἱ δορυφόροι· βλέμματι γὰρ βλοσυρῷ πάντας κατέστειλεν. Ὁ δὲ τῶν ἀγγέλων ἄνωθεν ἐπεκρότει δῆμος· καὶ ὁ Θεὸς ἀνεκήρυττεν. Εἰ δὲ βούλει (67) τοῦτ' ἀληθὲς (68) σκοπῆσαι, ἀπὸ τῶν ἐξωθεν τοῦτο θεάσῃ πραγμάτων. Εἰ γὰρ ἀθλητοῦ νικήσαντος μὴ κήρυξ κάτωθεν ἐστὼς, ἀλλ' ἄνωθεν καθήμενος αὐτὸς ὁ βασιλεὺς ἀναστὰς ἀνακηρύξειε τὸν Ὀλυμπιονίκην, οὐχὶ τῶν στεφάνων αὐτῷ τοῦτο λαμπρότερον εἶναι δόξῃ (69); Δῆλον ἅπασίν ἐστιν. Ὅταν οὖν μὴ βασιλεὺς θνητὸς, ἀλλ' αὐτὸς ὁ ἀΐδιος, οὐκ ἐν θεάτρῳ ἀνθρωπίνῳ (70) μόνον, ἀλλὰ καὶ ἀγγέλων καὶ ἀρχαγγέλων καὶ τῶν ἄνω δυνάμεων, ἀνακηρύττει (71), λαμπρᾷ τῇ φωνῇ βοῶν οὐρανόθεν· οὐχὶ πάντα ὑπερβάλλει (72) τοῦτο λαμπρότητος ὅρον; Κομιδῇ ἔγωγε ἰσχυρισαίμην. Οὐκοῦν εἰ καὶ ἡμεῖς βουλοίμεθα ἀνακηρυχθῆναι, καὶ στεφανωθῆναι, ἑαυτοὺς ἀφιερώσωμεν, καὶ μηδὲν θνητὸν, μηδὲ βιωτικὸν χορευέτω ἐν ἡμῖν πάθος· ἀλλὰ πᾶσι χαίρειν φράσαντες, τὰ τῶν οὐρανῶν ἄξια καὶ φράζωμεν καὶ πράττωμεν.

A corona præditam, sed gladio quavis corona illustrius fulgente armatam. Unde factum est, ut omnes quidem ratiocinationes humanæ obstupefactæ ad conspectum congressumque viri starent ab ipso subactæ, et magis etiam contremiscentes quam ad conspectum regis solent ejus stipatores. Terribili namque vultu omnes perculit. At desuper angelorum populus applausit ; et Deus præconium fecit victoriæ. Quod si libet veritatem ejus, quod dixi, considerare, ab externis rebus hoc licebit contemplari. Nam si, posteaquam aliquis athleta victoriam reportavit, non præco inferius consistens, sed superius residens ipse rex, de solio suo consurgens proclamet victorem certaminis Olympici, nonne ea res ipsi coronis splendidior esse videbitur? Manifestum hoc B videlicet est omnibus ita visum iri. Quando igitur non terrenus quispiam ac mortalis rex, sed ipse Rex sempiternus, non solum in theatro humano, sed etiam in visorio Angelorum, et Archangelorum, et supernarum Virtutum, victorem suo præconio aliquem renuntiet, clara voce cœlitus emissa, nonne ea res omnem splendoris terminum excedit? Equidem id firmiter asseveraverim. Quapropter nos quoque siquidem victores proclamari et coronari expetimus, nosmetipsos consecremus, nullumque mortalem, nullum ad hanc vitam pertinentem affectum in nobis exsultare sinamus, sed, omnibus valere jussis, cœlis digna et loquamur et faciamus.

ΡΟΘ'. — ΝΕΙΛΩ.

Εἰς τὸ εἰρημένον ἀπὸ τοῦ Κυρίου, «Εἰς ἐμὲ βλέπετε.»

Οὐδένα, οἶμαι, τοιαῦτα πεπαρῳνῆσθαι (73), οἷα ὁ τῶν οὐρανίων βασιλεὺς, δεῦρο ἐπιφοιτήσας, πεπαρῴνηται παρ' ἐκείνων, οὓς ἀφῖκτο σώσων· ὃς γε οὐδὲ ληστοῦ καὶ ἀνδροφόνου προεκρίθη, ἀλλὰ καὶ (74) ἐκολαφίσθη. Εἰ δὲ καί τις τὰ ὅμοια πέπονθε (δεδόσθω γὰρ), ἀλλὰ τὸ μὴ ἀπὸ τῆς ἴσης ἀξίας ὁρμᾶσθαι τοὺς πεπονθότας, ἄνισα πάλιν δείκνυσι τὰ πάθη. Οὐ γὰρ ταὐτὸν, βασιλέα ὑβρίσαι (75) καὶ ἰδιώτην· οὐδὲ δεσπότην καὶ δοῦλον· ἀλλὰ τὰ μὲν κατὰ τοῦ βασιλέως, κἂν μικρὰ ᾖ, μεγάλα τῇ ἀξίᾳ τοῦ πεπονθότος κρίνεται· τὰ δὲ κατὰ τοῦ ἰδιώτου, κἂν μέγιστα ᾖ, ὑποτέμνεται τὴν ὀργὴν, καὶ εἰς συγγνώμην πολλάκις ὁρᾷ. Ταῦτα δ' ἔφην, ἐπειδὴ γέγραφας, τί ἐστι τὸ παρὰ τοῦ Χριστοῦ λεχθέν· « Εἰς ἐμὲ βλέπετε. » Ὃ γὰρ λέγει, συντόμως τοιοῦτόν ἐστιν. Ἐπειδὴ γὰρ οἱ πάντολμοι Ἰουδαῖοι ἐπιλυττήσαντες ἐδραματούργησαν τραγῳδίαν, κατὰ Θεοῦ μὲν τολμηθεῖσαν, σαρκὸς δὲ ἁψαμένην (ἀπαθὲς γὰρ τὸ Θεῖον κυρίως)· οἱ δὲ μετὰ ταῦτα μέλλοντες ὑβρίζεσθαι, ἴσως ἀγαναχτεῖν ἤμελλον, ὡς παρὰ τὴν αὐτῶν ἀξίαν τοιούτοις περι-

CLXXIX. — NILO.

In id quod a Domino dictum est, « In me intuemini [17]. »

Neminem ego unquam tot tantisque arbitror injuriis et contumeliis affectum esse, quot quantisque C affectus est cœlestium Rex cum in terras venisset, et quidem ab illis, quos servatum venerat : qui neque latroni et homicidæ prælatus est, sed et colaphis cæsus. **515** Etsi enim similia forte quis perpessus est (detur enim ita esse), attamen hoc dissimiles et impares ostendit perpessiones, quod illi qui perpessi eas sunt, non a pari dignitate descenderunt. Non enim est idem, injuria afficere regem, et hominem privatum, neque dominum et servum; sed quæ adversus regem quidem committuntur, quantumvis per se exigua sunt, magna tamen ut judicentur, ejus qui talia patitur dignitas efficit. Quæ vero in aliquem privatum perpetrantur, ut maxima sint, tamen iram minorem habent, et sæpe ad veniam spectant. Hæc autem ideo dixi, quia per litteras ex me quæsivisti, quid sit quod a Christo dictum est : « In me intuemini. » Nam quod dicit, in summa tale est. Etenim quia audacissimi Judæi

[17] Psal. xxiv, 16.

VARIÆ LECTIONES ET NOTÆ.

(67) Post εἰ δὲ βούλει loco τοῦτ' ἀληθὲς idem ponit καὶ τοῦτο ἀκριβῶς Possin.

(68) *Τοῦτ' ἀληθές*. F. τἀληθὲς, deleto τοῦτ'. Rittr.

(69) *Δόξῃ*. F. δόξει. Ib.

(70) Cod. Vat., ἀνθρώπων. Possin.

(71) *Ἀνακηρύττειν*. F. ἀνακηρύττῃ, præcessit enim ὅταν. Rittr.

(72) *Ὑπερβάλλει* cod. Vat. vertit in ὑπερβαίνει, et vers. post tertio ἀνακηρυχθῆναι breviat in ἀναῤῥηθῆναι. Possin.

(73) Pro πεπαρῴνηται cod. Vat. 650 legit ἐπαρῳνῆθη. Ib.

(74) Inter καὶ ἐκολαφίσθη idem inserit, ἐκωμῳδήθη καί. Ib.

(75) *Ὑβρίσαι* idem recte mutat in ὑβρισθῆναι. Ib.

Digitized by Google

in furorem acti tragœdiam egerunt; quæ Deum quidem appetiit, carnem vero attigit (proprie enim loquendo divinitas passioni obnoxia esse nequit): quibus autem postea aliqua inferetur injuria, ii forsitan indignatione corripientur quasi præter meritum in tales inciderint calamitates : idcirco dixit : « In me intuemini. » Maxime enim, inquit, intolerabilia erant, quæ a sceleratis ac nefariis Judæis perpetrata sunt. Verumtamen concedatur sane, tolerabilia esse. Quid dixerit quis etiam de proditore, qui mea longanimitate et tolerantia ad extremam saturitatem repletus, contra me satietatem illam extulit? Hisce quasi quibusdam incantamentis illatas vobis injurias lenite atque cicurate. Facile namque cedent iis, qui adversus eas occinent.

A πεπτωκότες πάθεσιν, ἔφη· « Εἰς ἐμὲ βλέπετε. » Μάλιστα μὲν γὰρ, φησὶ, καὶ τὰ παρὰ τῶν ἁλιτηρίων Ἰουδαίων τολμηθέντα, ἀφόρητα ἦν· πλὴν δεδόσθω φορητὰ εἶναι· τί ἂν τις φαίη καὶ περὶ τοῦ προδότου, ὅς γε τῆς ἐμῆς ὑπερεμπλησθεὶς ἀνεξικακίας, κατ' ἐμοῦ τὸν κόρον ἤνεγκε; Ταύταις ταῖς ἐπῳδαῖς καταπραΰνετε τὰς ὕβρεις (76), καὶ τιθασσεύετε. Εἴξουσι γὰρ ῥᾳδίως τοῖς ταῦτα κατεπᾴδουσιν.

CLXXX. — THEODOSIO PRESBYTERO.

Quare ad crucem proficiscens Christus lugentes mulieres objurgarit [16].

Neque luctatorem generosum, qui in certamen descendit, et pulvere aspergitur, et percutitur, deflere lacrymisque prosequi decet : labores enim ipsi in coronas desinunt; neque strenuum aliquem militem ad bellum proficiscentem, ubi et vulnera et mactationes perpetietur, lamentis afficere convenit : redibit enim victor gloriosus et columnis et præconiis potietur. Sed illos potius lacrymis prosequi dignum est, qui ad latrocinia cædesque patrandas currunt, maxime quidem tunc cum maleficium exercuerint; deinde vero etiam tunc quando supplicio afficiuntur. Quomodo igitur discere quæsivisti, quam ob causam Christus, quo tempore ad crucem victoris et triumphatoris instar proficiscebatur, lamentantes mulieres non modo non amplexus fuerit, verum etiam reprehenderit? Constat enim, si quis vicem doleat patientis, id ei quidem qui invitus patitur, solatio esse; ei vero qui sua sponte, injuriam afferre. Injuria enim est illi condolentia ac commiseratio, cui non præter aut contra voluntatem evenit quod patitur. **516** Quoniam igitur et ipse volens ad passionem veniebat, et mortem exstincturus, et diabolum enervaturus; illæ vero deflebant ipsum, qui laudari potius et plausu excipi merebatur : eam ob rem etiam, ut quorumdam fert opinio, diris ipsas defigebat; ut autem veritas habet, præsignificabat ea quæ ipsis ventura essent mala. Nam lacrymis eum prosequi fas non est, qui de peccato tropæum statuebat, et præterquam quod ad mortem morte multandam festinabat et ad vinciendum diabolum, ad eos quoque, qui ab his omnibus captivi tenebantur, liberandos se conferebat.

ΡΠ'. — ΘΕΟΔΟΣΙΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Διὰ τί ἐπὶ τὸν σταυρὸν ἐρχόμενος ὁ Χριστὸς ταῖς κοπτομέναις γυναιξὶν ἐπετίμησεν.

B Οὔτε τὸν γενναῖον ἀθλητὴν εἰς τὸν ἀγῶνα καθέντα, καὶ κονιζόμενον, καὶ τυπτόμενον, θρηνητέον· εἰς στεφάνους γὰρ αὐτῷ οἱ πόνοι τελευτῶσιν· οὔτε τὸν ἀριστέα ἐν πολέμῳ ἐξιόντα, καὶ τραύματα, καὶ σφαγὰς μέλλοντα ὑπομένειν, ὀλοφυρτέον· τροπαιοῦχος γὰρ ἐπανήξει, καὶ στηλῶν καὶ ἀναῤῥήσεων τεύξεται· ἀλλ' ἐκείνους θρηνητέον, τοὺς ἐπὶ λῃστείαις καὶ ἀνδροφονίαις θέοντας, μάλιστα μὲν ὅταν κακουργῶσιν, ἔπειτα δὲ καὶ ὅταν κολάζωνται. Πῶς οὖν ἐζήτησας μαθεῖν, δι' ἣν αἰτίαν θρηνούσας τὰς γυναῖκας, ὅτε ἐπὶ τὸν σταυρὸν ὡς τροπαιοῦχος ἀπῄει ὁ Χριστὸς οὐ μόνον οὐκ ἀπεδέξατο, ἀλλὰ καὶ ἐπετίμησε; Δῆλον γὰρ ὅτι τῷ μὲν ἀκοντὶ πάσχοντι ἡ συμπάθεια παράκλησις, τῷ δὲ ἑκοντὶ ὕβριν φέρει. C Ὕβρις γὰρ ἐκείνῳ τὸ συμπαθὲς, ᾧ μὴ τὸ πάθος ἀδούλητον. Ἐπεὶ τοίνυν καὶ αὐτὸς ἑκὼν ἐπὶ τὸ πάθος ἤρχετο, καὶ τὸν θάνατον σβέσων, καὶ τὸν διάβολον ἐκνευρίσων· ἐθρήνουν δὲ ἐκεῖναι τὸν εὐφημεῖσθαι καὶ κροτεῖσθαι δίκαιον ὄντα· διὰ τοῦτο καὶ, ὡς νομίζουσί τινες, κατηράσατο· ὡς δὲ ἡ ἀλήθεια ἔχει, προεμήνυσε τὰ μέλλοντα αὐταῖς συμβήσεσθαι· καὶ Θρηνεῖσθαι γὰρ οὐ θέμις τὸν τροπωσάμενον τὴν ἁμαρτίαν, καὶ σπεύδοντα ἐπὶ τῷ καὶ τὸν θάνατον θανατῶσαι, καὶ τὸν διάβολον δῆσαι, ἀλλὰ καὶ τοὺς ὑπὸ τούτων ἁπάντων ἁλόντας (77).

CLXXXI. — HIERACI PRESBYTERO.

In illud, « *Nolite sancta dare canibus* [17], » et quæ sequuntur.

Revera dignum admiratione est oraculum, quod

ΡΠΑ'. — ΙΕΡΑΚΙ ΠΡΕΣΒΥΤΕΡΩ.

Εἰς τό· « Μὴ δῶτε τὰ ἅγια τοῖς κυσὶ, » καὶ τὰ ἑξῆς.

Ὄντως ἀξιάγαστος ὁ θεῖος χρησμὸς, ὃν ἑρμηνευ-

[16] Luc. XXIII, 27, 28. [17] Matth. VII, 6.

VARIÆ LECTIONES ET NOTÆ.

(76) Confer ep. 131, lib. II. Videtur alludere ad Pythagoreorum sapientiam. Qui enim de vita Pythagoræ accuratius commentati sunt, testantur illum suas quasdam habuisse ἐπῳδὰς, quibus non minus animorum perturbationes quam corporum ægritudines depellere solitus sit. Vide Jamblichum et Malchum in Vita Pythagoræ. Quid autem de epodis sive incantationibus, quæ vetustissimo, sed improbato more, curandis vulneribus ac morbis adhibentur, sentiendum sit, multis SS. Patrum auctoritatibus docui in *Sacrarum Lectionum* libris. RITT.

(77) Ἁλόντας. Omissum et addendum videtur verbum λυτρῶσαι, vel ἀπολυτροῦσαι. RITT.

Digitized by Google

θῆναί σοι παρεκελεύσω. Τὸ γάρ· « Μὴ δῶτε τὰ ἅγια τοῖς κυσὶ, μηδὲ ῥίψητε τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοίρων, μήποτε καταπατήσωσιν αὐτοὺς τοῖς ποσὶν αὐτῶν, καὶ στραφέντες ῥήξωσιν ὑμᾶς, » τοιοῦτόν τινα ὠδίνει νοῦν. Ἐπειδὴ ἅγιος καὶ μαργαρίτης ὄντως τιμαλφέστατος ὁ θεῖος λόγος, κύνες δὲ καὶ χοῖροι οὐ μόνον οἱ περὶ τὰ δόγματα, ἀλλὰ καὶ οἱ περὶ τὰς πράξεις πταίοντες, καταπάτησις δὲ ἡ περὶ αὐτῶν ἔρις καὶ ζυγομαχία, τῶν μὲν τὴν ὀρθότητα τῶν δογμάτων ἀνατρέπειν πειρωμένων, τῶν δὲ τὴν ἀρίστην πολιτείαν ἐξυβριζόντων· ῥῆξις δὲ τῶν τὸν θεῖον λόγον προσβευόντων, καὶ τῶν (78) ἄριστα συμβουλευόντων, ἢ τῶν οὐκ ὀρθῶς βιούντων καταφρόνησις καὶ ἀτιμία· διὰ τοῦτο ἔφη· Μὴ ὡς εὐωνόν τινα καὶ εὐπόριστον ῥίπτετε τὸν λόγον, ἵνα μὴ καὶ αὐτὸς παροινηθείη, καὶ ὑμεῖς κωμῳδηθείητε παρὰ τῶν ὀρθῶς (79) μηδὲν μήτε λεγόντων, μήτε πραττόντων. Τινὲς δέ φασιν οὐκ ἀπὸ σκοποῦ, ὅτι καὶ τὴν ἱερωσύνην διαγορεύει μὴ δοθῆναι τοῖς ἀσελγέσι καὶ ἀκαθάρτοις, ἵνα μὴ καὶ αὐτὴν ὑβρίσειαν, καὶ κατὰ τῶν χειροτονησάντων ὁρμήσαιεν, ἣν εἶχον πρὸ τούτου σεμνὴν δόξαν διαῤῥηγνύντες. Εἰ δὲ καὶ τοῖς ἁμαρτάνουσι λαϊκοῖς, τὰ θεῖα μὴ δίδοσθαι μυστήρια, ἐπίστησον. Εἰ δὲ καὶ τοῖς προσποιουμένοις μὲν προσιέναι τῇ πίστει, μὴ ἀφισταμένοις δὲ τῶν παρόντων ἐπιτηδευμάτων, ἀπαγορεύει τὸ Θεῖον δίδοσθαι βάπτισμα, ἐπίστησον.

A tibi exponi petiisti. Illud enim dictum : « Nolite sancta dare canibus, neque projicite margaritas vestras ante porcos, nequando conculcent eas pedibus suis, et conversi lacerent vos ; » talem quemdam parit sensum. Quia verbum divinum est sacrosanctum, et margarita revera pretiosissima : canes autem et porci sunt, non solum qui circa dogmata Christianæ religionis, sed etiam qui circa actiones labuntur : conculcatio autem est contentio atque concertatio de illis suscepta, dum alii dogmatum rectitudinem sinceritatemque evertere conantur ; alii optimam vivendi rationem contumelia afficiunt. Laceratio denique eorum qui divinum verbum tanquam legati annuntiant, optimaque dant consilia, est contemptus et ignominia, qua eos afficiunt qui non recte vivunt ; hanc ob causam dixit : Ne tanquam rem aliquam vilem ac paratu facilem projicite verbum, ne et ipsum contumelia afficiatur, et vos traducamini ac ludibrio habeamini ab iis, qui nihil recte neque dicunt, neque faciunt. Sunt autem qui non absurde dicant, quod etiam sacerdotium prohibeat dari improbis atque impuris, ne et ipsum injuria afficiant, et in eos a quibus electi sunt irruant, bonam atque honestam, qua prius præditi erant, existimationem dilacerantes. Quod si etiam peccantibus laicis dixeris non esse danda divina mysteria, scias te recte accipere. Si denique etiam dixeris, quod prohibeat divinum impartiri baptismum illis, qui simulant quidem, se ad fidem Christianam accedere, sed interim non desistunt a præsentibus vitæ institutis, scito nihil te a vero aberrare.

B

ΡΠΒ'. — ΙΣΙΔΩΡΩ ΔΙΑΚΟΝΩ.

Τοῦ ψαλτηρίου. Περὶ τῆς τῶν Ψαλμῶν ἐπιγραφῆς.

Ὅτε μὲν ὁ Μελοποιὸς ἐμελῴδει, ἐπεγράφετο ψαλμός· ὨΙδὴ τῷ Δαβίδ (80). Ὅτε δὲ αὐτὸς μὲν ἐμελῴδει, ἄλλος δὲ ἐμελοποίει, ἢ εἰς αὐτὸν τὸ μέλος παρ' ἄλλων ᾄδετο, ἢ εἰς τὸν ἐξ αὐτοῦ τὸ κατὰ σάρκα Χριστὸν ἀνήγετο, Ψαλμὸς τῷ Δαβίδ. Οὐ γὰρ πάντες οἱ μελογράφοι ᾖδον, οὐδὲ πάντες οἱ ᾄδοντες ἐμελογράφουν· ἀλλ' οἱ μὲν τοῦτο, οἱ δὲ ἐκεῖνο· οἱ δὲ καὶ ἀμφότερα διεπράττοντο, τοῦ θείου Πνεύματος ἑκάστῳ τὸ πρόσφορον ἀπονέμοντος.

C

CLXXXII. — ISIDORO DIACONO.

Ex Psalterio, de Psalmorum inscriptione.

Quando ipse Psalmorum auctor canebat, inscribebatur psalmus, *Ode Davidi.* At quando ipse **517** quidem canebat, alius vero modos faciebat, vel quando ab aliis carmen in ipsum canebatur, vel ad Christum, qui ex ipso secundum carnem erat nasciturus, referebatur, inscriptio fiebat hæc : *Psalmus Davidi.* Non enim omnes qui carmen componebant, etiam canebant : neque omnes qui canebant, etiam carmen componebant ; sed alii hoc, alii illud faciebant, alii vero etiam utrumque, divino videlicet Spiritu unicuique id, quod ipsi conveniens et aptum esset, attribuente.

ΡΠΓ'. — ΠΑΥΛΩ ΔΙΑΚΟΝΩ (81).

Ἐπὶ τῆς θείας ἐνεργείας, τὸ Πῶς μὴ ἐχέτω χώραν.

(82) Ὅταν ἡ θεία δύναμις ἐνεργῇ, τὸ Πῶς μὴ ἐχέτω χώραν. Εἰ γὰρ πολλὰ ὑπὲρ φύσιν, καὶ λογι-

D

CLXXXIII. — PAULO DIACONO.

Cum Deus aliquid facit, quæstio, quomodo, ne habeat locum.

Quando divina potentia aliquid operatur, quæstio, quomodo, ne habeat locum. Nam utut multa

VARIÆ LECTIONES ET NOTÆ.

(78) Inter τῶν et ἄριστα cod. Vat. 650 inserit τὰ Vers. inde 2. tollit τινά. Possin.

(79) Ὀρθῶς mutat in ὀρθόν. Vers. inde 3. pro αὐτὴν ὑβρίσειαν scribit εἰς αὐτὴν ὑβρίσοιεν. Vers. prin. ep. παρόντων mutat in παρανόμων, et vers. ult. ἐπίστησον in ἐπίσχεψαι. Ip.

(80) Cod. Vat. 650 omittit ᾠδὴ τῷ Δαβίδ, pro his solum post ψαλμὸς ponens τοῦ Δαβίδ. Ip.

(81) Inscriptio deerat in editione Parisiensi ; suppletur ex codice Vaticano 650. Edit.

(82) Confer epist. 476 lib. 1, et quod alibi est apud Isidorum, ἕωλος πᾶς λόγος μετὰ τὴν θείαν ψῆφον. Sic Justinus Martyr : σαφὴς ἔλεγχος ἀπιστίας τὸ πῶς περὶ Θεοῦ λέγειν. Similia multa habent D. Chrysostomus, Ambrosius et alii, quæ parco ascribere. Rhit.

Digitized by Google

supra naturam supraque ratiocinationum (humanarum) sensum et consequentiam tum facta fuerint, tum adhuc fiant : nihil tamen fit supra Deum, qui nullo negotio etiam ea quæ spem omnem superent, operatur.

A σμῶν ἀκολουθίαν, καὶ γέγονε καὶ γίνεται, ἀλλ' οὐδέν ἐστιν ὑπὲρ Θεὸν, τὸν εὐμαρῶς καὶ τὰ παρ' ἐλπίδα δημιουργοῦντα.

CLXXXIV. — MARTIANO, ZOSIMO, MARONI.

III Regnorum. Quod injustus non effugiet panam, sicut neque Joab.

Quod impius non evasurus sit animadversionem (divinam), sed aut in hac, aut in altera vita certo subiturus supplicium : multi vero utrobique, et hic et illic puniantur; id non nostra tantum ratiocinatio collectioque, sed et divina oracula suggerunt. Ac plures quidem (quos pro exemplo adducere poteram) inpræsentiarum omittam, sed unius mentionem faciam, et quidem ejusmodi hominis qui, tametsi videretur sapientia quadam atque vafritie sua impunitatem sibi conciliasse, tamen pœnas effugere non potuit. Joab, ille Davidis militiæ dux, animo imperatorio, et robore et hasta insignis, cum collegas quosdam suos, qua invidia, qua fraude de medio sustulisset, tandem divinæ justitiæ ultionem non latuit. Nam cum existimaret se arte atque astutia quadam hanc depulisse, Adoniam affectantem regnum, amicum non est aversatus, sed eum in electione adjuvit sperans fore, ut hoc pacto non solum supplicium cædibus a se perpetratis debitum effugeret, si prius benevolentiam sibi adjunxisset novi regis, verum hoc amplius gratiam quoque ab ipso iniret : sed magis propterea punitus est. Nam cujus rei metu, ne fieret, tyrannum adjutum ibat, eam ipsam rem illa præparatio ei acceleravit : et quarum rerum præsidio se diras Davidis declinare posse confidebat, per eas ipsas res in opus et in effectum illas produxit, et callidum inventum ipsi in laqueum est conversum : quodque fugiebat ne pateretur, id fugiens passus est : et id, quod (ipsius quidem opinione) avertere omnes molestias omnisque adversa debebat, vice versa tale deprehendit, quod potius accerseret calamitates. **518** Si igitur animadversionem divinam nulla ratione licet effugere (ut certe non licet), quo pacto, quæso, vos, o animum habentes omni genere crudelitatis et feritatis armatum, dolis et machinationibus ac vaframentis stratagematum, putatis vos eorum, quæ inique et scelerate perpetrastis, supplicia evasuros?

B C

ΡΠΔ'. — ΜΑΡΤΙΑΝΩ, ΖΩΣΙΜΩ, ΜΑΡΩΝΙ.

Βασιλειῶν γ'. Ὅτι παράνομος οὐ διαφεύξεται δίκην, ὡς οὐδὲ Ἰωάβ.

Ὅτι παράνομος οὐ διαφεύξεται τὴν δίκην, ἀλλ' ἢ ἐνταῦθα ἢ ἐκεῖθεν τηρηθήσεται (83)· πολλοὶ δὲ κἀνταῦθα κἀκεῖσε ἐτιμωρήθησαν, οὐχ ὁ ἡμέτερος λογισμὸς ὑποβάλλει, ἀλλὰ καὶ τὰ θεῖα λόγια. Τοὺς μὲν οὖν πολλοὺς παραλείψω· ἑνὸς δὲ ἐπιμνησθήσομαι, δόξαντος σοφίᾳ τινὶ καὶ πανουργίᾳ κατεσκευακέναι τὸ διαφεύγειν (84) τὴν δίκην, καὶ μὴ δυνηθέντος ὁ Ἰωάβ, ὁ τοῦ Δαβὶδ στρατηγὸς, γνώμῃ μὲν στρατηγικῇ, καὶ ῥώμῃ καὶ δόρατι διαπρέπων, φθόνῳ τε καὶ δόλῳ τοὺς συστρατηγήσαντας ἀνελὼν, οὐκ ἔλαθεν εἰς τέλος τὴν δίκην. Νομίσας γὰρ τέχνῃ τινὶ καὶ μεθόδῳ διακρούεσθαι ταύτην, τὸν Ἀδωνίαν βασιλεύοντα φίλον οὐκ ἀπεστρέψατο (85), ἀλλὰ συνέπραξεν εἰς τὴν χειροτονίαν, προσδοκῶν, μὴ μόνον ἀποφεύξεσθαι τὴν τιμωρίαν ὧν ἔπραξε (86) φόνων, εἰ προεξευμενίσαιτο τὸν βασιλεύσοντα, ἀλλὰ καὶ χάριν ἀπολήψεσθαι· ὃς δὲ διὰ τοῦτο μᾶλλον τετιμώρηται. Ὅπερ γὰρ φοβούμενος γενέσθαι συνέπραξε τῷ τυράννῳ, τοῦτο ἡ κατασκευὴ αὐτῷ προυξένησε· καὶ δι' ὧν ᾤετο ἐκφεύγειν τὰς ἀρὰς τοῦ Δαβὶδ, διὰ τούτων αὐτὰς εἰς ἔργον ἤγαγε· καὶ τὸ σόφισμα παγὶς ἐγίνετο· καὶ ὅπερ ἔφυγε μὴ παθεῖν, φεύγων (87) ἔπαθε· καὶ τὸ ἀποτρεπτικὸν τῶν λυπηρῶν, κατασκευαστικὸν ηὑρίσκετο τῶν συμφορῶν. Εἰ τοίνυν οὐκ ἔστι διαδρᾶναι τὴν δίκην, πῶς, ὦ πᾶσαν ὠμότητα καὶ ἀγριότητα κατὰ ψυχὴν ὡπλισμένοι, δόλοις, καὶ μηχαναῖς, καὶ στρατηγίαις νομίζετε τὰς, ἐφ' οἷς ἐπλημμελήσατε, διαδιδράσκειν τιμωρίας;

CLXXXV. — PETRO SCHOLASTICO.

In illud Christi dictum, « Remittite et remittetur vobis [20]. »

Sat scio te, si quidem pecunias haberes, daturum eas indigentibus. Quod autem rogatus veniam, te difficilem præbeas, id sane miror. Atqui non mi-

[20] Luc. VI, 37.

ΡΠΕ'. — ΠΕΤΡΩ ΣΧΟΛΑΣΤΙΚΩ.

Εἰς τό· Ἄφετε, καὶ ἀφεθήσεται ὑμῖν.

Ὅτι μὲν, εἰ χρήματα ἔσχες (88), παρέσχες ἂν τοῖς δεομένοις, εὖ οἶδα· ὅτι δὲ συγγνώμην ἀπαιτούμενος δυσχεραίνεις, θαυμάζω. Καίτοι τὸ ἀδάπανον

D

VARIÆ LECTIONES ET NOTÆ.

B « Ἐμίσησάν με δωρεάν, » ἐκέλευσε μὴ ἔχειν ἐχθρούς· τούτου γὰρ οὐκ ἐσμὲν κύριοι· ἀλλὰ τὸ μὴ ἀδικεῖν, τὸ μὴ κατασπείρειν ῥίζαν πολέμου, καὶ μάλιστα, ὅταν ἡ εὐσέβεια οὐδὲν παραβλάπτηται. Εἰ δ' οἱ πονηροὶ τοὺς ἀγαθοὺς μισοῦσι, μὴ θαυμάζητε. Καὶ γὰρ οἱ ψευδαπόστολοι τοὺς ἀποστόλους, καὶ οἱ ψευδοπροφῆται τοὺς προφήτας ἐμίσουν. Ὅπερ καὶ αὐτὸς ὁ Παῦλος σαφῶς ἐπιστάμενος, ἔγραφε· « Δίωκε δὲ εἰρήνην μετὰ πάντων τῶν ἐπικαλουμένων (98) τὸν Κύριον ἐκ καθαρᾶς καρδίας. » Μὴ τοίνυν αἰτιῶ τὸν ἐχθροὺς ἔχοντα, ἀλλὰ τὸν ἑαυτῷ τοὺς ἐχθροὺς κατασκευάζοντα. Εἰ δὲ μὴ συμβαίνει τῷ φωτὶ τὸ σκότος· οὐδὲ γὰρ οἷόν τε· οὐδὲν παρὰ τὸ φῶς· εἰ οὐ βούλεται ὁ ἀσεβὴς [τὴν εὐσέβειαν ἀσπάζειν, οὐδὲν παρὰ τὸν εὐσεβῆ· εἰ οὐ βούλεται ὁ λάγνος
C τὴν (99)] σωφροσύνην ἀσκῆσαι, οὐδὲν παρὰ τὸν σώφρονα· εἰ οὐ βούλεται ὁ ἄδικος ἀποστῆναι τῆς ἀδικίας, οὐδὲν παρὰ τὸν δίκαιον· ἀλλὰ παρ' ἐκείνους, τοὺς ἐλέγχον ἡγουμένους τῆς σφῶν κακίας τὰς τῶν πέλας ἀρετάς.

CCXXI. — ALYMPIO SCHOLASTICO.

De lectione, contra Græcos, de gratia divinitus inspiratarum Scripturarum, deque utilitate ex illis capienda.

Quoniam, ut aiebas, fontes sermonum quiescentes animam irrigari cupientem tabefaciunt : illos tibi, vir eruditissime, suaserim ut maxime reserare studeas, qui divitibus ac perennibus fluentis præditi sunt ; non autem eos qui irrigatione aliunde accersita indigent.

ΣΚΓ'. — ΑΛΥΜΠΙΩ (1) ΣΧΟΛΑΣΤΙΚΩ.

Περὶ ἀναγνώσεως, κατὰ Ἑλλήνων, περὶ τῆς χάριτος τῶν θεοπνεύστων Γραφῶν, καὶ τῆς ἐξ αὐτῶν ὠφελείας.

Ἐπειδὴ, ὡς ἔφης, πηγαὶ λόγων ἡσυχάζουσαι
D ψυχὴν ἐθέλουσαν ἀρδεύεσθαι μαραίνουσιν· ἐκείνας, ἐλλογιμώτατε, μάλιστα ἀναμοχλεύειν σοι παραινῶ, τὰς πλουσίοις καὶ ἀεννάοις νάμασι κομώσας, καὶ μὴ τὰς ἀρδείας ἐτέρωθεν δεομένας.

[60] Joan. xv, 25. [61] II Tim. II, 22.

VARIÆ LECTIONES ET NOTÆ.

(96) Inter ἢ et σώφρων idem inserit ὁ. Possin.

(97) Καὶ ὑπὸ φθ. ὑπ. deerant in ed. Paris. et addantur ex codice Vaticano. Edit.

(98) *Εἰρήνην κατὰ πάντων τῶν ἐπικαλ.* Apud Paulum omittitur πάντων, II Tim. II, 22. Recte tamen ab Isidoro additur, quia indefinita æquipollet universali. Ritt.

(99) *Τὴν εὐσέβειαν ἀσπάζειν... τὴν σωφροσύνην.* Quæ præcedunt σωφροσύνην, non sunt in ms. ; sed addidi postulante sensu, ut integer esset præclarus locus, qui videbatur sine his mutilus. Id.

(1) *Ἀλυμπίῳ.* F. Ἀλυπίῳ, vel Ὀλυμπίῳ, ad quem alias quoque scribit Isidorus. Id. — Primam conjecturam format cod. Vat. scribens Ἀλυπίῳ. Edit.

Digitized by Google

ΣΚΒ'.

Εἰς τό, « Ἐγὼ ὁ Θεὸς Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακώβ· » καὶ εἰς τό· « Ὑπερασπιῶ τῆς πόλεως ταύτης διὰ Δαβὶδ, τοῦ σῶσαι αὐτήν. »

Θεῖόν ἐστι χρῆμα ἡ ἀρετὴ, ὦ μακάριε, καὶ θεοφιλὲς, καὶ μακάριον, καὶ ἀθάνατον, καὶ ὑπὸ λήθης μὴ ἡττώμενον. Ἀοίδιμος μὲν γάρ ἐστι παρὰ ἀνθρώποις, παρὰ δὲ Θεῷ ἀείμνηστος, τῷ ποτὲ μὲν φράζοντι· « Ἐγὼ ὁ Θεὸς Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακώβ· » ποτὲ δὲ, « Ὑπερασπιῶ τῆς πόλεως ταύτης τοῦ σῶσαι αὐτὴν, διὰ Δαβὶδ τὸν παῖδά μου. » Εἰς τοσοῦτον ἥκουσι τῷ Θεῷ φροντίδος τε καὶ τιμῆς, καὶ τελευτήσαντες, οἷς ἀρετὴ περισπούδαστον. Εἰ δὲ ἐνταῦθα οὕτως αὐτοὺς ἀνακηρύττει, ποίαις οὐκ ἀμείψεται αὐτοὺς ἐκεῖσε δωρεαῖς;

A

547-548 CCXXIV.

In illud : « Ego sum Deus Abraham, et Isaac, et Jacob[62]. » Et in illud : « Protegam urbem hanc propter Davidem, ut servem eam[63]. »

Divina quædam res est virtus, o beate, et Deo grata, et felix, et immortalis, et ab oblivione insuperabilis. Nam et apud homines celebratur, et apud Deum sempiterna memoria conservatur, qui alias quidem ait : « Ego sum Deus Abraham, et Isaac, et Jacob ; » alias vero : « Protegam urbem hanc ut eam servem, propter Davidem servum meum. » Tantæ curæ sunt Deo, et in tanto habentur apud ipsum honore etiam vita functi, quibus virtutis studium cordi est. Quod si tanto præconio ipsos in hac vita ornat, quibus non muneribus eosdem in futura vita prosequetur?

B

ΣΚΓ'. — ΗΡΩΝΙ (2).

Θυμὸς καὶ ὀργὴ δοκεῖ (3) μὲν ἕν τι εἶναι καὶ τὸ αὐτὸ τάχα· ἀλλ' ὁ μὲν μηνύει τὴν ὀξεῖαν τοῦ πάθους κίνησιν, τὴν καὶ τὰς ἐννοίας κλέπτουσαν· ἡ δὲ τὴν χρονίαν ἐν τῷ πάθει διατριβήν. Διὸ καὶ ὁ μὲν παρὰ τὴν ἀναθυμίασιν εἴρηται· ὁ δὲ παρὰ τὸ ὀργᾶν, καὶ ἀμύνης ἐρᾶν.

CCXXIII. — HERONI.

Θυμὸς (hoc est excandescentia) et ὀργὴ (hoc est ira) videtur quidem forsan una eademque res esse; sed prius nomen indicat celerem commotionem affectus, quæ et cogitationes homini suffuratur atque antevertit. Alterum vero diuturnam in eo affectu commorationem ac perseverantiam significat. Quamobrem etiam θυμὸς dictus est quod ἀναθυμίασιν adjunctam habeat, hoc est effervescentiam; ὀργὴ autem a verbo ὀργᾶν, quod est turgidum esse, et ob vindictæ cupiditatem.

ΣΚΔ'. — ΗΡΑΚΛΕΙΩ (4).

Εἰς τό· « Λύκοι καὶ ἄρνες ἅμα βοσκηθήσονται. »

Λίαν θαυμάζω, πῶς τὸ μὲν κλέος τῶν συγγραμμάτων, ὧν ἀπολέλοιπεν ὁ πάνσοφος Ἰωάννης (5), πανταχόσε φοιτησάντων (6), ἄχρι τῆς γῆς καὶ θαλάττης τερμάτων ἔφθασεν, τῆς δὲ σῆς (7) οὐ καθήψατο ἀμαθίας. Θαυμάζων δὲ οὐκ ἐκεῖνον αἰτιῶμαι, ἀλλὰ τὴν σὴν μέμφομαι ἀνυπέρβλητον ῥᾳθυμίαν, τὴν ταὐτὸ πεπονθυῖαν τοῖς ἐν σταθηρᾷ μεσημβρίᾳ καὶ λευκῇ γαλήνῃ τὸν ἥλιον μὴ καθορῶσι, διὰ τὸ τὴν ὀπτικὴν αὐτοῖς παντελῶς ἐσβέσθαι δύναμιν. Δι' ὧν γὰρ λέγεις, σαυτοῦ κατηγορεῖς, ὅτι ἀνέραστος εἶ τῶν καλῶν. Τίς γὰρ οὐχ ἑάλω ἐκείνοις; Τίς δὲ τῶν μετ' αὐτὸν τεχθέντων ἀνθρώπων οὐ χάριν ἔχειν οἶδε (8) τῇ θείᾳ προνοίᾳ, ὅτι μετ' αὐτὸν ἐτέχθη; καὶ οὐκ ἄπειρος ἀπῆλθε τῆς θείας λύρας, τῆς τὸν Ὀρφικὸν μῦθον, τὸν τῇ ὑπερβολῇ τῶν λεγομένων δικαίως ἀπιστούμενον, σφετερισαμένης. Οὐ γὰρ τὰ θηρία

C

CCXXIV. — HERACLIO.

In illud : « Lupi et agni simul pascentur[64]. »

Vehementer miror, qui factum sit, cum gloria scriptorum, quæ sapientissimus Joannes post se reliquit, passim terrarum dispersorum, usque ad terminos terræ et maris extremos penetrarit, ut tuam tamen ruditatem non attigerit. Dum autem hoc miror, non in ipsum confero culpam, sed tuam extremam reprehendo socordiam, ac supinam negligentiam, cui idem plane accidit, quod illis solet, qui in ipso consistente meridie et pura serenitate, solem tamen non vident, quod facultas videndi penitus sit ipsis exstincta. Per ea namque quæ pro te excusando affers, magis accusas teipsum, quod videlicet nullo rerum pulchrarum amore tangaris. Quis enim qui illis non capiatur? Quis est ex hominibus post ipsum natis, qui non gratiam habeat divinæ providentiæ, quod post ipsum natus sit? quod-

[62] Exod. III, 6. [63] Isa. LXV, 25.

VARIÆ LECTIONES ET NOTÆ.

(2) Titulus hujus ep. in cod. Vatic. 650 hic est : Ἀμμωνίῳ ἀναγνώστῃ, Ammonio lectori. Possin.

(3) Post δοκεῖ accipe quæ sequuntur paulum diversa ex cod. Vat. 650, ἓν μέν τι καὶ τὸ αὐτὸ εἶναι· τάχα δὲ ὁ μέν, etc. Vers. 3 ep. inter κλέπτουσαν et ἡ hæc idem inserit, καὶ τοῦ λογισμοῦ προτρέχουσαν. Vers. pen. ep. pro ὁ δὲ idem legit ἡ δέ. Id.

(4) Inscriptio nulla erat; suppletur ex codice Vaticano. Edit.

(5) Ὁ πάνσοφος Ἰωάννης. De Joannis Chrysostomi scriptis idem est testimonium Theodoreti episcopi Cyri, qui eum in *Hist. eccl.*, lib. v, non semel vocat doctorem orbis terrarum; et in Præfatione ad Canticum cantic. scribit, ejus doctrinæ D fluentis in hodiernum usque diem irrigari orbem universum. Atque ita revera est. Eumdem omnium Ecclesiarum oculum Isidorus vocat epist. 156 lib. I, et Libanii de eo judicium refert ep. 42 lib. II. Ritt.

(6) Recte codex Vatic. φοιτησάντων corripit in φοιτῆσαν. Mox post ἄχρι loco τῆς bene item substituit τῶν, et post γῆς addit τε. Possin.

(7) Ed. Paris., οὔσης. Corr. cod. Vat. 650 et Ritt. in notis. Edit.

(8) Οὐ χάριν ἔχειν οἶδε. Alterutrum satis est : vel χάριν ἔχει, vel χάριν οἶδε. Itaque puto redundare τὸ ἔχειν. Ritt.

Digitized by Google

que non abierit expers et ignarus divinæ illius Lyræ, quæ fabulam Orphicam, cui ob eorum, quæ de ipsa celebrantur, magnitudinem, non injuria fides derogatur, sibi arrogavit. Non enim feras bestias divina illa sua musica capi fecit; sed ferinis moribus præditos homines mansuetos reddidit, feritatem ipsorum mitem ac cicurem faciens, et ad mansuetudinem ac concinnitatem quamdam traducens. Lupi enim et agni, non forma sed moribus, pace invicem facta in idem convenerunt. Attinge igitur illam lyram. Ita fiet, ut omnis, quæ nunc in te exsultat, ruditas atque insulsitas, prorsus abeat, et concinnæ illi musicæ concedens locum det.

A ἁλῶναι τῇ θείᾳ (9) μουσικῇ πεποίηκεν· ἀλλὰ τοὺς θηριώδεις ἀνθρώπους ἐτιθάσσευσε, τὴν ἀγριότητα αὐτῶν ἐξημερῶν, καὶ εἰς πραότητα καὶ ἁρμονίαν καθιστῶν. Λύκοι γὰρ καὶ ἄρνες, οὐ μορφῇ, ἀλλὰ τρόποις πρὸς ἀλλήλους σπεισάμενοι, ἐπὶ τὸ αὐτὸ συνῆψαν. Ἄψας τοίνυν ἐκείνης τῆς λύρας, καὶ πᾶσα ἡ νῦν ἐν σοὶ χορεύουσα ἀκοσμία τέλεον οἰχήσεται, καὶ παραχωρήσει τῇ ἐνάρθρῳ ἐκείνῃ μουσικῇ.

549 CCXXV. — EUDÆMONI DIACONO.

Contra Judæos. Ubi et Josephi locus de Salvatore totidem verbis refertur.

Quoniam et Græcis et barbaris et omnibus omnino hominibus videtur, et jure quidem, hostium testimonium fide dignum; Judæi vero omnem excedentes improbitatem non solum prophetis fidem non habuerunt, sed nequidem ipsi Deo; exstitit autem Josephus quidam, Judæus summus et acerrimus legis propugnator, quique Vetus Testamentum ex fide veri paraphrastice expo-uit, et pro Judæis strenuissime fortissimeque se gessit, ac per omnia ipsorum res meliores quam dici possit, ostendit, rerum autem veritati cedere dignatus est (non enim impiorum sententiam secutus est) necessarium esse arbitratus sum, ipsius verba apponere. Quid igitur ait? « Eodem tempore fuit Jesus, vir sapiens, si tamen virum eum fas est dicere. Erat enim mirabilium operum patrator, et doctor eorum qui libenter vera suspiciunt : plurimosque tam de Judæis quam de gentibus sectatores habuit. Christus hic erat : quem accusatum a nostræ gentis principibus Pilatus cum affixisset cruci, nihilominus non destiterunt eum diligere, qui ab initio cœperant. Apparuit enim eis tertia die vivus, ita ut divinitus de eo vates hoc et alia multa miranda prædixerunt. Et usque in hodiernum Christianorum genus, ab hoc denominatum, non deficit. » [Hactenus Josephus.] Ego vero cum multis aliis in rebus valde miror hominis veracitatem, tum vero vel maxime in illis verbis, cum ait, « Doctor hominum, qui libenter veritatem suscipiunt. » Sunt enim qui extrema laborantes socordia, et infideles Judæi, qui etiam valde perspicua atque divina rejicientes, ex sua potius vecordia, quam ex rerum ipsarum obscuritate ferant calculum. Si igitur etiam hostes veritati se opponere ausi non fuerunt, quis ille erit tam obstinatus, qui nolit deinceps fidem adhibere rebus sole clarioribus?

ΣΚΕ'. — ΕΥΔΑΙΜΟΝΙ ΔΙΑΚΟΝΩ.

Κατὰ Ἰουδαίων. Ἔνθα καὶ Ἰωσήπου χρῆσις περὶ τοῦ Σωτῆρος αὐταῖς λέξεσι κεῖται.

B Ἐπειδὴ καὶ Ἕλλησι καὶ βαρβάροις, καὶ πᾶσιν ἀνθρώποις ἡ τῶν ἐχθρῶν μαρτυρία εἰκότως δοκεῖ ἀξιόχρεως εἶναι, Ἰουδαῖοι δὲ πᾶσαν ὑπερβαλλόμενοι κακίαν, οὐ μόνον τοῖς προφήταις οὐκ ἐπίστευσαν, ἀλλ' οὐδὲ αὐτῷ τῷ Θεῷ· ἐγένετο δέ τις Ἰώσηπος Ἰουδαῖος ἄκρος καὶ τοῦ νόμου ζηλωτής, καὶ τὴν Παλαιὰν Διαθήκην μετὰ ἀληθείας παραφράσας, καὶ ὑπὲρ Ἰουδαίων ἄριστα ἀνδρισάμενος, κατά πάντα τε τὰ ἐκείνων κρείττονα λόγου ἀποφαίνων, τῇ δὲ τῶν πραγμάτων ἀληθείᾳ παραχωρῆσαι ἀξιώσας· οὐ γὰρ ἐζήλωσε τῶν ἀσεβῶν τὴν γνώμην· ἀναγκαῖον οἶμαι τὰς ἐκείνου παραθέσθαι ῥήσεις. Τί οὖν φησι; « Γίνεται δὲ (10) κατ' ἐκεῖνον τὸν χρόνον (11) Ἰησοῦς, σοφὸς ἀνήρ, εἴ γε αὐτὸν ἄνδρα λέγειν χρή. Ἦν γὰρ παραδόξων ἔργων ποιητής, διδάσκαλος ἀνθρώπων τῶν ἡδονῇ C τἀληθῆ δεχομένων· καὶ πολλοὺς μὲν Ἰουδαίους, πολλοὺς δὲ καὶ τοῦ Ἑλληνικοῦ ἐπηγάγετο. Ὁ Χριστὸς οὗτος ἦν, καὶ αὐτὸν ἐνδείξει τῶν πρώτων ἀνδρῶν παρ' ἡμῖν σταυρῷ ἐπιτετιμηκότος Πιλάτου, οὐκ ἐπαύσαντο οἱ τὸ πρῶτον ἀγαπήσαντες. Ἐφάνη γὰρ αὐτοῖς τρίτην ἔχων ἡμέραν πάλιν ζῶν, τῶν θείων προφητῶν ταῦτά τε περὶ αὐτοῦ, καὶ ἄλλα μυρία θαυμάσια εἰρηκότων. Εἰς δὲ τὸ νῦν (12) τῶν Χριστιανῶν, ἀπὸ τοῦδε ὠνομασμένων, οὐκ ἐλέλιπε τὸ φῦλον. » Ἐγὼ δὲ λίαν θαυμάζω τὰνδρὸς ἐν πολλοῖς μὲν τὸ φιλάληθες· μαλίστα δὲ, ἐν οἷς εἶπε, « Διδάσκαλος ἀνθρώπων τῶν ἡδονῇ τἀληθῆ δεχομένων. » Εἰσὶ γὰρ οἱ δι' ἀνυπέρβλητον ῥᾳθυμίαν, ὧν ἦσαν καὶ οἱ ἀπιστήσαντες Ἰουδαῖοι, καὶ τὰ λίαν σαφῆ καὶ D θεῖα περιγραφόμενοι (13), ἀπὸ τῆς οἰκείας ῥᾳθυμίας, ἀλλ' οὐκ ἀπὸ τῆς τῶν πραγμάτων ἀσαφείας φέροντες τὴν ψῆφον. Εἰ τοίνυν καὶ οἱ ἐχθροὶ τῇ ἀληθείᾳ ἀντιβλέψαι οὐκ ἐτόλμησαν, τίς ὁ ἀπιστήσων τοῖς ἡλίου φανερωτέροις πράγμασιν;

VARIÆ LECTIONES ET NOTÆ.

(9) Multa, eodem auctore, θείᾳ in οἰκείᾳ. Vers. inde 5 ἄψας ex eodem verte in ἅψαι. Possin.

(10) *Γίνεται δέ.* Testimonium Josephi Jud. histor. de Christo exstat lib. XVIII. *Ἀρχαιολογ.*, cap. 4. Ritt.

(11) Cod. Vat. 650, καιρόν. Possin.

(12) Ed. Paris., τῶν δὲ τοίνυν τῶν χρ.... οὐκ ἐξέλιπε. Codicem Vaticanum sequimur, ut infra vers. inde quarto, ubi ed. Paris. sic legebat : Εἰσὶ γὰρ οἱ ἀνυπ. ῥαθ. νοσήσαντες, καὶ οἱ ἀπιστ. Ἰουδ· Edit.

(13) Idem cod. Vat. παραγραφόμενοι, mox vers. seq. ἀσαφείας mutat in ἀσφαλείας. Possin.

Digitized by Google

ΣΚϚ'. — ΠΑΥΛΩ.

Ὅτι χρὴ τοὺς τῇ ὀρθότητι τῶν δογμάτων λάμποντας, καὶ τὸν βίον ἔχειν τῷ λόγῳ συντρέχοντα (14).

Εἰ νικῶμεν αἱρετικοὺς, Ἕλληνάς τε καὶ Ἰουδαίους διὰ τὴν τῶν δογμάτων ὀρθότητα, δίκαιοι ἂν εἴημεν καὶ ἐν τοῖς ἔργοις αὐτοὺς νικῆσαι (15), ἵνα μὴ ἡττώμενοι ἐν ἐκείνῳ, ἐν τούτῳ νικᾷν νομίσωσι, μηδὲ προφέρωσιν ἡμῖν τὸν βίον, οἱ τὴν πίστιν ἀρνησάμενοι· μηδὲ λέγειν ἔχοιεν, Οἱ περὶ τὰ δῆλα πταίοντες, πῶς ἀξιοῦτε πιστεύεσθαι (16) περὶ τῶν ἀδήλων; Εἰ γὰρ καὶ προηγούμενόν ἐστι καὶ κεφαλαιωδέστερον ἡ εὐσέβεια, ἀλλ' οὖν γε χρείαν ἔχει καὶ τῆς ὀρθῆς πολιτείας, ἵνα τελειοτάτη καὶ ἀκροτάτη ἡ εὐδοκίμησις ἀποφανθείη. Καὶ τούτοις ἐπιψηφίζεται ἡ θεία Γραφὴ, φάσκουσα· « Ἡ πίστις χωρὶς τῶν ἔργων νεκρά ἐστι. » Παντὶ τοίνυν σθένει εἰς τὴν τῆς πολιτείας ἀκρίβειαν ἑαυτοὺς συνελάσωμεν, ἵνα κατὰ πάντα νικῶντες, καὶ σιγῶντες τοὺς ἀντιπάλους λέγειν (17) τολμῶντας ἐπιστομίσωμεν.

CCXXVI. — PAULO.

Oportere eos, qui recta fide dogmatum fulgent, vitam quoque verbo consentaneam habere.

Si vincimus hæreticos, et paganos, et Judæos dogmatum rectitudine, æquum fuerit eosdem etiam operibus vincere, ne in illo victi, in hoc se vincere arbitrentur, neque vitam nobis proferant, qui fidem abnegarunt, neque objicere possint talia quædam : vos qui circa ea quæ manifesta sunt hallucinamini, qua fronte postulatis de iis quæ occulta atque obscura sunt, vobis fidem haberi? **551** Quanquam enim princeps atque præcipua est pietas, tamen opus ei est etiam recta probaque vita, ut absolutissima ac summa sit laudis perfectio. Atque his quæ dixi astipulatur quoque divina Scriptura, cum ait : « Fides absque operibus mortua est[65]. » Quare omni vi ad accuratam recte vivendi rationem nosmetipsos assuefaciamus, ut ita per omnia vincentes, taciti quoque adversarios obloqui nobis atque obstrepere audentes refutemus ac retundamus.

ΣΚΖ'. — ΕΡΜΙΝΩ ΚΟΜΗΤΙ (18).

Εἰς τὸ, « Προσέχετε τὴν ἐλεημοσύνην ὑμῶν μὴ ποιεῖν ἔμπροσθεν τῶν ἀνθρώπων εἰς τὸ θεαθῆναι (19). »

Ἐπειδὴ γέγραφας, Πῶς οἷόν τε μὴ φανῆναι τὸν ἐλεήμονα; φησὶ, ὅτι τὴν γνώμην νυνὶ ἐξετάζει τοῦ ἐλεοῦντος. Ἐπειδὴ γὰρ οἷς τις ἀρέσκειν θέλει, παρὰ τούτων θηρᾶται τὸν ἔπαινον· ὁ δὲ Θεῷ ἀρέσαι βουλόμενος, παρ' αὐτοῦ κομίσασθαι βούλεται τὸν ἔπαινον, τοῦτ' ἔφη. Οὐ γὰρ ὁ θεαθεὶς πάντως πρὸς τὸ θεαθῆναι ποιεῖ, ἀλλ' ὁ θεωρεῖσθαι βουλόμενος, καὶ διὰ τοῦτο δημοσιεύων τὸ μυστήριον. Εἰ γὰρ καὶ τὸ πρᾶγμα οὐκ ἀνέχεται κρύπτεσθαι, ἀλλ' ὁ ἐλεῶν οὐκ ὀφείλει ἐπιδείκνυσθαι· ὁ γὰρ τοῦτο δρῶν, καὶ τοὺς λαμβάνοντας ἐκπομπεύει, καὶ ἑαυτοῦ τὸν μισθὸν καὶ τὸν ἔπαινον κηρύττει.

CCXXVII. — HERMINO COMITI.

In illud , « Attendite, ne eleemosynam vestram faciatis coram hominibus, ad hoc, ut conspiciamini[66]. »

Quoniam per litteras quæsivisti : Qui fieri possit, ut qui eleemosynam exercet, non conspiciatur, aio, Christum jam animi propositum examinare ejus qui misericordia utitur. Nam quia ab iis, quibus quisque placere studet, laudem venatur : qui vero placere conatur Deo, ab ipso reportare vult laudem. Idcirco hoc dixit. Non enim omnino is qui conspicitur, ideo misericordiæ opus facit ut conspiciatur, sed is demum, qui ad id operam dat, ut videatur, et ob hoc ipsum evulgans arcanum, quod potius tegere atque occultare debebat. Ut ut enim res ipsa neget occultari, tamen ipse qui misericordiam exercet, non debet eam ostentare. Nam qui hoc facit, et accipientes eleemosynam traducit, et suam ipsius mercedem et laudem ebuccinat.

ΣΚΗ'. — ΠΑΛΛΑΔΙΩ ΑΝΑΓΝΩΣΤΗ.

Περὶ τῶν παραδειγμάτων, δι' ὧν ὁ σοφὸς πολυειδῶς προσωποποιεῖ τὴν σοφίαν.

Ἐπειδὴ ἔφης, Δι' ἣν αἰτίαν τὰ παραδείγματα οὐχ ἅπαντα (20) λαμβάνεται; φαίην, ἵνα ᾖ παραδείγματα, καὶ μὴ ταυτότης εἴη. Καὶ ἀφέμενος τὸ λεγόμενον

CCXXVIII. — PALLADIO LECTORI.

De exemplis quibus sapiens varie ac multiformiter repræsentat sapientiam.

Quoniam per epistolam quæsivisti, quare exempla non per omnia capiantur et ad rem propositam accommodentur, respondeo, ut sint exempla, et non

[65] Jac. II, 20. [66] Matth. VI, 1.

VARIÆ LECTIONES ET NOTÆ.

(14) Confer epist. 20 et 213 supra hujus, libri nec non epist. 65. RITT.

(15) Cod. Vat. νικῆσαι mutat in νικᾷν. POSSIN.

(16) Omittit idem πιστεύεσθαι et post περὶ τῶν ἀδήλων addit νικᾷν. ID.

(17) Pro ἀντιπάλους λέγειν uno verbo scribit idem ἀντιλέγειν. ID.

(18) Inscriptio sumitur ex codice Vaticano. EDIT.

(19) Confer insignem et huic Isidori epistolæ geminum locum Gregorii Magni, ubi monet, ut in bonis operibus caveamus ostentationem et laudis humanæ captationem, ac potius secretum amemus. Verba ejus hæc sunt : « Inventus thesaurus absconditur ut servetur, quia studium cœlestis desiderii a malignis spiritibus custodire non sufficit, qui hoc ab humanis laudibus non abscondit. In præsenti enim vita quasi in via sumus qua ad patriam pergimus. Maligni autem spiritus iter nostrum quasi quidam latrunculi obsident. Deprædari ergo desiderat, qui thesaurum publice portat in via, » etc. Vide quoque Isidorum epist. 84 et 197 libri I, et cod. hoc libro IV epist. 159.

(20) Pro οὐχ ἅπαντα cod. Vat. 650 habet οὐ κατὰ πάντα. POSSIN.

Digitized by Google

rei (ut sic loquar) identitas evadat. Et omissis pluribus quæ hac de re dici possent, id quod dixi illustrare quantum potero, conabor. Sapiens quidam vir, filius, inquam, Syrachi, qui Sapientiam illam conscripsit, repræsentans sapientiam velut personam quamdam, cum non inveniret quo pacto per unum aliquod exemplum aut unam plantam ipsius pulchritudinem et sublimitatem et suavitatem odoris, et alia quæ sapientiæ adsunt, exhiberet, vagatus, quantum poterat, per omnia gignentia, et ab unoquoque genere colligens id quod maxime conveniens atque decorum erat ad eam repræsentandam, ita eam hominibus adumbravit, ut ab hac quidem planta pulchritudinem, ab alia sublimitatem, ab alia odoris suavitatem ac fragrantiam quasi mutuatus, et hæc velut in thesauro quodam reposita habens, non omnibus quæ plantis insunt, sed illis tantum, quibus ad imaginem absolvendam opus erat, assumptis, occasionem lectori præberet aliquid cogitandi quod sapientia dignum foret. Et ne videar aliud agens tibi exprobare ruditatem, non apposui hic ipsa dicta, quæ tibi familiariter nota esse convenit.

A σαφηνίσαι ὡς ἂν οἷός τε ὦ πειράσομαι. Σοφός τις ἀνήρ, ὁ τοῦ Σιράχ φημι, ὁ τὴν (21) σοφίαν ἐκείνην συγγράψας, προσωποποιήσας τὴν σοφίαν, καὶ μὴ εὑρὼν δι' ἑνὸς ὑποδείγματος ἢ δι' ἑνὸς φυτοῦ τὸ αὐτῆς κάλλος τε καὶ ὕψος καὶ τὴν εὐωδίαν, καὶ τὰ ἄλλα τὰ τῇ σοφίᾳ προσόντα παραστῆσαι, περιελθὼν ὡς οἷός τε ἦν πάντα τὰ φυτά, καὶ ἀφ' ἑκάστου συλλεξάμενος τὸ ἁρμόζον καὶ πρεπωδέστατον πρὸς παράστασιν αὐτῆς, οὕτω τοῖς ἀνθρώποις ὑπέγραψεν, ἵνα ἀπὸ μὲν τούτου τοῦ φυτοῦ τὸ κάλλος, ἀπὸ δ' ἄλλου τὸ ὕψος, ἀπὸ δὲ ἑτέρου τὴν εὐωδίαν ἐρανισάμενος, καὶ ὥσπερ ἐν θησαυρῷ τινι, οὐ πάντα τὰ προσόντα τοῖς φυτοῖς, ἀλλ' ἐκεῖνα, ὧν χρείαν εἶχεν ἡ εἰκών, παραλαβών, ἄξιόν τι τῆς σοφίας ἐννοῆσαι παρεσκεύασε. Καὶ ἵνα μὴ φαινοίμην λεληθώς σοι B ὄνειδος ἀμαθίας προστριβόμενος, αὐτὰς οὐκ ἔταξα τὰς ῥήσεις ἃς ἐναύλους ἔχειν σε εἰκός.

552 CCXXIX. — ZOSIMO.

De divina in terris peregrinatione.

Humanorum peccatorum remedium, Filii Dei in carnem adventus, omnes quidem cum homines tum dæmones terruit, illis quidem persuadens, ut parcerent naturæ jam consorti divinitatis, quippe quæ Deo unita sit : istos vero subigens, ut deinceps abstinerent ab insidiis adversus homines struendis, utpote quorum natura jam peccati expers in Christo C effecta sit : te vero nihil istorum emolliit, neque metuere fecit, neque ad temperantiam ac modestiam instituit. Sive igitur homo es, prius te erudiat ; sive dæmon aliquis es, posterius te doceat, ne præstantissima natura ad affectus et concupiscentias explendas abutare. Venies enim in judicium, redditurus horum omnium rationes, et diuturnæ hujus indolentiæ ac stuporis diuturnam exigendus rationem.

ΣΚΘ'. — ΖΩΣΙΜΩ.

Περὶ τῆς θείας ἐπιδημίας.

Ἡ τῶν ἀνθρωπίνων ἁμαρτιῶν.... (22) ἡ τοῦ Υἱοῦ τοῦ Θεοῦ ἔνσαρκος ἐπιφάνεια, πάντας μὲν ἐφόβησε καὶ ἀνθρώπους καὶ δαίμονας, τοὺς μὲν φείδεσθαι τῆς φύσεως πείσασα, ὡς Θεῷ ἑνωθείσης· τοὺς δὲ ἀπέχεσθαι τῆς κατ' αὐτῶν ἐπιβουλῆς ἀναγκάσασα, ὡς ἀναμαρτήτου λοιπὸν γενομένης· σὲ δὲ οὐδὲν τούτων ἐμάλαξεν, οὐδὲ δεδιέναι παρεσκεύασεν, οὐδὲ σωφρονεῖν ἐπαιδαγώγησεν. Εἰ τοίνυν ἄνθρωπος εἶ, τῷ προτέρῳ παιδεύθητι· εἰ δὲ δαίμων, τῷ δευτέρῳ διδάχθητι, μὴ κατακεχρῆσθαι τῇ καλλίστῃ φύσει εἰς πάθη. Ἥξεις γὰρ εἰς κρίσιν, τούτων ἁπάντων εὐθύνας ὑφέξων, καὶ τῆς μακρᾶς ἀναλγησίας μακρὸν εἰσπραχθησόμενος λόγον.

CCXXX. — ALPHIO EPISCOPO.

De Sennacherib.

Quoniam Sennacherib majora quam pro natura et viribus humanis minatus est Ezechiæ, ideo propriæ imbecillitatis nullitatem cognovit. Nam qui sperabat se Hierosolymam primo quasi impetu et cum D primum sustulisset clamorem, capturum, is universo fere exercitu absque conflictu prælii amisso, præclare secum agi putabat, si vel solus salvus evaderet. Cum autem domum profugisset, a suis domesticis interemptus est, ut simul et suam agnosceret infirmitatem, et justitiæ divinæ animadversionem non effugeret.

ΣΛ'. — ΑΛΦΙΩ (23) ΕΠΙΣΚΟΠΩ.

Περὶ τοῦ Σεναχειρίμ.

Ἐπειδὴ ὁ Σεναχειρὶμ ἀνθρωπίνης φύσεως καὶ δυνάμεως μείζονα ἠπείλησε τῷ Ἐζεκίᾳ, διὰ τοῦτο ἔγνω τῆς οἰκείας ἀσθενείας τὴν οὐδένειαν. Ὁ γὰρ ἐξ ἐπιδρομῆς καὶ αὐτοβοεὶ *προσδοκήσας* ἑλεῖν τὴν Ἱερουσαλὴμ, πᾶσαν σχεδὸν τὴν στρατιὰν ἄνευ πολέμου καὶ μάχης ἀποβαλὼν, ἀγαπητὸν ἡγήσατο τὸ διασωθῆναι μόνον. Διαφυγὼν δ' οἴκαδε, ὑπὸ τῶν οἰκείων ἀνῃρέθη (24), ἵν' ὁμοῦ καὶ τὴν οἰκείαν ἀσθένειαν γνοίη, καὶ μὴ διαφύγοι τὴν δίκην.

VARIÆ LECTIONES ET NOTÆ.

(21) Post ὁ τὴν addit idem πανάρετον et sequitur, σοφίαν, agens de Ecclesiastico libro canonico quem alibi, ut notavimus, ἁπλῶς et sine addito πανάρετον nuncupat. Possin.

(22) *Ἁμαρτιῶν*. Videtur sequi debere ἀντίδοτος, vel θεραπεία, vel quod simile epitheton, hic in ms. omissum. Ritt.

(23) Nec illud minutum neglexerim : nomen ejus cui hæc epistola scribitur in ultima præter morem circumflectit cod. Vatic. 650 scribens Ἀλφιῷ. Possin.

(24) *Ὑπὸ τῶν οἰκείων ἀνῃρέθη*. Sennacherib, rex Assyrius, ex Judæa domum reversus, a duobus filiis suis trucidatus est in templo quod erat Ninive, ubi idolum suum venerabatur. Vide Isaiam extremo cap. XXXVII, et lib. IV Reg., c. XIX in fine. Ritt.

Digitized by Google

ΤΩΝ ΤΟΥ ΑΓΙΟΥ

ΙΣΙΔΩΡΟΥ ΤΟΥ ΠΗΛΟΥΣΙΩΤΟΥ

ΕΠΙΣΤΟΛΩΝ ΒΙΒΛΙΟΝ Ε'.

—

S. ISIDORI PELUSIOTÆ

EPISTOLARUM

LIBER QUINTUS

Andrea Schotto Antuerpiensi, Soc. Jesu Presbytero, interprete.

—

Α'. — ΑΝΤΙΟΧΩ.

Animi corporisque moderatio optima (*Similia lib.* II, *epist.* 241.)

Ὥσπερ ἐν τοῖς σώμασιν ἀπὸ πλεονεξίας αἱ δυσκρασίαι γίνονται· ὅταν γὰρ τοὺς οἰκείους ὅρους ἀφέντα τὰ στοιχεῖα, ὑπερόρια γίνηται καὶ εἰς ἀμετρίαν ἐκπέσῃ, τότε αἱ νόσοι καὶ οἱ χαλεποὶ συμβαίνουσι θάνατοι· οὕτω κἀπὶ τῶν ψυχῶν. Εἰ γὰρ ἀπὸ τοῦ σώφρονος βίου εἰς ὀργὴν ἐκκυλισθείημεν, καὶ τετυφωμένοι καὶ δουλοπρεπεῖς γινόμεθα, δι' ἐκείνου μὲν μισητοὶ, διὰ τούτου δὲ καταγέλαστοι γινόμενοι. Ἐναντίας γὰρ κακίας κιρνῶντες, ἀπόνοιάν τε ὁμοῦ καὶ κολακείαν, καὶ μίσος κερδαίνομεν, καὶ γέλωτα ὀφλισκάνομεν. Ἀλλ' ἐὰν τὴν πλεονεξίαν τοῦ πάθους περικόψωμεν, καὶ ταπεινοὶ μετὰ ἀκριβείας, καὶ ὑψηλοὶ μετὰ ἀσφαλείας ἐσόμεθα. Τοιαύτη γὰρ ἡ παρ' ἡμῖν φιλοσοφία, μετριοφροσύνην καὶ ὕψος εἰς μίαν συνείει (25) ψυχήν· μετριοφροσύνην μὲν, τῷ κατὰ μηδενὸς ἐπαίρεσθαι· ὕψος δὲ, τῷ μηδένα ἀξιοῦν κολακεύειν.

553 I. — ANTIOCHO.

Ut in humanis corporibus ex humorum abundantia variæ exsistunt intemperies, dum, excedentibus fines suos elementis, nimii fiunt et immoderati, unde morbi nascuntur, et molesta mors subsequitur; idem et animis accidit. Si enim a temperanti placidaque mente in iracundiæ furorem quis una præcipitet typhoque ardeat superbiæ atque servilem in modum sese gerat, ex illis quidem odiosus, ex hoc vero etiam ridiculus evadet. Mala enim invicem pugnantia miscendo, amentiam quidem, assentationem et odium acquirat, et aliis risum præbeat. At si immodicam motuum animi affectionem resecemus, et egregie humiles et tuto excelsi reddemur. Hæc est enim nostra philosophandi ratio, ut modestiam seu temperantiam et generositatem uni animo inseramus. Modestiam quidem, ut opponas te nemini; generositatem vero, ut nulli assentandum esse existimes.

Β'. — ΕΡΜΟΓΕΝΕΙ ΚΑΙ ΛΑΜΠΕΤΙΩ, ΚΑΙ ΛΕΟΝΤΙΩ ΕΠΙΣΚΟΠΟΙΣ.

Pro improbis orandum. Vide inf. epist. 103 *et* 440.

Εἰ καὶ πρὸς Ζώσιμον, καὶ Εὐστάθιον, καὶ Μάρωνα, ἄνδρας μήτε τι χρηστὸν οἴκοθεν κεκτημένους, μήτε τὴν ἀπὸ τῶν πραγμάτων δεχομένους διδασκαλίαν, μήτε τὴν παρὰ τῶν ἄλλων συμβουλὴν προσιεμένους, ἀλλ' εἰς ὡμολογημένην ἀπώλειαν ἐκπεπτωκότας πάρελκόν ἐστι, κρίνετε, περὶ τῶν προσηκόντων διαλέγεσθαι· ἀλλάγε δίκαιοι ἂν εἴητε εὐχαῖς πρὸς τὸ θεῖον χρήσασθαι τάχα, πῶς αὐτοὺς ἐκ τοῦ βυθοῦ τῆς κακίας ἀνιμήσητε· θεῖον γάρ ἐστιν ὡς ἔοικε τὸ ἔργον

II. — HERMOGENI, LAMPETIO, ET LEONTIO, EPISCOPIS.

Etsi ad Zosimum, et Eustathium, et Maronem, viros neque ex sese quidquam sapientes, nec ex rerum experientia proficientes, neque aliorum quidem consiliis acquiescentes, 554 sed in apertum prolapsos interitum, de rebus necessariis verba facere superfluum esse judicetis: nihilominus æquum fuerit preces ad Deum pro iis fundere. Forte eos e barathro malitiæ sic extrahetis. Dei enim omne id opus esse constat.

VARIÆ LECTIONES ET NOTÆ.

(25) Pro συνείει cod. Vat. 650 legit συνάγει. Possim.

Digitized by Google

III. — PAULO.

Γ'. — ΠΑΥΛΩ.

De rerum humanarum vanitate. Confer inf. ep. 271 *et epist.* 251 *lib.* III.

Si divitiæ et pulchritudo ac robur, gloria item ac potentia, omniaque adeo pulchra existimata cito marcescunt, et fumi in morem disparent; quis tam mentis inops, ut in horum aliquo glorietur, seque jactet? Ilis enim omnibus spoliatur atque exuitur interdum etiam vivus, omnino vero mortuus. Qui vero simul omnia non habeat (neque enim cuncta uni obvenire possunt), quomodo non aut risum mortalibus exhibeat venditans se umbris, somniis atque obscuris visis?

A Εἰ ὁ πλοῦτος, καὶ τὸ κάλλος, καὶ ἡ ῥώμη, καὶ ἡ δόξα, καὶ ἡ δυναστεία, καὶ πάντα τὰ δοκοῦντα εἶναι καλὰ, θᾶττον μαραίνεται, καὶ καπνοῦ δίκην διαλύεται· τίς οὗτος ἀνόητος, ὡς ἐφ' ἑνὶ τῶν εἰρημένων ἐναβρύνεσθαι καὶ μέγα φρονεῖν; Τοῦ γὰρ πάντα ὁμοῦ ταῦτ' ἔχοντος γυμνουμένου καὶ ἐρήμου γιγνομένου, ἔσθ' ὅτε μὲν καὶ ζῶντος πάντως καὶ τεθνεῶτος· ὁ μὴ πάντα ἔχων ὁμοῦ (οὐδὲ γὰρ πάντα οἷόν τε συνελθεῖν (26) πῶς οὐ γέλωτα ὀφλήσει σεμνυνόμενος ἐπὶ σκιαῖς καὶ ὀνείρασι καὶ ἀτρανώτοις φαντασίαις;

IV. — ZOSIMO PRESBYTERO.

Δ'. — ΖΩΣΙΜΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Concionantes plus exemplo quam verbo ædificant.

Persuadendum, bone vir, operibus esse regnum Dei, ejus etiam desiderium audientibus ingenerandum. Persuadentur autem, si, quæ regno cœlorum digna sunt, illi docentem agere observent. Si vero supplicio digna, ut tu soles, committens philosophetur, qui, quæso, apud auditores fidem inveniat? Idem enim facit, atque si quis rem adamare se auscultantibus persuadeat, quam in rerum natura non esse credant.

B Χρὴ, ὦ βέλτιστε, πεῖσαι διὰ πραγμάτων τοὺς ἀκούοντας, ὅτι ἐστὶ βασιλεία οὐρανῶν, καὶ εἰς τὴν ἐπιθυμίαν αὐτῆς τρέψαι τοὺς ἀκροωμένους. Πείθονται δὲ οἱ ἀκούοντες, ὅταν βασιλείας ἄξια πράττοντα τὸν διδάσκαλον ἴδωσι. Εἰ δὲ κολάσεως ἄξια ὥσπερ σὺ πράττων περὶ βασιλείας φιλοσοφοίη, πῶς πείσει τοὺς ἀκροατάς; Ταυτὸν γὰρ ποιεῖ, ὡς ἂν τις πράγματος ἐρᾷν πείθοι τοὺς πεισθέντας παρ' αὐτοῦ πρότερον, ὅτι τοῦτο οὐχ ὑφέστηκεν.

V. — DOMITIO COMITI.

Ε'. — ΔΟΜΗΤΙΩ ΚΟΜΗΤΙ.

Martyres moriendo vincunt.

Inferior est, o sapientissime, non in bello cadens, sed hostes timens ac clypeum jaciens. Quem vero forti animo meditantem corpus destituit, eum inter victores ascribi lex est, eum et eos athletas certamine occumbentes magis prædicent ludorum præfecti, quam quibus nihil accidit. Quæ cum ita sint, cur putas martyres moriendo superari, et non potius præconio dignos censes? Hujus enim pugnæ finis est, non tam vitam servare corpusque tueri (cum et vivus, qui patitur, occumbat) quam non amittere virtutis decus.

C Ἥττά ἐστιν, ὦ σοφώτατε, οὐ τὸ τεθνάναι ἐν πολέμῳ, ἀλλὰ τὸ δεῖσαι τοὺς πολεμίους, καὶ ῥίψαι τὴν ἀσπίδα· ὃν δὲ ἐπέλιπε τὸ σῶμα τῆς ἀριστείας ἐπιθυμοῦντα ἐν τοῖς τροπαιούχοις ἀναγράφεσθαι, νόμος· ἐπεὶ καὶ τῶν ἀθλητῶν τοὺς ἐν αὐτῇ ἀποθανόντας πάλῃ, (27) μᾶλλον τιμῶσιν οἱ τοὺς ἀγῶνας τούτους διαθέντες τῶν μὴ τοῦτο παθόντων. Εἰ τοίνυν ταῦθ' οὕτως ἔχει, δι' ἣν αἰτίαν νομίζεις τοὺς μάρτυρας τῷ τεθνάναι ἡττᾶσθαι (28), καὶ μὴ διὰ τοῦτο μᾶλλον ἀνακηρύττειν; Τέλος γάρ ἐστι τῆς μάχης ταύτης οὐ τὸ σῶμα (ὃ καὶ δοκοῦν ζῆν ἐνέκρωσαν) ἀλλὰ τὸ μὴ διαφθεῖραι τὸ τῆς ἀρετῆς κλέος.

VI. — PALLADIO.

Ϛ'. — ΠΑΛΛΑΔΙΩ ΔΙΑΚΟΝΩ.

In episcopatum ambientem.

Si neque episcopalis dignitas, neque dignum quid illa a te confectum, ac ne apostolica 555 quidem vox episcopi describens officium : neque Dei incorruptum tribunal, quo certa definitaque feretur sententia, nec denique aliud quid ab hac te amentia revocat; quid inepto et a ratione omni abhorrente desiderio dignitatem mercaturum te speras? Saltem externi seu pagani hominis exemplo pudore suffundaris. Ferunt enim Pittacum accepta

D Εἰ οὔτε τῆς ἐπισκοπῆς τὸ μέγεθος, οὔτε τὸ μηδὲν ἄξιον αὐτῆς διαπράττεσθαι, οὔτε ἡ ἀποστολικὴ γλῶττα ἡ τὸν ἐπίσκοπον ὁποῖον εἶναι χρὴ διαπλάσασα· οὔτε τὸ ἀδέκαστον δικαστήριον τὸ ἀπαραλόγιστον τὴν ψῆφον οἷσον, οὔτε ἄλλο οὐδὲν τῆς μανίας σε ταύτης ἀπείργει, δι' ἧς ὑπὸ παραλόγου ἐπιθυμίας ἐκβακχευθεὶς τὴν ἀξίαν ἐξαγοράσαι προσδοκᾷς, κἂν ὑπὸ τῶν ἔξωθεν δυσωπήθητι. Φασὶ γὰρ ὡς Πιττακὸς λαβὼν τὴν ἀρχὴν παρὰ Μιτυληναίων,

VARIÆ LECTIONES ET NOTÆ.

(26) Οὐδὲ γὰρ πάντα οἷόντε συνελθεῖν. Homerica γνώμη est libr. IV *Iliad.*, vers. 330, et lib. XIII, vers. 729, et *Odysseæ* lib. VIII, vers. 167 :

Οὕτως οὐ πάντεσσι θεοὶ χαρίεντα δίδοῦσιν
Ἀνδράσιν. SCHOTT.

(27) Ante πάλῃ idem cod. supplet τῇ.

(28) Ἥττᾶσθαι. Scribit idem ἡττῆσθαι, et vers. antep. ep. inter τὸ et σῶμα interserit σῶσαι τό. POSSIN.

Digitized by Google

νενικηκὼς Φρύονα (29) μονομαχίᾳ τὸν ἄρχοντα Ῥηγίου, ἀπεδίδου τὴν ἀρχήν· τῶν δὲ μὴ βουλομένων κομίσασθαι, ἐδιάσατο, μὴ βουλόμενος τύραννος, ἀλλ' ἰδιώτης εἶναι. Εἰ τοίνυν ὁ κινδύνοις οἰκείοις καὶ αἵματι κτησάμενος τὴν ἀρχὴν ἑκὼν ἀπέθετο τὸν κίνδυνον ἀναδεξάμενος, τὴν δὲ τυραννίδα ἀποσεισάμενος, καὶ ταῦτα ἀλογοθέτητον οὖσαν· σὺ ὁ μηδὲ ἐν ὑπηκόοις τελεῖν, ὥς φασι, δίκαιος ὤν, ἀρχὴν ὑπεύθυνον καὶ μυρίαις λογοθεσίαις ὑποκειμένην καὶ μείζονα πάσης ἀνθρωπίνης ἀξίας, ἣν οὐδὲ διδομένην δέξασθαι ὤφειλες, ἀγοράσαι ὀνειροπολῶν, οὐ μόνον οὐ καταδύῃ, ἀλλὰ καὶ ἐναβρύνῃ. Καὶ τίς σε τῆς τοσαύτης τόλμης γράψεται;

A a Mitylenæis imperandi potestate, cum Phryonem Rhegiensibus præfectum singulari jam certamine vicisset, magistratu se abdicasse. Id factum cum Mitylenæi recusarent, vi eos compulit: quod privatus degere quam imperare mallet. Proprio itaque periculo et sanguine imperium adeptus sponte deposuit, pro quo acquirendo periculum adierat, principatum deposuit, etsi rationibus reddendis minime obnoxium. Tu vero, qui neque dignus es vel inter subditos numerari, magistratum mille rationibus reddendis obnoxium et supra dignitatem omnem humanam, quem neque sponte concessum suscipere debebas, eum continuo somnians mereari non modo non erubescis, sed et extolleris. Ecquis igitur hanc tuam satis accuset audaciam?

Ζ'. ΠΑΛΛΑΔΙΩ ΥΠΟΔΙΑΚΟΝΩ.

VII. — PALLADIO SUBDIACONO.

De ἐπιεικείᾳ *seu æquo et bono. Vide Aristot. lib.* v, *Ethic. Nicomach. c.* 10.

Ὁ ἐπιεικὴς φιλανθρωποτέραν δίκαιος ἂν εἴη ἔχειν τὴν γνώμην τοῦ λίαν δικαίου, καὶ ἀκριβοῦς. Πρέπει γὰρ αὐτῷ μᾶλλον τοῦ δικαίου κεχρῆσθαι τῇ φιλανθρωπίᾳ.

Par est modestum mitemque hominem humaniori civiliorique esse animo, moribusque quam illum, qui justi tenax rigidusque sit. Decet enim illum justo magis uti quam humanitate.

Η'. — ΑΛΦΙΝΩ ΥΠΟΔΙΑΚΟΝΩ.

VIII. — ALPHINO (F. ALPHIO) SUBDIACONO.

Præstat non incidere in peccatum; aut, si incidat, quam citissime exire.

Ἄμεινον μὲν μὴ ἁλῶναι ἐπὶ κακίᾳ· ἁλόντα δὲ τὸ εἰδέναι ὅτι ἥλω, καὶ ταχέως ὥσπερ ἔκ τινος μέθης ἀνενεγκεῖν. Ὁ γὰρ ἁλοὺς μὲν, ἑαλωκέναι δὲ οὐκ οἰόμενος, ἀνήκεστα νοσεῖ.

Præstat non capi improbitate; captum vero se scire captum esse, statimque velut e temulentia quadam emergere. Captus vero non effugere sustinens, morbo laborat incurabili.

Θ'. — ΑΜΜΩΝΙΩ ΣΧΟΛΑΣΤΙΚΩ.

IX. — AMMONIO SCHOLASTICO.

De recta liberorum institutione; de qua et inf. epist. 317 *et* 506 *gemina huic.*

Οἱ τοῖς ἑαυτῶν παισὶν ἔτι νηπίοις οὖσιν ἐγκατασπείροντες πρῶτον μὲν τὸν περὶ τῆς θείας ὑπεροχῆς τε καὶ προνοίας λόγον· δεύτερον δὲ τὸν περὶ ἀρετῆς τρόπον, οὗτοι οὐ μόνον γονεῖς, ἀλλὰ καὶ διδάσκαλοι ἄριστοι τυγχάνοντες τεύξονται θείων ἀμοιβῶν. Οἱ δὲ πολυθεσίαν (30) καὶ κακίαν αὐτῆς (31) καταφυτεύσαντες, ἅτε θύσαντες αὐτῶν τὰ τέκνα τοῖς δαίμοσιν, ἄξια κομιοῦνται τὰ ἐπίχειρα.

C Qui suis adhuc teneris liberis documenta inserunt, primum quidem de Dei præstantia atque providentia; dehinc virtutem moresque probos præcipiunt, hi non modo parentes, sed et optimi exsistunt magistri, et a Deo mercedem accipient. Qui vero deorum multitudinem improbitatemque filios docent, quasi dæmoniis eos offerentes, debitas accipient pœnas.

Ι'. — ΣΥΜΜΑΧΩ.

X. — SYMMACHO.

De hominis interioris pugna.

Ἐν τοῖς ἐμφυλίοις πολέμοις, εἰ καὶ οἱ νικῶντες τῶν ἡττωμένων εἰσὶν ἀθλιώτεροι· πλέον γὰρ ἐκείνων αἰσχύνονται, ὅσῳπερ ἂν πλείω τι τῶν ἄλλων ἐργάσωνται· ἀλλ' οὖν γε διαλλαγησόμενοι διοίσονται. Ἐν δὲ ἡμῖν ἔνθα ὁ πόλεμος ἀργαλεώτερός ἐστι τοῦ ἐμφυλίου· σώματος γὰρ ἑνὸς ἐστιν ἅμιλλα· ὡς οὐ διαλλαγησόμενοι διαφέρονται. Ἀλλ' ἐκεῖνος ἐγκαλλωπίζεσθαι δοκεῖ ὁ πλέον τῶν ἄλλων δράσας, καὶ ἐρυθριᾷν ὀφείλων. Τοῖς γὰρ δρῶσιν ἢ τοῖς πάσχουσιν ἡ τιμωρία ἀπόκειται.

Civilibus in bellis etsi victores miseriores quam victi exsistant: plus enim illis **556** erubescunt, quo plus quam illi laborarunt; at certe reconciliati adhuc differunt. In nobis vero hinc bellum molestius accidit, quam intestinum. De uno enim duntaxat corpore certamen est, ut non reconciliati dissident: sed ille placere sibi videtur, qui amplius quam cæteri præstitit, cum erubescere deberet. Patrantem enim et non perpetientem manet supplicium.

VARIÆ LECTIONES ET NOTÆ.

(29) *Φρύονα.* Diogenes Laertius lib. I, in Pittaco, *Phryonem* vocat, et Athenicnsibus non Rhegiensibus præfectum ait. A Pittaco autem molam constitutam disces lib. I Isidori, epist. 170. Infra hic ἐναβρύνω non ut scriptum a librario, ἀναβρύνω, leg. censui. SCHOTT. — Cod. Vat. et Alt. Φρυνωνά.

(30) Pro πολυθεσίαν tentaveram πολυφασίαν, quæ est Hesychio πολυλογία, *loquacitas*, Platonica vox; nunc una duntaxat ex trita littera, πολυθεΐαν, *deorum multitudinem*, lego. SCHOTT.

(31) Pro αὐτῆς ambo codd. Vat. 650 et Alt. habent αὐτοῖς. POSSIN.

Digitized by Google

diebus excitabo illud »), respondeo : illos quidem de templo ; ipsum vero (Christum) de corpore suo locutum esse. Quod si id minus verisimile esse dixeris, neque enim hoc scivissent ipsi unquam, neque discipuli ejus, si non ex mortuis resurrexisset, respondebo : Etiamsi non nossent hoc, tamen ne sic quidem eos verum perhibuisse testimonium. Alterum enim se facturum promisit, non utrumque. Destructio enim ipsis conveniebat (Judæis) : resuscitatio autem ipsi (Christo.) Sic enim ait : Solvite vos, et ego resuscitabo. Etenim destructio cujuslibet erat opus ; resuscitatio autem et instauratio, Dei.

A ἐγειρῶ αὐτόν· » φημί· ὅτι ἐκεῖνοι μὲν περὶ τοῦ ἱεροῦ ἔλεγον· αὐτὸς δὲ περὶ τοῦ σώματος. Εἰ δὲ φαίης ἀπίθανον τοῦτο· οὐ γὰρ ἤδεσαν τοῦτο αὐτοί ποτε, οὐδὲ οἱ μαθηταὶ αὐτοῦ, εἰ μὴ ἐκ νεκρῶν ἀνέστη· φήσαιμι· ὅτι εἰ καὶ μὴ ἤδεσαν, οὐδὲ οὕτω τάληθῆ ἐμαρτύρησαν. Θάτερον γὰρ ἐπηγγείλατο ποιήσειν, οὐχ ἑκάτερον. Τὸ μὲν γὰρ λῦσαι ἐκείνοις ἔπρεπε· τὸ δὲ ἀναστῆσαι ἑαυτῷ. Λύσατε γὰρ ὑμεῖς, κἀγὼ ἀναστήσω. Τὸ μὲν γὰρ λῦσαι, καὶ τοῦ τυχόντος ἦν· τὸ δὲ ἀναστῆσαι, Θεοῦ (84).

CCXVIII. — VALENTINO PRESBYTERO.

In illud Christi dictum, « Ne sitis solliciti, quomodo aut quid loquamini[86]. » Et in illud, Petri apostoli : « Parati semper ad reddendam rationem[87]. »

Quoniam te mirari dicebas, quomodo Salvator quidem dixerit : « Ne sitis solliciti, quomodo aut quid loquamini, » unus autem ex choro apostolico præceperit : « Parati semper ad reddendam rationem, » scire debes nullam in his contradictionem inesse. Alterum enim de martyrio dictum est ; alterum vero de doctrina. Quando enim in cœtu amicorum est agendum, tunc et nos jubemur esse solliciti. Absurdum enim sit, nescire id quod nos docere velle alios pollicemur : quando autem judicium terribile ante oculos est, et frequens populus, et rabiosi carnifices, et omni ex parte metus ingruit, tum vero suum se auxilium præbiturum promisit (Deus.) Erat enim revera maximum quiddam, homines ejusmodi, qui mutitate (ut sic loquar) ac silentio non multum a piscibus differebant, tyrannis sedentibus, et præfectis atque tribunis militum astantibus, et gladiis nudatis, omnibus illis inter sese (contra ipsos) conspirantibus, vinctos ingredi in ipsorum conspectum, defixoque in terram vultu, vocem rumpere potuisse. Itaque merito isti quidem divina fruuntur ope ; illi vero docentur, semetipsum ruditatis et imperitiæ somno minime tradere. Sapientes enim esse debent, qui se in sapientiæ dis-

ΣΙΗ'. — ΟΥΑΛΕΝΤΙΝΩ (85) ΠΡΕΣΒΥΤΕΡΩ.

Εἰς τό· « Μὴ μεριμνήσητε, πῶς ἢ τί λαλήσητε. » Καὶ εἰς τό· « Ἕτοιμοι ἀεὶ πρὸς ἀπολογίαν. »

Ἐπειδὴ θαυμάζειν ἔφης, πῶς μὲν Σωτὴρ ἔφη· « Μὴ μεριμνήσητε, πῶς ἢ τί λαλήσετε· » εἷς δέ τις ἐκ τοῦ ἀποστολικοῦ χοροῦ παρῄνεσεν· « Ἕτοιμοι ἀεὶ πρὸς ἀπολογίαν· » ἴσθι ὅτι οὐκ ἔστιν ἐναντιολογία, ἀλλὰ τὸ μὲν περὶ μαρτυρίου εἴρηται· τὸ δὲ περὶ διδασκαλίας. Ὅταν μὲν γὰρ ἐν συλλόγῳ φίλων ᾖ, κελευόμεθα καὶ ἡμεῖς μεριμνᾷν. Ἄτοπον γάρ, μὴ εἰδέναι, ὃ διδάσκειν ἐπαγγελλόμεθα. Ὅταν δὲ δικαστήριον ᾖ φοβερὸν, καὶ δῆμοι, καὶ δήμιοι λυττῶντες, καὶ πάντοθεν (86) δέος, τὴν οἰκείαν ἐπηγγείλατο παρέξειν ῥοπήν. Καὶ γὰρ μέγιστον ἦν, ἀνθρώπους τῶν ἰχθύων ὀλίγον κατὰ τὴν ἀφωνίαν διαφέροντας, τυράννων καθεζομένων, καὶ ὑπάρχων, καὶ στρατηγῶν παρεστώτων, καὶ ξιφῶν γεγυμνωμένων, καὶ πάντων ἐκείνων (87) συμμαχούντων, εἰσελθόντας δεδεμένους, καὶ εἰς γῆν κύπτοντας δυνηθῆναι ῥῆξαι φωνήν· ὡς εἰκότως οἱ μὲν τῆς θείας ἀπολαύουσι ῥοπῆς· οἱ δὲ διδάσκονται μὴ τῇ τῆς ἀμαθείας ἐκδιδόναι ἑαυτοὺς ὕπνῳ. Σοφοὶ γὰρ εἶναι ὀφείλουσιν οἱ τῆς σοφίας φοιτηταί.

543-544 CCXIX. — PALLADIO DIACONO.

In illud Pauli dictum, « Si quis episcopatum desiderat[88]. »

Quoniam non perspexisti mentem apostolicam, quæ scripto (velut cortice) occultatur, sed ipsum duntaxat scriptum contemplatus, sursum atque deorsum jactas ac volutas : « Si quis episcopatum desiderat, bonum opus concupiscit, » proinde quasi oporteat tale imperium adamare : tametsi non desunt mihi argumenta, quibus ostendam, non sic lo-

ΣΘ'. — ΠΑΛΛΑΔΙΩ ΔΙΑΚΟΝΩ.

Εἰς τό· « Εἴ τις ἐπισκοπῆς ὀρέγεται. »

Ἐπειδὴ μὴ τὸν ἀποστολικὸν κατώπτευσας νοῦν, τὸν ἐν τῷ γράμματι κρυπτόμενον, ἀλλ' αὐτὸ μόνον θεασάμενος τὸ γράμμα ἄνω καὶ κάτω θρυλλεῖς· « Εἴ τις ἐπισκοπῆς ὀρέγεται, καλοῦ ἔργου ἐπιθυμεῖ, » ὡς δέον ἱερᾶς τῆς τοιαύτης ἀρχῆς (88)· ἔχω μὲν δ' ὧν δείξω, μὴ οὕτως εἰρηκέναι τὸν Ἀπόστολον, ὡς σὺ φῄς· ὅμως δὲ συγχωρήσας ἀνατρέψω τοῦτο.

[86] Matth. x, 19. [87] I Petr. III, 15. [88] I Tim. III, 1.

VARIÆ LECTIONES ET NOTÆ.

(84) *Τὸ μὲν λῦσαι, καὶ τοῦ τυχόντος ἦν· τὸ δὲ ἀναστῆσαι θεοῦ.* Non procul abit ab ista Pindarica sententia : *Ῥᾴδιον μὲν πόλιν σεῖσαι καὶ φλαυροτέροις· τὸ δὲ ἐπὶ χώρας ἔσσαι αὖτις δυσπαλὲς δὴ γίνεται, ἂν μὴ θεὸς ἀγεμόνεσσι κυβερνατὴρ γένηται.* Rittr.

(85) Nomen ejus cui hæc scribitur decurtat cod. Vat. 650 ex Οὐαλεντίνῳ in Οὐάλεντι. Possin.

(86) Πάντοθεν idem cod. auget in πανταχόθεν. Ib.

(87) Idem ἐκείνων mutat in ἐκείνοις. Vers. post ᾖ, pro κύπτοντας scribit κρύπτοντας. Possin.

(88) *Ὡς δέον ἱερᾶς.* Leg. ἑρᾶν [sic cod. Vat.] τῆς τοιαύτης ἀρχῆς, ut paulo post, καὶ μηδὲ σαυτοῦ ἄρξαι· δυνηθεὶς, ἑρᾷς τοιαύτης ἀρχῆς. Rittr.

Digitized by Google

Ἔστω γὰρ, ἐκεῖνος τοιοῦτόν τι ἔφρασε· σὺ δι' ἣν αἰτίαν τὰ κατὰ σαυτὸν (89-90) ἀγνοῶν, καὶ μηδὲ σαυτοῦ ὄρξαι δυνηθεὶς, ἀρᾷς τοιαύτης ἀρχῆς, ἥτις καὶ βατιλείας ἐστὶν οὐ μόνον ὑψηλοτέρα, ἀλλὰ καὶ ἐπιπονωτέρα; Καὶ μὴ νομίζεις ἀνεύθυνον εἶναι ἐξουσίαν, ἀλλ' οὐχ ὑπεύθυνον λειτουργίαν; Ἀλλ' εἰ καὶ αὐτὸς πάσης ἐπέκεινα μανίας χωρεῖς, ἀλλὰ κἀγὼ μανοίμην ἄν, εἰ φαινοίμην μή (91) σου τὸ πάθος θεραπεῦσαι πειρώμενος. Ἐμοὶ γὰρ, ὦ μακάριε, καὶ τὸ, « Εἴ τις, » φοβερόν ἐστι, καὶ ἐκ βάθρων αὐτὴν κατασείει τὴν ψυχήν. Τοῦ γὰρ μεγέθους τῆς ἀρχῆς ἐστιν ἐνδεικτικόν. Εἰ δὲ φαίης, πῶς; εἴποιμι ἄν, ὅτι οὐκ ἐθάρησε προστάξαι, ἀλλ' οὐδ' οὐ προτρέψαι, οὐδὲ συμβουλεῦσαι· οὐδὲ γὰρ εἶπε· Πᾶς τις ἐπισκοπῆς ὀρεγέσθω· καλῶς ποιεῖ. Ἡ γὰρ ἂν τὸν σὸν περὶ τὸ πρᾶγμα ἔρωτα ἴσως (92), τινὲς ἀπεδέξαντο· ἀλλ' ἀναρτήσας μέσην τὴν τῆς ἱερωσύνης ἐπιθυμίαν, οὔτε παρορμᾷ ἐπ' αὐτὴν (93), ἵνα μὴ τοὺς ἀναξίους ἐπεγείρῃ πράγματι ἀμηχάνῳ, καὶ πᾶσαν ὑπερβαίνοντι πολιτείαν τε καὶ ἀξίαν· οὔτ' ἀπείργει, ἵνα μὴ φευκτὸν καταστήσῃ τὸ πάσης βασιλείας μεῖζον· ἀλλὰ μετέωρον τὴν παραίνεσιν ἀφεὶς, καὶ ἕκαστον τῆς ἑαυτοῦ διανοίας κριτὴν καταστήσας, αὐτὸς οὔτε ἐπιθυμεῖν, οὔτε φεύγειν προστάττει, μονονουχὶ βοῶν, καὶ ὀφθαλμοῖς, καὶ ὀφρῦσι, καὶ παντὶ τῷ προσώπῳ, φόβου κέντρα τοῖς ἀκούουσιν ἐνιείς· Ἐγὼ μὲν πρᾶγμα τῆς θείας ἠρτημένον ψήφου τε καὶ χειροτονίας, ἀνθρώπων ἐπιθυμίαις οὐκ ἐκδίδωμι· παραινῶ δὲ καὶ διαμαρτύρομαι, ὅτι ὁ τούτου ἐπιθυμῶν, ἴστω μὴ τῶν τυχόντων ἐρῶν. Λειτουργίας γὰρ, οὐκ ἀνέσεώς ἐστι τὸ τῆς ἐπισκοπῆς ὄνομα δηλωτικόν. Εἰ δὲ ἀπιστεῖς, τὰ ἐξῆς ἀναγνοὺς γνοίης (94) τὸν ἡμέτερον νοῦν. Δεῖ γὰρ τὸν ἐπίσκοπον πάσαις κομᾷν ταῖς ἀρεταῖς· καὶ τὰς ἀλλοτρίας οἰκειοῦσθαι συμφοράς. Οὐ γὰρ ἑαυτῷ, ἀλλὰ τοῖς ἀρχομένοις ζῇ· καὶ ὑπὸ μυρίων ὀφθαλμῶν καὶ γλωττῶν ὁ ἐκείνου βατανίζεται βίος.

A cutum esse Apostolum, quomodo tu accipis. Tamen concedam ita esse, idque evertam. Sit enim ita; dixerit ille ejusmodi aliquid : Tu vero quam ob causam ignorans tuas vires, et ne teipsum quidem regere valens, talem adamas principatum, qui regno quoque ipso non solum est sublimior, sed etiam laboriosior? Et quare existimas potestatem hanc esse rationibus nullis reddendis obnoxiam, ac non potius rationibus obnoxiam ministerii sive muneris functionem? Sed quamvis tu omnem transcendas audaciæ furorem, ego quoque insanirem, si non eum me ostenderem, qui tuum malum curare conetur. Mihi enim, o beate, et admodum est formidabile illud dictum : « Si quis episcopatum desiderat, » etc., et funditus ipsam concutit animam. Magnitudinem B namque hujus sacri principatus indicat. Quod si dixeris : Quomodo? respondebo. Quia non ausus est præcipere; ac ne quidem cohortari, neque suadere (ut quis episcopatum appetat). Neque enim dixit : Unusquisque episcopatum desideret. Recte facit. Tunc enim fortassis aliqui eodem amore ejus rei, quo tu, capti fuissent. Sed in medio relinquens suspensum, sacerdotii desiderium neque instigat ad id quemquam, ne indignos excitet ad capessendam rem perdifficilem, quæque omnem superat reipublicæ administrationem ac dignitatem : neque ab eo arcet quemquam, ne id quod omni regno majus est, fugiendum esse proponat. Verum in suspenso, ut dixi, relinquens exhortationem, et unumquemque sui ingenii æstimatorem ac judicem constituens, ipse neque expetere neque fugere præcipit, C tantum non clamans, et oculis, et superciliis, et toto vultu (ad gravitatem composito) timoris (salutaris) stimulos audientium animis injiciens. Equidem ego (inquit Paulus) rem a divino dependentem calculo atque arbitrio electionis, hominum cupiditatibus non expono : moneo autem atque obtestor, quicunque hanc rem expetit, is noverit, se rem minime vulgarem aut levem desiderare. Ministerii enim, non autem remissionis ac desidiæ significationem habet *episcopatus* ipsum vocabulum. Quod si fidem (dictis hisce) non habes, sequentia legens, mentem nostram probe assequeris. Oportet enim episcopum omnibus ornatum esse virtutibus, et alienas calamitates proprias ac suas existimare. Non enim sibi ipsi, sed subditis vivit : et a sexcentis oculis ac linguis vita ejus examinatur.

ΣΚ'. — ΙΣΙΔΩΡῼ ΕΠΙΣΚΟΠῼ.

Ἐπειδὴ γέγραφας, δι' ἣν αἰτίαν οὐκ εἶπεν ὁ Παῦλος ἁπλῶς· « Μετὰ πάντων ἀνθρώπων εἰρηνεύετε, » ἀλλὰ προσέθηκεν· « Εἰ δυνατὸν, » ἀντιγράφω· Ἐπειδή ἐστιν ὅπου οὐ δυνατὸν, ὅταν περὶ εὐσεβείας ὁ λόγος (95), ὅταν περὶ δικαίου πράγματος,

545-546 CCXX. — ISIDORO EPISCOPO.

D Quoniam ex me per epistolam quæsivisti, cur Paulus non simpliciter dixerit : « Cum omnibus hominibus pacem colite [99]; » sed addiderit : « Si fieri potest, » rescribo tibi : quia est ubi fieri non possit, nempe, quando pietatis negotium agitur, quando

[99] Rom. xii, 18.

VARIÆ LECTIONES ET NOTÆ.

(89-90) Pro κατὰ σαυτὸν cod. Vat. scribit καθ' ἑαυτόν. Vers. pro καὶ μὴ νομ., idem solum habet ἢ νομ. Possin.

(91) Pro φαινοίμην μὴ idem ponit μὴ φαινοίμην. Ib.

(92) Inter ἴσως et τινὲς idem infindit, ἄν. Ib.

(93) Idem αὐτὴν mutat in αὐτῇ. Vers. post. 5, παραίνεσιν mutat in ἀπόφασιν. Ib.

(94) *Τὰ ἐξῆς ἀναγνοὺς, γνοίης.* Notum, ex contextu et serie orationis sive connexione sequentium cum antecedentibus interpretandum esse locum dubium et controversum Conf. ep. 59 hujus libri. Ritt.

(95) Inter λόγος et ὅταν cod. Vatic. 650 inserit ἦ. Possin.

Digitized by Google

de justitia alicujus rei, quando de temperantia, et breviter quoties de omnibus virtutibus. Nam quo pacto pius cum impio pacem colet? justus cum injusto; aut temperans cum libidinoso? qui sæpenumero non solum aliorum, sed etiam suam ipsius formam corrumpere velit. Quod si hæc tibi meæ tantum ratiocinationes esse videntur, ipsum mihi Paulum vide, an cum omnibus pacem coluerit. Si vero etiam altius oratione assurgere placet, vide Christum an cum omnibus concordiæ fœdus fecerit. In tantum igitur furorem acti sunt Judæorum principes, ut cruci quoque ipsum affixerint. Quid est igitur quod ait : « Si fieri potest? » Hoc vult dicere : Tu quidem nemini præbueris ansam inimicitiæ; cave quoque, ne quem jure et probabiliter habeas inimicum : sin autem illi sine justa ratione tibi infensi erunt, hoc nullatenus te lædet. Nam et Christus, qui dixit : « Oderunt me gratis[60], » non præcepit, ne inimicos ullos habeamus (id enim non est in nostra potestate), sed ne cuiquam faciamus injuriam : ne seminemus radicem belli, maximeque tum, quando nullum pietati detrimentum infertur. Quod si improbi bonos odio prosequuntur, nolite mirari. Nam et pseudoapostoli veros apostolos, et pseudoprophetæ prophetas odio habebant. Quod ipse quoque Paulus cum diserte cognitum perspectumque haberet, scripsit : « Sectare autem pacem cum omnibus qui invocant Dominum ex puro corde[61]. » Ne itaque culpam confer in eum qui inimicos habet, sed qui sibi ipsi inimicos conciliat. Quod si luci cum tenebris non bene convenit (neque enim potest hoc fieri), nihil hoc ad lucem; si non vult impius pietatem amplecti, nihil hoc ad pium; si non vult libidinosus castitatem colere, nihil hoc ad hominem temperantem et castum; si non vult injustus desistere ab injustitia, nihil hoc ad justum, sed ad eos pertinet probrum, qui suæ improbitatis reprehensionem esse aliorum circa se hominum virtutes arbitrantur.

A ὅταν περὶ σωφροσύνης, ὅταν περὶ πασῶν ἁπλῶς τῶν ἀρετῶν. Ὁ μὲν γὰρ εὐσεβὴς τῷ ἀσεβεῖ πῶς εἰρηνεύσει; ὁ δίκαιος τῷ ἀδίκῳ, ἢ (96) σώφρων τῷ λάγνῳ; τῷ πολλάκις οὐ μόνον τὴν τῶν ἄλλων, ἀλλὰ καὶ τὴν ἑαυτοῦ βουλομένῳ διαφθεῖραι ὥραν. Εἰ δὲ λογισμοὺς οἴει τούτους εἶναι, θέα αὐτὸν τὸν Παῦλον, εἰ μετὰ πάντων εἰρήνευσεν. Εἰ δὲ καὶ ἀνωτέρω τὸν λόγον βούλοιτο ἀγαγεῖν, θέα τὸν Χριστὸν, εἰ μετὰ πάντων ἐσπείσατο. Εἰς τοσαύτην οὖν ἐξέβαχχεύθησαν οἱ τῶν Ἰουδαίων ἄρχοντες μανίαν, ὡς καὶ σταυρῷ αὐτὸν προσηλῶσαι, Τί οὖν ἐστιν, « Εἰ δυνατόν; » Σὺ, φησὶ, μὴ δίδου τινὶ λαβὴν ἔχθρας, μηδὲ δικαίας καὶ εὐλόγως ἔχε ἐχθρόν. Εἰ δὲ ἀλόγως ἐκεῖνοι, καὶ ὑπὸ φθόνου ὑποσμυχόμενοι (97), ἀπεχθάνονται, οὐ τοῦτο οὐ παραβλάψει. Οὐδὲ γὰρ ὁ Χριστὸς, εἰρηκὼς « Ἐμίσησάν με δωρεὰν, » ἐκέλευσε μὴ ἔχειν ἐχθρούς· τούτου γὰρ οὐκ ἐσμὲν κύριοι· ἀλλὰ τὸ μὴ ἀδικεῖν, τὸ μὴ κατασπείρειν ῥίζαν πολέμου, καὶ μάλιστα ὅταν ἡ εὐσέβεια οὐδὲν παραβλάπτηται. Εἰ δ' οἱ πονηροὶ τοὺς ἀγαθοὺς μισοῦσι, μὴ θαυμάζητε. Καὶ γὰρ οἱ ψευδαπόστολοι τοὺς ἀποστόλους, καὶ οἱ ψευδοπροφῆται τοὺς προφήτας ἐμίσουν. Ὅπερ καὶ αὐτὸς ὁ Παῦλος σαφῶς ἐπιστάμενος, ἔγραψε· « Δίωκε δὲ εἰρήνην μετὰ πάντων τῶν ἐπικαλουμένων (98) τὸν Κύριον ἐκ καθαρᾶς καρδίας. » Μὴ τοίνυν αἰτιῶ τὸν ἐχθροὺς ἔχοντα, ἀλλὰ τὸν ἑαυτῷ τοὺς ἐχθροὺς κατασκευάζοντα. Εἰ δὲ μὴ συμβαίνει τῷ φωτὶ τὸ σκότος· οὐδὲ γὰρ οἷόν τε· οὐδὲν παρὰ τὸ φῶς· εἰ οὖ βούλεται ὁ ἀσεβὴς [τὴν εὐσέβειαν ἀσπάζειν, οὐδὲν παρὰ τὸν εὐσεβῆ· εἰ οὐ βούλεται ὁ λάγνος τὴν (99)] σωφροσύνην ἀσκῆσαι, οὐδὲν παρὰ τὸν σώφρονα· εἰ οὐ βούλεται ὁ ἄδικος ἀποστῆναι τῆς ἀδικίας, οὐδὲν παρὰ τὸν δίκαιον· ἀλλὰ παρ' ἐκείνους, τοὺς ἔλεγχον ἡγουμένους τῆς σφῶν κακίας τὰς τῶν πέλας ἀρετάς.

B

C

CCXXI. — ALYMPIO SCHOLASTICO.

De lectione, contra Græcos, de gratia divinitus inspiratarum Scripturarum, deque utilitate ex illis capienda.

Quoniam, ut aiebas, fontes sermonum quiescentes animam irrigari cupientem tabefaciunt : illos tibi, vir eruditissime, suaserim ut maxime reserare studeas, qui divitibus ac perennibus fluentis præditi sunt; non autem eos qui irrigatione aliunde accersita indigent.

ΣΚΑ'. — ΑΛΥΜΠΙΩ (1) ΣΧΟΛΑΣΤΙΚΩ.

Περὶ ἀναγνώσεως, κατὰ Ἑλλήνων, καὶ περὶ τῆς χάριτος τῶν θεοπνεύστων Γραφῶν, καὶ τῆς ἐξ αὐτῶν ὠφελείας.

Ἐπειδὴ, ὡς ἔφης, πηγαὶ λόγων ἡσυχάζουσαι ψυχὴν ἐθέλουσαν ἀρδεύεσθαι μαραίνουσιν· ἐκείνας, ἐλλογιμώτατε, μάλιστα ἀναμοχλεύσιν σοι παραινῶ, τὰς πλουσίοις καὶ ἀενναόις νάμασι κομώσας, καὶ μὴ τὰς ἀρδείας ἑτέρωθεν δεομένας.

D

[60] Joan. xv, 25. [61] II Tim. II, 22.

VARIÆ LECTIONES ET NOTÆ.

(96) Inter ἢ et σώφρων idem inserit ὁ. Possin.

(97) Καὶ ὑπὸ φθ. ὑπ. deerant in ed. Paris. et adduntur ex codice Vaticano. Edit.

(98) *Εἰρήνην κατὰ πάντων τῶν ἐπικαλ.* Apud Paulum omittitur πάντων, II Tim. II, 22. Recte tamen ab Isidoro additur, quia indefinita æquipollet universali. Ritt.

(99) *Τὴν εὐσέβειαν ἀσπάζειν... τὴν σωφροσύνην.* Quæ præcedunt σωφροσύνην, non sunt in ms.; sed addidi postulante sensu, ut integer esset præclarus locus, qui videbatur sine his mutilus. Ip.

(1) Ἀλυμπίῳ. F. Ἀλυπίῳ, vel Ὀλυμπίῳ, ad quem alias quoque scribit Isidorus. Ip. — Primam conjecturam format cod. Val. scribens Ἀλυπίῳ. Edit.

Digitized by Google

ΣΚΒ'.

Εἰς τὸ, « Ἐγὼ ὁ Θεὸς Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακώβ· » καὶ εἰς τό· « Ὑπερασπιῶ τῆς πόλεως ταύτης διὰ Δαβὶδ, τοῦ σῶσαι αὐτήν. »

Θεῖόν ἐστι χρῆμα ἡ ἀρετὴ, ὦ μακάριε, καὶ θεοφιλὲς, καὶ μακάριον, καὶ ἀθάνατον, καὶ ὑπὸ λήθης μὴ ἡττώμενον. Ἀοίδιμος μὲν γάρ ἐστι παρὰ ἀνθρώποις, παρὰ δὲ Θεῷ ἀείμνηστος, τῷ ποτὲ μὲν φράζοντι· « Ἐγὼ ὁ Θεὸς Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακώβ· » ποτὲ δὲ, « Ὑπερασπιῶ τῆς πόλεως ταύτης τοῦ σῶσαι αὐτὴν, διὰ Δαβὶδ τὸν παῖδά μου. » Εἰς τοσοῦτον ἥκουσι τῷ Θεῷ φροντίδος τε καὶ τιμῆς, καὶ τελευτήσαντες, οἷς ἀρετὴ περισπούδαστον. Εἰ δὲ ἐνταῦθα οὕτως αὐτοὺς ἀνακηρύττει, ποίαις οὐκ ἀμείψεται αὐτοὺς ἐκεῖσε δωρεαῖς;

A

547-548 CCXXIV.

In illud : « Ego sum Deus Abraham, et Isaac, et Jacob[63]. » Et in illud : « Protegam urbem hanc propter Davidem, ut servem eam[63]. »

Divina quædam res est virtus, o beate, et Deo grata, et felix, et immortalis, et ab oblivione insuperabilis. Nam et apud homines celebratur, et apud Deum sempiterna memoria conservatur, qui alias quidem ait : « Ego sum Deus Abraham, et Isaac, et Jacob; » alias vero : « Protegam urbem hanc ut eam servem, propter Davidem servum meum. » Tantæ curæ sunt Deo, et in tanto habentur apud ipsum honore etiam vita functi, quibus virtutis studium cordi est. Quod si tanto præconio ipsos in hac vita ornat, quibus non muneribus eosdem in futura vita prosequetur?

B

ΣΚΓ'. — ΗΡΩΝΙ (2).

Θυμὸς καὶ ὀργὴ δοκεῖ (3) μὲν ἕν τι εἶναι καὶ τὸ αὐτὸ τάχα· ἀλλ' ὁ μὲν μηνύει τὴν ὀξεῖαν τοῦ πάθους κίνησιν, τὴν καὶ τὰς ἐννοίας κλέπτουσαν· ἡ δὲ τὴν χρονίαν ἐν τῷ πάθει διατριβήν. Διὸ καὶ ὁ μὲν παρὰ τὴν ἀναθυμίασιν εἴρηται· ὁ δὲ παρὰ τὸ ὀργᾶν, καὶ ἀμύνης ἐρᾶν.

CCXXIII. — HERONI.

Θυμὸς (hoc est excandescentia) et ὀργὴ (hoc est ira) videtur quidem forsan una eademque res esse; sed prius nomen indicat celerem commotionem affectus, quæ et cogitationes homini suffuratur atque antevertit. Alterum vero diuturnam in eo affectu commorationem ac perseverantiam significat. Quamobrem etiam θυμὸς dictus est quod ἀναθυμίασιν adjunctam habeat, hoc est effervescentiam : ὀργὴ autem a verbo ὀργᾶν, quod est turgidum esse, et ob vindictæ cupiditatem.

ΣΚΔ'. — ΗΡΑΚΛΕΙΩ (4).

Εἰς τό· « Λύκοι καὶ ἄρνες ἅμα βοσκηθήσονται. »

Λίαν θαυμάζω, πῶς τὸ μὲν κλέος τῶν συγγραμμάτων, ὧν ἀπολέλοιπεν ὁ πάνσοφος Ἰωάννης (5), πανταχόσε φοιτησάντων (6), ἄχρι τῆς γῆς καὶ θαλάττης τερμάτων ἔφθασεν, τῆς δὲ σῆς (7) οὐ καθήψατο ἀμαθίας. Θαυμάζων δὲ οὐκ ἐκεῖνον αἰτιῶμαι, ἀλλὰ τὴν σὴν μέμφομαι ἀνυπέρβλητον ῥᾳθυμίαν, τὴν ταὐτὸ πεπονθυῖαν τοῖς ἐν σταθηρᾷ μεσημβρίᾳ καὶ λευκῇ γαλήνῃ τὸν ἥλιον μὴ καθορῶσι, διὰ τὸ τὴν ὀπτικὴν αὐτοῖς παντελῶς ἐσβέσθαι δύναμιν. Δι' ὧν γὰρ λέγεις, σαυτοῦ κατηγορεῖς, ὅτι ἀνέραστος εἶ τῶν καλῶν. Τίς γὰρ οὐχ ἑάλω ἐκείνοις; Τίς δὲ τῶν μετ' αὐτὸν τεχθέντων ἀνθρώπων οὐ χάριν ἔχειν οἶδε (8) τῇ θείᾳ προνοίᾳ, ὅτι μετ' αὐτὸν ἐτέχθη; καὶ οὐκ ἄπειρος ἀπῆλθε τῆς θείας λύρας, τῆς τὸν Ὀρφικὸν μῦθον, τὸν τῇ ὑπερβολῇ τῶν λεγομένων δικαίως ἀπιστούμενον, σφετερισαμένης. Οὐ γὰρ τὰ θηρία

C

CCXXIV. — HERACLIO.

In illud : « Lupi et agni simul pascentur[64]. »

Vehementer miror, qui factum sit, cum gloria scriptorum, quæ sapientissimus Joannes post se reliquit, passim terrarum dispersorum, usque ad terminos terræ et maris extremos penetrarit, ut tuam tamen ruditatem non attigerit. Dum autem hoc miror, non in ipsum confero culpam, sed tuam extremam reprehendo socordiam, ac supinam negligentiam, cui idem plane accidit, quod illis solet, qui in ipso consistente meridie et pura serenitate, solem tamen non vident, quod facultas videndi penitus sit ipsis exstincta. Per ea namque quæ pro te excusando affers, magis accusas teipsum, quod videlicet nullo rerum pulchrarum amore tangaris. Quis enim qui illis non capiatur? Quis est ex hominibus post ipsum natis, qui non gratiam habeat divinæ providentiæ, quod post ipsum natus sit? quod-

[63] Exod. III, 6. [64] Isa. LXV, 25.

VARIÆ LECTIONES ET NOTÆ.

(2) Titulus hujus ep. in cod. Vatic. 650 hic est : Ἀμμωνίῳ ἀναγνώστῃ, Ammonio lectori. Possin.

(3) Post δοκεῖ accipe quæ sequuntur paulum diversa ex cod. Vat. 650, ἓν μέν τι καὶ τὸ αὐτὸ εἶναι· τάχα δὲ ὁ μέν, etc. Vers. 3 ep. inter κλέπτουσαν et ἡ hæc idem inserit, καὶ τοῦ λογισμοῦ προτρέχουσαν. Vers. pen. ep. pro ὁ δὲ idem legit ἡ δέ. Id.

(4) Inscriptio nulla erat; suppletur ex codice Vaticano. Edit.

(5) Ὁ πάνσοφος Ἰωάννης. De Joannis Chrysostomi scriptis idem est testimonium Theodoreti episcopi Cyri, qui eum in *Hist. eccl.*, lib. v, non semel vocat doctorem orbis terrarum; et in Præfatione ad Canticum cantic. scribit, ejus doctrinæ D fluentis in hodiernum usque diem irrigari orbem universum. Atque ita revera est. Eumdem omnium Ecclesiarum oculum Isidorus vocat epist. 156 lib. I, et Libanii de eo judicium refert ep. 42 lib. II. Ritt.

(6) Recte codex Vatic. φοιτησάντων corripit in φοιτῆσαν. Mox post ἄχρι loco τῆς bene item substituit τῶν, et post γῆς addit τε. Possin.

(7) Ed. Paris., οὔσης. Corr. cod. Vat. 650 et Ritt. in notis, Edit.

(8) *Οὐ χάριν ἔχειν οἶδε.* Alterutrum satis est : vel χάριν ἔχει, vel χάριν οἶδε. Itaque puto redundare τὸ ἔχειν. Ritt.

Digitized by Google

que non abierit expers et ignarus divinæ illius Lyræ, quæ fabulam Orphicam, cui ob eorum, quæ de ipsa celebrantur, magnitudinem, non injuria fides derogatur, sibi arrogavit. Non enim feras bestias divina illa sua musica capi fecit; sed ferinis moribus præditos homines mansuetos reddidit, feritatem ipsorum mitem ac cicurem faciens, et ad mansuetudinem ac concinnitatem quamdam traducens. Lupi enim et agni, non forma sed moribus, pace invicem facta in idem convenerunt. Attinge igitur illam lyram. Ita fiet, ut omnis, quæ nunc in te exsultat, ruditas atque insulsitas, prorsus abeat, et concinnæ illi musicæ concedens locum det.

A ἀλῶναι τῇ θείᾳ (9) μουσικῇ πεποίηκεν· ἀλλὰ τοὺς θηριώδεις ἀνθρώπους ἐτιθάσσευσε, τὴν ἀγριότητα αὐτῶν ἐξημερῶν, καὶ εἰς πραότητα καὶ ἁρμονίαν καθιστῶν. Λύκοι γὰρ καὶ ἄρνες, οὐ μορφῇ, ἀλλὰ τρόποις πρὸς ἀλλήλους σπεισάμενοι, ἐπὶ τὸ αὐτὸ συνῆλθαν. Ἆρας τοίνυν ἐκείνης τῆς λύρας, καὶ πᾶσα ἡ νῦν ἐν σοὶ χορεύουσα ἀκοσμία τέλεον οἰχήσεται, καὶ παραχωρήσει τῇ ἐνάρθρῳ ἐκείνῃ μουσικῇ.

549 CCXXV. — EUDÆMONI DIACONO.

Contra Judæos. Ubi et Josephi locus de Salvatore totidem verbis refertur.

Quoniam et Græcis et barbaris et omnibus omnino hominibus videtur, et jure quidem, hostium testimonium fide dignum; Judæi vero omnem excedentes improbitatem non solum prophetis fidem non habuerunt, sed nequidem ipsi Deo; exstitit autem Josephus quidam, Judæus summus et acerrimus legis propugnator, quique Vetus Testamentum ex fide veri paraphrastice exposuit, et pro Judæis strenuissime fortissimeque se gessit, ac per omnia ipsorum res meliores quam dici possit, ostendit, rerum autem veritati cedere dignatus est (non enim impiorum sententiam secutus est) necessarium esse arbitratus sum, ipsius verba apponere. Quid igitur ait? « Eodem tempore fuit Jesus, vir sapiens, si tamen virum eum fas est dicere. Erat enim mirabilium operum patrator, et doctor eorum qui libenter vera suspiciunt: plurimosque tam de Judæis quam de gentibus sectatores habuit. Christus hic erat: quem accusatum a nostræ gentis principibus Pilatus cum affixisset cruci, nihilominus non destiterunt eum diligere, qui ab initio cœperant. Apparuit enim eis tertia die vivus, ita ut divinitus de eo vates hoc et alia multa miranda prædixerunt. Et usque in hodiernum Christianorum genus, ab hoc denominatum, non deficit. » [Hactenus Josephus.] Ego vero cum multis aliis in rebus valde miror hominis veracitatem, tum vero vel maxime in illis verbis, cum ait, « Doctor hominum, qui libenter veritatem suscipiunt. » Sunt enim qui extrema laborantes socordia, et infideles Judæi, qui etiam valde perspicua atque divina rejicientes, ex sua potius vecordia, quam ex rerum ipsarum obscuritate ferant calculum. Si igitur etiam hostes veritati se opponere ausi non fuerunt, quis ille erit tam obstinatus, qui nolit deinceps fidem adhibere rebus sole clarioribus?

B

C

D

ΣΚΕ'. — ΕΥΔΑΙΜΟΝΙ ΔΙΑΚΟΝΩ.

Κατὰ Ἰουδαίων. Ἔνθα καὶ Ἰωσήπου χρῆσις περὶ τοῦ Σωτῆρος αὐταῖς λέξεσι κεῖται.

Ἐπειδὴ καὶ Ἕλλησι καὶ βαρβάροις, καὶ πᾶσιν ἀνθρώποις ἡ τῶν ἐχθρῶν μαρτυρία εἰκότως δοκεῖ ἀξιόχρεως εἶναι, Ἰουδαῖοι δὲ πᾶσαν ὑπερβαλλόμενοι κακίαν, οὐ μόνον τοῖς προφήταις οὐκ ἐπίστευσαν, ἀλλ' οὐδὲ αὐτῷ τῷ Θεῷ· ἐγένετο δέ τις Ἰώσηπος Ἰουδαῖος ἄκρος καὶ τοῦ νόμου ζηλωτής, καὶ τὴν Παλαιὰν Διαθήκην μετὰ ἀληθείας παραφράσας, καὶ ὑπὲρ Ἰουδαίων ἄριστα ἀνδριζόμενος, κατὰ πάντα τε τὰ ἐκείνων κρείττονα λόγου ἀποφαίνων, τῇ δὲ τῶν πραγμάτων ἀληθείᾳ παραχωρῆσαι ἀξιώσας· οὐ γὰρ ἐζήλωσε τῶν ἀσεβῶν τὴν γνώμην· ἀναγκαῖον οἶμαι τὰς ἐκείνου παραθέσθαι ῥήσεις. Τί οὖν φησι; « Γίνεται δὲ (10) κατ' ἐκεῖνον τὸν χρόνον (11) Ἰησοῦς, σοφὸς ἀνήρ, εἴ γε αὐτὸν ἄνδρα λέγειν χρή. Ἦν γὰρ παραδόξων ἔργων ποιητής, διδάσκαλος ἀνθρώπων τῶν ἡδονῇ ἀληθῆ δεχομένων· καὶ πολλοὺς μὲν Ἰουδαίους, πολλοὺς δὲ καὶ τοῦ Ἑλληνικοῦ ἐπηγάγετο. Ὁ Χριστὸς οὗτος ἦν, καὶ αὐτὸν ἐνδείξει τῶν πρώτων ἀνδρῶν παρ' ἡμῖν σταυρῷ ἐπιτετιμηκότος Πιλάτου, οὐκ ἐπαύσαντο οἱ τὸ πρῶτον ἀγαπήσαντες. Ἐφάνη γὰρ αὐτοῖς τρίτην ἔχων ἡμέραν πάλιν ζῶν, τῶν θείων προφητῶν ταῦτά τε περὶ αὐτοῦ, καὶ ἄλλα μύρια θαυμάσια εἰρηκότων. Εἰς δὲ τὸ νῦν (12) τῶν Χριστιανῶν, ἀπὸ τοῦδε ὠνομασμένων, οὐκ ἐπέλιπε τὸ φῦλον. » Ἐγὼ δὲ λίαν θαυμάζω τἀνδρὸς ἐν πολλοῖς μὲν τὸ φιλάληθες· μάλιστα δὲ, ἐν οἷς εἶπε, « Διδάσκαλος ἀνθρώπων τῶν ἡδονῇ τἀληθῆ δεχομένων. » Εἰσὶ γὰρ οἱ δι' ἀνυπέρβλητον ῥᾳθυμίαν, ὧν ἦσαν καὶ οἱ ἀπιστήσαντες Ἰουδαῖοι, καὶ τὰ λίαν σαφῆ καὶ θεῖα περιγραφόμενοι (13), ἀπὸ τῆς οἰκείας ῥᾳθυμίας, ἀλλ' οὐκ ἀπὸ τῆς τῶν πραγμάτων ἀσαφείας φέροντες τὴν ψῆφον. Εἰ τοίνυν καὶ οἱ ἐχθροὶ τῇ ἀληθείᾳ ἀντιβλέψαι οὐκ ἐτόλμησαν, τίς ὁ ἀπιστήσων τοῖς ἡλίου φανερωτέροις πράγμασιν;

VARIÆ LECTIONES ET NOTÆ.

(9) Multa, eodem auctore, θείᾳ in οἰκείᾳ. Vers. inde 5 ἄρας ex eodem verte in ἆραι. Possin.

(10) *Γίνεται δέ.* Testimonium Josephi Jud. histor. de Christo exstat lib. XVIII. *Archaeolog.*, cap. 4. Ritt.

(11) Cod. Vat. 650, καιρόν. Possin.

(12) Ed. Paris., ἕως τοίνυν τῶν χρ.... οὐκ ἐξέλιπε. Codicem Vaticanum sequimur, ut infra vers. inde quarto, ubi ed. Paris. sic legebat: Εἰσὶ γὰρ οἱ ἀνυπ. ἐρθ. νοσήσαντες, καὶ οἱ ἀπιστ. Ἰουδ· Edit.

(13) Idem cod. Vat. παραγραφόμενοι, mox vers. seq. ἀσαφείας mutat in ἀσφαλείας. Possin.

Digitized by Google

ΣΚϚ'. — ΠΑΥΛΩ.

Ὅτι χρὴ τοὺς τῇ ὀρθότητι τῶν δογμάτων λάμποντας, καὶ τὸν βίον ἔχειν τῷ λόγῳ συντρέχοντα (14).

Εἰ νικῶμεν αἱρετικούς, Ἕλληνάς τε καὶ Ἰουδαίους διὰ τὴν τῶν δογμάτων ὀρθότητα, δίκαιοι ἂν εἴημεν καὶ ἐν τοῖς ἔργοις αὐτοὺς νικῆσαι (15), ἵνα μὴ ἡττώμενοι ἐν ἐκείνῳ, ἐν τούτῳ νικᾷν νομίσωσι, μηδὲ προφέρωσιν ἡμῖν τὸν βίον, οἱ τὴν πίστιν ἀρνησάμενοι· μηδὲ λέγειν ἔχοιεν, Οἱ περὶ τὰ δῆλα πταίοντες, πῶς ἀξιοῦτε πιστεύεσθαι (16) περὶ τῶν ἀδήλων; Εἰ γὰρ καὶ προηγούμενόν ἐστι καὶ κεφαλαιωδέστερον ἡ εὐσέβεια, ἀλλ' οὖν γε χρείαν ἔχει καὶ τῆς ὀρθῆς πολιτείας, ἵνα τελειοτάτη καὶ ἀκροτάτη ἡ εὐδοκίμησις ἀποφανθείη. Καὶ τούτοις ἐπιψηφίζεται ἡ θεία Γραφή, φάσκουσα· « Ἡ πίστις χωρὶς τῶν ἔργων νεκρά ἐστι. » Παντὶ τοίνυν σθένει εἰς τὴν τῆς πολιτείας ἀκρίβειαν ἑαυτοὺς συνελάσωμεν, ἵνα κατὰ πάντα νικῶντες, καὶ σιγῶντες τοὺς ἀντιπάλους λέγειν (17) τολμῶντας ἐπιστομίσωμεν.

ΣΚΖ'. — ΕΡΜΙΝΩ ΚΟΜΗΤΙ (18).

Εἰς τὸ, « Προσέχετε τὴν ἐλεημοσύνην ὑμῶν μὴ ποιεῖν ἔμπροσθεν τῶν ἀνθρώπων εἰς τὸ θεαθῆναι (19). »

Ἐπειδὴ γέγραφας, Πῶς οἷόν τε μὴ φανῆναι τὸν ἐλεήμονα; φημὶ, ὅτι τὴν γνώμην νυνὶ ἐξετάζει τοῦ ἐλεοῦντος. Ἐπειδὴ γὰρ οἷς τις ἀρέσκειν θέλει, παρὰ τούτων θηρᾶται τὸν ἔπαινον· ὁ δὲ Θεῷ ἀρέσαι βουλόμενος, παρ' αὐτοῦ κομίσασθαι βούλεται τὸν ἔπαινον, τοῦτ' ἔφη. Οὐ γὰρ ὁ θεαθεὶς πάντως πρὸς τὸ θεαθῆναι ποιεῖ, ἀλλ' ὁ θεωρεῖσθαι βουλόμενος, καὶ διὰ τοῦτο δημοσιεύων τὸ μυστήριον. Εἰ γὰρ καὶ τὸ πρᾶγμα οὐκ ἀνέχεται κρύπτεσθαι, ἀλλ' ὁ ἐλεῶν οὐκ ὀφείλει ἐπιδείκνυσθαι· ὁ γὰρ τοῦτο δρῶν, καὶ τοὺς λαμβάνοντας ἐκπομπεύει, καὶ ἑαυτοῦ τὸν μισθὸν καὶ τὸν ἔπαινον κηρύττει.

non debet eam ostentare. Nam qui hoc facit, et mercedem et laudem ebuccinat.

ΣΚΗ'. — ΠΑΛΛΑΔΙΩ ΑΝΑΓΝΩΣΤΗ.

Περὶ τῶν παραδειγμάτων, δι' ὧν ὁ σοφὸς πολυειδῶς προσωποποιεῖ τὴν σοφίαν.

Ἐπειδὴ ἔφης, Δι' ἣν αἰτίαν τὰ παραδείγματα οὐχ ἅπαντα (20) λαμβάνεται; φαίην, ἵνα ᾖ παραδείγματα, καὶ μὴ ταυτότης εἴη. Καὶ ἀφέμενος τὸ λεγόμενον

CCXXVI. — PAULO.

Oportere eos, qui recta fide dogmatum fulgent, vitam quoque verbo consentaneam habere.

Si vincimus hæreticos, et paganos, et Judæos dogmatum rectitudine, æquum fuerit eosdem etiam operibus vincere, ne in illo victi, in hoc se vincere arbitrentur, neque vitam nobis proferant, qui fidem abnegarunt, neque objicere possint talia quædam : vos qui circa ea quæ manifesta sunt hallucinamini, qua fronte postulatis de iis quæ occulta atque obscura sunt, vobis fidem haberi? **551** Quanquam enim princeps atque præcipua est pietas, tamen opus ei est etiam recta probaque vita, ut absolutissima ac summa sit laudis perfectio. Atque his quæ dixi astipulatur quoque divina Scriptura, cum ait : « Fides absque operibus mortua est [66]. » Quare omni vi ad accuratam recte vivendi rationem nosmetipsos assuefaciamus, ut ita per omnia vincentes, taciti quoque adversarios obloqui nobis atque obstrepere audentes refutemus ac retundamus.

CCXXVII. — HERMINO COMITI.

In illud , « Attendite, ne eleemosynam vestram faciatis coram hominibus, ad hoc, ut conspiciamini [66]. »

Quoniam per litteras quæsivisti : Qui fieri possit, ut qui eleemosynam exercet, non conspiciatur, aio, Christum jam animi propositum examinare ejus qui misericordia utitur. Nam quia ab iis, quibus quisque placere studet, laudem venatur : qui vero placere conatur Deo, ab ipso reportare vult laudem, idcirco hoc dixit. Non enim omnino is qui conspicitur, ideo misericordiæ opus facit ut conspiciatur, sed is demum, qui ad id operam dat, ut videatur, et ob hoc ipsum evulgans arcanum, quod potius tegere atque occultare debebat. Ut ut enim res ipsa neget occultari, tamen ipse qui misericordiam exercet, accipientes eleemosynam traducit, et suam ipsius

CCXXVIII. — PALLADIO LECTORI.

De exemplis quibus sapiens varie ac multiformiter repræsentat sapientiam.

Quoniam per epistolam quæsivisti, quare exempla non per omnia capiantur et ad rem propositam accommodentur, respondeo, ut sint exempla, et non

[66] Jac. II, 20. [66] Matth. VI, 1.

VARIÆ LECTIONES ET NOTÆ.

(14) Confer epist. 20 et 213 supra hujus, libri nec non epist. 65. Ritt.

(15) Cod. Vat. νικῆσαι mutat in νικᾷν. Possin.

(16) Omittit idem πιστεύεσθαι et post περὶ τῶν ἀδήλων addit νικᾷν. Id.

(17) Pro ἀντιπάλους λέγειν uno verbo scribit idem ἀντιλέγειν. Id.

(18) Inscriptio sumitur ex codice Vaticano. Edit.

(19) Confer insignem et huic Isidori epistolæ geminum locum Gregorii Magni, ubi monet, ut in bonis operibus caveamus ostentationem et laudis humanæ captationem, ac potius secretum amemus. Verba ejus hæc sunt : « Inventus thesaurus absconditur ut servetur, quia studium cœlestis desiderii a malignis spiritibus custodire non sufficit, qui hoc ab humanis laudibus non abscondit. In præsenti enim vita quasi in via sumus qua ad patriam pergimus. Maligni autem spiritus iter nostrum quasi quidam latrunculi obsident. Deprædari ergo desiderat, qui thesaurum publice portat in via, » etc. Vide quoque Isidorum epist. 84 et 197 libri I, et cod. hoc libro IV epist. 159.

(20) Pro οὐχ ἅπαντα cod. Vat. 650 habet οὐ κατὰ πάντα. Possin.

Digitized by Google

rei (ut sic loquar) identitas evadat. Et omissis pluribus quæ hac de re dici possent, id quod dixi illustrare quantum potero, conabor. Sapiens quidam vir, filius, inquam, Syrachi, qui Sapientiam illam conscripsit, repræsentans sapientiam velut personam quamdam, cum non inveniret quo pacto per unum aliquod exemplum aut unam plantam ipsius pulchritudinem et sublimitatem et suavitatem odoris, et alia quæ sapientiæ adsunt, exhiberet, vagatus, quantum poterat, per omnia gignentia, et ab unoquoque genere colligens id quod maxime conveniens atque decorum erat ad eam repræsentandam, ita eam hominibus adumbravit, ut ab hac quidem planta pulchritudinem, ab alia sublimitatem, ab alia odoris suavitatem ac fragrantiam quasi mutuatus, et hæc velut in thesauro quodam reposita habens, non omnibus quæ plantis insunt, sed illis tantum, quibus ad imaginem absolvendam opus erat, assumptis, occasionem lectori præberet aliquid cogitandi quod sapientia dignum foret. Et ne videar aliud agens tibi exprobare ruditatem, non apposui hic ipsa dicta, quæ tibi familiariter nota esse convenit.

A σαφηνίσαι· ὡς ἂν εἴης τε ὢν πεπαίσμαι. Σοφός τις ἀνήρ, ὁ τοῦ Σιράχ φημι, ὁ τὴν (21) σοφίαν ἐκείνην συγγράψας, προσωποποιήσας τὴν σοφίαν, καὶ μὴ εὑρὼν δι' ἑνὸς ὑποδείγματος ἢ δι' ἑνὸς φυτοῦ τὸ αὐτῆς κάλλος τε καὶ ὕψος καὶ τὴν εὐοδίαν, καὶ τὰ ἄλλα τὰ τῇ σοφίᾳ προσόντα παραστῆσαι, περιελθὼν ὡς οἷός τε ἦν πάντα τὰ φυτά, καὶ ἀφ' ἑκάστου συλλεξάμενος τὸ ἁρμόζον καὶ πρεπωδέστατον πρὸς παράστασιν αὐτῆς, οὕτω τοῖς ἀνθρώποις ὑπέγραψεν, ἵνα ἀπὸ μὲν τούτου τοῦ φυτοῦ τὸ κάλλος, ἀπὸ δ' ἄλλου τὸ ὕψος, ἀπὸ δὲ ἑτέρου τὴν εὐωδίαν ἐρανισάμενος, καὶ ὥσπερ ἐν θησαυρῷ τινι, οὐ πάντα τὰ προσόντα τοῖς φυτοῖς, ἀλλ' ἐκεῖνα, ὧν χρείαν εἶχεν ἡ εἰκών, παραλαβών, ἄξιόν τι τῆς σοφίας ἐννοῆσαι παρεσκεύασε. Καὶ ἵνα μὴ φαινοίμην λελῃθώς σε B ὄνειδος ἀμαθίας προστρίβόμενος, αὐτὰς οὐκ ἔταξα τὰς ῥήσεις ἃς ἐνεύλους ἔχειν σε εἰκός.

Humanorum peccatorum remedium, Filii Dei in carnem adventus, omnes quidem cum homines tum dæmones terruit, illis quidem persuadens, ut parcerent naturæ jam consorti divinitatis, quippe quæ Deo unita sit : istos vero subigens, ut deinceps abstinerent ab insidiis adversus homines struendis, utpote quorum natura jam peccati expers in Christo C effecta sit : te vero nihil istorum emolliit, neque metuere fecit, neque ad temperantiam ac modestiam instituit. Sive igitur homo es, prius te erudiat ; sive dæmon aliquis es, posterius te doceat, ne præstantissima natura ad affectus et concupiscentias explendas abutare. Venies enim in judicium, redditurus horum omnium rationes, et diuturnæ hujus indolentiæ ac stuporis diuturnam exigendæ ra-

552 CCXXIX. — ZOSIMO.

De divina in terris peregrinatione.

ΣΚΘ'. — ΖΩΣΙΜΩ.

Περὶ τῆς θείας ἐπιδημίας.

Ἡ τῶν ἀνθρωπίνων ἁμαρτιῶν.... (22) ἡ τοῦ Υἱοῦ τοῦ Θεοῦ ἔνσαρκος ἐπιφάνεια, πάντας μὲν ἐφόβησε καὶ ἀνθρώπους καὶ δαίμονας, τοὺς μὲν φείσεσθαι τῆς φύσεως πείσασα, ὡς Θεῷ ἐνωθείσης· τοὺς δὲ ἀπέχεσθαι τῆς κατ' αὐτῶν ἐπιβουλῆς ἀναγκάσασα, ὡς ἀναμαρτήτου λοιπὸν γενομένης· σὲ δὲ οἷόν τούτων ἐμάλαξεν, οὐδὲ δεδιέναι παρεσκεύασεν, οὐδὲ σωφρονεῖν ἐπαιδαγώγησεν. Εἰ τοίνυν ἄνθρωπος εἶ, τῷ προτέρῳ παιδεύθητι· εἰ δὲ δαίμων, τῷ δευτέρῳ διδάχθητι, μὴ καταχεχρῆσθαι τῇ καλλίστῃ φύσει εἰς πάθη. Ἥξεις γὰρ εἰς κρίσιν, τούτων ἁπάντων εὐθύνας ὑφέξων, καὶ τῆς μακρᾶς ἀναλγησίας μακρὸν εἰσπραχθησόμενος λόγον.

Humanorum peccatorum remedium, Filii Dei in carnem adventus, omnes quidem cum homines tum dæmones terruit, illis quidem persuadens, ut parcerent naturæ jam consorti divinitatis, quippe quæ Deo unita sit : istos vero subigens, ut deinceps abstinerent ab insidiis adversus homines struendis, utpote quorum natura jam peccati expers in Christo effecta sit : te vero nihil istorum emolliit, neque metuere fecit, neque ad temperantiam ac modestiam instituit. Sive igitur homo es, prius te erudiat ; sive dæmon aliquis es, posterius te doceat, ne præstantissima natura ad affectus et concupiscentias explendas abutare. Venies enim in judicium, redditurus horum omnium rationes, et diuturnæ hujus indolentiæ ac stuporis diuturnam exigendæ rationem.

CCXXX. — ALPHIO EPISCOPO.

De Sennacherib.

ΣΛ'. — ΑΛΦΙΩ (23) ΕΠΙΣΚΟΠΩ.

Περὶ τοῦ Σεναχειρὶμ.

Quoniam Sennacherib majora quam pro natura et viribus humanis minatus est Ezechiæ, ideo propriæ imbecillitatis nullitatem cognovit. Nam qui sperabat se Hierosolymam primo quasi impetu et cum D primum sustulisset clamorem, capturum, is universo fere exercitu absque conflictu prælii amisso, præclare secum agi putabat, si vel solus salvus evaderet. Cum autem domum profugisset, a suis domesticis interemptus est, ut simul et suam agnosceret infirmitatem, et justitiæ divinæ animadversionem non effugeret.

Ἐπειδὴ ὁ Σεναχειρὶμ ἀνθρωπίνης φύσεως καὶ δυνάμεως μείζονα ἠπείλησε τῷ Ἐζεκίᾳ, διὰ τοῦτο ἔγνω τῆς οἰκείας ἀσθενείας τὴν οὐδένειαν. Ὁ γὰρ ἐξ ἐπιδρομῆς καὶ αὐτοβοεὶ προσδοκήσας ἑλεῖν τὴν Ἱερουσαλὴμ, πᾶσαν σχεδὸν τὴν στρατιὰν ἄνευ πολέμου καὶ μάχης ἀποβαλὼν, ἀγαπητὸν ἡγήσατο τὸ διασωθῆναι μόνον. Διαφυγὼν δ' οἴκαδε, ὑπὸ τῶν οἰκείων ἀνῃρέθη (24), ἵν' ὁμοῦ καὶ τὴν οἰκείαν ἀσθένειαν γνοίη, καὶ μὴ διαφύγοι τὴν δίκην.

VARIÆ LECTIONES ET NOTÆ.

(21) Post ὁ τὴν addit idem πανάρετον et sequitur, σοφίαν, agens de Ecclesiastico libro canonico quem alibi, ut notavimus, ἁπλῶς et sine addito πανάρετον nuncupat. Possin.

(22) Ἁμαρτιῶν. Videtur sequi debere ἀντίδοτος, vel θεραπεία, vel quod simile epitheton, hic in ms. omissum. Ritt.

(23) Nec illud minutum neglexerim : nomen ejus cui hæc epistola scribitur in ultima præter morem circumflectit cod. Vatic. 650 scribens Ἀλφιῷ. Possin.

(24) Ὑπὸ τῶν οἰκείων ἀνῃρέθη. Sennacherib, rex Assyrius, ex Judæa domum reversus, a duobus filiis suis trucidatus est in templo quod erat Ninive, ubi idolum suum venerabatur. Vide Isaiam extremo cap. XXXVII, et lib. IV Reg., c. XIX in fine. Ritt.

Digitized by Google

ΤΩΝ ΤΟΥ ΑΓΙΟΥ

ΙΣΙΔΩΡΟΥ ΤΟΥ ΠΗΛΟΥΣΙΩΤΟΥ

ΕΠΙΣΤΟΛΩΝ ΒΙΒΛΙΟΝ Ε'.

—

S. ISIDORI PELUSIOTÆ

EPISTOLARUM

LIBER QUINTUS

Andrea Schotto Antuerpiensi, Soc. Jesu Presbytero, interprete.

—

Α'. — ΑΝΤΙΟΧΩ.

553 I. — ANTIOCHO.

Animi corporisque moderatio optima (*Similia lib.* II, *epist.* 241.)

Ὥσπερ ἐν τοῖς σώμασιν ἀπὸ πλεονεξίας αἱ δυσ- A κρασίαι γίνονται· ὅταν γὰρ τοὺς οἰκείους ὅρους ἀφέντα τὰ στοιχεῖα, ὑπερόρια γίνηται καὶ εἰς ἀμετρίαν ἐκπέσῃ, τότε αἱ νόσοι καὶ οἱ χαλεποὶ συμβαίνουσι θάνατοι· οὕτω κἀπὶ τῶν ψυχῶν. Εἰ γὰρ ἀπὸ τοῦ σώφρονος βίου εἰς ὀργὴν ἐκκυλισθείημεν, καὶ τετυφωμένοι καὶ δουλοπρεπεῖς γινόμεθα, δι' ἐκείνου μὲν μισητοί, διὰ τούτου δὲ καταγέλαστοι γινόμενοι. Ἐναντίας γὰρ κακίας κιρνῶντες, ἀπόνοιάν τε ὁμοῦ καὶ κολακείαν, καὶ μίσος κερδαίνομεν, καὶ γέλωτα ὀφλισκάνομεν. Ἀλλ' ἐὰν τὴν πλεονεξίαν τοῦ πάθους περικόψωμεν, καὶ ταπεινοὶ μετὰ ἀκριβείας, καὶ ὑψηλοὶ μετὰ ἀσφαλείας ἐσόμεθα. Τοιαύτη γὰρ ἡ παρ' ἡμῖν φιλοσοφία, μετριοφροσύνην καὶ ὕψος εἰς μίαν συνείρει (25) ψυχήν· μετριοφροσύνην μὲν, τῷ κατὰ μηδενὸς ἐπαίρεσθαι· ὕψος δὲ, τῷ μηδένα B ἀξιοῦν κολακεύειν.

Ut in humanis corporibus ex humorum abundantia variæ exsistunt intemperies, dum, excedentibus fines suos elementis, nimii fiunt et immoderati, unde morbi nascuntur, et molesta mors subsequitur; idem et animis accidit. Si enim a temperanti placidaque mente in iracundiæ furorem quis una præcipitet typhoque ardeat superbiæ atque servilem in modum sese gerat, ex illis quidem odiosus, ex hoc vero etiam ridiculus evadet. Mala enim invicem pugnantia miscendo, amentiam quidem, assentationem et odium acquirat, et aliis risum præbeat. At si immodicam motuum animi affectionem resecemus, et egregie humiles et tuto excelsi reddemur. Hæc est enim nostra philosophandi ratio, ut modestiam seu temperantiam et generositatem uni animo inseramus. Modestiam quidem, ut opponas te nemini; generositatem vero, ut nulli assentandum esse existimes.

Β'. — ΕΡΜΟΓΕΝΕΙ ΚΑΙ ΛΑΜΠΕΤΙΩ, ΚΑΙ ΛΕΟΝΤΙΩ ΕΠΙΣΚΟΠΟΙΣ.

II. — HERMOGENI, LAMPETIO, ET LEONTIO, EPISCOPIS.

Pro improbis orandum. Vide inf. epist. 103 *et* 440.

Εἰ καὶ πρὸς Ζώσιμον, καὶ Εὐστάθιον, καὶ Μάρωνα, ἀνδρας μήτε τι χρηστὸν οἴκοθεν κεκτημένους, μήτε τὴν ἀπὸ τῶν πραγμάτων δεχομένους διδασκαλίαν, μήτε τὴν παρὰ τῶν ἄλλων συμβουλὴν προσιεμένους, ἀλλ' εἰς ὠμολογημένην ἀπώλειαν ἐκπεπτωκότας πάρεστιν, κρίνετε, περὶ τῶν προσηκόντων διαλέγεσθαι· ἀλλάγε δίκαιοι ἂν εἶητε εὐχαῖς πρὸς τὸ θεῖον χρήσασθαι τάχα, πῶς αὐτοὺς ἐκ τοῦ βυθοῦ C τῆς κακίας ἀνιμήσητε· θεῖον γάρ ἐστιν ὡς ἔοικε τὸ ἔργον

Etsi ad Zosimum, et Eustathium, et Maronem, viros neque ex sese quidquam sapientes, nec ex rerum experientia proficientes, neque aliorum quidem consiliis acquiescentes, **554** sed in apertum prolapsos interitum, de rebus necessariis verba facere superfluum esse judicetis: nihilominus æquum fuerit preces ad Deum pro iis fundere. Forte eos e barathro malitiæ sic extrahetis. Dei enim omne id opus esse constat.

VARIÆ LECTIONES ET NOTÆ.

(25) Pro συνείρει cod. Vat. 650 legit συνάγει. Possin.

Digitized by Google

III. — PAULO.

Γ'. — ΠΑΥΛΩ.

De rerum humanarum vanitate. Confer inf. ep. 271 *et epist.* 251 *lib.* III.

Si divitiæ et pulchritudo ac robur, gloria item ac potentia, omniaque adeo pulchra existimata cito marcescunt, et fumi in morem disparent; quis tam mentis inops, ut in horum aliquo glorietur, seque jactet? Ilis enim omnibus spoliatur atque exuitur interdum etiam vivus, omnino vero mortuus. Qui vero simul omnia non habeat (neque enim cuncta uni obvenire possunt), quomodo non aut risum mortalibus exhibeat venditans se umbris, somniis atque obscuris visis?

A Εἰ ὁ πλοῦτος, καὶ τὸ κάλλος, καὶ ἡ ῥώμη, καὶ ἡ δόξα, καὶ ἡ δυναστεία, καὶ πάντα τὰ δοκοῦντα εἶναι καλὰ, θᾶττον μαραίνεται, καὶ καπνοῦ δίκην διαλύεται· τίς οὗτος ἀνόητος, ὡς ἐφ' ἑνὶ τῶν εἰρημένων ἐναβρύνεσθαι καὶ μέγα φρονεῖν; Τοῦ γὰρ πάντα ὁμοῦ ταῦτ' ἔχοντος γυμνουμένου καὶ ἐρήμου γιγνομένου, ἔσθ' ὅτε μὲν καὶ ζῶντος πάντως καὶ τεθνεῶτος· ὁ μὴ πάντα ἔχων ὁμοῦ (οὐδὲ γὰρ πάντα οἷόν τε συνελθεῖν (26) πῶς οὐ γέλωτα ὀφλήσει σεμνυνόμενος ἐπὶ σκιαῖς καὶ ὀνείρασι καὶ ἀτρανώτοις φαντασίαις;

IV. — ZOSIMO PRESBYTERO.

Δ'. — ΖΩΣΙΜΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Concionantes plus exemplo quam verbo ædificant.

Persuadendum, bone vir, operibus esse regnum Dei, ejus etiam desiderium audientibus ingenerandum. Persuadentur autem, si, quæ regno cœlorum digna sunt, illi docentem agere observent. Si vero supplicio digna, ut tu soles, committens philosophetur, qui, quæso, apud auditores fidem inveniat? Idem enim facit, atque si quis rem adamare se auscultantibus persuadeat, quam in rerum natura non esse credant.

B Χρὴ, ὦ βέλτιστε, πεῖσαι διὰ πραγμάτων τοὺς ἀκούοντας, ὅτι ἐστὶ βασιλεία οὐρανῶν, καὶ εἰς τὴν ἐπιθυμίαν αὐτῆς τρέψαι τοὺς ἀκροωμένους. Πείθονται δὲ οἱ ἀκούοντες, ὅταν βασιλείας ἄξια πράττοντα τὸν διδάσκαλον ἴδωσι. Εἰ δὲ κολάσεως ἄξια ὥσπερ σὺ πράττων περὶ βασιλείας φιλοσοφοίη, πῶς πείσει τοὺς ἀκροατάς; Ταυτὸν γὰρ ποιεῖ, ὡς ἄν τις πράγματος ἐρᾷν πείθοι τοὺς πεισθέντας παρ' αὐτοῦ πρότερον, ὅτι τοῦτο οὐχ ὑφέστηκεν.

V. — DOMITIO COMITI.

Ε'. — ΔΟΜΗΤΙΩ ΚΟΜΗΤΙ.

Martyres moriendo vincunt.

Inferior est, o sapientissime, non in bello cadens, sed hostes timens ac clypeum jaciens. Quem vero forti animo meditantem corpus destituit, eum inter victores ascribi lex est, cum et eos athletas certamine occumbentes magis prædicent ludorum præfecti, quam quibus nihil accidit. Quæ cum ita sint, cur putas martyres moriendo superari, et non potius præconio dignos censes? Hujus enim pugnæ finis est, non tam vitam servare corpusque tueri (cum et vivus, qui patitur, occumbat) quam non amittere virtutis decus.

C Ἥττά ἐστιν, ὦ σοφώτατε, οὐ τὸ τεθνάναι ἐν πολέμῳ, ἀλλὰ τὸ δεῖσαι τοὺς πολεμίους, καὶ ῥῖψαι τὴν ἀσπίδα· ὃν δὲ ἐπέλιπε τὸ σῶμα τῆς ἀριστείας ἐπιθυμοῦντα ἐν τοῖς τροπαιούχοις ἀναγράφεσθαι, νόμος· ἐπεὶ καὶ τῶν ἀθλητῶν τοὺς ἐν αὐτῇ ἀποθανόντας πάλῃ, (27) μᾶλλον τιμῶσιν οἱ τοὺς ἀγῶνας τούτους διαθέντες τῶν μὴ τοῦτο παθόντων. Εἰ τοίνυν ταῦθ' οὕτως ἔχει, δι' ἣν αἰτίαν νομίζεις τοὺς μάρτυρας τῷ τεθνάναι ἠττᾶσθαι (28), καὶ μὴ διὰ τοῦτο μᾶλλον ἀνακηρύττειν; Τέλος γάρ ἐστι τῆς μάχης ταύτης οὐ τὸ σῶμα (ὃ καὶ δοκοῦν ζῆν ἐνέκρωσαν) ἀλλὰ τὸ μὴ διαφθεῖραι τὸ τῆς ἀρετῆς κλέος.

VI. — PALLADIO.

Ϛ'. — ΠΑΛΛΑΔΙΩ ΔΙΑΚΟΝΩ.

In episcopatum ambientem.

Si neque episcopalis dignitas, neque dignum quid illa a te confectum, ac ne apostolica **555** quidem vox episcopi describens officium: neque Dei incorruptum tribunal, quo certa definitaque feretur sententia, nec denique aliud quid ab hac te amentia revocat; quid inepto et a ratione omni abhorrente desiderio dignitatem mercaturum te speras? Saltem externi seu pagani hominis exemplo pudore suffundaris. Ferunt enim Pittacum accepta

D Εἰ οὔτε τῆς ἐπισκοπῆς τὸ μέγεθος, οὔτε τὸ μηδὲν ἄξιον αὐτῆς διαπράττεσθαι, οὔτε ἡ ἀποστολικὴ γλῶττα ἡ τὸν ἐπίσκοπον ὁποῖον εἶναι χρὴ διαπλάσασα· οὔτε τὸ ἀδέκαστον δικαστήριον τὸ ἀπαραλόγιστον τὴν ψῆφον οἷσον, οὔτε ἄλλο οὐδὲν τῆς μανίας σε ταύτης ἀπείργει, δι' ἧς ὑπὸ παραλόγου ἐπιθυμίας ἐκβακχευθεὶς τὴν ἀξίαν ἐξαγοράσαι προσδοκᾷς, κἂν ὑπὸ τῶν ἔξωθεν δυσωπήθητι. Φασὶ γὰρ ὡς Πιττακὸς λαβὼν τὴν ἀρχὴν παρὰ Μιτυληναίων,

VARIÆ LECTIONES ET NOTÆ.

(26) Οὐδὲ γὰρ πάντα οἷόντε συνελθεῖν. Homerica γνώμη est libr. IV *Iliad.*, vers. 330, et lib. XIII, vers. 729, et *Odysseæ* lib. VIII, vers. 167:

Οὕτως οὐ πάντεσσι θεοὶ χαρίεντα δίδουσιν
Ἀνδράσιν. SCHOTT.

(27) Ante πάλῃ idem cod. supplet τῇ.

(28) Ἥττᾶσθαι. Scribit idem ἡττῆσθαι, et vers. antep. ep. inter τὸ et σῶμα interserit σῶσαι τό. POSSIN.

Digitized by Google

νενικηκὼς Φρύονα (29) μονομαχίᾳ τὸν ἄρχοντα Ῥηγίου, ἀπεδίδου τὴν ἀρχήν· τῶν δὲ μὴ βουλομένων κομίσασθαι, ἐβιάσατο, μὴ βουλόμενος τύραννος, ἀλλ' ἰδιώτης εἶναι. Εἰ τοίνυν ὁ κινδύνοις οἰκείοις καὶ αἵματι κτησάμενος τὴν ἀρχὴν ἑκὼν ἀπέθετο τὸν κίνδυνον ἀναδεξάμενος, τὴν δὲ τυραννίδα ἀποσεισάμενος, καὶ ταῦτα ἀλογοθέτητον οὖσαν· σὺ ὁ μηδὲ ἐν ὑπηκόοις τελεῖν, ὡς φασι, δίκαιος ὤν, ἀρχὴν ὑπεύθυνον καὶ μυρίαις λογοθεσίαις ὑποκειμένην καὶ μείζονα πάσης ἀνθρωπίνης ἀξίας, ἣν οὐδὲ διδομένην δέξασθαι ὤφειλες, ἀγοράσαι ὀνειροπολῶν, οὐ μόνον οὐ καταδύῃ, ἀλλὰ καὶ ἐναβρύνῃ. Καὶ τίς σε τῆς τοσαύτης τόλμης γράψεται;

A a Mitylenæis imperandi potestate, cum Phryonem Rhegiensibus præfectum singulari jam certamine vicisset, magistratu se abdicasse. Id factum cum Mitylenæi recusarent, vi eos compulit: quod privatus degere quam imperare mallet. Proprio itaque periculo et sanguine imperium adeptus sponte deposuit, pro quo acquirendo periculum adierat, principatum deposuit, etsi rationibus reddendis minime obnoxium. Tu vero, qui neque dignus es vel inter subditos numerari, magistratum mille rationibus reddendis obnoxium et supra dignitatem omnem humanam, quem neque sponte concessum suscipere debebas, eum continuo somnians mereari non modo non erubescis, sed et extolleris. Ecquis igitur hanc tuam satis accuset audaciam?

Ζ'. ΠΑΛΛΑΔΙΩ ΥΠΟΔΙΑΚΟΝΩ.

VII. — PALLADIO SUBDIACONO.

De ἐπιεικείᾳ seu æquo et bono. Vide Aristot. lib. v, *Ethic. Nicomach. c.* 10.

Ὁ ἐπιεικὴς φιλανθρωποτέραν δίκαιος ἂν εἴη ἔχειν τὴν γνώμην τοῦ λίαν δικαίου, καὶ ἀκριβοῦς. Πρέπει γὰρ αὐτῷ μᾶλλον τοῦ δικαίου κεχρῆσθαι τῇ φιλανθρωπίᾳ.

Par est modestum mitemque hominem humaniori civiliorique esse animo, moribusque quam illum, qui justi tenax rigidusque sit. Decet enim illum justo magis uti quam humanitate.

Η'. — ΑΛΦΙΝΩ ΥΠΟΔΙΑΚΟΝΩ.

VIII. — ALPHINO (F. ALPHIO) SUBDIACONO.

Præstat non incidere in peccatum; aut, si incidat, quam citissime exire.

Ἄμεινον μὲν μὴ ἁλῶναι ἐπὶ κακίᾳ· ἁλόντα δὲ τὸ εἰδέναι ὅτι ἥλω, καὶ ταχέως ὥσπερ ἔκ τινος μέθης ἀνενεγκεῖν. Ὁ γὰρ ἁλοὺς μὲν, ἐαλωκέναι δὲ οὐκ οἰόμενος, ἀνήκεστα νοσεῖ.

Præstat non capi improbitate; captum vero se scire captum esse, statimque velut e temulentia quadam emergere. Captus vero non effugere sustinens, morbo laborat incurabili.

Θ'. — ΑΜΜΩΝΙΩ ΣΧΟΛΑΣΤΙΚΩ.

IX. — AMMONIO SCHOLASTICO.

De recta liberorum institutione; de qua et inf. epist. 317 *et* 506 *gemina huic.*

Οἱ τοῖς ἑαυτῶν παισὶν ἔτι νηπίοις οὖσιν ἐγκατασπείροντες πρῶτον μὲν τὸν περὶ τῆς θείας ὑπεροχῆς τε καὶ προνοίας λόγον· δεύτερον δὲ τὸν περὶ ἀρετῆς τρόπον, οὗτοι οὐ μόνον γονεῖς, ἀλλὰ καὶ διδάσκαλοι ἄριστοι τυγχάνοντες τεύξονται θείων ἀμοιβῶν. Οἱ δὲ πολυθεσίαν (30) καὶ κακίαν αὐτῆς (31) καταφυτεύσαντες, ἅτε θύσαντες αὐτῶν τὰ τέκνα τοῖς δαίμοσιν, ἄξια κομιοῦνται τὰ ἐπίχειρα.

C Qui suis adhuc teneris liberis documenta inserunt, primum quidem de Dei præstantia atque providentia; dehinc virtutem moresque probos præcipiunt, hi non modo parentes, sed et optimi exsistunt magistri, et a Deo mercedem accipient. Qui vero deorum multitudinem improbitatemque filios docent, quasi dæmoniis eos offerentes, debitas accipient pœnas.

Ι'. — ΣΥΜΜΑΧΩ.

X. — SYMMACHO.

De hominis interioris pugna.

Ἐν τοῖς ἐμφυλίοις πολέμοις, εἰ καὶ οἱ νικῶντες τῶν ἡττωμένων εἰσὶν ἀθλιώτεροι· πλέον γὰρ ἐκείνων αἰσχύνονται, ὅσῳπερ ἂν πλείω τι τῶν ἄλλων ἐργάσωνται· ἀλλ' οὖν γε διαλλαγησόμενοι διοίσονται. Ἐν δὲ ἡμῖν ἔνθα ὁ πόλεμος ἀργαλεώτερός ἐστι τοῦ ἐμφυλίου· σώματος γὰρ ἑνός ἐστιν ἀμιλλα· ὡς οὐ διαλλαγησόμενοι διαφέρονται. Ἀλλ' ἐκεῖνος ἐγκαλλωπίζεσθαι δοκεῖ ὁ πλέον τῶν ἄλλων δράσας, καὶ ἐρυθριᾷν ὀφείλων. Τοῖς γὰρ δρῶσιν ἢ τοῖς πάσχουσιν ἡ τιμωρία ἀπόκειται.

D Civilibus in bellis etsi victores miseriores quam victi exsistant: plus enim illis **556** erubescunt, quo plus quam illi laborarunt; at certe reconciliati adhuc differunt. In nobis vero hinc bellum molestius accidit, quam intestinum. De uno enim duntaxat corpore certamen est, ut non reconciliati dissideant: sed ille placere sibi videtur, qui amplius quam cæteri præstitit, cum erubescere deberet. Patrantem enim et non perpetientem manet supplicium.

VARIÆ LECTIONES ET NOTÆ.

(29) *Φρύονα.* Diogenes Laertius lib. I, in Pittaco, *Phryonem* vocat, et Atheniensibus non Rhegiensibus præfectum ait. A Pittaco autem molam constitutam disces lib. I Isidori, epist. 170. Infra hic ἐναβρύνω non ut scriptum a librario, ἀναβρύνω, leg. censui. SCHOTT. — Cod. Vat. et Alt. Φρυνωνά.

(30) Pro πολυθεσίαν tentaveram πολυφασίαν, quæ est Hesychio πολυλογία, *loquacitas*, Platonica vox; nunc una duntaxat ex trita littera, πολυθεΐαν, *deorum multitudinem*, lego. SCHOTT.

(31) Pro αὐτῆς ambo codd. Vat. 650 et Alt. habent αὐτοῖς. POSSIN.

Digitized by Google

XI. — MARTINIANO ET ZOSIMO.

ΙΑ'. — ΜΑΡΤΙΝΙΑΝΩ, ΚΑΙ ΖΩΣΙΜΩ.

Virtutis commendatio.

Vitium fugite, o optimi. Solet enim infatuare ac dementes reddere suos amatores. Virtutem potius sectemini. Hæc enim sapientes efficere potest, atque in decenti continere officio, qui eam amplexi sunt. Quæ etiam ex ipsis oculis mite quid ac placidum tuentibus sæpenumero se prodit, ostenditque qua mens interius modestia sit imbuta.

Φεύγετε, ὦ βέλτιστοι, τὴν κακίαν. Δεινὴ γὰρ ἐκλυττῆσαι καὶ παράφρονας ἐργάσασθαι τοὺς οἰκείους ἐραστάς. Διώκετε δὲ τὴν ἀρετήν. Δεινὴ γὰρ σοφίσαι καὶ ἐν τῇ προσηκούσῃ καταστάσει διατηρῆσαι τοὺς ἀντεχομένους αὐτῆς. Ἥ γε καὶ διὰ τῶν ὀφθαλμῶν πολλάκις ἥμερόν τι καὶ γαληνὸν βλεπόντων δείκνυσιν, ὡς ἐνέστακται ἔνδον ὁ νοῦς σωφροσύνης ἀνάπλεος.

XII. — ZOSIMO PRESBYTERO.

ΙΒ'. — ΖΩΣΙΜΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Jubet a scelesta vita abstinere, aut a sacris mysteriis. Vide inf. ep. 231.

Plerique sane (nam omnes dicere durum verbum sit) valide atque adeo acerbe te mordent atque subsannant; atque utinam falso. Frater siquidem tuus germanus cum lacrymis et luctu talia, ne dicam graviora, nobis narravit, ingressus extrahere te, si id fieri modo potest, e nimiæ barathro libidinis, in quo flagitio capitis tui damno consenuisti, omnem répudiando admonitionem, vitia, quibus subjaces, non expugnans. Scripsi nuper, ut tui juris factus, et impudicitiæ tuæ dedecus cogitans, et senium, quod obrepit, et sacrum sacerdotium, ad quod nescio qua impudentia te ingesseris, præsentia dedecora, atque offendicula, futurum denique supplicium expenderes, omnibus coopertus sceleribus in ipso senii vitæque limine juvenilia et inania sectans. Quomodo vero juvenibus, ut modeste se temperanterque gerant, persuadeas, si ne tibi quidem ad extremum usque senium persuaseris? Quin igitur horres vererisque talia committere, et altaria frequentare? Quomodo immaculata sacrorum mysteria audes attingere? Hortor itaque te (etsi enim dolet, verumtamen libere dicam) ut vel committere hujusmodi desinas, vel a venerandis altaris sacrificiis abstineas, ne quando ignem de cœlo capiti accersens tuo, turpiter meritas pœnas ut optasti, luas.

Πολλοὶ μὲν (τὸ γὰρ πάντας εἰπεῖν τραχὺν ἴσως κατασκευάσει τὸν λόγον) δεινῶς πάνυ καὶ πικρῶς σε κωμῳδοῦσιν· οὓς εὔχομαι μὴ ἀληθεύειν. Ἐπειδὴ δὲ καὶ ὁμογνήσιός (32) σου ἀδελφὸς θρηνῶν σε καὶ ὀλοφυρόμενος τὰ αὐτὰ, ἵνα μὴ λέγω φορτικώτερα. Ἀπήγγειλεν ἡμῖν, ἀντιβολῶν ἀνιμήσασθαί σε, εἰ οἷόν τε, ἀπὸ τοῦ βυθοῦ τῆς λαγνείας, ᾧ ἐπὶ τῷ κακῷ τῆς αὐτοῦ κεφαλῆς συγγεγήρακας, πολλὰ χαίρειν φράσας τῷ παραινέσαντι τοῖς κεκρατημένοις μὴ ἐγχειρεῖν. Γέγραφα ὅπως σαυτοῦ γενόμενος καὶ τὴν τῆς ἀσελγείας αἰσχύνην ἐννοήσας, τότε γῆρας εἰς ὃ ἕρπεις, τήν τε θείαν ἱερωσύνην, εἰς ἣν οὐκ οἶδ' ὅπως ἐπεκώμασας τά τε παρόντα ὀνείδη καὶ τὰ σκάνδαλα, τήν τε μέλλουσαν κόλασιν· πᾶσι τοῖς κακοῖς ἐγκαλινδούμενος ἐπὶ γήραος οὐδῷ νεωτερίζων. Πῶς γὰρ τοῖς νέοις σωφρονεῖν παραινέσεις, σαυτῷ μηδὲ ἐπὶ γήραος παραινῶν; Πῶς δὲ οὐ φρίττεις τοιαῦτα δρῶν, καὶ τῷ θυσιαστηρίῳ πλησιάζων; Πῶς δὲ τολμᾷς τῶν ἀχράντων ἅψασθαι μυστηρίων; Παραινῶ τοίνυν, (εἰ γὰρ καὶ λυπεῖ, τὸ ἀληθὲς μετὰ παῤῥησίας λελέξεται,) ἢ παῦσαι τοιαῦτα δρῶν, ἢ τοῦ σεπτοῦ θυσιαστηρίου σαυτὸν χώρισον· μή ποτε πῦρ οὐρανόθεν ἐπὶ τὴν σαυτοῦ καλέσῃς κεφαλὴν, παρέχουσαν τοῖς ῥᾳθύμοις ἀφορμὰς ὧν ἐπιθυμοῦσι λόγων.

XIII. — EIDEM.

ΙΓ'. — ΤΩ ΑΥΤΩ.

Hominem desperatæ malitiæ ut conclavatum suo relinquit genio.

Audio in sapientem te incidisse virum qui corrumpi pecunia nequeat, virtutis perstudiosum **557** omnemque operam adhibentem ad tui correctionem, remissum tamen abs te, infecta re, quasi prodesse non posset. Tui enim morbi vis major omni ejus medela est inventa. Decebat tamen te specie rationum eleganti illectum præ admiratione intelligentiæ ipsius, et reveritum ejus prudentiam ab improbitate temperare. Te vero non solum, re infecta, illum remisisse, verum etiam cum injuria profligasse, in-

Πυνθάνομαι ὅτι σοφός τις ἀνὴρ, καὶ χρημάτων κρείττων, καὶ ἀρετῇ συναγωνιστὴς ἐντυχών σοι· καὶ πάντα νικήσας ὅσα ἐχρῆν πρὸς ἐπανόρθωσιν, ἀπεπέμφθη ἄπρακτος μηδὲν ὠφελῆσαί σε δυνηθείς. Κρείττονος (33) τοῦ σοῦ νοσήματος τῆς παρ' αὐτῷ ἰατρικῆς τέχνης εὑρεθέντος. Δέον γάρ σε γοητευθέντα μὲν τῷ κάλλει τῶν νοημάτων, ἀγασθέντα δὲ τὴν σύνεσιν, αἰδεσθέντα δὲ τὸ φρόνημα παύσασθαι τῆς κακίας, οὐ μόνον ἄπρακτον, ἀλλὰ καὶ μεθ' ὕβρεως τοῦτον ἀπεπέμψω. Τί οὖν ποιητέον; Εἰ γὰρ

VARIÆ LECTIONES ET NOTÆ.

(32) Pro ὁμογνήσιος, voce inusitata, repone ὁμόγνιος, quasi ὁμογένιος, ut et γνήσιος, quasi γονήσιος vel γενήσιος. Mox pro ἀνειμήσασθαι tentabam ἀνεμόσασθαι, quod *evomere* est : vel potius ἀνειλήσασθαι ab ἀνειλέω, *aperio, explico.* Suspecta et illa vox ἐπεκάμασας, quod est *lasciviores*, nisi rectius est ἐπεπόμπασας. Eruditiores æstimabunt. SCHOTT.

(33) Pro κρείττονος codd. Vat. 650 et Alt. legunt κρεῖττον. POSSIN.

Digitized by Google

ἕκαστος οὐδὲν ὠφελεῖ, ἀλλὰ καὶ ἡ παραίνεσις καταπεφρόνηται· καὶ ὁ τῶν ἀνθρώπων γέλως πεπάτηται· καὶ τὸ σκανδαλίζεσθαι παρὰ σοὶ πολλοὺς οὐδὲν κέκριται· καὶ ὁ θεῖος φόβος ἀβατός ἐστι παρὰ σοί· καὶ ἡ τῆς κρίσεως ἀπειλὴ γελᾶται, ἐλάθομεν λιθίνῃ καρδίᾳ διαλεγόμενοι. A

telligo. Quid igitur censes faciendum Si enim nemo juverit, imo et adhortatio contemnitur, etiam risus conculcetur, et abs te plurimos lædi offendiculo nihili æstimes, nec in Dei ambules timore, rideas etiam divini judicii minas, nescimus sane, ecquid remedii duro tuo cordi afferamus.

ΙΔ'. — ΑΙΔΕΣΙΩ (34) ΠΟΛΙΤΕΥΟΜΕΝΩ.

XIV. — ÆDESIO REMPUBLICAM GERENTI.

Dehortatur ab ea militia, quæ nec pietatis, nec virtutis defendendæ causa geritur.

Ἐπειδὴ θυμῷ μὲν ἀναπτομένῳ συνάπτεται (35) πόλεμος, σβεννυμένῳ δὲ οὐ σβέννυται, μηδέποτε σαυτὸν εἰς πολέμους ἔμβαλλε χαλεπούς· καὶ μάλιστα ὅταν μηδὲ περὶ εὐσεβείας ἡ ἀρετῆς ὁ λόγος ᾖ· ἐν γὰρ ταύταις χρεία ἕως αἵματος ἀγωνίζεσθαι, μήτε ἐκείνην, μήτε ταύτην προδιδόντα B

Quandoquidem animo ira incenso bellum incenditur, exstinctum autem ira animoque compositis bellum sopitur, nunquam te molestæ immittas pugnæ, præsertim cum pietatis virtutisque non agitur negotium. In his etenim ad sanguinem usque pugnandum, ne hæc aut illa prodatur.

ΙΕ'. — ΙΣΧΥΡΙΩΝΙ ΣΧΟΛΑΣΤΙΚΩ.

XV. — ISCHYRIONI SCHOLASTICO.

Arrogantiam dissuadet.

Ὅταν ἡ μεγαλοφροσύνη (36) μὴ πρὸς αὐθάδειαν, ἀλλὰ πρὸς ἐπιείκειαν βλέπῃ, τότε καὶ τὴν ἀλαζονείαν ἐκφεύγει καὶ τὴν δουλοπρέπειαν, οὐκ ἐῶσα κερασθῆναι τὸ ἀσχημον τῷ εὐπρεπεῖ.

Animi magnitudo cum non ad audaciam, sed ad animi quamdam liberalitatem benevolentiamque tendit, arrogantiæ ac servilis indolis speciem omnem effugit, neque patitur turpe decoro permisceri.

ΙϚ'. — ΠΕΤΡΩ.

XVI. — PETRO.

De Eusebii vitiis. Confer. epist. 140, 147, 470.

Εἰ καὶ ἐπὶ τῆς Εὐσεβίου, ὡς γέγραφας, τυραννίδος αἰτίαν τῆς ἀπωλείας τῶν φιλαρέτων οὐδεὶς ἢ τὴν ἀρετὴν μόνην οἶδεν (ἡ γὰρ δίκη τὴν κρίσιν φθάνει, ἡ δὲ τῆς μελλούσης κρίσεως μνήμη ὀξύτερός ἐστι τοῖς μνησθεῖσιν ὄλεθρος), ἀλλ' οὖν γε μὴ ὀλιγώρει. Οὐ γὰρ μὴ συγχωρήσει ὁ παντεπόπτης ὀφθαλμὸς, τὴν ἀρετὴν ὑπὸ τῆς κακίας διὰ τέλους παρευδοκιμεῖσθαι· ἀλλὰ ποιήσει ἐκεῖνα ἃ αὐτῷ μὲν πρέπει, τῇ δὲ ἀρετῇ καὶ τῇ κακίᾳ χρεωστεῖται. C

Etsi, ut scribis de Eusebii tyrannicis moribus, perditionis causam nemo agnoscit, qui virtutum studiosus est, præter virtutem ipsam : sententia enim anticipat judicium, futurique judicii recordatio, acutior recordantibus pernicies est : at cave negligas. Neque enim permittet qui omnia contemplatur, Dei oculus, virtutem a vitio ad extremum usque gloria superari, imo faciet, quæ se deceant, virtuti ac vitio ut debita reddantur.

ΙΖ'. — ΚΥΡΡΩ ΣΧΟΛΑΣΤΙΚΩ.

XVII. — CYRO SCHOLASTICO.

Oculos esse debere continentes. Parva peccata præscindenda, ne magna evadant.

Ἴσθι ὅτι ἕρπον τὸ δοκοῦν μικρὸν παῖσμα εἶναι, εἰς μέγα ἕρπει κακόν. Τὸ γὰρ λέγειν, Οὐδὲν παρὰ τοῦτο (37), τὴν κακίαν ἐπικωμάσαι τῷ βίῳ πεποίηκε. Πολλοὶ γὰρ νομίζουσι τὸ περιεργάζεσθαι τὰ ἀλλότρια κάλλη μηδὲν εἶναι· ἐκ δὲ τούτου αἱ μοιχεῖαι

Scito exiguum in specie vitium, serpendo grandius fieri. Dicere enim illud : Quid tum postea? vitia in vita fecit mortalium ingenerari. Plerique enim existimant nihil esse alienam pulchritudinem studiose speculari : atqui fornicationes hinc fami-

VARIÆ LECTIONES ET NOTÆ.

(34) Αἰδεσίῳ inscribitur ; forte Αἰδησίῳ vel Αἰδεσίμῳ leg. *Ædesi* Cappadocis Jamblichi auditoris ac schola successoris Eunapius Sardianus meminit, et alterius sophistæ filii Chrysanthii. Ep. seq. pro μεγαλοφροσύνη, leg. arbitror μεγαλοσύνη, quod *majestatem* notat, et hic quadrat. Schott.

(35) Συνάπτεται cod. Sfortianus producit in συναπτεται. Vers. pro σβέννυται codd. Vat. 650 et Alt. scribunt συσβέννυται. Possin.

(36) Pro μεγαλοφροσύνη sub epist. 1 extrema μετροφροσύνη legitur; cætera iisdem pene verbis, quæ hic tractantur. Sed μεγαλοφροσύνην usurpat ep. 277. Posset et μεγαλοσύνη legi, quod τὸ ὑψηλὸν dixit epist. 251. Adde et lib. II ep. 241. Aristoteles hanc virtutem in *Nicomachiis* φιλίαν vocat et ἐπιεικείαν; in magnis autem *Moralibus* σεμνότητα; hanc μεγαλοφροσύνην, vide Paraphrasten Andronicum ibi, et interpretes, et Theophrasti *Charact.* περὶ αὐθαδείας, et ibi Casaub. Schott.

(37) *Οὐδὲν παρὰ τοῦτο.* Formulæ hæc vetus peccata omnia ut levia et vitia contemnentium, de qua disserit copiose B. Jo. Chrysostomus, inculcans identidem homilia 12 in Epist. ad Romanos, et in priorem ad Corinthios hom. 8; item in Matthæum sermone 50, de iis loquens qui elegantioris formæ calceis delectabantur. Rursum hom. octogesima septima in Matth. et Gregorius Nazianz. in locum Matth. cap. XIX. Plutarchus quoque lib. *Quomodo se quis in virtute sentiat profecisse*, hanc ponit notam si quis voces hasce repudiaverit : Τί γὰρ τὸ παρὰ τοῦτο ; καὶ, Νῦν μὲν οὕτως, αὖθις δὲ βέλτιον. *Nunc quidem ita : alias vero melius.* Plura colligi posse similia procrastinationis contemptusque vitiorum apud Senecam et divum Chrysostomum auctor est Casaubonus ad A Persii locum illum satyra V.

Quid? quasi magnum nempe diem donas. Schott.

Digitized by Google

liarumque **558** etiam interitus enascuntur. Taceo adhuc a nobis etiam ante opus ipsum uti mœchum puniendum esse, qui libidinose contemplatur. Sileo quoque (quando tecum mihi res est, qui sacris Litteris non satis fidem adhibeas), Demostheni prompte credi dicenti : « Scito, inquam, bone vir, ne oratorem quidem ipsum id ignorasse, sed aperte vociferatum : *Quotidianam*, inquit, *segnitiem ac socordiam, ut in privata vita, sic etiam in urbibus, non in singulis quæ negliguntur, statim animadverti, sed in summa rerum occurrere.* » Quare si illum fide dignum dixeris, etiam hic persuaserit, parva etiam peccata resecanda ducens, ne majora tibi imperent.

A τίκτονται, καὶ αἱ τῶν οἴκων ἀνατροπαί. Σιωπῶ γὰρ τέως, ὅτι παρ' ἡμῖν καὶ πρὸ τῆς πράξεως ὁ ἀκολάστως ὁρῶν, ὡς μοιχὸς κολάζεται. Σιωπῶ δὲ, ὅτι πρὸς σέ μοι νῦν ὁ λόγος, τὸν ταῖς ἱεραῖς μὲν Γραφαῖς μὴ πιστεύοντα, Δημοσθένει δὲ ἐκθύμως πείθεσθαι λέγοντα. Ἴσθι τοίνυν, ὦ βέλτιστε, ὅτι οὐδὲ ἐκεῖνον τὸ τοιοῦτο διέλαθεν, ἀλλὰ διαῤῥήδην βοᾷ· *Ἡ καθ' ἡμέραν ῥᾳστώνη καὶ ῥᾳθυμία, ὥσπερ τοῖς ἰδίοις βίοις, οὕτω κἂν ταῖς πόλεσιν οὐκ ἀφ' ἑκάστου τῶν ἀμελουμένων ποιεῖ τὴν αἴσθησιν εὐθέως, ἀλλ' ἐπὶ τῷ κεφαλαίῳ τῶν πραγμάτων ἀπαντᾷ* (38). Εἰ τοίνυν ἀξιόπιστον αὐτὸν ἡγῇ, κἂν αὐτῷ πείθοιο, καὶ τὰ μικρὰ περίκοπτε πταίσματα, ἵνα τὰ μεγάλα μηδὲ ἀρχὴν λάβοιεν.

XVIII. — ESAIÆ MILITI.

ΙΗ'. — ΗΣΑΙΑ ΣΤΡΑΤΙΩΤΗ.

Quisque ex suo animo judicat de aliis. Vide epist. 223, 398, *et* 530.

Mortales plerumque ex suis rebus etiam de aliis judicium ferunt. Qui enim pecuniæ habendæ cupidus est, neminem arbitratur egere : salax vero et impudicus, continentem neminem. Immanis et crudelis nullum putat humanum exsistere : neque avarus misericordem aut liberalem. Contra vero temperans multos sui similes agnoscit : indigens similiter ac perhumanus. Quamobrem si contra omnes judicaveris (nec enim idem de omnibus est judicium, ut recte dicitur), nihil admiramur. Consentaneum est et idem tibi usuvenire.

B Πολλοὶ τῶν ἀνθρώπων ἐκ τῶν καθ' ἑαυτοὺς καὶ περὶ τῶν ἄλλων τὰς ψήφους ἐκφέρουσιν. Ὁ μὲν γὰρ φιλοχρήματος οὐ πιστεύει εἶναί τινα ἀκτήμονα, οὐδὲ ὁ ἀσελγὴς σώφρονα, οὐδὲ ὁ ὠμὸς φιλάνθρωπον, οὐχ ὁ πλεονέκτης ἐλεήμονα· καὶ τοὐναντίον ὁ σώφρων πολλοὺς εἶναι τοιούτους νομίζει, καὶ ὁ ἀκτήμων ὁμοίως, καὶ ὁ φιλάνθρωπος· εἰ τοίνυν πάντων καταψηφίσῃ (39), ὁ τὴν ψῆφον αὐτὴν ἔχων παρὰ πάντων, ὡς φασι, δικαίως οὐ θαυμάζομεν. Τὸ γὰρ εἰκὸς καὶ ἐπὶ σοὶ συμβέβηκε.

XIX. — EIDEM.

ΙΘ'. — ΤΩ ΑΥΤΩ.

Insurgendum contra animi vitia. Victus sæpe evasit victor. Confer. 167, 554.

Multi prolapsi ac denuo resipiscentes tropæa de animi perturbationibus constituerunt : a quibus antea victos se professi erant. Si itaque et tu sæpenumero deliquisti, imbecillitatem agnoscens tuam, redi in viam.

C Πολλοὶ πταίσαντες καὶ ἀναμαχησάμενοι, τρόπαια ἔστησαν κατὰ τῶν παθῶν· ἐφ' ὧν πρότερον ὁμολογήσαντες ἦσαν τὴν ἧτταν. Εἰ τοίνυν καὶ αὐτὸς πολλάκις ἔπταισας, γνωσιμάχησον.

XX. — PETRO.

Κ'. — ΠΕΤΡΩ.

Orator non semper persuadet, propter liberum audientis arbitrium. Conf. ep. 42, 219,, 250, 441, 521, 547, 568, 569, *et ep.* 205, *lib.* IV.

Ignorare mihi videris, bone vir, non tantum admonentis valere eloquentiam, quantum probam indolem ejus qui admonetur. Persuaderi enim aut non persuaderi, in ejus est arbitrio et quasi dominatu. Nam omnibus ut persuaderet, ne Christus quidem præstitit. Quod si negabis, exemplo uno usus, cui alterum nullum opponas, fidem facere conabor. Quis enim, amabo, aut divino Verbo eloquentior, aut quis sapientia sapientior exstitit, quæ tot tantaque proferret verba et blandientia mitiaque, et

D Κινδυνεύεις ἀγνοεῖν, ὦ μακάριε, ὅτι οὐ τοσοῦτον ἡ φρόνησις τοῦ λέγοντος, οὐδὲ ἡ εὐγλωττία τοῦ παραινοῦντος δύναται τὸν πταίοντα δυσωπῆσαι, ὅσον τοῦ συμβουλευομένου ἡ εὐγνωμοσύνη. Τοῦ γὰρ πεισθῆναι καὶ μὴ, αὐτὸς κύριος καθέστηκεν. Εἰ δὲ ἀπιστεῖς, ἑνὶ παραδείγματι (40) χρησάμενος, ᾧ ἕτερον οὐδὲν παραβληθῆναι δυνήσεται, πείσαι δυνήσομαι. Τί γὰρ τοῦ Λόγου ἐλλογιμώτερον, ἢ τί τῆς σοφίας σοφώτερον τῆς τοσαῦτα καὶ τηλικαῦτα φησάσης (41) καὶ προσηνῆ καὶ δραστήρια, ὥστε ἀναστεῖ-

VARIÆ LECTIONES ET NOTÆ.

(38) Demosthenis locus est *Philippic.* 3 et 4. SCHOTT.

(39) Pro καταψηφίσῃ codd. Vat. 650 et Alt. legunt καταψηφίζει. POSSIN.

(40) *Ἐνὶ παραδείγματι.* De Juda proditore, totoque hoc argumento bene longam doctamque lege S. Isidori epist. 205 lib. IV. Christum ait suis admonitionibus ac blanditiis nihil profecisse, quamvis verba proferret ejusmodi, quæ vel lapidis vim naturamque inflectere posse viderentur. Confer et epist. 335 lib. I et 179 lib. II. Mox, δι' ὃν καὶ ὁ τῆς κρίσεως ἀξιόχρεώς ἐστι λόγος. Idem Isidorus in illa 205 epist. libri IV et proxima ad eumdem modum sic extulit. Διὸ καὶ τῆς κρίσεως βέβαιος ὑπάρχει λόγος. Hic etiam τὸν ἀκούοντα κύριον male iteratum a librariis, e prioribus correximus. SCHOTT.

(41) Φησάσης ambo codd. Vat. 650 et Alt. mutant in φρασάσης. POSSIN.

Digitized by Google

λαι τοῦ Ἰούδα τὴν φιλοχρηματίαν, καὶ μὴ ἀνυσάσης ; οὐ παρὰ τὴν οἰκείαν ἀσθένειαν, ἀλλὰ παρὰ τὸ τὸν ἀκούοντα κύριον εἶναι τῆς οἰκείας γνώμης, διὰ τῆς αὐτεξουσιότητος ὅρον, δι' ὃν καὶ ὁ τῆς κρίσεως ἀξιόχρεώς ἐστι λόγος· εἰ τοίνυν ταῦθ' οὕτως ἔχει, ἀποδοχῆς μὲν ἄξιος ὁ τὰ αὐτοῦ πληρῶν· μέμψεως δὲ καὶ κατηγορίας ὁ ταῖς ἀγαθαῖς παραινέσεσι μὴ πειθόμενος· ὁ δὲ τὴν τοῦ (42) πεισθέντος κατηγορίαν ἐπὶ τὸν μὴ πείσαντα τρέπων, ἠλίθιος, ἅτε καὶ τῶν θείων καὶ τῶν ἀνθρωπίνων πραγμάτων ἀγνοῶν τὴν φύσιν.

efficacia, ut Judæ proditori eripere avaritiæ crimen posset, et non fecit : idque non ex sua imbecillitate, sed quod audiens ista Judas propter arbitrii libertatem suam in potestate haberet sententiam ? Qua de causa judicii idonea est defensio. Quæ cum ita sint, laude dignus est qui talia reapse exsequatur : **559** vituperationem contra ac reprehensionem mereatur, qui bona suadenti non pareat. Stultus itaque qui in suadentem, quod non persuadeat, ideo accusationem, utpote divinarum humanarumque rerum ignarus, convertat.

ΚΑ'. — ΛΕΟΝΤΙΩ ΕΠΙΣΚΟΠΩ.

XXI. — LEONTIO EPISCOPO.

Priorum sacerdotum cum sui ævi elegans comparatio. Vide inf. similia epist. 37 *et* 126.

Ὄντως, καθὼς γέγραφας, πολλαὶ εἰς τὰς Ἐκκλησίας ἐπεκώμασαν ταραχαί. Ὅπου γὰρ τὸ τῆς εἰρήνης ὄνομα, ἐκεῖσε τὰ τοῦ πολέμου ἔργα χορεύει. Ταῦτα δὲ συμβαίνει ἐκ τοῦ πολλὰ καὶ παντοδαπὰ ἡμαρτῆσθαι τοῖς τὸ διδασκαλικὸν ἀξίωμα ἐγκεχειρισμένοις· ὧν τὸ καθ' ἓν ἐάσας, ἓν εἰς ὃ πάντα βλέπει γράψω, πρᾶγμα ἔντιμον καὶ μέγα καὶ λαμπρόν· καὶ ὃ τοὺς ἀποστόλων (43) συλλόγους, ὡς φωστῆρας πανταχοῦ τῆς οἰκουμένης εἶναι πεποίηκε· νῦν ῥᾳθυμηθὲν συγχύσεως ἐνέπλησε τὰς Ἐκκλησίας· τί δέ ἐστι τοῦτο ; φράσω μετὰ παῤῥησίας, καὶ γὰρ οὐδ' ἂν ἄλλως δυναίμην· ὅτι τότε μὲν οἱ φιλάρετοι εἰς ἱερωσύνην προήγοντο, νυνὶ δὲ οἱ φιλάργυροι· τότε οἱ φεύγοντες τὸ πρᾶγμα διὰ τὸ μέγεθος τῆς ἀρχῆς, νῦν δὲ οἱ ἐπιπηδῶντες τῷ πράγματι, διὰ τὸ μέγεθος τῆς τρυφῆς. Τότε οἱ ἀκτημοσύνῃ ἑκουσίῳ ἐναβρυνόμενοι, νυνὶ δὲ οἱ πλεονεξίᾳ ἑκουσίῳ χρηματιζόμενοι· τότε οἱ πρὸ ὀφθαλμῶν ἔχοντες τὸ θεῖον δικαστήριον, νυνὶ δὲ οἱ μηδὲ ἔννοιαν τούτου ἔχοντες· τότε οἱ τύπτεσθαι· νῦν δὲ οἱ τύπτειν ἕτοιμοι· καὶ τί δεῖ τὰ πολλὰ λέγειν ; μεταπεπτωκέναι λοιπὸν τὸ ἀξίωμα ἔδοξεν ἀπὸ ἱερωσύνης εἰς τυραννίδα· ἀπὸ ταπεινοφροσύνης εἰς ὑπερηφανίαν· ἀπὸ νηστείας εἰς τρυφήν, ἀπὸ οἰκονομίας εἰς δεσποτείαν· οὐ γὰρ ὡς οἰκονόμοι ἀξιοῦσι διοικεῖν, ἀλλ' ὡς δεσπόται σφετερίζεσθαι. Ταῦτα δὲ οὐ κατὰ πάντων εἴρηται, ἀλλὰ κατὰ τῶν ἐνόχων· εἰσὶ γάρ εἰσιν οἳ κατὰ τὸν ἀποστολικὸν μὲν ζῶσι χαρακτῆρα, ῥῆξαι δὲ φωνὴν μὴ τολμῶντες· εἰ καὶ λίαν εἰσὶ κατὰ τοῦτο μόνον μεμπτοί, ὅτι δεδοικότες τῶν ἀκολάστων τὸ πλῆθος, τό γε εἰς αὐτοὺς ἧκον, τῆς τηλικαύτης διορθώσεως ἀμελοῦσι.

Non paucæ profecto, ut ad me perscripsisti, in Ecclesiis turbæ sunt excitatæ. Ubi enim pacis nomen, ibi res bellicæ regnant. Id vero multis gravibusque eorum peccatis, quibus docendi alios munus incumbit, est imputandum : quæ non singulatim excutiam. Unum duntaxat, quo spectant cætera, de multis magnum, venerandum atque illustre commemorabo : idque apostolicorum virorum cœtum ut luminaria per totum, qua habitatur, terrarum orbem constituit, nunc id ipsum neglectum Ecclesias in conturbationem vertit. Quid tandem id est ? inquies. Dicam, neque enim aliter quam, libere. Quandoquidem virtute tum præditi sacerdotio sunt admoti : nunc vero avari ac pecuniæ cupidi. Tunc imperia dignitatesque ob rei magnitudinem defugiebant, ut Nazianzenus, Chrysostomus, et alii ; nunc vero ex sponte assumunt, ob deliciarum copiam atque invadunt. Tunc voluntaria paupertate gloriabantur ; nunc habendi cupiditate spontanea quæstum faciunt. Tunc Dei judicium ante oculos iis versabatur : nunc ne cogitant quidem de illo. Tunc flagra perpeti ; nunc verbera infligere parati. Sed quid pluribus est opus ? Recidisse jam sacerdotii dignitatem ad regnandi cupidinem apparet, ab humilitate ad superbiam, a jejunio ad delicias prolapsam, a dispensatione denique ad dominium venisse. Non enim ut dispensatores administrare rem volunt, sed ut domini sibi propria vindicant. Hæc vero non in omnes dicta sint, sed in reos ac sontes. Sunt enim, sunt, inquam, qui hodie ad apostolicam vivunt normam, vocem tamen emittere non audeant. Quo etiam sunt nomine potissimum improbandi, quod improborum veriti multitudinem, quod officii est ipsorum, nempe hujusmodi corripere, id negligunt.

ΚΒ'. — ΔΑΝΙΗΛ ΠΡΕΣΒΥΤΕΡΩ.

XXII. — DANIELI PRESBYTERO.

Ignoscendum etiam non postulanti.

Εἰ καὶ ὁ χρεωστῶν σοι ἀπολογίαν οὔτε ἀπαιτεῖται ἀπὸ σοῦ, οὔτε ἄγχεται· διὸ καὶ αὐτὸς ἀπολογίαν ἠγῇ ἔχειν τοῦ μὴ ἐκείνῳ συγκεχωρηκέναι τὸ τῶν εἰς σὲ πταισμάτων χρέος, ἀλλ' αὐτὸς καὶ μὴ παρακαλοῦντι, μηδὲ συγγνώμην αἰτοῦντι δίδου ταύτην, εἰ

Etsi, qui te offendit, neque veniam a te postulat, ac ne propterea quidem angitur : unde et tu excusare te posse videris, non impensæ hactenus illi in te commissorum veniæ : tu tamen veniam illi, licet eam non rogeris, aut efflagitet, indulge ;

VARIÆ LECTIONES ET NOTÆ.

(42) Inter τοῦ et πεισθέντος codd. iidem ambo inserunt μή. possin.

(43) Pro ἀποστόλων cod. Vat. 650 et Sfort. scribunt ἀποστολικούς. Vers. inde 4, ante ἱερωσύνην codd. Vat. 650 et Alt. addunt τήν. Ib.

Digitized by Google

si fieri potest, quempiam ad eum mittendo; sin minus, in animo tuo illi remitte, et noli videri imitatus eos, commissa in se ulcisci qui velint. Sic enim et ille ob tuam vivendi rationem rubore confusus, se ipse ulciscatur, ut sancto viro infensus.

A μὲν δυνατὸν, ἐκεῖνον μεταπεμψάμενος· εἰ δὲ μὴ, κατὰ σαυτὸν, καὶ μὴ (44) φαίνου ὁρῶν τὰ τῶν ἀμύνεσθαι ἐπιθυμούντων· οὕτω γὰρ κἀκεῖνος αἰδεσθεὶς σου τὴν φιλοσοφίαν, ἑαυτὸν ἀμυνεῖται, ὡς ἀγίῳ ἀνδρὶ προσκεκρουκώς.

560 XXIII. — THEODOSIO EPISCOPO.

ΚΓ'. — ΘΕΟΔΟΣΙΩ ΕΠΙΣΚΟΠΩ.

In magnis vel voluisse sat est. Ut desint vires, tamen est laudanda voluntas. Vide epist. 483.

Vinci ab illis rebus turpe non est, quas exsequi arduum sit ac perdifficile. Cave igitur superatos credas, qui tuis laudibus prædicandis dignum afferre nequeant præconium, sed voluntate suscepta imbecillitati ignosce. Melius enim esse existimant mortales, minus dixisse, quam negligentiæ contemptusque accusationem, quasi ingens nimium sint negotium aggressi, sustinere.

Οὐκ αἰσχρὸν ἡττᾶσθαι τούτων, ὧν ἀμήχανον περιεῖναι· μὴ τοίνυν μηδὲ αὐτὸς ἡττᾶσθαι νομίσῃς τοὺς τοῖς σοῖς ἐπαίνοις τοὺς λόγους ἐξισῶσαι μὴ δυναμένους, ἀλλὰ τὴν προαίρεσιν ἀποδεχόμενος συγγίνωσκε τῇ ἀσθενείᾳ. Ἄμεινον γὰρ ἡγούμενοι τὸ ἐνδεῶς φράσαι τοῦ ὀλιγωρίας γραφὴν ὑποστῆναι, κατατολμῶσιν ἀνεφίκτου πράγματος.

B

XXIV. — ZOZIMO PRESBYTERO.

ΚΔ'. — ΣΩΣΙΜΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Qui bis in eumdem impingit lapidem, non meretur veniam. Confer. epist. 567.

Nuperum tuum delictum illa occasio excusavit, quod fratrem visus esses defendere. Hæc vero legis prævaricatio nullum tamen præfert prætextum : imo et priore venia excidisti. Si enim læsi fratris tui gratia prius de alio sumpsisti vindictam, qua ratione ipsum nunc, quem a te propugnatum asseris, lædere iterum ac per omnia exagitare minime erubescis ? Manifestum hinc evadit et hoc data abs te opera commissum. Qui enim fratri non parcit, ab aliorum injuria quomodo sibi temperaverit.

Τὸ μὲν πρότερόν σου παρανόμημα, πρόφασις εὐπρεπὴς ἐδόκει ποιεῖν συγγνωστὸν ὁ ἀδελφός σου ἐκδεδικῆσθαι νομιζόμενος· τοῦ δὲ νῦν παρανομήματος οὐδὲν τοιοῦτον ἔχεις παραπέτασμα, ἀλλὰ καὶ τῆς προτέρας συγγνώμης ἐξέπεσες· εἰ γὰρ διὰ τὸν ἀδικηθέντα σου ἀδελφὸν πρώην ἠμύνου, πῶς αὐτὸν νυνὶ τὸν ὑπὲρ οὗ τότε, ὡς φῂς, ἠμύνου ἀδικῶν καὶ ἐλαύνων πάντοθεν οὐκ αἰσχύνῃ; Δῆλος τοίνυν γέγονας (45) ἐκ τούτου κἀκεῖνο ἐκ προαιρέσεως ποιήσας· ὁ γὰρ ἀδελφοῦ μὴ φειδόμενος, πῶς ἂν ἀλλοτρίου ἐφείσατο;

C

XXV. — HIERACIONI (F. HIERACI DIACONO *ut infra*).

ΚΕ'. — ΙΕΡΑΚΙΩΝΙ.

Mundus muliebris quis verus.

Neque purpura, neque splendentes gemmæ auro admistæ vere efficiunt mundum muliebrem. Multæ enim ineptæ matronæ hunc vestigantes ornatum, invisæ atque odiosæ conjugibus redditæ. At animi ornatus, qui e virtute nascitur, et convictus desiderium excitat, ac mutuæ est benevolentiæ philtrum.

Οὐχ ὑφάσματος ἁλουργὲς αἶθος, οὐδὲ λίθων ποικίλων αὐγὰς πρὸς χρυσὸν κερασθείσας κόσμον γυναικὸς εἶναι νομιστέον· πολλαὶ γὰρ τῶν ἀπειροκάλων καὶ κόσμον τοιοῦτον θηρωμένων, προσκορεῖς καὶ μισηταὶ τοῖς συνοικοῦσι γεγένηνται. Ἀλλὰ τὸ τῆς ψυχῆς κάλλος τὸ ἐξ ἀρετῶν συγκείμενον, ὅπερ καὶ τόθου ἐστὶ πρὸς τὸν σύμβιον συναγωγὸν, καὶ εὐνοίας τυγχάνει φάρμακον.

D

XXVI. — POLYCHRONIO.

ΚϚ'. — ΠΟΛΥΧΡΟΝΙΩ.

Anima virtutum studiosa facilius Dei opem impetrat.

Ut ad urbium situm opportunum, tempestatum quoque opportunitas quæritur; ita et animorum erga virtutem studio divinum paratur auxilium.

Ὥσπερ ἐπὶ τῶν πόλεων ἡ εὐκαιρία τῆς θέσεως τὴν εὐκαιρίαν τῶν ὡρῶν ἐπισπᾶται, οὕτω κἀπὶ τῶν ψυχῶν ἡ εὔνοια ἡ πρὸς τὴν ἀρετὴν τὴν θείαν συμμαχίαν θηρᾶται.

XXVII. — ARCHONTIO PRESBYTERO.

ΚΖ'. — ΑΡΧΟΝΤΙΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Si athleta laboret, quidni Christi miles ? I Cor. IX, 25.

Si qui acutis mundanæ laudis stimulis agitantur, ingentes ultro suscipiunt labores; nonne qui cœlestis gloriæ telis vulnerati sunt, eos a pueritia laboris contentionem suscipere par est ?

Εἰ οἱ τοῖς ὀξέσι τῆς κοσμικῆς δόξης κέντροις πληττόμενοι πόνους αὐθαιρέτους ἀσπάζονται· οἱ τοῖς ὀξυτάτοις τῆς ὑπερκοσμίου εὐκλείας βέλεσι τετρωμένοι πολλῷ μᾶλλον νεανικῶς ἐπὶ τὸν τῶν πόνων ἀγῶνα ἀποδύεσθαι ἂν εἶεν δίκαιοι.

VARIÆ LECTIONES ET NOTÆ.

(44) Codd. Vat. 650 et Alt. μὴ producunt in μηδέν. Possin.

(45) Γέγονας iidem mutant in γέγονεν. Ib.

Digitized by Google

ΚΒ'. — ΔΙΔΥΜΩ ΠΡΕΣΒΥΤΕΡΩ.

XXVIII. — DIDYMO PRESBYTERO.

Fratrem ejus laudat. Ad quinque capita per epistolam quæsita respondet.

Ἀφροδισίῳ τῷ μακαρίῳ, τῷ σῷ μὲν ἀδελφῷ, πρεσβυτέρῳ δὲ τὴν ἀξίαν, αἰδὼς μὲν ἐν ὀφθαλμοῖς κατῴκει, πειθὼ δὲ ἐν χείλεσι, σοφία δὲ ἐπὶ γλώττης· καὶ αὐτάρκεια μὲν ἐν γαστρὶ, ἐγκράτεια δὲ ἐν τοῖς μετὰ γαστέρα, καὶ συλλήβδην εἰπεῖν, πασῶν σχεδὸν τῶν ἀρετῶν κοινὸν ἦν ταμιεῖον, καὶ ἐνδιαίτημα. Ἐπεὶ τοίνυν περὶ τὰς οὐρανίους αὐλὰς μετεπέμφθη, ἄξια τῶν πόνων δεξάμενος τὰ γέρα, οὐ χρὴ λυπεῖσθαι, ἀλλὰ μᾶλλον χαίρειν ὅτι τῶν ἄθλων λοιπὸν καρποῦται τὰ ἔπαθλα. Ὁ γὰρ τὴν ἐνθάδε τῶν ἁγίων οἰκτείρων τελευτὴν, δίκαιος ἂν εἴη παρὰ πάντων τῶν εὖ φρονούντων οἰκτείρεσθαι. Ὡς καὶ ὁ τοὺς νενικηκότας καὶ στεφθέντας θρηνῶν, οἴκτου ἂν εἴη καὶ δακρύων ἄξιος. Καὶ ταῦτα μὲν εἰς τοσοῦτον. Ἴσθι δὲ οὖν ὅτι μόνος ὁ τῆς ἀρετῆς πλοῦτος ἐπ' ἀσφαλείαις ὀχεῖται, ὅταν ὁ τοῦτον κεκτημένος μὴ τῇ βαστώνῃ προδοίῃ τὸ κτῆμα, μηδὲ ἀρχῆς ἐρασθείῃ· πάσης γὰρ ἐπέκεινα τόλμης, οὐ σὺ μόνον, ἀλλὰ καὶ ἔγωγε, χωρεῖν ὑπολαμβάνω τοὺς μηδὲ πρὸς τοὺς ἀθλητικοὺς ἁψαμένους πόνους, καὶ τοῖς στεφανίταις ἐπαποδυομένους· οἵτινες μηδὲ γνησίοις ἐγγραφέντες μαθηταῖς, εἰς τοὺς ἡγεμόνας ἀνατρέχειν φιλονεικοῦσιν· ὧν οὐχ ὁ τρόπος τὸν τόπον, ἀλλ' ὁ τόπος τὸν τρόπον πιστεύεται· ὠνοῦνται (46) γὰρ τὰς ἀρχὰς, ἵνα ὑβρίσωσι τὰς ἀρετάς· καὶ λέγειν ἐπιχειροῦσιν, ἃ μηδὲ μαθεῖν κατεδέξαντο· καὶ προστάττειν τοιαῦτα τολμῶσιν, ἃ μηδὲ ἀκοῦσαι ἠνέσχοντο. Τίς οὖν ὑπὸ τοιούτοις ἡγεμόσι πράττων μέγα τι καὶ γυναῖον, ἢ πρᾶξαι ἢ συνιδεῖν δυνήσεται; τίς δὲ οὐκ ἐρυθριάσει ἀνδρῶν χθὲς καὶ πρώην ἐν καπηλείοις ἢ δικαστηρίοις κατατριβέντων ἀκροατὴς γινόμενος; τίς δὲ τῶν ἐχθρῶν οὐ γελάσεται, καὶ σκηνὴν καὶ ὑπόκρισιν νομίσεται τὸ πρᾶγμα; Ἀλλ' ἐπειδὴ γέγραφας, τί ποιητέον, φημὶ οὐδὲν ἕτερον, ἀλλ' ἀρετὴν ἀσκητέον καὶ ἡσυχαστέον, καὶ τὴν κρίσιν προσδοκητέον, καὶ τὰς διαβολικὰς μεθόδους διακρουστέον. Δεινὸς γὰρ καὶ ποικίλος ὁ τῆς ἀνθρωπότητος ἐχθρὸς, τὰ μὲν κολακείαις, τὰ δὲ παραλογισμοῖς καταγοητεῦσαι· καὶ μάλιστα ὅτε (47) οὐκ οἶδε τὴν ἐξ εὐθείας μάχην· οὐ γὰρ ἂν ἑάλω ταχέως· ἀλλὰ προσχήματι φιλίας πολλάκις κρύπτει τὸν τῆς πορνείας ἰόν. Ὡς γὰρ εἰς ἰσοθείαν ἀγαγὼν τὸν ἄνθρωπον, τῶν ἀλόγων κατέστησεν ἐλεεινότερον· οὐ μόνον τὰ προσόντα πλεονεκτήματα ἀπαμφιάσας, ἀλλὰ καὶ τὰ μὴ προσόντα ἐλαττώματα προξενήσας, ἱδρῶτάς φημι καὶ πόνους, θάνατόν τε καὶ φθοράν. Ἀλλ' ἐπειδὴ πολλοὶ θηρώμενοι αὐτοῦ τὰς μεθόδους, ἀργὰς ἀποδείξαντες (48) ἐλεπόλεις (49) χρὴ καὶ πάντα, οἷς φρονήσεως μέτεστι καὶ σωτηρίας ἐστὶ

Aphrodisio fratri tuo jam defuncto, **561** dignitate sacerdoti, pudor in oculis habitabat, suada in labris sedebat, sapientia in lingua; ventriculo quantum sat esset, sumebat, continens in iis, quæ sub ventre; utque paucis dicam, omnium fere virtutum promus communis fuit. Cœlesti itaque sedi præmissus, laboribus dignam accepturus mercedem, minime quidem deplorandus est, quin potius ei gratulandum, quod certaminis sit deinceps præmia consecuturus. Quisquis enim excessum hunc sanctorum virorum lugeat, is sane mereatur, ut a bene sentientibus miseratione condignus habeatur, quasi qui pugna victores et corona coronestatos deplorans, lacrymis ipse atque ejulatione sit dignus. Et hæc quidem hactenus. Sciendum itaque solis virtutis opibus locupletem quemvis secure hinc emigrare, quandoquidem opes illas non prodegerit nimia viyendi licentia, neque aliis imperare studuerit. Ad audaciam siquidem non tu modo, sed et ego proclives esse existimo, qui nondum athleticos certaminum labores degustarunt, nec victores inter coronatos numerantur; qui quidem veris nondum ascripti discipulis, cum doctoribus tamen certare contendunt; quorum non modus locum, sed locus modum probet. Mercantur enim magistratus, quo virtutem lædant, eaque docere nituntur, quæ nunquam didicerunt. Audent ea præcipere, quæ audire antea non sustinuerunt. Quis igitur talibus usus præfectis, magnum quid agere aut intelligere queat? Quem non pudeat viros nuper et heri in cauponis atque in forensibus versatos judiciis audire? Quis hostis non rideat, scenam et mimum hoc esse existimans. Verum cum ecquid facto sit opus per epistolam rogaris, nihil præterea dicam, quam virtutem esse exercendam, et acquiescendum, exspectandumque Dei judicium, ac diabolicas interim fraudes repellendas. Gravis enim variusque humani est generis hostis, qua assentationibus, qua captiosis conclusionibus imposturas agendo, præsertim cum directe oppugnare nesciat [sed ex insidiis]. Illo enim modo capi facile posset; sed larva ac specie amicitiæ tegit fornicationis venenum. Ut enim hominem Deo similem brutis reddidit miserabiliorem, nec præsentibus modo lucris et commodis spoliavit, verum etiam quibus carebamus, vitia damnaque conciliando attulit, puta sudores ac labores, mortem et interitum. Sed cum multi ejus capti dolis malos esse ostenderint, decet quibus mens est et salus cordi, machinas ejus omnes

VARIÆ LECTIONES ET NOTÆ.

(46) Cod. Alt. pro ὠνοῦνται legit ὠνοῦντες, et vers. inde 6 καπηλείοις scribit cum ἰωτὰ simplici. Possin.

(47) Ὅτε idem mutat in ὅτι. Vers. ἀγαγὼν idem producit in ἀναγαγών. Id.

(48) Pro eo quod editio exhibet : ἀργὰς ἀποδείξαντες codd. Vat. 630 et Alt. habent ἀργὰς ἀποδείξαντας, mendose; sed ex his, ni fallor, vera lectio sic formari poterit, ἀργὰς ἀπέδειξαν τὰς ἑλεπόλεις. Id.

(49) In illos invehitur, laudato jam Aphrodisio, qui dignitates ambiunt ecclesiasticas. Infra, οὐ γὰρ

Digitized by Google

atque astutias investigare ac rimari. Observandumque quoad ejus fieri potest, maxime cum amoris colore inescare homines studeat. Tunc enim expugnari capique potest difficilius.

Quando vero de dogmatibus significasti; **562** scito audisse me aliquando ex docto viro evangelistæ sensum, propterea quod Filii Dei nomen astu adornantes inverterunt, et Filium Dei non esse creaturam recte docuerunt. Aiunt enim : *His, qui credunt in nomine ejus, dedit eis potestatem filios Dei fieri* [1]. Et alibi : *Quidquid petieritis in nomine meo, accipietis* [2]. Inter cætera vero, quæ multa sunt, Dei nomina, maxime proprium est Filii Dei appellatio : ostendens verum esse ac genuinum, et creaturæ sensum omnem intellectumque excedens. Clarum itaque evadit appellantibus eum *Filium* datam esse gratiam : refugere contra ab his eos, qui creaturam esse audent asserere. De politia quod quærebas, avens omnia simul discere, paucis respondeo ; videlicet, gentilium sapientes gloriam dicendi gravitate et copia adeptos constituere volentes, quid justum, quid decorum, quid legitimum, et denique, quid honestum sit, rationes infinitas afferentes, ac prolixis sermonibus, quasi labyrinthum ducentes, tantum ab eo, quod dicendum erat, aberrasse, ut et legentes confundendo amplius conturbarint. Verbum vero Dei Filius insitum homini intellectum instaurans, et arbitrii cujusque libertatem justo ac decoro, legitimo item et honesto colligans, brevi sermone id omne aperuit usus verbis : « Omnia quæ vultis ut faciant vobis homines, et vos facite illis [3]. » Ne non scripta proferre videretur, sigillo muniens quæ dixerat, omniaque compendio involvens : *Hæc est enim*, inquit, *lex et prophetæ*. Omnium igitur honeste factorum, hæc regula sit, ut quod nobis ab aliis fieri petimus, idem illud nos ipsi præstemus. Scias et illud, quod qui rerum pulchritudine in rebus conditis non ad pietatem usi fuerint, eos etiam in creaturas impegisse (tantum enim abest, ut opificem Deum agnoverint, ut illis etiam cultum divinum tribuerint) hi sapientes se esse rati in ignorantiæ pelago naufragi præcipitarunt. Creaturis enim artificem prædicantibus (neque enim sine architecto domus ædificatur, neque sine fabro navis compingitur, neque sine musico organum constituitur), arti potius quam creaturæ faciunt injuriam ; opificem interim præscribendo submoverunt. His igitur merito etiam politia evanuit. Universi enim

λόγος, τὰ μηχανήματα αὐτοῦ ἀνιχνεύειν καὶ φυλάττεσθαι ὡς ἐνδέχεται· ὅταν μάλιστα φιλίας προσχήματι δελεάζῃ· τότε γὰρ δυσάλωτός ἐστι καὶ δύσμαχος.

Ἐπειδὴ δὲ καὶ περὶ δογμάτων ἐμήνυσας, ἴσθι ὅτι ἤκουσά ποτέ τινος δεινοῦ καταμαθεῖν ἀνδρῶν εὐαγγελιστῶν διάνοιαν, ὅτι τόκου τοῦ γνησίου τοῦνομα ἔστρεφον, κατασκευάζοντες τὸ μὴ κτίσμα εἶναι τὸν Υἱόν. Ἔφασαν γάρ· *Τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ δεδόσθαι ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι*. Καί· Ὃ *ἐὰν αἰτήσητε ἐν τῷ ὀνόματί μου λήψεσθε*· ὄνομα δὲ τοῦ πολυωνύμου κυριώτερον τῶν ἄλλων ἡ τοῦ Υἱοῦ προσηγορία, τὸ γνήσιον ἐμφαίνουσα, καὶ τὴν τοῦ κτίσματος ἔννοιαν ἐξοστρακίζουσα. Δῆλον τοίνυν ὅτι τοῖς μὲν *Υἱὸν* αὐτὸν λέγουσιν ἐδόθη ἡ χάρις, τοῖς δὲ κτίσμα αὐτὸν λέγειν τολμῶσιν ἡ χάρις οὐκ ἐπιφοιτᾷ. Ἐπειδὴ δὲ καὶ περὶ πολιτείας (50) ἐδήλωσας, πάντα ὁμοῦ μαθεῖν γλιχόμενος, ἀντεπιστέλλω συντόμως· ὅτι οἱ μὲν παρ' Ἕλλησι σοφοὶ, οἱ δόξαν ἐπὶ σεμνότητι καὶ δυνάμει λόγων παρὰ πᾶσιν ἐσχηκότες, βουλόμενοι παραστῆσαι τί τὸ δίκαιον, καὶ τί τὸ πρέπον, καὶ τί τὸ νόμιμον καὶ τί τὸ καλὸν, μυρίους λόγους ἀναλώσαντες, καὶ διαλόγους μακροὺς λαβυρίνθων οὐδὲν διαφέροντας συνιέντες, τοσοῦτον ἀπέσχον τοῦ εἰπεῖν τι τῶν δεόντων, ὅτι καὶ πλέον τοὺς ἀναγινώσκοντας συγχέουσιν. Ὁ δὲ θειότατος Λόγος δεῦρ' ἐπιφοιτήσας, καὶ τὸν ἔμφυτον ἀνακινήσας τῶν ἀνθρώπων λογισμὸν, καὶ τὴν ἑκάστου βούλησιν ὅρον τοῦ δικαίου, καὶ τοῦ πρέποντος, τοῦ τε νομίμου καὶ τοῦ καλοῦ πηξάμενος, διὰ βραχείας ῥήσεως τοῦτο διεσάφησεν εἰπών· « Πάντα ὅσα θέλετε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς. » Εἶτα ἵνα μὴ δόξῃ ἄγραφον νόμον κατ' ἐγγράφου τιθέναι, ἐπισφραγιζόμενος τὰ εἰρημένα καὶ δεικνὺς, ὅτι πάντα συντόμως περιείληφεν, ἔφη· *Οὗτος γὰρ ἐστιν ὁ νόμος καὶ οἱ προφῆται*. Ἐν αὐτοῖς τοιγαροῦν ἔχοντες πάντων τῶν καλῶν τὸν κανόνα, ὃ βουλόμεθα παρὰ τῶν ἄλλων ὑμῖν ὑπαρχθῆναι, τοῦτο παρ' ἡμῶν εἰς ἐκείνους γενέσθω. Ἴσθι δὲ καὶ τοῦτο, ὅτι οἱ τῷ μεγέθει καὶ τῷ κάλλει τῶν κτισμάτων οὐκ εἰς εὐσεβείας ὑπόθεσιν ἀποχρησάμενοι, ἀλλὰ καὶ προσπταίσαντες αὐτοῖς (οὐ γὰρ μόνον τὸν Δημιουργὸν οὐκ ἔγνωσαν, ἀλλὰ καὶ αὐτοῖς τὸ σέβας ἀνέθεσαν (οὗτοι σοφοὶ οἰηθέντες εἶναι, εἰς τὸ τῆς ἀμαθίας ἐναυάγησαν πέλαγος· τῶν γὰρ κτισμάτων ἀνακηρυττόντων τὸν τεχνίτην (οὐδὲ γὰρ ἄνευ ἀρχιτέκτονος οἰκία οἰκοδομεῖται, οὔτε ἄνευ ναυπηγοῦ ναῦς, οὐδὲ ἄνευ ἁρμονικοῦ μουσικὸν

[1] Joan. I, 12. [2] Joan. XIV, 14. [3] Tob. IV, 16 ; Matth. VII, 12 ; Luc. VI, 31.

VARIÆ LECTIONES ET NOTÆ.

ἂν ἐάλω ταχέως ἀλλὰ προσχήματι φιλίας, lego οὕτω γάρ, ut in epist. 144 inf., ubi eadem legas. Statim, ἀποδείξαντας ἐλεπόλεις χρή. Hesychio ἐλεπόλεις μηχαναί, μηχανήματα δι' ὧν αἱ πόλεις καθαιροῦνται. De his Vitruvius lib. X et Ammianus Marcellin. lib. XXIV. Mox de gentium philosophis, μυρίους λόγους ἀναλώσαντες, καὶ διὰ λόγους μακροὺς λαβυρίνθων οὐδὲν διαφέροντας συνιέντες· puto leg. διαλόγους, juncta voce, et συνθέντες, vel potius συνείροντες. Platonem enim perstringit dialogis omnia pertractantem : cujus dialogi *De Repub.* περὶ δικαίου inscribuntur, et notata Socratis εἰρωνεία in disserendo apud Ciceronem, et alios. Scuott.

(50) Inter πολιτείας et ἐδήλωσας codd. Vat. 650 et Alt. inserunt τῆσδε. Vers. inde 6, συνθέντες iidem ponunt pro συνιέντες. Possin.

Digitized by Google

συσταίη ὄργανον), ἐκεῖνοι τῇ τέχνῃ μᾶλλον ἢ τοῖς τεχνηθεῖσι προσπταίσαντες, τὸν δημιουργὸν παρεγράψαντο. Τοῖς οὖν τοιούτοις εἰκότως, καὶ τὸ τῆς πολιτείας διέφθαρται. Τὸν γὰρ Ἡγεμόνα τοῦ παντὸς ἐκ τῆς ἑαυτῶν ἐκβάλλοντες ψυχῆς, πᾶν εἶδος ἀδικίας τε καὶ πονηρίας ἀδεῶς ὁρᾷν οὐ παραιτοῦνται. Ἐπειδὴ δὲ καὶ περὶ τῶν ἐλλογίμων ζητεῖς (51), ἴσθι ὅτι ὁ θειότατος Λόγος τὸν ἐλλόγιμον οὐκ ἀποσείεται, εἰ λόγῳ τὸν οἰκεῖον ῥυθμίζοι βίον· εἰ δὲ ἐν λόγοις φιλοσοφῶν, ἔργοις ἀφιλόσοφος ὀφθείη, εὐλόγως οὐδὲ ὁ λόγος τὸν τοιοῦτον προσίεται (52).

A ducem atque architectum e suo ejicientes animo in omne genus injustitiæ et improbitatis audacter prolapsi peccare non dubitant. Quod denique de sapientibus interrogas, noveris Dei Filium Verbum non rejicere omnem præcellentem, si ex ratione vitam componat : at si verbis duntaxat philosophatur, re autem ipsa moribus aberret, nulla ejus eloquentiæ merito est ratio habenda.

ΚΘ. — ΖΩΣΙΜΩ, ΜΑΡΩΝΙ, ΕΥΣΤΑΘΙΩ

563 XXIX. — ZOSIMO, MARONI ET EUSTATHIO.

A luxu dehortatur.

Ἡ πολλὴ καὶ ἀκατάπαυστος τρυφὴ καὶ ἐπὶ τὸν (53) παρὰ φύσιν παιδοτριβεῖ ἔρωτα, καὶ πᾶσαν τοῦ μὲν σώματος τὴν ὑγείαν· τῆς δὲ ψυχῆς λυμαίνεται τὴν εὐγένειαν. Παύσασθε τοιγαροῦν ταύτης· καὶ μὴ νηστείαις, ἀλλά γε τῇ αὐταρκείᾳ τῇ ὄντως σώφρονι τρυφῇ, χρῆσθαι ἑαυτοὺς παιδεύσατε· καὶ οἰχήσεται ἡ νῦν καθ' ὑμῶν παρὰ πάντων ᾠδομένη κωμῳδία. Εἰ δὲ ἑαυτοὺς εἰς τὴν ἄβυσσον τῆς λαγνείας ἐμβάλλετε, μὴ τοῖς κωμῳδοῦσι χαλεπαίνετε, ἀλλὰ τῆς οἰκείας τρυφῆς καταψηφίζεσθε, τῆς, ὥς φασιν, οὐκ οἴκοθεν παρασκευαζομένης (περίψηφοι γάρ ἐστε), ἀλλ' ἐκ τοῦ ἀλλοτρίαις ἐπιῤῥίπτειν τραπέζαις. Ἐὰν γὰρ διασκεδάσητε τὴν ἀχλὺν, τότε ὄψεσθε τῆς σωφροσύνης τὸ κάλλος, ὃ νῦν ἐστιν ὑμῖν ἀθέατον.

B Ingens ac continuus luxus cum ad amorem præter naturam instruit, tum corporis omnem sanitatem juxta atque animi lædit nobilitatem. Ab hoc itaque abstinete ; et non jejuniis, sed sufficienti cibo moderatisque deliciis jam nunc uti assuescite. Sic fiet, ut mala omnis de vobis evulgata cesset fama. Sin vero in omne libidinis genus velut in profundum abyssum præcipitatis, male de vobis loquentibus nolite indignari ; quin domesticum potius luxum condemnate, non tam, ut ferunt, vestro sumptu apparatuque instructum (parce enim sumptus facitis), quam aliorum vos ingerentes mensis. Quare si hanc caliginis nubem dissipabitis, cernere tunc licebit temperantiæ, quam nunc ignoratis, venustatem.

Λ'. — ΕΡΜΟΓΕΝΕΙ, ΘΕΟΔΟΣΙΩ ΚΑΙ ΑΙΛΙΑΝΩ. ΕΠΙΣΚΟΠΟΙΣ.

C XXX. — HERMOGENI, THEODOSIO, ET ÆLIANO, EPISCOPIS.

A virtute tres commendat episcopos.

Εἰ μὴ ἡ ὑπερφυὴς ὑμῶν ἀρετὴ ἐλέγχουσά μου τὸν λόγον, καὶ ἐπὶ τῶν νῦν, (πλείω γὰρ ἴσασι) καὶ ἐπὶ τῶν ἐσομένων, (μείζω γὰρ ἢ πιστεύσουσιν) εἰπεῖν ὃν κατῆλθον εἰς τὸν ἀγῶνα τῶν ὑμετέρων ἐγκωμίων.

Nisi excellens vestra virtus meam coarguens orationem, cum apud eos, qui modo sunt (plura enim ipsi sciunt), tum apud posteros (horum enim opinione plura sunt), me loqui vetaret, in laudum vestrarum campum excurrerem.

ΛΑ'. — ΠΑΛΛΑΔΙΩ ΔΙΑΚΟΝΩ.

XXXI. — PALLADIO DIACONO.

S. Scripturæ incumbenti, non scientiæ causâ, responsum denegat, ne, quod vetat Christus, sanctum det canibus. Confer. epistol. 132.

Πολλοί μέν φασιν, ὅτι οὐκ ὀρθῶς βιῶν, ἀλλὰ περιστέλλειν βουλόμενος τὰ ἑαυτοῦ πταίσματα, τὴν τοῦ φιλομαθὴς εἶναι δόξαν θηρώμενος, ἀκολουθεῖς τοῖς σοφοῖς· ἐγὼ δὲ τοῦτο μὲν οὐ φήσαιμι, ἀλλὰ τῇ D πείρᾳ μαθών, ὅτι οὐ διὰ τὸ εἰδέναι τὰ τῆς Γραφῆς ἄδυτα ἐρευνᾷν προσποιῇ, ἀλλὰ δόξαν παρὰ ἀνθρώπων μνώμενος· οὐκ ἀποκρινοῦμαί σοι, θείῳ πειθόμενος χρησμῷ παρακελευομένῳ μὴ διδόναι τὰ ἅγια τοῖς κυσὶ, μηδὲ ῥίπτειν τοὺς μαργαρίτας ἔμπροσθεν τῶν χοίρων.

Referunt complures te, cum recte vitam non instituas, sed tua obtegere vitia labores, gloriam, quasi discendi cupidus sis, sequendo sectari. Equidem non ita censeo ; sed experimento edoctus sum, quod non ut cognoscas sanctam Scripturam, adyta ejus perscrutari præ te feras, sed ut laudem hominum ambiens : non tibi assentior Dei oraculo persuasus, qui jubet sancta non esse canibus objicienda, ut nec porcis margaritas [a].

[a] Matth. VII, 6 ; XV, 26.

VARIÆ LECTIONES ET NOTÆ.

(51) Quod post ἐλλογίμων in edito legitur, ζητεῖς abest a codd. Vat. 650 et Alt. Possin.

(52) Pro his, οὐδὲ ὁ λόγος τὸν τοιοῦτον προσίεται, hæc habent codd. Vatic. 650 et Alt., οὐδὲ λόγον τοῦ τοιούτου προσ. Ib.

(53) Pro ἐπὶ τὸν legunt ἐπὶ τοὺς codd. Vat. 650 et Alt. et vers. seq. pro ἔρωτα ponunt ἔρωτας. Ib.

Digitized by Google

XXXII. — ISIDORO DIACONO.

ΑΒ'. — ΙΣΙΔΩΡΩ ΔΙΑΚΟΝΩ.

Laudat Joannis Chrysostomi in Pauli Epistolam ad Romanos commentarium.

In commentario Epistolæ potissimum ad Romanos (o Isidore mihi cognominis), sapientissimi Joannis sapientia thesaurus quidam est. Sic enim existimo (ne quis ad gratiam hic me loqui putet) si divinus Paulus Attico uti sermone voluisset, quo sui exsisteret interpres, non aliter interpretaturum fuisse, quam supra dictus Chrysostomus vir venerandus præstitit; adeo enthymematis, sententiis atque orationis elegantia, verborumque hic est usus proprietate.

Ἐν τῇ ἑρμηνείᾳ τῆς πρὸς Ῥωμαίους Ἐπιστολῆς μάλιστα, ὦ ὁμώνυμε, ἡ Ἰωάννου τοῦ πανσόφου σοφία τεθησαύρισται. Οἶμαι γάρ, καὶ μή τίς με πρὸς χάριν λέγειν νομιζέτω, ὅτι εἰ Παῦλος ὁ θεσπέσιος Ἀττικὴν εἵληφε γλῶτταν, ὥστε ἑαυτὸν ἑρμηνεῦσαι, οὐκ ἂν ἄλλως ἡρμήνευσεν, ἢ ὡς ὁ προειρημένος ἀοίδιμος ἀνήρ· οὕτω καὶ ἐνθυμήμασι, (54) καὶ κάλλει, καὶ κυριολεξίᾳ κεκόσμηται ἡ ἑρμηνεία.

564 XXXIII. — EIDEM ISIDORO.

ΑΓ'. — ΤΩ ΑΥΤΩ.

Laus sancti ac diserti doctoris (Forte ejusdem Chrysostomi).

Incidi forte in sanctum virum, cujus docentis oculus præferret majestatem ac sapientiam. Aculeos enim plurimos dicendo infigebat. Supercilium vero oculorum eorum, quæ docerentur, mentem exhibebat. Is quantus quantus est, ut ita dicam, utilia spirabat, cum posset cum cernentibus sapientiæ instillare amorem.

Ἐνέτυχόν ποτε ἀνδρὶ ἁγίῳ, οὗ τὸ μὲν ὄμμα διδάσκοντος φοβερὸν ἐτύγχανε καὶ σοφόν. Πολλὰ γὰρ αὐτῷ ἦν πρὸς τὸν λόγον τὰ κέντρα· ἡ δὲ ὀφρὺς ὑπερβεβλημένη τοῖς ὀφθαλμοῖς διεσήμαινε τὸν νοῦν τῶν διδαγμάτων. Καὶ ὅλος, ὡς ἔπος εἰπεῖν, ὠφελείας ἔπνεε, δεινὸν τοῖς ὁρῶσιν ἐνιεὶς τῆς θείας σοφίας τὸν ἔρωτα.

XXXIV. — ZOSIMO, MARONI, PALLADIO ET EUSTATHIO.

ΛΔ'. — ΖΩΣΙΜΩ, ΜΑΡΩΝΙ, ΠΑΛΛΑΔΙΩ, ΕΥΣΤΑΘΙΩ.

A mali societate improbos deterret.

Cum audissem vos feras immanitate superare, atque omni bello pacem molestiorem fœdere ipso inter vos percusso pactos, mitem ac placidum hominem, qui sibi aliisque prodesse consueverit, contumeliose accipere ausos vos esse, talia ei dicentes, quæ in vos potius jactata quadrarent; equidem cum lacrymis deploro. Quare malos atque improbos vos esse ignorantes, discere tandem ut velitis obsecro.

Πυθόμενος ὅτι θῆρας ὠμοβόρους ὑπερβαλλόμενοι, καὶ πολέμου παντὸς ἀργαλεωτέραν εἰρήνην σπεισάμενοι πρὸς ἑαυτοὺς, πρᾷον καὶ μειλίχιον ἄνθρωπον, καὶ ἑαυτὸν καὶ ἄλλους ὠφελεῖν εἰωθότα, λοιδορῆσαι οὐκ ἐφοβήθητε ἐκεῖνα αὐτῷ εἰπόντες, ὅσα ὑμῖν ἔπρεπεν ἀκοῦσαι· λίαν τε ὑμᾶς κατεθρήνησα, ὅτι οὐδ' εἰ (55) τῶν κακῶν ἐστε γινώσκετε· μαθόντες τοίνυν ἀνενέγκατε.

XXXV. — DIONYSIO.

ΑΕ'. — ΔΙΟΝΥΣΙΩ.

Suadet oratori ut virtutem, quam verbis, reipsa etiam exornet.

Audio optime nosse te vanam aucupari gloriam, et opinionem non satis te dignam collegisse. Quare si venerandus tibi virtutis habitus videtur, quin huic das operam; sed tu fructu neglecto foliis te exornas. Siquidem etiam in laboribus *radix quidem amara*, ut ille ait, *fructus vero dulcis* inde atque amabilis exsistit.

Πυνθάνομαι ὅτι δεινότατος (56) εἶ σχηματίσασθαι δόξαν καινὴν, καὶ ὑπόληψιν οὐδέν σοι προσήκουσαν συλλέξασθαι. Εἰ τοίνυν τὸ σχῆμά σοι τῆς ἀρετῆς αἰδέσιμον φαίνεται, διατὶ μὴ τὴν ἀρετὴν αὐτὴν ἀσκεῖς; Ἀλλὰ τοῦ καρποῦ ἀμελῶν, τοῖς φύλλοις σεμνύγῃ; Εἰ γὰρ καὶ διὰ τοὺς πόνους ἡ *ῥίζα τισὶ πικρὰ* εἶναι δοκεῖ, *ἀλλ' ὁ καρπὸς γλυκὺς* καὶ ἐράσμιος.

XXXVI. — NEMESIO.

ΑϚ'. — ΝΕΜΕΣΙΩ.

Ad paupertatis hortatur studium. Divitiæ ut Babylonis statua non adorandæ.

Præ omnibus abundare, magisque regios esse eos censeo, qui divitiarum cupiditatem calcarunt, quibus annumerari omni ope adnitamur: tametsi plerique tyrannidem ejus velut statuam Babyloniorum adamaverint. Nos vero trium puerorum[a] robur imitati, etsi turbarum voces ac fistularum, totiusque mu-

Πάντων εὐπορωτέρους ὁρίζομεν εἶναι καὶ βασιλικωτέρους τοὺς τὸν ἔρωτα τοῦ πλούτου καταπατήσαντας, ὧν παντὶ σθένει ἐναρίθμιοι σπουδάσωμεν γενέσθαι· εἰ γὰρ καὶ πολλοὶ τὴν τούτου τυραννίδα, καθάπερ τὴν εἰκόνα τοῦ Βαβυλωνίου προσεκύνησαν· ἀλλ' ἡμεῖς μιμησάμενοι τῶν τριῶν παίδων τὴν

[a] Dan. III, 1 seqq.

VARIÆ LECTIONES ET NOTÆ.

(54) Inter ἐνθυμήμασι et καὶ cod. Alt. inserit νοήμασι. Possin.

(55) Οἱ scribunt pro εἰ ambo codd. Vatic. 650 et Altaemsis. Ib.

Digitized by Google

ἀνδρίαν, κἂν φωναὶ (57) σαλπίγγων καὶ συρίγγων, καὶ πάσης μουσικῆς πρὸς τὸν αἰθέρα φερομένης περιηχῶσιν ἡμῶν τὰς ἀκοὰς (58), καὶ κάμινος πενίας ἀνακαίοιτο, μὴ προσέχωμεν τοῖς τυμπάνοις, μηδὲ τοῖς αὐλοῖς, μηδὲ τῇ λοιπῇ τοῦ πλούτου φαντασίᾳ. Ἀλλὰ κἂν εἰς κάμινον ἐμπεσεῖν δέῃ, πτωχείαν ἐλώμεθα, ὥστε μὴ προσκυνῆσαι ἐκείνῳ, καὶ ἔσται ἡμῖν ἡ φιλοσοφία, ἐνταῦθα μὲν ὥσπερ δρόσος ἐν μέσῳ διασυρίζουσα, καὶ ἐλευθερίαν ἅπασαν ὠδίνουσα, ἐκεῖ δὲ τοὺς στεφάνους τῆς ὑπομονῆς ἀποτίκτουσα.

sicæ artis per aera delatæ auribus circumsonent, et fornax inopiæ accendatur, ne tympanis attendamus, neque tybiis, ac ne reliquis quidem opum phantasmatis. Sed etsi in caminum projiciendi sumus, mendicitatem æquo feramus animo, ut ne opes quidem adoremus. Sic erit hæc nobis philosophia exinde velut ros in medio sibilum edens [a], omnemque gignens libertatem, ibique coronas afferens patientiæ.

ΛΖ'. — ΛΕΟΝΤΙΩ ΕΠΙΣΚΟΠΩ.

565 XXXVII. — LEONTIO EPISCOPO.

De bonis presbyteris contra malos disseritur, quique eorum se excusent exemplo. Confer. epist. 21.

Εἰ μὲν τῶν ἀρχομένων τινὰς ἐχειροῦτο ἡ κακία, οὐδὲν (χρὴ γὰρ τἀληθῆ λέγειν) ἂν ἦν τοσοῦτο δεινόν, καίπερ ὂν δεινόν. Ἐπειδὴ δὲ ἔρπουσα πρὸς τὰ χείρω, καὶ τινας τῶν ἱερᾶσθαι λαχόντων ἐπιβόσκεται· καὶ ὡς γέγραφας (τὸ τῶν κακῶν κεφάλαιον, καὶ πάσης συμφορᾶς βαρύτερον) ἀπολογίαν, οὐκ οἶδ' ὅπως, τοῦτο τοῖς ὑπηκόοις τίκτει. Ἀκουέτωσαν οἱ ταῦτα λέγοντες, μὴ τοῖς κακῶς ἱερωμένοις παραμετρεῖν τὸν οἰκεῖον βίον, ἀλλὰ ταῖς ἐντολαῖς. Ὁ γὰρ κριτὴς ἀδέκαστος ὤν, ἀπολογίαν ἄλογον οὐ δέξαιτο, ἀλλ' ἐρεῖ μάλιστα μὲν ὅτι (59) πολλοὶ τῶν ἱερωμένων ηὐδοκίμησαν, οἷς ἐχρῆν προσέχοντας ὑμᾶς τὸν νοῦν διορθῶσαι τὸν οἰκεῖον βίον. Ἐπειδὴ δὲ ἐφωράθητε τῆς κακίας ὄντες ἐρασταί, ἐξ ὧν οὐ τοῖς ἀριστεύσασιν ἀτενῶς προσεσχήκατε, ἀλλὰ τοῖς πταίσασι, κἀκεῖνοι μὲν δώσουσι δίκην ἀξίαν ὧν ἔδρασαν, καὶ ὑμεῖς ἐπειδὴ ἀρετὴν ἡτοιμάσατε (60), καὶ κακίαν ἠσπάσασθε, καὶ οὔτε βασιλείας πόθος, οὔτε γεέννης φόβος ἐποίησε φύλακας τῶν ἐμῶν γενέσθαι νόμων, τὴν ἐσχάτην δώσετε τιμωρίαν.

Si quidem subditorum quibusdam improbitas dominetur, nihil (verum est enim proferendum) eo magis est grave, tametsi sit grave. Cum vero ad deteriora urgens etiam sacerdotii sortem adeptos depascitur, et, ut scribis (quod rei caput omnique damno gravius), defensionem excusationemque nescio quomodo hoc auditoribus parit. Audiant, qui talia dicunt, ne conformari vitæ malorum sacerdotum suam vitam velint, sed potius præceptis. Incorruptus enim judex excusationem injustam non recipiet, sed dicet : Quam multi sacerdotes bonæ fuerunt existimationis, queis decebat mentem adhibere, ac vitam moresque vestros in melius commutare. Vos autem malitiæ nimis amantes deprehensi, cur non melioribus serio intendistis? sed vitiosi ipsi estis. Hujusque pœnas dabunt culpis condignas ; vosque quia, virtute rejecta, improbitatem cupide estis amplexi, neque regni cœlestis desiderium, neque gehennæ terror meas fecit observare leges, idcirco æternam luetis pœnam.

ΑΗ'. — ΑΒΡΑΑΜ ΕΠΙΣΚΟΠΩ.

XXXVIII. — ABRAHAMO EPISCOPO.

Sacrarum Litterarum studium virtutis gignit amorem.

Λίαν θαύμαζω τὴν τῶν πολλῶν ῥᾳθυμίαν, ὅτι οἱ μὲν γενναῖοι καὶ θαυμαστοὶ ἄνδρες τοὺς πόνους τοὺς ὑπὲρ τῆς ἀρετῆς προθύμως ὑπομένουσιν, οὗτοι δὲ οὐδὲ τοὺς λόγους ἐξ ὧν οἱ τῆς ἀρετῆς εἰώθασι φύεσθαι πόνοι, ἀκούειν ἀνέχονται. Τίς οὖν αὐτοῖς πιστεύει, ὅτι τοὺς ὑπὲρ τῆς ἀρετῆς ἱδρῶτας γνησίως ἐπαναιροῦσιν (61), ὅταν τοὺς ὑπὲρ αὐτῆς λόγους ἴδωσιν αὐτοὺς δυσκόλως προσιεμένους. Παραίνει τοίνυν ἐκείνοις περὶ ὧν καὶ γέγραφας, ἔχεσθαι τῆς τῶν Γραφῶν ἀναγνώσεως. Ἐντεῦθεν γὰρ καὶ ἡ γνῶσις τίκτεται.

Valde equidem miror supinam quorumdam negligentiam, cum alii homines generosi atque admirandi labores virtutis nomine libenter suscipiant, illi vero ne verba quidem, quibus ad laborem virtutis excitari homines solent, sustinent audire. Hos quis credat pro virtute sudores revera capessere velle, quando ne sermones quidem videas æquo ab iis animo suscipi. Hortare itaque tales, de quibus ad me perscripseras, sacram legant Scripturam, quam lectionem comitatur cognitio atque scientia.

ΛΘ'. — ΙΣΙΔΩΡΩ ΔΙΑΚΟΝΩ.

XXXIX. — ISIDORO DIACONO.

Multiplices tentationum fructus. Confer. inf. 226 ep.

Πολλοὶ δόξαντες ἀνδρεῖοι εἶναι καὶ γενναῖοι οὐδὲ τὴν προσβολὴν καὶ τὸν ἀκροβολισμὸν τῶν πειρασμῶν

Opinantes plerique fortes se ac generosos ne impressionum quidem et tentationum velitationem

[a] ibid. 50.

VARIÆ LECTIONES ET NOTÆ.

(57) Pro φωναὶ scribit φωναῖς cod. alt. Possin.

(58) Inter ἀκοὰς et κάμινος idem omittit καὶ vers. post 4, πτωχείαν idem mutat in πτωχείας. Id.

(59) Inter μὲν et πολλοὶ cod. Alt. tollit ὅτι. Idem vers. inde 3, οὐ τοῖς mutat in αὐτοῖς in contextu, annotans tamen οὐ τοῖς in marg. Id.

(60) Pro ἡτοιμάσατε scribit idem ἠτιμάσατε, et vers. ἐποίησε mutat in ἔπεισε, in utraque emendatione sine dubio probandus. Id.

(61) Pro ἐπαναιροῦσιν cod. Vat. 650 et Alt. legunt ἐπαναιροῦντες.

Digitized by Google

sustinuerunt. Redarguti ergo sola opinione non facto fortitudinis existimationem a spectantibus, quod laudem carpere conati sunt, supercilium contraxerant. Ideo vero permittuntur, ut arbitror, tentari nonnulli, ut et magni atque inexpugnabiles in suis oculis exsistentes ab amore sui curati, ad modestiam impellantur. Non exiguum itaque hoc animæ commodum, fastum exstingui, ac spiritum eorum, quorum experimentum nullum, ne dicam certamen quidem sustinere queant. **566** Qui enim post multa victus tropæa, venia forte dignus : at qui in velitationibus occumbat, summæ imbecillitatis vel negligentiæ potius præ se fert argumentum.

A ἠνεγκαν· ἐλεγχθέντες οὖν ἐν μόνῃ τῇ δόξῃ, ἀλλ' οὐκ ἐν τῇ πράξει, τὴν τῆς ἀνδρείας οἴησιν παρὰ τοῖς θεαταῖς κεκαρπῶσθαι, κατέσπασαν τὴν ὀφρύν. Δι' ἃ καὶ συγχωροῦνται, ὡς οἶμαι, πειρασθῆναί τινες, τὸν (62) τοῦ μεγάλοι δοκεῖν εἶναι καὶ δύσμαχοι ἔννοιαν ἰαθησόμενοι, καὶ πρὸς μετριοφροσύνην συνελαθησόμενοι οὐ μικρὰ αὕτη ψυχῆς ὠφέλεια, τὸ σβεσθῆναι τὸ φρόνημα τῶν μηδὲ τὴν πεῖραν, οὗ φημι τὸν ἀγῶνα, ἐνεγκεῖν δυνηθέντων. Ὁ μὲν γὰρ μετὰ πολλὰ τρόπαια ἡττηθείς, ἴσως συγγνωστός· ὁ δὲ ἐν αὐτοῖς τοῖς ἀκροβωλισμοῖς πεσὼν ἐσχάτης ἀσθενείας, μᾶλλον δὲ ῥᾳθυμίας ἐκφέρει δεῖγμα.

XL. — TAURO PRÆFECTO.

Μ'. — ΤΑΥΡΩ ΥΠΑΡΧΩ.

Hortatur ut reipublicæ onus cum pluribus bonis communicet.

Noveris recte, o sagacissime virorum, quod si amicos optimos, veritati, inquam, innutritos, et pecuniarum contemptores ad magistratus promoveris (nam periculosum est plerumque tantam negotiorum molem uni imponere) eorum, qui illos capessunt, virtute aristocratiæ gubernandi feceris formam.

B Εὖ ἴσθι, ὦ ἀγχινοίας τέμενος, ὅτι εἰ τοὺς ἀρίστους τῶν φίλων, τοὺς ἀληθείας, φημὶ, συντρόφους, καὶ χρημάτων κρείττονας κοινωνοὺς ποιήσειας τῆς ἀρχῆς (ἐπισφαλὲς γὰρ ὡς τὰ πολλὰ τὸ ἐφ' ἑνὶ τοσοῦτον ὄγκον ὁρμεῖν πραγμάτων), ταῖς τῶν ἀντιλαμβανομένων ἀρεταῖς ἀριστοκρατείαν ἀποτελέσειας τὴν ἀρχήν.

XLI. — LAMPETIO DIACONO.

ΜΑ'. — ΛΑΜΠΕΤΙΩ ΔΙΑΚΟΝΩ.

Regnum cœlorum inculcatum. Sup. ep. 4.

Res sacræ atque divinæ homini animali stulta videri possint : quandoquidem nisi vel nolenti prius persuadeas regnum esse cœlorum, ejus ingenerare nequeas amorem.

Μωρία δοκεῖ τῷ ψυχικῷ ἀνθρώπῳ τὰ θεῖα· ἐπειδὴ τῷ οὐ θελόντι πεισθῆναι πρότερον, ὅτι ἡ βασιλεία τῶν οὐρανῶν ὑφέστηκεν, ἔρωτα αὐτῆς τεχθῆναι ἀδύνατον.

C

XLII. — ALIPIO REMP. ADMINISTRANTI.

ΜΒ'. — ΑΛΥΠΙΩ ΠΟΛΙΤΕΥΟΜΕΝΩ.

Pœnæ lente sunt exigendæ. Inf. ep. 207.

Grave est non tarde pœnas dare eum, qui te, ut scribis, affecit injuria, sed potius eum, qui cito pœnas persolvit, videri, postea injuriam nullam intulisse, ut accidit sæpenumero. Quamobrem ab eo pœnas exigere noli festinanter, sed expende diligenter an revera læserit : quod enim mature et accurate rem excutias, nihil inde tibi damni accedat, sed si virum innocentem pœnas dare præpropere coges, ingens accidere detrimentum poterit.

Δεινὸν οὐ τὸ βράδιον (63) δοῦναι δίκην τὸν ὡς σέ γε ἠδικηκότα, ἀλλὰ τὸ τάχιον δόντα, φανῆναι ὕστερον μὴ ἀδικήσαντα, ὅπερ πολλάκις συνέβη· μὴ σπεῦδε τοιγαροῦν ἐπὶ τὸ δίκην ἀπαιτῆσαι, ἀλλ' ἐπὶ τὸ δοκιμάσαι εἰ ἀληθῶς ἠδίκηκεν, ἀπὸ μὲν γὰρ τοῦ μέλλησμοῦ οὐδὲν βλαβήσῃ, ἀπὸ δὲ τοῦ τάχους, εἰ μὴ ἀδικήσαντα ἀπαιτήσεις δίκην, κομιδῆ ἀδικηθήσῃ.

XLIII. — DOROTHEO VIRO CLARO.

ΜΓ'. — ΔΩΡΟΘΕΩ ΛΑΜΠΡΩ.

Ingens supplicium et tolerantia ægre durat in hac vita, sed in futura.

Hic quidem, vir optime, simul convenire non possunt ingens supplicium ac cruciatus, et sustinentia seu perseverantia. Alterum enim alteri repugnat, quod corpus interitui natura sit obnoxium, horum non ferens concursum. Ibi vero in altera vita perpetuitate introducta pulsaque corruptione, pugnæ inde exsistere potest dissolutio : ut tormentorum exsuperantiam neque robur corporis expellere, neque corpus in nihilum redigi possit.

D Ἐνταῦθα μέν, ὦ βέλτιστε, οὐχ οἷόν τε ἀμφότερα συνδραμεῖν, σφοδρότητα λέγω τιμωριῶν καὶ παραμονήν. Θάτερον γὰρ θατέρῳ πολεμεῖ, διὰ τὸ φθαρτὴν οὖσαν τοῦ σώματος τὴν φύσιν μὴ φέρειν αὐτῶν τὴν σύνοδον· ἐκεῖ δὲ τῆς ἀφθαρσίας εἰσβιασαμένης, καὶ τὴν φθορὰν ἐξοστρακισάσης, καὶ ἡ τῆς μάχης ταύτης διάλυσις γένοιτ' ἂν ὡς τὴν ὑπερβολὴν τῶν βασανιστηρίων, μήτε τὴν ἰσχὺν ἐξελάσαι τοῦ σώματος, μήτε τὸ σῶμα εἰς τὸ μὴ ὂν παραπέμψαι.

VARIÆ LECTIONES ET NOTÆ.

(62) Τὸν mutat in τὴν cod. Alt. et vers. inter μικρὰ et αὕτη inserit γάρ. Possin.

(63) Inter βράδιον et δοῦναι codd. Vat. 650 et Alt. inserunt τό. Id.

Digitized by Google

ΜΔ'. — ΣΕΡΗΝΩ ΔΙΑΚΟΝΩ.

XLIV. — SERENO DIACONO.

Virtus laudatur et alget. (*Confer ep.* 413.)

Ὥσπερ πολλοὶ τῶν ἀνθρώπων μέγιστον ἀγαθὸν νομίζοντες εἶναι τὴν ὑγίειαν τοῦ σώματος, οὐ πάνυ αὐτῆς φροντίζουσι. Τὰ γὰρ ἡδέα τῶν ὠφελίμων προτιμῶντες, διαμαρτάνουσι ταύτης· οὕτω καὶ τὴν ἀρετὴν ἐπαινοῦντες, τὴν ὁδὸν τὴν ἐπὶ ταύτην φέρουσαν ἀποδιδράσκουσιν.

Ut maximum existimant bonum esse sanitatem corporis plerique mortalium, sic eam non admodum curæ habent. Delectabilia enim utilibus præferentes lædunt valetudinem. Sic et virtutem quidam laudantes, a via tamen, quæ ad eam ducat, aberrant.

ΜΕ'. — ΑΝΑΤΟΛΙΩ ΔΙΑΚΟΝΩ.

567 XLV. — ANATOLIO DIACONO.

De bono vini modice sumpti. (*Conf. ep.* 413.)

Ὁ οἶνος, εἰ καιρίως καὶ μετρίως ποθείη, ἅτε τιμηθεὶς, εὐφροσύνης αἴτιος γίνεται. Εἰ δὲ παροινηθείη, ἀμύνεται τὴν ὕβριν, καὶ δίκας ἀπαιτεῖ τοὺς ὑβριστὰς, γέλωτα καὶ αἰσχύνην, καὶ κωμῳδίαν, καὶ μώλωπας αὐτοῖς προξενῶν.

Vinum opportune ac moderate sumptum, quasi honore affectum, lætitiæ hilaritatisque causa exsistit. Si vero largius hauriatur, inebriat, ulciscitur- B que injuriam, et pœnas exposcit, a quibus injuria affectum est, risum, ignominiam, reprehensionem atque adeo verbera propinat.

ΜϚ'. — ΠΑΥΛΩ ΠΡΕΣΒΥΤΕΡΩ.

XLVI. — PAULO PRESBYTERO.

Oculos, ut animi fenestras, custodiendos. (*Inf. epist.* 17, 291 *et* 146 *cum scholiis.*)

Οὐ μόνον τὸ σῶμα ἀνέπαφον, ἀλλὰ καὶ τὰς βολὰς τῶν ὀφθαλμῶν, ἃς κόρας διὰ τοῦτο καλοῦμεν, παρθένους εἶναι χρὴ, καὶ μὴ πιστεύειν αὐταῖς ἀναισχύντως καὶ ἀκρατῶς ἐστιᾶσθαι τοῖς ἀλλοτρίοις κάλλεσιν, ἵνα μὴ ἀπὸ τῆς θέας ἐπὶ τὴν πρᾶξιν παιδαγωγηθῶσιν.

Non corpus modo intactum purumque, sed et oculorum jactus (unde et κόρας, id est puellas, appellamus pupillas) virgines seu castos decet esse, neque permittere impudice atque impotenter vagari in aliarum forma ac pulchritudine speculanda; ne a conspectu lubrico ad venereum perducantur.

ΜΖ'. — ΕΥΓΕΝΙΩ ΔΙΑΚΟΝΩ.

XLVII. — EUGENIO DIACONO.

Virtutem amanti hominum contemnenda opinio.

Ἐπειδὴ χρὴ ἀπὸ τῶν γραμμάτων τῶν σῶν καταστοχάσασθαι τῆς σῆς διανοίας, αἴσθομαί σε τοὺς μὲν ὑπὲρ τῆς ἀρετῆς πόνους ἡδέως ὑπομένοντα, καὶ τοὺς ὑπὲρ αὐτῆς καρποὺς μεγάλους εἶναι νομίζοντα· ἀθυμοῦντα δὲ τῷ τοῖς ἀνθρώποις νομίζεσθαι δυστυχεῖν, ὀλίγα γράψαι διέγνωκα. Λανθάνεις γὰρ σαυτὸν ἐπὶ τούτοις δυσχεραίνων, ἐφ' οἷς ἥδεσθαι προσῆκεν. Εἰ γὰρ οὐκ ἀμφιβάλλεις, ὅτι μέγας σοι καρπὸς ἔσται παρὰ Θεῷ τῆς περὶ τὴν ἀρετὴν εὐνοίας, τί σε ταράττει ἡ τῶν ἀνθρώπων ὑπόνοια, εἰ καὶ δοίημεν οὕτως αὐτοὺς ὑποπτεύειν; Ὅτι δὲ οὕτω νομίζουσι, ῥᾷστα δεῖξαι πειράσομαι. Εἰ γὰρ καὶ σὺ μόνος τῶν ἀρετὴν ἠσκηκότων τοιαῦτ' ἔπαθες, ἦν μὲν οὐδὲ τότε ἀληθὴς ἡ ὑπόνοια. Πλὴν ἀλλ' εἶχον οἱ τοῖς καλοῖς ἀπεχθανόμενοι σκιὰν γοῦν ἀναισχυντίας. Εἰ δὲ οὔτε πρῶτος, οὔτε μόνος τοιαύταις συμφοραῖς περιέπεσες, ἀλλὰ πάντες σχεδὸν οἱ ἄριστοι, οὐ μόνον παρὰ Χριστιανοῖς, ἀλλ', εἰ χρὴ πάντας περιλαβεῖν, καὶ σβέσαι σου τὴν ἀθυμίαν, καὶ παρ' Ἰουδαίοις πάλαι καὶ Ἕλλησι, καὶ βαρβάροις, τί ἀλύεις; Εἰ γὰρ κἀκεῖνοι, ὥσπερ ἀθληταὶ γενναῖοι τυπτόμενοι, καὶ τραυματιζόμενοι, καὶ αἵμασι καταῤῥεόμενοι καὶ θανάτοις ὁμιλοῦντες διετέλεσαν, τί σὺ τῇ ἀθυμίᾳ καταβλάπτεις σαυτὸν, καὶ ποιεῖς τὸν ἀνταγωνιστὴν ἰσχυρότερον; Ταυτὸν γὰρ ποιεῖς, ὡς ἂν εἰ ἔλεγες, δι' ἣν αἰτίαν οὐδένα τῶν θεατῶν πλήττει ὁ ἀνταγωνιστὴς, ἀλλ' αὐτὸν τὸν ἀπογραψάμενον καὶ εἰς τὸ στάδιον εἰσφοιτήσαντα; Μὴ τοίνυν ἄλυε τοιαῦτα πάσχων οἷα κἀκεῖνοι, « ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος· » ἀλλ' εὐφραίνου,

Quandoquidem e tuis litteris divinare quid sentias oportet, existimo te eum, qui labores pro virtute cum jucunditate sustineat, opineturque ingentes inde fructus exsistere. Pauca vero scripsisse animadverto, quod doleas infelicem te ab hominibus censeri. Nescis enim te iis indignari ac succensere, pro quibus par erat lætari. Si enim non dubitas, quin pro studio virtutis magnum apud Deum te præmium maneat, ecquid hominum turbaris suspicione? Etsi sic dedimus ipsis suspicandi ansam, quodque ita sentiant, facillime ostendam. Si enim soli tibi eorum, qui virtuti dant operam, id accidit, non fuerit vera hæc suspicio. Verum habuerint impudentiæ umbram, qui rebus honestis invident: non tamen primus neque solus in has incidisti calamitates, sed optimus ferme quisque non modo apud Christianos, sed (si complecti fas est omnes gentes, et hæc tibi animi consternatio est eripienda) apud Judæos olim et gentiles ac barbaros, inciderunt multi. Ut quid ergo contristaris? Si enim illi tanquam athletæ generosi plagis impositis et vulnerati, sanguineque profuso, etiam morte una occubuerunt, tu quid interim animi abjectione te ipse lædis, reddisque adversarium fortiorem? Idem enim facis ac si diceres: Cur neminem spectantium adversarius vulnerat, sed ipsum tantum, qui nomen dederit, atque in stadium prodeat? Tristari itaque cave, ea patiens quæ perpessi sunt ii, « quibus dignus non erat mundus [1]; » quin potius

[1] Hebr. xi, 38.

Digitized by Google

lætare, quod, ut certaminum fias consors, sic et gloriæ et præconii quoque evades particeps [a].

Α ὅτι ὥσπερ τῶν ἄθλων μετέσχες, οὕτω καὶ τῆς εὐκλείας καὶ τῆς ἀναῤῥήσεως μεθέξεις.

568 XLVIII. — HARPOCRÆ RHETORI. ΜΗ'. — ΑΡΠΟΚΡΑ ΣΟΦΙΣΤΗ.

A conviciis temperandum. Injuriam maledictis non esse ulciscendam a sapiente.

Præstat injuria affectum cum silentio tolerare ac philosophari. Tecum autem præclare est actum, postquam a flagitiosis et adulterinis hominibus, Zosimo, inquam, et Marone, Eustathio item et Martiniano, male es acceptus. Nimis acerbum esse existimasti, illos judicis sententia puniri, verum silentio premere abjectum esse : rationabili judicio injuriosos conviciatores es complexus, cavillationibus pœnam circumscribens, quæ mordere quidem reos assolet, periculo tamen non involvit. Meliorem itaque scripti hujus rationem judico, quam scribere B aggredior, consulens tibi etiam iis, quæ sequuntur, animum intendere. Dico itaque generose ferendum, et ab accusatione liberam esse habendam linguam. Si enim et illos justum est hæc et his graviora audire, at te minime decet loqui, cum sacram habeas linguam.

Ἀμεινον μὲν ὑβριζόμενον σιγῇ φέρειν, καὶ φιλοσοφεῖν· οὐκ ἄκομψον δὲ καὶ τὸ παρὰ σοῦ γεγονός. Ἐπειδὴ γὰρ ὑπ' ἀνθρώπων μοχθηρῶν καὶ παρασήμων (64), Ζωσίμου, φημὶ, καὶ Μάρωνος, Εὐσταθίου καὶ Μαρτινιανοῦ, ἐπεπόνθεις κακῶς· ἠγήσω δὲ, τὸ μὲν ψήφῳ δικαστηρίου τιμωρήσασθαι τούτους, πικρόν· τὸ δὲ σιωπῇ φέρειν, ταπεινόν· λογικῇ μετῆλθες τοὺς ὑβριστὰς δίκῃ, τοῖς σκώμμασιν ὁριτάμενος τὴν τιμωρίαν· ἃ τοὺς ἐνόχους δάκνειν μὲν εἴωθε, κινδύνῳ δὲ οὐ περιβάλλει. Ἀμείνονα τοίνυν ἐγὼ κρίνω τοῦ συγγράμματος τὸν λογισμὸν, ὑφ' οὗ γράφειν ἔρξω. Συμβουλεύοιμί σοι καὶ τὸ λοιπὸν προσθεῖναι, φημὶ δὴ τὸ φέρειν γενναίως (65), καὶ κατηγορίας ἐλευθέραν ἔχειν τὴν γλῶτταν. Εἰ γὰρ κἀκεῖνοι δίκαιοι ταῦτα καὶ τούτων χαλεπώτερα ἀκοῦσαι, ἀλλὰ σοὶ οὐ πρέπει φράσαι, ἀγνείας ἀνάκτορον ἔχοντι τὴν γλῶτταν.

XLIX. — EUTONIO DIACONO. ΜΘ'. ΕΥΤΟΝΙΩ ΔΙΑΚΟΝΩ.

Laudandi boni sine ostentatione.

Certandum quidem pro virtutis alumnis, non tamen ipsi ostentandi sunt, duplici de causa, cum ne socordes reddantur, tum ut assentationis effugiatur nota. Quamobrem nuper nihil ad te scripsi : cum vero ab aliis inductus ad me litteras dederis, de silentio conquestus, quæ ibi gesta sunt, scire C avens : scito quam maximo verborum fluxu eum, qui tuam egit causam, tanquam e rhetorum disciplina profectum, perorantem laudem plausumque sibi conciliasse. Cum enim, ignorantibus illis [judicibus] pauca quædam, cum non omnia posset, de tua virtute causæque prærogativis dixisset, in tantam mutationem rem totam adduxit, ut et eum, qui contra egerat, cum rubore dimiserit, auditores vero ad palinodiam concitarit.

Ἀγωνίζεσθαι μὲν χρὴ ὑπὲρ τῶν τῆς ἀρετῆς τροφίμων· οὐ μὴν αὐτοῖς ἐπιδείκνυσθαι δυοῖν ἕνεκεν, τοῦ τ' ἐκείνους μὴ ὑπτιῶσαι, τοῦ τε κολακείας ὑπόνοιαν ἐκφυγεῖν. Διὸ οὐδὲ γέγραφα πρώην. Ἐπειδὴ παρ' ἄλλων πεισθόμενος γέγραφας, τῇ μὲν σιωπῇ μεμφόμενος, τὰ δὲ γεγενημένα ἀκριβῶς βουλόμενος μαθεῖν· ἴσθι ὅτι ὡς ἔρρει ἐπὶ πολὺ ὁ σὸς διάδικος, ἅτε ἐκ ῥητορικῶν ὁρμώμενος μαθημάτων, ἐπαίνου τε ῥᾴδιον αὐτῷ παρὰ τῶν παρόντων ἠγείρετο, ἅτε ἀγνοούντων τὴν σὴν καλοκαγαθίαν, ὀλίγα τινὰ φράσας τῶν προσόντων σοι πλεονεκτημάτων (πάντα γὰρ ἴσως οὐ ῥᾴδιον), εἰς τοσαύτην μεταβολὴν μετεῤῥύθμισατο (66) τὸ πρᾶγμα, ὡς ἐκεῖνον μὲν ἐρυθριάσαντα ἀποπηδῆσαι, τοὺς δὲ ἀκροατὰς παλινῳδίαν ᾆσαι.

[a] II Cor. I, 7.

VARIÆ LECTIONES ET NOTÆ.

(64) Edit. Paris., καὶ παρὰ Σίμωνος. Elegans et sine dubio recipienda correctio est duorum codd. Vatic. 650 et Alt. concorditer scribentium παρασήμων, ut referatur ad ἀνθρώπων, nam Simonis nulla hic mentio. Sed omnino rescribendum in cod. utroque παρασήμων, cujus vocis hæc congruentissima notio sic ab Hesychio traditur : Παράσημον, ἀδόκιμον, κίβδηλον· ἀπὸ τούτου καὶ τῶν νομισμάτων τὰ κίβδηλα, παράσημα λέγεται. Hos igitur quatuor, Zosimum, Maronem, Eustathium et Martinianum, Harpocræ injustos vexatores, Isidorus hoc loco non μοχθηρούς solum, sed etiam παρασήμους, hoc est *adulterinos*, et vel Christianismi vel sacerdotii quem forte gerebant characterem vitiis infamibus corrumpentes ac fœde obliterantes, vocat. Nec minus, meo quidem judicio, probanda est altera emendatio solius cod. Alt. vers. 8 ep. pro σώμασιν σκώμμασιν scribentis. Sententia enim manifeste requirit, ut non pœna corporis Harpocras suos conviciatores ultus sit (neque id probaret S. Isidorus), sed dicteriis, quam antea vocavit auctor, λογικὴν δίκην, scribenda nempe in eos monodia, de qua mox agit epist. 52 et 55. Quare utrobique ad has correctiones reformanda erit interpretatio. Possin.

(65) Codd. ambo Vatic. 650 et Alt. post γενναίως tollunt virgula a et conjunctivam καί, continuantque sequentia hoc modo, φέρειν κακηγορίας ἐλευθερίαν. Hic interpunctionem figendam arbitror. Quid autem illis verbis statim sequentibus faciemus, ἔχειν τὴν γλῶτταν? Silentium codicum adjuvetur conjectura. Putarim, καὶ, superius omissum huc transferendum, et verbum ἔχειν augendum syllaba, ut totus locus sic legatur : Συμβουλεύοιμί σοι καὶ τὸ λοιπὸν προσθεῖναι, φημὶ δὴ, τὸ φέρειν γενναίως κακηγορίας ἐλευθερίαν, καὶ ἐπέχειν τὴν γλῶτταν. Non omiserim cod. Vat. 650 κατηγορίας pro κακηγορίας scribere; sed κακηγορίας, etsi e solo suspicium Alt. magis huc quadrat. Ib.

(66) Μετεῤῥύθμισατο codd. Vat. 650 et Alt. Lic. viant in μετεῤῥύθμισα. Ib.

Digitized by Google

Ν'. — ΤΩ ΑΥΤΩ.

L. — EIDEM.

Spes non in terrenis, sed cœlestibus collocanda.

Ὁ μὲν εἰς τὸ Θεῖον πεποιθὼς, ἐπὶ μεγίστης καὶ λαμπρᾶς καὶ ἀδιαπτώτου· ὁ δὲ ἐπ' ἄνθρωπον, ἐπὶ λεπτῆς καὶ ἀσθενοῦς καὶ σφαλερᾶς, καὶ ὡς τὰ πολλὰ διαπιπτούσης ἐλπίδος ὀχεῖται. Διὸ χρὴ τοὺς ἐχέφρονας, τῆς μὲν προτέρας ὡς *ἱερᾶς ἀγκύρας* (67) ἀντέχεσθαι, τῆς δὲ δευτέρας ἀπέχεσθαι.

Qui ad divinas res ducitur, maxima capesset et illustria atque stabilia bona : qui vero ad humana vehitur, spe fallaci et imbecilla ac tenui, ut quæ plurimum spe concidente discedet. Quapropter prudentes ac cordatos decet priorem spem ut *sacram* complecti *anchoram*, alteram vero rejicere.

ΝΑ'. — ΤΩ ΑΥΤΩ.

569 LI. — EIDEM.

Otium, pulvinar diaboli, fugiendum.

Λίαν θαυμάζω τῶν πάντα μὲν, ὅσα ὁ κοινὸς ἐχθρὸς ἁπάντων διάβολος βούλεται, ἀσμένως πραττόντων, εἶτα ἐπιζητούντων, πόθεν τὰ τῆς εὐταξίας ἀπόλωλεν ἅπαντα. Ἦν γὰρ τὴν ὑπερβάλλουσαν καὶ ἀνήκεστον ῥᾳθυμίαν ἀπώθωνται, συναπώθωνται (68) εὖ οἶδ' ὅτι καὶ τὸ τὰ τοιαῦτα ζητεῖν.

Valde equidem admiror eos, qui libenter patrant omnia, quæ communis omnium hostis diabolus suggerit; deinde quærentes, quomodo omnem amiserint bene gerendi rationem. Si enim eximiam et incurabilem repellerent negligentiam, simul etiam, sat novi, quærere illa omitterent.

ΝΒ'. — ΑΡΠΟΚΡΑ ΣΟΦΙΣΤΗ.

LII. — HARPOCRÆ SOPHISTÆ.

De monodia ab illo in improbos conscripta.

Ἡ μονῳδία, ἣν γέγραφας εἰς Μαρτινιανὸν καὶ Ζώσιμον, Εὐστάθιόν τε καὶ Μάρωνα, ὡς οὐδέπω μὲν τεθνηκότας, ἀεὶ δὲ ἐν τῷ ἁμαρτάνειν ἀποθνήσκοντας, καὶ τὰς ψυχὰς ἐν τοῖς σώμασιν, ὥσπερ ἐν τάφοις κατορυγμένας ἔχοντας, εἰ καὶ ἀληθῶς καὶ εἰκότως συγγέγραπται, παρ' ἐμοῦ αὐτοῖς οὐ πεμφθήσεται. Οὐ γὰρ ἂν δή σοι πολέμου αἴτιος γενοίμην. Ἀμείλικτα γάρ φασιν εἶναι αὐτοὺς καὶ ἀτίθασσα θηρία· εἰ μὲν γὰρ παραίνεσις ἦν, ἔπεμψα ἄν· ἐπεὶ δὲ θρῆνός ἐστι μονῳδὴς, οὐκ ἐδοκίμασα πέμψαι· εἰ δ' αὐτὸς ὄντως βούλει, πέμψον· ἴν' εἰ καὶ γένοιτο ἄσπονδος μάχη, μὴ εἰς ἄλλον ἔχῃς ἀνενεγκεῖν τὴν αἰτίαν.

Monodia abs te conscripta in Martinianum, Zosimum, Eustathium et Maronem, ut nondum vita functos, perpetuis tamen flagitiis morientes, animasque in corporibus tanquam sepulcris defossas habentes, etsi vere et recte sit conscripta, nondum est illis a me missa, ne bellum in te concitem. Implacabiles enim et intractabiles esse feras referunt. Si adhortatio fuisset, misissem utique; sed quia monodia luctus est et næuia in funere, idcirco non mittendum curavi. Si vero mitti omnino vis, per me liceat : verum si hinc bellum, ut fit, irreconciliabile exsistat, in alium cave culpam transferas.

ΝΓ'. — ΜΑΡΤΙΝΙΑΝΩ, ΖΩΣΙΜΩ, ΜΑΡΩΝΙ, ΕΥΣΤΑΘΙΩ.

LIII. — MARTINIANO, ZOSIMO, MARONI, EUSTATHIO.

Mittit monodiam in illos conscriptam; hortatur ut, relictis vitiis, tandem resipiscant. (*Confer epist.* 77.

Μονῳδίαν τις τῶν λίαν πεπαιδευμένων, καὶ εἰς ἄκραν ἀρετὴν ἀναβεβηκότων, πεποίηκεν εἰς ὑμᾶς. Ἔστι δὲ ἡ μονῳδία (οἶδα γὰρ ὅτι καὶ τοῦτο ἀγνοεῖτε), θρῆνος μονοειδὴς, μήτε προσωποποιΐαν, μήτε ἠθοποιΐαν ἔχων. Καὶ τὸ μεῖζον, οἱ μὲν ἄλλοι τοὺς ἐκπεπτωκότας φιλοσοφίας θρηνοῦσιν (69). Οὗτος δὲ ὡς ἀλιτηρίους,

Monodiam vir bene doctus summaque præditus virtute in vos conscripsit. Est autem monodia (quod et vos ignorare certo scio) simplex et unius generis luctus, seu deploratio neque personarum, nec morum continens fictionem. Quodque majus est, alii in eos, qui philosophia exciderunt, concinunt fa-

VARIÆ LECTIONES ET NOTÆ.

(67) *Anchoræ sacræ* notum proverbium, ut et inf. epist. 271, qua et de spe agit, ut et mox ep. 58. SCHOTT.

(68) Pro συναπώθωνται codd. Vat. 650 et Alt. recte scribunt συναπωθήσονται. Possis.

(69) Respexit, opinor, ad Pythagoreorum morem, quo iis, qui a philosophia delecissent, cenotaphia tanquam mortuis exstruebant, ut tradit his verbis Origenes lib. II *contra Celsum* : Οἱ Πυθαγόρειοι κενοτάφια ὡκοδόμουν τοῖς μετὰ τὸ προτραπῆναι ἐπὶ τὴν φιλοσοφίαν πάλιν δρομήσασιν ἐπὶ τὸν ἰδιωτικὸν βίον. Καὶ οὐ παρὰ τοῦτο ἀσθενὴς ἦν λόγῳ καὶ ὑποδείξει Πυθαγόρας, καὶ οἱ ἀπ' αὐτοῦ· *Pythagorei*, inquit, *cenotaphia exstruebant iis qui defecissent a philosophia, reflexo cursu ad vitam privatam. Nec ideo deterior habitus est Pythagoras in doctrina aut demonstrationibus, aut ejus discipuli.* Refert i. em Clemens Alexand. lib. II *Stromatεων*. Ejus verba ascribam : Φασί γ' οὖν Ἵππαρχον τὸν Πυθαγορικὸν, αἰτίαν ἔχοντα γράψασθαι τὰ τοῦ Πυθαγόρου σοφῶς ἐξελαθῆναι τῆς ἀποστροφῆς, καὶ στήλην ἐπ' αὐτοῦ γενέσθαι οἷα νεκρῷ. Διὸ καὶ ἐν τῇ βαρβάρῳ φιλοσοφίᾳ νεκροὺς καλοῦσι τοὺς ἐκπεσόντας τῶν δογμάτων, καὶ καθυποτάξαντας τὸν νοῦν τοῖς πάθεσι τοῖς ψυχικοῖς. Exstatque epistola bene longa Lysidis ad Hipparchum, cujus in extremo hæc legas, Εἰ μὲν οὖν μεταβάλοιτο, χαρήσομαι· εἰ δὲ μὴ, τέθνηκάς μοι. Ad quem Lysidis Pythagorei locum respexit et Greg. Nazianzenus epistol. 45, ad Greg. Nyssenum scribens, quod a nullo interpretum animadversum esse valde equidem miror. Sic enim Theologus : Εἰ μὲν οὖν μεταβάλοιτο, ἀλλὰ νῦν χαρήσομαι, τῶν Πυθαγορικῶν τις ἔφη φιλοσόφων ἑταίρου ἐκπεπτωκότα θρηνῶν. Εἰ δὲ μὴ, ἐκεῖνος μὲν ἔγραψε, τέθνηκάς

Digitized by Google

neris luctum. Hic vero vos ut improbos ac perniciosos, quique nihil de ipsa philosophia gustarint, deploravit. Vos quidem omne vitiorum genus, dictum indictum patrantes inducens; contendens vero pro viribus virtutis nullam partem in mentem vobis, ne per somnium quidem venisse sancte confirmat. Quod vero maximum appareat, id non prius dicere desinam. Quoniam quisquis in monodiam hanc inciderit, vos ut belluas noxias atque exsecrandos dæmonas, hostesque communis omnium naturæ merito exsecretur : illum vero scriptorem vituperet quod id aggressus sit argumentum, quod summa accuratione perficere nequiverit : adeo omni oratione scriptioneque major nequitia vestra cunctis apparet. Singuli enim prætermissum ab illo vitium reprehendentes victum illum existimant, ut ausum cum vestris flagitiis sermone contendere. **570** Crimina enim vestra non venia modo, verum etiam supplicio superiora majoraque judicant. Vos vero non injuria accusant, quod neque exemplis incitati, neque asseclas reperturi in tot tantaque inciderilis delicta, quæ nemo, ne eloquentissimus quidem, oratione consequi dicendo possit. Verum vel sero tandem resipiscite, ac pœniteamini de patratis a innotescunt.

A καὶ μηδεπώποτε γευσαμένους αὐτῆς τεθρήνηκε. Πᾶν μὲν εἶδος ἁμαρτημάτων ῥητῶν τε καὶ ἀῤῥήτων ὑμᾶς διαπραττομένους εἰσαγαγών, τῶν δὲ τῆς ἀρετῆς μερῶν μηδὲ εἰς ἔννοιάν ποτε ἐληλυθέναι ἰσχυρισάμενος. Ὃ δὲ μέγιστον φάναι, τοῦτο οὐ πρὶν (70) παύσομαι · ὅτι ἕκαστος τῶν ἐντυγχανόντων τῇ μονῳδίᾳ, ὑμᾶς μὲν ὡς ἀργαλέα θηρία, καὶ δαίμονας ἀλάστορας, καὶ τῆς κοινῆς φύσεως ἐχθροὺς ἀποστρέφεται · ἐκεῖνον δὲ μέμφεται, ἐπιχειρήσαντα μὲν, μὴ δυνηθέντα δὲ ἐφικέσθαι τῆς ἀκριβείας. Οὕτω καὶ λόγου παντὸς καὶ συγγράμματος μείζων ἡ κακία ἡ ὑμετέρα πᾶσιν εἶναι δοκεῖ. Ἕκαστος γὰρ τὸ ἐκείνῳ παραλειφθὲν ὑμῶν ἁμάρτημα ἐκκωμῳδῶν, ἐκεῖνον μὲν ἡττῆσθαι νομίζει, πρὸς τὴν (71) ὑμῶν κακίαν ἀμιλληθῆναι τῷ λόγῳ τολμήσαντα. Τὰ γὰρ B ἁμαρτήματα ὑμῶν οὐχὶ συγγνώμης μόνον, ἀλλὰ καὶ τιμωρίας ἠγεῖται εἶναι μείζονα. Ὑμᾶς δὲ κακίζει ὅτι οὔτε παραδείγμασιν ἐκβιασθέντες, οὐθ' ἕξοντες τοὺς μιμησομένους εἰς τοιαύτην ἠλάσατε κακίαν, ἧς οὐδεὶς τῶν ἄγαν πεπαιδευμένων (72) ἐφικέσθαι τῷ λόγῳ δυνήσεται. Ἀλλ' ὡς πράξαντες ὅσα μηδεὶς τῶν πώποτε ἐπὶ παρανομίαις βεβοημένων, κἂν ὀψέποτε, γνωσιμαχήσατε.

nemine unquam tot delictis, quæ sæpe jam vulgata

LIV. — HERONI DIACONO.

ΝΔ'. — ΗΡΩΝΙ ΔΙΑΚΟΝΩ.

Virtus sequenda, ut hostem vincas.

Accusationes quasdam refellere solet interdum vita proba ejus, qui in jus vocatur. Vir itaque bonus tantum conspectus et nondum defensus sæpenumero non solum omnem depellit accusationem, et maledicentiam, sed et laudibus ornatus discessit. Quare si vel ab inimicis exigere pœnas vis, virtutem fac exerceas. Quæ enim orsa sunt laudum tuarum præconia, hostibus quam pœnæ omnes sint, graviora fiunt magisque acerba.

C Ἐνίας τῶν κατηγοριῶν εἴωθεν ἀπίστους ποιεῖν ὁ τῶν ἐγκαλουμένων βίος. Πολλάκις γοῦν ἀνὴρ ἀγαθὸς ὁρᾶσθαι μόνον, καὶ μὴ ἀπολογησάμενος, οὐ μόνον πᾶσαν ἀπετρίψατο κατηγορίαν τε καὶ κακηγορίαν, ἀλλὰ καὶ ἐπαίνοις στεφθεὶς ἀπῆλθεν. Εἰ τοίνυν βούλει τοὺς ἐχθροὺς τοὺς σαυτοῦ δίκας ἀπαιτῆσαι, ἀρετὴν ἄσκει. Τὰ γάρ σοι παρὰ πάντων ὑφαινόμενα ἐγκώμια, ἐκείνοις τιμωρίας ἁπάσης ἐστὶ βαρύτερά τε καὶ πικρότερα.

LV. — AGATHODÆMONI GRAMMATICO.

ΝΕ'. — ΑΓΑΘΟΔΑΙΜΟΝΙ ΓΡΑΜΜΑΤΙΚΩ.

Avaritiæ detestatio. (*Confer inf. ep.* 67.)

Si nonnulli tuæ traditi disciplinæ, furoris rabieique pleni insolens quid ac præter disciplinam attentarint, hos ferro retrahe, silentiumque, ne in præceps ferantur, impera. Si vero pecuniarum flagrare sentias amore, dic iis assidue : Ecquæ nova hæc et absurda plura habendi cupiditatis amentia est? Cur injecta materie ac fomite subjecto amplior fit possidendi ardor? Undique enim rapiens, nunquam expletur. Quantum si capitum multorum hydra infinita habeat ora, quibus cibum in ventrem inexplebilem demittat, tanto plus appetat, et quasi nihil antea acceperit. Ecquis igitur cordatus hujus-

D Εἰ μέν τινες τῶν ὑπὸ σοῦ ἡνιοχουμένων, λύσσης τε καὶ ἀφροῦ μεστοὶ τυγχάνοντες, ἀγέρωχόν τι καὶ παρὰ τὴν ἡνίαν πράττοιεν, ἀνασείραζε τούτους καὶ ἐπιστόμιζε, ἵνα μὴ κατὰ κρημνῶν ἐνεχθεῖεν. Εἰ δὲ χρημάτων αἴσθοιτο ἐραστὰς, ἀεὶ λέγε· Τίς ἡ καινὴ καὶ παράλογος τῆς φιλοχρηματίας μανία, ἢ τὸ προστιθέμενον ὕλῃ καὶ ὑπέκκαυμα τῆς τοῦ πλείονος ὀρέξεως γίγνεται; Πάντοτε γὰρ δεχομένη, οὐδέποτε πληροῦται· οἷον δέ τις πολυκέφαλος ὕδρα μυρίοις στόμασι τὴν τροφὴν τῇ γαστρὶ τῇ ἀχορέστῳ παραπέμπουσα, τοσοῦτον αὐτῆς ὀρέγεται πλέον, ἢ ὅσον οὐδὲν εἰ παρὰ τὴν ἀρχὴν ἐδέξατο. Τίς οὖν ταύ-

VARIÆ LECTIONES ET NOTÆ.

μοι· *Siquidem meliorem mentem indueris, gaudebo, ut Pythagoricus quidam philosophus* (Lysis) *dicebat, cum prolapsi sodalis vicem lugeret. Sin minus, ille quidem scripsit, mihi mortuus es.* Schott.

(70) Inter πρὶν et παύσομαι codd. Vatic. 630 et Alt. inserunt εἰπεῖν. Possin.

(71) Post πρὸς τὴν cod. Alt. addit ἀφθαστον (*sic*). Id.

(72) Πεπαιδευμένων in præsenti efferunt ambo codd. scribentes παιδευομένων. Id.

Digitized by Google

της εὖ φρονῶν ἕλοιτο εἶναι ἐραστής, τῆς κάνταῦθα A modi vitli sustineat esse amator? quod et non explendo quem semel ceperit, sic puniat, ut et æternis inferorum ignibus, qui exstingui nequeant, addicat.

τῷ μὴ κορέννυσθαι κολαζούσης τὸν ἁλόντα, κἀκεῖσε εἰς τὸ ἄσβεστον πῦρ παραπεμπούσης;

ΝΖ'. — ΔΟΜΕΤΙΩ. LVI. — DOMITIO.

Beati qui persecutionem patiuntur.

Οὐ τὸν πάντη τῶν εἰωθότων τοῖς ἀνθρώποις ἀνιαρῶν συμβαίνειν ἀπείρατον, μακάριον εἶναι οἱ πολλοὶ νομίζουσι (τοῦτο γὰρ ἀδύνατον), ἀλλὰ τὸν ὀλίγων μετεσχηκότα. Διὰ γὰρ πλῆθος συμφορῶν, αἷ τοὺς πλείστους καταβλύζουσι, μακάριον τὸν ὀλίγοις (73) προσομιλήσαντα εἶναι ὁρίζονται. Ἡμεῖς δὲ καὶ τὸν πολλὰ μὲν τῇδε πεπονθότα, γενναίως δὲ ἐνηνοχότα, τοῦ ὀλίγα πεπονθότος μᾶλλον μακαρίζομεν· ὅτι πρὸς τὰ παλαίσματα καὶ οἱ στέφανοι B πλέκονται, καὶ τοῖς ἆθλοις τὰ ἔπαθλα ἀκολουθεῖ.

Felicem quidam existimant non eum, qui nihil molestiarum, quibus mortalium obnoxia vita est, sensit unquam (id enim fieri non potest), sed qui quam minimis urgetur malis. Calamitatum enim ob copiam, quibus plerique circumfluunt, beatum pronuntiant, qui paucissimis læditur. Nos vero [Christiani] et multa quidem perpessum, excelso tamen animo tolerantem, longe ducimus feliciorem eo, qui modica pertulerit. Nam et luctatori coronæ ex merito obveniunt, et certantes sua præmia comitantur.

ΝΖ'. — ΖΩΣΙΜΩ ΠΡΕΣΒΥΤΕΡΩ. 571 LVII. — ZOSIMO PRESBYTERO.

A vitiis dehortatur et nequitia.

Κηλῖδα, καὶ μίασμα, καὶ ἄγος, καὶ τί γὰρ οὐχὶ τῶν προδήλων αἰσχρῶν ὀνομάζοντές σέ τινες, ὦ σχέτλιε Ζώσιμε, περιίασιν; οὓς οὔτε καιρὸς, οὔτε τὸ πάθος ἐπιστομίσαι δύναται, πάντων μαρτυρούντων τῶν ἀκουόντων, ὡς ὀλίγα ἀντὶ πολλῶν, καὶ σεμνὰ ἀντὶ αἰσχρῶν φράζουσι. Σκόπει τοίνυν, ὅπως τούτους ἐπιστομίσῃς· ἐπιστομίσεις δὲ, εἰ παύσοιο τῆς ἀκορέστου ῥᾳθυμίας.

Probrum, piaculum ac scelus, et quid non contumeliosi nominis tibi, o miser Zosime, quidam, dum accedunt, imponunt? quorum neque tempus, neque pathos obturare os queat, contestantibus omnibus, qui audiunt, ut pauca multis, gravia turpibus reponant. Quare vide, qua ratione silentium illis imponas. Impones autem si ab insatiabili hac nequitia cessabis.

ΝΗ'. — ΕΠΙΦΑΝΙΩ ΔΙΑΚΟΝΩ. LVIII. — EPIPHANIO DIACONO.

Spes vitæ anchora. (*Confer ep.* 50 *et* 271.)

Ἡ εἰς τὴν ἄμαχον τοῦ τὰ πάντα οἰακίζοντος δεξιὰν ἐλπὶς, οὐ μόνον τὴν τῶν μελλόντων ὠδῖνει ἀπόλαυσιν, ἀλλὰ καὶ τοὺς παρόντας ἐπικουφίζει πόνους. Ῥᾴον γάρ τις φέρει τοὺς ἄθλους τῇ τῶν στεφάνων ἐλπίδι πτερούμενος. Εἰ τοίνυν κάνταῦθα ἡμῖν συναγωνίζεται καὶ συμμαχεῖ, κἀκεῖσε στεφάνοις ἡμᾶς κοσμεῖ καὶ φαιδρύνει, καὶ ἀποβλέπτους παρ' ἀγγέλοις καὶ ἀνθρώποις καθίστησι, ταύτην περιπτυξώμεθα, καὶ σύνοικον ἔχωμεν καὶ ὁμοτράπεζον. C

Spes, quæ est ad invictam dexteram cuncta gubernantis, non solum in futurum parit voluptatem, sed et præsentis vitæ sublevat labores. Facile enim quis certaminum labores sustinet, qui coronarum ac præmiorum spe nititur. Si hæc itaque nobiscum hic certat et pugnat, ibi vero coronis exornat atque exhilarat, venerandosque angelis atque hominibus nos constituat, hanc complectamur et mensa tectoque excipiamus.

ΝΘ'. — ΘΕΩΝΙ ΠΡΕΣΒΥΤΕΡΩ. LIX. — THEONI PRESBYTERO.

Asperius nihil est humili cum surgit in altum.

Μὴ λίαν ἐκπλήττου, μηδὲ θαύμαζε, εἰ Ζώσιμος ἀπὸ οἰκετικῆς, ὡς φῂς, ῥίζης ὁρμώμενος φανητιᾷ, καὶ μέτριον οὐδὲν φρονεῖ. Εἴωθε γὰρ ἡ παρ' ἐλπίδα εὐημερία τοὺς ἀνοηταίνοντας πρὸς ὕβριν τρέπειν. D

Noli percelli aut admirari, si Zosimus stirpe se jactans, ut scribis, et aliquis videri cupiens, nihil sapiat moderari. Quæ enim insperata accidit felicitas, ea contumeliam fere attrahit.

Ξ'. — ΙΕΡΑΚΙ ΔΙΑΚΟΝΩ. LX. — HIERACI DIACONO.

Amat victoria curam.

Σφόδρα ἀπατῶμεν ἑαυτοὺς, καὶ παραλογιζόμεθα, εἰ μηδὲν πράττοντες ὧν προσήκει πράττειν τοὺς νικᾶν βουλομένους, τῶν πάντα πραττόντων (74) ἃ χρὴ πράττειν τοὺς νικήσειν μέλλοντας, περιέσεσθαι προσδοκῶμεν. Ταυτὸν γάρ ἐστι, τὸ καὶ τοὺς καθεύδοντας καὶ ῥέγχοντας τῶν ἐγρηγορότων καὶ σπουδα-

Valde nosmetipsos decipimus, falsaque utimur ratiocinatione, si nihil agentes eorum, quæ decet agere, qui vincere contendat, superiores nos fore speramus iis, qui nihil non agunt eorum quæ convenit victores agere ac pati. Hoc enim perinde sit, atque dormientes stertentesque vigilantibus ac sat-

VARIÆ LECTIONES ET NOTÆ.

(73) Uterque codex, ὀλίγων. Possin.

(74) Pro πάντα πραττόντων codd. Vat. 659 et Alt. legunt τοὺς πάντα πράττοντας. In.

Digitized by Google

agentibus anteponere, et ignavos atque socordes iis præferre, qui nihil intentatum relinquunt.

ζόντων περιεῖναι, καὶ τοὺς ῥᾳθυμοῦντας καὶ ἀργοῦντας τῶν μηδὲν παραλιμπανόντων κρατεῖν.

LXI. — MARCIANO PRESBYTERO.

ΞΑ'. — ΜΑΡΚΙΑΝῼ ΠΡΕΣΒΥΤΕΡῼ.

Demonstrationis vis in argumento.

Dicta, quæ probatione multa longaque indigent inquisitione, non tam sententia aut responso, quam demonstratione declarantur. Opus enim probatione est, ambitu seu circumductione ac demonstratione, ut perspicuam possint nancisci declarationem. Qui enim pronuntiaturus sententiam carere se demonstratione posse existimat, is sapientiæ est expers.

Τὰ πολλῆς βασάνου καὶ μακρᾶς ἐξετάσεως δεόμενα ῥητὰ, οὐκ ἀποφάσει, ἀλλ' ἀποδείξει σαφηνίζεται. Χρεία γὰρ καὶ κατασκευῆς, καὶ περιόδου, καὶ ἀποδείξεως, ὥστε δυνηθῆναι ταῦτα λαμπρᾶς τυχεῖν ἑρμηνείας. Εἰ δέ τις ἀποφαινόμενος νομίζει ἀποδείξει κεχρῆσθαι, οὗτος ἔξω τῆς τῶν σοφῶν ἐσκήνωται συνόδου.

572 LXII. — JOANNI DIACONO.

ΞΒ'. — ΙΩΑΝΝΗ ΔΙΑΚΟΝῼ.

Adulatio magis quam contumelia vitanda.

Tametsi parentes ac magistri ab adulatione, ut summopere noxia vehementerque corrumpente, abstinentes metum incutiant, hi quidem auditoribus, illi vero liberis : oportet tamen et nos, si sapimus, assentatores magis aversari, quam qui lædunt, injuriaque afficiunt. Majus enim affert detrimentum non advertentibus honos ille, quam injuria, et difficilius illud quam hoc vitium expugnatur.

Εἰ καὶ διδάσκαλοι καὶ πατέρες τῆς κολακείας ἀφέμενοι, ὡς τὰ μέγιστα βλαπτούσης καὶ λυμαινομένης, φόβον ἐπανατείνονται, οἱ μὲν τοῖς φοιτηταῖς, οἱ δὲ τοῖς παισί· χρὴ καὶ ἡμᾶς, εἴγε σωφρονοῦμεν, μᾶλλον τῶν ὑβριζόντων τοὺς κολακεύοντας ἀποστρέφεσθαι. Μείζονα γὰρ ἔχει λύμην τῆς ὕβρεως ἡ τοιαύτη τιμὴ τοῖς μὴ προσέχουσι· καὶ δύσκολον τούτου κρατῆσαι ἢ ἐκείνου τοῦ πάθους.

LXIII. — ANEPIGRAPHOS.

ΞΓ'. — ΑΝΕΠΙΓΡΑΦΟΣ.

Virtus sui merces.

Virtus sola possidentem potest ornare. Nullus itaque in dignitate constitutus ex se honorem habet, sed a subditis accipit : at virtutis perstudiosus etiam in seipso stabile decus, quod auferri nequeat, adipiscitur.

Μόνη ἡ ἀρετὴ αὐτάρκης κοσμῆσαι τὸν ἔχοντα. Οὐδεὶς γοῦν τῶν ἐν τέλει καθ' ἑαυτὸν ἔχει τὸ γέρας, ἀλλὰ ἐν τοῖς ὑπηκόοις κέκτηται τὴν τιμήν· ὁ δὲ φιλάρετος καὶ ἐν ἑαυτῷ καὶ ἀναφαίρετον ἔχει τὸ κλέος.

LXIV. — HIERACI DIACONO.

ΞΔ'. — ΙΕΡΑΚΙ ΔΙΑΚΟΝῼ.

Victus cultusque corporis, qualis. (*Confer. ep.* 148, 158, 257.)

Qui edit quantum fami depellendæ satis est, eaque induit vestimenta, quæ honeste corpus tegant, næ ille et animæ pulchrum vehiculum comparat, et nauclero gubernaculum ad dirigendum facile, et militi quoque congrua arma, et musico lyram concinnam adaptat. Qui enim deliciis pinguescens corpore ac vestibus mollibus nimis indulget, ut lasciviat, et in absurdas induit immittitque cupiditates, atque adeo reddit molle, bonamque corporis lædit habitudinem : multaque illa mollitie dissolvit, enervatque, animo etiam bellum parat. Quamobrem utroque victu cultuque corporis nimio abstineto.

Ὁ τοσοῦτον ἐσθίων ὅσον λῦσαι λιμὸν, καὶ τοιαῦτα περιβαλλόμενος ὅσον ἐσκεπάσθαι κοσμίως, ὄχημα καλὸν τῇ ψυχῇ παρασκευάζει τὸ σῶμα, καὶ τῷ κυβερνήτῃ εὐμεταχειρίστους τοὺς οἴακας, καὶ τῷ στρατιώτῃ εὐάρμοστα τὰ ὅπλα, καὶ τῷ ἁρμονικῷ μουσικὴν τὴν λύραν. Ὁ γὰρ τρυφῇ πιαίνων, καὶ ἱματίοις καλλωπίζων, σκιρτᾷν αὐτὸ παρασκευάζει, καὶ εἰς ἀτόπους ἐπιθυμίας ἐξάπτει, καὶ μαλακώτερον αὐτὸ ποιεῖ, καὶ τὴν εὐεξίαν αὐτοῦ λυμαίνεται, καὶ τῇ πολλῇ βλακείᾳ διαλύει αὐτὸ, καὶ τῇ ψυχῇ πολέμιον κατασκευάζει. Οὐκοῦν πέπαυσο κἀκεῖνο καὶ τοῦτο ποιῶν.

LXV. — EIDEM.

ΞΕ'. — Τῼ ΑΥΤῼ.

Vitandus aspectus mulierum, ut peccandi ansa. In illud Matth. v, 28, « *Qui respexerit mulierem,* » *etc.* (*Confer ep.* 17, 46, 139, 291.)

Non simpliciter, optime virorum, qui corda nostra singulatim condidit, lege præcepit, non libidinose aspicere mulierem, sed ut a molestia tentationeque nos liberaret. Cum enim longe sit facilius formosam non spectare feminam, quam spectata ea vulneratoque ac saucio jaculum eximere vulnusque curare : idcirco id Christus præscripsit. Certamina enim sunt initio leviora (imo vero ne bello quidem

Οὐχὶ ἁπλῶς, ὦ βέλτιστε, ὁ πλάσας κατὰ μόνας τὰς καρδίας ἡμῶν ἐνομοθέτησε μὴ ἰδεῖν ἀκολάστως εἰς γυναῖκα, ἀλλὰ πραγμάτων ἡμᾶς ἀπαλλάττων. Ἐπειδὴ γὰρ πολλῷ εὐκολώτερον μὴ ἰδεῖν εὐπρόσωπον γυναῖκα, ἢ θεασάμενον καὶ τρωθέντα ἐξελκῦσαι τὸ βέλος, καὶ θεραπεῦσαι τὸ τραῦμα, τοῦτο προστέταξε. Κουφότεροι γὰρ ἐν προοιμίοις οἱ ἀγῶνες (μᾶλλον δὲ οὐδὲ ἀγῶνος δεῖ [75]) τῷ μὴ τὰς θύρας ἀνοίγοντι τῷ

VARIÆ LECTIONES ET NOTÆ.

(75) Quod in Græco occurrit, μᾶλλον δὲ οὐδὲ ἀγῶνος δεῖ, supervacaneum arbitror, ideoque del.

Digitized by Google

πολεμίῳ, μηδὲ τὰ σπέρματα δεχομένῳ. Εἰ τοίνυν ἐξὸν χωρὶς συμπλοκῆς στῆσαι τὸ τρόπαιον, τί πράγματα ἑαυτῷ παρέχεις περιττά; Οὐ γὰρ τοσοῦτος ἱδρὼς συμβαίνει ἐν τῷ μὴ ὁρᾷν, ὅσος ἐν τῷ ὁρῶντα κρατῆσαι· μᾶλλον δὲ οὐδὲ πόνος τὸ πρότερον, ἀλλ' ὁ πολὺς μόχθος μετὰ τὴν θέαν φύεται. Ὅταν οὖν καὶ τὸ κέρδος μέγιστον ᾖ, καὶ ὁ πόνος μικρός, τί σαυτὸν ἐμβάλλεις (76) εἰς τὸ ἀδιεξόδευτον τῆς ἐπιθυμίας πέλαγος; οὐ γὰρ εὐχερέστερον μόνον ὁ μὴ θεώμενος, ἀλλὰ καὶ καθαρώτερον περιέσται. Ὥσπερ γὰρ ὁ ὁρῶν μετὰ πόνου πλείονος καὶ κηλῖδος ἀπαλλάττεται, ἐὰν ἄρα ἀπαλλαγῇ· οὕτως ὁ μὴ ἰδὼν καὶ τῆς ἐπιθυμίας ἐστὶ καθαρός.

A opus est) ei qui hosti non aperit portas, vel auctor non est movendi belli. Si igitur liceat sine conflictu tropæum statuere, quid supervacaneos suscipis labores? Non enim tantus labor est non videndo formam, quantus illi, in superando, qui videt; imo in priore labor non est, sed post conspectum difficilis exsistit labor. **573** Cum igitur et lucrum sit maximum, labor etiam exiguus, cur te in pelagus desideriorum, quod exitum non reperiat, conjicis? non enim superat modo facile qui non spectat, verum etiam purior exsistit. Ut enim formæ spectator post labores plurimos a macula liberatur, si quidem liberatur : sic non spectans etiam a desiderio liber evadit.

B

ΞϚ'. — ΟΦΕΛΙΩ ΓΡΑΜΜΑΤΙΚΩ.

LXVI. — OPHELIO GRAMMATICO.

Non ea semper utilia quæ nobis, sed quæ Deo videntur. (*Confer ep.* 454, *initio et fine.*)

Οὐ πάντως (77) τὰ δοκοῦντα ἡμῖν συμφέρειν, ταῦτα καὶ λυσιτελεῖ. Πολλοὶ γὰρ πολλοὺς νενικηκότες, ἐκείνους μὲν ἔβλαψαν οὐδέν, ἑαυτοὺς δὲ τὰ χείριστα διέθηκαν· διὸ καὶ ἔδοξεν ἐκεῖνος διημαρτηκέναι τῆς ἀληθείας ὁ εἰπών· « Μακάριος ἐκεῖνος, ᾧ τὸ τόξον μεριμνήσειας ὃ συμφέρει (78) πεσεῖν. » Ἐχρῆν γὰρ, εἴγε σοφὸς ἦν, εἰπεῖν· « Μακάριος ἐκεῖνος ᾧ τὸ τόξον μεριμνήσειας ὃ συμφέρει πεσεῖν. » Πολλοὶ γὰρ ἐνζήλων καὶ λαμπρῶν ἐπιτυχόντες πραγμάτων, ἐκ τούτου εἰς χεῖρω ἑαυτοὺς ἤλεψαν κακά. Ἐπὶ γὰρ τοῖς προτέροις μεγάλα φρονήσαντες, τολμηροτέρως τοῖς δευτέροις ἐνεχείρησαν. Πολλοὶ δὲ ἀποτυχόντες, συμφερόντως ἐπαιδεύθησαν τοῖς ἀργαλεωτάτοις πράγμασι μὴ ἐγχειρεῖν. Ἐπεὶ οὖν τὸ τὰ συμφέροντα εἰδέναι τε καὶ διδόναι, τῇ θείᾳ ἀνήκει προνοίᾳ, ταῦτα παρ' αὐτῆς αἰτῶμεν, καὶ διδόμενα στέργωμεν, εἰ καὶ ἐναντία δοκοίη εἶναι.

Non continuo quæ prodesse nobis videntur, eadem expediunt utiliaque sunt. Multi enim cum vicerint multos, nihil vero illos læserint, sibi pessime consuluerunt. Quamobrem et ille a veritate aberrasse mihi videatur, qui olim dixit : « Felix cui telum, cum anxit et sollicite cogitavit, bene contigit cadere. » Aliter enim, si saperet, dixisse oportuit : « Beatus, inquam, cui jaculum anxie cogitanti, ad id, quod sibi est utile, cadere contingat. » Plerique enim in arduis clarisque versati negotiis, ex his in deteriora mala se præcipitant. Ob priora namque magnos habentes spiritus, temerarie magis C posteriora susceperunt. Contra multi bonis spoliati utiliter sunt eruditi difficiliora non aggredi negotia. Igitur cum nosse utilia, et dare, ad divinam pertinet providentiam, hæc ab illa postulemus, et data æqui bonique consulamus, tametsi adversa esse videantur.

ΞΖ'. — ΗΡΩΝΙ (79) ΠΡΕΣΒΥΤΕΡΩ.

LXVII. — HERONI PRESBYTERO.

Avaritiæ detestatio. (*Confer ep.* 55.)

Ὥσπερ ὁ διὰ παντὸς διψῶν, κἂν παρὰ ποταμοὺς καὶ πηγὰς κατακέηται, οὐκ αἰσθήσεται τῆς εὐφροσύνης, τῷ μὴ δύνασθαι σβέσαι τὸ πάθος· οὕτω καὶ ὁ πλειόνων ὀρεγόμενος, κἂν μυρίους ἔχει θησαυρούς, οὐδέποτε ἡδονῆς αἰσθήσεται, τῷ μὴ εἰδέναι κόρον. Ὁ δὲ τῷ τῆς χρείας ὅρῳ εἴσω ἑαυτὸν διατηρῶν, οὐδέποτε τούτῳ τῷ ἀνηκέστῳ ἁλώσεται νοσήματι, ἀλλ' ἐν θυμηδίᾳ ἔσται καὶ χαρᾷ, ἀνάλωτός τε τοῖς ἄλλοις πάθεσι διαμενεῖ, οἷς ὁ ἀεὶ ἐρῶν ἁλίσκεται. Οὐ γὰρ

Ut plane sitibundus, etsi ad flumina fontesque descendat, non sentiet, nisi sitim possit restinguere, delectationem; sic et plura semper appetens, tametsi thesauros habeat infinitos, voluptatem nunquam sentiet, eo quod satiari nesciat. Qui vero intra fines utendi, quantum quidem satis est, seipsum D conservet, incurabili hoc morbo nunquam capietur, sed in delectatione erit et gaudio, et ab aliis affectibus expugnari nescius constans perseverat,

VARIÆ LECTIONES ET NOTÆ.

dum. Statim τὰ σπέρματα retineo, quæ Isidoro familiaris vox cum Demosthene, ut epist. 101 et 147. SCHOTT.

(76) Pro ἐμβάλλεις codd. Vat. 650 et Alt. habent ἐμβαίνεις. POSSIN.

(77) Huc pertinet lepida Phædri fabula 12 Lib. I, de cervo cui tenues pedes displicebant, et nox fega servarunt; cornua vero placebant, quibus in silva ramis impeditus capitur a canibus.

Laudatis, ait, *utiliora quæ contempseris,*
Sæpe inveniri, hæc exserit narratio.

Mox pro ἐνζήλων lego εὐζήλων. Cujus autem antiqui dictum hoc sit, nondum equidem divinare potui. Aliis lampada in cursu trado. SCHOTT.

(78) Pro συμφέρει codd. Vat. 650 et Alt. legunt βούλεται. Solus autem Alt. pro præcedente μεριμνήσειας scribit μερίμνησις. Vers. hinc tertio pro μεριμνήσειας iterum cod. Alt. ponit μερίμνησις. Vers. seq. pro ἐνζήλων καὶ λαμπρῶν ambo codd. scribunt ἐζήλων καὶ οἰκτρῶν. Vers. inde 2, pro φρονήσαντες ponunt φρονήσεται. POSSIN.

(79) Non Ἥρωνι, sed Ἱέρωνι, *Hieroni*, hæc epist. inscribitur in codd. Vatic. 650 et Altaemsi. Ip.

Digitized by Google

quibus tamen amans fere capitur. Non enim multa possedisse, sed paucis indigere, reddit invictos, securosque præstat. Ille enim etsi non afficiatur injuria, valde tamen metuit, ut qui injuriam possit pati. Hic vero in primis pati injuriam non potest. Quinimo si passus videatur, melius adhuc quam alii eadem non passi, affectus erit, quia continentis vitæ præmia despectat.

A τὸ πολλὰ κεκτῆσθαι, ἀλλὰ τὸ ὀλίγων δεῖσθαι ἀναλώτους ποιεῖ, καὶ ἐν πάσῃ ἀσφαλείᾳ καθιστᾷ· ἐκεῖνος μὲν γὰρ, κἂν μὴ ἀδικηθῇ, ἀκμάζοντα ἔχει τὸν φόβον, ἅτε ἀδικηθῆναι δυνάμενος. Οὗτος δὲ μάλιστα μὲν ἀδικηθῆναι οὐ δυνηθήσεται. Ἂν δὲ καὶ ἠδικῆσθαι δόξῃ, τῶν οὐκ ἠδικημένων πολλῷ ἄμεινον διακείσεται, ἐν πλείονί τε ἔσται ἀγαλλιάσει, τῷ καὶ τὰ τῆς φιλοσοφίας γέρα προσδοκᾷν.

574 LXVIII. — EUTONIO DIACONO.

ΞΗ'. — ΕΥΤΟΝΙΩ ΔΙΑΚΟΝΩ.

De bono tentationis. (*Conf. ep.* 39 *et* 226, *in Dan.* III *ep.* 36 *et* 138.)

Noli admirari, neque ænigma esse, quod alias tibi scripsi, existimes: tentationes sæpenumero gravium ac difficilium perturbationum esse interitum, libertatemque animo conciliare. Quemadmodum enim in tribus illis pueris [9], non solum ignis ipsos non attigit, sed et ad vinculorum dissolutionem subserviit, nactus suæ terminum efficaciæ, ferrum abolendo: sic et tentationes ignaviam resecantes ad sobrietatemque adducentes, omnes a peccatorum expediunt vinculis.

Μὴ θαύμαζε, μηδὲ ἡγοῦ αἴνιγμα τὸ παρ' ἡμῶν σοι προειρημένον, ὅτι οἱ πειρασμοὶ πολλάκις τῶν δυσχερῶν καὶ ἀνελευθέρων παθῶν ἀπαλλαγὴν καὶ B ἐλευθερίαν τῇ ψυχῇ χαρίζονται. Ὥσπερ γὰρ ἐπὶ τῶν τριῶν παίδων, οὐ μόνον οὐχ ἥψατο αὐτῶν τὸ πῦρ, ἀλλὰ καὶ πρὸς τὴν τῶν δεσμῶν λύσιν ὑπηρετήσατο, ὅρον τῆς ἑαυτοῦ ἐνεργείας ἐσχηκὸς τοῦ σιδήρου τὸν ἀφανισμόν· οὕτω καὶ οἱ πειρασμοὶ, ῥᾳθυμίαν περικόπτοντες, καὶ εἰς νῆψιν ἐπανάγοντες, λύουσι πολλοὺς ἀνθρώπους ἐκ τῶν δεσμῶν τῆς ἁμαρτίας.

LXIX. — EIDEM.

ΞΘ'. — ΤΩ ΑΥΤΩ.

Non in alieno casu, sed in propria virtute spes firmanda. (*Vide ep.* 50 *et* 58.)

Dubia quidem et incerta est spes ex aliena infelicitate concepta, non ex propria pendens virtute. Talis enim facile evanescet. At si quis domi securitatis habeat pignora, inexpugnabilis hic erit, insidiosisque superior molitionibus.

Σφαλερὰ μὲν ἐλπὶς, ἐξ ἀλλοτρίας κακοπραγίας, οὐκ ἐξ οἰκείας ἀρετῆς ἠρτημένη. Ἡ γὰρ τοιαύτη ῥᾳδίως οἰχήσεται. Εἰ δέ τις οἴκοθεν ἔχοι τὰ τῆς ἀσφαλείας ἐνέχυρα, ἀνάλωτος ἔσται, καὶ τῶν ἐπιC βουλευόντων κρείττων.

LXX. — EIDEM.

Ο'. — ΤΩ ΑΥΤΩ.

Sorte sua firmum lædere nemo potest.

Non hoc age, ne quis te injuria afficiat, sed ne afficere possit, ut maxime velit. Id enim non evenit aliunde, quam necessariis esse contentum, vel nil amplius appetere. Qui enim pluribus inhiat, ab omnibus capi facile potest, cum ab hominibus, tum animi affectionibus.

Μὴ τοῦτ' ἐννόει, ὅπως μηδείς σε ἀδικήσῃ, ἀλλ' ὅπως κἂν βούληται, μὴ δύνηται· τοῦτο δὲ οὐδαμόθεν ἑτέρωθεν τίκτεται, ἢ ἐκ τοῦ τῆς χρείας ἔχεσθαι, καὶ μὴ πλειόνων ὀρέγεσθαι. Ὁ γὰρ πλειόνων ἐφιέμενος, πᾶσιν εὐάλωτός ἐστι, καὶ ἀνθρώποις καὶ πάθεσιν.

LXXI — ISIDORO PRESBYTERO.

ΟΑ'. — ΙΣΙΔΩΡΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Jobi in calamitate patientia Sapientem omnem perferre fortunam.

Viri præstantissimi, mente pura atque constanti naturam, quoad ejus fieri potest, contemplati, moderate omnes ferunt rerum vicissitudines. Ut enim laudati tragœdiæ histriones omnem induentes personam admirationi sunt, sic et viri fortissimi veluti athletæ in hac vita constituti, omni, quod offertur, sese decenter accommodant. Considera mihi celebrem illum Job, qui in divitiis laudabilis, in inopia magis inclaruit: idemque admirationi cum esset suis opibus, paupertate magis exstitit admirandus. Namque in divitiis indecore turpiterque vivitur, in paupertate vero decore ac modeste. At mente capti malorum investigare cum non possunt originem, hos, qui nihil aut modico saltem dolore affliguntur, infelicibus annumerant. Cum enim nonnisi propriam quisque fragilitatem accusare deberet, res ipsas damnant.

Οἱ τῶν ἀνδρῶν ἄριστοι, ἅτε νῷ καθαρῷ καὶ ὑγιαίD νοντι τὴν τῶν πραγμάτων, ὡς ἔνι μάλιστα, θεώμενοι φύσιν, πάσας μετρίως φέρουσι τὰς τούτων μεταβολάς. Ὥσπερ γὰρ οἱ εὐδόκιμοι τραγῳδοὶ πᾶν δεχόμενοι πρόσωπον θαυμάζονται· οὕτω καὶ οἱ κράτιστοι, ὥσπερ ἀγωνισταὶ ὄντες τοῦ βίου, παντὶ τῷ δοθέντι εὐσχημόνως συνδιατίθενται. Ὅρα γὰρ τὸν ἀοίδιμον Ἰὼβ, ὃς ἐν πλούτῳ εὐδοκιμήσας, ἐν πενίᾳ πλέον διέλαμψε· καὶ θαυμασθεὶς ἐν ἐκείνῳ, ἐν ταύτῃ πλέον ἐθαυμάσθη. Ἔστι γὰρ περὶ πλοῦτον ἀσχημονεῖν, καὶ πενίας ἁπτόμενον εὐσχημονεῖν· οἱ δὲ νοῦν οὐκ ἔχοντες, τὴν ῥίζαν τῶν κακῶν ἀνιχνεῦσαι μὴ ἀνεχόμενοι, τοῖς μηδὲν ἢ μικρὸν λυποῦσι τὴν τῶν κακῶν ἀπονέμουσι ψῆφον. Δέον γὰρ τὴν οἰκείαν αἰτιᾶσθαι ἀνανδρίαν, τῶν πραγμάτων καταψηφίζονται.

[9] Dan. III, 1 seqq.

Digitized by Google

ΟΒ'. — ΓΕΝΝΑΔΙΩ.

LXXII. — GENNADIO.

Hanc vitam cum beatitudine æterna non conferendam. « *Oculus non vidit,* » *etc. Isa.* LXIV, 4; *I Cor.* II, 9; *et :* « *Non sunt condignæ passiones,* » *etc. Rom.* VIII, 18; *II Cor.* IV, 17.

Εἰ καὶ μειζόνων ἦ κατὰ σὲ ἀκροατῶν δεῖται τὸ λεχθησόμενον, ἀλλ' ὅμως λελέξεται· ὅτι εἰ πᾶσαν ὁμοῦ τὴν ἀφ' οὗ γεγόνασιν ἄνθρωποι μακαριότητα τῷ λόγῳ τις συλλάβοι, καὶ εἰς ἓν ἀθροίσειεν, οὐδὲ μυριοστῷ μέρει τῶν ἐσομένων ἀγαθῶν εὑρήσει παραπλησίαν· ἀλλὰ πλέον τοῦ ἐν ἐκείνοις σμικροτάτου τὰ τῇδε κατὰ τὴν ἀξίαν λειπόμενα, ἢ ὅσα σκιὰ καὶ ὄναρ τῶν ἀληθῶν ἀφέστηκε πραγμάτων· μᾶλλον δὲ, ἵνα πρεπωδεστέρᾳ χρήσωμαι εἰκόνι, ὅσῳ ψυχὴ σώματος τιμιωτέρα, τοσούτῳ κἀκεῖνα τούτων διενήνοχεν.

Etsi te majore est opus auditore, proferam nihilominus dictum illud : nimirum, si quis omnem simul omnium post homines natos beatitudinem sermone complecti queat, et in unum congerat, ne millesima quidem parte futurorum bonorum comparationem reperiat. Quinimo iis, quæ inter illa futura sunt minima, præsentia multum dignitate cedunt, velut umbra et somnium verorum exsistant bonorum. Imo potius, ut aptiore utar comparatione, quantum corpori anima præstat, tanto his illa antecellunt.

ΟΓ'. — ΗΡΩΝΙ ΣΧΟΛΑΣΤΙΚΩ.

LXXIII. — HERONI SCHOLASTICO.

In illud VII sapientum : « *Ne quid nimis ;* » *Platonis loco confirmatum.* (*Vide epist.* 413.)

Εἷς μὲν τῶν ἑπτὰ θρυλλουμένων σοφῶν παρῄνεσε· « Μηδὲν ἄγαν. » Πλάτων δὲ ὁ τῶν φιλοσόφων κορυφαῖος ἔφη· « Τῷ ὄντι τὸ ἄγαν τι ποιεῖν, μεγάλην φιλεῖ εἰς τοὐναντίον μεταβολὴν ἀνταποδιδόναι ἐν ὥραις, καὶ ἐν φυτοῖς, καὶ ἐν σώμασι, καὶ δὴ καὶ ἐν πολιτείαις οὐχ ἥκιστα. » Ποτέρῳ τοίνυν ἀκολουθῆσαι προῄρησαι; Τῷ τῶν σοφῶν ἄκρῳ, ἢ τῷ τῶν φιλοσόφων σὺ πλέον; τοῖν γὰρ ἀμφοῖν δίκαιος ἂν εἴης πεισθῆναι. Ὁ μὲν γὰρ παρῄνεσεν· ὁ δὲ καὶ τὴν αἰτίαν δι' ἣν χρὴ πεισθῆναι τῇ παραινέσει ἐδήλωσεν.

Septem Græciæ sapientum vere quidam hortabatur : « Ne quid nimis. » Plato vero philosophorum princeps dicebat : « Nimium quid agere, magnam solere in contrarium disputationem afferre tum in anni temporibus et humanis corporibus, tum maxime in rebus publicis. » Utrius sequendam censes potius sententiam, sapientumne an principis philosophorum? Ab utro que enim justum esset te persuaderi? Ille enim admonet; hic vero causam, cur assentiri quis debeat admonitioni, ostendit.

ΟΔ'. — ΛΑΜΠΕΤΙΩ ΔΙΑΚΟΝΩ.

LXXIV. — LAMPETIO DIACONO.

Melior ille qui peccans scit se peccare, eo qui, cum peccat, peccatum ignorans illo ut recte facto delectetur. (*Confer epist.* 159.)

Ὁ ἁμαρτάνων μέν τι, γινώσκων δὲ, τοῦ καὶ ἁμαρτάνοντος καὶ μὴ γινώσκοντος ἀμείνων εἶναί μοι δοκεῖ. Ὁ μὲν γὰρ ὀρθῆν, ὁ δὲ διεφθαρμένην ἔχει τῶν πραγμάτων τὴν κρίσιν· καὶ ὁ μὲν εἰς μετάνοιαν βαδιεῖται, ὁ δὲ εἰς ἀναλγησίαν τελευτήσει· ὁ μὲν ἐρυθριάσει πταίων, ὁ δ' οὐδ' ἐρυθριάσει· πῶς γὰρ ἐρυθριάσει (80) ὁ μηδὲ αὐτὸ τοῦτο ὅτι πταίει ἐπιστάμενος; Διὸ ὁ τῶν πραγμάτων ἀκριβῶς βασανίσας τὴν φύσιν, ἔφη· « Οὐ μόνον αὐτὰ ποιοῦσιν, ἀλλὰ καὶ συνευδοκοῦσι τοῖς πράττουσιν, » τὸ ἐπαινεῖν τοῦ πράττειν ἀργαλεώτερον εἶναι, εἰκότως ὁρισάμενος. Χρὴ οὖν τὸν μὲν εἰς μετάνοιαν παρακελεῦσαι· τῷ δὲ αἴσθησιν τῶν γιγνομένων ἐμποιῆσαι. Εἰ μὴ γὰρ αἴσθοιτο, οὔτε ἁμαρτάνειν παύσοιτο.

Peccans quidem, sed agnoscens peccatum, eo, qui peccat, non tamen se peccasse fatetur, longe præstantior mihi quidem videtur. Ille enim rectum habet, hic vero corruptum de rebus judicium; ille ad pœnitentiam tendit, hic sine dolore peccatorum exstinguetur: ille peccando erubescit, hic vero minime. Qua enim ratione erubescat, cum se peccare nesciat? Hinc et rerum omnium accurate explorare naturam solitus dixit : « Non solum hæc faciunt, sed et consentiunt facientibus [10], » recte concludens, gravius esse laudare quam facere. Illum itaque ad resipiscendum convenit invitare; huic vero sensum indere judiciumque male gestæ rei oportet. Nisi enim peccatum quis cognoscat, peccare non desinet.

ΟΕ'. — ΔΙΟΓΕΝΕΙ ΔΙΑΚΟΝΩ.

LXXV. — DIOGENI DIACONO.

Ἀχαριστίας, *ingratique accusat animi.*

Λίαν σοι μέμφομαι, ὅτι τέθνηκε παρὰ σοὶ ἡ χάρις, ἣν δεόμενος τότε ἀθάνατον ἔξειν (81) διεβεβαιώσω· ἴσθι τοιγαροῦν, ὅτι περιπεσὼν αὖθις συμφορᾷ οὐχ ἕξεις τὸν ἀντιλήψόμενον· βοηθῶν γὰρ ἀναγκαίως ἀποροῦσιν οἱ ἐπιλήσμονες ὄντες χαρίτων.

Non injuria tibi succenseo, quod apud te gratia, quam reddere perpetuo oportebat, **576** perierit. Scito itaque, cum denuo in discrimen aliquod incideris, adjutorem te minime reperturum. Auxiliatore enim jure caret qui obliviosus est gratiæ acceptæ.

[10] Rom. I, 32.

VARIÆ LECTIONES ET NOTÆ.

(80) Hæc, πῶς γὰρ..... ἐρυθριάσει omittebat ed. Paris., et adduntur ex codd. Vatic. 650 et Alt. EDIT.

(81) Pro ἕξειν legunt ἕξιν codd. Vat. 650 et Alt. Iidemque vers. antep. ep. pro τὸν ἀντιλήψόμενον scribunt τ' ἀντιλῆψόμενον. PORSIN.

Digitized by Google

LXXVI. — ASCLEPIO SOPHISTÆ.

ΟϚ'. — ΑΣΚΛΗΠΙΩ ΣΟΦΙΣΤΗ.

Quis vere fortis. (*Confer epist.* 88.)

Fortem ego hunc revera virum pronuntio, quem neque adversæ res, neque hostium vicerint insidiæ. Cum enim capi istis plerique consueverint, ille quidem qui auxilio omni destitutus vinci non posse sit deprehensus, sed et vim egregie perferens, et insidias laudi sibi ducens, neque in serviles delapsus adulationes ac blanditias, sublimiorem vero habens quam insidiatores prudentiam, fortis hic vir censendus, si quod in his judicium meum. Cum enim in prospera fortuna expeditius etiam molles homines prudentia utantur, res certe adversæ probos declarant viros. In felicibus itaque moderatus qui sit, in adversis vero rebus celsus minimeque abjectus, fortissimum ego hunc virum censeo appellandum.

Ἐκεῖνον ὄντως ἀνδρεῖον ὁρίζομαι, ὃν οὔτε δυσκολία πραγμάτων, οὔτε ἐχθρῶν ἥλεξεν ἐπιβουλή. Τῶν γὰρ πολλῶν ὑπὸ τῶν τοιούτων εἰωθότων ἁλίσκεσθαι, ὁ μὴ ἐν τοῖς ἀβουλήτοις εὐάλωτος φωραθεὶς, ἀλλὰ καὶ ἐπηρείας κοσμίως φέρων, καὶ δόξης ὑπόθεσιν ποιούμενος τὰς ἐπιβουλὰς, καὶ μὴ εἰς δουλοπρεπεῖς καταγιγνόμενος θωπείας, ἀλλ' ὑψηλότερον τῶν ἐπιβουλευόντων ἔχων τὸ φρόνημα, οὗτος ἀνδρεῖός ἐστι παρ' ἐμοὶ κριτῇ. Ἐπειδὴ γὰρ ἐν μὲν ταῖς εὐημερίαις ῥᾷστον καὶ τοῖς ἀνάνδροις φρονήματι χρήσασθαι, αἱ δυσκολίαι δὲ τοὺς ἀγαθοὺς κρίνουσι· τὸν μὲν ἐν εὐημερίᾳ μέτριον, ἐν δὲ δυσκολίᾳ πραγμάτων, ἀταπείνωτον, ἀνδρειότατον εἶναι ἔγωγε ὁρίζομαι.

LXXVII. — MARTINIANO, ZOSIMO et MARONI.

ΟΖ'. — ΜΑΡΤΙΝΙΑΝΩ, ΖΩΣΙΜΩ, ΜΑΡΩΝΙ.

Hortatur ut a vitiis desistant : quæ tot tantaque, ut nec vivi verbis quidem exprimant, nec posteri sint creduturi. (*Confer epist.* 53 *ad eosdem.*)

Si, ut ferunt, quidam valde periti, dicendique arte exercitati, vestram non facile audeant tragicam referre vitam : verentur enim eorum, qui nunc vivunt, reprehensionem, et posteros non credituros. (Illi enim plura se scire dicunt, quam de vobis enuntiare queant ; posteri vero minora vos flagitia commisisse, quam quæ narrentur, existimabunt), quæ hæc igitur vestra incurabilis est amentia et debacchatio, talia vos patrare scelera, quæ et hodie disertos arguant silentii, et apud posteros fidem non inveniant ? Nec enim facile ut credant adduci poterunt posteri ea ab hominibus admissa crimina, quæ ne exitiales quidem dæmones committere audeant. Vivi enim patrata cernentes scelera dicent inferiora illis tragica esse dramata. Posteri vero audientes, majora illis existimabunt. Illi verbis potuisse adæquari narrationem rebus a vobis patratis negabunt ; posteri autem exaggeratam in majusque elatam orationem suspicabuntur. Illi quidem oratores victos esse rerum enormitate, posteri vero superasse oratione judicabunt. Illos, inquam, argumento victos, hi plus æquo res auxisse dicent. Quare cum omnia, quæ dici possunt, cum vestris exsecrandis vitiis comparata exigua sint, committere talia desinite, quæ et præsentes oratores arguant, et apud posteros fidem non mereantur.

Εἰ, ὡς φασί τινες, οὐδὲ οἱ λίαν δεινοὶ, καὶ τὸ λέγειν τέχνην πεποιημένοι, τὰς ὑμετέρας ῥᾳδίως τολμῶσι στηλιτεῦσαι τραγῳδίας (φοβοῦνται γὰρ τῶν μὲν νῦν τὸν ἔλεγχον, τῶν δὲ ἐσομένων τὴν ἀπιστίαν. Τοὺς μὲν γὰρ πλείονα εἰδέναι φασὶν, ὧν ἂν εἰπεῖν δυνηθεῖεν· οἱ δὲ ἔλαττον ὑμᾶς δεδρακέναι τῶν ῥηθησομένων ἡγήσονται), τίς ἡ ἀνήκεστος αὕτη μανία, ἡ ἐκβακχεύσασα ὑμᾶς τοιαῦτα δρᾶσαι, ἃ καὶ τοὺς νυνὶ δεινοτάτους ἐλέγξει, καὶ τοὺς μετὰ ταῦτα ἀπιστῆσαι παρασκευάσει (82); Οὐ γὰρ πιστεῦσαι ἐθελήσουσι ῥᾳδίως, ὅτι ἄνθρωποι τοιαῦτα ἔδρασαν, ἃ οὐδ' ἂν δαίμονες ἀλιτήριοι δρᾶσαι ἐτόλμησαν. Οἱ μὲν γὰρ ὁρῶντες τὰ δραματουργούμενα, ἥττους τῶν τραγῳδιῶν τοὺς λόγους, οἱ δ' ἀκούσαντες, μείζους ἡγήσονται. Οἱ μὲν μὴ δεδυνῆσθαι τὴν φράσιν ἐξισωθῆναι τῇ πράξει νομιοῦσιν· οἱ δὲ ἐξωγκῶσθαι, καὶ πρὸς τὸ μεῖζον ἦρθαι τὰ γεγενημένα ὑπολήψονται. Οἱ μὲν ἡττῆσθαι τοὺς ῥήτορας, οἱ δ' ὑπερβεβηκέναι ψηφιοῦνται. Τοὺς μὲν γὰρ κατόπιν τῆς ὑποθέσεως ὑπολελεῖφθαι (83), τοὺς δὲ ὑπερβεβηκέναι ψήσουσιν. Εἰ τοίνυν πάντα μικρὰ πρὸς τὴν ὑμετέραν βδελυρίαν φθέγξασθαι, παύσασθε τοιαῦτα δρῶντες, ἃ καὶ τοὺς νῦν ἐλέγξει, καὶ τοὺς ἐσομένους ἀπιστῆσαι παρασκευάσει.

577 LXXVIII. — EUGENIO DIACONO.

ΟΗ'. — ΕΥΓΕΝΙΩ (84) ΔΙΑΚΟΝΩ.

Major in futura vita merces erit eorum, qui nihil bonorum in hac vita accepere, ut Harpocras Sophista. (*Sup. epist.* 52 *et* 53.)

Scito, optime vir, recte agentem præmium in

Ἴσθι, ὦ μακάριε, ὅτι οὐκ εἰς τὸ μὴ λαβεῖν ἀμοι-

VARIÆ LECTIONES ET NOTÆ.

(82) Inter παρασκευάσει et οὐ hæc plane sincera et ad sententiam necessario inserenda supplent codd. Vat. 650 et Alt., Τούτους μὲν γὰρ ἐλέγξει, ὡς μὴ δυνηθέντας ἐπαξίως τῆς ἡμετέρας κακίας φράσαι· ἐκείνους δὲ ἀπιστῆσαι παρασκευάσει. Hoc verbum ultimum παρασκευάσει, secundo repetitum, occasionem oscitanti descriptori præbuisse credibile est hoc comma omittendi. Possin.

(83) Ὑπολελεῖφθαι iidem codd. mutant in ἀπολελεῖφθαι. Ib.

(84) Pro Εὐγενίῳ, qui unicus hoc libro, puto reponendum Εὐτονίῳ, exstat enim ad eumdem persimilis epist. 221 et 222. Vide et epist. 96, ad eumdem. Schott.

Digitized by Google

ὄχς, ἀλλ' εἰς τὸ λαμπροτέρας λαβεῖν, εἰ ἐν πᾶσιν εὐδοκιμήσειας, τὸ μηδέπω λαβεῖν περιστήσεταί σοι. Ὁ μὲν γὰρ ἐνταῦθά τι λαβὼν λαμπρόν· ὁ δὲ μὴ λαβὼν, λαμπρότερον ἐκεῖσε ἕξει τὸν στέφανον. Μὴ τοίνυν, ὃ θυμηδίας ἐστὶ πρόξενον, τοῦτο ἀθυμίας σοι αἴτιον γινέσθω. Τῷ μὲν γὰρ ἐνταῦθα εἰληφότι, εἰκότως ὑποτέμνεται ὁ μισθός· τῷ δὲ μὴ εἰληφότι ἀκέραιος δῆλον ὅτι φυλάττεται.

A præsens non accipere, idipsum non ut amittat, sed ut munificentius accipiat, occasionem esse. Qui enim hic capit aliquid, illustrem quidem, at qui nihil receperit, illustriorem in altera vita coronam consequetur. Cave igitur ne quod animi delectationem conciliat, pariat tibi pusilli animi occasionem. Hic enim recipienti merito intercipitur merces; illi vero non accipienti integrum asservari præmium, manifestum est.

ΟΘ'. — ΚΥΡΙΛΛΩ ΕΠΙΣΚΟΠΩ.

LXXIX. — CYRILLO EPISCOPO.

Eleemosynæ de juste partis gratæ Deo. (*Conf. epist.* 249.)

Οἶδε πάντως ἡ σὴ σύνεσις, ὡς οὐδὲ τὸ ἄδικον κέρδος εἰς ἐλεημοσύνην ἐπιτήδειον· οὔτε ἡ ἀπληστία τῶν οἰκονομούντων τὴν Πηλουσιωτῶν Ἐκκλησίαν χόρον οἶδεν. Ἄριστα οὖν πράξεις, εἰ παύσεις τῶν τὰ ἐκκλησιαστικὰ διοικούντων χρήματα τὰς πλεονεξίας· εἰ γὰρ τὸ ἐξ ἀδικίας πορίζεσθαι τοῖς δεομένοις τὰ ἀναγκαῖα οὐκ εὐαγὲς, τὸ μηδὲ τοῖς δεομένοις αὐτὰ πορίζειν, ἀλλ' οἰκείοις θησαυροῖς ἐναποκλείειν, πάντη ἐναγέστατον. Μανθανέτωσαν οὖν, ὅτι καὶ διανέμειν ὀφείλουσι καθαρῶς τοῖς πενομένοις τὰ δικαίως προσόντα καὶ ἀδικίας ἁπάσης καθαρεύειν, μάλιστα μὲν ἐπειδὴ τῷ Κριτῇ τοῦτο δοκεῖ· ἔπειτα δὲ, ὅτι οὐδὲ ἐκείνων ἕνεκεν, ὧν φασι φροντίζειν, πλεονεκτοῦσιν, ἀλλὰ τοὺς οἰκείους θησαυροὺς ἐμπλῆσαι γλιχόμενοι. Εἰ γὰρ σβέσειας τῶν διοικούντων τὴν ἀπληστίαν, πολλῆς ἀπολαύονται οἱ πένητες εὐετηρίας.

B Probe tua novit prudentia luerum injustum non satis esse eleemosynæ idoneum, neque inexplebilem habendi cupiditatem dispensatorum Ecclesiæ Pelusiotarum posse satiari. Optime itaque feceris, si eorum, qui Ecclesiæ bona gubernant, cessare avaritiam cogas. Si enim per nefas parta ne in judiciis quidem erogare fas est; quomodo nefas non erit ea in propriis thesauris reponere? Doceantur itaque, quando pure et candide pauperibus distribuere ea debent, quæ juste ac legitime acquisiverint, ab injustitia omni puros se reddere, maxime cum Judici [Deo] sic placitum, quando neque illorum gratia, quæ curare se dicunt, amplius possideant, sed quotidie suis impleantur thesauris. Si enim gubernantium resecueris habendi cupiditatem, emolumenti plurimum inopes e proventibus capient.

Π'. — ΑΡΠΟΚΡΑ ΣΟΦΙΣΤΗ.

LXXX. — HARPOCRÆ SOPHISTÆ.

C

In ratiocinando caute agendum, ne veritas male defendendo prodatur.

Ὁ μὲν ἐν τοῖς κομιδῇ ζητουμένοις ἔχων ἰσχυρὰν λύσιν ἐπαγαγεῖν, εἰκότως οὐ δέδοικε χαλεπωτέραν ποιῶν τὴν ἀντίθεσιν. Ὁ δὲ μὴ ἔχων, τὴν δὲ δύναμιν τῶν λόγων ἐν τῇ ἀντιθέσει ἐπιδεικνύμενος, ἐν δὲ τῇ λύσει ἀσθενὴς φαινόμενος, λανθάνει λαμπροτέραν τὴν οἰκείαν ἐπιδεικνύμενος ἥτταν. Οὐ γὰρ ἐχρῆν οὕτω παρὰ τὴν ἀρχὴν ἀγωνίσασθαι τὸν μέλλοντα ἡττηθήσεσθαι· μᾶλλον δὲ, εἰ δεῖ τἀκριβὲς εἰπεῖν, προδότης τῆς ἀληθείας φωραθήσεται, δι' ὧν τὴν δύναμιν τῶν λόγων τὴν ἐν τῇ ἀντιθέσει, οὐκ ἐπιδείξατο ἐν τῇ λύσει.

Qui ad exaggeratas quæstiones validam potest afferre solutionem, merito non timeat, qui difficiliorem afferat objectionem. At solidam non habens solutionem, in objectis vero rationum ostendat momenta, et in solutione imbecillis appareat; nescit quod difficultati se succubuisse clarius ostendat. Non enim sic oportebat eum ab initio contendere, qui futurus erat inferior, vel potius, si loquendum verius, proditor veritatis comprehendendus, quod non viderit in solutione vim rationum, quæ in objectione apparebit.

ΠΑ'. — ΖΩΣΙΜΩ.

LXXXI. — ZOSIMO.

Ad virtutem exstimulat.

Εἰ μὴ βούλει ὀνείδη τε ἔξειν, καὶ τιμωρίας ὑφέξειν οὗ φημι ἐνθάδε (καίτοι οὐ μικρὸν καὶ τοῦτο τῷ ἐχέφρονι)', ἀλλ' ἐν τοῖς εἴτε ἐπὶ γῆς, εἴτε καὶ ὁπουδηποτοῦν τοῦ παντὸς τυγχάνει δικαστηρίοις, τὴν ῥᾳθυμίαν ἀποσεισάμενος ἔχου τῆς ἀρετῆς.

D Nisi subire vis ignominiam pœnasque pati **578** non in altera modo vita (quæ res sane non exigua, si modo prudenter judicas) sed in hac, sive sub terra, sive in quovis alio ubicunque tribunali, fac, pulsa ignavia, virtuti incumbas.

ΠΒ'. — ΑΡΤΕΜΙΔΩΡΩ.

LXXXII. — ARTEMIDORO.

Ex animo, non ex eventu res æstimandæ. (*Vide epist.* 200, *in illud Pauli :* « *Unusquisque propriam accipiet mercedem.* » *I Cor.* III, 8 *et* 14.)

Ὁ πάντα τὰ εἰς αὐτὸν ἥκοντα πληρώσας εἰς τὸ πεῖσαι, καὶ μὴ πείσας, ὡς ἀνύσας δίκαιος ἂν εἴη θαυμάζεσθαι· τοσοῦτον ἀπέχει τοῦ μέμψεως ἄξιος εἶναι. Εἰ δὲ θαυμαστὸν εἶναί σοι τοῦτο δόξει, ἐπιψηφιεῖται (85) ὁ Παῦλος φάσκων· « Ἕκαστος δὲ τὸν

Qui quod in ipso est, omnia exsequitur ut persuadeat, non persuadet tamen, tantum abest ut reprehensione videatur dignus, ut omnis sit expers. Id si mire dictum tibi videatur, calculum addet beatus Paulus dicens : « Unusquisque mercedem suam accipiet

VARIÆ LECTIONES ET NOTÆ.

(85) Ἐπιψηφιεῖται codd. Vat. et Alt. brevient in ἐπιψηφιεῖ. Possin.

Digitized by Google

piet juxta laborem suum : » non dixit, « juxta laboris eventum aut exitum. » Qui enim nihil omisit eorum, quæ fecisse oportuit, is corona dignus videatur.

ἴδιον μισθὸν λήψεται κατὰ τὸν ἴδιον κόπον· » οὐκ εἶπε· Κατὰ τὴν τοῦ καμάτου ἔκβασιν. Ὁ γὰρ μηδὲν παραλείψας τῶν ὀφειλόντων πεπρᾶχθαι, στεφάνων ἐστὶν εἰκότως ἄξιος.

LXXXIII. — PAULO DIACONO.

ΠΓ'. — ΠΑΥΛῼ ΔΙΑΚΟΝῼ.

Convivator optimus quis. Sic Timotheus dicebat Platonis convivia etium postero die supere.

Convivatorem ego illum insignem esse arbitror, non qui redundante cibis mensa convivam excipit, et saturitate injuriam inferat, sed qui quantum satis sit apparatas epulas condit, miscetque rationis plena hortatione, cujus utilitas animæ etiam queat prodesse.

Λαμπρὸν ἐστιάτορα εἶναι ἐκεῖνον ἡγοῦμαι, οὐ τὸν φλεγμαινούσῃ τραπέζῃ ἑστιῶντα τοὺς δαιτυμόνας, καὶ τὸν κόρον ὑβρίζεσθαι παρασκευάζοντα, ἀλλὰ τὸν τῇ αὐταρκείᾳ τῶν παρασκευασθέντων κιρνῶντα τὴν λογικὴν παραίνεσιν, ἧς ἡ ὠφέλεια καὶ ψυχῆς ἅπτεσθαι πέφυκεν.

LXXXIV. — MARTINIANO, ZOSIMO, MARONI, EUSTATHIO.

ΠΔ'. — ΜΑΡΤΙΝΙΑΝῼ, ΖΩΣΙΜῼ, ΜΑΡΩΝΙ, ΕΥΣΤΑΘΙῼ.

Hortatur ad pœnitentiam.

Quamvis multi de salute omnium vestrum desperant, equidem tamen denuo ad vos accedo suasurus, ut a vitiis abstineatis, hortans vero ad virtutem complectendam; prænuntians etiam improbis quæ pœna maneat; contra vero quæ virtutis studiosis præmia dabuntur. Si itaque rationem non omnino exstinxistis, sed restat scintilla, quæ accendi queat, eam inflammando suscitate. Forsitan, tametsi sero, id aliquando cognoscetis.

Εἰ καὶ πολλοὶ τὴν ὑμετέραν σωτηρίαν ἀπέγνωσαν, ἀλλ' ἐγὼ πάλιν ἥκω συμβουλεύσων μὲν ὑμῖν ἀποφοιτῆσαι τῆς κακίας, προτρέψων δὲ ἐπ' ἀρετήν· καὶ προμηνύσων μὲν τὰ τοῖς φαύλοις ἀποδοθησόμενα ἐπίχειρα, προαγορεύσων δὲ τὰ τοῖς φιλαρέτοις δοθησόμενα ἔπαθλα. Εἰ τοίνυν τὸ λογιστικὸν μὴ παντελῶς ἐνεκρώσατε, ἀλλ' ἔχει τι ἐμπύρευμα ἀναλάμψαι δυνάμενον, τοῦτ' ἀναῤῥιπίσαντες ἐξάψατε. Τάχα πως κἂν ὀψέ ποτε τόδε γνοίητε.

LXXXV. — HIERACI DIACONO.

ΠΕ'. — ΙΕΡΑΚΙ ΔΙΑΚΟΝῼ.

Christianorum discordiæ. In justitia fideque servanda latrones exemplo sunt. (Cic. I Offic.)

Miror equidem vehementer eos latrones, qui strictis grassantur gladiis, et in justos etiam arma ferunt, de præda participare. Desinunt enim jam esse latrones erga eos, quibuscum ictum fœdus est, sed mensa durum acerbumque vivendi morem eorum temperat. Nos vero divinis [in Eucharistia] dignati epulis, irreconciliabile inter nos bellum gerimus.

Λίαν θαυμάζω, ὅπως οἱ μὲν λῃσταὶ, οἱ ξίφη γυμνὰ ἐπισείοντες, καὶ κατὰ τῶν μηδὲν ἀδικούντων ὁπλιζόμενοι, ἁλῶν κοινωνήσαντες, οὐκ ἔτι εἰσὶ λῃσταὶ πρὸς οὓς ἂν σπείσωνται, ἀλλὰ μεταῤῥυθμίζει τὸν ἀμείλικτον τρόπον ἡ τράπεζα. Ἡμεῖς δὲ θείας ἀξιούμενοι τραπέζης, ἄσπονδον ἔχομεν πρὸς ἑαυτοὺς τὸν πόλεμον.

579 LXXXVI. — CASIO SCHOLASTICO.

ΠΣ'. — ΚΑΣΙῼ ΣΧΟΛΑΣΤΙΚῼ.

Patris offensas in liberis ulcisci indecorum.

Si quidem parentis mortem studiose observasti, quo tutius de filiis vindictam caperes, duplici te vitio ostendis obstrinxisse, socordiæ nimirum et vindictæ, seu memoriæ injuriarum. Socordiæ quidem, quod in illum minus posses; vindictæ vero, quod ab his ulcisci te studens, memoriæ injuriarum in te exhibes exemplum. At si ne hos quidem ignoscendo ulcisceris, ignaviæ declinabis opinionem et videberis tunc non metu cessisse, sed reipsa moderati animi signum exhibuisse.

Εἰ μὲν τὴν τοῦ πατρὸς τελευτὴν εἰς τὴν τῶν παίδων τιμωρίαν ἐκαιροφυλάκεις, δύο ἀγεννέσι πάθεσι σαυτὸν κεχειρῶσθαι δεικνύεις, ἀνανδρίᾳ τε καὶ μνησικακίᾳ. Πρὸς ἐκεῖνον μὲν γὰρ μὴ δυνηθεὶς, ἀνανδρίας· τούτους δὲ ἀμύνασθαι σπουδάζων, μνησικακίας ἐξοίσεις κατὰ σαυτοῦ δεῖγμα. Εἰ δὲ μηδὲ τούτους ἀμύνῃ, καὶ τὴν τῆς ἀνανδρίας ἀποτρίψῃ ὑπόληψιν. Δόξεις γὰρ καὶ τότε οὐ φόβῳ παρακεχωρηκέναι, ἀλλ' ἔργῳ πεφιλοσοφηκέναι.

LXXXVII. — ESAIÆ.

ΠΖ'. — ΗΣΑΙΑ.

Dei longanimitas ad virtutem, non ad peccatum nos excitare debet. Ad illud Isaiæ : « Cur timui ? » cap. XLII.

Ne ab his, virorum optime, ad deteriora prolabaris, a quibus prudentiorem effici oportet; ne vero basim salutis ducas interitus esse causam, sed Dei longanimitatem reveritus virtutem arripe; neque enim perpetuo sperni se sustinebit Judex ille, sed inferet extendetque dexteram suam robustam. Hinc et præmonet et redarguit, cur non irretractabile ipsius decretum feratur in reos. « Cur,

Μὴ ἀπὸ τούτων, ὦ βέλτιστε, ἐπὶ τὸ χεῖρον τρέπου, ἀφ' ὧν χρὴ σωφρονέστερον καθεστάναι· μηδὲ τὴν ὑπόθεσιν τῆς σωτηρίας πρόφασιν ἀπωλείας ἡγοῦ· ἀλλ' αἰδεσθεὶς τὴν θείαν μακροθυμίαν τῆς ἀρετῆς ἀντιλαβοῦ· οὐ γὰρ εἰς τέλος οἴσει καταφρονούμενος ὁ Κριτὴς, ἀλλ' ἐπείσει τὴν χεῖρα τὴν κραταιάν. Διὸ καὶ προμηνύει καὶ προαπολογεῖται, ὡς οὐκ ἄκρητος αὐτοῦ ἡ ψῆφος κατὰ τῶν ὑπευθύνων φέρεται· « Τί

Digitized by Google

γαρ, φητίν, ἐσιώπησα; μὴ καὶ ἀεὶ σιωπήσομαι, καὶ ἀνέξομαι; Ἐκστήσω, καὶ ξηρανῶ ἅμα. » Μονονουχὶ λέγων· Εἰ μὲν γνωτιμαχήσετε· ὅπερ προεί- ρηκα (86). Εἰ δὲ ἐπιμείνοτε, τόγε ἡμέτερον ἔξω αἰτίας. Ὑμεῖς γὰρ τὴν τιμωρίαν καθ' ἑαυτῶν ἑλθεῖν ἐξεβιάσασθε. A inquit, timui? nec semper tacebo et sufferam. Exsistam, et siccabo simul[11]. » Tantum non dicens: Pœnitemini, sicut prædixi vobis. At si perdurabitis in vitiis, extra culpam ero. Vos etenim pœnam capiti vestro accersitis.

ΠΗ'. — ΠΑΥΛΩ.

LXXXVIII. — PAULO.

Animum fortem periti instar gubernatoris adversitatum fluctus superare decet, ne iis submergatur. (*Confer ep.* 76.)

Τὸν εὐδόκιμον κρείττονα εἶναι χρὴ τῶν συμφορῶν. Τοῦτο δὲ ἔσται, εἰ τὸν λογισμὸν ὑψηλότερον τῶν παθῶν κατακτήσαιτο, καὶ καθάπερ κυβερνήτῃ μεταχειρίζειν τοὺς οἴακας καὶ οἰακίζειν ἐπιτρέψειεν. Εἰ δὲ τὸν κυβερνήτην καταβαπτίσειε, ναυάγιον ἀργαλεώτατον ὑποστήσεται, τῶν παθῶν κορυφουμένων, καὶ τὸν λογισμὸν εἰς αὐτὸν τοῦ πελάγους τὸν πυθμένα παραπεμπόντων. B Probum spectatumque virum omni superiorem esse calamitate decet. Id accidet, si ratio in illo perturbationibus dominetur, eamque siverit, ut navis clavum gubernator dirigit, habenas moderari et regere. Si vero mari gubernator mergatur, naufragium eveniet molestissimum, passionibus imperantibus, et rationem in ipsum pelagi fundum demergentibus.

ΠΘ'. — ΕΥΣΕΒΙΩ ΠΡΕΣΒΥΤΕΡΩ.

LXXXIX.— EUSEBIO PRESBYTERO.

De cleri fastu, ejusque causa. (*Confer epist.* 37 *et* 268).

Εἰ καὶ, ὡς γέγραφας, ἡ τῶν βασιλευόντων περὶ τὸ θεῖον εὐλάβεια τὴν ἐπισκόπων ἀνευλάβειαν ἤλεγξεν· καὶ ἡ πρὸς αὐτοὺς ἐκείνων ὑπερβάλλουσα τιμὴ τοὺς τιμωμένους ἐξέλυσε, καὶ ἡ πολλὴ αὐτῶν φιλοτιμία τρυφῆς καὶ ἀσωτείας τούτοις ὑπόθεσις γέγονεν· ἀλλὰ σὺ μὴ σκανδαλίζου· οὐ γὰρ πάντες ἐχειρώθησαν τοῖς εἰρημένοις πάθεσιν, ἀλλ' εἰσὶν οἱ σπουδάζοντες κατὰ τὸν ἀποστολικὸν ζῆσαι χαρακτῆρα. Εἰ δὲ φαίης, *Ὀλίγοι κομιδῇ*, οὐδὲ αὐτὸς ἀρνησαίμην· ἀλλὰ κἀν τούτῳ τὴν τοῦ Σωτῆρος πρόγνωσιν θαυμάσαιμι τοῦ φράσαντος· « Πολλοὶ μὲν κλητοί, ὀλίγοι δὲ ἐκλεκτοί. » C Etsi, ut scribis, regum erga Deum pietas episcoporum quorumdam irreverentiam redarguit, nimiusque ipsis exhibitus honos eos enervat, ingens quoque illorum honoris studium, deliciarumque et epularum materiam suppeditavit: tu tamen cave ne offendiculo tibi res ea sit: non enim omnes pariter prædictis laborant morbis, **580** sed sunt qui apostolico vivere charactere desiderant. Si dixeris: *Demus; sed rari admodum sunt*, non equidem inficias ivero. Sed et Salvatoris admiremur præscientiam dicentis: « Multi sunt vocati, pauci vero electi[12]. »

Ϙ'. — ΜΑΡΚΙΑΝΩ ΠΡΕΣΒΥΤΕΡΩ.

XC. — MARCIANO PRESBYTERO.

Delatoribus non temere credendum, sed utraque pars audienda.

Μὴ ὕπεχε τοῖς λογοποιοῦσι τὰς ἀκοάς· εἰ γὰρ ῥᾳδίως πιστεύοις τοῖς κατηγοροῦσιν, οὐκ ἐπιλείψουσιν οἱ καταψευδόμενοι καὶ πλάττοντες· ἀλλ' εἰ βούλει δὸς ἀκεραίους τὰς ἀκοὰς, καὶ ἀπολογήσεται μάλα γενναίως ὁ κατηγορηθείς· καὶ εἰς ἐκείνους τρέψεις τὴν εἰς αὐτὸν μάτην φυεῖσαν λύπην. Fabulis aures ne accommoda. Si enim facile accusantibus credas, non desinent falso accusare ac fingere. Sed si placet, aures præbe sinceras, et defendetur egregie, qui calumniis oppressus est, vertesque in illos dolorem, quem innocenti struxerant.

ϘΑ'. — ΤΩ ΑΥΤΩ.

XCI. — EIDEM.

Pauli ad Hebr. locus. Cap. IV, *v.* 8. *De Jesu Nave.*

Οὐ περὶ τῆς καταπαύσεως τῶν Ἑβραίων, τῆς γενομένης ἐν Παλαιστίνῃ διὰ Ἰησοῦ υἱοῦ Ναυῆ στρατηγίας, τῷ θεσπεσίῳ Παύλῳ ὁ λόγος· ἐκείνης γὰρ οὐδεὶς λόγος αὐτῷ, εἰς δὲ τὴν προσδοκωμένην ἔσεσθαι βλέπει, καὶ κατ' ἐκείνης ὁ τῶν νοημάτων σκοπὸς συντείνεται· ὅτι δὲ τοῦτό ἐστιν ἀληθὲς, αὐτὸς ἑαυτὸν ἑρμηνεύει λέγων· « Εἰ γὰρ αὐτοὺς Ἰησοῦς (ὃ ἦλον δέ ἐστι τοῦ Ναυῆ) κατέπαυσεν, οὐκ. ἂν περὶ ἄλλης ἐλάλει μετὰ ταῦτα ἡμέρας· ἄρα ἀπολείπεται σαββατισμὸς τῷ λαῷ τοῦ Θεοῦ. » Εἰ γὰρ αὐτοὺς, φησὶν, ἐκεῖνος κατέπαυσεν, οὐκ ἂν ὁ Δαβὶδ μετὰ πολλὰς γενεὰς γενόμενος, περὶ καταπαύσεως D Beatus Paulus non de requie Judæorum, quam Jesus Nave in Palæstina peperit, verba facit: hujus enim nulla est ab eo ratio habita; sed in eam requiem respicit quæ in futurum exspectatur, in eamque intelligentiæ scopus fertur. Quod verum esse ipse sui interpres sic explanat dicens: « Nam si eis Jesus [Nave] requiem præstitisset, nunquam de alia loqueretur post hanc die. Itaque relinquitur sabbatismus populo Dei[13]. » Si enim illis, ait ille, quietem dedit, non utique David post multas generationes natus de requiete loquens dixisset: « Hodie si vocem ejus audieritis, nolite obdurare corda

[11] Isa. XLII, 14. [12] Matth. XXII, 14. [13] Hebr. IV, 8.

VARIÆ LECTIONES ET NOTÆ.

(86) Pro ὅπερ προείρηκα iidem codd. habent ὃ προείρημαι. Possin.

Digitized by Google

vestra [14]; » non enim, inquit, vera quies populo Dei, id est, electis per fidem et ex fide viventibus in Palæstina reposita, sed in cœlesti Jerusalem præparata est.

Etsi, ut scribis, regum erga Deum pietas episcoporum quorumdam irreverentiam redarguit, nimiusque ipsis exhibitus honos eos enervat, ingens quoque illorum honoris studium, deliciarumque et epularum materiam suppeditavit: tu tamen cave ne offendiculo tibi res ea sit: non enim omnes pariter prædictis laborant morbis, **580** sed sunt qui apostolico vivere charactere desiderant. Si dixeris: *Demus; sed rari admodum sunt*, non equidem inficias ivero. Sed et Salvatoris admiremur præscientiam dicentis: « Multi sunt vocati, pauci vero electi[12]. »

Ϙ'. — ΜΑΡΚΙΑΝΩ ΠΡΕΣΒΥΤΕΡΩ.

XC. — MARCIANO PRESBYTERO.

Delatoribus non temere credendum, sed utraque pars audienda.

Μὴ ὕπεχε τοῖς λογοποιοῦσι τὰς ἀκοάς· εἰ γὰρ ῥᾳδίως πιστεύοις τοῖς κατηγοροῦσιν, οὐκ ἐπιλείψουσιν οἱ καταψευδόμενοι καὶ πλάττοντες· ἀλλ' εἰ βούλει ὀξὺς ἀκεραίους τὰς ἀκοὰς, καὶ ἀπολογήσεται μάλα γενναίως ὁ κατηγορηθείς· καὶ εἰς ἐκείνους τρέψεις τὴν εἰς αὐτὸν μάτην φυεῖσαν λύπην.

Fabulis aures ne accommoda. Si enim facile accusantibus credas, non desinent falso accusare ac fingere. Sed si placet, aures præbe sinceras, et defendetur egregie, qui calumniis oppressus est, vertesque in illos dolorem, quem innocenti struxerant.

ϘΑ'. — ΤΩ ΑΥΤΩ.

XCI. — EIDEM.

Pauli ad Hebr. locus. Cap. IV, *v.* 8. *De Jesu Nave.*

Οὐ περὶ τῆς καταπαύσεως τῶν Ἑβραίων, τῆς γενομένης ἐν Παλαιστίνῃ διὰ Ἰησοῦ υἱοῦ Ναυῆ στρατηγίας, τῷ θεσπεσίῳ Παύλῳ ὁ λόγος· ἐκείνης γὰρ οὐδεὶς λόγος αὐτῷ, εἰς δὲ τὴν προσδοκωμένην ἔσεσθαι βλέπει, καὶ κατ' ἐκείνης ὁ τῶν νοημάτων σκοπὸς συντείνεται· ὅτι δὲ τοῦτό ἐστιν ἀληθὲς, αὐτὸς ἑαυτὸν ἑρμηνεύει λέγων· « Εἰ γὰρ αὐτοὺς Ἰησοῦς (ὄῆλον δέ ἐστι τοῦ Ναυῆ) κατέπαυσεν, οὐκ. ἂν περὶ ἄλλης ἐλάλει μετὰ ταῦτα ἡμέρας· ἄρα ἀπολείπεται σαββατισμὸς τῷ λαῷ τοῦ Θεοῦ. » Εἰ γὰρ αὐτοὺς, φησὶν, ἐκεῖνος κατέπαυσεν, οὐκ ἂν ὁ Δαβὶδ μετὰ πολλὰς γενεὰς γενόμενος, περὶ καταπαύσεως D

Beatus Paulus non de requie Judæorum, quam Jesus Nave in Palæstina peperit, verba facit: hujus enim nulla est ab eo ratio habita; sed in eam requiem respicit quæ in futurum exspectatur, in eamque intelligentiæ scopus fertur. Quod verum esse ipse sui interpres sic explanat dicens: « Nam si eis Jesus [Nave] requiem præstitisset, nunquam de alia loqueretur post hanc die. Itaque relinquitur sabbatismus populo Dei[13]. » Si enim illis, ait ille, quietem dedit, non utique David post multas generationes natus de requiete loquens dixisset: « Hodie si vocem ejus audieritis, nolite obdurare corda

[11] Isa. XLII, 14. [12] Matth. XXII, 14. [13] Hebr. IV, 8.

VARIÆ LECTIONES ET NOTÆ.

(86) Pro ὅπερ προείρηκα iidem codd. habent ἃ προείρημαι. Possin.

Digitized by Google

[illegible] est. [illegible] quam p[illegible] A fecit est, [illegible] per [illegible] et ex [illegible] in [illegible] sed in [illegible] Jerusalem [illegible].

[illegible] τῆς φωνῆς αὐτὰ [illegible] τῆς καρδίας [illegible] τῷ λαῷ τοῦ Θεοῦ [illegible] μετὰ τὴν [illegible] ἐν τῇ Παλαιστίνῃ, [illegible] ἐν τῇ [illegible] Ἱερουσαλὴμ [illegible].

XCII. — THEONI EPISCOPO.

ϞΒ΄. — ΘΕΩΝΙ ΕΠΙΣΚΟΠΩ.

Initium promum, ob diversa amicorum consilia, tandem tamen eo, ut ad sanam mentem redeat, nec bonos lacessere pergat. [illegible]

Aliquando cum ad te mittere epistolam decrevissem, multi, o amice, prius ad aures meas accesserunt, qui in ea re [illegible] mihi suaderent, quibus [illegible] [illegible]. Verum itaque plerique magnopere veriti sunt, ne in meditationum occasionem hac mea præmonitio e caperetur. Fore B enim, ut insinuationis adversæ specie tibi vigorem contumeliam irrogare voluisse. Non igitur mirandum esse dicebant, si verba bellum mihi vel a *Persarum* moverent. Erant et qui audendum esse suaderent, et te suscepturum dicerent et tantum abesse autumant, ut mali quid exspectarent, ut et præmium se inde sperare dicerent. **581** Utrique mihi videntur partim veritatis attigisse scopum, partim aberrasse. Nam initio ægre laturum te existimavi, tandem vero non item; sed et me gratius a te, ab omnibus nequaquam recepturum spero. Utrumvis tamen exspectans, non desinam quod sentio, dicere. Primum quidem optimi quique a nobis stabunt, non solum te, sed et prohibituri eos, qui nocere nobis audebunt. Deinde si vulnus a cive C contingat eum, qui virtutem defendendam suscepit, non gravate id feret. Quid igitur dicendum? Dictum sit: *Jacta esto alea.* Gladium in te potissimum stringere desine, quovis etiam barbaro magis barbare te usus, taliaque in te committis mala, qualia ne valde quidem infesti hostes intulerint. Si igitur in malitia perdurare decrevisti, neque mutare vis sententiam, desine saltem virtutis oppugnare alumnos. Non enim peccare tantum, sed et detrahere vitam emendantibus (in quos linguæ gladio armaris), summa malitia est, imo impœnitentis nihilque dolentis certum est argumentum.

Παραλαβὼν ἐπιστολὴν πέμψαι σοι, βουλόμενος, ὦ φίλε, προλαβεῖν πρὸς σὲ, ὡς συνέβη, [illegible] τοῖς ἐμοῖς ἐπιτηδείοις, [illegible] αὐτοῖς ἀνεκοινωσάμην, τὴν ὑπὲρ τῆς συμβουλῆς προαίρεσιν. Ἐκεῖνοι [illegible] μὲν καὶ [illegible], μὴ ἔχθρας [illegible] ἀπὸ τῆς [illegible] ταύτης κατασκευάσαι. Δόξειν γάρ σε ἐν [illegible] σχήματι [illegible] κακῶς λέγειν. Οὐκοῦν ἔφασαν θαυμάζειν, εἰ [illegible] *Περσικὸς* [illegible]. Ἦσαν δὲ καὶ οἱ [illegible] θαρρεῖν προστρέποντες, [illegible] καὶ τοσοῦτον [illegible] προσδοκᾷν τι [illegible], ὡς καὶ [illegible] προσδοκᾷν διὰ τοῦτο. Ἐμοὶ δὲ δοκοῦσιν ἀμφότεροι τῇ μὲν ἐπιτυχεῖν τἀληθοῦς, τῇ δὲ διημαρτηκέναι. Ἐξ ἀρχῆς μὲν γὰρ ἀγανακτήσειν σε πεπίστευκα, εἰς τέλος δὲ οὐδαμῶς· ἀλλὰ καὶ ἀποδέξασθαί με κατὰ ταύτην προσδοκῶ, ἐπὶ πάντων δὲ ἥκιστα· ὅμως ἑκάτερον προσδοκῶν, οὐκ ἀποστήσομαι τὸ παριστάμενον εἰπεῖν. Πρῶτον μὲν γὰρ οἱ βέλτιστοι μεθ' ἡμῶν ἔσονται, καὶ [illegible] οὐ μόνον σε, ἀλλὰ καὶ τοὺς [illegible] τοὺς [illegible]. Ἔπειτα δὲ εἰ καὶ [illegible] τῇ ἀρετῇ συνηγοροῦντα, [illegible]. Τί οὖν ἐστιν ὃ βούλομαι εἰπεῖν; Εἰρήσεται· Ἀνεῤῥίφθω κύβος· μάλιστα μὲν [illegible] κατὰ σαυτοῦ τὸ ξίφος ὠθῶν, καὶ παντὸς βαρβάρου βαρβαρικώτερον σαυτῷ χρώμενος· καὶ τοιαῦτα σαυτὸν διατιθεὶς κακὰ, ὅσα ἂν οὐδὲ οἱ [illegible]. Εἰ δὲ τῆς κακίας [illegible], καὶ τὸ δόγμα τοῦτο ἀκίνητόν ἐστι παρὰ σοὶ, κἂν τοὺς τῆς ἀρετῆς τροφίμους παῦσαι καταπολεμῶν. Τὸ γὰρ μὴ μόνον πταίειν, ἀλλὰ καὶ τοὺς κατορθοῦντας δι' ὧν τὴν γλῶτταν κατ' αὐτῶν ὀξύνεις, διασύρειν, ἔσχατος ὅρος κακίας, μᾶλλον δὲ ἀναλγησίας τεκμήριόν ἐστιν.

XCIII. — PALLADIO DIACONO.

ϞΓ΄. — ΠΑΛΛΑΔΙῼ ΔΙΑΚΟΝῼ.

Ad constantiam hortatur in bono. (Confer epist. 155.)

D Particeps olim chori meorum discipulorum, choragus etiam videbare cæteris vehementius Dei verbum investigare. Verum jam tui oblitus non modo defecisse cognosceris, sed et voluptatibus, quæ illas pariunt affectiones, quæ ex ventre bene curato provenire solent, te totum tradens, mihi dolorem affers. Cognito itaque gravius esse malum neglectum, in pristinum te cultum, ornatum statumque ut recipias rogo.

Μετέσχες μὲν τοῦ τῶν μαθητῶν χοροῦ, καὶ κορυφαῖος ἐδόκεις, σφοδρότερον τῶν ἄλλων μεταδιώκειν τὴν τῶν θείων λόγων θήραν· ἀλλὰ νῦν ἀμελήσας οὐ μόνον ἀποστῆναι διέγνως, ἀλλὰ καὶ τρυφαῖς, ὡς ἐπυθόμην, ἐκδέδωκας σαυτὸν, ταῖς τικτούσαις τὰ μετὰ γαστέρα πάθη. Γινώσκων τοίνυν, ὅτι ἀργαλεώτερον γίγνεται ἀμελούμενον τὸ κακὸν, εἰς τὴν ἐξ ἀρχῆς κοσμιότητα τὴν ταχίστην σαυτὸν μεταῤῥύθμισον.

[16] Psal. xciv, 8.

VARIÆ LECTIONES ET NOTÆ.

(87) Pro τοῖς εὐδοκίμως codd. ambo legunt τοῖς εὐδοκίμοις. Possin.

Digitized by Google

ΚΔ'. — ΣΗΡΗΝΩ ΔΙΑΚΟΝΩ.

XCIV. — SERENO DIACONO.

Omnia æquo et moderato animo ferenda. (*Confer epist.* 195.)

Πολλοῖς αἱ παραυτίκα εὐημερίαι ἐπ' ἐνέδρᾳ συμβαίνουσιν, ἀνιάτων οὖσαι κακῶν προοίμια. Μὴ τοίνυν ἐν πᾶσι τὰς τοιαύτας ζητῶμεν νίκας, ἀλλ' ἑνὸς γιγνώμεθα τοῦ πάντα τὰ συμβαίνοντα ὁμαλῶς καὶ μετρίως, καὶ μετὰ τοῦ πρέποντος σχήματος καὶ φρονήματος, διοικεῖν.

Multis momentanea ac subita felicitas ex insidiis obvenit, atque adeo immedicabilium origo malorum exsistit. Ne igitur in omnibus id genus victorias quæramus, sed unam potissimum, omnia quæ accidunt, sedate moderateque ferendo, cum ornatu decoro sectemur.

ΚΕ'. — ΑΘΑΝΑΣΙΩ.

XCV. — ATHANASIO.

Virtutis vitiorumque comparatio. Virtus ad superna semper, vitium ad infera tendit.

Εἰ χρὴ συντόμως τὴν ἀρετὴν καὶ τὴν κακίαν λόγῳ ὑπογράψαι, φήσαιμι, ὅτι Ὥσπερ τὸ πῦρ πεπεδημένον τυγχάνον πρὸς τὴν κάτω ὁρμὴν, ἀεικίνητόν ἐστι πρὸς τὴν ἄνω φοράν, οὕτω καὶ ἡ ἀρετή. Καὶ ὥσπερ τὰ βαρέα σώματα τὴν μὲν ἄνω φορὰν παντάπασιν ἀγνοεῖ, τὴν δὲ πρὸς τὰ κάτω ὁρμὴν ἐπίσταται, τοῦ βάρους τὴν φορὰν ἐπιτείνοντος, ὡς κρεῖττον λόγου εἶναι τὸ τάχος· οὕτω καὶ ἡ πονηρία. Οὐκοῦν ἐκείνης μὲν ἀνθεκτέον, ταύτης δὲ ἀφεκτέον.

Dicam, si de virtute breviter ac vitio circumscribenda oratio est : Ut ignis deorsum detentus et impeditum habens naturæ impetum, sursum semper nititur; idem et virtuti usuvenit. Utque contra corpora gravia sursum ferri non possunt, **582** gravitate ita motum intendente, ut ejus velocitas verbis nequeat explicari; sic et vitium quoque. Virtuti itaque inhærendum, a vitio autem abstinendum.

ΚϚ'. — ΕΥΤΟΝΙΩ ΔΙΑΚΟΝΩ.

XCVI. — EUTONIO DIACONO.

Adversa cum a Deo, aut ad castigationem, aut ad probationem immittuntur, bono animo ferenda.

Ὅτι μὲν ἐν ταῖς τῶν πέλας εὐπραγίαις τὰς οἰκείας σαγέστερον καθορᾶν εἰώθασι πάντες οἱ πειρασμοῖς περιπίπτοντες συμφοραῖς, δῆλον· ὅτι δὲ ἐννοοῦντες τὴν ἑαυτῶν ἢ θεραπείαν, ἢ εὐδοκίμησιν (οἱ μὲν γὰρ ὑπὲρ ἁμαρτιῶν τινύουσι δίκας, οἱ δὲ ἀγωνίζονται, ἵνα λαμπροτέρων τύχωσι στεφάνων), ῥᾴδιον ὀφείλουσι τοὺς πειρασμοὺς ἐνεγκεῖν, καὶ μὴ μόνον μὴ ἀλύειν, ἀλλὰ καὶ θυμηδίας ἐμφορεῖσθαι, θαῤῥοῦντως ἰσχυρισαίμην. Ὅτι γάρ τινες ἐνταῦθα θεραπεύονται, ἐγγυᾶται ὁ Παῦλος κράζων· « Κρινόμενοι δὲ ὑπὸ Κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν. » Ὅτι δέ τινες καὶ στεφάνων ἕνεκεν ἀγωνίζονται, μαρτυρεῖ ὁ θεῖος χρησμὸς, ὁ πρὸς τὸν Ἰὼβ εἰρημένος· « Οἴει με ἄλλως σοι κεχρηματικέναι, ἢ ἵνα ἀναφανῇς δίκαιος; » Οὐκοῦν εἴτε οὕτως, εἴτε ἐκείνως πάσχομεν, χρηστὰς ἔχωμεν ἐλπίδας.

Quod in aliena felicitate proprias miserias clarius intuecantur omnes, qui tentationibus exercentur, manifestum est : quod vero qui suam in iis vel curationem vel probationem consistere intelligunt (nam alii pro peccatis pœnas solvunt, alii pro splendidiore certant corona), facile debeant tentationes perferre, et non solum non tristari, sed et gaudere incredibiliter oportere valide affirmamus. Hinc enim curari quædam promittit beatus Paulus clamans : « Dum judicamur a Domino corripimur, ut non cum hoc mundo damnemur [15]. » Quosdam vero coronæ gratia contendere, divinum testatur oraculum a Deo ad Job prolatum : « Putasne me aliter respondisse tibi, quam ut appareas justus [16]? » Quin igitur sive hoc sive illo exerceamur modo, bona certe nutrimur spe beatitudinis.

ΚΖ'. — ΘΕΟΔΩΡΩ ΣΧΟΛΑΣΤΙΚΩ.

XCVII. — THEODORO SCHOLASTICO.

Vis veritatis est omnibus anteferenda. Similia Nazianzeni.

Μὴ τὴν ἀλήθειαν τοῖς ἐριστικοῖς λόγοις βιάζου, μηδὲ καθύβριζε αὐτὴν συσκιάζων τέχνῃ σοφιστικῇ τὴν ἀκριβῆ γνῶσιν· ἀλλὰ πάντα δεύτερα τοῦ ἀληθοῦς ἡγούμενος, ἀκαπήλευτον καὶ ἀδέκαστον τὴν περὶ αὐτοῦ ψῆφον ἔνεγκον.

Cave veritatem contentiosis violes disputationibus, neque arte sophistica afficias injuria accuratam ipsius cognitionem, sed omnia veritati posthabenda ratus, non cauponando, neque muneribus corrumpendo sententiam judiciumque de ea feras.

ΚΗ'. — ΑΠΟΛΛΩΝΙΩ ΓΕΩΡΓΩ.

XCVIII. — APOLLONIO AGRICOLÆ.

Agriculturæ laudatio.

Ἡ γεωργία καὶ ἀναγκαία, καὶ πασῶν τεχνῶν μήτηρ ἐστὶ καὶ τροφός (88). Εὖ μὲν γὰρ αὐτῆς

Agricultura et necessaria in primis, et cæterarum parens nutrixque est artium. Illa etenim vi-

[15] I Cor. xi, 32. [16] Job xxxiii, 32.

VARIÆ LECTIONES ET NOTÆ.

(88) Idem Xenophon in *Œconomicis* disputat, Γεωργικὴν τῶν ἄλλων τεχνῶν μητέρα καὶ τροφὸν εἶναι. Addit Aristot. lib. VI *Polit.*, cap. 4, non solum altricem, sed præcipuam etiam reipub. esse

Digitized by Google

gente, florent etiam reliqua: contra infeliciter agente illa, cæteræ artes propemodum exstinguuntur. Cave igitur pudeat te hanc exercere, sed te potius ipse ostentes, ut necessariam maxime imprimisque frugiferam artem tractando. Qui enim ad voluptatem artes comparatas exercent, jure optimo erubescant.

φερομένης κἀκεῖναι ἐῤῥωνται· ἀστοχησάσης δὲ αὐτῆς, σχεδὸν ἀποσβέννυνται. Μὴ τοίνυν αἰσχύνου ἐπὶ τῷ πράγματι, ἀλλὰ σεμνύνου, ἀναγκαιοτάτην καὶ χρησιμωτάτην τέχνην μεταχειρισάμενος. Οἱ γὰρ τὰς πρὸς ἡδονὴν μετιόντες, ἐρυθριᾷν ἂν εἶεν δίκαιοι.

XCIX. — HIERACI DIACONO.

ιθ'. — ΙΕΡΑΚΙ ΔΙΑΚΟΝΩ.

Continentia in juvene, virtus; et laudanda in sene imbecillitas. Senectus a libidine temperans. (*Cic. in Catone. Confer epist.* 12 *et* 231, *ubi de etymo senii.*)

Qui e summa tempestate navim conservarit, et ferocientem frenarit naturam, næ ille dignus fuerit, quem mille modis beatum, et mille coronis ornandum omnes judicent. Quæ enim in senio accedit continentia, non tam est temperantiæ, quam quod libidini nequeat indulgere. Quamobrem Jeremias propheta primam prædicans ætatem : **583** « Beatus, inquit, qui grave Domini jugum a juventute portarit [17]. » Senectutem vero felicem censuit ætatem nemo, sed ut honore destitutam omnes defugiunt. Noli itaque eam optare, quasi in ipsa sis temperans futurus. Præterquam enim quod incertum sit te ad illam perventurum, exinde nullum assequeris honorem.

Ὁ ἐν αὐτῇ τῇ ἀκμῇ τοῦ χειμῶνος διασώζων τὴν ναῦν, καὶ μαινομένην χαλινῶν τὴν φύσιν, μυρίων ἀναῤῥήσεων καὶ μακαρισμῶν καὶ στεφάνων ἐστὶν ἄξιος· ἡ γὰρ ἐν γήρᾳ σωφροσύνη οὐκ ἐγκρατείας ἐστὶν, ἀλλ' ἀκολασίας ἀδυναμία· διὸ τὸ (89) μὲν πρότερον ἀνακηρύττων ὁ χρησμῳδὸς Ἱερεμίας ἔλεγε· « Μακάριος ὃς ἦρε βαρὺ ζυγὸν ἐκ νεότητος αὐτοῦ. » Τὸ δὲ δεύτερον οὐδεὶς μακαρίσαι ἠξίωσεν, ἀλλ' ἀγέραστον καταλελοίπασιν ἅπαντες. Μὴ τοίνυν περίμενε τὸ γῆρας, ὡς ἐν αὐτῷ σωφρονήσων. Χωρὶς γὰρ τοῦ ἄδηλον εἶναι τὸ εἰς αὐτὸ ἥξειν, οὐδὲ φιλοτιμίαν ἔχει τὸ πρᾶγμα.

C. — EIDEM.

Ρ'. — ΤΩ ΑΥΤΩ.

Adversa præterita imprimis perferenda animo generoso.

Quandoquidem tristia perferre et acerba necessum est, etsi ægre tolerari queant, contemptus vero non minuit ea, sed auget potius, feras forti animo, quæ accidunt, maxime vero quod quæ præterierunt, plurimum jam debilitata superataque sunt. Quæ enim tentatio jam præteriit, oblivioni cito traditur, at quæ expectatur, toties discruciat, quoties metuebatur.

Ἐπειδὴ ἀνάγκη φέρειν τὰ λυπηρὰ, καίπερ ὄντα δύσφορα (τὸ γὰρ ὀλιγωρεῖν οὐ μειοῖ, τάχα δὲ καὶ αὔξει τὰ δεινὰ), γενναίως ἐνεγκον τὰ συμβεβηκότα, καὶ μάλιστα τῷ παρεληλυθέναι κατὰ τὸ πλεῖστον μέρος ἐκνενευρισμένα. Ὁ μὲν γὰρ ἀποφοιτήσας πειρασμὸς αὐτίκα μάλα πρὸς λήθην βλέπει, ὁ δὲ προσδοκώμενος τοσαυτάκις ἀνιᾷ, ὁσάκις ἂν ἐλπισθῇ.

CI. — PETRO.

ΡΑ'. — ΠΕΤΡΩ.

Fidei commendatio.

Fidem in Deum nescio quomodo contemnunt infideles : cujus quidem prona et facilis cognitio est, firma vero possessio, finis denique invictus et inexpugnabilis.

Τὴν εἰς Θεὸν πίστιν οὐκ οἶδ' ὅπως ἐξευτελίζουσιν οἱ ἄπιστοι· ἧς εὐμαρὴς μὲν ἡ γνῶσις, ἀσφαλὴς δὲ ἡ κτῆσις, ἀήττητον δὲ τὸ πέρας.

CII. — HARPOCRÆ SOPHISTÆ.

ΡΒ'. — ΑΡΠΟΚΡΑ ΣΟΦΙΣΤΗ.

Laudat linguæ libertatem, qua improborum vitia insectatus fuerat. (*Conf. epist.* 52, 55, 77, *de ejus monodia. Item epist. sequentia et* 105.)

Laudo equidem et admiror tuam cum prudentia conjunctam dicendi libertatem, quam qui servili sunt ac degenere præditi ingenio improbant, rati suæ improbitatis atque effeminati animi esse justam reprehensionem. Ebrii etenim metu ob res male a se gestas, et concurrentes cum iis, qui sobrie pureque degunt, intemperantes suas acuunt linguas.

Ἄγαμαί σου τὴν ἔμφρονα παῤῥησίαν, ἣν οἱ ἀγεννεῖς καὶ δουλοπρεπεῖς κακίζουσιν, ἔλεγχον τῆς σφῶν κακίας τε καὶ ἀνανδρίας ταύτην εἰκότως εἶναι ἡγούμενοι. Μεθύοντες γὰρ τῷ φόβῳ τῶν κακῶς αὐτοῖς δρωμένων, καὶ κατασειόμενοι κατὰ τῶν καθαρῶς νηφόντων, τὰς ἀκρατεῖς ἑαυτῶν ὁπλίζουσι γλώττας.

[17] Thren. III, 27.

VARIÆ LECTIONES ET NOTÆ.

partem agri colendi officium. Plura C. Plinius lib. XVIII *Natur. Hist.*, et in *Georgicis* Maro lib. II, v. 490, et Q. Horatius epodo II.

Beatus ille, qui procul negotiis,

Ut prisca gens mortalium, etc. SCHOTT.

(89) Inter διὸ et μὲν τὸ in τὸν mutant codd. Vat. 650 et Alt., et vers. inde 3, iterum pro τὸ scribunt τόν. POSSIN.

Digitized by Google

ΡΓ'. — ΟΛΥΜΠΙΩ ΠΡΕΣΒΥΤΕΡΩ.

CIII. — OLYMPIO PRESBYTERO.

Rogat, ut pro desperatæ nequitiæ hominibus Deum oret. Vide epist. 440.

Εἰ καὶ τὸ μὲν ἐπιτιμᾷν ῥᾴδιον, καὶ παντός ἐστιν ἀνθρώπου, τὸ δὲ ὑπὲρ τῶν πρεπόντων ὅ τι χρὴ πράττειν ἀποφαίνεσθαι, ἀρίστου συμβούλου· ἀλλ' οὔτε ἐπιτιμᾶσθαι ἀνέχονται οἱ περὶ Ζώσιμον καὶ Μάρωνα, οὔτε συμβουλεύεσθαι· ἀλλ' εἰς τοσαύτην ἦλασαν μανίαν, ὥστε καὶ τοὺς ἐπιτιμῶντας λοιδορεῖν, καὶ τοὺς συμβουλεύοντας κακηγορεῖν. Ἐπειδὴ δέ τινες οὔτε ἐπιτιμηθέντες, οὔτε συμβουλευθέντες, θρηνηθέντες δὲ ἀνήνεγκαν, καὶ τοῦτο τὸ εἶδος τῆς θεραπείας ἤλεγξαν· γελῶσι γὰρ τοὺς τοῦτο ἐκ πολλῆς φιλοστοργίας δρῶντας. Τί οὖν χρὴ ποιῆσαι; Ἐγὼ γάρ σε λοιπὸν ἐρήσομαι, τὸν πράγματα ἡμῖν παρέχοντα, καὶ ἐνοχλοῦντα ὡς δυναμένοις ἀπελάσαι αὐτῶν τὴν μανίαν. Εἴθε μὲν οὖν ἐδυνάμην, καὶ οὐκ ἂν ἐδεήθην τοῦ συμβουλεύοντος, ἀλλ' αὐτὸς ἂν ταχίστην ἐποιησάμην τὴν διόρθωσιν. Ἐπειδὴ δὲ κρεῖττον πάσης θεραπείας ἐστὶ τὸ πάθος, καὶ τοῖς ἰατρικοῖς φαρμάκοις ἐπιτρίβεται μᾶλλον, τὴν ἀπὸ τῶν ἁγίων σου εὐχῶν χάρισαι αὐτοῖς βοήθειαν· τάχα πως ὁ καὶ παθῶν καὶ πάσης περιγινόμενος κακίας αὐτοὺς ἰάσεται.

Etsi reprehendere facile et cujusvis est hominis, verum quod est officii cujusque, quoque facto sit opus demonstrare, optimi est consiliarii officium. Sed reprehensionem non ferunt Zosimus et Maro, neque consilium capiunt, sed ea exagitati dementia et reprehendentes injuria afficiunt, et sana suadentes maledictis incessunt. Quandoquidem vero nonnulli neque reprehensores, neque suasores, sed ut deplorantes accesserunt, etiam hoc medicinæ officium accusarunt. Irrident enim etiam eos, qui pio id affectu peragunt. Quid igitur facto est opus? ultimum hoc tibi denuntiabo, qui negotium mihi facessis, et es importunus, quasi ipsorum insaniæ remedium afferre valeam. Atque utinam possem neque opus admonitione esset, sed repente afferre correctionem queam. Cum vero malum omnem superet curationem, **584** omnibusque medicinæ pharmacis exulceratur, sanctis tuis precibus opem ipsis feras, si qua fortasse ratione malo superato omni illos expurges vitio.

ΡΔ'. — ΗΡΩΝΙ ΠΡΕΣΒΥΤΕΡΩ.

CIV. — HERONI PRESBYTERO, FORTE HIERONI, *ut supr. epist. 67.*

Monet ut lites, quas, avaritia cogente, alteri intentarat, amice potius componat, quam dubium eventum exspectet.

Οὐκ ἀγνοοῦμεν ὅτι ἡ ἀρχὴ τοῦ πρὸς τὸν σὸν διάδικον πολέμου ἐκ πλεονεξίας λαβοῦσα τὸ σπέρμα, καὶ διὰ πλειόνων ἄλλων χωρήσασα, ἔληξεν εἰς κατηγορίαν· συμβουλεύω δὲ, ὅτι δίκαιος ἂν εἴης ἀρκεσθῆναι τοῖς γεγενημένοις. Πολλὰ γὰρ δράσας, πλείονα πέπονθεν, ἵνα μὴ τὸ δοκοῦν τέλος εἶναι τῆς μάχης, ἀρχὴ γένηται μειζόνων συμφορῶν. Δέξαι οὖν τοὺς ὑπὲρ αὐτοῦ (90) παρακαλοῦντας, καὶ κατάθου τὸ πρᾶγμα· ἄμεινον ἡγησάμενος χρηστότητι καθυφεῖναι μᾶλλον ἢ κρίσει δικαστῶν ἡττηθῆναι. Ἄδηλον γὰρ τὸ πέρας, καὶ πολλοὶ μυρίοις ὠχυρωμένοι δικαίοις, ὡς οὐδὲν ἔχοντες ἰσχυρὸν ἡττήθησαν. Εἰ δὲ καὶ σαφὴς ἦν ἡ νίκη, τὸ χρηστότητι μᾶλλον χρήσασθαι λαμπρότερόν σε ἀποφανεῖ τοῦ νενικηκέναι.

Non me fugit principium ejus contentionis, quæ tibi in foro cum litigante est, ex avaritia ortum habere, et per varia proceedens vitia, in accusationem finiisse. Hortor itaque, justeque feceris, si in iis, quæ hactenus facta sunt, conquiescas. Multa enim agens perpeti solet plura, ne cujus pugnæ finis esse videtur, initium fiat majorum calamitatum. Quare suscipe eos qui pro illis intercedunt, remque confice, melius existimans aliquid clementiæ condonare, quam judicium sententia victum esse. Litium enim incertus est exitus, multique adeo summo innixi jure imbecillioribus victi cesserunt. Etsi vero clara sit victoria, benigno tamen animo utendo illustriorem te, quam ipsa reddes victoria.

ΡΕ'. — ΜΑΡΤΙΝΙΑΝΩ, ΖΩΣΙΜΩ, ΜΑΡΩΝΙ, ΕΥΣΤΑΘΙΩ.

CV. — MARTINIANO, ZOSIMO, MARONI, EUSTATHIO.

Bonam illis optat mentem.

Ἱκανὸν μὲν σύμβολον, καὶ μέγιστον τεκμήριον τῆς ἐμῆς εἰς ὑμᾶς γνώμης αὐτὸ τὸ συμβουλεύειν ἐλέσθαι· ἅπασα γὰρ συμβουλὴ τὸ τῶν ἀκροωμένων ζητεῖ συμφέρον. Οἷς δὲ ἐκπορίζει τις τὰ χρηστὰ, τούτοις οὐκ ἔνι φῆσαι δυσμενῶς ἔχειν τὸν παραινοῦντα· ὡς δ' ἂν μηδὲ σκιὰ, οἶμαι, αἰτιάσεως (91) ὑπῇ τοῖς ἑτοίμως διασύρειν ἐθέλουσι πρὸ τῆς εἰσηγήσεως, μᾶλλον δὲ ἡ εὐχὴ εἰσήγησις ἔστω, εὔξομαι πρὸς τὸ Θεῖον, ὥστε νοῦν ὑμῖν βελτίονα ἐνθεῖναι,

Signum sat idoneum maximumque est argumentum meæ erga vos benevolentiæ quod dare instituerim consilium. Omnis enim suasio consiliumque audientium spectat utilitatem. Quibus vero suppeditat quis utilia, hi non debent dicere hostiliter secum agere admonentem, sed ut ne umbram quidem accusationis superesse credam iis, qui antequam admoneantur, volunt obstrepere, quin potius preces loco monitionis sint. Deum itaque precor, ut men-

VARIÆ LECTIONES ET NOTÆ.

(90) Codd. ambo, ὑπὲρ αὐτῶν. Possin.

(91) Pro αἰτιάσεως cod. Alt. in contextu scribit αἰτίας ὡς· lectionem tamen editi adnotans in margine. Ib.

Digitized by Google

tem vobis bonam immittat, relegetque a vobis indolentiam, atque obsequens ac morigerum cor vobis largiatur, ad complectendam virtutem quæ insitam habeat pulchritudinem atque honestatem pretio incomparabilem. Improbitatem contra det effugere, quam cupide nimis sectamini forma ferina prædita, omniqne Scylla molestiorem, et quæ mente captis nescio qua ratione possit esse suavis ac jucunda. Si vero dolor omnis sublatus ex animo est, (quod quidem patientia in adversis efficere solet), vel propter eos ipsos, quibus offendiculo fuistis, supersedete adversus sacrosanctam religionem linguam exacuere. Vestri vero estote compotes, neque vestra impietate alios in barathrum malitiæ impellite.

A καὶ τὴν ἀναλγησίαν ἐξοστρακίσαι, καὶ εὐεικτον καὶ πειθήνιον ὑμῶν κατασκευάσαι τὴν καρδίαν πρὸς τὸ τὴν μὲν ἀρετὴν, τῆν ἔμφυτον ἔχουσαν καὶ ἀκαπήλευτον τὸ κάλλος, ἀσπάσασθαι, τὴν δὲ κακίαν ἧς ἐκθύμως περιέχεσθε, τὴν θηριόμορφον, καὶ Σκύλλης ἀπάσης ἀτερπεστέραν, τί; δὲ τὸν νοῦν ἀπολωλεκόσιν, οὐκ οἶδ' ὅπως ἡδεῖαν, διαφυγεῖν. Εἰ δὲ τέλειν ἀπηλγήσατε· ἡ γὰρ παραμονὴ ἡ ἐπὶ τὴν πονηρίαν τοῦτ' ἐγγυᾶται· κἂν διὰ τοὺς σκανδαλιζομένους ὑφ' ὑμῶν, παύσασθε μὲν κατὰ τῆς θειοτάτης θρησκείας ἀκονῶντες τὰς γλώττας· ἑαυτῶν δὲ γένεσθε, καὶ τοῦ μὴ διὰ τὴν ὑμετέραν ἀσέβειαν καὶ ἄλλους εἰς τὸν πυθμένα τῆς κακίας παραπέμψαι.

585 CVI. — HERMINO COMITI.

Ρϛ'. — ΕΡΜΙΝΩ ΚΟΜΗΤΙ.

Virtus colenda, cætera umbra et somnia.

Da operam ne valeant, magne vir, vel imperium vel dignitatis tumor, aut res mortalium secundæ, sapientiæ in te amorem ac studium concutere atque evertere, quæ amant maxime cogitationes mentesque hominum in altum tollere. Verum hæc omnia velut umbras et somnia reputans virtutem cole, quæ de possessionibus vestis est minime veterascens.

Μήτε ἀρχὴ, ὦ θαυμάσιε, μήτε ὄγκος ἀξιώματος, μήτε εὐπραγία βιωτικὴ τὴν φιλοσοφίαν τὴν σὴν διασαλεῦσαι ἰσχύσῃ· ἃ μάλιστα τῶν ἀνθρώπων φιλεῖ τὴν γνώμην εἰς ὕψος αἴρειν. Ἀλλὰ ταῦτα πάντα σκιὰς ἡγούμενος καὶ ὀνείρατα, ἀρετὴν ἄσκει· αὕτη γάρ ἐστι τῶν κτησαμένων ἀπαλαίωτος ἀλουργίς.

CVII. — EIDEM.

ΡΖ'. — ΤΩ ΑΥΤΩ.

Æterna curanda, neglectis terrenis ac perituris.

Rerum æternarum fac satagas; neglige vero quæ momentanea sunt et caduca. Etenim sive prospera atque utilia ea fuerint, sive abjecta ac vilia, C finem tamen habent, et quidem quam celerrimum. In altera vero vita, terminum ignorant omnia finem que. Epistola hæc, etsi brevis ea sit, amica tamen est, et rationis plena.

Τῶν ἀθανάτων φρόντιζε πραγμάτων, τῶν δὲ μετ' ὀλίγον οὐκ ἔτι ὄντων ἀμέλει. Εἴτε γὰρ ἀγαθὰ, εἴτε φαῦλα εἴη τἀνταῦθα, τέλος ἔχει, καὶ τοῦτο τάχιστον· τὰ δὲ ἐκεῖ πέρας οὐκ οἶδε, τέλος οὐκ ἐπίσταται. Ταῦτα τὰ γράμματα εἰ καὶ ὀλίγα ἐστὶν, ἀλλά γε φῶα, καὶ διαθέσεως βρύοντα.

CVIII. — ÆLIANO SCHOLASTICO.

ΡΗ'. — ΑΙΛΙΑΝΩ ΣΧΟΛΑΣΤΙΚΩ.

Ἔργα *ne fiant* πάρεργα. *Vide hic schol. Gr. exempl. et epist. inf.* 537.

Patimur sæpenumero multa mortales, dum quæ accuratione indigent, gerimus negligenter: quæ autem revèra negligenda sunt et contemnenda, ea cupide complectimur, censentes ludicra graviter, aut contra gravia per jocum tractanda. Seria quidem obiter ac perfunctorie; et contra otiosa seria ac necessaria esse ducimus. Verum cæcus sui amor non recte judicans dolorem illis parit, quibus mi- D nime oportuit. Non enim eos, qui justa perpetiuntur, sed qui injuste agunt, dolere est æquum.

Πάσχομεν πολλὰ πολλάκις οἱ ἄνθρωποι, ἐπειδὴ τῶν μὲν φροντίδος ἀξίων ὀλιγωροῦμεν, τῶν δὲ ὄντως ὀλιγωρίας ἀξίων ἐκθύμως περιεχόμεθα. Σπουδῆς μὲν τὰ παιδιᾶς, παιδιᾶς δὲ τὰ σπουδῆς, ἄξια κρίνοντες. Τὰ μὲν γὰρ ἔργα πάρεργα εἶναι ἡγούμεθα (92), τὰ δὲ πάρεργα ὡς ἀναγκαῖα καὶ προηγούμενα ἀνύομεν. Ἀλλ' ἡ φιλαυτία μὴ κρίνουσα ὀρθῶς, λύπην τίκτει ἐκείνοις οἷς ἥκιστα χρή. Οὐ γὰρ δικαίως πάσχοντας, ἀλλ' ἀδίκως πάσχοντας (93) λυπεῖσθαι χρή.

VARIÆ LECTIONES ET NOTÆ.

(92) *Τὰ μὲν γὰρ ἔργα πάρεργα εἶναι ἡγούμεθα.* Aristotelis sunt lib. I *Ethicorum Nicomachiorum*: Τὰ μὲν πάρεργα τῶν ἔργων πλείω γέντηται. Qui et lib. VII *Politic.*: Ἐκεῖνο μὲν γὰρ πάρεργον ἂν εἴη, τοῦτο δὲ ἔργον τῆς μεθόδου ταύτης· *Illud accessio possit esse, hoc vero præcipua intentio tractatus hujus, princepsque actio.* Scitum apud Athenæum initio lib. V Δειπνοσοφ., et Clementem lib. V *Stromat.* illud Agathonis Tragici :

Τὸ μὲν πάρεργον ἔργον ὡς ποιούμεθα·
Τὸ δ' ἔργον ὡς πάρεργον ἐκπονούμεθα.
Operis loco ducimus accessorium,
Et in opere satagimus ut accessorio.

Plato in epist. : Ἵνα μὴ πάρεργα ὡς ἔργα μοι ξυμβαίη λεγόμενα, *Ne accessorin vice operum nominari mihi contingat.* Utitur et Polybius in *Hist.* et Strabo lib. XIV *Geogr.* de Jalyso Protogenis et Satyro loquens; itemque Galenus principio libri II *De naturalibus facultatibus*; ut et Nazianzenus funebri in Basilium M. laudatione de Saule verba faciens; et in carmine trimetro :

Ἔργον πάρεργον οὐδαμῶς ἔργον λέγω.
Extrarium negotium haud opus vocem.

Ut Proverbii præferre speciem dictum videatur. Cui affine et illud : Ὁδοῦ πάρεργον pro παρέργως. Lucianus in *Jove Tragœdo* : Εἰ γοῦν μὴ ὁ Θησεὺς ἐκ

Digitized by Google

ΡΘ'. — ΦΙΛΗΤΡΙΩ.

A

CIX. — PHILETRIO.

Virtute insignes imitandi. Conf. epist. 186, *initio.*

Οἱ κατ' ἀρετὴν κράτιστοι ὄντες, καὶ δι' εὐσέβειαν ὑπερφέροντες καὶ ἔγκριτοι, καὶ τοσοῦτον τοὺς ἄλλους ὑπερβαίνοντες, ὅσον ὁ ἑωσφόρος τοὺς ἄλλους ἀστέρας, οὗτοι φωστῆρες ἂν εἰκότως χρηματίζοιεν, μὴ μόνον ἑαυτοὺς εἰς τοσαύτην ἀναγαγόντες ἀξίαν, ἀλλὰ καὶ τοὺς τυφλώττοντας φωτίζοντες, καὶ εἰς τὴν τῆς ἀρετῆς χειραγωγοῦντες περιωπήν. Τούτους τοίνυν ζήλου, καὶ μὴ τοὺς πάντα ποιοῦντας, ὅπως καὶ τοὺς ὁρῶντας σκοτίσοιεν.

Qui virtute præstant ac pietate antecellunt, extra omnem judicii sunt aleam, tantumque cæteris anteeunt, quantum cæteris stellis excellit phosphorus claritate, ut hi merito stellæ appellari queant, seipsos non modo eo provehentes dignationis, sed et cæcis lumen allucentes, et in virtutis speculam manu ducentes. Hos itaque imitare, non eos, qui cuncta sic agunt, ut et videntes excæcare possint.

ΡΙ'. — ΑΡΠΟΚΡΑ ΣΟΦΙΣΤΗ.

CX. — HARPOCRÆ SOPHISTÆ.

Quis sapiens proprie ac bonus dicendus. Conf. epist. 264.

Σοφοὺς ἔγωγε ὁρίζομαι (οὐ γὰρ νομεθετῶ, ἀλλὰ γνώμην ἀποφαίνομαι) τοὺς τῶν νοερῶν ἀρεταῖς κεκοσμημένους, οἷοι ἦσαν οἱ λόγον ἔχοντες καὶ σοφίαν γνώσεως· ἀγαθοὺς δὲ, τοὺς ταῖς παρά τινων καλουμέναις ἀλόγοις. Οἷοι ἦσαν οἱ σοφὸν μὲν εἰπεῖν οὐδὲν δυνάμενοι, διὰ δὲ τῆς ἀρίστης πολιτείας τοὺς θεωμένους παιδεύοντες· ὧν ἡ σιγὴ τοῦ λόγου τοῦ ἐρήμου πράξεων χρησιμωτέρα. Εἰ δέ τις καὶ τὰς νοερὰς, καὶ ἃς φασιν ἀλόγους ἔχοι, τοῦτον καὶ ἀγαθὸν καὶ σοφὸν ὁρισαίμην.

B

Sapientes quidem hos appellavero (nihil tamen præjudico, sed sententiam profero meam) qui intellectus virtutibus sunt ornati, quales sunt, qui rationi convenienter vivunt, quique rerum cognitione sapientiaque præditi sunt. Bonos vero dixero, qui, quæ rationi consentanea non sunt, seu non rationales virtutes, ut a quibusdam nominantur, possident. **586** Quales erant, qui sapiens nihil proferre cum possent, se ipsos considerantes, optimum tamen vitæ instituendæ modum ac rationem præbent, et sic ipsis etiam spectantibus docendo præeunt, quorum in sermone taciturnitas utilior est, quam illius sermo, qui præsidio rerum destitutus sit. Si vero quis et intellectuales et quas vocant non intellectuales habeat virtutes; hunc ego et bonum et sapientem nuncupavero.

ΡΙΑ'. — ΕΠΙΦΑΝΙΩ ΔΙΑΚΟΝΩ.

C

CXI. — EPIPHANIO DIACONO.

Συγγνώμης *unde nomen scriptum. Matth.* v, 26: « *Esto consentiens adversario tuo,* » etc.

Ἐπειδὴ γέγραφας, πόθεν τὸ τῆς συγγνώμης ὄνομα ἐπὶ τῆς *ἀφέσεως καὶ συγχωρήσεως* παραλαμβάνεται· ἡγοῦμαι, ὅτι ἐπειδὴ ὁ γνοὺς ἑαυτὸν, τουτέστιν, ὁ μήτε ἐπὶ τοῖς πταίσμασιν ἀγνοῶν, ὅτι ἔπταισεν, ἀλλὰ φυλάττων τὸ σοφὸν ἀπόφθεγμα τὸ, « Γνῶθι σαυτόν· » μήτε ἐν τοῖς κατορθώμασιν, εἰ καί ποτε ὀλίγον ἀπονυστάξας εἰς ἀλαζονείαν ἦρθη μέγα φρονῶν· ἀλλὰ τὴν οἰκείαν φύσιν καὶ ἀσθένειαν καταμανθάνων, καὶ μὴ πέρα τῆς ἀνθρωπίνης φύσεως φανταζόμενος γνωσιμαχεῖ. Ὁ συγγνοὺς, τουτέστιν, ὁ συννοήσας, ὅτι ἐκεῖνος ἔργῳ παλινῳδίαν ᾄδει, συγχωρεῖ τῷ γνόντι ἑαυτόν· ὁ δὲ μὴ συγγνοὺς οὐ συγχωρεῖ. Διὸ καὶ ὁ μὲν, μέμψεως (94) ἄξιος, μὴ γνοὺς ἑαυτόν· ὁ δὲ μὴ συγγνοὺς τῷ γνόντι ἑαυτόν.

Quando quidem interrogas unde συγγνώμης, id est veniæ, nomen acceptum pro *remissione et condonatione*, idcirco arbitror quod qui se ipse novit, hoc est, qui neque delicta sua, cum est lapsus, ignorat, imo illud scite dictum servat: « Nosce te ipsum, » neque in emendando, etsi aliquando nictans et connivens, in arrogantiam magnifice de se sentiens effertur, sed suæ conscius naturæ atque imbecillitatis, neque supra humanam elatus conditionem resipiscit. Hic qui conscius sibi est, hoc est, qui secum perpendit, quod reapse palinodiam ille canat, ignoscit illi, qui se ipse novit. Qui vero conscius sibi non est, non ignoscit. Quare et hic quidem reprehensione dignus est, se ipsum non noscens: ille vero nequaquam consentiens [ignoscens] ei, qui seipsum novit.

D

ΡΙΒ'. — ΤΩ ΑΥΤΩ.

CXII. — EIDEM.

Suadet caducas opes ita impendere, ut thesauros in cœlis nobis paremus: « *Thesaurizate vobis,* » etc. *Matth.* vi, 16.

Πολλά ἐστι καὶ διάφορα, ὦ προσφιλέστατε, λυμαινόμενα τῇ τῶν χρημάτων κτήσει· οὐ μόνον γὰρ σῆτες, καὶ χρόνος μακρὸς, ἀλλὰ καὶ συκοφαντίαι, καὶ λῃσταὶ, καὶ οἰκέται, καὶ τὸ τοῦ μέλλοντος ἄδηλον,

Multa sunt variaque, charissime, quæ possessiones rerum lædunt. Non enim tineæ modo longumque annorum spatium, sed et calumniæ, latrones, servique, et futura incerta, mors denique finis

VARIÆ LECTIONES ET NOTÆ.

Τροιζῆνος εἰς Ἀθήνας ἰὼν ὁδοῦ, πάρεργον ἐξέκοψε τοὺς κακούργους· *Nisi Theseus ex Trœzene digressus a via, proficiscens Athenas latrones illos excidisset.* Schott.

(93) Melius πράττοντας. Vel locum sic transpone, οὐ γὰρ ἀδίκως πάσχοντας, ἀλλὰ δικαίως πάσχοντας λυπεῖσθαι χρή. Ovidius: *Quæ venit ex merito pœna dolenda venit.* Schott.

(94) Inter μέμψεως et ἄξιος codd. Vatic. 650 et Alt. inserunt ὅτι. Possin.

Digitized by Google

omnium (quam effugere, etsi alia effugerit, potest nemo) cum bonis tum possessionibus privet, etsi quis illa possidere videatur, nomine enim tenus, non vero reapse bona possidet. Qui vero eleemosynis bonisque operibus recondit, ille et prudenti validoque coronetur suffragio, nactus asylum, et quo nihil eorum, quæ diximus, pertingere fas sit. Talis enim regio cœlum est, quo malum accedere nullum queat : quovis terræ solo fertilius, et post multam ubertatem jactis in illud solum seminibus, reddens iis, qui depositum crediderunt, perpetuos ut fructus colligant.

A καὶ τέλος ὁ θάνατος (ἣν οὐκ ἔστι διαφυγεῖν, εἰ καὶ τὰ ἄλλα διαφεύγοιμεν) καὶ τῶν κτημάτων καὶ τῶν χρημάτων ἀποστερήσειν (95) ἂν τὸν δοκοῦντα κεκτῆσθαι· ἐν ὀνόμασι γὰρ, ἀλλ' οὐκ ἐν πράγμασιν ἔχειν τὰ ἀγαθά. Ὁ δὲ δι' ἐλεημοσυνῶν καὶ εὐεργεσιῶν ἐνθάδε τὸν πλοῦτον ἀποθέμενος, καὶ φρονίμου καὶ βεβαίου ψήφῳ στεφανωθείη, τόπον εὑρὼν ἄσυλον, καὶ ᾧ μηδὲν τῶν ῥηθέντων ἐπιθῆναι θέμις. Τοιοῦτος γὰρ χῶρός ἐστιν ὁ οὐρανὸς, πάσῃ μὲν ἄβατος ὢν κακουργίᾳ, πάσης δὲ εὐφορώτερος γῆς· καὶ μετὰ πολλῆς τῆς ἀφιλείας τῶν ἐν αὐτῷ καταβληθέντων σπερμάτων διδοὺς τοῖς παρακαταθεμένοις διὰ παντὸς τρυγᾷν τοὺς καρπούς.

CXIII. — MARONI.

ΡΙΓ'. — ΜΑΡΩΝΙ.

Ad eleemosynam hortatur. — *Sup. epist.* 79 *et* 281.

Quæ vel nolens inimicis sæpenumero reliqueris, B da nunc volens, atque e necessitate honoris ac virtutis studium effice, ne non pœnitenda deplores, sed præmittens illa in vitam sempiternam, consequaris quæ utilia.

Ἃ καὶ ἄκων πολλάκις ἐχθροῖς καταλείψεις, ἑκὼν δός· καὶ τὴν ἀνάγκην ποίησον φιλοτιμίαν, ἵνα μὴ ἀμεταμέλητα θρηνήσειας· ἀλλὰ προπέμψας αὐτὰ εἰς τὸν ἀγήρω αἰῶνα, ἕξεις χρησιμεύοντα.

587 CXIV. — THEOPHILO.

ΡΙΔ'. — ΘΕΟΦΙΛΩ.

Peregrinatio quare et a quibus suscipienda, a juvenibus, non a senibus.

Nuper oriente sole (noctis enim ac diei velut mistio erat), occurrit mihi necessarius quidam nuntians audisse quosdam viros sapientes, te longam peregrinationem instituisse, non pro virtute, aut ut te aliumve ad philosophiam deducas, quod et ipsi vehementer probassent, sed ut divitiis locupleteris, idcirco te contemnentes : siquidem cum adolescentiæ annos in otio transegeris, nunc in C senio peregrinari instituisti, quando conveniebat te, etsi alibi prius versatum, domum redire, cum adeo vitæ instet tuæ terminus. Juvenes etenim se ad extremam perventuros sperant senectutem : senes vero præter mortem nihil magis præstolantur. Equidem causa non plane cognita, ob quam hinc discesseris, neque defenderim te excusando, ac ne damnarim quidem, sed hæc ad te scribere visum est. Quamobrem quod officii sit tui, tecum diligenter reputa.

Πρὸ βραχέος, ὄρθρου ἔτι ὄντος (ἐκιρνᾶτο γὰρ νύξ τε καὶ ἠώς) ἐντυχών μοί τις τῶν ἀνδρῶν ἐπιτηδείων ἀπήγγελλεν, ὡς πυθόμενοί τινες ἑλλόγιμοι στειλάμενόν σε ἀποδημίαν μακρὰν, οὐχ ὑπὲρ ἀρετῆς, οὐδὲ ὥστε σαυτὸν ἢ ἄλλον τινὰ εἰς φιλοσοφίαν ἐναγαγεῖν (ἢ γὰρ ἂν καὶ ἀπεδέξαντο), ἀλλ' ὑπὲρ τοῦ χρηματίσασθαι, κομιδῇ σου κατεφρόνησαν, εἰ προῃρημένος τὸν τῆς νεότητος χρόνον τὰς ἡσυχίας ἄγειν, νῦν ἐπὶ γήρως ἀποδημεῖν ἐπεχείρησας· ὅτε εἰκὸς ἦν σοι, εἰ καὶ πρότερον ἄλλοθί που διέτριβες, οἴκαδε ἐπανήκειν, οὕτως ὑπογυίου σου τῆς τελευτῆς οὔσης. Τοὺς μὲν γὰρ νέους ἐλπὶς εἰς γῆρας ἥξειν βαθύ· οἱ δὲ γεγηρακότες οὐδὲν ἕτερον, ἢ τὸν θάνατον ὀνειροπολεῖν δίκαιοι ἂν εἶεν. Ἐγὼ δὲ τὴν αἰτίαν ἀκριβῶς μὴ ἐπιστάμενος, δι' ἣν ἐντεῦθεν ἀπῇρας, οὔτε ἀπελογησάμην, οὔτε κατεψηφισάμην, ἀλλ' ἐπηγγειλάμην γράφειν. Αὐτὸς τοίνυν τὸ δέον πρᾶξαι προθυμήθητι.

CXV. — THEODORO SCHOLASTICO.

ΡΙΕ'. — ΘΕΟΔΩΡΩ ΣΧΟΛΑΣΤΙΚΩ.

Melior est homo sedulus licet pauper, quam ignarus dives opibus affluens.

Quisnam gloria justoque dignior honore esse tuæ prudentiæ videatur, qui nihil quidem generosi agere D studet, in secundis vero consistens rebus, et divitiis fulget et claritate dignitatis; vel qui nihil, quantum in ipso est, relinquens, agat omnia quæ dignum præconio reddant, aliosque ad virtutem excitet, adversa tamen usus fortuna, et in inopia degens? Mihi quidem hic potissimum laudandus videtur. Si vero et tibi id ipsum videatur, ne præ te feras, quasi contrarium sentias.

Ποῖος ἄρα δοκεῖ τῇ σῇ παιδεύσει εὐκλείας καὶ δόξης ἀγαθῆς δίκαιος εἶναι τυγχάνειν, ὁ μηδὲν μὲν προθυμηθεὶς γενναῖον διαπράξασθαι, ἐν εὐημερίᾳ δὲ τυγχάνων καὶ πλούτῳ, καὶ τοῖς δοκοῦσι λαμπροῖς ἀξιώμασιν; Ἢ ὁ μηδὲν μὲν, ὧν οἷός τε ἦν ἐλλιπὼν, ἀλλὰ πάντα πράξας, ὅσα αὐτόν τε ἀναῤῥήσεως ἄξιον εἶναι ποιεῖ, καὶ τοὺς ἄλλους εἰς ἀρετὴν διεγείρει, δυσπραγῶν δὲ καὶ πενίᾳ συζῶν; Ἐμοὶ μὲν οὗτος δοκεῖ· εἰ δὲ καὶ σοὶ, μὴ τἀναντία φαίνου ψηφιζόμενος.

CXVI. — CASIO PRESBYTERO.

ΡΙϚ'. — ΚΑΣΙΩ ΠΡΕΣΒΥΤΕΡΩ.

De Zosimi improbe factis. (*Sup. epist.* 103 *et* 105.)

Mirari te scribis cum Zosimum sacris initiari

Ἐπειδὴ γέγραφας θαυμάζειν, ὅπως τὸ ἱερᾶσθαι

VARIÆ LECTIONES ET NOTÆ.

(95) Ἀποστερήσειν ambo codd. producunt in ἀποστερήσειεν. Possin.

Digitized by Google

Σώσιμον δεινὸν ὄν, οὐ δεινὸν εἶναι δοκεῖ τῷ παρανόμως χειροτονήσαντι· ἀντεπιστέλλω, ὅτι σὺ μὲν ἀπὸ μισοπονήρου τρόπου εἰκότως ἀγαναχτεῖς· οὐδεὶς γὰρ πρὸς τοῦτο ἀντείποι· ἐκεῖνο δέ σοι παραινέσαιμι, καθαρὰν κακηγορίας τὴν γλῶτταν διαφυλάξαι. Εἰ γὰρ ἐκεῖνος μυρίων ἄξιος, ὡς γέγραφας, σκηπτῶν, μηδὲ τῇ τιμῇ βελτιωθείς, ἀλλ' ὅπλῳ κακίας τῇ ἱερωσύνῃ χρησάμενος, καὶ τολμῶν ἀτόλμητα· ἀλλὰ σύ γε τὸ σαυτοῦ στόμα μιαίνειν οὐκ ὀφείλεις, τὰς μιαρὰς ἐκείνου πράξεις ἐκτραγῳδῶν καὶ τὴν τῶν τρόπων σκαιότητα διηγούμενος.

A nefas sit, quomodo non id nefandum sit visum ei, qui præter legem eum initiaverit. Respondeo pro animo quidem tuo, quo mala omnia adversaris, te juste indignari, quod nemo negaverit. Illud interim moneamus ac præcipiamus, puram ut a maledicentia linguam custodias. Etsi enim infinitis ille, ut scribis, dignus est fulminibus, neque honore ac dignitate redditus melior, sed ipso sacerdotio velut nequitiæ instrumento abusus audeat, quæ audenda non erant, cave tamen tuum os inquinare sceleribus ejus impuris arguendis, ac morum ejus sæva narrando aliis.

ΡΙΖ'. — ΠΑΥΛΩ.

588 CXVII. — PAULO.

Vim fati et necessitatem, lepido argumento subvertit. (*Conf. lib.* III, *epist.* 136.)

Εἰ πᾶς λογισμὸς καὶ πᾶσα ἐνθύμησις, ὡς φῄς, παρὰ τῆς εἱμαρμένης τοῖς ἀνθρώποις ἐπιφοιτᾷ, ἀτοπώτατόν τι πάσχουσα φωραθήσεται. Εἰ τοῖς μὲν καταπέμπει ἐνθυμήματα, ὥστε ὑπεραπολογεῖσθαι αὐτῆς, τοῖς δὲ τέχνην καὶ ἐπιστημονικοὺς λόγους ῥέγει, δι' ὧν ταύτην ἀνατρέψουσιν. Εἰ τοίνυν αὐτὴ ἑαυτὴν ἀνατρέπει, δι' ὧν χορηγεῖ τοῖς ἀνατρέπουσιν αὐτὴν ἐνθυμημάτων, πῶς συστῆναι αὐτὴν οἷόν τε.

B Si quævis, ut ais, speculatio mentisque agitatio a fato pendeat homini, absurdissimum quid illi [fato] accidere deprehendes. Siquidem his rationes suggerat quibus defendatur; illis vero rationes scientificas adeoque artem præbeat, qua vicissim evertatur. Quare si se ipsum evertit fatum per ea, quæ præbet, enthymemata ipsum evertentia, quomodo, quæso, potest fatum subsistere?

ΡΙΓ'. — ΕΥΣΤΑΘΙΩ ΔΙΑΚΟΝΩ.

CXVIII. — EUSTATHIO DIACONO.

Ad vitæ emendationem adhortatio. Sui victoria, maxima.

Τοῦτο τὸ νῦν τολμηθὲν παρὰ σοῦ τῶν δεινῶν ἐκείνων ἐστὶ δεινότερον· ἡμιλλήθης πρὸς σαυτὸν, καὶ νενίκηκας· τὰ πρωτεῖα τοίνυν ἐν τῷ τῆς ἀσεβείας καὶ ἀσελγείας ἀγῶνι κατὰ πάντων φέρῃ, ὑπερηκόντισας, πάντας ὑπερβέβηκας· διὸ καὶ δακρύων ἡμῖν C ὑπόθεσις γέγονας ἀεννάων. Εἰ τοίνυν βούλει ἡμῶν τὴν λύπην τὴν ἐπὶ σοὶ ἰάσασθαι, πάντα ποίει, ὅπως ἀποτρίψαιο τὴν κακοδοξίαν (96).

Inter ea, quæ strenue gessisti, illud summum est, quod tecum ipse certans viceris. Primas itaque in hac cum impietate ac libidine pugna ab omnibus referens vicisti, omnesque facile superasti: propter illa nobis lacrymarum perennis causa exstiteras. Si itaque dolorem nostrum tui gratia susceptum tollere vis, omnem move lapidem, ne male deinceps audias.

ΡΙΘ'. — ΘΕΟΔΩΡΩ ΣΧΟΛΑΣΤΙΚΩ.

CXIX. — THEODORO SCHOLASTICO.

Lingua quomodo bene utendum. (*Inf. epist.* 453, *et ex Chrysostomo Casav. in sat.* 4 *Persii.*)

Εἰ ὀξυτάτην ἔχεις τὴν γλῶτταν, μάλιστα μὲν αὐτὴν ἐπιστόμιζε, καὶ χαλινῷ ἀνασείραζε· εἰ δὲ ἀδυνατεῖς, χρῆσαι αὐτῇ εἰς δέον ὑπὲρ τῆς θείας καὶ ἀκηράτου δόξης, ὑπὲρ τῆς τῶν ἀδικουμένων βοηθείας, ὑπὲρ τῆς τῶν καλλίστων συνηγορίας, κατὰ τῆς τῶν ἀδικούντων πλεονεξίας (97), κατὰ τῆς τῶν δαίμοσι πονηροῖς τὴν τοῦ παντὸς Πρόνοιαν ἐπιτρεπόντων ἀμαθίας, κατὰ τῆς τῶν αἱρετικῶν φρενοβλαβείας, κατὰ τῆς Ἑλλήνων δεισιδαιμονίας, κατὰ τῆς Ἰουδαίων ἀπαιδευσίας, D κατὰ τῆς τῶν ἁμαρτανόντων κατηγορίας. Εἰ δὲ τούτων ἀφέμενος, τῇ ὀξύτητι κατὰ τῶν ἐντυγχανόντων χρῷο, ἀτοπώτατόν τι ποιήσεις. Ταυτὸν γάρ τι πράξεις, οἷον ἂν εἰ μάχαιραν ἔχων ὀξεῖαν, κατὰ τῶν ἐπιτηδείων ἐπέφερες, ἢ ῥώμην, κατὰ τῶν πολιτῶν· δέον τῇ μὲν κατὰ τῶν πολεμίων, τῇ δὲ κατὰ τῶν ἀντιπάλων χρῆσθαι. Μὴ τοίνυν τὸ φάρμακον δηλητήριον κατασκεύαζε, ἀλλὰ δεόντως αὐτῷ κέχρησο.

Si mordentem acutamque habes linguam, os obtura maxime, et freno coerceto. Id si minus potes, utere ea pro divina et incorrupta fidei professione in præsidium injuste oppressorum, optimorum defensionem; contra avaritiam eorum, qui per nefas ditantur; contra eorum imperitiam, qui universitatis Dei providentiam malis ascribunt spiritibus; adversus hæreticorum amentiam, et gentium superstitionem; contra Judæorum inscitiam; contra peccantium convitia et maledicta. Quod si non feceris, lingua tua acuta ad obvia quæque abusus, absurdum feceris. Facies enim perinde, atque si acutissimum nactus gladium, in necessarios ferrum convertas; vel robur viresque contra cives tuos adhibeas, cum eos ab hoste propugnare oporteret, et lingua in adversarios, non amicos stringenda. Cave igitur, ne pro pharmaco utare veneno, quin potius quomodo oportet, utere.

VARIÆ LECTIONES ET NOTÆ.

(96) Pro τὴν κακοδοξίαν scribunt τὰς κακοδοξίας ambo codd. Possin.

(97) Inter πλεονεξίας et κατὰ codd. Vat. 650 et Alt. hæc omnia inserenda suggerunt, κατὰ τῆς τῶν εἱμαρμένην εἶναι λεγόντων ἀλογίας, κατὰ τῆς τῶν αὐτοματισμὸν φανταζομένων ἀνοίας, κατὰ τ. ib.

Digitized by Google

CXX. — HYPATIO REMP. GERENTI.

ΡΚ'. — ΥΠΑΤΙΩ ΠΟΛΙΤΕΥΟΜΕΝΩ.

Procrastinatio emendationis tandem Dei iram provocat.

Norunt, opinor, omnes eos qui in rebus gerendis cunctabundi sunt, cupere propius inspicere earum rerum molestias. Qui enim per ignaviam virtuti injuriam faciunt, pœnas sibi arcessunt, quæ, quos apprehenderint, avide, graviter ulciscuntur. Quod vero in delicta ultiones constitutæ paratæ sint, **589** nisi pœnitentiæ accedat medicina, Noæ diluvium, quæque in Sodomis acciderunt, aperte clamant. Pro quibus etsi cunctatio sit ac procrastinatio quædam, non tamen in finem differetur, vel fere quidem, non penitus tamen pœna tollitur.

Ὅτι μὲν οἱ ἀναβαλλόμενοι πρᾶξαι τὰ δέοντα, ἰδεῖν ἐγγύθεν βούλονται τὰ δεινά. (Οἱ γὰρ διὰ ῥᾳθυμίαν εἰς τὴν ἀρετὴν ἐξυβρίζοντες, τὰς τιμωρίας ἐφ' ἑαυτοὺς ἕλκουσι, διψώσας μετελθεῖν τοὺς ἀλόντας,) οἶμαι πάντας εἰδέναι· ὅτι δὲ εἰς κολάσεις περιστήσονται τὰ πλημμελήματα, ἂν μὴ μετανοίᾳ θεραπευθῶσι, καὶ ὁ κατακλυσμὸς, καὶ τὰ ἐπὶ Σοδομιτῶν συμβάντα διαῤῥήδην βοᾷ. Ἐφ' ὧν, εἰ καὶ μέλλησίς τις γέγονεν, ἀλλ' οὐκ εἰς τέλος ἀκίνητος ἔμεινεν, ἢ μόλις μὲν, πάντως δὲ κινουμένη δίκη.

CXXI. — OPHELIO GRAMMATICO.

ΡΚΑ'. — ΩΦΕΛΙΩ ΓΡΑΜΜΑΤΙΚΩ.

De Laconica oratione (98).

Cum multa funduntur verba, et importuna fit oratio, non propterea admiranda est, sed cum brevis quidem prolixitate, longa vero sit sensibus, ac compendio, quantum est satis continens, loci opportunitate maxime animata vividior apparet.

Οὐχ ὅταν πολὺς ὁ λόγος ῥέῃ, καὶ ἔξω τῶν καιρῶν φέρηται, θαυμαστός ἐστιν· ἀλλ' ὅταν βραχὺς μὲν ᾖ τῷ μήκει, πολὺς δὲ τοῖς ἐνθυμήμασι, καὶ ἐν τῷ συντόμῳ τὸ ἀπαράλειπτον ἔχων, ὑπὸ τοῦ καιροῦ μάλιστα ψυχωθεὶς, ζωτικώτερος φαίνηται.

CXXII. — MARTINIANO, ZOSIMO, MARONI, EUSTATHIO.

ΡΚΒ'. — ΜΑΡΤΙΝΙΑΝΩ, ΖΩΣΙΜΩ, ΜΑΡΩΝΙ, ΕΥΣΤΑΘΙΩ.

Reprehendit ipsorum impudentem nequitiam.

Quando non solum non pudet vos ea patrare, quæ nemo alius, infamia laborans, committit, verum etiam gloriari audetis de iis, quæ obscurari ac tegi erat æquum, in eo omnem superastis amentiam; idcirco ad vos hæc duxi præscribenda. Illis enim tanto deteriores estis, quod quæ ipsi quidem commiserunt crimina, texerint; vos contra in iis arroganter vos jactatis. Summum vero malorum illorum esse referunt, quod hi vobis videantur delirare, qui honeste degunt, et irridetis eos, qui vos admonent. Quæ cum ita sint, ecquid vobis relictum est patrocinium? quæ commiseratio? ecquæ venia reliqua? Equidem non habeo dicere.

Ἐπειδὴ οὐ τῷ μόνον διαπράξασθαι ταῦτα, ἃ μηδεὶς πώποτε ἄλλος τῶν ἐπὶ τοῖς αἰσχίστοις βεβοημένων, αἰσχύνην ὠφλήκατε, ἀλλὰ καὶ τῷ ἐναβρύνεσθαι ἐφ' οἷς ἐγκαλύπτεσθαι δίκαιον, πᾶσαν ὑπερηκοντίσατε μανίαν· δίκαιον ᾠήθην τοῦτο χαράξαι πρὸς ὑμᾶς τὸ γράμμα. Τοσούτῳ γὰρ ἐκείνων ἐστὲ, ὡς φασι, χείρους, ὅσον ἐκεῖνοι ἔπραττον μὲν, ἐκρύπτον δέ· ὑμεῖς δὲ καὶ ἐγκαλλωπίζεσθε. Τὸν δὲ κολοφῶνα τῶν κακῶν ἐκείνων εἶναί φασιν, ὅτι καὶ μαίνεσθαι ὑμῖν δοκοῦσιν οἱ κοσμίως ζῶντες, καὶ παραπαίειν οἱ παραινοῦντες. Ποία οὖν ὑμῖν λελείψεται ἀπολογία; τίς ἔλεος, ποία συγγνώμη; Οὐκ ἔχω λέγειν.

CXXIII. — THOMÆ.

ΡΚΔ'. — ΘΩΜΑ.

Æternis et mansuris adhærendum; peritura autem contemnenda.

Hæc possessionibus sola ascribamus, quibus cum erit moriendum, opus erit. Reliqua vero contemnamus.

Μόνης τῆς κτήσεως ἐκείνων ἐχώμεθα, ὧν μετὰ τὴν ἀπαλλαγὴν τοῦδε τοῦ βίου δεηθησόμεθα· τῶν δὲ λοιπῶν καταφρονήσωμεν.

CXXIV. — HARPOCRÆ SOPHISTÆ.

ΡΚΓ'. — ΑΡΠΟΚΡΑ ΣΟΦΙΣΤΗ.

Cohibenda calumnia.

Calumniantem fere universos refrena graviore comminatione, ne supplicio postea indigeat.

Τὸν διαβάλλοντα σχεδὸν πᾶσι πάντας, ἐμβριθεστέρᾳ ἀπειλῇ σωφρόνισον· ἵνα μὴ τιμωρίας ὕστερον δεηθείη.

CXXV. — EIDEM.

ΡΚΕ'. — ΤΩ ΑΥΤΩ.

Ad frequentes litteras invitat.

Quoties tuas accipio litteras disertas illas, et multa disco, et magnam inde capio utilitatem. Est enim in iis et affectus, et verborum vis. Si autem scribere ad me aliquando cessabis, discrucior equi-

Ἡνίκα γράμματα δεχοίμην τῆς σῆς λογιότητος, καὶ παιδεύσεως πληροῦμαι, καὶ σφόδρα γέγηθα. Ἔστι γὰρ ἐν αὐτοῖς καὶ διαθέσεως, καὶ λόγων ἐπίδειξις. Εἰ δὲ πρὸς βραχὺ ὑπέρθοιο τὸ γράφειν, λίαν

VARIÆ LECTIONES ET NOTÆ.

(98) De Laconismo etiam elegans Gregorii Nazianzeni exstat ad Nicobulum epistola. Schott.

Digitized by Google

ἀθυμῶ, καὶ τὴν γλῶτταν ἀμβλύνομαι, οὔτε τῆς εὐ- A dem nimium quantum, et lingua torpet, neque lætum quid accidit, neque utilitatem percipio e sermone tuo. Noli itaque amicitiæ fœdus violare, sed frequenter scribe. Sic mihi longe ſies charior.

φροσύνης μοι πρασγινομένης, οὔτε τῆς ἀπὸ τῶν λόγων ὠφελείας. Μὴ τοίνυν ἀδίκει τὸν τῆς φιλίας θεσμὸν (99), ἀλλὰ συχνῶς γράφε. Οὕτω γὰρ ἔσῃ μοι πλέον κεχαρισμένος.

ΡΚϚ'. — ΦΙΛΗΤΡΙΩ.

590 CXXVI. — PHILETRIO.

De Ecclesiæ vulneribus ritiisque persanandis, aurea epistola. Confer. epist. 21 et 37.)

Ἐγὼ, ὅτι μὲν πρώην ἡ τοῦ Χριστοῦ Ἐκκλησία καὶ τοὺς διδασκάλους εἶχε λαμπροὺς, καὶ τοὺς φοιτητὰς εὐδοκίμους, μάλα ἀκριβῶς οἶδα· καὶ ἐπ' ἐμοῦ γὰρ, οὐχὶ πάλαι μόνον, γέγονε ταῦτα ἀμφότερα· ὅτι δὲ καὶ νῦν τοῦτο οὐκ ἔστιν ἀδύνατον γενέσθαι, ὡς φῄς, ἀλλὰ δυνατὸν, οὐκ ἔστιν ἀμφίβολον. Ἐὰν γὰρ παρὰ τῶν ὑφηγητῶν βεβαίως ὑπάρξῃ, καὶ παυσάμενοι τῆς τυραννίδος πατρικὴν κηδεμονίαν ἐπιδείξωνται, τότε καὶ περὶ τοῦ τίνα τρόπον σωθήσονται οἱ ὑπήκοοι, ἐξέσται σκοπεῖν· πρὶν δὲ τὴν κρηπίδα ὀρθῶς ὑποθέσθαι, λίαν περιττὸν ἡγοῦμαι, τὸν περὶ τῆς κορωνίδος ποιεῖσθαι λόγον. Οὐ γὰρ ἐθελήσωσιν ἐκεῖνοι, κἂν μυριάκις ἀκούσωσι, πείθεσθαι, ἂν μὴ διὰ πραγμάτων μάθοιεν. Ὁ μὲν οὖν παρὼν καιρὸς καὶ βουλῆς καὶ προνοίας δεῖται πολλῆς· ἐγὼ δὲ οὐχ ὅ τι χρὴ παραινέσαι, δυσκολώτατον ἡγοῦμαι. Ἀλλ' ἐκεῖνο ἀπορῶ, τίνα χρὴ τρόπον πρὸς αὐτοὺς εἰπεῖν. Πείθομαι γὰρ ἀκριβῶς, ἐξ ὧν καὶ παρὼν καὶ πυνθανόμενος σύνοιδα, τὰ πλείω τῶν θείων θεσπισμάτων αὐτοὺς ἐκφυγεῖν, τῷ μὴ θέλειν τὰ δέοντα πράττειν, οὕτω μὴ συνιέναι. Παραινῶ τοίνυν αὐτοῖς, ἐὰν μετὰ παῤῥησίας εἴποιμι, φέρειν τοῦτο, θεωμένους εἰ τἀληθῆ λέξαιμι καὶ διὰ τοῦτο, ἵνα βελτίους γένωνται. Ἐκ γὰρ τοῦ κολακεύειν ἐνίους, εἰς τοιαύτην ταραχὴν ἐνέπεσε τὰ τῶν Χριστιανῶν πράγματα. Τί οὖν χρὴ ποιεῖν; Συντόμως ἐρῶ, καὶ οὐκ ἀποκρύψομαι. Εἰ μὲν μύθους ἡγοῦνται τὰς θείας Γραφὰς, σιγὴν ἀσκείτωσαν· εἰ δὲ ὄντως οὐρανίους θεσμοὺς, πραττέτωσαν πρῶτον, εἶτα δημηγορείτωσαν· μὴ τοιούτων γὰρ αὐτῶν ὄντων, ὁ θεῖος νόμος ἀποκλείει τὸ στόμα.

Probe quidem novi in Christi primum Ecclesia doctores egregios claruisse, itemque probatos discipulos : et meo quidem tempore, non olim tantum, utrumque horum factum est. Id autem hodie impossibile, ut tu quidem scribis, non esse, sed fieri posse, nemini dubium est. Si enim res ista ab iis, qui præsunt, solide initium sumat, et illi, tyrannide posita, sollicitudinem suam curamque erga patriam B ostenderint, tunc etiam qua ratione salvari queant subditi, licebit videre. Prius enim quam recte jacta sint fundamenta, de coronide fastigioque sermonem instituere, valde supervacaneum duco. Neque enim volunt illi, etsi millies audierint, credere, nisi experimento didicerint. Præsens itaque tempus multo indiget consilio et prudentia. Ego vero difficillimum arbitror, non quod oporteat admonere; at de eo dubito, quonam modo compellare illos oporteat. Certo enim mihi persuadeo ex iis, quæ et coram et sciscitando cognovi, fugere illos pleraque divinorum oraculorum ; quod nolint, quæ oportet, facere, neque addiscere. Quamobrem illos exhortor (ut libere, quod sentio, dicam) patienter hæc ferre, ac dispicere, num vera dicam, ut ea ratione emendentur. C Quod enim assentantur nonnulli, idcirco in has turbas res est Christiana conjecta. Quid igitur facto est opus? Dicam brevi, nec celabo. Si quidem sacras Litteras pro fabulis reputant, tum sileant. Si vero cœlestem esse credunt doctrinam sanctionemque, opere illa prius exsequantur, dehinc publice prædicent. Id enim nisi fecerint, lex divina os illis obstruet.

ΡΚΖ'. — ΑΝΕΠΙΓΡΑΦΟΣ.

CXXVII. — ΑΝΕΠΙΓΡΑΦΟΣ.

Modestiæ et humilitatis commendatio.

Ἐπειδὴ οὐδὲν μεγαλοφυὲς, οὐδὲ ὑπερφυὲς ἔχει ἡμῶν ἡ φύσις, ἐπὶ τὸ μέτριον αὐτὴν καὶ ἐπιεικὲς, ἅτε δὴ οἰκεῖον καὶ συγγενὲς, συνελάσωμεν, πᾶσαν ἀλαζονείαν ἐξορίζοντες.

Si quidem magnanimum nihil aut supra naturam humana continet natura, illam ad moderatum quid ac mite agnatumque nobis ac proprium astringamus, D omnem ablegantes arrogantiam.

ΡΚΗ'. — ΠΕΤΡΩ.

CXXVIII. — PETRO.

Quis spiritalis, animalis et carnalis [18]. *Conf. epist. 127, lib. IV ad Nilum.*

Σαρκικοὺς καλεῖ ἡ Γραφὴ τοὺς εἰς τὰ τῆς σαρκὸς (1) κατολισθήσαντας, ψυχικοὺς δὲ τοὺς πέρα τῆς ἀκολουθίας τῶν λογισμῶν μηδὲν καταδεχομέ-

Scriptura sacra vocat *carnales*, qui ad carnis opera prolapsi sunt; *animales* vero, qui mentis intellectusque ratiocinationem sequuntur; *spiritales*

[18] I Cor. III, 7; II, 13.

VARIÆ LECTIONES ET NOTÆ.

(99) Multorum enim amicitias silentium diremit, ait lib. *Ethicor. Nicom.* Aristot., πολλῶν γὰρ φιλίας ἡ ἀπροσηγορία διέλυσεν. Et apud Columellam Alphenus fenerator : « Bona, inquit, nomina interdum mala fiunt, nisi interpelles. Scribendi itaque ad amicos, ne amor intercidat mutuus, officium intermitti non debet, sed exaggerari. » Schott.

(1) Post σαρκὸς codd. Vat. 650 et Alt. addunt πάθη. Vers. 2 pro παρὰ iidem optime scribunt πέρα, et vers. 3 κατεχομένους item optime mutant in καταδεχομένους. Possin. — Confer epist. 36 et 68.

Digitized by Google

denique, qui divini Spiritus dono sunt ornati, ratiocinandi vim superantes, ac supra naturam illuminati. **591** Verbi gratia, tres illos pueros in Babylonicum caminum missos non arsisse, nemo dixerit naturæ esse opus. Quod si simile quis investiget, næ ille mentis imbecillitatem perspiciet. Sin divinam potius consideret naturam, quæ humanam longe excedit, et argumentandi vim, omnesque adeo artes superat, prædicta omnia intellectu consequitur.

Donum vero Dei esse dicendi rationem, audi disserentem cum Deo Jobum : « Vel tu pulverem in terra capiens animal formasti, et loquentem in terra collocasti [17]. » Illud enim λαλητὸν, etsi quidam pro *vocali* exponunt, significat tamen rationale potius, quod loquendi vi percipitur. Qui enim vocale quid fiet, nisi sit qui ratiocinando sensa mentis explicet? Et sanctus Paulus summum inter charismata cœlestia sapientiæ orationem collocat. Res itaque divina oratio est, at virtus divinior est : divinissima vero fides. Primum orationem quidem censeo velut ornatum esse : virtutem vero velut corpus, et fidem velut animam. Igitur cui hæc tria suppetunt, excellens perfectusque est vir; qui vero aliquo deficitur, tum eo quod sit maxime præferendum, non est numeris absolutus omnibus, quia aliquo destituitur; siquidem magnopere differunt. Illud enim magnum, majus alterum, tertium vero maximum; at necessaria est conjunctio. **602** Oratio etenim etsi magis quam torrens fluat, quomodo ornabit eum, qui virtutem veluti corpus non possidet? Si enim non sit, qui ornetur, supervacaneum fuerit ornamentum. Quomodo vero auditum quis non conturbet sola voce de philosophia ratiocinando? Præstat corpus sine ornatu habere, quam ornatum sine corpore. Virtus autem quomodo mortua non existimetur, nisi fide animetur? Fides rursus qualis appareat virtute destituta, per quam operetur? Ut enim optimus musicus lyram non habens, neque scientiam exhibebit : ita et pietas sine operibus (quæ organa repræsentent) mortua esse et inefficax videtur non externæ modo scientiæ hominibus, sed et sacris etiam Litteris : « Fides enim, ait Scriptura, sine operibus mortua est. » Quicunque itaque dicendi sunt facultate præditi, ne glorientur, quæso, quasi adepti sint universa. Desunt enim quæ præstantiora sunt, virtus ac pietas [seu fides]. Neque virtute præditi, sed carentes dicendi peritia ac fide, sese efferant, quia fides deest et oratio. Neque qui fidem habent, operibus vero et oratione destituti sunt, alios temere condemnent. Deprehenduntur enim operibus fidem negantes. Sed quæ desunt, omnes adipisci studeant, ut fidem quidem habentes tanquam animam, virtutem vero pro corpore, orationem denique ornamenti gratia; sic venerandi exsistant, in pretioque habiti ac coronati denique triumphent.

[17] Job xxxviii, 38.

τοῖς ἄλλοις σχεδὸν ἅπασι. Διὸ καὶ τῶν ποιητῶν ὁ κορυφαῖος ἔφη·

Οὐδὲν ἀκιδρότερον γαῖα τρέφει ἀνθρώποιο (18).

Ὅτι δὲ θεῖόν ἐστι δῶρον, ἄκουε τοῦ Δημιουργοῦ τῷ Ἰὼβ διαλεγομένου· « Ἢ σὺ λαβὼν χοῦν ἀπὸ γῆς, ἔπλασας ζῶον, καὶ λαλητὸν αὐτὸ ἔθου ἐπὶ τῆς γῆς. » Τὸ γὰρ λαλητὸν εἰ καί τινες οἴονται περιβόητον εἶναι, εὖ μηνύει μᾶλλον τὸ λογικὸν, τὸ διὰ τοῦ λαλεῖν γνωριζόμενον. Πῶς γὰρ ἔμελλε διαβόητον εἶναι, οὐκ ὄντων τῶν διὰ λόγου κηρυττόντων; Καὶ ὁ Παῦλος δὲ κορυφαιότατον τῶν οὐρανίων χαρισμάτων τὸν λόγον τῆς σοφίας ὡρίσατο. Θεῖον μὲν οὖν τι χρῆμα ὁ λόγος, θειότερον δὲ ἡ ἀρετὴ, θειότατον δὲ ἡ πίστις· καὶ τὸν μὲν ὁρίζομαι εἶναι ὡς κόσμον, τὴν δὲ ὡς σῶμα, τὴν δὲ ὡς ψυχήν. Ὧ μὲν οὖν τὰ τρία πρόσεστιν, οὗτος ἀνυπέρβλητός ἐστι καὶ τέλειος· ᾧ δὲ ὁπότερον λείπει, καὶ μάλιστα τὸ προτιμότερον, οὗτος ἀτελής ἐστι κατ' ἐκεῖνο, καθ' ὃ ἐλλείπει. Εἰ γὰρ καὶ πολλή ἐστιν αὐτῶν ἡ διαφορά· τὸ μὲν γάρ ἐστιν αὐτῶν μέγα, τὸ δὲ μεῖζον, τὸ δὲ μέγιστον· ἀλλ' ἀναγκαία αὐτῶν ἡ σύνοδος. Ὁ μὲν γὰρ λόγος, κἂν ὑπὲρ τοὺς ποταμοὺς ῥέῃ, πῶς κοσμήσει τὸν μὴ ἔχοντα ἀρετὴν, καθάπερ σῶμα; Μὴ ὄντος γὰρ τοῦ κοσμουμένου, καὶ τὸ κοσμοῦν περιττόν. Πῶς δὲ οὐκ ἐνοχλεῖ τὰς ἀκοὰς διὰ φωνῆς μόνης φιλοσοφῶν; Ἄμεινον γὰρ σῶμα ἔχειν ἄνευ κόσμου, ἢ κόσμον ἄνευ σώματος. Ἡ δὲ ἀρετὴ πῶς οὐκ ἔσται νεκρὰ, ὑπὸ τῆς πίστεως καθάπερ ψυχῆς μὴ ψυχουμένη; Πῶς δὲ ἡ πίστις φανεῖται, μὴ ἔχουσα ἀρετὴν δι' ἧς ἐνεργήσει; Καθάπερ γὰρ μουσικὸς ἄριστος λύραν μὴ ἔχων, οὐδὲ τὴν ἐπιστήμην ἐπιδείξεται, οὕτω καὶ ἡ εὐσέβεια μὴ δι' ἔργων καθάπερ ὀργάνων δεικνυμένη, νεκρὰ καὶ ἀνενέργητος εἶναι δοκεῖ, οὐ τοῖς ἔξωθεν μόνον, ἀλλὰ καὶ ταῖς θείαις Γραφαῖς· « Ἡ πίστις γὰρ, φησὶ, χωρὶς τῶν ἔργων νεκρά ἐστι. » Μήτ' οὖν οἱ λόγον μόνον ἔχοντες ἐναβρυνέσθωσαν, ὡς τὸ πᾶν κατορθώσαντες (λείπει γὰρ αὐτοῖς τὰ προτιμότερα, ἀρετή τε καὶ εὐσέβεια)· μήτε οἱ ἀρετὴν ἔχοντες ἄνευ λόγου καὶ πίστεως σεμνυνέσθωσαν (λείπει γὰρ αὐτοῖς λόγος τε καὶ πίστις)· μήτε οἱ πίστιν ἔχοντες, ἔργων δὲ καὶ λόγου χηρεύοντες, τοὺς ἄλλους κατακρινέτωσαν (ἐλέγχονται γὰρ τοῖς ἔργοις ταύτην ἀρνούμενοι)· ἀλλὰ τὸ λεῖπον ἕκαστοι κτήσασθαι σπουδαζέτωσαν· ἵν' ἔχοντες τὴν μὲν πίστιν ὡς ψυχὴν, τὴν δὲ ἀρετὴν ὡς σῶμα, τὸν δὲ λόγον ὡς ἐγκαλλώπισμα, κάνταῦθα ἀοίδιμοι τυγχάνοιεν, κἀκεῖσε εὐδόκιμοι καὶ στεφανῖται πομπεύσειαν.

VARIÆ LECTIONES ET NOTÆ.

(18) Homeri locus est *Odyss.* vi, v. 129. Vide Adag. *Homo bulla.* Et, σκοπὸς ὁ λόγος. Posset et τόκος legi pro *partu.* Et post paulo, εἰ καί τινες. Forte εἶναι scriptum erat. Jobi hic locus jam a nobis repertus est in LXX, cap. xxxviii, vers. 14, non, ut ad oram Græci appositum, λθ', pro quo repone λη', ubi pro χοῦν, quod hic occurrit, πηλὸν editur. Paginus ex Heb. : *Vertet se terra sicut lutum sigilli, et stabunt sicut vestimentum.* Latina vulgata sic : *Restituetur ut lutum signaculum, et stabit sicut vestimentum.* At Septuag. ex Rom. edit. Flam. Nobilii : *Aut tu sumens terram lutum plasmasti animal, et idoneum ad loquendum posuisti eum super terram?* Schott.

Digitized by Google

ΡΞΓ'. — ΤΟΙΣ ΔΟΜΕΤΙΟΥ ΠΑΙΣΙΝ. A CLXIII. — DOMITII LIBERIS.

De fratris abitu redituque ad suos. Puto fratrem illum Christianum fuisse, et suos religionis causa reliquisse, quod spes nulla convertendi affulgeret.

Εἰ καὶ ὁ ἀδελφὸς ὁ ὑμέτερος μὲν κατὰ σάρκα, ἡμέτερος δὲ κατὰ πνεῦμα, ἀπῆρε μὲν ἐντεῦθεν πρώην, ὡς μηκέτι ἐπιφοιτήσων, εἰ μὴ ὑμᾶς θηρεύσειεν· ἐπεφοίτησε δὲ πάλιν, ὡς μηκέτι ὑποστρέψων, ἐπειδὴ ἀπέτυχε τῆς θήρας· ἀλλ' ὑπὸ τῆς ἀγάπης ἀναγκαζόμενος, ἥξει πάλιν, θηρεύσων ὑμᾶς εἰς ζωήν.

Etsi frater quidem vester sanguine, noster vero spiritu, ablatus hinc quidem nuper, quasi non amplius rediturus, nisi ut vos quærat; accessit vero denuo, ut non amplius abiturus, nactus prædam seu capturam, sed a charitate impulsus, veniet iterum quærens vos ad vitam.

ΡΞΔ'. — ΤΟΙΣ ΑΥΤΟΙΣ. CLXIV. — EIDEM.

Ad virtutem colendam gentium invitat exemplis, quia Christianam respuebant religionem. (Confer. epist. 92 in fin., 221.)

Εἰ καὶ δῆλοι πᾶσι γεγόνατε καὶ φανεροὶ ἀποδιδράσκοντες τὴν θειοτάτην θρησκείαν, δι' ἕτερον μὲν οὐδὲν (ἐκθειάζετε γὰρ αὐτήν, ὡς ἐπυθόμην), διὰ δὲ τὸ μὴ βούλεσθαι ἀρετὴν ἀσκεῖν (τοῖς γὰρ σωματικοῖς πάθεσιν ἐγκαλινδεῖσθαι, ὥς φασι, προῄρησθε), ἀλλά γε κἂν ὀψέ ποτε δίκαιοι ἂν εἴητε ἑαυτοὺς πεῖσαι, ὅτι ἡ μὲν κακία αἰσχύνην καὶ ὄνειδος καὶ κόλασιν ἔχει, ἡ δὲ ἀρετὴ τιμὴν καὶ κλέος καὶ στεφάνους. Καὶ εἰ (19) ἡδονὴν νομίζετε ἔχειν τὴν κακίαν, τὴν δ' ἀρετὴν πόνους καὶ ἱδρῶτας· ἀλλ' ἐννοεῖν ὀφείλετε, ὅτι ἡ μὲν ἡδονὴ πρὶν σχεδὸν φανῆναι σβέννυται, ἡ δ' ἀρετὴ ἀθάνατον ἔχει τὴν εὐφροσύνην· καὶ ἡ μὲν διὰ πλατείας καὶ εὐρυχώρου βαδίζουσα ὁδοῦ, εἰς στενὸν καὶ ἀδιεξόδευτον χῶρον τελευτᾷ· ἡ δὲ διὰ πόνων καὶ ἱδρώτων ὁδεύουσα, εἰς εὐθυμίαν πλατεῖαν καταντᾷ. Εἰ δὲ τοῖς ἡμετέροις ἀπιστεῖτε, ἀπὸ τῶν ὑμετέρων ὑμᾶς πεῖσαι πειράσομαι. Πλάτων μὲν γὰρ φιλοσοφήσας ἀοίδιμος γέγονε, Διονύσιος δὲ τυραννήσας ἐσβέσθη· καὶ Σωκράτης μὲν ᾄδεται, Ἀρχέλαος δὲ ὁ βασιλεὺς σεσιώπηται· καὶ Σόλων μὲν ἀνυμνεῖται, Κροῖσος δὲ ὁ πάντων ἀνθρώπων νομίσας εἶναι εὐδαιμονέστερος, καὶ ζῶν ἑάλω, καὶ πυρὸς ἔργον Περσικοῦ ἔμελλε γίγνεσθαι. Εἰ δὲ τούτους φιλοσόφους ἡγεῖσθε, ἥξω καὶ ἐπὶ τοὺς πολιτευσαμένους, καὶ στρατηγήσαντας μετὰ φιλοσοφίας. Ἐπαμινώνδας ὁ Θηβαίων στρατηγός, ὁ Λακεδαιμονίους ἐν Λεύκτροις χειρωσάμενος, ἓν ἱμάτιον ἔχων, καὶ διὰ τοῦτο εἰς ἐκκλησίαν ἐλθεῖν μὴ δυνάμενος, ἐπειδὴ κατ' ἐκείνην τὴν ἡμέραν πλυνόμενον ἔτυχε, καὶ ἕτερον περιβαλέσθαι οὐκ εἶχε, πάντων τῶν Περσικῶν βασιλέων ἐπισημότερος γέγονεν. Ἀριστείδης δὲ τοσαύτῃ πενίᾳ συμβιώσας, ὡς τὴν Ἀθηναίων πόλιν αὐτὸν μὲν θάψαι ἀποθανόντα, τὰς δὲ θυγατέρας αὐτοῦ προικίσασαν ἀνδράσιν ἐκδοῦναι, πάντων ἐκείνων τῶν περὶ Καλλίαν τὸν λακκόπλουτον (20), καὶ Ἀλκιβιάδην, τῶν καὶ πλούτῳ καὶ γένει καὶ δυναστείᾳ κρατούντων, λαμπρότερος ἦν. Αἰδεσθέντες τοίνυν κἂν ἃ πρεσβεύετε, ἀσπάσασθε τὴν ἀρετήν, δι' ἧς ῥᾳδίως καὶ ἐπὶ τὴν θειοτάτην θρησκείαν βαδιεῖσθε.

Tametsi noti ac notati sitis ab omnibus, uti refugientes sacrosanctam religionem, ac nullam quidem aliam ob causam, tamen colitis eamdem, ut mihi persuadeo. Quia vero virtutem colere detrectatis (corporis enim affectionibus involvi, ut ferunt, elegistis), attamen æquum sit vobis tandem aliquando persuasum esse, improbitatem vitiumque consequi pudorem, dedecus ac pœnam: virtutem contra comitari decus atque coronam. Voluptatem quidem esse aliquam in peccato si existimatis, contra labores in virtute atque sudores. **603** In animum tamen inducite, delectationem illam vix conspectam statim exstingui: virtus vero oblectationem habet sempiternam. Illa quidem via lata est ac spatiosa, in angustam atque inexplicabilem desinens regionem: hæc vero laboris ac sudoris plena in amplam fertur animi tranquillitatem. Quod si nostris fidem adhibere recusatis, conabor persuadere id vobis testimonio auctorum veterum. Plato quidem celebris a philosophia evasit. At Dionysius etiam regno administrato memoria excidit. Socrates quidem decantatur. Archelaus rex contra silentio premitur; Solon prædicatur; Crœsus vero, qui se omnium esse mortalium felicissimum opinabatur, vivus captus est, et igni Persico tantum non combustus est. Tales autem philosophos duntaxat, ut asseritis, fuisse equidem non iverim inficias. Sed et rempublicam administrantes; et post philosophiam exercitus ducentes referam. Epaminondas Thebanorum dux, qui Lacedæmonios pugna Leuctrica subegit, una contentus veste, cum quondam in comitia venire non posset, quod illa lavaretur aliamque vestem non haberet, Persicis omnibus regibus clarior est habitus. Aristides adeo pauper vixit, ut ipsum vita functum Athenienses sepelire, filiasque publice dotatas viris elocare debuerint. Quid? Callias thesauris locupletatus, et Alcibiades divitiis, genere, et imperio potentibus antecellebant. Quare vos pudore affecti quænam profertis? virtutem itaque complectamini, et ad divinam religionem accedite.

VARIÆ LECTIONES ET NOTÆ.

(19) Pro καὶ εἰ codd. Vat. 650 et Alt. habent ἀλλ' ἤδ'. Possin.

(20) *Λακκόπλουτοι.* Adag. Hesychio, et Plutarch. in Aristide, Διὰ τὸ περιτυχεῖν χρυσῷ εἰς φρέαρ βεβλημένῳ. Scuott.

Digitized by Google

CLXV. — LAMPETIO EPISCOPO.

ΡΞΕ'. — ΛΑΜΠΕΤΙΩ ΕΠΙΣΚΟΠΩ.

Etsi in Zosimo admonendo operam perdiderit, laboris tamen mercedem apud Deum repositam habet. (*Sup. epist.* 103, 116.)

Quamvis, ut optimus medicus in alieno malo velut ex propria ægritudine fructum percipiens, dolores ad lassitudinem desudasti, Zosimi curatu sane perdifficilem morbum non modo explorans, sed et igni et ferro adurens admonitionemque adhibens, et multa quidem ad pietatem singulatim inculcans, multa quoque benigna ac salutaria suadens, nihil præter irrisionem et odium ab illo retuleris, ne, quæso, parvi æstimes, sed memineris potius maximam te apud Deum manere mercedem.

Εἰ καὶ ὡς ἄριστος ἰατρὸς, ἐν ἀλλοτρίοις κακοῖς ἰδίας καρπούμενος λύπας, ἀπέκαμες, τὸ δυσίατον Ζωσίμου νόσημα, μὴ μόνον κατανοῶν (21), ἀλλὰ καὶ κατακαίων, πυρί τε καὶ σιδήρῳ τῷ διὰ λόγων χρώμενος· καὶ πολλὰ μὲν πρὸς τὴν ἀσέβειαν ἀποτομώτατα φράσας, πολλὰ δὲ προσηνῆ καὶ σωτήρια συμβουλεύσας, οὐδὲν τοῦ χλευασθῆναι καὶ μισηθῆναι παρ' αὐτοῦ πλέον ἀπηνέγκω· μὴ ὀλιγωρήσῃς, ἀλλ' ἴσθι παρὰ τοῦ Θεοῦ μεγίστας ἔξων τὰς ἀμοιβάς.

CLXVI. — ISIDORO EPISCOPO.

ΡΞϚ'. — ΙΣΙΔΩΡΩ ΕΠΙΣΚΟΠΩ.

In martyrum persecutione irritum esse paganorum conatum.

Etsi nefariorum cacodæmonum et simulacrorum sensus omnis expertium cultores ea in verbi divini præcones tormenta excogitarunt, quæ neque verbis proferri queant, neque reipsa, quibus perterriti ab orthodoxa opinione deflecterent, sint toleranda; **604** attamen omnia hæc superarunt martyres atque evaserunt, utpote ad certantium victoriam illustriorem reddendam, et ad ipsorum torquentium perniciem potius destinata.

Εἰ καὶ οἱ τῶν δαιμόνων τῶν πονηρῶν, καὶ τῶν εἰδώλων τῶν ἀκινήτων προσκυνηταὶ, οὔτε λόγῳ ῥητὰ, οὔτε ἔργῳ φορητὰ, κατὰ τῶν τὸ θεῖον κηρυττόντων κήρυγμα ἐπενόησαν βασανιστήρια, ὡς ταύτῃ αὐτοὺς καταπλήξοντες, καὶ τοῦ ὀρθοῦ φρονήματος ἐκστήσοντες· ἀλλά γε πάντα αὐτοῖς ἐάλω, καὶ πάντα ὑπέκυψεν, ὥσπερ εἰς τὴν τῶν πολεμηθέντων νίκην εὐκλεεστέραν, καὶ εἰς τὸν τῶν παρασκευασαμένων ὄλεθρον εὐτρεπισθέντα.

CLXVII. — DIDYMO PRESBYTERO.

ΡΞΖ'. — ΔΙΔΥΜΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Primum est vincere, nec unquam superari; proximum, etsi initio superatus sit, vincere. Si primum assequi nequeat, studendum posteriori. (*Confer. epist.* 554.)

Præstat, o sapientissime, puram a clade nancisci victoriam, quam ubi sis victus victoria potiri. Illud enim licet fini cohæreat, attamen principium habet præcone dignum; hæc vero licet in fine obtingat, tamen clade ab initio accepta obscuratur. Prius itaque illud melius est, si vero effugerit, secundum sit maneatque secundum. Melius est enim prælium maturare, quam in conflictu occumbere. Neque tantum a priore vincitur, quantum ab ultimo superatur. Hoc igitur satis, etsi non ut primum, laudatur tamen. Ille vero ridiculus est, et omnibus reprehendendi sese materiam præbet.

Πολλῷ μὲν κρεῖττον, ὦ σοφώτατε, τὸ καθαρὰν ἥττης ἔχειν τὴν νίκην, τοῦ μετὰ τὴν ἧτταν νικῆσαι. Τὸ μὲν γὰρ εἰ καὶ τῷ τέλει συνάπτεται, ἀλλ' ἔχει καὶ τὴν ἀρχὴν ἀνακηρύττουσαν· τὸ δὲ εἰ καὶ τῷ τέλει συμβαίνει, τῇ παρὰ τὴν ἀρχὴν ἀμαυροῦται ἥττῃ. Ἄμεινον μὲν οὖν τὸ πρότερον· εἰ δὲ διαφεύγοι, δεύτερον ἔστω τὸ δεύτερον. Ἄμεινον γὰρ τοῦ μεῖναι ἐν τῇ ἥττῃ τὸ ἀναμαχέσασθαι ταύτην. Οὐ τοσοῦτον γὰρ τοῦ πρώτου ἀπολείπεται, ὅσῳ τοῦ τελευταίου ὑπερέχει· μᾶλλον δὲ ὁ μὲν, εἰ καὶ μὴ ὡς ὁ πρότερος, ὅμως δ' οὖν ἀνακηρύττεται· ἐκεῖνος δὲ καταγέλαστός ἐστι, καὶ κωμῳδίας ἅπασι πρόκειται ὑπόθεσις.

CLXVIII. — TIMOTHEO.

ΡΞΗ'. — ΤΙΜΟΘΕΩ.

Quæ principi necessaria. Solon dicebat, duobus rempublicam contineri, præmio et pœna. (*Cic. Epist. ad Brutum.*)

Imperantem decet, ut mihi quidem videtur, et amabilem esse et terribilem: ut recta agentes confidant, peccantes contra paveant. Alterum enim sine altero imperii verius est carentia, quam imperium. Si quidem omnes subditi virtuti essent dediti, sola opus esset comitate; si autem vitiis addicti, metu omnes essent coercendi. Quando igitur boni sunt atque mali subditi nec imperantibus parent, utraque re, qui imperat, indiget *amore* ac *timore*: scilicet ut temperantes ac moderati bonitate confirmentur, pessimi contra a peccandi libidine coerceantur.

Τὸν ἄρχοντα, ὡς ἔμοιγε δοκεῖ, χρὴ καὶ ἀγαθὸν εἶναι καὶ φοβερόν (22). Ἵν' οἱ μὲν εὖ βιοῦντες θαῤῥοῖεν, οἱ δὲ ἁμαρτάνοντες ὀκνοῖεν· θάτερον γὰρ θατέρου χωρὶς ἀναρχία μᾶλλόν ἐστιν ἢ ἀρχή. Εἰ μὲν γὰρ ἦσαν πάντες οἱ ὑπήκοοι φιλάρετοι, ἀγαθότητος ἦν χρεία μόνης· εἰ δὲ φιλαμαρτήμονες, φόβου. Ἐπειδὴ δὲ καὶ ἀγαθοὺς καὶ πονηροὺς εἶναι ἀνάγκη ἐν τοῖς ἀρχομένοις, ἀμφότερα μεταχειριστέον τῷ ἄρχοντι ἵν' ἡ μὲν *ἀγαθότης* στηρίζῃ τοὺς σώφρονας, ὁ δὲ *φόβος* προαναστέλλῃ τῶν κακίστων τὰ πταίσματα.

VARIÆ LECTIONES ET NOTÆ.

(21) Pro κατανοῶν ambo cod. Vat. et Alt. codd. scribunt καταιονῶν. Vers. 5 et 6. ep. pro ἀποτομώτατα iidem legunt καὶ τὴν ὁμοιότητα. Pos-in.

(22) *Καὶ ἀγαθὸν καὶ φοβερόν.* Suidas, qui hanc epistolam affert in Ἰωάν. Ἀντιοχ., δίκαιον εἶναι δεῖ· sed verior Vaticani cod. est lectio, mea quidem sententia. Sequitur enim ἀγαθότητος et ἀγαθότης. Schott.

Digitized by Google

ΡΞΘ'. -- ΑΠΟΛΛΩΝΙΩ ΕΠΙΣΚΟΠΩ.

CLXIX. — APOLLONIO EPISCOPO.

Hortatur ut virtuti studeat sine ostentatione ; ostentatio enim odium, humilitas favorem conciliat ; nec virtus solis instar diu latere potest. (Confer. Gregor. Nyssen., cap. 24, lib. De virginit.)

Εἰ καί τινες τῶν σοὶ συνδιατριψάντων σβέσαι μου τὴν ἐπὶ τὸ ἐπιστεῖλαί σοι ὁρμὴν πειρώμενοι ἔφασαν, ὡς τοὺς μὲν κολακεύοντας ἄγαν τιμᾷς, τῶν δὲ συμβουλευόντων καταφρονεῖς. Ἀλλ' ἐμὲ οὐκ ἄν τις πείσειεν, ὡς οἷόν τε (23) τοσοῦτον καὶ τῇ φρονήσει καὶ τοῖς ἔργοις διενεγκεῖν, ἢν μή τις τῶν μὲν μαθητῆς, τῶν δὲ ἀκροατής, τῶν δὲ εὑρετὴς τυγχάνῃ. Διὰ ταῦτα μὲν οὖν ἐπέστειλα· εἰ δὲ παῤῥησιαστικώτερον, ἢ οἱ πεπλησιακότες (24) σοι γράφω, μὴ διὰ τοῦτο θορηβηθῇς· ἀλλὰ δι' αὐτό με τοῦτο ἀπόδεξαι, ὅτι τὸ πρέπον ἐμοὶ πρὸ τοῦ συμφέροντος εἱλόμην. Ὅ τι οὖν βούλομαι εἰπεῖν, αὐτίκα μάλα εἰρήσεται· οὐ γὰρ προκατασκευῆς δέονται οἱ σοφοὶ, ἀλλὰ τὸ καλὸν ἀτεχνῶς ἐπιτηδεύειν εἰώθασιν. Εἰ τὴν ἀρετὴν ἀσκεῖς, μὴ τῷ ἐπιδείκνυσθαι ἀμαυροῦν τὸ ταύτης κάλλος ἀνέχου. Μέγα μὲν γὰρ ἀρετὴ, ἀλλ' ὅταν ἑαυτῇ μὴ μαρτυρῇ, μείζων καὶ ὡραιοτέρα τοῖς ἀνθρώποις δείκνυται (25). Εἰ δὲ νομίζεις λήσεσθαι, εἰ μὴ ἐπιδείξαιο, τοὐναντίον νόμιζε, ὅτι τότε λάμψεις, ὅταν μὴ ἐπιδείξαιο. Φιλόνεικον γάρ πως τὸ τῶν ἀνθρώπων γένος ἐστί· καὶ πρὸς μὲν τοὺς μεγαλαυχοῦντας ἀντιστρατεύεται, τοῖς δὲ ταπεινοῦν ἑαυτοὺς σπουδάζουσι μεθ' ἡδονῆς ἡττᾶται· κἀκείνοις μὲν ἀναστέλλον αὐτῶν τὸ φιλότιμον, καὶ τὰ μὴ προσόντα προστρίβεται καχά· τούτοις δὲ καὶ τὰ μὴ προσόντα ἐπιφημίζει καλά. Ἄλλως δὲ οὐδὲ ἀρετὴν οἷόν τε λαθεῖν, ἀλλὰ κἂν πρὸς ὀλίγον φθόνῳ ἐπισχιασθῇ, αὖθις ἀναλάμπει, καὶ τῶν ἐπισχιασάντων κρατεῖ. Ὥσπερ γὰρ τὸ φῶς οὐχ οἷόν τε λαθεῖν, οὕτως οὐδὲ τὴν ἀρετήν· καὶ ταῦτα μὲν λελέχθω περὶ τῆς τῶν ἀνθρώπων ψήφου. Εἰ δὲ καὶ τὴν θείαν ἐθέλεις μαθεῖν, ἔχεις ἐν τοῖς θείοις Εὐαγγελίοις τὰ κατὰ τὸν Φαρισαῖον καὶ τὸν τελώνην λαμπρῶς στηλογραφηθέντα.

Etsi eorum quidam, qui tecum sunt versati, dixerunt reipsa idem experti, restingui meum ad te scribendi impetum, quod nimio assentatores honore afficias, consilium vero sanum dantes contemnas : nemo tamen mihi facile persuaserit illos posse vel prudentia vel operibus tantum valere, nisi vel discipulus vel auditor, vel denique inventor fuerit. Propterea hæc ad te scripsi. Quod si liberius paulo, quam tui familiares solent, ad te scribo, ne propterea turberis, sed eo me approba, quod honestum seu decorum utili a me anteponi solet. Quod itaque censeam dicendum, brevi expediam. Non enim verborum sapientes indigent apparatu, sed honestum sine fuco consectari consueverunt. **605** Si virtutem exerces, ne ejus obscurari pulchritudinem ostentatione sustineas. Magna quidem res virtus est, sed quando sibi laudem non impertitur ipsa, major et venustior apparet hominibus. Si vero putas occultam fore, nisi ostentetur, contrarium tibi persuade, quod tunc etiam splendebis, cum non te ostentabis. Etenim humanum genus animosius contentiosiusque est, et arrogantioribus quidem adversatur, se vero humiliare cupientibus cum voluptate cedit. Et illis quidem arrogantibus objicit laudis studium nimium, quæque nondum eis adsunt mala attribuit : humilibus vero etiam quæ non adsunt bona, quæque obscurare conantur, celebrat : præsertim cum virtus latere nequeat, et invidia, quamvis ad tempus, obscurata iterum elucescat, nubilaque dissipet. Quemadmodum enim lumen, ita et virtutem latere impossibile est. Atque hæc quidem de hominibus cum judicio sint dicta. Si vero divinum quoque vis calculum et suffragium, habes in sacro Evangelio [26] de Pharisæo et publicano clare perscripta.

ΡΟ'. — ΤΙΜΟΘΕΩ.

CLXX. — TIMOTHEO.

Gloriam temporis longitudo non imminuit, sed venit ea sat cito, si sat bene.

Ἔοικας δεδοικέναι, μὴ τὴν δόξαν τοῦ κατορθώματος τὸ μῆκος ἐλαττώσῃ τοῦ χρόνου· ἀλλὰ χρὴ εἰδέναι, ὅτι τοῦ μετὰ τάχους σφαλεροῦς τὸ μετὰ βραδυτῆτος ἀσφαλὲς λυσιτελέστερον. Οὐχ ἧττον γὰρ ἀλλὰ καὶ μᾶλλον εὐκλεέστεροι κατὰ τάχος λαμπρῶν οἱ συνέσει καὶ βραδυτῆτι τὰ ἴσα πράξαντες. Οἱ μὲν γὰρ καὶ χρήματα καὶ σώματα ἀναλώσαντες νενικηκέναι δοκοῦσιν· οἱ δὲ ἄνευ ζημίας τὴν νίκην καρποῦνται· καὶ οἱ μὲν οὐκ ἔχουσι καθαρὰν ἀθυμίας ἡδονήν, οἱ δὲ εἰλικρινῆ καρποῦνται τὴν εὐφροσύνην.

Metuere mihi visus es, ne recte factorum gloriam temporis imminuat longinquitas. Scito itaque longe id esse utilius, quod secure peragitur ac tuto. Neque minus clari sunt, quinimo illustriores etiam, qui mature et lente similia opera præstiterunt iis qui ob celeritatem celebrantur, et lentitudini paria faciunt. Illi quidem bona sua atque adeo corpus impendentes vicisse videntur; hi vero sine damno victoriam decerpunt. Et illi quidem impuram socordiæ capiunt voluptatem ; hi vero sincerum lætitiæ capiunt fructum.

[26] Luc. xviii, 10.

VARIÆ LECTIONES ET NOTÆ.

(23) Pro οἷόν τε codd. Vat. 650 et Alt. habent οἴονται. Possin.

(24) Pro πεπλησιακότες iidem scribunt πεπλησιαστικότες, fortasse mendose, sed quod queat juvare conjecturam ad divinationem veræ lectionis. Ib.

(25) Δείκνυται iidem ambo codd. mutant in φαίνεται. Ib.

Digitized by Google

CLXXI. LEONTIO, LAMPETIO ET ALPHIO EPISCOPIS.

ΡΟΑ'. — ΛΕΟΝΤΙΩ, ΛΑΜΠΕΤΙΩ, ΑΛΦΕΙΩ, ΕΠΙΣΚΟΠΟΙΣ.

Primum consulto, dein facto opus est. Dementiæ est male consulere, levitatis, quod rectum est, non perficere.

Quod pulchrum esse decretum est, id fiat, et deliberantes fides rei gestæ comitetur oportet. Quibus vero tuendi partes non suppetit facultas, hi necessario in alterutro delinquunt, vel decernentes, quæ non liquent, vel a placitis cito discedentes. Quorum illud quidem imprudentiæ est intolerandæ; hoc vero veniam utcunque meretur. Qui vero utroque præstare possunt, adsitque cum voluntas tum facultas, ut ad exitum placita sua perducant, hi si alterum transgrediantur, graviter sunt reprehendendi.

Τὸ δεδογμένον καλὸν γινέσθω, καὶ τοῖς βεβουλευμένοις ἡ διὰ τῶν ἔργων πίστις ἑπέσθω. Οἷς μὲν γὰρ οὐχ ἕπεται πρὸς τὸ φυλάττειν ἡ δύναμις, οὗτοι ἀναγκαίως πλημμελοῦσι καθ' ἑκάτερον, καὶ ψηφιζόμενοι ἀνέφικτα, καὶ λύοντες αὖθις τὰ δόξαντα· ὧν τὸ μὲν ἀνυπέρβλητον ἄνοιαν, τὸ δὲ μετρίαν συγγνώμην ἔχει. Οἷς δ' ἄμφω οἷόν τε συνδραμεῖν, καὶ τὸ βουλεύεσθαι, καὶ τὸ δύνασθαι εἰς πέρας ἄγειν τὰ δόξαντα, τούτοις θάτερον παραβαίνουσιν ἀπαραίτητος κατηγορία.

606 CLXXII. — ISIDORO EPISCOPO.

ΡΟΒ'. — ΙΣΙΔΩΡΩ ΕΠΙΣΚΟΠΩ.

Amici quomodo parentur.

Qui pro amicis sollicitus est atque opportune prospicit, et ipsorum bonis oblectatur, et adversis contra eorum contristatur, næ ille egregius bonorum, quæ sunt in amicitia, venator est. Tot enim sibi obstrinxerit, quod viderit : tot autem viderit, quot celebritas famæ ad illum perduxerit. Tot vero perducentur, quot honestæ vitæ institutum ardenter adamarint. Quis igitur hoc celebrior exsistet, aut beatior eo, qui talibus stipatus fuerit amicis?

Ὁ κηδόμενος τῶν συνόντων καὶ προπονῶν, καὶ συνηδόμενος μὲν ἐπὶ τοῖς ἀγαθοῖς αὐτῶν· ἀχθόμενος δὲ ἐπὶ τοῖς δυσκόλοις, δεινός ἐστι θηρατὴς τοῦ τῆς φιλίας χρήματος. Τοσούτους γὰρ ἑαυτῷ προσδήσει, ὅσους καὶ θεάσοιτο· τοσούτους δὲ θεάσοιτο, ὅσους ἡ εὐκλεὴς φήμη πρὸς αὐτὸν χειραγωγήσει· τοσοῦτοι δὲ χειραγωγηθήσονται, ὅσοι τῶν καλῶν ἐπιτηδευμάτων διάπυροί εἰσιν ἐρασταί. Τίς οὖν τοῦ τοιούτου εὐκλεέστερος, ἢ τίς μακαριστότερος τοῦ ὑπὸ τοσούτων φίλων δορυφορουμένου;

CLXXIII. — ANDROMACHO.

ΡΟΓ'. — ΑΝΔΡΟΜΑΧΩ.

Ex aspectu nascitur amor. Proinde vitandus mulierum conspectus. Ad illud Matth. v, 28 : « *Qui respicit mulierem,* » *etc.* (*Confer. epist.* 17, 46, *et* 65 *Xenophontis, lib.* v *locus.*)

Vel videns ne ames, vel amans ne videas. Si prius illud difficile quibusdam apparet, alii vero fieri posse negent, alterum sane tenendum ac reipsa agendum. Securitas enim cautioque præstat imprudenti ambitione, idque divinum præscribit oraculum. Cum vero gentium gesta deprædicare soleas, vel ex ipsis oraculi veritatem exponere tibi conabor. Omittam itaque causas Trojani belli et Messeniaci : Cirrhensium quoque cum Argivis ; Thebanorum item cum Phocensibus, utpote jam decantatas ac protritas (omnia enim hæc bella et decem erant annorum, et ob feminas sunt gesta) A Xenophonteis vero, quæ sunt in manibus, exemplum sumam. Scito igitur quemadmodum Cyrus neque videre Pantheiam voluit, tametsi formosissimam judicatam, non modo libidine invictus, imo temperantia continentiaque clarus. Araspas vero etsi esset in primis magnanimus, ita ut videret quidem, non concupisceret tamen, pudoris tandem jacturam fecit : captus illius amore ac supplex peccansque desiderio, ut mille machinas Cyrum adhibere fuerit necesse, atque opus fuerit inventis, quo a turpi illum amore averteret. Uter igitur melior tibi visus est, isne qui tuto sua disponens, et ad hanc diem temperantiæ nomine prædicatus ; aut qui intempestiva ambitione teipsum fœdes ac deformas? ac tunc quidem propriam comprimens loquendi libertatem, sed omnibus posthac victuris superbiam duplicemque ignominiam exhibens deridendam. Quamobrem recte

Ἢ ὁρῶν μὴ ἔρα, ἢ ἐρῶν μὴ ὅρα. Εἰδὲ τὸ πρότερον τισὶ μὲν δύσκολον φαίνεται, τισὶ δὲ ἀδύνατον, τὸ δεύτερον ἀσκητέον· ἄμεινον γὰρ ἀσφάλεια φιλοτιμίας ἀκρίτου· καὶ τοῦτο ἡμῖν μὲν θεῖος προστάττει χρησμός. Ἐπειδὴ δὲ σὺ τὰ Ἑλλήνων πρεσβεύεις, κἀκεῖθέν σοι τοῦ χρησμοῦ τὴν ἀλήθειαν παραστῆσαι πειράσομαι. Τὰς μὲν οὖν αἰτίας τοῦ τε Ἰλιακοῦ πολέμου, καὶ τοῦ Μεσσηνιακοῦ, τοῦ τε Κιρραίων πρὸς Ἀργείους, τοῦ τε Θηβαίων πρὸς Φωκέας παρήσω, ὡς κατημαξευμένας· πάντες γὰρ οὗτοι καὶ δεκαετεῖς, καὶ διὰ γυναῖκας ἐγένοντο. Ἀπὸ δὲ τῶν Ξενοφῶντος, οἷς καὶ κεχείρωσαι, τὴν ἀπόδειξιν ποιήσομαι. Ἴσθι τοίνυν, ὡς ὁ μὲν Κῦρος μηδὲ ἰδεῖν τὴν Πάνθειαν ἀνασχόμενος, καίτοι ἀμήχανον κάλλος ἔχειν μαρτυρουμένην, οὐ μόνον τοῦ τῆς λαγνείας χειμῶνος οὐκ ἐπειράθη, ἀλλὰ καὶ σωφροσύνῃ διέλαμψεν. Ὁ δὲ Ἀράσπας, καίπερ μεγαλοφρονήσας ὡς καὶ ὁρῶν καὶ μὴ ἐρῶν, εἰς τοσαύτην κατέπαυσεν αἰσχύνην, ἐρασθεὶς αὐτῆς, καὶ ἱκετεύσας, καὶ διαμαρτὼν τῆς ἐπιθυμίας, ὡς ἀναγκασθῆναι τὸν Κῦρον μυρίαις μηχαναῖς καὶ ἐπινοίαις χρήσασθαι, ὥστε ἀπαλλάξαι ἐκεῖνον αἰσχρᾶς ὑπολήψεως. Τίς οὖν ἀμείνων παρὰ σοί, ὁ ἀσφαλῶς τὰ καθ' ἑαυτὸν διαθείς, καὶ μέχρι νῦν ἐπὶ σωφροσύνῃ ἀνυμνούμενος, ἢ ὁ φιλοτιμίᾳ ἀκαίρῳ ἑαυτὸν καταισχύνας, καὶ τότε μὲν τὴν οἰκείαν παῤῥησίαν σβέσας, τοῖς δὲ μετὰ ταῦτα παραδοὺς κωμῳδῆσαι καὶ τὴν προτέραν ἀλαζονείαν, καὶ τὴν δευτέραν ἀδοξίαν; Τοιγαροῦν καὶ αὐτὸς τὰ κατὰ σεαυτὸν καλῶς οἰκίζε, καὶ μὴ ἀκαίρῳ φιλοτι-

Digitized by Google

μὴ ἐκβακχευόμενος, κατὰ τῶν τῆς ἀσελγείας βαράθρων σαυτὸν φέρων καταχρήμνιζε.

tua nunc institue, neve immoderato furens ambitu in barathrum lasciviæ teipsum libidinisque præcipites.

ΡΟΔ'. — ΠΑΥΛΩ ΜΟΝΑΖΟΝΤΙ.

CLXXIV. — PAULO MONACHO.

Fratrum trium virtutem commendat.

Αὐτὸς μὲν ἄξιος ἐπαίνων τυγχάνεις, ὁ δὲ πρεσβύτερός σου ἀδελφὸς ἀξιώτερος, ὁ δὲ πρεσβύτατος ἀξιώτατος. Ταῖς γὰρ ἡλικίαις καὶ ἡ τῆς ἀρετῆς ἐπίδοσις συνέδραμεν· ὅθεν καὶ ἐπὶ σοὶ, καὶ ἐπὶ τῷ πρεσβυτέρῳ χρηστὴ ἐλπὶς ἀνθεῖ, ὡς τοῦ πρεσβυτάτου προκοπτούσης τῆς ἡλικίας οὐκ ἀπολειφθήσεσθε, ἀλλ' ἀοίδιμοι κατ' ἐκεῖνον γενήσεσθε. Ἔχοντες οὖν συγγενικὰ κατορθώματα, πρὸς αὐτὰ τείνατε τὸν σκοπόν.

Dignus tu quidem laude, amplius vero qui te ætate antecellit, frater; maxime vero, qui natu maximus est. Cum ætate virtutis quoque fieri amat accessio. Unde et in te, et majore natu fratre spes bona viget fore, ut deficiente in seniore tuo fratre ætate, ipsi non degeneretis, sed clari semper et vos reddamini. Cognata igitur recte facta habentes, in ipsa, ut in scopum, intendite.

ΡΟΕ'. — ΙΕΡΑΚΙ ΔΙΑΚΟΝΩ.

CLXXV. — HIERACI DIACONO.

Improbitas et si lato principio esse videatur, tamen finem respiciendum monet.

Εἰ καὶ πρὸς κέρδος ἀνελεύθερον ὁρῶν, καὶ φιλοχρηματίας ἐρῶν, κάλλιστον σαυτῷ ἡγῇ πεπρᾶχθαι, ἀλλ' ἃ μάλιστα μὲν καὶ αὐτὸς βούλοιο, πρὸς τιμὴν καὶ δόξαν ἐστὶν αἴσχιστα. Εἰ δὲ καὶ τὴν πάντη τε καὶ πάντως ἑψομένην τοῖς τοιούτοις τολμήμασι λογίσαιο δίκτην, εὖ οἶδ' ὅτι καταθρηνήσειας σαυτόν. Σκόπει οὖν τὸ δέον· τὸ γὰρ τέλος τὸ κάνταῦθα κἀκεῖ τοῖς πταίουσιν ἑπόμενον οἶδας.

Etsi ad illiberalem quæstum respectu habito et habendi incensus cupiditate optime tecum factum existimes; sed quæ potissimum ipse reputes, ea ad honorem gloriamque sunt turpissima. Si vero et undique atque omnino talia facinora comitantem pœnam animo volveris, certo scio fore, ut aliquando deplores teipsum. Quare considera, quod oportet. Nosti enim quantum supplicium hic et in futura maneat vita legis transgressores.

ΡΟϚ'. — ΤΩ ΑΥΤΩ.

CLXXVI. — EIDEM.

Ἀκόλαστος quis. Vitio careat, qui alium reprehendit; nam: Turpe est doctori, cum culpa redarguit ipsum.

Ὁ ἀκόλαστος, τουτέστιν, ὁ ῥᾳθύμως βιοὺς, καὶ τὰς οἰκείας μὴ κολάζων ἐπιθυμίας, ἀλλὰ τὰς ἡνίας αὐτοῖς ἐνδιδοὺς τοῦ ὅπου βούλοιντο χωρεῖν, εἰ ἐπιχειροίη τὰς τῶν ἄλλων κολάζειν, καταγέλαστος ἔσται καὶ ἐπονείδιστος. Οὐ μόνον γὰρ οὐδὲν ὀνύσει, ἀλλὰ καὶ κωμῳδίας ὑπόθεσις γενήσεται, κατορθῶσαι ἐν ἄλλοις πειρώμενος, ἅπερ αὐτὸς οὐ κατώρθωσεν. Οὐ γὰρ ἔστιν, οὐκ ἔστι τῶν ἀλλοτρίων κρατῆσαι παθῶν, τὸν τῶν οἰκείων μὴ περιγινόμενον· ταυτὸν γὰρ ποιεῖ, οἷον ἂν εἴ τις στρατηγὸς τὴν μὲν οἰκείαν πόλιν, ἐμφύλιον ἔχουσαν πόλεμον, καὶ νοσοῦσαν, καὶ στασιάζουσαν εἰς ὁμόνοιαν ἀγαγεῖν μὴ δυνηθείη, τῶν δὲ ἔξωθεν πολέμων περιέσεσθαι ἐπαγγέλλοιτο. Πρὸς ὃν τις εἰκότως φαίη· Ἐμβρόντητε, ἴσως ἀγνοεῖς, ὅτι οὐ τοσοῦτον οἱ ἀλλόφυλοι πόλεμοι, ὅσον οἱ ἐμφύλιοι διαφθείρουσι; Χρὴ οὖν πρῶτον τὸν ἔνδον σβέσαι πόλεμον, καὶ τότε τοῖς ἔξω πολεμίοις μάχεσθαι.

Nequam, id est, negligenter vivens, nec sua emendans vitia atque cupiditatem, sed habenas iis laxans, quo vult deferri, permittit, si reprehendere conatur, is ridiculus tandem evadet atque infamis. Non solum enim nihil expedit, sed et vulgi fit fabula, corrigere in aliis tentans, in quo ipse delinquit. Neque enim mihi crede, aliorum vitia sanabit, qui non propria expugnaverit. Idem enim ipsi usuvenit, quod duci, qui civitatem suam bello intestino afflictam seditionibusque agitatam ad concordiam adducere cum non possit, externis bellum moveat. Cui merito quis dixerit: Stulte, an ignoras, non perinde hostes externos nocere atque internos? Prius itaque civile bellum est componendum, deinde externi aggrediendi sunt hostes.

ΡΟΖ'. — ΕΠΙΦΑΝΙΩ.

CLXXVII. — EPIPHANIO.

De iis quorum vita doctrinæ non convenit.

Ἐπειδὴ θαυμάζειν ἔφης, ὅπως οἱ μὲν θεῖοι χρησμοὶ ἡσυχίαν ἡμᾶς ἄγειν φασὶ χρῆναι, κἂν τις ἡμᾶς ἀδικῇ, οἱ δὲ τούτων ἑρμηνευταὶ οὐ βούλονται ἡσυχίαν ἄγειν, οὐδενὸς αὐτοὺς ἀδικοῦντος. Κἂν τις αὐτοὺς ἐλέγχειν ἐπιχειροίη, λοιδορεῖσθαι φάσκουσι, καὶ ὡς ἐπὶ καθοσιώσει ἀλόντα δίκας πράττουσι (26).

Quandoquidem mirari te ais sacras Litteras tranquillo ut simus placidoque animo imperare, etiamsi quis lædat injuriaque afficiat [29]; qui vero ejus interpretes Scripturæ exsistunt quiescere nolunt, etsi a nemine lædantur; et si quis ipsos reprehendere conetur, irrisu conviciisque onerari se queruntur,

[29] Matth. v, 29.

VARIÆ LECTIONES ET NOTÆ.

(26) *Καὶ ὡς ἐπὶ καθοσιώσει ἀλόντα δίκας πράττουσιν.* Reddidi, *velut in sacrilegio deprehensum puniri volunt.* Alter antea: Verum enim sacrilegium est homines pios et Deo consecratos traducere et calumniari, quod et larvæ hujusmodi prætendunt si de peccatis vitiisque admoneantur. De voce καθ-

Digitized by Google

et veluti in sacrilegio deprehensum puniri volunt. **608** Ejusmodi vero patrantes, quod a gentibus ac Judæis subsannentur, graviter indignantur. Te quidem ut fabulatorem reprehendere non possum; libenter vero eos, qui talia committunt (neque enim de omnibus fas est ita judicare) interrogarem, cur contra atque dicitis, hæc facitis? Quid aliud docere, aliud facere instituitis [30]? Gentium ac Judæorum linguam quamobrem acuitis, et in sacrosanctam religionem vos armatis, cum virtute potius quam potentia deceat antecellere? Cessandum itaque ab his, et de malefactis nos prius quam alios reprehendamus.

A Ταῦτα δὲ δρῶντες δυσχεραίνουσιν, ὅτι παρ' Ἑλλήνων τε καὶ Ἰουδαίων κωμῳδοῦνται. Σὲ μὲν ἐλέγχειν ὡς λογοποιὸν οὐκ ἔχω· ἡδέως δὲ τοὺς ταῦτα δρῶντας (οὐδὲ γὰρ κατὰ πάντων τὴν ψῆφον ἐνεκτέον) ἐροίμην· Τί δή ποτε τἀναντία ὧν φατε διαπράττεσθε; Τί ἄλλα μὲν διδάσκειν, ἄλλα δὲ ποιεῖν ἐπιχειρεῖτε; Τί Ἑλλήνων τε καὶ Ἰουδαίων τὴν γλῶτταν ἀκονᾶτε, καὶ κατὰ τῆς θειοτάτης θρησκείας ὁπλίζεσθαι παρασκευάζετε, οὓς ἀρετῇ χρὴ, ἀλλ' οὐ δυναστείᾳ χειρωθῆναι; Ἦ οὖν παυστέον τούτων τῶν πράξεων, ἢ μηδένα τοσοῦτον αἰτιατέον τοῦ πάντα φαύλως ἔχειν, ἢ ἡμᾶς αὐτούς.

CLXXVIII. — HELIÆ DIACONO.

ΡΟΗ'. — ΗΛΙΑ ΔΙΑΚΟΝΩ.

Qui palam peccare audet, is nec privatim sine teste peccare verebitur: et qui a minoribus non temperat peccatis, nec majora vitabit.

Quisquis manifesta palam mala committit, neque erubescit profecto, quæ clam fore sperat, neque evulganda audebit patrare, majoraque aggressus minora impigre delinquet. At qui parva servat, verisimile est et maxima religiose servaturum.

B Ὁ τὰ πρόδηλα κακὰ φανερῶς δρῶν, καὶ μὴ ἐρυθριῶν, οὗτος δῆλον ὅτι λανθάνων οὐδὲν τῶν ἀπορρήτων ἄπρακτον ἐάσει· καὶ τοῖς μεγίστοις ἐγχειρῶν, οὐκ ἂν δήπου περὶ τὰ εὐτελέστερα ὀκνηρῶς διακείσεται· ὁ δὲ τὰ μικρὰ φυλαττόμενος, καὶ τὰ μέγιστα, ὡς εἰκὸς, φυλάξεται.

CLXXIX. — ISIDORO EPISCOPO.

ΡΟΘ'. — ΙΣΙΔΩΡΩ ΕΠΙΣΚΟΠΩ.

De resurrectione; quæque animæ sit mors et resurrectio. (*Confer. epist.* 550.)

Animæ in peccatis mortuæ resurrectio inde quidem perficitur, cum ad vitam justitiæ operibus revocatur. Mors enim animæ existimanda est iniquitas, non tamen si esse desinat. Quare et de filio prodigo adhuc spirante dictum: « Mortuus erat, et revixit [31]. » Et de peccato mortuo ac sepulto dicitur ab Apostolo: « Surge qui dormis, et exsurge a mortuis, et illuminabit te Christus [32]. » Qui enim peccato exstinctus pœnitentia concussus est, verum is recipit lumen. Corporis vero resurrectio illic peragetur omnium quidem æqualiter, quoad immortalitatem, non vero quoad gloriam. Gloria enim ex proportione gestorum in vita unicuique tribuetur, ut vere sacra testatur Scriptura [33].

Ἡ μὲν ταῖς ἁμαρτίαις νενεκρωμένης ψυχῆς ἀνάστασις ἐνταῦθα τελεῖται, ὅταν ταῖς τῆς δικαιοσύνης πράξεσιν εἰς ζωὴν ἀναστοιχειωθῇ. Νέκρωσιν δὲ χρὴ νοεῖν ψυχῆς τὴν κακοπραγίαν, οὐ τὸν εἰς τὸ μὴ εἶναι ἀφανισμόν. Διὸ καὶ περὶ τοῦ ἀσώτου παιδὸς ὅτι ζῶντος ἐρρέθη· « Νεκρὸς ἦν καὶ ἀνέζησε. » Καὶ τῷ ὑπὸ τῆς κακίας νεκρωθέντι, καὶ ταφέντι ἐρρέθη· « Ἔγειραι ὁ καθεύδων, καὶ ἀνάστα ἐκ τῶν νεκρῶν, καὶ ἐπιφαύσει σοι ὁ Χριστός. » Τῷ γὰρ τὸν θάνατον τῆς ἁμαρτίας διὰ μετανοίας ἀποστεισαμένῳ τὸ φῶς τὸ ἀληθινὸν ἀνατελεῖ· ἡ δὲ τοῦ σώματος ἐκεῖσε τελεσθήσεται, πάντων μὲν ὁμοίως διὰ τὴν ἀθανασίαν, οὐ πάντων δὲ ὁμοίως διὰ τὴν εὐκλειαν. Ἡ γὰρ δόξα ἀναλόγως τοῖς ἐνταῦθα πεπραγμένοις ἑκάστῳ πρυτανευθήσεται, καθὼς τὰ ἀψευδῆ τῆς Γραφῆς περιέχει λόγια.

CLXXX. — LEONTIO EPISCOPO.

ΡΠ'. — ΛΕΟΝΤΙΩ ΕΠΙΣΚΟΠΩ.

De ira, quæ voluntaria est insania, oratione molli sedanda.

Moderato ac suasibili sermone arguere aut potius docere convenit eos qui implacabili sunt ira, ut a voluntaria insania absistant. Tumescens enim ira in homicidium desinit.

D Εὐηνίῳ καὶ πιθανῷ λόγῳ κολάσαι, μᾶλλον δὲ διδάξαι χρὴ τοὺς ἀμειλίκτῳ ὀργῇ χρωμένους, τῆς ἑκουσίου μανίας ἀποπαύσασθαι. Ἀνοιδοῦσα γὰρ εἰς ἀνδροφονίαν τελευτᾷ.

CLXXXI. — HYPATIO REMP. GERENTI.

ΡΠΑ'. — ΥΠΑΤΙΩ ΠΟΛΙΤΕΥΟΜΕΝΩ.

Avaritiæ morbus curandus remediis. Ad illud Eccli. III, 33: « *Eleemosyna exstinguit peccatum.* » (*Vide epist.* 142.)

Qui exstinguere volunt ignem, non aridam **609** quamdam materiam imponunt, neque aliud fomentum præbent, quo ignis augescat, flatque indoma-

Οἱ πῦρ σβέσαι βουλόμενοι, οὐχ ὕλην εὐκατάπρηστον προστιθέασιν, οὐδὲ τροφὴν ἄλλην παρέχουσιν αὐτῷ, δι' ἧς αὔξεταί τε καὶ ἀχείρωτον γίνεται, ἀλλὰ

[30] Matth. XXIII, 3. [31] Luc. XV, 24. [32] Ephes. V, 14. [33] Matth. XVI, 17.

VARIÆ LECTIONES ET NOTÆ.

οσιώσει H. Stephanus in *Thesauro L. Gr.* et Dionysius Petavius ad Epiphanium Latine quoque conversum. SCHOTT.

Digitized by Google

σβεστηρίοι; χρώμενοι τὴν φλόγα καταπαύουσιν. Εἰ τοίνυν καὶ αὐτὸς βούλει τὴν τῆς φιλοχρηματίας σβέσαι κάμινον, τῇ ὑπεξαιρέσει, ἀλλὰ μὴ τῇ προσθήκῃ τοῦτο ῥᾳδίως ἀνύσειν ἔλπιζε· σβεστήρια δὲ φιλαργυρίας, ἐλεημοσύνη, καὶ ἡ τῶν δεομένων εὐεργεσία.

A bilis, sed, quæ exstinguere nata sint flammam, adjiciunt. Si itaque et ipse exstinguere avaritiæ desideras fornacem, non adjectis aliis facile te posse perficere speres, sed detrahendo. Avaritiam autem restinguit eleemosyna, atque in egentes munificentia.

ΡΠΒ'. — ΛΟΥΚΑ ΛΑΜΠΡΟΤΑΤΩ.

CLXXXII. — LUCÆ CLARISSIMO VIRO.

Munera excæcant etiam sapientes. Auro jus pervertitur. At vir justus ex æquo et bono, non ex affectu judicat.

Ὀρθὸν τὸ δίκαιον ἐκείνῳ φαίνεται, τῷ χρημάτων κρείττονι, ᾧ οὐδὲν κέρδος τοῖς τῆς ψυχῆς ὀφθαλμοῖς ἐπισκοπεῖ. Εἰ γὰρ δῶρα ἐκτυφλοῖ ὀφθαλμοὺς σοφῶν, τοὺς ἀσόφους τί οὐκ ἐργάζεται; Ὥσπερ γὰρ ἐὰν ἐπὶ θάτερα τοῦ ζυγοῦ χρυσίον προσενέγκῃς, καθέλκεται (27) ἡ πλάστιγξ, καὶ ἄνισον δείκνυσι τὸν ζυγόν· οὕτω καὶ ὅταν ὁ τῆς ψήφου κύριος χρυσίον λάβοι, οὐδὲν ἂν ὀρθῶς οὐδ' ὑγιῶς ψηφιεῖται· ὁ δὲ τῶν κρίσεων ὅρον τὸ δίκαιον, οὐ τὴν οἰκείαν βούλησιν ποιούμενος, ἐκεῖ ῥέπειν παρασκευάζει τὰς ψήφους, ἔνθα τὴν δίκην νεύουσαν θεάσοιτο.

Rectum illi judicium apparet, qui avaritia non expugnatur, cui lucri studium animæ oculos non exstinguat. Si enim « munera sapientum excæcant lumina [24], » insipientum quid non facient? Quemadmodum si alteri bilanci aurum imponas, lanx deprimitur, et inæquale ostendit jugum : sic et judex cum auro corrumpitur, nihil rectum aut salutare judicat. Qui vero judicii terminum statuit, non propriam voluntatem, eo inclinare facit decreta, quo justitiam vergere observarit.

ΡΠΓ'. — ΑΛΦΕΙΩ ΕΠΙΣΚΟΠΩ.

CLXXXIII. — ALPHIO EPISCOPO.

Adversus eos, qui spontaneam paupertatem professi, opes omnibus modis corradunt, et eleemosynas pauperibus debitas intervertunt.

Ἠλιθίους ἔγωγε ἡγοῦμαι τοὺς ἐπὶ μὲν τῶν λόγων τὰς ἐναντιώσεις ὁρῶντας, ἐπὶ δὲ τῶν ἔργων μὴ καθορῶντας. Τὸ γὰρ ἀπὸ τῶν συλλογισμῶν εὔλογον προβαλλόμενοι, τἀναντία ὧν φασι δρᾷν οὐ παραιτοῦνται. Τὴν γοῦν ἀκτημοσύνην μέγιστον ἀγαθὸν, ὥσπερ οὖν καὶ ἔστιν, ὑποτιθέμενοι (28), ἐκ τῶν ἀλλοτρίων κερδαίνουσι συμφορῶν· καὶ τὴν ἐλεημοσύνην ἐκθειάζοντες, τὰ τῶν ἐλεεῖσθαι δεομένων σφετεριζόμενοι οὐκ ἐρυθριῶσι· καὶ τὸ κοινωνικὸν καὶ εὐμετάδοτον ἀνακηρύττοντες, χρηματιζόμενοι οὐκ αἰσχύνονται.

Stultus is equidem, opinor, est, qui cum verba aperte viderit pugnantia, tamen rerum nullum habet respectum. Nam syllogismorum rationem proferentes, contraria iis, quæ dicunt, agere non verentur. Inopiam itaque maximum, ut est revera, bonorum statuentes, ex aliorum damnis quæstum faciunt, et eleemosynam ut rem divinam extollentes, quorum misereri oporteret, illorum res suas faciunt, nec erubescunt. Denique communicationem largitionemque deprædicantes, bonis inhiare non verentur.

ΡΠΔ'. — ΙΕΡΑΚΙ ΔΙΑΚΟΝΩ.

CLXXXIV. — HIERACI DIACONO.

In malis acutum, hebetem in nobis, jubet animi oculum purgare, ut bonum malumque dignoscat.

Πάντες σχεδὸν, οἷς ἀρετῆς λόγος, φασὶν, ὡς ὀξὺ μὲν πρὸς τὴν κακίαν ὁρᾷς, τυφλώττεις δὲ πρὸς τὰ κάλλιστα. Εἰ τοίνυν ταῦθ' οὕτως ἔχει, ἀνακάθαρον σαυτοῦ τὸν νοῦν· οὗτος γάρ ἐστιν ὁ τῆς ψυχῆς ὀφθαλμός (29)· τάχα πως τά τε καλὰ καὶ τὰ αἰσχρὰ διακρῖναι δυνηθείης. Ἐκ γὰρ ταύτης τῆς βασάνου τὰ μὲν ἑλεῖν, τὰ δὲ φυγεῖν προθυμηθείης.

Propemodum omnes virtute præditi referunt te quidem acute malitiam improbitatemque cernere, ad honesta vero cæcutire. Quod si ita se res habeat, age mentem, quæ animæ oculus est, denuo purgato, nullo ut negotio pulchra fœdaque discernere queas. Hoc enim experimento quæ sequenda, quæque sint fugienda animo condisces.

ΡΠΕ'. — ΑΡΠΟΚΡΑ ΣΟΦΙΣΤΗ.

610 CLXXXV. — HARPOCRÆ SOPHISTÆ.

A ludis et spectaculis, quorum origo explicatur, ut suos abducat, hic hortatur (30).

Ὅτι μὲν οἱ ἐν διεφθαρμένοις ἤθεσι τρεφόμενοι

Pueros ob malam educationem pravis moribus

[24] Exod. xxiii, 8; Deut. xvi, 19; Eccli. xx, 31.

VARIÆ LECTIONES ET NOTÆ.

(27) Pro καθέλκεται codd. Vat. 650 et Alt. scribunt καθ' ἕκαστον. Possin.

(28) Elegans hic spontaneæ est paupertatis commendatio : et Zosymum presbyterum perstringi apparet ex epist. 210 et 301. Et homines lingua philosophia inerti opera, ut sup. dixit ep. 28 in extremo. ἐν λόγοις φιλοσοφῶν, ἔργοις ἀφιλόσοφος. Schott.

(29) Mens animi est oculus. Epicharmi, hoc est, Pythagoræ auditoris, Trochaico expressum versu, quo carminis genere delectatus sua conscripsit : Νοῦς ὁρᾷ καὶ νοῦς ἀκούει· τ' ἄλλα κωφὰ καὶ τυφλά. *Mens videt, mens audit una : cætera surda et cæca* [*sunt.*

Apud Clementem lib. II *Stromat.* et Theodoret. lib. I *Therapeut.* Aristot. in Problemat. et Cassius *Problem.* 22 : Νοῦς δὲ ὁρᾷ, ὡς φησί τις τῶν ἀρχαίων. Schott.

(30) Hac epistola sequenti a spectaculis et ludis avocat, ut et B. Chrysostomus sæpe in iis quas *andrianticas* ad populum Antiochenum nominant, homiliis, et Tertullian., et post illos Joan. Mariana societ. nostræ theologus in Tractatibus : et inf. S.

Digitized by Google

assuetos haud facile ad generosos virtutis mores assurgere, ipse nosti, quantum e tuis ad me litteris didici. Ita vero rem se habere, nunc pluribus ipse ostendam. Temperantiam enim juvenibus eripit cum libidinosis familiaritas. Prudentiam vero fuga laboris in iis legendis, quæ decent : fortitudinem autem aufert mollities histrionum, justitiam denique adimunt mimorum perjuria. Quis itaque non condoleat commoveaturve decoris statu minuto quem necessario consequitur aut irrideri aut turbari? Horum illud quidem scenæ, hoc vero Circensium ludorum, ubi equis concurritur, proprium est. Ratus itaque grave esse juvenes tali capi spectaculo, interdicito illis, verbis potissimum, et nisi pareant dictoque sint audientes, metu etiam coerceto : ita fiet, ut facile probos viros oratoresque egregios formes. At si, ut scribis, grave illis, molestumque accidit privari voluptatibus, quæ Sirenarum cantui comparantur, cujus silentium hominibus utilius est : siquidem asseverent illam invaluisse, et legibus permissam esse, hoc discant, quod fortasse ut alia multa pulchra ignorant, perverti per illam, et ad malum informari juventutem. Quoniam qui sub hac delectatione mortiferam voluptatem in civitates ab initio invexerunt, ac venenum hoc ex humani generis hostis voto (qui et incidentes occasiones ad interitum spectantium convertit) commiscentes non una ratione huc pervenerunt. Etenim leges externæ non prohibuerint; at scilicet id probabile hac de causa. Conspectis enim exercitibus, qui a Cæsaribus regibusque penderent, et hæc per omnem vitam præstantibus, populis vero visis urbium incolis, qui periculorum nullum in armis habent experimentum ; insuper eos, qui in tali relaxamento versarentur (neque enim omnes quiete ad bonum utuntur) sæpenumero juvenile quiddam cogitantes, resecandam opinantes sponte natam rebellionum radicem : neque duplex rectoribus reipublicæ bellum esse permittendum, partim externum, partim intestinum seu civile, hanc occupationem repererunt, ac quodvis facinus imprudenter audere consuetis tradiderunt, ipsisque contentionis occasionem præbuerunt. Quæ quidem rem tantam perficere non valebat, sed acrem potius animum hac exercitatione consumebat. Similis est continua equorum contentio et politica quædam concertatio **611** ad hoc certamen invitans eos, qui nihil commodum et utile agere volunt, et ad otium fortasse et socordiam aspirant. Talis ille scenæ apparatus erat, varietate quidem spectantes pascens, auditorum vero auri-

παῖδες, οὐ ῥᾳδίως μετ' ἀρετῆς εἰς ἀνδρίαν (31) ἐκβήσονται, καὶ ἡ σὴ σύνεσις δι' ὧν ἔγραψεν, ἐδήλωσεν. Ὅτι δὲ καὶ οὕτως ἔχει τὸ πρᾶγμα, αὐτίκα μάλα εἰρήσεται. Τὴν μὲν γὰρ σωφροσύνην αὐτοῖς παραιρεῖται τὸ τοῖς ἀσελγαίνουσι συνδιατρίβειν· τὴν δὲ φρόνησιν τὸ τοὺς ἐν τοῖς προσήκουσιν ἀναγνώσμασιν ἰδρῶτας ἀποδιδράσκειν· τὴν δὲ ἀνδρίαν ἡ τῶν ὀρχηστῶν ἀνανδρία· τὴν δὲ δικαιοσύνην ἡ τῶν μίμων ἐπιορκία. Τίνι δ' ἂν ἡ συναχθεσθεῖεν ἢ συντεθεῖεν μετὰ τῆς πρεπούσης καταστάσεως, οἷς δυοῖν ἀνάγκη θάτερον, ἢ γελᾷν, ἢ τεταράχθαι; Ὧν τὸ μὲν τῆς σκηνῆς, τὸ δὲ τοῦ ἱπποδρόμου δῶρόν ἐστιν. Δεινὸν ἡγούμενος τὸ τῇ θέᾳ ἐαλωκέναι τοὺς νέους, εἶργε τούτους, μάλιστα μὲν λόγῳ, εἰ δὲ μὴ πείθοιντο, φόβῳ. Ῥᾷστα γὰρ ἂν οὕτως ἀρίστους ἄνδρας καὶ δεινοὺς ῥήτορας δημιουργήσεις. Εἰ δὲ, ὡς γέγραφας, δεινὸν ἡγοῦνται τὸ τῆς τέρψεως ἐκείνης εἴργεσθαι, ἥτις ἀτεχνῶς ἔοικε τῇ τῶν Σειρήνων ᾠδῇ, ἧς ἡ σιγὴ χρησιμωτέρα τοῖς ἀνθρώποις. Ἣν ἰσχυρίζωνταί τε νενομίσθαι ταύτην καὶ συγκεχωρῆσθαι, ἐκεῖνο μανθανέτωσαν, ὅπερ ἴσως μετὰ τῶν ἄλλων καλῶν ἀγνοοῦντες, ἀδικεῖσθαι οἴονται τὴν νεότητα καὶ παρανομεῖσθαι· ὅτι οἱ τὴν ἀπὸ τῆς τέρψεως ταύτης θανατηφόρον ἡδονὴν ἐξ ἀρχῆς εἰς τὰς πόλεις εἰσαγαγόντες, καὶ τὸ δηλητήριον κατὰ γνώμην τοῦ τῆς ἀνθρωπότητος ἐχθροῦ (τοῦ καὶ τὰς ἐμπιπτούσας προφάσεις εἰς ἀπώλειαν τρέποντος ταῖς ψυχαῖς τῶν θεωμένων) κεράσαντες, οὐκ ἂν ἁπλῶς ἦλθον ἐπὶ τοῦτο (ἢ γὰρ ἂν οὐδὲ οἱ ἔξωθεν νόμοι ἐπέτρεψαν), ἀλλὰ μετ' εὐλόγου δῆθεν αἰτίας. Ὁρῶντες γὰρ στρατόπεδα μὲν τοῖς βασιλεῦσιν ἐξηρτυμένα, καὶ ταῦτ' ἐξασκοῦντας διὰ τοῦ βίου, τοὺς δ' ἐν ταῖς πόλεσι δήμους ἀτέλειαν ἔχοντας τῶν ἐν τοῖς ὅπλοις κινδύνων, καὶ πολλὴν ἄγοντας τὴν σχολήν· γινώσκοντές τε τοὺς ἐν τοιαύτῃ ῥᾳστώνῃ ὄντας (οὐ γὰρ πάντες τῇ σχολῇ ἐπὶ καλῷ χρῶνται), πολλάκις νεώτερόν τι βουλεύοντας· ἐκκόψαι δεῖν οἰηθέντες αὐτοφυῆ μενον τῶν ἐπαναστάσεων τὴν ῥίζαν, καὶ μὴ διπλοῦν ἔᾶσι τοῖς ἡγουμένοις τὸν πόλεμον, τὸν μὲν ἔξωθεν, τὸν δὲ ἔνδοθεν, ἀσχολίαν τινὰ ταύτην ἐξηύραντο, καὶ κατεσκεύασαν τοῖς ἀπερισκέπτως ὁτιοῦν τολμᾶν εἰωθόσι· καὶ δεδώκασιν αὐτοῖς εἰς φιλονεικίαν ἀφορμήν, τοσοῦτον μὲν οὐδὲν ἀνῦσαι ἰσχύουσαν, δεινὴν δὲ τὸν θυμὸν δαπανῆσαι περὶ αὐτήν· τοῦτ' ἔστιν ἡ τῶν ἱππων συνεχὴς ἅμιλλα, πολιτική τις ἔρις, ἐπιστρέφουσα πρὸς τουτονὶ τὸν ἀγῶνα τοὺς ὑπὸ τοῦ μηδὲν χρηστὸν ἐθέλειν ποιεῖν, ἴσως ἄν τι ἀργαλεώτερον ἐννοήσοντας· τοῦθ' ἡ περὶ τὴν ὀρχήστραν ποικιλία· τοὺς μὲν γὰρ θεάμασιν ἑστιῶσα, τῶν δὲ ἀκούσμασι τὴν ἀκοὴν γοητεύουσα, ἔδοξε, καίτοι πονηρίας γέμουσα, στα-

VARIÆ LECTIONES ET NOTÆ.

Isidorus rursum ep. 517; Thucydidis autem locus est lib. III *De bello Peloponnesiaco*, in Cleonis erat. *Utilior*, inquit, *inscitia cum modestia, quam calliditas cum immanitate.* Sic et Statius Papinius : *Ingenium probitas animique industria vincit.*

Mox hos Isidorus reprehendit quasi virtutem fugerent, ut Horatius Flaccus :

O cives, cives, quærenda pecunia primum est,
Virtus post nummos...

Locus vero Isocratis allatus, est initio *Paræneti ad Demonicum.* Schott.

(31) Pro εἰς ἀνδρίαν codd. Vat. 650 et Alt. habent εἰς ἄνδρας. Possin.

Digitized by Google

σιώδους βουλῆς ἐμπόδισμα. Ταῦτα συνεχώρησαν τῶν ἐλαττόνων (ὡς ᾠήθησαν) ὠνούμενοι τὰ μείζω, τὴν ἡσυχίαν τὴν ἀσφάλειαν· νέους δὲ τρεφομένους εἰς ἀρετὴν, καὶ τὴν καλλίστην ἁρμονίαν ἁρμοττομένους, οὐ θέμις ἐπὶ τὴν μετουσίαν τούτων ἰέναι, οὐδ' ἄνδρας δὲ τῶν οἰκείων ψυχῶν ἐπιμελουμένους· οὐκοῦν οὐδ' ἀπέρχονται μεθέξοντες, ἀλλ' ἀμείνους παρὰ πάντων εἶναι κέκριται, κρείττους ὄντες τῆς ὀλεθρίου ταύτης τέρψεως καὶ μάλισθ' ὅτι καὶ πόλεώς τ' εἰ καὶ πάντες οἱ συρφετώδεις καὶ ἀγοραῖοι γνωσιμαχήσαντες τὰς ἡσυχίας ἦγον, καὶ φιλοσοφίαν ἠσπάζοντο, ἐκέκλειστο μὲν ἂν τὰ θέατρα ἢ καὶ ἀνοιγόμενα οὐδένα ἐπήγετο· ἀπώλετο δ' ἂν καὶ ἡ τῶν αὐτοῖς κακῶς ἀγωνιζομένων τέχνη, μᾶλλον δὲ κακοτεχνία· καὶ τρία τὰ μέγιστα κατώρθωτο ἄν, ἥ τε τῶν ψυχῶν σωτηρία, ἥ τε τῶν πόλεων κατάστασις, ἥ τε τῶν ἀρχόντων ἀσφάλεια. Ταῦτα μὲν οὖν ἀκουόντων παρὰ τῆς σῆς παιδεύσεως. Ἐπειδὴ δὲ καὶ τὴν ἐμὴν κινῆσαι γλῶτταν δεῖν ᾠήθης, ὡς μεγάλα τινὰ (ὅπερ οὐκ οἶμαι) ἀνύσουσαν, ἵνα μὴ δόξω σε λυπεῖν, καὶ πρὸς αὐτοὺς γέγραφα.

A bus illudens. Tametsi hæc spectacula neque videantur plena seditiosæ machinationis impedimentum, tanquam minus malum hæc condonarunt a majoribus, ut quidem arbitrati sunt : id quod majus est, ementes quietem et securitatem. Juvenes vero ad virtutem institutos, et pulcherrima convenientes harmonia interresse iis non oportebat, ac ne voce quidem quibus animæ salus cordi esset. Non itaque frequentant, sed probiores habentur ; quod noxiam illam spectandi contemnunt voluntatem ; præsertim cum plurimi, imo omnes etiam plebeii resipiscentes a spectaculis et certaminibus abstinuerint, philosophiam serio amplexi. Clausa itaque sunt theatra, et quæ aperta erant, a nemine frequentabantur. Periit vero pravorum agonistarum B ars, seu potius perversa ars, triaque maximi momenti bona sunt consecuta : animorum scilicet salus, recta reipublicæ institutio, denique eorum qui præsunt, securitas. Hæc itaque auditoribus disciplinæ tuæ commissis. Quando vero hæc etiam sed nescio an profutura, ne te videar contri-

a me disserenda esse duxeris, veluti magna quædam, stare, ad illos etiam sequentia præscribenda duxi.

ΡΠϚ'. — ΕΛΛΗΝΩΝ ΠΑΙΣΙΝ.

CLXXXVI. — GRÆCORUM LIBERIS.

De eadem re a spectaculis et ludis pueros revocat. Virtutem iis commendat, divitiis præferens, et ad eam colendam prolixa elegantique hac epist. hortatur. (*Confer. epist.* 109.)

Ὦ μειράκια (χρὴ γὰρ ὑμῖν ἀρχομένοις τοῦ βίου μηδὲν παράλογον φράσαι, ἀλλὰ τὴν ἀλήθειαν ἀπαμφιάσαι), πάντων τῶν ὄντων ἢ δοκούντων ἀγαθῶν μέγιστόν τε καὶ κάλλιστόν ἐστιν ἡ ἀρετή· καὶ ταυτόν εἰσιν οἱ ταύτῃ συμβιοῦντες πρὸς τοὺς ἀμοιροῦντας, ὅπερ ἐκεῖνοι μὲν πρὸς τὰ θηρία· ἄγγελοι δὲ πρὸς τοὺς ἀνθρώπους· βαδίζουσι γοῦν διὰ τῆς ἀγορᾶς ἀγγέλοις ἐοικότες. Ὥσπερ γὰρ λαμπτῆρες ἐν σκότῳ ἐξαίφνης ἀρθέντες ἐπιστρέφουσι πρὸς ἑαυτοὺς τὰς τῶν ἄλλων ὄψεις, οὕτω καὶ οὗτοι τοὺς ἄλλους καὶ ἐκπλήττουσι καὶ φωτίζουσιν. Οἱ δὲ ἀφέντες τὰ οἰκεῖα ἕπονται πρὸς τὴν φωνὴν ἀγαλλόμενοι· καὶ γίγνονται πρὸς ἐκείνους, ὃ δὴ πρὸς τοὺς ποιμένας τὰ πρόβατα, συγχωροῦντες ἄγειν αὐτοὺς ὅπῃ ᾗ βέλτιον· οἱ δὲ παραλαβόντες πειθηνίους, ἐξηγοῦνται καθάπερ προφῆται τὰ μέλλοντα. Ἐπειδὴ γὰρ πολλοὶ τῶν οὐ πολὺν τῆς ἀρετῆς ποιουμένων λόγον, παρ' οἷς ἡ παραυτίκα ἡδονὴ καὶ ῥᾳστώνη μεῖζον ἰσχύει τοῦ ποθ' ὕστερον συνοίσοντος. Οἱ διὰ μὲν ἀπληστίαν καὶ ἀδικίαν τὰ παρόντα ἀγαπῶσι, διὰ δὲ σκαιότητα τρόπων τῶν μετὰ ταῦτα οὐδὲν προορῶσι, τῶν ἐν χειροῖν μόνον φροντίδα τιθέμενοι φράζουσι· « Τὸ παρὸν εὖ τίθει· » ἐκεῖνοι τὰ μέλλοντα σκοποῦντες προμηνύουσι, καὶ τῶν πραγμάτων ἐκβάντων κατὰ τοὺς λόγους στεφανοῦνται καὶ ἀνακηρύττονται. Οὗτοι ζῶντες μὲν τὰς κεκλιμένας μὲν ὀρθοῦσι, τὰς δ' ἑστώσας κοσμοῦσι πόλεις, τελευτήσαντες δὲ ἐγκαταλείπουσι κέντρον τοῦ πόθου· ἐπίσημοι γὰρ οἱ τάφοι, ἐν τιμῇ δὲ τὰ γένη, διηνεκὴς δὲ ἡ μνήμη δικαίων. Ἀρετῆς γὰρ ἐκτήσαντο φύσιν, ἧς οὐ πέφυκεν ἅπτεσθαι τελευτή. Τῶν μὲν γὰρ σωματικῶν πλεονεκτημάτων ῥᾳδίως ἕκαστον ἀποσβέννυται, καὶ

Adolescentes (decet enim vitam vobis ingressis nihil otiose dicere, sed veritatem nude explicare) omnium, quæ sunt aut videntur bonorum maximum atque pulcherrimum virtus est : eodemque modo B se habent, qui cum virtute vitam instituunt, ad illos, qui ea carent, ut ratione præditi homines ad feras noxias, et angeli cum hominibus collati. Ambulant enim per compita hæc prædita, angelorum similes. Ut enim faces in tenebris derepente incensæ omnium in se oculos convertunt, ita hi quoque admirationi aliis exsistunt. Quidam enim propriis relictis ædibus vocem eorum animo exsultantes sequuntur, fiuntque illis quod sunt pastori oves, permittentes se ab illis circumduci, quo est melius. Illi vero suscipientes illos ut obsequentes dictoque audientes futura exponunt, ut prophetæ olim solent. Cum vero plurimi, virtutis nullo habito respectu, quibus caduca voluptas animique delectatio C plus valet, quam quod postea futurum est utile. **612** Illi inexplebili injustaque cupiditate præsentia adamant, atque ob scævam morum consuetudinem, quæ subsecutura sunt, minime provident, iis duntaxat, quæ in manibus sunt, intenti, dicunt : « Præsentia curemus. » Alii contra futurorum satagentes prænuntiant, et ob bene merita, ut Scriptura pollicetur [38], coronam accipiunt atque laudantur. Hi viventes quidem res inclinatas erigunt, resque publicas constitutas ornant, morteque sublati desiderium sui relinquunt. Clari enim tumulorum monumentis, stirps quoque in honore est, et longa jure optimo memoria est. Virtutem enim possident, quæ non interit. Corporis vero

[38] Matth. xvi, 17.

Digitized by Google

bonorum facile quidvis perit, gratiamque ad tempus duraturam nanciscitur, puta pulchritudinem, velocitatem ac robur. Corrupto enim robore, et illa evanescant, necesse est. Virtutis enim solius immortali in anima educatæ, nulla mutatio. Omnibus igitur viribus exercenda virtus est; non curandum tamen est, ut exercere virtutem tantum videaris. Verum ne divitiis quidem inhians contemnere eam debet, præ qua caducæ illæ sunt. Divitias enim cito quis amiserit, aut furto, aut vi militari : at virtute nemo te spoliarit, ne corpore quidem exstincto. Virtutem autem hic voco (ne vocis vos fallere ambigultate videar) non bellicam illam, seu fortitudinem, quæ improbis juxta ac probis sæpenumero adest : neque accipio eam, quæ in Olympicis exercetur ludis, victoriam, quæ casu sæpe obtingit : ac ne eam quidem intelligo vim, quæ in eloquendo est posita. Recte enim ait Thucydides : « Imperitia modestiam habens, utilior est quam industria cum levitate conjuncta. » Nec tandem aliquid eorum [virtus est] quæ simul cum vita ista pereunt, sed eam quam temperantia ac prudentia, justitia ac fortitudine, modestia, philosophiaque et talibus instructam atque ornatam videas. Objicitur vero multos præter meritum belle feliciterque agere, ac sine omni virtute ditescere. Non equidem inficior, verum a virtute cur nos id avertere debeat, non video. Si quis enim clare demonstret, lege naturæ duo hæc simul esse non posse, virtutem, inquam, et divitias, rationi tamen nequaquam sic consentaneum fuerit virtuti divitias anteponere; si qui tamen mera incuria id non consideraverit, venia fortasse dignus videatur.

Cum vero ipsos eosdem reperias et virtute animi præditos, et fortunæ bonis splendidos, in hac vita quid virtutem fugitis : quasi divitias per omnia consecuturi, si ipsam non possideretis? Non enim privati virtute divitias idcirco acquiretis. Quin et virtuti accedunt sæpenumero divitiæ, **613** divina Providentia his pro meritis distribuente, aliorum interim egestatem misericordia sublevante. Cum enim veris bonis, cœlestibus, inquam, seipsos spoliarint, temporanea illis largitur bona, hacque ratione omnem illis excusationis resecans materiam. Nolite considerare quosdam virtute non præditos feliciter agere, sed quosdam etiam virtute præditos prospera usos fortuna. Et si accurate quis exquirere volet, tametsi, quod dicam, inopinatum videbitur, dicendum tamen. Omnibus sæculis reperiet probos, non autem improbos in vera viguisse felicitate. Voco autem prosperitatem, quod satis est, habere. Imminet enim luxui ingens bonorum fortunæ copia. Cui rei fidem non negabitis mente tenentes Isocratis oratoris hanc admonitionem non

πρόσκαιρον ἔχει τὴν χάριν, οἷον κάλλος, τάχος, ῥώμη. Τοῦ σώματος γὰρ φθειρομένου, ἀναγκαίως κἀκεῖνα φροῦδα οἴχεται· ἀρετῆς δὲ μόνης ἅτε ἐν ἀθανάτῳ ψυχῇ τρεφομένης, οὐ πέφυκεν ἅπτεσθαι μεταβολή. Οὐκοῦν παντὶ σθένει προσήκει τὴν ἀρετὴν ἀσκεῖν, ἀλλ' οὐχ ἡγεῖσθαι δοκεῖν ἀσκεῖν. Ἀλλὰ μηδ' εἰς πλοῦτον κεχηνότες καταμελεῖτε ταύτης. Ἔστι γὰρ ἐκεῖνος τῆσδὲ εὐτελέστερος· τὸν μὲν γὰρ ῥᾳδίως ἄν τις ἀφέλοιτο· τοῦτο μὲν λαθών, τοῦτο δὲ μεῖζον ἰσχύων. Τῆς δὲ οὐκ ἂν ἀποστερήσειεν, οὐδὲ εἰ τοῦ σώματος χωρίσειας. Ἀρετὴν δέ φημι (μὴ γὰρ δὴ ἡ ὁμωνυμία ὑμᾶς σφαλλέτω), οὐ τὴν ἐν πολέμοις ἀνδρίαν, ἧς πολλάκις τὸ πλέον τοῖς πονηροῖς, ἢ τοῖς ἀγαθοῖς μέτεστιν· οὐδὲ τὴν Ὀλυμπιάσι νίκην, ἢ καὶ τοῖς ἐπιτυχοῦσιν ἐφίπταται· ἀλλ' οὐδὲ τὴν ἐν τοῖς λόγοις δεινότητα· εὖ γὰρ ἔφησε Θουκυδίδης· « Ὅτι ἀμαθία μετὰ σωφροσύνης ὠφελιμώτερον, ἢ δεξιότης μετὰ ἀκολασίας. » Οὐδ' ἄλλο οὐδὲν τῶν τῷ παρόντι συγκαταλυομένων βίῳ· ἀλλὰ τὴν διὰ σωφροσύνης καὶ φρονήσεως, δικαιοσύνης τε καὶ ἀνδρίας, πραότητός τε καὶ ἐπιεικείας, φιλοσοφίας τε καὶ τῶν ἄλλων τῶν τοιούτων συγκροτουμένην καὶ συμπληρουμένην. Ἀλλὰ πολλοί, φασί, παρὰ τὴν ἀξίαν εὐημεροῦσι, καὶ ἀρετῆς χωρὶς πλουτοῦσιν. Ὁμολογῶ μὲν κἀγώ· τοῦτο δὲ πῶς ἂν εἰκότως ἀποτρέψειε τῆς ἀρετῆς, οὐ συνορῶ. Εἰ μὲν γὰρ εἶχέ τις σαφῶς ἀποδεῖξαι, νόμῳ φύσεως κεκωλυμένα ταῦτα ἀμφότερα συνελθεῖν, ἀρετήν τε, φημί, καὶ εὐημερίαν, μάλιστα μὲν οὐδ' οὕτως εὔλογον ἦν τὸν πλοῦτον πρὸ τῆς ἀρετῆς ἐλέσθαι, τῇ ῥᾳθυμίᾳ δ' ἂν ἴσως τοῦτο σκηπτομένῃ παρεῖχε συγγνώμην.

Ἐπειδὴ δὲ τοὺς αὐτοὺς εὕροι τις ἂν καὶ τὴν γνώμην ἀρίστους, καὶ λαμπροὺς καὶ τὸν παρόντα βίον, τί φεύγετε τὴν ἀρετὴν ὡς πάντως τὸν πλοῦτον ἕξοντες, εἰ μὴ ταύτην κτήσησθε; Οὐ γὰρ ἐν τῷ τῆς ἀρετῆς ἐστερῆσθαι τὸ κεκτῆσθαι τὸν πλοῦτόν ἐστιν. Ἀλλὰ καὶ ἀρετῇ προσγένοιτ' ἂν πολλάκις, τῆς θείας προνοίας τοῖς μὲν τὸ πρὸς ἀξίαν νεμούσης, τῶν δὲ τὴν ταλαιπωρίαν οἰκτειρούσης. Ἐπειδὴ γὰρ τῶν ὄντως ἀγαθῶν, τῶν οὐρανίων φημί, ἑαυτοὺς ἐστέρησαν, τὰ πρόσκαιρα αὐτοῖς χαρίζεται, καὶ ταύτῃ ἐκκόπτων αὐτῶν τὴν ἀπολογίαν. Σκοπήσετε (32) δὴ τοῦτο, ὅτι ἀρετῆς ἀπούσης εὐημεροῦσί τινες, ἀλλά τινες ἂν ποτε ἦσαν ἐν τῷ εὐημερεῖν, τῆς ἀρετῆς προσούσης. Καὶ μὴν εἴ τις ἐθέλοι μετὰ ἀκριβείας ζητεῖν (εἰ γὰρ καὶ παράδοξον δόξει τὸ λεχθησόμενον, ἀλλ' ὅμως λελέξεται), ἐκ τοῦ παντὸς αἰῶνος μετὰ τῶν εὐφρονούντων, ἢ τῶν φαύλων (33) εὕροι τὴν ἀληθῆ εὐημερίαν γεγενημένην· εὐημερίαν ἔγωγε ὁρίζομαι τὴν αὐτάρκειαν· ὁλισθηρὸν γὰρ εἰς ἀκολασίαν ἡ τῆς χορηγίας ἑτοιμότης. Πάντως δὲ ὑμεῖς οὐκ ἀπιστήσετε, ἕναυλον ἔχοντες τὴν Ἰσοκρά-

VARIÆ LECTIONES ET NOTÆ.

(32) Pro σκοπήσετε ambo iidem codd. scribunt σκοπήσατε. ID.

(33) In Græco aut deest μᾶλλον, vel potius legendum οὐ τῶν φαύλων. Hoc enim probat deinceps Isidorus pag. 101, vers. 2 et 3 ἡ δὲ εὐημερία ἡ ἀληθὴς τοῖς σπουδαίοις ἀκολουθεῖ.

Digitized by Google

τους παραίνεσιν, οὐχ ἁπλῶς εἰρημένην, οὐδὲ ῥᾳδίως ἐλεγχομένην, ἀλλὰ τῇ ἀληθείᾳ ὠχυρωμένην. Πλοῦτος δὲ κακίας μᾶλλον ἢ καλοκαγαθίας ὑπηρέτης ἐστίν· ἐξουσίαν μὲν τῇ ῥᾳθυμίᾳ παρασκευάζων, ἐπὶ δὲ τὰς ἡδονὰς τοὺς νέους παρακαλῶν· » Εἰ δὲ τοῖς πολλοῖς τοὐναντίον δοκεῖ, διὰ τὸ τὴν δοκοῦσαν καὶ οὐ τὴν οὖσαν εὐπραγίαν περιεργάζεσθαι, θαυμαστὸν οὐδέν. Οἵ τε γὰρ παρὰ τὴν ἀξίαν πλουτοῦντες, αὐτῷ τούτῳ τῷ παρ' ἀξίαν γνωριμώτεροι καθίστανται· οἱ δὲ εἰκότως εὐημεροῦντες, αὐτῷ τῷ εἰκότως εὐημερεῖν οὐ παρέχουσί τινι θαυμάζειν. Τὸ γὰρ παράδοξον, πλείω ποιεῖ τὸν ὑπὲρ ἑαυτοῦ λόγον. Διὰ τοῦτ' ἴσως ἐλάττους ὄντες οἱ παρὰ τὴν ἀξίαν εὐφερόμενοι, τὴν τοῦ πλείονος εἶναι δόξαν ἀπηνέγκαντο. Θῶμεν τοίνυν (χρὴ γὰρ καὶ ἀπὸ συγκρίσεως τὸ δέον σκοπῆσαι) ἴσους αὐτοὺς εἶναι· καὶ σκεψώμεθα, πότερον ἄμεινον μετ' ἀρετῆς ὁ πλοῦτος, ἢ καθ' ἑαυτόν. Καὶ μὴν ὁ μὲν τῆς εὐημερίας ἐπιλειπούσης, τῷ κτήματι τῆς ἀρετῆς ἔχει θαῤῥεῖν· τὸν δὲ οἰχομένης τῆς εὐπραγίας ἄτιμον ἀνάγκη κεῖσθαι. Ὑποθώμεθα δὲ πᾶσαν ῥᾳθυμίας ὁδὸν ἐκκόπτοντες, καὶ κεχωρίσθαι ταῦτα τῇ φύσει, καὶ τοῖς μὲν τὴν ἀρετὴν, τοῖς δὲ τὸν πλοῦτον μεμερισμένως περιγίνεσθαι, καὶ μὴ μεταπίπτειν τὴν εὐημερίαν, ὥσπερ τὴν Κροίσου. Τίς οὖν οὐκ ἂν εἵλετο μᾶλλον Σόλων εἶναι ἢ Κροῖσος; Τίς δὲ οὐχὶ Πλάτων, ἢ Διονύσιος; τίς δὲ οὐ Σωκράτης μᾶλλον, ἢ Ἀρχέλαος; καὶ τί δεῖ πολλοὺς φιλοσόφους καταλέγειν, καὶ συγκρίνειν τυράννοις, ὧν καὶ ἡ μνήμη ἂν ἐσβέσθη, εἰ μὴ διὰ τὴν ἐκείνων ἀρετήν τε καὶ σοφίαν; διὸ καὶ τούτους παρεὶς, ἐπὶ τὸν συμβουλευτικὸν τρόπον τὸν λόγον τρέψαιμι. Εἰ τοίνυν ἀρετὴ μὲν κρείττων χρημάτων, ἡ δὲ εὐημερία ἡ ἀληθὴς τοῖς σπουδαίοις ἀκολουθεῖ, καὶ ἡ δοκοῦσα δὲ αὐτοῖς ἕπεται· εἰ καὶ διὰ τὸ εἰκότως εὐδοκιμεῖν οὐ παρέχουσι θαυμάζειν, τῶν φαύλων διὰ τὸ παρ' ἀξίαν πλουτεῖν γνωριμωτέρων καθεστώτων, καὶ πλειόνων δοκούντων. Εἰ δὲ καὶ ἴσοι εἶεν τῷ ἀριθμῷ, ἀμείνους οἱ μετ' ἀρετῆς εὐημεροῦντες. Εἰ δὲ καὶ κεχώριστο ταῦτα τῇ φύσει, τὴν ἀρετὴν πρὸ τῆς εὐημερίας αἱρετέον· τί καταῤῥᾳθυμοῦμεν τὸν τῆς ἀρετῆς προδιδόντες στέφανον; Τούτων μὲν οὖν καὶ ἄλλων πολλῶν ἕνεκεν, ὦ παῖδες ἐκ νέας ἡλικίας χρὴ τὴν ἀρετὴν ἀσκεῖν· οὐχ ἥκιστα δὲ, ἀλλὰ καὶ μάλιστα τοῦ ῥηθησομένου· ὁ μὲν γὰρ ἐν γήρᾳ ταύτην ἀσπασάμενος, ὅλον ἀναλίσκει τὸν ἐπίλοιπον χρόνον, ἵνα δυνηθῇ τὰ ἁμαρτηθέντα αὐτῷ κατὰ τὴν πρώτην καὶ δευτέραν καὶ τρίτην ἡλικίαν ἀποτρίψασθαι, καὶ πᾶσα αὐτῷ ἡ σπουδὴ εἰς τοῦτο δαπανᾶται. Καὶ οὐδ' οὕτω πολλάκις ἀρκεῖ· εἴγε ἀσύγγνωστα εἴη, καὶ μεγάλα τὰ ἐπταισμένα, ἀλλ' ἀπελεύσεται πρὸς τὸν ἀδέκαστον κριτὴν, λείψανα τῶν τραυμάτων ἐπιφερόμενος. Ὁ δὲ ἐκ νέας ἡλικίας τὴν ἀρετὴν περιπτυξάμενος, οὐκ εἰς τοῦτο ἀναλίσκει τὸν χρόνον, οὐδὲ κάθηται ὥσπερ ἐν ἰατρείῳ δυσιάτα ἕλκη θεραπεύων, καὶ παρὰ τῶν παροδευόντων ἄθλιος εἶναι νομιζόμενος· ἀλλ' ἐκ προοιμίων λαμπρὰ δέχεται τὰ βραβεῖα· κἀκεῖνος μὲν στέργει, καὶ ἀγαπητὸν ἡγεῖται, ἢν τὰς ἥττας ἀναμαχέσασθαι πάσας δυνηθῇ. Οὗτος δὲ ἐκ βαλβίδος αὐτῆς τροπαίοις

A simpliciter prolatam, neque ad refellendum facilem, sed veritate munitam : « Divitiæ, inquit, vitiorum potius quam virtutis honestatisque sunt administræ. Ad socordiam enim viam sternunt, juvenesque ad voluptatem invitant. » Quod si plerisque contra videntur, qui ob non vere exsistentem, sed apparentem prosperitatem elaborent, minime mirandum. Qui vero immerito ditati, hoc ipso quod sint divites præter meritum admirationi sunt; at qui juste secundos habent successus, quod merito feliciter agant, nemo admiratur : quod enim inopinatum est, de eo amplius fere loquimur. Propterea fortasse putant isti homines, qui præter meritum prospera extolluntur fortuna, quod majorem quam probi viri gloriam consequi videntur. Demus itaque (paria enim comparando sunt spectanda) pares B invicem esse, et utrum præstent, consideremus, cum virtute divitiæ, an per se. Ille siquidem fortuna et possessione deficiente habet, cui fidat, virtutem; hic vero deficiente prospero successu inglorius vivat, necesse est. Ponamus itaque; præclusa negligentiæ via, rei natura accidere, ut aliis quidem virtus, aliis vero divitiæ sorte obtingant, nec recedere prosperam fortunam : ut Crœso accidit. Ecquis igitur non malit Solon potius esse quam Crœsus? Plato potius quam Dionysius? et Socrates quam Archelaus? sed quid plures commemorare philosophos attinet? ac reges componere quid necesse? Quorum fama quidem exstincta est, non eorum, qui virtute et sapientia claruerunt. Quamobrem istis valere jussis, C sermonem ad consilium transferam. Cum itaque virtus divitiis sit potior, vera felicitas viros probos sequitur, apparens autem improbos comitatur : tametsi illud quod merito probi habeantur admirationem non pariat, cum improbi, quod immerito ditentur, **614** notiores fiant plurisque æstimentur. Quod si pares numero fuerint, meliores utique sint, qui cum virtute secundos sortiantur eventus. Quod si natura hæc concurrant, virtus sane felicitati opum anteponenda. Quid itaque virtutis prodentes coronam per incuriam amittimus? Horum igitur et aliarum rerum plurium causa, o juvenes, a teneris virtus est exercenda, non minus, imo vero magis ob ea, quæ mox declarabimus. Qui enim senex jam D virtutem complectitur, omne reliquum consumpsit elapsum tempus, quo possit in prima, secunda tertiaque ætate ab ipso commissa delicta abstergendo diluere, atque omne studium in eo consumendo posuit, ac ne id quidem sæpenumero satis est. Quod si gravia sint, et quibus ignosci non debeat, delicta, sistetur tamen incorrupto judici, qui vulnerum gestat cicatrices. Qui vero ab adolescentia virtutem sit complexus, non ita perdit tempus, neque decumbit veluti in medici officina, curatu difficilibus medicinam adhibens ulceribus, et a prætereuntibus miser æstimandus : quin potius a vitæ exordio illustria accipit præmia, et amat quidem ille, charumque ducit, si calamitates averruncare queat universas. Ille a cursus initio tro-

Digitized by Google

præis ac præconiis exsultat, victoriasque jungit victoriis. Et velut a linea Olympionica victor ad præmium cum laude contendit : ita ad munerarium, qui certantibus præmia largitur, sedetque judex talium certaminum, perveniet variis clarisque caput corollis redimitus. Esse vero post hanc vitæ viam divinum tribunal non res modo gestas et verba cujusque, sed et cogitationes accurate examinans, spondent testanturque etiam philosophi, fabularumque scriptores, poetæ, oratores atque historici, quorum dicta ac testimonia huic adjicere potuissem hortationi, nisi turpem oblivionis notam vobis inuri putarem earum scientiarum, quas memoria tenetis. Si autem judicium est futurum, ut verum est, virtus ergo exercenda. Quod si nonnullis difficile ac molestum videbitur, vobis sane facile erit, si theatra atque hippodromos, curulesque ludos, hoc est, communem universi totius pestem fugietis : dicam amplius, non universi modo, sed et urbium, in quibus ea exhibentur spectacula : ac non tantum urbium interitum, sed potius iis deditorum ad hoc malum hominum gignit. Cunctis ergo viribus ad virtutis est certamen contendendum. Qui claris orti parentibus dedecori ne sint stirpi generis sui. Qui vero humili sunt loco nati, parentes suos illustrent. Divites quidem mundum ornatumque, inopes vero portum perfugiumque virtute comparantes. Sic fiet, ut parentes vos honoretis. **615** Qui vero sequentur liberi, parentum vos loco sint habituri, ac divinum vobis cœlitus Jesu Christi lumen affulgebit. Sic enim vobis rem gerentibus claram virtutis lampada accendent in cœlesti regno, et summam in eo beatorum majestatem consequemini.

καὶ ἀναῤῥήσεσιν ἀγάλλεται. καὶ νίκας συνάπτει νίκαις· καὶ καθάπερ Ὀλυμπιονίκης ἀπὸ γραμμῆς ἐπ' ἀναῤῥήσεων ἐπὶ τὸ γέρας ὁδεύων, οὕτως ἀπελεύσεται πρὸς τὸν ἀγωνοθέτην καὶ κριτὴν τῶν τοιούτων παλαισμάτων, πολλοῖς καὶ λαμπροῖς τὴν κεφαλὴν ἀναδησάμενος στεφάνοις. Ὅτι γὰρ ἔστιν μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν θεῖον δικαστήριον, οὐ μόνων πραγμάτων, οὐδὲ ῥημάτων, ἀλλὰ καὶ ἐννοιῶν ἐξεταστικὸν, καὶ φιλόσοφοι, καὶ λογοποιοὶ, καὶ ῥήτορες, καὶ ποιηταὶ, καὶ συγγραφεῖς ἐγγυῶνται. Ὧν καὶ τὰς ῥήσεις παρεθέμην ἂν τῇδε τῇ παραινέσει, εἰ μὴ λεληθὸς δνειδος ὤμην ὑμῖν προστρίβεσθαι, ἐναυλα ἔχουσι τὰ μαθήματα. Εἰ δὲ χρίσις ἐστὶν, ὥσπερ οὖν καὶ ἔστι, τὴν ἀρετὴν ἀσκητέον· εἰ δὲ καί τισιν εἶναι δυσχερὴς δοκεῖ, ῥᾴδια ὑμῖν ἔσται, εἰ φύγοιτε τὰ θέατρα καὶ τοὺς ἱπποδρόμους, τὴν κοινὴν τῆς οἰκουμένης λύμην· μᾶλλον δὲ οὐ τῆς οἰκουμένης, ἀλλὰ τῶν πόλεων τῶν ἐχουσῶν τὰ τοιαῦτα θεάματα· μᾶλλον δὲ οὐδὲ τῶν πόλεων, ἀλλὰ τῶν βουλομένων, καὶ ὑποκατακλινομένων τοῖς τοιούτοις κακοῖς. Παντὶ τοίνυν θυμῷ πρὸς τοὺς τῆς ἀρετῆς ἄθλους ἀποδυτέον· οἱ μὲν ἐκ λαμπρῶν γονέων τεχθέντες, μὴ καταισχύνοντες τὸ γένος· οἱ δὲ ἐκ ταπεινῶν φύντες, λαμπρύνοντες τοὺς τεκόντας· οἱ μὲν πλούσιοι κόσμον, οἱ δὲ πένητες ὅρμον κατασκευάζοντες ἑαυτοῖς· οἱ μὲν ὑμέτεροι πατέρες ὑμᾶς αἰδεῖσθωσαν· οἱ δὲ ἐτέρωθεν ἥκοντες παῖδες, πατέρας ὑμᾶς ἡγείσθωσαν. Οὕτω γὰρ ὑμῖν πολιτευομένοις, καὶ λαμπρὰν ἀνάψουσι τῆς ἀρετῆς τὴν λαμπάδα, καὶ τὸ θεῖον ὑμῖν οὐρανόθεν τοῦ Χριστοῦ ἐπιφανεῖται καὶ ἐπισπάσεται πρὸς ἑαυτὸ σέλας, ἀποκαλύπτον ὑμῖν καὶ τὴν τῶν οὐρανῶν βασιλείαν, καὶ τὴν ἐν αὐτῇ τῶν ἁγίων ὑπέρλαμπρον ἀξίαν.

CLXXXVII. — ÆGYPTO PRESBYTERO. (Forte ALYPIO, cui sæpe alias.)

ΡΠΖ'. — ΑΙΓΥΠΤΩ ΠΡΕΣΒΥΤΕΡΩ.

De natura animæ quæsitum, quomodo divina essentia dicatur. (*Mox epist.* 191.)

Divinam equidem esse credo animam, non tamen divinitatis regiæque partem naturæ; immortalem quoque, verum principio non carentem ejusdemve cum Conditoris natura substantiæ. Si enim Dei ineffabilis foret pars, nunquam peccasset anima, ac ne judicata esset unquam. Quod cum illi contigerit condemnari, divinæ summæque substantiæ opus non pars esse merito credendum : ne divina vis judicasse seipsam deprehendatur, vel potius condemnasse videatur.

Θείαν μὲν ἡγούμεθα εἶναι τὴν ψυχὴν, οὐ μὴν τῆς θειοτάτης καὶ βασιλικωτάτης φύσεως μοῖραν· καὶ ἀθάνατον, ἀλλ' οὐ τῆς ἀνάρχου καὶ ποιητικῆς φύσεως ὁμοούσιον. Εἰ γὰρ ἐκείνης τῆς ἀῤῥήτου ἦν μέρος, οὐκ ἂν ἥμαρτεν, οὐδὲ ἐκρίθη· εἰ δὲ ταῦτα πάσχει, τῆς ἀνωτάτω οὐσίας ποίημα δικαίως ἂν πιστευθείη, οὐ μέρος· ἵνα μὴ ἑαυτὴν ἡ θεία φύσις κρίνουσα, μᾶλλον δὲ κατακρίνουσα φωραθείη.

CLXXXVIII. — EVANGELIO DIACONO. (Lego EVANGELO, ut alibi.)

ΡΠΗ'. — ΕΥΑΓΓΕΛΙΩ ΔΙΑΚΟΝΩ.

Virtutem in mediocritate consistere. Virtus est medium vitiorum, etc. (*Hortat., lib.* I *epist.* 18, *ex Aristot. sententia.*)

Ut præstantissimi statuarii ad amussim examinant operis proportionem, in qua artifex symmetriam non excedit, ita et virtuti dediti mediocritatem

Ὅσπερ οἱ ἄριστοι τῶν ἀγαλματοποιῶν σταθμῶνται τὴν συμμετρίαν, ἐφ' ἧς ἡ δημιουργία τὴν συμμετρίαν (34) διαβαίνει· οὕτω καὶ οἱ τῆς ἀρετῆς

VARIÆ LECTIONES ET NOTÆ.

(34) Illa verba τὴν συμμετρίαν absunt ab utroque cod. Vat. 650 et Alt. in quibus sine ullo indicio hiatus δημιουργία continuatur cum διαβαίνει. Pussin.

Digitized by Google

δημιουργοὶ τὴν συμμετρίαν ἐκβαίνειν οὐκ ἂν εἶεν δίκαιοι· παρυφεστήκασι γὰρ ἑκατέρωθεν κακίαι ταῖς ἀρεταῖς, ἀπατῆσαι τὸν φιλάρετον μηχανώμεναι. Οἷον, ἡ εὐσέβειά ἐστιν ἡ κεφαλή, καὶ ὁ θεμέλιος, καὶ ἡ κρηπὶς τῶν καλῶν· ἀλλὰ ταύτῃ ἑκατέρωθεν ἐφεδρεύει ἀπέβεια τε καὶ δεισιδαιμονία· ἡ μὲν κατ' ἔλλειψιν, ἡ δὲ καθ' ὑπερβολήν τὸ δὲ ἀφαιρουμένη· καὶ τῇ ἀνδρείᾳ θρασύτης καὶ δειλία παρυφεστήκασι, τὸ αὐτὸ δρᾶσαι βουλόμεναι· διὸ χρὴ τὸν εὐδόκιμον τὰς κακίας ἀτιμάσαντα, τὰς ἀρετὰς αἱρεῖσθαι, καὶ μὴ τῇ φαντασίᾳ τῶν ἀρετῶν εἰς τὰς ἐφεδρευούσας κακίας ἐκπίπτειν.

tem excedere nefas ducunt. Circumstant enim utrinque virtutem vitia, quæ fallere virtute præditum facile possunt. Verbi gratia, pietas caput est, basis seu fundamentum et crepido honestatis : at utrinque circumstant, hinc impietas, inde superstitio : illa quidem defectu, hac vero nimietate peccantes. Sic et fortitudinem ambiunt utrinque, temeritas hinc, illinc timiditas : quæ fortiter agere frustra nituntur. Quicunque igitur clarus vult haberi, virtutem colat necesse est : vitia contra vitet, neve virtutum specie in vicina utrinque vitia impingat.

ΡΠΘ'. — ΗΣΑΙΑ.

CLXXXIX. — ISAIÆ.

Moderandum, ne rationem exstinguas. Furor enim brevis est.

Καὶ θυμοῦ καὶ φρονήματος μεστὸν εἶναί σέ φασιν οἱ συνδιατρίβοντες. Εἰ τοίνυν ταῦθ' οὕτως ἔχει, ἔμβαλε ἡνίαν τῷ θυμῷ, ἵνα μὴ προπηδῶν τοῦ λογισμοῦ σβέσῃ καὶ τὸ φρόνημα· διὸ καὶ τὴν ὀφρῦν, ὥς φασι, γείτονα κροτάφων ἐπαίρεις.

Iracundia simul et prudentia præditum te esse prædicant tui familiares. Si igitur vera dicunt, iracundiæ tuæ frenum impone, ne rationem invadens exstinguat etiam prudentiam; ideoque et supercilium natura temporibus capitis vicinum esse.

Ρῃ'. — ΤΩ ΑΥΤΩ.

CXC. — EIDEM.

Hortatur ut illi, quem judicio superarat, humaniter se excuset animumque ejus placet. (*Confer. epist.* 129, 195.)

Ἐπειδὴ νενίκημένος ὁ πρώην σου διάδικος, ὑφ' ὧν πέπονθεν, οὔπω νενίκηκεν ἑαυτὸν εἰς τὸ χρῆναι θεραπευθῆναι, μὴ παύσαιο διὰ γραμμάτων ἀπολογούμενος· εὖ γὰρ ποιεῖς, τὰ κακῶς γινόμενα καλῶς ἰώμενος. Καὶ ἡμεῖς γὰρ καταντλοῦντες, ἠπίοις λόγοις τὸ πάθος πειρώμεθα αὐτοῦ ἰάσασθαι.

Quandoquidem qui tecum nuper judicio disceptabat, victus est, a suis antea superatus affectionibus seipsum nondum vicerit in adhibenda medicina, ne desinas per **616** litteras placare. Recte enim facis, quod quæ male gesta sunt, recte cures. Nos pariter oleum affundendo verbis benignis conabimur ejus animi perturbationi medelam afferre.

Ρῃα' — ΔΩΡΟΘΕΩ ΔΙΑΚΟΝΩ ΙΑΤΡΩ.

CXCI. — DOROTHEO DIACONO MEDICO.

Quæstioni respondet propositæ, cur incorporea minus passionibus corruptionique obnoxia, quam corporea. (*Confer. epist.* 187.)

Ἐπειδὴ χρῆμα σαφὲς καὶ ὁμολογούμενον καὶ ταῖς ἱεραῖς Γραφαῖς, καὶ τοῖς σοφωτέροις τῶν ἔξωθεν, διὰ παραδειγμάτων ἠθέλησας μαθεῖν, ὡς ἂν οἷός τε ὦ, πολλὰ δι' ὀλίγων φράσαι πειράσομαι. Ἐπεὶ τοίνυν ἔφης· Πόθεν δῆλον, ὅτι τὰ ἀσώματα τῶν σωμάτων ἐστὶν ἀπαθέστερα καὶ ἰσχυρότερα; φημὶ, ὅσῳ τὰ ἐγγὺς τῆς ἀσωματότητος σώματα ἰσχυρότερα καὶ ἀπαθέστερά ἐστι, τῶν παχυτέρων σωμάτων, τοσούτῳ καὶ τὰ ἀσώματα οὐ μόνον τῶν παχυτάτων, ἀλλὰ καὶ τῶν λεπτοτάτων ἐστὶν ἀπαθέστερα. Οἷον ἡ πέτρα τοῦ ὕδατός ἐστι παχυτέρα, διὸ ῥηγνυμένη οὐκέτι συνάπτεται, τὸ δὲ ὕδωρ διαιρεθὲν, πάλιν συναφθὲν (35) ἑνοῦται. Ὅσῳ γὰρ λεπτότερον, τοσούτῳ ἀπαθέστερον. Ὁ δὲ ἀὴρ (χρὴ γὰρ ἐπὶ λεπτότερον βαδίσαι παράδειγμα) οὐδὲ διαστῆναι δύναται· ἐὰν γοῦν ἢ εἰς κέραμον, ἢ εἰς ἀσκὸν ἀποκλεισθείη, καὶ εἰς βυθὸν ῥιφείη, οὐκ ἀνέχεται, ἀλλ' ἐπιπολάζει καὶ ἐπινήχεται, καὶ τὴν ἐπιφάνειαν ζητεῖ, καὶ τὸ συγγενὲς θηρᾶται. Εἰ τοίνυν ὁ μὲν ἀὴρ τοῦ ὕδατος, τὸ δὲ ὕδωρ τῆς πέτρας ἐστὶ λεπτότερον, διὸ καὶ ἀπαθέστερον· τί θαυμάζεις, εἰ καὶ τὰ ἀσώματα ἰσχυρότερά ἐστιν; Ἴδε οὖν καὶ τὴν ψυχὴν μὴ φαινομένην μὲν (ἀόρατος γάρ ἐστιν), ἰσχὺν δὲ τῷ σώματι καὶ

Quando rem claram atque concessam cum in sacris Litteris, tum in externis philosophis, discere a me exemplis voluisti, nunc quoad ejus fieri a me potest, multa paucis complectar. Quæris enim unde constet incorporea corporibus esse magis expertia affectionum atque potentiora. Respondeo, quod quantum corpora rebus incorporeis viciniora sunt, hoc fortiora et affectionum magis expertia sunt, quam corpora crassiora; tantum etiam incorporea non modo crassissimis, sed etiam tenuissimis magis esse impatibilia. Verbi gratia, lapis crassior est quam aqua; ideo fractus non amplius coalescit. Aqua vero segregata rursum uniri potest. Quanto enim tenuior, tanto est impatibilior. Aer vero (exemplum enim tenuissimum afferre in medium convenit) segregari non potest. Si enim in vas fictile vel in utrem includas, et in profundum mittas, non mergitur, sed assurgens supra, supernatat, gaudetque conspici, et locum sectatur naturalem. Igitur si aer quam aqua, et aqua quam lapis subtilior exsistit, atque adeo affectionum minus capax, quid, oro, admiraris etiam incorporea fortiora esse? Considera itaque ut anima, quæ sub aspectum non

VARIÆ LECTIONES ET NOTÆ.

(35) Pro συναφθὲν codd. Vat. 650 et Alt. scribunt συναφέν. Id.

Digitized by Google

cadit (neque enim oculis cerni potest) robur corpori viresque præbeat : qua discedente non modo mortuum remanet corpus, sed etiam dissolvitur. Atque in medicinæ quidem remediis (ab arte enim tua experimentum ducatur), incorporea vis exsistens robustior est quam corporis. Quando itaque effecerit, quod in se est, viresque exseruerit, tum emplastrum inutile redditur. Si enim insita vis incorporea exsistens, cum effectum suum dederit, non avolaverit, cur iterato remedia repetis salva jam substantia? Sed notum est, quod vivat remedium per insitam sui virtutem : moriatur vero, illa semel exhausta.

A ρώμην παρέχουσαν· ἧς ἀποφοιτησάσης, οὐ μόνον νεκρὸν μένει τὸ σῶμα, ἀλλὰ καὶ διαλύεται. Καὶ ἐν τοῖς βοηθήμασι δὲ τοῖς ἰατρικοῖς (χρὴ γὰρ καὶ ἀπὸ τῆς σῆς τέχνης τὸν ἔλεγχον ποιήσασθαι) ἡ δύναμις ἀσώματος οὖσα, ἰσχυροτέρα ἐστὶ τοῦ σώματος. Ὅταν οὖν τὸ ἑαυτῆς ποιήσῃ καὶ ἀποφοιτήσῃ, τότε ἡ ἔμπλαστρος κεῖται ἀχρηστοτάτη. Εἰ γὰρ μὴ ἡ ἐγκειμένη δύναμις ἀσώματος οὖσα, καὶ πράττουσα τὸ ἑαυτῆς, ἀφίπτατο, δι' ἣν αἰτίαν ἀμείβεις τὰ βοηθήματα τῶν ὑλῶν σωζομένων; Ἀλλὰ δῆλόν ἐστιν, ὡς ζῇ μὲν τὸ βοήθημα τῆς δυνάμεως ἐνούσης, ἀποθνήσκει δὲ ἐκείνης ἀποφοιτησάσης.

CXCII. — LAMPETIO EPISCOPO.

ΡΚΒ'. — ΛΑΜΠΕΤΙῼ ΕΠΙΣΚΟΠῼ.

Malum animum et perversum ex signis facile colligi. (*Confer. epist.* 156, 199.)

Acceptis litteris hortatoriis ac perutilibus tuæ doctrinæ Gothus homo rudis et litterarum imperitus (sic enim ipsum appellare liceat), **617** quomodo sit affectus, non possum equidem bene referre. Signa vero quæ in vultu elucent, vel ipse ostenderit. Lente enim risisse apparuit, facie commonstrans ex iracundia devicta delectationem.

B Τὰ παραινετικὰ καὶ ὠφελείας πνέοντα τῆς σῆς παιδεύσεως δεξάμενος γράμματα, Γότθος ὁ ἀπαίδευτος (οὕτω γὰρ αὐτὸν καλεῖν θέμις), ὅπως μὲν διετέθη, ἀκριβῶς μὲν οὐκ ἔχω λέγειν, ἀπὸ δὲ τῶν τῷ προσώπῳ ἐπανθησάντων σημείων καὶ αὐτὸς ἂν τεκμήραιο. Μειδιάσας γὰρ ἠρέμα, ἔφηνε τῷ προσώπῳ ἡδονὴν ἐκνικώσης ὀργῆς.

CXCIII. — AQUILÆ, AMMONIO ET ORIONI.

ΡΚΓ'. — ΑΚΥΛΛᾺ, ΑΜΜΩΝΙῼ, ΩΡΙΩΝΙ.

Malum malo non reddendum, sed malum patientia superandum et judicium juste judicanti relinquendum. In illud : « Decet nos omnem justitiam adimplere. » (*Matth.* III, 15.)

Multi, optimi viri, adversariis paria vel majora etiam his quæ perpessi sunt, facere sperantes, graviora etiam quam ab initio passi sunt; pertulerunt, non justo devicto, sed in altera vita cum gloria recondito. Quare oportet tranquille ac philosophice mala inferentes remunerari. Ibi enim perpetuo justitia justum cinget, et coronarum propositione tentationes oblitterabit.

C Πολλοί, ὦ βέλτιστοι, ἀντιπάλους ἢ καὶ μείζω ἐνταῦθα ὧν ἐπεπόνθεισαν, δρᾶσαι προσδοκήσαντες, ἀργαλεώτερα ὧν παρὰ τὴν ἀρχὴν ἐπεπόνθεσαν ἔπαθον, οὐ τοῦ δικαίου ἡττηθέντος, ἀλλ' εἰς τὸν μετέπειτα βίον λαμπρῶς ταμιευθέντος. Διὸ χρὴ ἡτυχίᾳ μᾶλλον καὶ φιλοσοφίᾳ τοὺς κακῶς ἡμᾶς ποιοῦντας ἀμύνασθαι. Ἐκεῖσε γὰρ πάντως ἡ δίκη τὸ δίκαιον ὁριεῖ, ἢ καὶ στεφάνων ὑποθέσεις τοὺς τῇδε πειρασμοὺς ἀποφαίνουσα.

CXCIV. PALLADIO DIACONO.

ΡΚΔ'. — ΠΑΛΛΑΔΙῼ ΔΙΑΚΟΝῼ.

Mutare vitam in melius suadet, ut accusantium ora obturet.

Si vera sunt, quæ de te nuntiantur, verisimilem ipse defensionem conficies, nec vera proferes. Sin falsa de te nuntiantur, scribe utique apologiam, quam nos, auditis quæ in te reprehendunt, molieimur. Quod si a voluptatibus temperabis, quæ ad omnem rationis expertem impetum affectumque rapiunt, canent ipsi, ut opinor, pro apologia palinodiam.

Εἰ μὲν ἀληθῆ τὰ ἀπαγγελθέντα περὶ σοῦ, πιθανὴν μὲν ἴσως ἀπολογίαν λογοποιήσεις, ἀληθῆ δὲ οὐ φράσεις· εἰ δὲ ψευδῆ, γράφε δὴ τὴν ἀπολογίαν, ἣντινα ἡμεῖς ταῖς ἀκοαῖς τῶν κωμῳδούντων σε ἐγκαθιδρύσωμεν. Εἰ δὲ παύσοιο τῆς τρυφῆς τῆς εἰς πᾶσαν ἄλογον ὁρμὴν χωρούσης, καὶ πρὸ τῆς ἀπολογίας οἶμαι αὐτοὺς παλινῳδίας ᾄσειν.

CXCV. — ÆSAIÆ.

ΡΚΕ'. — ΗΣΑΙᾼ.

Hortatur ut apologia placet eum, quem injuria affecerat. (*Ut epist.* 190.) *Forensis epist. est, ideoque obscura.*

Non ignoras, prudentissime vir, injuste agens, ac propterea recta ac legitima defensione, sive criminis intentati depulsione abutens, atque exceptionem, qua judicium declinatur, seu litis contestationem refugiens, subsidio iis esse, qui injuria opprimuntur, non qui injuria afficiunt. Quare noveris, ut in furto deprehensus directe defendas.

Οὐ λανθάνεις, ὦ δεινότατε ἀδικῶν· καὶ διὰ τοῦτο τὴν μὲν εὐθυδικίαν φεύγων, ἐπὶ δὲ παραγραφὰς καταφεύγων, τὰς πρὸς βοήθειαν τῶν ἀδικουμένων, ἀλλ' οὐκ εἰς ἀποφυγὴν τῶν ἀδικούντων ἐπινοηθείσας. Γνοὺς οὖν ὡς πεφώρασαι, ἐξ εὐθείας ἀπολογοῦ.

CXCVI. — THEONI EPISCOPO.

ΡΚϚ'. — ΘΕΩΝΙ ΕΠΙΣΚΟΠῼ.

Monet, ut de Eusebii episcopi Pelusii vitiis sibi caveat, ne ipse capiatur iis, quæ in alio reprehendebat. (*Confer. epist.* 16, 140, 147, 160, 176, 230, 250.)

Quantum præ cæteris honore me afficis, tantum

Ὅσῳ τῇ τιμῇ παρὰ σοὶ τῶν ἄλλων πλεονεκτῶ,

Digitized by Google

τοσούτῳ πειράσομαι τοὺς λοιποὺς εὐνοίᾳ (36) παρ- ενεγκεῖν. Καὶ γὰρ ἄτοπον, πρὸ μὲν τῶν ἄλλων παρὰ σοὶ τετάχθαι, μετὰ δὲ τῶν οὐχ οὕτω τιμωμένων ἐν τοῖς σοῖς σιωπῆσαι. Ἐπεὶ τοίνυν γέγραφας, ὡς Εὐσέβιος ὁ ἐπίσκοπος τοῦ Πηλουσίου καὶ πρὸς ὁρμὴν ἐστιν ὀξύῤῥοπος, καὶ πρὸς ἁρπαγὴν τῶν ἀλλοτρίων ἕτοιμος, καὶ πρὸς τὸ παροξυνθῆναι ταχὺς, καὶ πρὸς τὰς ἀμοιβὰς τῶν δεόντων βραδύς· καὶ συλλήβδην εἰπεῖν, πάντων τῶν ἀνελευθέρων παθῶν ἀκρατής τε καὶ ἔστι καὶ νομίζεται· αὐτὸς εἶγε εὐδοκιμῆσαι βούλει, τῶν τοιούτων ὀνειδῶν ἄχραντον σαυτὸν διατήρησον. Ἄτοπον γάρ σε ἀλῶναι τοῖς αὐτοῖς, οἷς ἕτερον περιπεπτωκότα αἰτιᾷ· καὶ ἰατρὸν (37) ἄλλου ἐθέλειν εἶναι τὸν *ἕλκεσι βρύοντα*· καὶ πράττειν ἐκεῖνα, ὧν πικρὸς τυγχάνεις κατήγορος.

A et ipse cæteris in te colendo antecellere conabor. Absurdum enim fuerit me abs te cæteris anteferri, cum iis tamen, qui non perinde cohonestati sunt, de te tuisque rebus silere. Cum itaque ad me scribas Eusebium episcopum Pelusii suis affectionibus cito esse mutabilem, aliena rapere promptum, animo celerem exacerbato, lentum contra tardumque in debitis exsolvendis : ut paucis complectar, et esse et haberi impotentem ad perturbationes malas servilesque edomandas. Quare si probus haberi cupis, ab his maculis purum te ipse conserves. **618** Absurdum enim vitiis obnoxium esse aliquem, quorum accuset alium : ac medicum, quod aiunt, esse aliorum, *qui ulceribus scateat*, velle : ea denique committere turpe, quæ acerbe reprehendat.

B

ΡΛΖ'. — ΙΣΙΔΩΡΩ ΔΙΑΚΟΝΩ.

Quomodo et quare Judæi filii in Scriptura appellentur. De adoptione nostra per Christum, et quanto studio conservanda.

Ἐπειδὴ γέγραφέ σου ἡ σύνεσις, ὅτι καὶ οἱ Ἰουδαῖοι εἶχον τὸ τῆς υἱοθεσίας ἀξίωμα (γέγραπται γάρ· « Υἱοὺς ἐγέννησα καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν· » καὶ, « Θεὸν τὸν γεννήσαντά σε ἐγκατέλιπες »). φημὶ, ὅτι οὐχ εὑρίσκω ὅλως ἐξ ὧν προήνεγκας μαρτυριῶν ἀπολελυμένην, οὐδὲ καθαρὰν τὴν τιμὴν, ἀλλὰ τῇ κατηγορίᾳ συμπεπλεγμένην. Ὥστε εἰ μὴ κατηγορήσαι αὐτῶν ἠθέλησεν, οὐκ ἂν ἦν φῆς τιμὴν ἀνεκήρυξεν. Εἰ μὴ ἔπταισαν, οὐκ ἂν ἔτυχον ἴσως τῆς προσηγορίας· ἀλλ' εἰς μείζονος κατηγορίας ὑπόθεσιν τὴν τιμὴν τῇ μέμψει συνέζευξε· καθαπτόμενος γὰρ αὐτῶν καὶ ἐκπομπεῦσαι τὴν ἀναισθησίαν βουλόμενος, τῇ αἰτιάσει τὴν τιμὴν παρέπλεξε· μᾶλλον δὲ ἐκ τῆς τιμῆς τὴν κατηγορίαν μείζονα συγγνώμης ἀπέφηνε, περὶ δὲ τῶν ἐν τῇ χάριτι βοᾷ ὁ τῆς βροντῆς υἱός· « Ὅσοι δὲ ἔλαβον αὐτὸν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι. » Ἰδοὺ ἄνευ κατηγορίας τιμή· ἰδοὺ τῆς υἱοθεσίας τὸ ἀξίωμα· ἰδοὺ τῆς ὑπερκοσμίου συγκλήτου τὸ σύνθημα. Ὃ ἄνω καὶ κάτω προφέρων ὁ Σωτὴρ ἔλεγεν· « Ὅπως γένησθε ὅμοιοι τοῦ Πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς· » καὶ, « Οἶδεν ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος, ὧν χρείαν ἔχετε, πρὸ τοῦ αἰτῆσασθαι αὐτόν. Αὐτὸς μὲν οὖν ὁ τῆς υἱοθεσίας αἴτιος τὸ ἀξίωμα πανταχοῦ ἀνακηρύττει. Ὁ δὲ ἐξ Ἰουδαϊκῆς ἐπάλξεως εὐαγγελικὸν μηχάνημα γεγονὼς, δεικνὺς τὴν τιμὴν ταύτην ἔργῳ βεβαιωθεῖσαν, ἔφη· « Οὐ γὰρ ἐλάβετε πνεῦμα δουλείας πάλιν εἰς φόβον, ἀλλὰ πνεῦμα υἱοθεσίας, ἐν ᾧ κράζομεν, Ἀββᾶ ὁ Πατήρ· αὐτὸ τὸ πνεῦμα συμμαρτυρεῖ τῷ πνεύματι ἡμῶν, ὅτι ἐσμὲν τέκνα Θεοῦ· εἰ δὲ τέκνα καὶ κληρονόμοι· κληρονόμοι μὲν Θεοῦ, συγκληρονόμοι δὲ Χριστοῦ. » Βαθαὶ τῆς τιμῆς! Πῶς (38) ἄνω ἀν-

CXCVII. — ISIDORO DIACONO.

Scribente tua prudentia, adoptionis dignitatem Judæis etiam obvenisse, quia scriptum sit : « Filios enutrivi et exaltavi, ipsi autem spreverunt me[37]. » Et alibi : « Deum, qui te genuit, dereliquisti[38]; » dico non reperire me omnino ex iis, quæ attulisti, testimoniis absolutum atque purum honorem, sed reprehensioni mistum, ita ut nisi prolapsi Judæi essent, ipsos honorifice non compellasset, sed in majoris reprehensionis argumentum honorem contumeliæ conjunxit. Tangens enim illos, et duritiam aliis patefacere cupiens, accusationi honorem admiscuit, aut verius honore habito accusationem venia indignam esse ostendit. De iis enim, qui in gratia sunt Dei, clamat tonitrui filius Joannes : « Quotquot autem receperunt eum, dedit eis potestatem filios Dei fieri[39]. » Ecce absque castigatione honorem : vide adoptionis decus : vide cœlestis ordinem vocationis? Quod semel iterumque Servator proferens ait : « Ut sitis filii Patris vestri, qui in cœlis est[40]. » Et post non longe : « Scit Pater vester cœlestis quibus indigeatis, antequam petatis[41]. » Ipse igitur adoptionis auctor dignitatem ejus ubique deprædicat. Qui vero ex Judaico fastigio Evangelii factus est vas, ostendens honorem hunc opere confirmatum, dicit : « Non accepistis spiritum servitutis iterum in timore, sed accepistis spiritum adoptionis, in quo clamamus, Abba, Pater. Ipse Spiritus testimonium reddit spiritui nostro, quod sumus filii Dei. Si autem filii, et hæredes : hæredes quidem Dei, cohæredes autem Christi[42]. » O ingentem honorem! Quam alte erexit humi prostratos! Eadem enim opera et Judæo-

C

D

[37] Isa. I, 2. [38] Deut. XXXII, 18. [39] Joan. I, 12. [40] Matth. V, 45. [41] Matth. VI, 8. [42] Rom. VIII, 15-17.

VARIÆ LECTIONES ET NOTÆ.

(36) Εὐνοίᾳ mutant in εὐνοίας ambo iidem codd. et vers. inde 4, pro ὁρμὴν legunt ὁρμὴν. Possin.

(37) Proverbialis est e vetere tragœdia senarius :

Ἄλλων ἰατρὸς, αὐτὸς ἕλκεσι βρύων,

Aliis medens, at ipsius ulceribus scatens.

Utitur et Gregorius Theologus *Apologia de sua fuga*, et Plutarc. lib. *De utilitate ex inimicis capienda*. Schott.

(38) Mutant iidem πῶς in ποῦ. Possin.

Digitized by Google

rum ignobilitatem Apostolus ob oculos ponit : nobilitatem contra Christianorum, quam omni ope servare justum fuerit, ne honore excidentes gravius castigemur, utpote tanto indigni honore.

A ἡγαγε τοὺς χαμαὶ κειμένους ; Ὁμοῦ τε γὰρ καὶ τὴν Ἰουδαίων μικροπρέπειαν δείκνυσιν ὁ Ἀπόστολος, καὶ τὴν Χριστιανῶν μεγαλοπρέπειαν· ἣν παντὶ σθένει δίκαιοι ἂν εἴημεν φυλάξαι· ἵνα μὴ τῆς ἀξίας ἐκπεσόντες, ἀργαλεώτερον κολασθῶμεν, ὡς μηδὲ τῇ τοσαύτῃ τιμῇ βελτιωθέντες.

CXCVIII. — HARPOCRÆ SOPHISTÆ.

ΡΙΗ'. — ΑΡΠΟΚΡΑ ΣΟΦΙΣΤΗ.

Graphica hypotyposis laudata.

Ut generosum equum pictor optimus elata depingens cervice spirantem prope **619** repræsentare studens et cum ipsa pugnans natura imponit ipsi cum freno prudentiam, sistit ipsum, quo stare vult loco : sic et tua eruditio suo sermone clare nobis prudentiam illius viri impressit, ut illum videre potius quam litteras scriptas legens videatur.

Ὥσπερ ἄριστος ζωγράφος ἵππον γαῦρον καὶ ὑψαύχενα γράφων, μονονουχὶ ἔμπνουν αὐτὸν ποιῆσαι φιλοτιμούμενος, καὶ πρὸς τὴν φύσιν ἀμιλλώμενος, ἐμβάλλει μὲν αὐτῷ μετὰ τοῦ χαλινοῦ φρόνημα, ἵστησι δὲ αὐτὸν ἐν αὐτῷ τῷ θέλειν ἑστάναι· οὕτω καὶ ἡ σὴ παίδευσις διὰ τοῦ λόγου σαφῶς ἡμῖν τὸ φρόνημα τάνδρὸς ἐνεχάραξεν, ὡς αὐτὸν ἐκεῖνον ὁρᾶν τοὺς ἀναγινώσκοντας μᾶλλον ἢ τὰ γράμ-
B ματα.

CXCIX. — EIDEM.

ΡΙΘ'. — ΤΩ ΑΥΤΩ.

Ex vultu conjicit de animo, Zosimi opinor, cui litteras tradiderat. (*Similis epist.* 156, 199.)

Simul atque tuæ probitatis litteras ille accepit, quem nominare nolo (non enim scripto memoriaque est dignus) perniciosum quid ac rictu minax arrisit, ut assolet, quoties ira plenus turgescit. Certamen autem horridum aggressus est, et forte perfecit, nisi ipse ecclesiasticis sanctionibus factus sit certaminis occasio.

Ὡς ἐδέξατο τῆς σῆς καλοκἀγαθίας τὰ γράμματα ἐκεῖνος, ὃν οὐ βούλομαι λέγειν (μὴ γὰρ εἴη γραφῆς καὶ μνήμης ἄξιος), ὀλέθριον μέν τι καὶ σεσηρὸς προσεμειδίασεν· οἷον εἰώθει, εἴποτε ὀργῆς ἐμπλησθείη· ἄθλου δὲ ἥψατο φρικώδους, καὶ ἀποτελεσθέντος ἂν ἴσως, εἰ μὴ αὐτὸς ἐγένετο ἄθλος (40) τοῖς ἐκκλησιαστικοῖς θεσμοῖς.

CC. — OPHELIO SCHOLASTICO.

Σ'. — ΟΦΕΛΙΩ ΣΧΟΛΑΣΤΙΚΩ.

Contra nimium mulierum ornatum. (*Conf. epist.* 66, *lib.* III, *et sup. epist.* 25.)

Mirifice equidem laudo veterem Spartanorum C urbem honestis matronis ornatum interdicentem, quem scortis impurisque feminis magis convenire, quæ laqueos ac retia adolescentibus luxuria corruptis tendant, existimabat. Quæ enim sese ornet pudicaque appareat, ornatu nimio morbum ostentat suum. Quod sacra denuntians Scriptura suadet non et margaritis, vel pretiosa veste, sed bonis operibus pietatem colentes exornari [62]. Id si per se inspiciatur, dico, monilia, lapidum fulgorem, et inaures, cum deformi mulieri tum pulchræ obesse. Illam enim reprehendunt, ab hac vero avertunt. Reprehendunt quidem, turpiorem ostendendo ; abducunt vero a pulchris, cum de illis loqui nollent, de ornatu nimio tamen verba faciunt.

Λίαν ἄγαμαι τὴν παλαιὰν Λακεδαίμονα, κοσμεῖσθαι ἀπαγορεύσασαν ταῖς σώφροσι τῶν γυναικῶν· ἑταίραις γὰρ πρέπειν τοῦτ' ἐνόμισε, ταῖς καὶ πάγας καὶ δίκτυα ἐπὶ θήρᾳ τῶν ἀκολάστων νέων ἐπινοούσαις. Ἡ γὰρ κοσμία καὶ σώφρων εἶναι δοκοῦσα, εἰ τοῦτο δράσειε, τὴν οἰκείαν ἐκπομπεύει νόσον. Ἅπερ ἀποκηρύττουσα ἡ θεία Γραφὴ παραινεῖ, μὴ χρυσῷ καὶ μαργαρίταις, ἢ ἐσθῆτι πολυτελεῖ, ἀλλ' ἔργοις ἀγαθοῖς κοσμεῖσθαι τὰς τῆς θεοσεβείας ἐφιεμένας. Εἰ δὲ χρὴ καὶ αὐτὸ τὸ πρᾶγμα καθ' ἑαυτὸ σκοπῆσαι, φημὶ (41), ὅτι ὅρμοι, καὶ αὐγαὶ λίθων, καὶ περιδέρραια καὶ ταῖς δυσειδέσι, καὶ ταῖς ἄγαν ὡραίαις ἀντιπράττουσι· τὰς μὲν γὰρ ἐλέγχουσι, τῶν δὲ ἀπάγουσι· τὰς μὲν ἐλέγχουσι, κακίονας ἐπιδεικνυμένας· τῶν δὲ ἀπάγουσιν. Ἀφέμενοι γὰρ τοῦ περὶ αὐτῶν
D φράσαι, περὶ τῶν κοσμίων διαλέγονται.

CCI. — ELAPHIO EPISCOPO.

ΣΑ'. — ΕΛΑΦΙΩ ΕΠΙΣΚΟΠΩ.

Officii sui admonendos esse concionatores, eleganti suadet epist. quorum prædicatio ut « in persuasibilibus humanæ sapientiæ verbis, non in ostensione spiritus et virtutis. » (*I Cor.* II, 4.)

Vehemens dicendi studium mentes hominum mire hoc sæculo invasit, Sermonum, inquam, studium, non qui ad prudentiam, sed ad voluptatos legas, id est, *irritus*, *abrogatus*, *abdicatus*. SCHOTT.

Δεινὸς λόγων ἔρως ταῖς τῶν ἀνθρώπων ψυχαῖς εἰς τοῦτον τὸν καιρὸν ἐπεκώμασε· λόγων δὲ, φημὶ, οὐ τῶν σωφρονίζειν, ἀλλὰ τῶν τέρπειν τοὺς ἀκούοντας

[62] I Tim. II, 9.

VARIÆ LECTIONES ET NOTÆ.

(40) Ἄθλος ἐγένετο. Suspicor leg. ὔθλος, *ineptiæ*, ne vox denuo repetatur, dicatque, *nisi ecclesiasticis sanctionibus ludos fecerit*. Vel, ἄθλος, privandus scilicet gradu presbyterii, aut sacris arcendus : ut de Zosimo ep. 12 et 569, pag. 283. Quid si ἄθε-

(41) Pro φημὶ codd. Vat. 650 et Alt. scribunt φήσαιμι et vers. seq. pro ὡραίας, ὡραίαις. Possin.

Digitized by Google

δυναμένων, οὐ πνευματικῶν, ἀλλὰ σοφιστικῶν· οὐκ ἀποστολικῶν, ἀλλὰ Δημοσθενικῶν· οὐ προφητικῶν, ἀλλ' ἐριστικῶν· οὐ τῶν τὴν ψυχὴν εὐφραῦναι δυναμένων, ἀλλὰ τῶν τὴν ἀκοὴν θέλγειν εἰωθότων· οὐ τῶν διὰ τοῦ ἐμπνεῖσθαι ὑπὸ τῶν πράξεων τοῦ λέγοντος ζώντων, ἀλλὰ τῶν διὰ τὴν εὐγλωττίαν εἰς ἀκοὰς νεκρὰς ἐνηχουμένων. Τί οὖν ποιητέον; σιωπητέον, καὶ οὐδὲν λεκτέον; ἀλλ' ἐπικίνδυνον. Ἀλλὰ ῥητέον; ἀλλ' οὐκ εἰς ὠφέλειαν ὁ λόγος καὶ ἔργων ἐπίδειξιν, ἀλλ' εἰς κρότον μόνον τελευτᾷ· ἀλλ' εἰ καὶ οὕτω ταῦτα ἔχει, ἄμεινον, ὡς οἶμαι, εἰπόντα μὴ ἀκουσθῆναι, ἢ μὴ εἰπόντα ἐγκληθῆναι· « Διατί τὸ ἀργύριόν μου οὐ κατέβαλες ἐπὶ τοὺς τραπεζίτας, κἀγὼ ἐλθὼν ἀπῄτησα ἂν αὐτὸ σὺν τῷ τόκῳ; » Λεγέτω τοιγαροῦν ὁ δυνάμενος, ἵνα πρὸς τοὺς ἀκούοντας ᾖ τῷ κριτῇ ὁ λόγος.

tem delectationemque auditoribus ingenerandam valent: non de rebus spiritualibus habiti, sed de fallacibus; non de apostolicis, sed Demosthenicis; non propheticis, sed contentiosis; non de animum exhilarantibus, sed auditum demulcere solitis; non qui vivida dicentis opera inspirant, sed qui propter eloquentiam nudo ac mortuo auditu excipiuntur. Quid igitur faciendum? tacendumne? sed hoc periculosum est. An ergo loquendum? at id quod dicitur, **620** neque fructum nec operum effectum sortitur, sed in plausum abit. Sed etsi ita res habet, dicendum nihilominus est, præstatque, ut opinor, dicentem non audiri, quam non dicentem a Domino reprehendi: « Quare non dedisti pecuniam meam ad mensam, et ego veniens ad usuram exegissem illam [a]? » Peroret igitur qui potest, ne ad auditores sit judici sermo.

ΣΒ'. — ΟΛΥΜΠΙΟΔΩΡΩ.

CCII. — OLYMPIODORO.

Xenophontis de Socrate judicio et exemplo hortatur, ut relictis otiosis et inanibus contemplationibus virtutum actioni se dedat.

Ἀφέμενος, ὦ σοφὲ, τῶν μεταρσιολεσχῶν, καὶ μετεωροσοφιστῶν, καὶ λεξιθήρων, τῶν πλέον λόγων ἐχόντων μηδὲν, εἰς τὴν πρακτικὴν ἀρετὴν σαυτὸν σύντεινον, τὴν μακαρίους ἀποφαίνουσαν τοὺς ἐραστάς· εἰ δὲ οἶει ταῖς τῶν ἀρχαίων γνώμαις δίκαιον εἶναι μᾶλλον ἀκολουθεῖν, τοὺς ἄλλους τέως παρεὶς, αὐτὸν τὸν παρ' αὐτῶν σοφώτατον ἁπάντων ἀνθρώπων κηρυττόμενον, ἐγγυητὴν τῶν ἐμαυτοῦ λόγων παρέξομαι. Τί οὖν φησι Ξενοφῶν περὶ αὐτοῦ (42); « Οὐδεὶς πώποτε Σωκράτους οὐδὲν ἀσεβὲς, οὐδὲν ἀνόσιον, οὔτε πράττοντος εἶδεν, οὔτε λέγοντος ἤκουσεν. Οὐδὲ γὰρ περὶ τῆς τῶν πάντων φύσεως, ἅπερ τῶν ἄλλων οἱ πλεῖστοι διελέγοντο, σκοπῶν ὅπως ὁ καλούμενος ὑπὸ τῶν σοφιστῶν κόσμος ἔχει, καὶ τίσιν ἀνάγκαις ἕκαστα γίνεται τῶν οὐρανίων, ἀλλὰ καὶ τοὺς φροντίζοντας τοιαῦτα, μωραίνοντας ἐπεδείκνυε. Καὶ πρῶτον μετ' αὐτῶν ἐσκόπει, πότερόν ποτε νομίσαντες ἱκανῶς ἤδη τἀνθρώπινα εἰδέναι, ἔρχονται ἐπὶ τὸ τοιούτων φροντίζειν· ἢ τὰ μὲν ἀνθρώπινα παρέντες, τὰ δαιμόνια δὲ σκοποῦντες ἡγοῦνται τὰ προσήκοντα πράττειν· ἐθαύμαζε δὲ, εἰ μὴ φανερόν ἐστιν αὐτοῖς, ὅτι ταῦτα οὐ δυνατὸν ἀνθρώποις εὑρεῖν. Ἐπεὶ καὶ τοὺς μέγιστον φρονοῦντας ἐπὶ τῷ περὶ τούτων λέγειν, οὐ τὰ αὐτὰ δοξάζειν ἀλλήλοις, ἀλλὰ τοῖς μαινομένοις ὁμοίως διακεῖσθαι πρὸς ἀλλήλους. » Ταῦτα μὲν οὖν Ξενοφῶν ἔγραψεν· καὶ Πλάτων δὲ ὁ τῶν ἄλλων ἁπάντων ἐλλογιμώτερος, καὶ μάλιστα πάντων τὸν Σωκράτην ἐπιστάμενος, τὰ αὐτὰ τῷ Ξενοφῶντι διὰ πάντων ἑαυτοῦ σχεδὸν τῶν διαλόγων κατεσκεύασεν. Εἰ τοίνυν κἀκεῖνος, μᾶλλον δὲ κἀκεῖνοι, καὶ ἐπετήδευον, καὶ ἔλεγον, καὶ ἔγραφον,

Omissis, o sapiens, sublimi loquentia, meteorosophistica, ac verborum inquisitione, quæ verba, præterea nihil, continet, contende qua potes ad virtutem, quæ in actione est posita, ac sui amantes beatos reddit. At si veterum potius sententiis duci placeat, cum aliis hactenus adhæseris, eum, quem mortalium omnium sapientissimum ipsi pronuntiarunt, auctorem mei hujus dicti laudo. De quo quid, quæso, Xenophon refert? « Nemo, inquit, Socratem impium quid aut nefandum designare vidit, aut dicere audivit. Nec enim de rerum omnium natura sic disserebat, uti complures alii philosophi: nimirum considerans, quo pacto is qui a professoribus sapientiæ mundus appellatur, ortus sit, quibusque de causis necessariis singulæ res cœlestes fiant. Imo eos, qui his rebus occuparentur, fatuos esse demonstrabat. Ac primum de iis hoc considerabat, an quod rati se humana jam satis intelligere ad ea tractanda accederent, an relictis rebus humanis divinas contemplantes, quæ sui essent officii, se facere putarent. Mirabatur etiam non eos clarissime perspicere, homines hæc invenire non posse. Nec enim eos, qui plurimum arrogent sibi, quod de his disserere norint, easdem inter se opiniones fovere, sed furiosorum instar inter se comparatos esse. » Et hæc quidem Xenophon scripta reliquit. Plato quoque cæteris omnibus magis disertus in omnibus pene dialogis idem tradidit. Igitur si iste vel illi potius et statuerunt et dixerunt, scripseruntque virtutem in actione positam exercendam esse. Ipsa enim, ut et Platoni

[a] Matth. xxv, 27.

VARIÆ LECTIONES ET NOTÆ.

(42) *Lib. De dictis et factis Socratis*, init. Tradidit et Cicero de Socr. philosophiam e cœlo in terras domosque revocasse. *Tuscul.* lib. v, *Academ.* lib. i, et i lib. *De nat. deorum.* Xenophontis autem et Platonis, Socratis auditorum, an aliqua simultas fuerit, disputat Agellius lib xiv *Noct. Attic.*, cap. 3; sed refellit M. Ant. Muretus lib. v *Variar. lect.*, cap. 14, et Athenæus lib. undecimo Δειπνοσοφ. et Laertius in *Platone*. Schott.

Digitized by Google

placuit, via est optima ad pietatem ducens, et in amœnissimum desinens campum.

τὴν πρακτικὴν ἀσκεῖν· αὕτη γὰρ, ὡς καὶ τῷ Πλάτωνι δοκεῖ, καλλίστη ἐστὶν ὁδὸς, ἐπὶ τὴν εὐσέβειαν ἄγουσα, καὶ εἰς πλατεῖαν εὐρυχωρίαν τελευτῶσα.

CCIII. — CASSIANO.

ΣΓ'. — ΚΑΣΣΙΑΝΩ.

Quid differant, ἄβουλος καὶ ἀβούλητος.

Non idem est imprudentia et involuntarium ἄβουλον καὶ ἀβούλητον. Illud enim inconsiderantiam, hoc vero *invitum* et non volentem significat : et illud in agendo, hoc in patiendo **621** cernitur. Nam illud actio est inconsiderata, hoc vero coacta passio.

Οὐ ταυτὸν τὸ ἄβουλον, καὶ τὸ ἀβούλητον· τὸ μὲν γὰρ τὸ ἀπερίσκεπτον, τὸ δὲ τὸ ἀκούσιον μηνύει· καὶ τὸ μὲν εἰς τὸ πράττειν, τὸ δὲ εἰς τὸ πάσχειν βλέπει. Τὸ μὲν γάρ ἐστιν ἄσκεπτος πρᾶξις, τὸ δὲ κατηναγκασμένον πάθος.

CCIV. — AUSONIO.

ΣΔ'. — ΑΥΣΟΝΙΩ.

Quomodo recte judicium administretur. Pulchra rei judicatæ gradatio.

Omnis controversia judicio dirimatur : judicium vero accusatores examinet ; examen æquum definiat, ejusque sententia scribatur. Scripta vero confirmetur, confirmata reipsa stabiliatur. Omnis vero contentio absit, et amicitia succedat, cui nihil par est et secundum, cum ad virtutem, tum ad gloriam consequendam, ac denique ad hilaritatem atque lætitiam.

Ἡ μὲν ἀμφισβήτησις κρίσει ἀναρτάσθω· ἡ δὲ κρίσις τοὺς ἐλέγχους βασανιζέτω· ἡ δὲ βάσανος τὸ δέον ὁριζέτω· ὁ δὲ ὅρος γεγράφθω· τὰ δὲ γεγραμμένα κυρούσθω· τὰ δὲ κυρωθέντα βεβαιούσθω τοῖς ἔργοις· πᾶσά τε ἀψιμαχία οἰχέσθω, καὶ φιλία χορευέτω· ἧς ἴσον οὐδέν· καὶ εἰς ἀρετῆς, καὶ εὐδοκιμήσεως, καὶ εἰς εὐφροσύνης λόγον

CCV. — PHILETRIO.

ΣΕ'. — ΦΙΛΗΤΡΙΩ.

Amicitiæ vis. Ad nomen alludit Philetrii. (*Confer. epist.* 143.)

Ergo amicitiæ amoreque capti nomen gerens alios etiam eodem impellis? Ecce enim nos etiam longe dissitos, nullisque abs te litteris unquam acceptis, tui amore mirifice incendis, adeoque vulnerasti, ut ne momento quidem temporis tui oblivisci possimus.

Ἔμελλες ἄρα, ἢ φιλίας, ἢ τοῦ τετρῶσθαι ὑπὸ φιλίας ἐπώνυμος ὢν καὶ ἄλλους εἰς ταύτην ἐμβαίνειν. Ἰδοὺ γὰρ καὶ ἡμᾶς πόῤῥω τυγχάνοντας, καὶ μηδεπώποτε συντετυχηκότας διὰ γραμμάτων, εἰς τὴν σαυτοῦ ἀγάπην ἐξεβάκχευσας καὶ τοσοῦτον κατέτρωσας, ὡς μηδὲ πρὸς τὸ ἀκαρὲς δύνασθαι ἀμνημονεῖν.

CCVI. — DIDYMO SCHOLASTICO.

ΣϚ'. — ΔΙΔΥΜΩ ΣΧΟΛΑΣΤΙΚΩ.

Hortatur ut inter filios suos reconciliet concordiam et amorem.

Filium tuum maximum a natu minimo valde dissidere, teque ejus rei ferunt conscium, fingere tamen, quasi nescias. Deposita itaque spontanea illa ignorantia, conare, quæso, illos ad mutuum adigere amorem, ne immedicabile hinc malum exsistat. Discordia enim boni nihil gignit. Sic fiet, ut quemadmodum illos parens genuisti, sic et bene illis ut sit, efficias.

Τὸν πρεσβύτατόν σου τῶν παίδων πρὸς τὸν νεώτατον διαφέρεσθαί τινές φασι, καὶ σὲ μὲν εἰδέναι, προποιεῖσθαι δὲ μὴ εἰδέναι· θᾶττον τοίνυν ἀποθέμενος τὴν ἑκούσιον ἄγνοιαν, πειράθητι αὐτοὺς εἰς φιλίαν συναλλάξαι, μή ποτέ τι ἀνήκεστον τεχθείη κακόν· οὐ γάρ τι χρηστὸν ἡ φιλονεικία ὠδίνει· ἵν' ὥσπερ τοῦ εἶναι μετὰ τὴν πρόνοιαν αὐτοῖς κατέστης αἴτιος, οὕτω καὶ τοῦ εὖ εἶναι κατασταίης.

CCVII. — EIDEM.

ΣΖ'. — ΤΩ ΑΥΤΩ.

Vis amoris mutui.

Ut odium aliquando convicium ex hoste plausibile parit, ita contra amicitia rejicit ac velut protelat jurgium.

Ὥσπερ ἡ ἀπέχθεια εὐπαράδεκτόν πως τὴν παρὰ τῶν ἐχθρῶν ἐργάζεται λοιδορίαν, οὕτως ἡ φιλία διακρούεται ταύτην καὶ ἀκοντίζει (45).

CCVIII. — ORIONI.

ΣΗ'. — ΩΡΙΩΝΙ.

Gratulatur ad bonam reverso frugem.

Incredibiliter sum lætatus, cognito vitam te in melius commutasse, mihique persuadeo fore ut ignominiam ex male anteacta vita contractam deleas, virtutisque ornamentum brevi acquiras conciliesque decus sempiternum ; hic quidem in terris a cunctis laudandus, in altera vero vita a summo judice coronandus.

Ἥσθην ὑπερφυῶς, μαθών σου τὴν ἀρίστην μεταβολήν· καὶ πιστεύω, ὡς ἀποτρίψῃ μὲν ὡς τάχιστα τὴν ἀδοξίαν, τὴν ἐκ τῆς κακίας πρώην προσγενομένην· ἀναλήψῃ δὲ τὸν τῆς ἀρετῆς κόσμον καὶ κλέος ἀοίδιμον ἕξεις, ἐνταῦθα μὲν παρὰ πάντων ἀνακηρυττόμενος, ἐκεῖσε δὲ παρὰ τοῦ κριτοῦ στεφανούμενος.

VARIÆ LECTIONES ET NOTÆ.

(45) Ambo codd. ἀκοντίζει augent præposito ἐξ. Possin.

Digitized by Google

ΣΘ'. — ΠΕΤΡΩ ΣΧΟΛΑΣΤΙΚΩ.

CCIX. — PETRO SCHOLASTICO.

Non temere de alio judicandum.

Ἐγὼ οὐ καταψηφιοῦμαι, οὔτε καταποφανοῦμαι ἀνδρὸς, οὗ μήτε ἀκροατὴς ἐγενόμην, μήτε δικαστής· εἰ δὲ κρινόμενος ἁλοίη, τὸ τηνικαῦτα ἡ κατ' αὐτοῦ ἐξενεχθήσεται ψῆφος.

Equidem neque sententiam fero, neque **622** contra virum, quem non audierim, pronuntio, neque sedeo ejus judex. Si vero sententia lata condemnetur, contra illum tunc judicium feretur.

ΣΙ'. — ΖΩΣΙΜΩ ΠΡΕΣΒΥΤΕΡΩ.

CCX. — ZOSIMO PRESBYTERO.

Quantum scelus pauperum intervertere eleemosynas, et per luxuriam eas abligurire. (*Confer. epist.* 183, 301, 169.)

Εἰ οὐ βούλει θεραπεύειν τι, καὶ ἐπιτείνεις τῶν πενήτων τὰ τραύματα, τί τοῖς μαχομένοις τῷ δυσνουθετήτῳ καὶ δυσμάχῳ τῆς πτωχείας θηρίῳ χαλεπώτερον κατασκευάζεις τὸν ἀγῶνα, τὸν παρὰ τῶν ἐλεημόνων αὐτοῖς εἰς τροφὴν παρεχόμενον ξρανον σφετεριζόμενος; Τί ἐκ τοιούτων κερδῶν τὴν ἀκόρεστον σαυτοῦ ἐμπιπλῶν γαστέρα, νομίζεις ἀπολαύειν; Διάβλεψον μικρὸν ἀνενεγκὼν ἐκ τῆς τοιαύτης παραπληξίας. Εἰπὲ πρὸς ἑαυτόν· εἰ ὁ τὰ οἰκεῖα εἰς ἐλεημοσύνην μὴ προϊέμενος, εἰς τὸν ποταμὸν πέμπεται τοῦ πυρὸς, ἀφόρητα βασανισθησόμενος· ὁ καὶ τὰ τῶν πενήτων ἰδιοποιούμενος, τί πείσεται; Εἰ ὁ τὰ ἑαυτοῦ μὴ διδοὺς οὐ συγγνωσθήσεται, ὁ καὶ τὰ διδόμενα ἀποσυλῶν ποῦ χωρήσει; Εἰ μὲν γὰρ ὑπὸ πενίας ἀναγκαζόμενος τὴν καινὴν ταύτην ληστείαν, μᾶλλον δὲ τυμβωρυχίας χείρονα κακουργίαν ἐπενόησας, ἦν ἄν σοι καὶ ἴχνος ἀναισχύντου ἀπολογίας. Ἐπειδὴ δὲ τρυφῶν καὶ σκιρτῶν, τὰς ἀλλοτρίας συμφορὰς δέον ἐπικουφίζειν, ἐπιτρίβεις, ποία σοι λελείψεται ἀπολογία; Τίς ἔλεος; ποία συγγνώμη; Ταῦτα δάκρυσι σχεδὸν κεράσας τὸ μέλαν, ἀπέστειλα. Τάχα πως σαυτὸν μὲν γνοίης, τοὺς δὲ πένητας ἀδικῶν ἀποσταίης, τὸν δὲ κριτὴν ἐξιλάσαιο, ἡμᾶς τε ἐπὶ τῇ σαυτοῦ μετανοίᾳ εὐφροσύνης ἐμπλήσας (44).

Si ferre aliis opem non vis, quin potius pauperum adauges vulnera, quid cum ingenti atque expugnatu difficili fera mendicitate pugnam reddis difficiliorem, dum quæ a piis hominibus in alimoniam pauperum sunt relicta, ea assumendo tuum in epulum conficis? Quid ejusmodi lucris inexplebilem tuum ventrem explendo voluptatem capis? Considera paululum te ipse colligens ab illa vesania, tecum sic ratiocinando: Si qui sua pauperi non distribuit in eleemosynam, in ignium torrentes intolerandis mittitur excruciandus epulo evangelicus suppliciis [44]; qui quæ sunt pauperum sibi per nefas usurpat, ecquid patietur? Si qui sua non largitur, ei non ignoscitur, quo tandem abibit, qui ab aliis data in eleemosynam exspoliat? Si enim impia adactus novum hoc latrocinium vel potius sepulcrorum violatione scelus deterius inchoasses, esset omnibus etiam argumentum impudentis defensionis reliquum. Cum vero luxui indulgens atque insolescens alienas calamitates quas sublevare deberes easdem aggraves, ecqua tibi relicta defensio? quæ exspectanda misericordia? quæ denique venia? Hæc lacrymis propemodum miscens atramentum ad te conscripsi, ut tandem teipsum noveris, et ab injuria pauperibus inferenda cesses, ac judicem Deum placatum reddas, nosque tua resipiscentia gaudio compleas.

ΣΙΑ'. — ΘΕΟΔΟΣΙΩ ΠΡΕΣΒΥΤΕΡΩ.

CCXI. — THEODOSIO PRESBYTERO.

Virum religiosum peregrinantem commendat, ut hospitio excipiatur.

Ἀνὴρ διαφερόντως τῇ θειοτάτῃ θρησκείᾳ ἀνακείμενος, καὶ τοῖς τὰ αὐτὰ αὐτῷ μετιοῦσιν ἐντυχεῖν περὶ πολλοῦ ποιούμενος, κἀκεῖσε ἀφῖκται. Ξεναγὸς τοίνυν ἀγαθὸς αὐτῷ γενοῦ· ἵνα σέ τε καὶ τὰς ἄλλας τῆς ἀρετῆς θεασάμενος εἰκόνας, ἐμπλήσῃ τὸν οἰκεῖον ἔρωτα.

Hic vir divinæ religionis, ut incidat in eos, qui eamdem tenent, ad vos proficiscitur. Esto itaque bonus illi ac benignus hospes, ut te tuasque intuitus virtutes amore complectatur.

ΣΙΒ'. — ΑΥΣΟΝΙΩ ΚΟΡΡΗΚΤΩΡΙ.

CCXII. — AUSONIO CORRECTORI.

Rustici causam commendat, quem rabula quidam rure ad forum extraxerat.

Ἐπειδὴ ἀνήρ τις ἀγοραῖος (45), πράγματα βουλόμενος παρασχεῖν ἀνθρώπῳ ἀπραγμοσύνῃ συζῶντι, εἵλκυσεν αὐτὸν εἰς δικαστήριον· καταξίωσον, θᾶττον μὲν κωλύσαι τοῦτον ἀδικῆσαι· χαριῇ γὰρ αὐτῷ· τὸν δὲ εἰς τὴν ἀγροικίαν πέμψαι, τῆς φίλης γεωργίας τὴν ἀντίδοσιν ἀσπασόμενον.

Quando causidicus quidam negotium lavescere studens quiete ac tranquille degenti in jus eum extraxerit, digneris quam primum ipsius injurias coercere. Gratum id enim illi accidet. Hunc vero rus mitte, gratæ ipsi agriculturæ remunerationem acceptarum.

[44] Luc. xvi, 25.

VARIÆ LECTIONES ET NOTÆ.

(44) Pro ἐμπλήσας iidem legunt, ἐμπλήσειας. Pussin.

(45) Scribo ἀγόραιος, non ut editum Gr. ἀγοραῖος. Ammonius enim de vocum differentiis, sive quis alius auctor est: Ἀγόραιος σημαίνει τὸν πονηρὸν ἐν ἀγορᾷ κεσχαμμένον (?)· ἀγόραιος δὲ τὸν ἐν ἀγορᾷ τιμώμενον. Sed id non videtur servari usquequaque, ut epist. 185, pag. 96, v. 13. Schott.

Digitized by Google

623 CCXIII. — ZOSIMO PRESBYTERO.

ΣΙΓ'. — ΖΩΣΙΜΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Exemplis potius quam verbis suadendum. (*Confer. epist.* 233, 508.)

Non verbis, bone vir, inescandi auditores, sed reipsa et exemplis, qui nos cernunt trahendi. Mores enim persuadentis venerandi sunt, non oratio. Illi enim spectantes flectunt, hæc vero auditores fatigat. Igitur, quod dicere volebam, nunc efferam. Vir quidam virtute ornatus valde tibi indignatur, multa quidem referens, unum vero admirans, quomodo, cum Ecclesiæ sis probrum, vitam immaculatam ex orationibus æstimari sustineas. Si enim quæ sua sunt, inquit, confert, petat; si vero et alios inquinare ex turpibus suis potest actionibus, qua de causa id optat consequi, quod habere nolit? Equidem rubore suffundebar audiens, terramque aspiciebam, ac ne os quidem aperire poteram. Verum, qui aderant, claris illum applausibus honorabant, unum causati, non potuisse inscitiam tuam pro merito deprædicare: tu itaque videto, qua ratione hanc reprehensionem depellas.

Οὐ τῇ φράσει χρὴ, ὦ βέλτιστε, καταγοητεύειν τοὺς ἀκροωμένους, ἀλλὰ τῇ πράξει χειροῦσθαι τοὺς θεωμένους· ὁ τρόπος γάρ ἐστι τοῦ πείθοντος ὁ αἰδέσιμος, οὐχ ὁ λόγος. Ὁ μὲν γὰρ δυσωπεῖ, ὁ δὲ ἐνοχλεῖ. Τί τοίνυν βούλομαι εἰπεῖν, φράσω· Ἀνήρ τις τῶν ἀρετῇ κεκοσμημένων, πολὺς ἔρρει κατὰ σοῦ, πολλὰ μὲν φράζων, ἓν δὲ θαυμάζων, πῶς κηλὶς ὢν τῆς Ἐκκλησίας, ἀκηλίδωτον βίον ἐν ταῖς εὐχαῖς λαβεῖν ἀξιοῖς. Εἰ μὲν γὰρ τὰ παρ' ἑαυτοῦ, φησὶν, εἰσφέρει, αἰτείτω· εἰδὲ καὶ ἄλλους μιαίνει ἐκ τῶν αἰσχίστων αὐτοῦ πράξεων οἷός τέ ἐστι, δι' ἣν αἰτίαν τοῦτο εὔχεται λαβεῖν, ὃ ἔχειν οὐ θέλει; Ἐγὼ μὲν οὖν ἠρυθρίων ἀκούων, καὶ προσεῖχον εἰς γῆν, καὶ οὐδὲ διᾶραι τὸ στόμα ἴσχυον· οἱ δὲ παρόντες κρότοις ἐκεῖνον ἐστεφάνουν λαμπροῖς, ἓν μόνον αἰτιώμενοι, τὸ μὴ δεδυνῆσθαι ἐπαξίως τῆς σῆς ἀπαιδευσίας φράσαι· Αὐτὸς οὖν σκόπει, ὅπως ταύτην ἀποτρίψῃ τὴν κωμῳδίαν.

CCXIV. — PAULO PRESBYTERO.

ΣΙΔ'. — ΠΑΥΛΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Non de levibus futilibusque rebus conciones habendæ. (*Conf. epist.* 119, 201 *et* 253. *In loquendo considerandum.*)

Cave exilia falsaque, sed potius quæ dictu digna sunt, passim narres. Plerique enim nugari te putantes, et cito abeunt, et facile culpant, citoque persuadent.

Μὴ περὶ μικρῶν καὶ φαύλων, ἀλλὰ περὶ ὧν λέγειν ἄξιον τοῖς ἐντυγχάνουσι φράζε. Φλυαρεῖν γάρ σε νομίζοντες πολλοὶ, καὶ ἀποφοιτῶσι ταχέως, καὶ αἰτιῶνται ῥᾳδίως, καὶ πείθουσιν ὀξέως.

CCXV. — DANIELI PRESBYTERO.

ΣΙΕ'. — ΔΑΝΙΗΛ ΠΡΕΣΒΥΤΕΡΩ.

Ne malorum felicitate in hoc sæculo offendatur, sed hinc certitudinem extremi judicii credat. (*Conf. epist.* 103, 116.)

Ne te a cœpto virtutis, o bone vir, avertat tramite, quod Zosimus impurus Deoque invisus, ut scribis, sacris initiari ausus fuerit, vel sacrificare audeat: quin potius hoc ad confirmandum fide valeat futurum omnino judicium, quo secundum opera cuique reddetur. Si enim hic omnes promerita acciperent, impii quidem pœnas, justi vero præmia virtutis, supervacaneum esset judicium. Si quidem multi mali in hoc mundo agunt feliciter: contra vero justi sæpe adversis conflictantur. Id ipsis tumultum concitat, quod turbam tumultumque tollere deberet merito, quod pro merito cuique distribuitur. Neque enim justus foret Deus, qui hæc futura proviserit, nisi verborum, actionum, atque cogitationum rationem postea redderemus, et his quidem præmia, illis vero pœnas decerneret.

Μή σου, ὦ μακάριε, τὸν εἰς τὴν ἀρετὴν δρόμον (46) τὸ μιαρὸν καὶ θεομισῆ, ὡς γέγραφας, Ζώσιμον ἱεράσθαι τολμᾷν· ἀλλ' αὐτὸ τοῦτό σε μᾶλλον ῥωννύτω εἰς τὸ πιστεύειν πάντως εἶναι κρίσιν, ἐν ᾗ ἑκάστῳ τὸ πρόσφορον ἀπονεμηθήσεται. Εἰ γὰρ πάντες ἐνταῦθα ἀπελάμβανον τὰ προσήκοντα, οἱ μὲν τὰς ἀμοιβὰς, οἱ δὲ τἀπίχειρα, περιττὸς ἦν ὁ τῆς κρίσεως λόγος. Ἐπειδὴ δὲ πολλοὶ μὲν φαῦλοι εὐημεροῦσι, πολλοὶ δὲ σπουδαῖοι παρευημεροῦνται, αὐτὸ τοῦτο δ τὸν θόρυβον ποιεῖ, τοῦ θορύβου καὶ τῆς ταραχῆς ὀφείλει εἶναι ἀναιρετικὸν, ὅτι ἑκάστῳ τὸ πρέπον ἀποδοθήσεται. Οὐ γὰρ ἂν δίκαιος ὢν ὁ Θεὸς ταῦτα περιεῖδε γινόμενα, εἰ μὴ ἔμελλε καὶ λόγων καὶ πράξεων καὶ ἐννοιῶν μετὰ ταῦτα ἀπαιτεῖν εὐθύνας· καὶ τοῖς μὲν τιμὰς, τοῖς δὲ τιμωρίας ὁρίζειν.

CCXVI. — STRATEGIO MONACHO.

ΣΙϚ'. — ΣΤΡΑΤΗΓΙΩ ΜΟΝΑΖΟΝΤΙ.

Promittit se invisurum amicos in monasterio. (*Infr. epist.* 494.)

Jam me, cum bono Deo dicam, in monasterio exspecta. Accedam enim, ut antea omnem 624 Dei cultum inspiciam, et per omnia admirandum Theodosium jam pridem amicum factum, honore maximo complexurus.

Ἤδη με, σὺν Θεῷ δὲ εἰρήσθω, προσδόκησον ἐν τῷ μοναστηρίῳ· ἥξω γὰρ τὴν σὴν πρό γε πάντων ὀψόμενος θεοσέβειαν, καὶ τὸν διὰ πάντα θαυμάσιον Θεοδόσιον, διὰ μακροῦ (47) φίλον ὄντα, καὶ σφόδρα ἡμῖν τετιμημένον, περιπτυξόμενος.

VARIÆ LECTIONES ET NOTÆ.

(46) Inter δρόμον et τὸ inserunt ambo codd. ἐκκοπτέτω. Possin.

(47) Pro διὰ μακροῦ codd. Vat. 650 et Alt. scribunt μικροῦ.

Digitized by Google

ΣΙΖ'. — ΑΡΠΟΚΡΑ ΣΟΦΙΣΤΗ.

CCXVII. — HARPOCRÆ SOPHISTÆ.

De variis rhetorum dicendi generibus. (*Confer. epist.* 145.)

Τῶν συγγραφέων οἱ μὲν αἰσχρὸν ἡγοῦνται μὴ σαφῶς εἰπεῖν, οἱ δὲ ἐν τῇ ἀσαφείᾳ τίθενται τὴν ἰσχύν, καὶ οἱ μὲν τιμῶσι τὸ μέτριον, οἱ δὲ ἔξω φέρονται τῶν καιρῶν· οἱ μὲν τῶν ἠκριβωμένων ὤτων στοχάζονται, τοῖς δὲ ἀρκεῖ τὰ μειράκια σεῖσαι· καὶ οἱ μὲν ἀμείνονες εἰς προοιμίου χρείαν, οἱ δὲ ἐν παραδείγμασίν εἰσι πλούσιοι· οἱ μὲν οἶκτον ἐμβαλεῖν δεινοί, οἱ δὲ θυμόν· τῶν μὲν τὸ βραδὺ λυπηρόν, τῶν δὲ τὸ ταχὺ τερπνόν· οἱ μὲν ὕπνον ἐμποιοῦσι, μιᾷ καταχρώμενοι ἰδέᾳ, οἱ δὲ καὶ ἀφαιροῦσι ταῖς μεταβολαῖς. Χρὴ τοίνυν τὸν βασανίσαι συγγράμματα δεινὸν, πάσης καὶ χάριτος καὶ ἀπεχθείας ὄντα κρείττονα, ἑκάστου συγγραφέως καὶ τὴν κακίαν καὶ τὴν ἀρετὴν εἰδέναι· καὶ τῇ μὲν ψηφίσασθαι, τῇ δὲ μέμ- B ψασθαι.

Scriptorum rhetorumque hi quidem turpe ducunt obscure dicere : alii in obscuritate decus collocant ; et alii medium tenent ; alii modum excedunt. Quidam acutis audiunt auribus ; alii contenti sunt adolescentes movisse. Nonnulli exordiis utentes præstant, exemplis alii abundant. Commiserationem quidam norunt incutere, iram alii. Quidam tarditate displicent, alii celeritate placent. Alii unica dicendi forma somnum conciliant, alii celeritate eumdem excutiunt. Decet itaque eum, qui scripta aliorum sit exploraturus, amore atque invidia non superari, omnique adeo scriptori vitium juxta ac virtus cognoscenda : hanc quidem laudando, illam vero vituperando.

ΣΙΗ'. — ΑΦΘΟΝΙΩ.

CCXVIII. — APHTONIO.

Virginitas et fornicatio duo extrema, conjugium medium, sed virginitate inferius. (*Confer. epist.* 253).

Καὶ ἡ παρθενία, ὦ βέλτιστε, καὶ ἡ πορνεία τὰ μέτρα τοῦ νόμου ἐξέβησαν, ἀλλ' οὐκ ἐπὶ τοῖς αὐτοῖς. Ἡ μὲν γὰρ ὑπερέπτη, ἡ δὲ παρέβη. Καὶ ἡ μὲν τὰ κοῦφα καὶ ἀνωφερῆ, καὶ τὸν οὐρανὸν πολοῦντα, ἡ δὲ τὰ κατωφερῆ καὶ βαρέα σώματα ἐμιμήσατο· ἡ μὲν διώκει τὰ μεταβολῆς κρείττονα, ἡ δὲ ἐκείνα, ὧν ἡ μεταβολὴ συμφυὴς, καὶ ἡ κόλασις σύντροφος· ὁ δὲ τίμιος γάμος τούτων ἑκατέρων μέσος τυγχάνων, τῆς μὲν ἐστι κατώτερος πολλῷ, τῆς δὲ ἀνώτερος C πλέον, ἢ ὅσον αὐτὸς τῆς παρθενίας ἐστὶ ταπεινότερος. Διὸ καὶ τῆς μὲν στεφανουμένης, τῆς δὲ κατακρινομένης, οὗτος σύμμετρον ἔχει τὸ ἐγκώμιον.

Virginitas, bone vir, ac fornicatio legis excedunt modum, etsi non eodem modo. Illa enim supergraditur ; hæc transgreditur. Illa, ut levia solent, sursum fertur, in cœlumque tendit : hæc deorsum rapitur, gravia imitans corpora. Illa sectatur mutationi non obnoxia, hæc mutationi cognata, ac potius obnoxia. Matrimonium his duobus interjectum ; alio quidem inferius est, altero vero sublimius. Virginitate enim conjugium minus est et humilius. Hac enim coronata, et fornicatione judicio condemnata, matrimonium suam etiam laudem consequitur.

ΣΙΘ'. — ΘΕΟΔΩΡΩ ΔΙΑΚΟΝΩ.

CCXIX. — THEODORO DIACONO.

Cum suas partes egerit in Zosimo sodalibusque ejus admonendis, iniquum esse probat sibi imputari, quod admonitionibus non sit relictus locus. (*Confer. epist.* 20 *et* 220.)

Εἰ λόγους ἔφασκον ἔχειν πάσης κακίας ἀναιρετικοὺς, εἰκότως ἂν εἶχον ἀλαζονείας αἰτίαν. Εἰ δὲ τοῦτο μάλιστα πάντων ἐπίσταμαι, ὅτι τοῦ μὲν παραινοῦντός ἐστι τὸ εἰπεῖν τὰ βέλτιστα· τοῦ δὲ συμβουλευομένου τὸ πεισθῆναι. Ὁ μὲν γὰρ τοῦ λέγειν, ὁ δὲ τοῦ πράττειν Κύριός ἐστι· τί παρεὶς συγγινώσκειν, εἴγε ἀποδέξασθαι μὴ βούλοιο, αἰτιᾷ D τὸν τόγε αὐτοῦ μέρος κατορθώσαντα ; εἰ δὲ μηδ' οὕτω καταδέχῃ, ὥρα σε καὶ τὴν ἄῤῥητον σοφίαν αἰτιάσασθαι, τὴν μήτε τοὺς ἀποστατήσαντας Ἰουδαίους, μήτε τὸν προδότην πείσασαν. Τοσοῦτον γὰρ ἀπέσχον τοῦ πεισθῆναι, ὅτι ὁ μὲν προὔδωκεν, οἱ δὲ ἐσταύρωσαν. Εἰ δὲ καὶ μὴ πείσασα καὶ σώσασα, παρὰ πάντων ἀνακηρύττεται· ἀπὸ γὰρ τῆς προαιρέσεως, οὐκ ἀπὸ τῆς ἐκβάσεως τὰ πράγματα κρίνεται· τί αἰτιᾷ τὸν τοσαῦτα πεποιηκότα, καὶ μὴ δυνηθέντα πεῖσαι Μαρτινιανόν τε καὶ Ζώσιμον, καὶ Μάρωνα, καὶ Εὐστάθιον ἀποσχέσθαι κακίας ; Τοσοῦτον γὰρ ἀπέχω τοῦ ἐρυθριᾷν ἐπὶ τούτῳ (καίτοι ἐρυθριᾷν (48) παντὸς μᾶλλον, ὡς γε ἐμαυτὸν, ἐν οἷς τὸ ἐρυθριᾷν καλὸν, ἐπιστάμενος), ὅτι καὶ σεμνύνομαι ἐπὶ τῷ

Si sermones habere me dixissem malitiam omnem tollentes, merito gloriandi ansam haberem. Si vero illud omnium ipse probe novi, adhortantis quidem esse optima dicere ; ejus vero, cui persuadetur, aures accommodare et reddere : quare si quando laudare nolles, saltem ignoscere deberes. Vituperas enim eum qui quæ suarum erant partium explevit. Si enim nec hoc fateris, jam et ineffabilem Dei sapientiam reprehendere poteris, quæ nec apostatanti genti Judaicæ, nec Judæ proditori persuasit. **625** Tantum enim aberat ut persuaserit, ut hic quidem vendiderit, illa vero natio cruci affixerit. Si vero divina illa sapientia quæ neque illis persuasit, neque eos salvavit, ab omnibus laudetur (a consilio enim, non ab eventu res judicantur), quid accusas conantem et non valentem persuadere Martiniano, Zosimo, et Maroni atque Eustathio, ut ab improbitate desistant ? Tantum absum ut propterea erubescam magis quam quisquam alius, si mihi ipsi non persuadeam illa, in quibus erubescere pulchrum esse scio, ut etiam glorier in hoc, ut ex parte sal-

VARIÆ LECTIONES ET NOTÆ

(48) Pro ἐρυθριᾷν solus cod. Alt. scribit, ἐρυθρίων ἄν. Possin.

Digitized by Google

tem passionum Christi Domini possim esse particeps. A κἂν ἐκ μέρους τοῖς Δεσποτικοῖς πάθεσι κεκοινωνηκέναι.

CCX. — EUTONIO DIACONO.

ΣΚ'. — ΕΥΤΟΝΙΩ ΔΙΑΚΟΝΩ.

De Zosimi et Maronis vitiis iterum, et de Judaica perfidia. (*Vide sup. et epist.* 20, *De Juda proditore.*)

Si quodvis supplicio dignum scelus committunt, et impura quæque verba proferunt Zosimus et Maron, atque in optimum quemque incurrunt: quæ neque dicenda, neque re sint exsequenda dicentes pariter et agentes: noli existimare ultionem a Deo negligi, mirare potius longanimitatem divini numinis ad pœnitentiam ipsos invitantem, et excusationem præcisam, verum enimvero post non diu vel in hac vita, vel in altera gravi eos supplicio insequentem. Si enim qui ante diluvium nefanda patrantes [46], vel in Sodomis immane peccantes [47], aut si in Dominum insanientes rabie Judæi impuniti abierunt, abibunt et isti. Si vero illorum alii sunt fluctibus obruti, alii igni ac bello exstincti perierunt, ut omnes cum priores tum futuras tragœdias obscurarint, etiam hic ultimas has patientur, pœnas. Cur igitur nihil id facis, quasi sint impuniti? Ibi enim pœnas daturos notum, veritate ita pronuntiante: « Tolerabilius erit terræ Sodomorum et Gomorrhæorum in die judicii, quam civitati illi [48]: quia Jerusalem persecuta est veritatis præcones. Hæc ideo retuli, tanquam sint illi gravius puniendi, Sodomitæ vero remissius ac mitius, non modo quia in hac vita pœnas pependerunt, sed et quia contra naturam vino ac libidine sunt debacchati. Judæi vero adversus naturæ Dominum deliquerunt.

Εἰ μηδὲν μετ' ἀκολασίας (49) ἔργον ἄπρακτον, μήτε λόγον αἰσχρὸν ἄρρητον, ὡς φῄς, παραλελοιπότες Ζώσιμός τε καὶ Μάρων, ἔτι καὶ κατὰ τῶν ἀρίστων ἐπιφύονται, ἃ μήτε λόγῳ ῥητὰ, μήτε ἔργῳ φορητὰ καὶ φράζοντες καὶ πράττοντες· μὴ τῆς θείας δίκης ἀμέλειαν καταψηφίσῃ, ἀλλὰ θαύμαζε αὐτῆς τὴν μακροθυμίαν, τὴν νῦν μὲν εἰς μετάνοιαν αὐτοὺς καλοῦσαν, καὶ τὴν ἀπολογίαν ἀποτεμνομένην, μικρὸν δὲ ὕστερον ἢ ἐνταῦθα, ἢ ἐκεῖ κολάσει σφοδροτάτῃ αὐτοὺς μετελευτομένην. Εἰ μὲν γὰρ οἱ πρὸ τοῦ κατακλυσμοῦ ἃ μὴ θέμις δράσαντες, ἢ ἐν Σοδόμοις ὑπερόρια πταίσαντες, ἢ οἱ κατὰ τοῦ Δεσπότου ἐπιλυτήσαντες Ἰουδαῖοι ἀτιμώρητοι διέφυγον, διαφεύξονται καὶ οὗτοι. Εἰ δὲ ἐκείνων ἐνταῦθα οἱ μὲν κατεκλύσθησαν, οἱ δὲ πυρὸς, οἱ δὲ πολέμου ἔργον γεγένηνται, ὡς πάσας καὶ τὰς ἔμπροσθεν, καὶ τὰς μετὰ ταῦτα ἀποκρύψαι τραγῳδίας, κἀκεῖσε δὲ τὰς ἐσχάτας πείσονται τιμωρίας· δι' ἣν αἰτίαν ὀλιγωρεῖς, ὡς ἀτιμωρήτων τούτων ὄντων; Ὅτι γὰρ κἀκεῖ δώσουσι δίκην, δῆλον, ἐκ τοῦ τὴν ἀλήθειαν εἰρηκέναι. « Ἀνεκτότερον ἔσται γῇ Σόδομων καὶ Γομόρρων, ἢ τῇ πόλει ἐκείνῃ, » τῇ διωξάσῃ δηλονότι τοὺς τῆς ἀληθείας κήρυκας· τοῦτο δὲ εἶπεν, ὡς ἐκείνων μὲν ἀργαλεωτέραν δωσόντων δίκην, Σοδομιτῶν δὲ ἡμερωτέραν, οὐ μόνον διὰ τὸ κἀνταῦθα δεδωκέναι, ἀλλὰ καὶ διὰ τὸ τοὺς μὲν κατὰ τῆς φύσεως πεπαρῳνηκέναι, τοὺς δὲ κατὰ τοῦ Δεσπότου τῆς φύσεως λελυττηκέναι.

CCXXI. — EIDEM.

ΣΚΑ'. — ΤΩ ΑΥΤΩ.

De pœna hujus et alterius vitæ. (*Ex hac et superiore epist. conflata epist.* 203, *lib.* III.)

Scito, bone vir, quod si leviter ac tolerabili modo curatuque facile peccavimus, ideoque adversi quid patimur, tunc crimina detergimus. Gravia vero atque immodica patrantes, in altera etiam vita luemus. **626** Levius tamen ac mitius, si quid hic patimur adversi; gravius vero, si nihil hic passi vita decedimus. Verum ne me dicas veluti narrare, ac non demonstrare, testibus utendum est necessariis. Divinus itaque Paulus de iis, qui hic delicta luunt, testis omni exceptione major, redarguens eos, qui indigne sacramenta perceperant: « Ideo, inquit, inter vos multi infirmi et imbecilles, et dormiunt multi. Quod si nosmetipsos dijudicaremus, non utique judicaremur. Dum judicamur autem, a Domino corripimur, ut non cum hoc mundo damnemur [49]. » Illud etiam igni excruciato diviti dictum ab Abrahamo eodem pertinet: « Fili, recordare quia recepisti bona in vita tua. Lazarus similiter mala [50]. »

Ἴσθι, ὦ ἀγαθὲ, ὅτι εἰ οἱστὰ καὶ φορητὰ καὶ εὐΐατα πταίσοιμεν, καὶ πάθοιμέν τι ἐνταῦθα δεινὸν, ἀποτριβόμεθα τὰ πταίσματα· εἰ δὲ ἀπάνθρωπα καὶ δεινὰ, κἀκεῖσε τιμωρηθησόμεθα, κουφότερον μὲν, εἰ κἀνταῦθά τι πάθοιμεν, βαρύτερον δὲ, εἰ ἀπαθεῖς ἀπέλθοιμεν· ἀλλ' ἵνα μὴ λέγειν ἔχοις ὡς αὐτὴ ἀπόφασίς ἐστι καὶ οὐκ ἀπόδειξις, διὰ μαρτυριῶν ἀξιοχρέων βαδιεῖται ὁ λόγος. Περὶ οὖν τῶν ἐνταῦθα ἀποτριβομένων τὰ πταίσματα, μάρτυς παραγραφὴν μὴ ἐπιδεχόμενος ὁ θεσπέσιος Παῦλος, λέγων περὶ τῶν ἀναξίως τῶν μυστηρίων μετειληφότων· « Διὰ τοῦτο ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς καὶ ἄῤῥωστοι, καὶ κοιμῶνται· ἱκανοί· εἰ γὰρ ἑαυτοὺς διεκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα· κρινόμενοι δὲ, ὑπὸ Κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν. » Καὶ τὸ εἰρημένον δὲ πρὸς τὸν Ἀποτηγανιζόμενον πλούσιον, ταύτης ἐστὶ τῆς ἐννοίας, ὅτι « Ἀπέλαβες τὰ ἀγαθά σου ἐν τῇ ζωῇ σου, ὁμοίως δὲ καὶ

[46] Gen. VI, 1 seqq. [47] Gen. XIX, 1 seq. [48] Matth. X, 15. [49] I Cor. XI, 30-32. [50] Luc. XVI, 25.

VARIÆ LECTIONES ET NOTÆ.

(49) Pro μετ' ἀκολ. codd. Vat. 650 et Alt. habent μήτ' ἀκ. Possin.

Digitized by Google

Λάζαρος τὰ κακά· » τουτέστιν, Εἰ πέπρακταί σοί τι χρηστὸν, τοῦτ' ἀπείληφας, τρυφήσας καὶ μηδεμιᾶς πειραθεὶς μεταβολῆς. Εἰ δέ τι κἀκείνῳ πεπλημμέληται, τοῦτ' ἀπείληφεν ἐν τῇ ἀπαραμυθήτῳ πενίᾳ δεδαπανημένος· περὶ δὲ τῶν κἀνταῦθα δεδωκότων δίκην, κἀκεῖ δωσόντων, αὐτὸς ὁ κριτὴς ἐν Εὐαγγελίοις ἀπεφήνατο· « Ἀνεκτότερον ἔσται γῇ Σοδόμων καὶ Γομόῤῥων, ἢ τῇ πόλει ἐκείνῃ. » Καίτοι κἀνταῦθα δεδώκασι δίκην καὶ Σοδομῖται καὶ Ἰουδαῖοι, οἱ μὲν πυρὶ δαπανηθέντες, οἱ δὲ πολέμῳ καὶ λιμῷ παραδοθέντες, καὶ εἰς τοσαύτην ἀπορίαν καταστάντες, ὡς καὶ τῶν οἰκείων γεύσασθαι παίδων· πάντως γὰρ ὑπ' ὀδόντας ἐλθεῖν ἡ ἀνάγκη ἐξεβιάσατο. A

Quasi diceret? Si quid boni in vita fecisti, hoc recepisti deliciando, nullamque exspectas mercedem. Si quid vero a Lazaro humanitus est commissum, expiatum id ab inconsolabili inopia propemodum absumpto. De iis vero qui hic pœnas dederunt, luent vero et in altera vita, testatur et ipse judex in Evangeliis : « Tolerabilius erit terræ Sodomorum et Gomorrhæorum, quam civitati illi [81]. » Etsi vero luerunt et hic Sodomitæ atque Judæi, illi quidem cœlesti igne consumpti; hi vero bello et fame attriti, ad eam, inquam, adacti ciborum penuriam, ut et liberos obsessi a Romanis devorarint. Omnia enim ut dentibus vorarent, summa compulit egestas.

ΣΚΒ'. — ΤΩ ΑΥΤΩ.

CCXXII. — EIDEM.

De eadem re, in mercedis distributione. (*Vide epist.* 78, 302.)

Ὅπερ πρώην περὶ τῶν ἁμαρτημάτων ἔφην, τοῦτο νῦν περὶ τῶν κατορθωμάτων ἐρῶ· ὅτι μικρὰ καὶ εὐτελῆ κατορθώσας, εἴ ἀπολαύσει τινὸς χρηστοῦ ἐνταῦθα, ἀφέξει τὸν μισθόν· Εἰ δὲ μεγάλα καὶ ὑπερφυῆ καὶ ἀξιοθαύμαστα, κἀκεῖσε ἀπολήψεται, μετρίως μὲν, εἰ κἀνταῦθα ἀπείληφε. Τὸ γὰρ ἐνταῦθα λαβεῖν ὑποτέμνεται μισθοῦ μέρος οὐ μικρόν· ὑπερβαλλόντως δὲ, εἰ μὴ ἀπείληφεν. Καὶ εἰ βούλει, διὰ παραδείγματος σαφηνίσω τὸ λεγόμενον. Ἔστωσαν ὑποθέσεως χάριν δύο δίκαιοι, ἄκροι τὴν ἀρετήν· ἀλλ' ὁ μὲν ἐνταῦθα πλουτείτω, ὁ δὲ πενέσθω· ὁ μὲν δοξαζέσθω, ὁ δὲ ὑβριζέσθω· ὁ μὲν παρὰ πάντων ἐπαινείσθω, ὁ δὲ κωμῳδείσθω. Ἆρα ἀπελθόντες ἐκεῖ τὸν ἴσον λήψονται στέφανον; Οὔ φημι ἔγωγε, καίτοι ἴσους γε ἑαυτοὺς ἔφαμεν εἶναι κατὰ τὸν τῆς ἀρετῆς λόγον· ἀλλ' ἡ τοῦ ἐνταῦθα βίου ἀνωμαλία τὴν ἰσότητα τῆς ἀρετῆς εἰς τὸ ἄνισον καταστήσει· οὐ τοῦ ἀδεκάστου κριτοῦ ἄδικον ψηφιουμένου, ἀλλὰ τῷ μὲν κἀνταῦθα κἀκεῖ τὸν μισθὸν συμμετρησομένου, τῷ δὲ ἄκρατον τὴν εὐφροσύνην βεβαιώσαντος· δίκαιον γὰρ τοσαῦτα μὲν κατορθώσαντα, μὴ τῶν αὐτῶν δὲ ἀπολαύσαντα, μείζονι καὶ λαμπροτέρῳ κοσμηθῆναι στεφάνῳ. Οὐ μόνον δὲ ἐπὶ τῶν κατορθωμάτων, ὦ μακάριε, ἀλλὰ καὶ ἐπὶ τῶν ἁμαρτημάτων τὸ αὐτὸ ἀκολουθεῖ. Ἔστωσαν γὰρ, εἰ δοκεῖ, δύο ἁμαρτωλοὶ, εἰς αὐτὴν τῆς κακίας φθάσαντες τὴν κορυφὴν, ὡς μηδὲν ἕτερον ἑτέρου διαφέρειν· ὧν ὁ μὲν πλουτείτω, ὁ δὲ πτωχευέτω· ὁ μὲν τιμάσθω, ὁ δὲ ὑβριζέσθω· ὁ μὲν ἀρχέτω, ὁ δὲ κολαζέσθω. Ἆρα ἀπελθόντες ἐκεῖ τὴν αὐτὴν δώσουσι δίκην; οὐκ ἔγωγε οἶμαι, καίτοι ἴσους γε αὐτοὺς ἔφημεν εἶναι κατὰ τὸν τῆς κακίας λόγον· ἀλλ' ἡ τοῦ ἐνταῦθα βίου κατάστασις τὴν ἰσότητα τῆς κακίας ἄνισον εἰς τὸν τῆς ἀναστάσεως ἀποφαίνει καιρὸν, οὐ τῆς δίκης τὸ δίκαιον παροψομένης, ἀλλὰ τῷ μὲν κἀνταῦθα κἀκεῖ τὴν τιμωρίαν συμμετρησομένης, τῷ δὲ ἐκεῖ (50) ἀπαραμύθητον τὴν κόλασιν ψηφιουμένης. Δίκαιον γὰρ τὸν τὰ αὐτὰ μὲν δεδρακότα, μὴ τὰ αὐτὰ δὲ πεπονθότα, μείζονα δοῦναι δίκην. B C D

Quod nuper de peccatis scripseram, idem nunc de bonis dicam moribus : quod qui parva et facilia recte gesserit, si quid est boni adeptus, præmium retulit. At qui magna et admiranda fecerit, accipiet nihilominus et illic mercedem, etsi mediocria hic fuerit consecutus. Hic enim potiri est non parvam mercedis accipere portionem. Abunde vero remunerabitur, si nihil acceperit. Id ego exemplo, si ita videbitur, explanabo. Sint, verbi gratia, duo justi virtute maxime præditi : unus dives, alter inops. Ille celebris sit, hic injuria prematur. Laudetur ille per omnia, hic reprehendatur. An forte hinc abeuntes pari afficientur corona? Non equidem existimo, etsi virtutis ratione pares dixerim? sed vitæ huc traductæ ratio dispar virtutis æqualitatem ad inæqualitatem adducet, judice incorrupto iniquum nihil statuente, sed hic et illic præmium cuique ordinante, quo meram augebit lætitiam. **627** Æquum enim erat tantopere castigatum moribus, neque hic eadem bona adeptum, majore atque illustriore ornari corona. Idem, o bone vir, non in justis modo valet, sed et peccatoribus usuvenit. Demus, si videtur, boni delictis sint obnoxii eodemque in gradu peccatorum constituti; neuter vero alterum crimine vincat, quorum hic quidem sit locuples, alter inops? Illic injuria prematur, honore vero ille afficiatur. Unus cum imperio sit, castigetur alter. An igitur altera in vita eadem sint pœna plectendi? minime vero, tametsi pares delictis dixerim. Sed hujus vitæ status malitiæ æqualitatem facit in æqualem apparere in resurrectione carnis, non justitia justum ipsum spernente, sed hujus vitæ supplicium cum futuro commensurante; alteri vero ibi inconsolabilem pœnam statuente. Justum est enim eadem quidem facientem, non eadem tamen perpessum graviores dare pœnas.

[81] Matth. x, 15.

VARIÆ LECTIONES ET NOTÆ.

(50) Pro τῷδε ambo iidem codd. scribunt τῶν δ' ἐκεῖ, etc. Possin.

Digitized by Google

CCXXIII. — HARPOCRÆ RHETORI.

ΣΚΓ'. — ΑΡΠΟΚΡΑ ΣΟΦΙΣΤΗ.

Virtutem potius cum adversitatibus, quam vitia cum jucunditate, colenda. (*Confer. epist.* 18, 68, 229, 284, 294 *et* 445.)

Scio mihi partim creditum non iri, partimque hyperbole videbor uti, nisi meum noveris morem : alterius fortasse non dixero. Novi etenim plerosque per se de aliis ferre solere judicium. Dico libentius me bonum agendo adversa pati, quam male agendo coronari. Ut enim transeam virtuti coronam in altera vita repositam, pœnam vero improbitati præparatam, virtus ipsamet corona ac merces mihi esse videtur, et vitium esse supplicium. Et non præelegerim, si virtutem quidem calumniantur ; vitium vero extollunt : et illam quidem deserere, hoc vero amplecti. Verumenimvero hanc quidem injuria licet affectam amplector et amo, vitium vero, tametsi coronatum, exsecror atque odi.

Οἶδα ὅτι παρά τινων μὲν ἀπιστηθήσομαι, παρά τινων δὲ ὑπερβολῇ κεχρῆσθαι νομισθήσομαι· πλὴν ἀλλ' ἐπειδήπερ οἶσθά μου τὸν τρόπον (ἄλλο γὰρ ἴσως οὐκ ἂν εἶπον· οἶδα γὰρ πολλοὺς ἐκ τῶν καθ' ἑαυτοὺς καὶ τὰς περὶ τῶν ἄλλων φέροντας ψήφους), φημὶ, ὅτι ἀσμενέστερον (51) ἀρετὴν ἀσκῶν ἐνταῦθα πάσχω κακῶς, ἢ κακίαν μετιὼν στεφανοῦμαι. Ἵνα γὰρ παρῶ τὸν στέφανον τὸν τῇ ἀρετῇ ἐκεῖσε εὑρεπισθέντα, καὶ τὴν κόλασιν τὴν τῇ κακίᾳ ἑτοιμασθεῖσαν, αὐτὴ ἡ ἀρετὴ στέφανος εἶναί μοι δοκεῖ, καὶ ἡ κακία κόλασις. Καὶ οὐκ ἂν ἐλοίμην, εἰ τὴν μὲν ἀρετὴν ὑβρίζοιέν τινες, τὴν δὲ κακίαν στεφανοῖεν, τῆς μὲν ἀποφοιτῆσαι, τῆς δὲ ἀντιλαβέσθαι· ἀλλὰ τὴν μὲν καὶ ὑβριζομένην ἀσπάζομαι καὶ φιλῶ, τὴν δὲ καὶ στεφανουμένην βδελύττομαι καὶ μισῶ.

CCXXIV. — HYPATIO REMPUBLICAM ADMINISTRANTI.

ΣΚΔ'. — ΥΠΑΤΙΩ ΠΟΛΙΤΕΥΟΜΕΝΩ.

Avaritiam fugiendam. (*Confer. epist.* 8, 55, 67, 142.)

Quandoquidem difficile, hoc est, molestum sit, qui divitiarum captus amore est, resipiscere (ægre enim emendari potest, ne dicam, inemendabilem hujusmodi esse), nihil non agendum, ne hoc malo capiaris. Facilius enim est non capi, quam semel captum ab eo morbo liberari.

Ἐπειδὴ χαλεπὸν, τουτέστι δύσκολον, τὸν εἰς ἔρωτα χρημάτων ἐμπεσόντα ἀνανεῦσαι (δυσδιόρθωτος γὰρ, ἵνα μὴ εἴπω ἀδιόρθωτος, ὁ τοιοῦτος γίνεται), πάντα χρὴ πράττειν, ὥστε μὴ ἁλῶναι τῷ δεινῷ. Εὐκολώτερον γὰρ μὴ ἁλῶναι, ἢ ἁλόντα ἀνακτήσασθαι ἑαυτόν.

CCXXV. — PALLADIO DIACONO.

ΣΚΕ'. — ΠΑΛΛΑΔΙΩ ΔΙΑΚΟΝΩ.

Qui bene paruerit, is recte imperabit. (*Plut. Aristot. et alii ; conf. epist.* 455, *et ibi notata* σχολ. *Simile huic ad eumdem epist.* 275.)

Si legibus, quibus respublica administratur, subjectos minime convenit refractarios esse, multo minus qui imperant. Qua enim ratione subditis leges proponent, vel justum ab injusto discernent, qui imperare nesciant? Horum itaque rudes et ignari, quique nihil recte imperare (quod sane munus non est exiguum) didicerint, mandare si aggrediantur, idem illis usuvenit, quod aurigandi imperitis, currus conscendere ausis, qui se et equos perditum eant : vel navigandi rudibus in tantam erumpentibus dementiam, ut ingentem navem gubernaculo regere dum tentant, in profundum pelagi simul demergantur. Quisquis itaque salutem amat suam, primo se multorum subditorum numero aggreget. Quod si nimius ipsum imperandi amor invaserit, illum a se repellat : aut imperium recte ferendo posse recte imperare discat ; et ne se negotio ingerat. Sin ad id vocatus fuerit, recuset, si fieri possit, satius enim ; sin vero etsi sub legibus, imperans obediet.

Εἰ τοὺς ὑπηκόους τῶν νόμων, καθ' ὧν πολιτεύονται, ἀνηκόους εἶναι οὐ χρὴ, πολλῷ μᾶλλον τοὺς ἄρχειν λαχόντας· πῶς γὰρ ἂν τοῖς ἀρχομένοις διαλεχθεῖεν, ἢ τὸ δίκαιον ἐκ τοῦ ἀδίκου διακρίνοιεν, ἢ μηδὲ ὅπως χρὴ ἄρχειν ἐπιστάμενοι; Ὅσοι δὴ τούτων ἄπειροι ὄντες, καὶ οὐδὲ καλῶς ἄρχεσθαι μεμαθηκότες (καὶ τοῦτο γὰρ οὐ μικρὸν), ἄρχειν ἐπεχείρησαν, ταυτὸν πεπόνθασι τοῖς ἀπείροις μέν που (52-53) ἡνιοχεῖν, ἐπιβῆναι δὲ τοῖς δίφροις τολμήσασι, καὶ ἑαυτοὺς καὶ τοὺς ἵππους προσαπολέσασιν· ἢ τοῖς ἀπειροθαλάττοις μὲν, εἰς τοσαύτην δὲ μανίαν ἐξοκείλασιν, ὡς καὶ μυριαγωγὸν ὁλκάδα ολαχίσαι ἐπιχειρῆσαι, μεθ' ἧς εἰς τὸν βυθὸν τῆς θαλάττης ἐχώρησαν. Ὁ τοίνυν τῆς σωτηρίας ἑαυτοῦ ἀντιποιούμενος, μάλιστα μὲν εἰς τὴν τῶν ἀρχομένων ἑαυτὸν κατατατέτω πληθύν· εἰ δὲ ἄτοπος ἀρχῆς ἔρως αὐτῷ ἐπιπταίη, ἐξελαυνέτω τοῦτον ἀφ' ἑαυτοῦ, ἢ διὰ τοῦ καλῶς ἄρχεσθαι τὸ δύνασθαι καλῶς ἄρξαι παιδευέσθω· καὶ μὴ ἐπιῤῥιπτέτω μὲν ἑαυτὸν τῷ πράγματι· εἰ δὲ κληθείη, παραιτείσθω, εἰ οἷόν τε· ἄμεινον γάρ· εἰ δὲ μὴ, κἂν ὑπὸ τῶν νόμων, βασιλευόμενος ἄρχέτω.

—

VARIÆ LECTIONI

(51) Ἀσμενέστερον iidem mutant in ἀσμενέστατα, et vers. seq. pro πάσχω scribunt πάσχων. Possin.

... 630 et Alt.

Digitized by Google

ΣΚΖ'. — ΟΥΡΑΝΙΩ ΔΙΑΚΟΝΩ. A CCXXVI. — URBANO DIACONO.

De bono tentationum. Et in illud Christi : « Orate ut non intretis in tentationem [52]. » (Confer. epist. 39, 68, 76, lib. II.)

Τί εἰς πολλοὺς καταφεύγεις, ἐξὸν εἰς ἕνα; τί πολλοὺς κολακεύεις, παρὸν ἕνα ἀντιβολεῖν; Τί τοὺς ἀσθενεῖς ἐπὶ συμμαχίαν καλεῖς, δέον ἐπὶ τὴν ἀήττητον δεξιὰν καταφεύγειν, καὶ παντὸς ἀπηλλάχθαι πειρασμοῦ; Πειρασμὸς γάρ ἐστιν, οὐ τὸ περιπεσεῖν πειρασμῷ, ὡς ἠγῇ, ἀλλὰ τὸ ἡττηθῆναι αὐτῷ· ὅτι δὲ τοῦτο, εἰ καὶ δοκεῖ πολλοῖς ἄπιστον εἶναι, ἀληθές ἐστιν, ὀλίγα τινὰ ἐκ τῶν ἱερῶν μεταχειρισάμενος Γραφῶν, δῆλον ποιήσω. Τὸ μὲν οὖν παρὰ τοῦ Παύλου ῥηθὲν, « Οὐδεὶς στεφανοῦται, εἰ μὴ νομίμως ἀθλήσῃ, » ἐπειδήπερ τισὶ δοκεῖ μόνους τοὺς τῆς ἀρετῆς αἰνίττεσθαι πόνους, παραλείψω, ἐφ' ἑτέραν δὲ ἥξω ῥῆσιν. Εἶπεν ὁ ἀνδρειότατος Ἰώβ· « Πειρατήριόν ἐστιν ὁ βίος ἀνθρώπου ἐπὶ τῆς γῆς. » Εἰ τοίνυν αὐτὸς ὁ βίος πειρατήριόν ἐστι, πῶς οἷόν τε τὸν ἐν τῷ πειρασμῷ ὄντα, πειρασμῷ μὴ περιπεσεῖν; Τὸ γὰρ παρὰ τῆς Ἀληθείας λεχθὲν, « Προσεύχεσθε μὴ εἰσελθεῖν εἰς πειρασμὸν, » τοιοῦτόν ἐστι· Προσεύχεσθε, ἵνα μὴ ἡττηθῆτε τῷ πειρασμῷ. Οὐ γὰρ εἶπεν, *μὴ ἐμπεσεῖν*, ἀλλὰ *μὴ εἰσελθεῖν*, τουτέστι, μὴ καταποθῆναι ὑπ' αὐτοῦ. Μὴ ἐμπεσεῖν μὲν γάρ, οὐχ οἷόν τε, ἐμπεσόντα δὲ ἀνευρίσασθαι (54) καὶ στεφανωθῆναι οἷόν τε. Καὶ εἰ βούλει, διὰ παραδείγματος συντομωτάτου τοῦτο ποιήσω σαφές. Δυνατὸν μὲν γὰρ ἐμπεσόντα τινὰ εἰς λέοντα διασωθῆναι ἢ ῥώμῃ, ἢ τέχνῃ· καὶ τί λέγω διασωθῆναι; Τινὲς γὰρ καὶ ἐχειρώσαντο τοιούτους θῆρας. Τὸν δὲ καταβρωθέντα καὶ εἰς τὴν κοιλίαν τοῦ θηρὸς γεγενημένον, πῶς ἔνεστι διαφυγεῖν; Τοῦτο τοίνυν ἐστὶ τὸ ὑπὸ τοῦ Χριστοῦ ῥηθέν· ὅτι ἀδύνατον μέν ἐστι μὴ περιπεσεῖν πειρασμῷ, δυνατὸν δὲ περιγενέσθαι· καὶ ἑκατέρου τούτων καὶ ἐγγυηταὶ καὶ μάρτυρες οἱ ἅγιοι πάντες, οὓς τοσαῦται νιφάδες πειρασμῶν κατετόξευσαν, ὡς ὅλον σχεδὸν τὸν τῇδε βίον διαθλῆσαι. Οὐδεὶς οὖν αὐτῶν εἰσηκούσθη, φαίη τις ἄν· Εἰσηκούσθησαν μὲν οὖν· τὸ δὲ εἰσακουσθῆναι τοῦτο ἦν, οὐ τὸ μὴ ἐμπεσεῖν εἰς πειρασμόν· ἀδύνατον γάρ· ἀλλὰ τὸ ἐμπεσόντα, μὴ μόνον ἀβλαβῶς, ἀλλὰ καὶ μετὰ στεφάνων ἐκ τοῦ σταδίου ἐξελθεῖν. Μὴ τοίνυν τοῦτο ζητῶμεν, τὸ μὴ πειρασμοῖς περιπίπτειν, ἀλλὰ τὸ περιπεσόντες λαμπρότεροι ἀποφανθῆναι.

Quid confugis ad plures, ad unum cum possis? quid multos assectaris, unum rogare cum liceat? Cur imbecilles in belli arcessis societatem, cum debeas ad inexpugnabilem Dei dexteram confugere, et tentatione omni te expedire? Tentari est, non ut opinaris, incidere in tentationem, sed ab ea superari. Id ego, etsi plerisque videatur incredibile, verum esse paucis e sacra Scriptura clarum reddere conabor. Dictum enim a sancto Paulo : « Nemo coronatur, nisi qui legitime certaverit [53]. » Quia vero nonnullis videtur solos virtutis labores innuere, B transeo ad aliud testimonium. Ait Job fortissimus ille athleta : « Tentatio est vita hominum super terram [54]. » Quare si vita mortalium tentationi obnoxia, quomodo fieri possit, ut qui in tentatione sit, in tentationem non incidat. Dixit enim ipsa Veritas : « Orate, ut non intretis in tentationem ; » hoc est, orate ne superemini a tentatione. Non enim ait, *ne incidatis*, sed, *ne intretis*, hoc est ne absorbeamini ab illa. Fieri enim non potest, quin incidamus, incidentem vero victorem exsistere ac coronari. Et, si placet, brevissimo exemplo id ostendam. Potest enim quis in leonem incidens, servari, idque vel robore, vel arte. Sed quid dico servari? Quidam enim has feras dilacerarunt. At devoratus et in feræ ventrem demissus, quomodo C effugiat? **629** Hoc nimirum Christus ait impossibile quidem esse ut non incidamus in tentationem, fieri vero posse ut superemus. Horum utrumque testantur omnes etiam sancti martyres, quos tentationum procellæ oppugnarunt, ut fere tota decertarint vita. Dixerit quis : Nemo igitur eorum est exauditus. Auditi quidem sunt, sed non in eo, ut in tentationem non inciderent, quod fieri non potest, sed cum incidissent, non modo illæsi, verum coronati e stadio exirent. Quare non est optandum, non incidere in tentationem, sed cum inciderimus, ut clariores evadamus.

ΣΚΖ'. — ΘΕΩΝΙ ΕΠΙΣΚΟΠΩ. D CCXXVII. — THEONI EPISCOPO.

Læsi nostras injurias vindicamus, Dei vero negligimus. (Conf. epist. 248.)

Ἴσθι, ὦ βέλτιστε, ὡς (55) κἀν τούτῳ πταίομεν, τὰ μὲν εἰς ἑαυτοὺς δρώμενα ἐκδικοῦντες, τὰ δὲ εἰς τὸν Θεὸν παρορῶντες. Ὅταν μὲν γὰρ ἡμεῖς ἀδικώ-

Scito, optime vir, in hoc a nobis peccari, dum quæ in nos commissa sunt, vindicamus ; quæ vero in Deum, negligimus. Cum enim injuria nos affici-

[52] Matth. xxvi, 41. [53] II Tim. II, 5. [54] Job VII, 1.

VARIÆ LECTIONES ET NOTÆ.

(54) *Ἐμπεσόντα δὲ ἀνευρίσασθαι.* Nodus hic in eleganti hac epistola Isidori περὶ πειρασμοῦ. Conjeceram leg. pro ἀνευρίσασθαι, ἀγωνίσασθαι ; post etiam ἀναῤῥίψασθαι, ut ἀναῤῥίπτειν μάχην ἢ κίνδυνον, *subire pugnam aut periculum.* Nunc assentior viro docto reponenti ἀνεᾶσθαι ab ἀνευάζω, quod est, *victorem aut ovantem celebrare.* Supra paulo est μὴ εἰσελθεῖν· sic dictum fortasse, ut Latinis *in stadium prodire*, aut in scamma : utque, *in scenam prodire.* SCHOTT. — Pro ἀνευρίσασθαι solus cod. Alt. habet ἀναῤῥίσασθαι, unde forte gradus fieri ad primigeniam lectionem assequendam possit, quam suspicor fuisse ἀναῤῥήσασθαι. hoc enim satis cum sequenti στεφανωθῆναι convenit. POSSIN.

(55) Ὡς mutant in ὅτι codd. Vat. 650 et Alt. POSSIN.

Digitized by Google

mur, utilissima est mansuetudo ac lenitas. At cum Deus læditur, ut fit, a vino lasciviaque injuriam inferentibus (nec enim unum in æternum Deum noxæ committitur genus) irasci justius sit, quam connivere. Nos contra facimus, qui inimicis nolumus ignoscere : iis vero qui in Deum linguam exerunt, mites sumus atque benigni. Indignatus est aliquando mitissimus Moses Israelitis, qui vitulum conflaverant [55] ; quæ ira omni melior fuit mansuetudine. Elias idololatris [56], et Joannes Baptista Herodi [57], et Paulus Elymæ iratus, non suam, sed vindicantes divini numinis injuriam [58] : quod etsi sibi sufficiat, bonorum tamen in vitia odium complectitur, injurias vero sibi illatas spernebant. Hanc enim virtutem ac philosophiam veram existimabant.

A μεθα, ἡ πραότης χρησιμωτάτη· ὅταν δὲ τὸ Θεῖον, τόγε τῶν παροινούντων μέρος (οὐδεμία γὰρ εἰς τὴν ἀκήρατον ἐκείνην φύσιν διαβαίνει βλάβη), τῆς ἐπιεικείας ὁ θυμὸς ὠραιότερος· ἡμεῖς δὲ τοὐναντίον δρῶμεν, τοῖς μὲν ἡμετέροις ἐχθροῖς ἀσύγγνωστοι, τοῖς δὲ κατὰ τοῦ Θεοῦ ὁπλίζουσι τὴν γλῶτταν ἥμεροι ὄντες καὶ φιλάνθρωποι. Ἠγανάκτησέ ποτε Μωϋσῆς ὁ πραότατος κατὰ τῶν μοσχοποιησάντων ἀγανάκτησιν πάσης πραότητος κρείττονα, καὶ Ἠλίας κατὰ τῶν εἰδωλολατρῶν, καὶ Ἰωάννης καθ' Ἡρώδου, καὶ Παῦλος κατὰ τοῦ Ἐλύμα· οὐχ ἑαυτοὺς, ἀλλὰ τὸ Θεῖον ἐκδικοῦντες, ἀρκοῦν μὲν ἑαυτῷ, τὴν δὲ τῶν φιλαρέτων μισοπονηρίαν ἀποδεχόμενον (56)· τὰς δὲ εἰς ἑαυτοὺς ὕβρεις παρεώρων· ταύτην γὰρ ἀρετὴν εἶναι ἐνόμιζον καὶ φιλοσοφίαν.

CCXXVIII. — AUSONIO CORRECTORI.

ΣΚΗ'. — ΑΥΣΟΝΙΩ ΚΟΡΡΗΚΤΩΡΙ.

Ad justitiam ut judicem invitat.

Fortitudinem tuam legum robore armatam decet cogere, ut ab injuria illi abstineant armantes dexteram suam contra imbecilliores, dum unde non oportet, lucrum facere conantur.

B Πρέπει τῇ σῇ ἀνδρίᾳ, τῇ τῶν νόμων ὡπλισμένῃ ἰσχύϊ (57), ἀναγκάζειν ἀπέχεσθαι τοῦ ἀδικεῖν, τοὺς ὅθεν οὐ χρὴ κερδαίνειν ἐπιχειροῦντας κατὰ τῶν ἀσθενεστέρων ὁπλίζοντας τὴν δεξιάν.

CCXXIX. — JACOBO LECTORI.

ΣΚΘ'. — ΙΑΚΩΒΩ ΑΝΑΓΝΩΣΤΗ.

Virtus, etsi laboriosa, ipsa tamen sibi merces. (*Supr.* 223.)

Etsi laboriosa mihi virtus est, ipsum tamen ipsius opus, quod merces sequitur, alterum donum esse videtur. Admiror adhæc magnopere divinæ largitatis majestatem, quandoquidem coronæ coronam gratificandi accumulat Deus, veram virtutem cœlesti exornans regno.

Ἐμοὶ εἰ καὶ ἐπίπονός ἐστιν ἡ ἀρετὴ, ἀλλά γε καὶ αὐτὸ τὸ ἔργον αὐτῆς, ᾧ ὁ μισθὸς ἕπεται, ἕτερον δῶρον εἶναι δοκεῖ. Καὶ λίαν θαυμάζω τῆς θείας μεγαλοδωρεᾶς τὴν φιλοτιμίαν, ὅτι στέφανον στεφάνῳ χαρίζεται, τὴν ἀκίβδηλον ἀρετὴν τῇ τῶν οὐρανῶν C βασιλείᾳ κοσμοῦσα.

630 CCXXX. — EIDEM.

ΣΛ'. — ΤΩ ΑΥΤΩ.

Bonos offendi non decet malorum felicitate. (*De Eusebio Pelusii episcop. conf. epist.* 16, 140, 147, 196, 249, 250.)

Cave contra Deum malos tolerantem vocifereris propter Eusebii ejusque asseclarum res secundas : qui virtuti quidem inimici, improbitatem extollunt, eaque se jactant : verum admirare potius immensam illam Dei benignitatem ad pœnitentiam ipsos vocantem, utque se ipsi agnoscant, precare, ut tu offendiculo libereris, ipsi vero supplicio, cultusque divinus dedecore. Quod ni fiat, ad extremum usque improbitate debacchabuntur, et furore ac rabie laborabunt, ob quæ in altera vita patientur, agnoscent moderate vitam instituere temperanterque D vivere quanto sit præstabilius.

Μὴ καταβόα τῆς θείας ἀνεξικακίας διὰ τὴν Εὐσεβίου καὶ τῶν παρ' αὐτοῦ συγκροτουμένων εὐημερίαν· οἵτινες τὴν μὲν ἀρετὴν ὑβρίζοντες, τὴν δὲ κακίαν στεφανοῦντες καὶ ἐναβρύνονται· ἀλλὰ θαύμαζε αὐτὴν, τὴν δι' ὑπερβάλλουσαν χρηστότητα εἰς μετάνοιαν αὐτοὺς καλοῦσαν· καὶ εὖξαί γε αὐτοὺς μεταγνῶναι· ἵνα σὺ μὲν σκανδάλου ἀπαλλαγείης, αὐτοὶ δὲ τιμωρίας, ἡ δὲ θρησκεία, κωμῳδίας· εἰ δὲ, ὃ μὴ γένοιτο, ἕως τέλους ὑπὸ τῆς κακίας ἐκβακχευθῶσι, καὶ οἴστρῳ καὶ μανίᾳ λυττήσωσι, δι' ὧν ἐκεῖθε πείσονται, γνώσονται, ὅτι ἄμεινον ἦν τὸ σωφρονεῖν.

CCXXXI. — ZOSIMO PRESBYTERO.

ΣΛΑ'. — ΖΩΣΙΜΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Monet ut senescens tandem resipiscat ob imminentem vitæ terminum. (*Vide epist.* 22 *et* 99.)

Juvenes quidem ignotum habent vitæ terminum; senes vero manifestum. Illi enim, tametsi mors revereatur neminem (grassatur enim per omnes ætates atque ordines), sperant se ad senectam perven-

Εἰ καὶ οἱ νέοι ἄδηλον ἔχουσι τὸ πέρας, ἀλλά γε οἱ γεγηρακότες πρόδηλον. Οἱ μὲν γὰρ, εἰ καὶ οὐδένα αἰδεῖται ὁ θάνατος (κατὰ πάσης γὰρ καὶ ἡλικίας καὶ ἀξίας χωρεῖ), ἀλλ' οὖν γε ἐλπίδα τινὰ ἔχουσι εἰς

[55] Exod. xxxii, 1 seqq. [56] IV Reg. i, 1 seqq. [57] Matth. xiv, 1-12. [58] Act. xiii, 8.

VARIÆ LECTIONES ET NOTÆ.

(56) Idem, ἀποδεχόμενος. Possin.

(57) Nimirum hoc est quod imp. Justinianus principio Institutionum juris ait, « non solum armis decoratum, sed etiam legibus oportet esse armatum. » Schott.

(58) *Ipsum tamen.* Id est, in virtutis opere non tantum merces ipsa, quam recepturi sumus, sed ipsum opus mihi pro dono est. Schott.

Digitized by Google

γῆρας ἤξειν· οἱ δὲ οὐδὲν ἕτερον, ἢ τὸ γῇ γενέσθαι (κατὰ τὸ σῶμα γάρ φημι) προσδοκῶσι. Τὸ γὰρ γῆρας εἴρηται παρὰ τὸ γῆς ἐρᾶν. Διὸ καὶ οἱ γεγηρακότες τρόπον τινὰ κυρτοῦνται καὶ κυρτοβατοῦσι, τὸ εἰς γῆν ἐπείγεσθαι διαμαρτυρόμενοι. Εἰ τοίνυν ταῦτα οὕτως ἔχει, δι' ἣν αἰτίαν ἐπὶ γήρως οὐδῷ νεωτερίζεις τοῖς ἀδικήμασιν (59);

turos. Senes vero illud tantum exspectant, in terram se, corpore, inquam, deposito, abituros. Γῆρας enim *senectus* παρὰ τὸ γῆς ἐρᾶν Græcis dicitur, quasi *terram ament*. Hinc et senes corpore flexo incurvantur, testificantes se terram repetere. Quod cum ita sit, quam ob causam in senectutis limine maleficiis juvenescis?

ΣΛΒ'. — ΘΕΟΔΩΡΩ ΣΧΟΛΑΣΤΙΚΩ.

CCXXXII. — THEODORO SCHOLASTICO.

Injuria afficientem æquo ferat moderate animo : sive de vindicanda injuria.

Τὸ μὲν ἀδικηθέντα μὴ ἀμύνασθαι, θεῖον ἡγοῦμαι· τὸ δὲ ἀμύνασθαι μετρίως, νόμιμον καὶ ἀνθρώπινον· τὸ δὲ ἀμέτρως, παράνομον καὶ ἀλιτήριον, μᾶλλον δὲ διαβολικόν. Πολλοὺς (60) γὰρ ἄρξαι χειρῶν ἀδίκων μὴ πείσας, τῷ δήλην εἶναι τὴν ἁμαρτίαν, διὰ τοῦ ἀμέτρως ἐπεξιέναι εἰς τὸ τῶν καταρξάντων ἔγκλημα περιέστησεν. Ὁ γὰρ ἐκβαίνων τῶν ἀδικημάτων τὸ μέτρον, καὶ μείζους τῶν πταισθέντων ἀπαιτῶν τὰς δίκας, εἰ καὶ δοκεῖ δικαίως πεποιηκέναι, εἰς τὸ τοῦ ἐξ ἀρχῆς ἀδικήσαντος (εἰ καὶ παράδοξον εἶναι δόξει τὸ λεχθησόμενον), περιίσταται ἔγκλημα· δεύτερος γὰρ ἄρχει πάλιν (61).

Qui læsus injuria sit, eam non ulcisci, divinum id opus existimo : moderate vero vindicare, jus fasque est atque humanum. Cæterum immoderate ulcisci, id demum nefas ac sceleri affine, imo diabolicum. Multi enim quod pravis atque injustis imperarint, in manifestum inciderunt peccatum, quia immodice subditorum crimen vindicarunt. Qui enim modum excedit justitiæ, et graviores a delinquentibus pœnas exigit, tametsi juste fecisse videatur, in ejus, qui initio (etsi fidem excedere, quod dicam, videatur) culpam incidit, secundo injuriam facit.

ΣΛΓ'. — ΘΕΟΠΕΜΠΤΩ ΠΡΕΣΒΥΤΕΡΩ.

CCXXXIII. — THEOPOMPO PRESBYTERO.

Opus quam oratio magis movet. (*Conf. supr. epist.* 213.)

Ὅταν μὲν λόγος ἔργου χηρεύῃ, οὐ μόνον οὐκ ὠφελεῖ, ἀλλὰ καὶ ἐνοχλεῖν εἴωθε τοὺς ἀκούοντας· ὅταν δὲ ἔργον λόγου ἔρημον εἴῃ, δυσωπεῖν πέφυκε τοὺς θεωμένους. Εἰ δὲ καὶ ἄμφω συμβαίη, καὶ ὁ λόγος ὑπὸ τῆς πράξεως κοσμηθείη, τὸ τηνικαῦτα πολλὴ ἐπίδοσις ἔσται τοῖς φοιτηταῖς, εἰ εὐγνώμονες εἶεν.

Quando opere caret oratio, non modo nihil prodest, sed et conturbare ac fatigare auditores consuevit. Cum vero opus oratione vacat flectere pudoremque solet incutere spectantibus. Si ambo concurrant, et oratio ab actione ornetur, tunc magna fit accedentibus, si modo æqui fuerint, ac benigni, accessio ac lucrum.

ΣΛΔ'. — ΑΛΥΠΙΩ.

631 CCXXXIV. — ALYPIO.

In alterius erratis, animadvertendis lyncei sumus, in nostris talpæ. Contra in virtutibus.

Λίαν θαυμάζω, πῶς τῶν μὲν ἑτέροις πεπλημμεληκότων καὶ ἁμαρτανομένων πικροὶ καθήμεθα δικασταί, τὰ δὲ ἑαυτῶν πταίσματα, συγγνώμης ὄντα πολλάκις μείζονα, παρορῶμεν· καὶ περὶ μὲν τὰ οἰκεῖα τυφλώττομεν, τὰ δὲ τῶν πέλας ὀξέως ὁρῶμεν· ἐπὶ δὲ τῶν κατορθωμάτων τοὐναντίον πάσχομεν, τὰ μὲν γὰρ οἰκεῖα, κἂν μικρὰ ᾖ καὶ εὐτελῆ, μεγάλα φαίνεται· τὰ δὲ τῶν πλησίον, κἂν μεγάλα ᾖ καὶ θαυμαστὰ, μικρὰ καὶ φαῦλα. Οἶμαι τοίνυν, ὅτι ἡ φιλαυτία τούτων αἰτία καθέστηκεν, ἡ τὴν ὀρθὴν (62)

Magnopere equidem admiror, cur in aliorum errata delictaque severi judices sedeamus, nostra vero peccata, majora sæpenumero, quam ut veniam mereantur, negligamus. Et ad nostra quidem cæcutimus vitia, ad aliorum vero res acutum cernimus. Contra vero in recte factis nobis evenit. Nostra enim, etsi parva sint et exilia, grandia nobis videntur; proximi vero bona, quamvis magna et admiranda, parva et exilia : amor enim sui rectum labefactat corrumpitque judicium, atque iisdem

VARIÆ LECTIONES ET NOTÆ.

(59) Δι' ἣν αἰτίαν ἐπὶ γήρως οὐδῷ νεωτερίζεις τοῖς ἀδικήμασιν. Γήρας οὐδῷ, *senectæ limen* : Homericum est proverbium *Odyss.* O, vers. 246 et 347, et Ψ, v. 212; *Iliad.* X, v. 60, et *Iliad.* Ω, v. 487. Utitur Herodot. *Thalia* : Ἐς πτωχίαν ἀφῖκται ἐπὶ γήραος οὐδῷ, *In limine senectæ ad egestatem servenit*. Catullus ad Mantium.

Et a mortis limine restituam.

Lucretius quoque sæpe *in limine leti* dixit pro morte. lib. II.

Nam quare potius, leti jam limine ab ipso
Ad vitam possint conlecta mente reverti.

Et lib. VI :

Et omni languebat corpus leti jam limine in ipso.

Idem statim :

Et graviter partim metuentes limina leti.

Et alius poeta *vrimo in limine vitæ* pro infantia dixit.

Juvenari autem Horatiana vox in *Arte poetica*

Aut nimirum teneris juvenentur versibus unquam,

quod est νεανιεύειν ut hic νεωτερίζειν, quod etiam capitur *rebus studere novis*. Schott.

(60) Πολλοὺς breviant in πολλοῦ codd. Vat. 650 et Alt. Possin.

(61) Hoc est, qui majores justo pœnas exigit, iterum injuriæ secundus auctor est : alterius injuriæ dat principium. Explicat, quod jam dixit, « in ejus, qui a principio peccavit, delictum incidit. » Schott.

(62) Ed. Paris. καὶ θαυμαστὰ· ὀρθὴν τῶν, etc. Lacuna suppletur ex cod. Vat. 650 et Alt. Edit.

Digitized by Google

oculis nostra alienaque considerare non permittit.

A τῶν πραγμάτων κρίσιν λυμαινομένη, καὶ τοῖς αὐτοῖς ὀφθαλμοῖς τά τε ἡμέτερα καὶ τὰ τῶν πέλας θεάσασθαι μὴ συγχωροῦσα.

CCXXXV. — HIERACI DIACONO.

ΣΛΕ'. — ΙΕΡΑΚΙ ΔΙΑΚΟΝΩ.

Cavendum ne specie utilitatis decipiaris. « Non videmus manticam in tergo. » Adagium. Persius sat. 4. Phædrus : « Peras imposuit nobis duas, » etc.

Decipis forsan teipsum putans te cernere quod in rem sit tuam. Cernere quidem videris, non cernis tamen, sed plerumque in tuis rebus cæcutis. Si enim quod ambiguum incertumque putatur, honorificum opinaris, neque mihi, neque tibi judicium permittas, sed communicans cum judicio prudentiaque præstantibus, sententiam ab illis muluare.

Αὐτὸς μὲν ἴσως σαυτὸν ἀπατᾷς, ὡς ὁρῶν τὸ σαυτοῦ συμφέρον· ἐγὼ δὲ φαίην, ὅτι δοκεῖς μὲν ὁρᾷν, ὁρᾷς δὲ οὐδαμῶς, ἀλλὰ καὶ κομιδῇ πρὸς αὐτὸ τυφλώττεις. Εἰ δὲ ἀμφίδοξόν σοι εἶναι δοκεῖ τὸ ἔνδοξον, μήτε ἐμοὶ, μήτε σαυτῷ τὴν κρίσιν ἐπιτρέψῃς· ἀλλὰ ἀναχοινωσάμενος τοῖς συνέσει διαφέρουσι, παρ' αὐτῶν δέχου τὴν ψῆφον.

CCXXXVI. — JACOBO LECTORI.

ΣΛϚ'. — ΙΑΚΩΒΩ ΑΝΑΓΝΩΣΤΗ.

Malos esse fugiendos. Consuetudo enim altera natura.

Fuge, o charissime, improbos : quippe noxium quemdam habitum animæ usu et consuetudine sua sensim ingenerant. Plerique enim fallentes seipsos quasi optimi sint et fortissimi, quasique tales casus lædere non possint, clam in mala se lenteque velut in barathrum præcipitant. Consuetudo enim quid magnum, et in naturam paulatim abit ; alteramque esse naturam quidam affirmant. Alii etiam a consuetudine superari naturam, illud veteris poetæ adhibentes, asserunt.

Φεῦγε, ὦ φίλτατε, τοὺς πονηροὺς, ἅτε λυμικήν τινα κατάστασιν τῇ ψυχῇ λανθανόντως διὰ τῆς συνηθείας κατασκευάζοντας πολλοὶ γὰρ ἀπατήσαντες ἑαυτοὺς ὡς ἄριστοι καὶ κράτιστοι, καὶ ὑπὸ τοιούτων συντυχιῶν μὴ καταβλαπτόμενοι, ἔλαθον εἰς τὰ αὐτὰ ἐκείνοις ἠρέμα καὶ κατὰ μικρὸν κατενεχθέντες βάραθρα. Μέγα γὰρ ἡ συνήθεια, καὶ δεινὸν εἰς φύσιν καταστῆναι (63)· δευτέραν γὰρ εἶναι φύσιν τὴν συνήθειάν τινες ἀπεφήναντο. Ἄλλοι δὲ καὶ τὴν φύσιν ὑπὸ τῆς συνηθείας νικᾶσθαι ὡρίσαντο, φήσαντες·

Gutta cavum reddit saxum, dum decidit usque.

Et vero quid saxo durius? quid aqua mollius? attamen ictu assiduo naturæ vincitur durities.

Πέτραν κοιλαίνει ῥανὶς ὕδατος ἐνδελεχοῦσα (64).

Καίτοι τί πέτρας σκληρότερον; τί δὲ ὕδατος μαλακώτερον; ἀλλ' ὅμως τῇ συνεχείᾳ τῆς πληγῆς περιεγένετο τῆς φύσεως.

CCXXXVII. — HIERACI DIACONO.

ΣΛΖ'. — ΙΕΡΑΚΙ ΔΙΑΚΟΝΩ.

Temperantia sanitatis mater. (*Vide epist.* 64, 148, 158.)

Siquidem valetudinem corporis curas, sufficienti tibi copia contentus esto. Hæc enim illam parit. Si vero per delicias illud turgescere ac lascivire cupis, falleris : non modo armando ipsum adversus animam atque infrene reddens, sed et radicem ac fontem immedicabilium reddens morborum.

Εἰ μὲν τῆς ὑγιείας τοῦ σώματος φροντίζεις, τὴν αὐτάρκειαν τίμα· αὕτη γὰρ ἐκείνην ὠδίνει· εἰ δὲ διὰ τῆς τρυφῆς σφριγᾷν καὶ σκιρτᾷν αὐτὸ παρασκευάζεις, λανθάνεις μὴ μόνον ὁπλίζων αὐτὸ κατὰ τῆς ψυχῆς, καὶ δυσήνιον ποιῶν, ἀλλὰ καὶ ῥίζαν καὶ πηγὴν τῶν ἀνηκέστων νοσημάτων εἶναι παρασκευάζων.

632 CCXXXVIII. — THEODORO SCHOLASTICO.

ΣΛΗ'. — ΘΕΟΔΩΡΩ ΣΧΟΛΑΣΤΙΚΩ.

Explicat senarium proverbialem de calumnia. (*Confer. epist.* 129, 190.)

Dictum illud : « Injurias, dum vixeris, par est

Τὸ, « Ὡς ἂν βιώσῃς, λοιδορηθῆναί σε δεῖ, » ὡς

VARIÆ LECTIONES ET NOTÆ.

(63) Pro καταστῆναι scribunt ambo iidem codd. μεταστῆναι. Possin.

(64) Proverbialis est versus Chœrili poetæ, non tam inepti quam Qu. Flacco est visum. Laudatur a multis, et advocatur a Clemente Alexand. et Eusebio lib. IX *Præparat. evangelicæ*, et a Simplicio in lib. VIII Aristotelis *Φυσικῆς ἀκροάσεως*. A Latinis item poetis expressus locus, a T. Lucretio, et P. Ovidio. Ille lib. IV *De rerum natura*, in extremo :

Nonne vides etiam guttas in saxa cadentes
Humoris, longo in spatio pertundere saxa :

Et lib. I :

Stillicidi casus lapides cavat.

Naso vero lib. IV *De Pont :*

Gutta cavat lapidem, consumitur annulus usu :
Et teritur pressa vomer adunctus humo.

Quod vero hic subjicit Isidorus : *Quid saxo durius? quid aqua mollius?* idem sic alibi poeta Ovidius expressit :

Quid magis est durum saxo? quid mollius unda?
Dura tamen molli saxa cavantur aqua.

Et ipse Isidorus lib. III, epist. 284 : *At illud*, inquit, *persuasum esse cupiam, quod quidam perhibuit : aquas levigare lapides.* Tibullus lib. I, eleg. 4 :

Ipsa dies molli saxa peredit aqua.

Et Plutarch. comm. *Περὶ παίδων ἀγωγῆς* · Σταγόνες ὑδάτων πέτραν κοιλαίνουσι. *Guttæ aquarum saxa cavant.* De ἐντελεχεία voce in animæ definitione disserui abunde *Tullianarum Quæstionum* lib. IV, c. 21, 22 et 23. Chœrili autem alios versus attulit Hadr. Turnebus lib. IX *Adversariorum*, cap. 9, et M. Ant. Muretus lib. XII *Variar. lect.*, cap. 14.

Digitized by Google

γέγραφας, οὐκ εἰς ἀποτροπὴν ἀρετῆς εἰρῆσθαι νομιστέον· οὐ γὰρ ἵνα εἰς κακίαν βαδίσοιεν, ὡς ἔφης, οἱ ἀκροώμενοι· ἀλλ' ἵνα εἰς φιλοσοφίαν ἐναχθεῖεν εἴρηται. Οὐ γὰρ ἐπειδὴ πάντως λοιδορηθῆναι δεῖ καὶ τὸν εὖ βιοῦντα, τὴν ἡδονὴν αἱρετέον· ἀλλ' ὅτι πάντως ὑπὸ τῶν πονηρῶν τοὺς ἀρίστους κακηγορεῖσθαι συμβαίνει, φιλοσοφητέον. Ἐῤῥέθη γὰρ οὐκ εἰς τὸ φυγεῖν ἀρετὴν, ἀλλὰ πρὸς τὸ τοὺς ἀσκοῦντας αὐτὴν, κακιζομένους φιλοσοφεῖν· ὁ γὰρ φθόνος αὐτοῖς ἀντιστρατευόμενος κωμῳδεῖσθαι αὐτοὺς πολλάκις πάρασκευάζει. Ἄμεινον οὖν, εἰ πάντως λοιδορηθῆναι δεῖ, ἀδίκως τοῦθ' ὑπομεῖναι· τὸ γὰρ δικαίως, τοῖς πονηροῖς πρόσεστι.

pati, » non ad avocandum a virtute, ut scribis, usurpatum esse existimandum est : neque ut illud audientes, uti aiebas, malitiæ sese dedant, sed potius ut ad philosophicam se conferant vitam, ideo dictum. Non enim quia omnino conviciis impeti oportet recte viventes, voluptas est amplectenda, sed quia ab improbis optimos accusati omnino contingit, philosophandum est. Dictum enim est, non ut virtus fugiatur, sed ut eam exercentes male accepti philosophentur. Invidia enim eos oppugnans facit non raro, ut reprehendantur. Præstat itaque si conviciis omnino obnoxii sumus, injuste id perpeti. Juste enim reprehendi, convenit improbis.

ΣΛΘ'. — ΠΕΤΡΩ. CCXXXIX. — PETRO.

Hæreses aut ex ambitione, aut ex pertinacia nascuntur.

Ἢ ἐκ φιλαρχίας, οἶμαι, ἢ ἐκ προλήψεως, δύο δυσκαταγωνίστων παθῶν, τὰς αἱρέσεις τετέχθαι (65)· Οἱ μὲν γὰρ ἐν τοῖς ὑπηκόοις μὴ ἀξιώσαντες εἶναι, οἱ δὲ μετὰ τὸ προληφθῆναι, διδαχθῆναι μὴ καταδεξάμενοι, νεωτέρας διδασκαλίας σπέρματα καταβεβλήκασι, τοῖς καθεστηκόσιν ἐμμεῖναι μὴ ἀξιώσαντες.

Ex dominandi libidine, et præsumpta opinione, duabus ægre superari solitis affectionibus, hæreses natæ sunt. Siquidem partim subjecti esse detrectantes, partim vero post præoccupatam opinionem instructionem respuentes, novæ doctrinæ semina jaciunt, recusantes semel recte constitutis inhærere dogmatibus.

ΣΜ'. — ΝΕΙΛΩ ΣΧΟΛΑΣΤΙΚΩ. CCXL. — NILO SCHOLASTICO.

Virtutem doctrinæ jungendam. Fides et opera. (*Supr. epist.* 162.)

Τυφλὸς μὲν ὁ τῶν ἀρετῶν χορὸς, ὀρθοῦ μὴ καθηγουμένου δόγματος· ἀργὸν δὲ καὶ τὸ ὀρθὸν καθηγούμενον δόγμα, εἰ ὁ τῶν ἀρετῶν χορὸς ἀπολειφθείη· εἰ δὲ τὸ μὲν κορυφαῖον ταξιαρχοίη, αἱ δὲ χορεύοιεν, παντὶ τρόπῳ ὁ χορὸς στεφθήσεται, ὡς νομίμως τὸν ἀγῶνα διαθείς.

Cæcus quidem est virtutum chorus non recta doctrina imbuto. Otiosa vicissim recta doctrina ea instituto, nisi virtutum chorum comitetur. Si vero doctrina chorum veluti ducat, virtutesque subsequantur, quavis ratione chorus coronabitur, ut legitime peracto certamine.

ΣΜΑ'. — ΤΩ ΑΥΤΩ. CCXLI. — EIDEM.

Deum non modo adulterium, sed fornicationem, et omne impuritatis genus vetuisse.

Εἰ καὶ αὐτὸς αἰτιᾷ, ἀλλ' ἐγὼ κἂν τούτῳ κομιδῇ ἄγαμαι τοῦ νομοθέτου τὴν σοφίαν, ὅτι ἐκ πολλοῦ τοῦ περιόντος τὰς ἀσελγείας ἐξοστρακίσαι, καὶ τὰς ἀκολάστους γνώμας χαλινῶσαι προήρητο. Ὁ γὰρ τὴν ἀκούσιον ἔκκρισιν μολύνειν ἀποφηνάμενος, τὴν ἑκούσιον πρᾶξιν πολλῷ μᾶλλον ἀπηγόρευσε. Τῷ γὰρ τὴν ἀδούλητον ῥύσιν, τὴν μήτε ἁμάρτημα τυγχάνουσαν, μήτε ὑπὸ τιμωρίαν ἄγουσαν, μολυσμὸν εἶναι φῆσαι, καὶ καθαρσίων ἀξιῶσαι, τὸ ἑκούσιον πλημμέλημα μᾶλλον ἀνέστειλεν. Ἐπειδὴ δὲ τὴν μοιχείαν μόνην ἐνόμισας αὐτὸν ἀπηγορευκέναι, δοκεῖς μοι ἢ μὴ ἀνεγνωκέναι τὸ Δευτερονόμιον, ἢ μὴ νενοηκέναι, καίτοι σαφῶς κείμενον· « Οὐκ ἔσται γὰρ, ἔφη, πόρνος ἀπὸ υἱῶν Ἰσραὴλ, καὶ οὐκ ἔσται πόρνη ἀπὸ θυγατέρων Ἰσραήλ. » Εἰ γὰρ καὶ χαλεπωτέρα πολλῷ ἡ μοιχεία τῆς πορνείας, καὶ συγγνώμης μείζων, ἀλλὰ καὶ ἡ πορνεία τιμωριῶν ἀξία, εἰ καὶ τοῦτο τοῖς ἔξωθεν νομοθέταις, οὐκ οἶδ' ὅπως, παραλέλειπται. Τοῖς γὰρ ὀρθῶς βιοῦσι καθαρευτέον καὶ ἀπὸ ταύτης· « Πορνεία γὰρ, φησὶν ὁ Ἀπόστολος, καὶ ἀκαθαρσία μηδὲ ὀνομαζέσθω ἐν ὑμῖν, καθὼς πρέπει ἁγίοις. » Καὶ πάλιν

Etsi ipse reprehendas, ego vero etiam legislatoris Dei sapientiam vehementer admiror, quod a vividis hominibus profligare libidines et lascivas mentes freno coercere maluerit. Pronuntians etiam involuntariam exsecrationem inquinare, damnat multo magis voluntariam actionem. Cum enim involuntarium fluxum, qui et sine peccato fit, neque sit pœnæ obnoxius, pollutionem esse dixit, opusque purgatione censuit, longe justius voluntarium repulit delictum. Quandoquidem vero adulterium duntaxat Deum damnare existimas, videris aut non legisse Deuteronomim, aut non intellixisse tam clare hoc pronuntiatum. **633** « Non erit meretrix de filiabus Israel, aut scortator de filiis Israel [89]. » Etsi enim majus flagitium est adulterium, quam fornicatio, et venia gravius sit, hæc tamen pœna quoque digna est, quamvis pœnam nescio quomodo ei non præscripserint gentium legislatores. Recte enim viventes ab hac puros se præbere oportet : « Fornicatio, inquit Apostolus, et omnis immunditia ne nominetur quidem in vobis, sicut de-

[89] Deut. xxiii, 17.

VARIÆ LECTIONES ET NOTÆ.

(65) Pro τετέχθαι legunt codices iidem τετάχθαι. Possin.

Digitized by Google

cet sanctos [60]. » Idemque de castitate ait, quod maximum conciliet donum : « Pacem, inquit, sequimini cum omnibus et sanctimoniam, sine qua nemo videbit Deum [61]. »

A φησὶ περὶ τῆς ἁγνείας, ὅτι μεγίστων ἀγαθῶν πρόξενος γίνεται· « Εἰρήνην διώκετε καὶ τὸν ἁγιασμὸν, οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον. »

CCXLII. — EUTONIO DIACONO.

ΣΜΒ'. — ΕΥΤΟΝΙΩ ΔΙΑΚΟΝΩ.

Cogitare mala, nedum facere, nefas.

Maxime quæ non oportet facere, ne cogita facere. Si vero te ita affectum et fugientem non modo quod revera turpe est, sed etiam ex opinione absurdum, nonnulli quadam veluti rabie impetant, suæque invidiæ per accusationes velificentur, ne te illud torqueat. Solent enim plerique quibus nullus sermo turpis indictus, nullum facto indecens infectum, ejusmodi artificio, quæ ipsi faciunt, obtegere atque exornare.

Μάλιστα μὲν ἃ μὴ δεῖ ποιεῖν, μηδὲ ὑπονοοῦ ποιεῖν. Εἰ δ' οὕτω διακειμένῳ καὶ φεύγοντι μὴ μόνον τὸ κατ' ἀλήθειαν αἰσχρὸν, ἀλλὰ καὶ τὸ ἐκ τῆς δόξης ἄτοπον, ἐπιλυττῶσί τινες, καὶ τὸν φθόνον ἑαυτῶν κακηγορίαις θεραπεύουσι, τοῦτό σε μὴ λυπείτω. Εἰώθασι γὰρ οἱ πολλοὶ, οἷς οὔτε λόγος αἰσχρὸς ἄρρητος, οὔτε ἔργον ἀπρεπὲς ἄπρακτον, διὰ τούτων τὰ καθ' ἑαυτοὺς περιστέλλειν.

B

CCXLIII. — EIDEM.

ΣΜΓ'. — ΤΩ ΑΥΤΩ.

Socordiæ etiam facillima difficilia sunt. Virtuti contra nihil arduum. (*Confer. epist.* 223.)

Ignavi ac socordes etiam ad levia ac facilia difficiles sese præbent; generosi contra ac fortes viri ne a valde quidem difficilibus abhorrent, imo eo magis inclinant, rati clariorem atque illustriorem fore victoriam, laudemque ac decus longe majora.

Οἱ λίαν ῥᾴθυμοι καὶ πρὸς τὰ ῥᾴδια δυσκόλως ἔχουσιν· οἱ δὲ γενναῖοι καὶ ἀνδρεῖοι, οὐδὲ τὰ σφόδρα δυσχερῆ φρίττουσιν, ἀλλὰ πρὸς ταῦτα μάλιστα ἐπιδύονται. Ἐπιφανεστέραν γὰρ καὶ λαμπροτέραν τὴν νίκην ἔσεσθαι προσδοκῶσι, καὶ τὸ κλέος ἐνδοξότερον.

CCXLIV. — PAULO

ΣΜΔ'. — ΠΑΥΛΩ.

De vitæ humanæ brevitate. Fabula et umbra est : futura autem æterna est. (*Confer sup. epist.* 162, 107.)

Nihil hæc vita differt a scena : nihil enim firmum, nihil stabile, constans nihil aut solidum fixumque continet : *Umbra sunt etenim res mortalium*, ait comœdia. Quibus verbis nescio quomodo captus comici dictum illud admiror : nam in hac C vita bona malaque juxta suum sortiuntur finem, idque citissime. In cœlis vero utraque in æternam producuntur vitam.

Σκηνῆς οὐδὲν, ὦ βέλτιστε, ὁ παρὼν διενήνοχε βίος, οὐδὲν βέβαιον, ἢ μόνιμον, ἢ σταθερὸν, ἢ πάγιον ἔχων. *Σκιὰ γὰρ τὰ θνητῶν*, λέγει ἡ κωμῳδία (66). Οἷς οὐκ οἶδ' ὅπως ἁλοὺς, καίτοι τὸν κωμικὸν θαυμάζων. Ἐνταῦθα μὲν γὰρ καὶ τὰ ἀγαθὰ καὶ τὰ χαλεπὰ πέρας ἔχει, καὶ τοῦτο τάχιστον· ἐκεῖ δὲ ἀθανάτοις ἀμφότερα παρεκτείνεται αἰῶσιν.

CCXLV. — OPHELIO GRAMMATICO.

ΣΜΕ'. — ΩΦΕΛΙΩ ΓΡΑΜΜΑΤΙΚΩ.

Ridet nugas rixasque Grammaticorum.

Frigidum quid, etsi vocabulorum sectatoribus aliter videatur, vocibus ineptire, ac de his contendere. Et quoniam ingentes spiritus gestas quasi accurate instructus, operæ pretium facturus videar, si retundam hanc tui persuasionem. Πρεσβύτατος καὶ νεώτατος, de duobus dici recte fratribus negat, sed et de pluribus. De duobus vero seniorem, junioremque, nisi accedat tertius. Quod si accedat, D tunc intensivis utendum superlationis vocibus.

Ψυχρὸν μέν ἐστι, εἰ καὶ μὴ τοῖς λεξιθήραις δοκεῖ, τὸ σμικρολογεῖν, καὶ περὶ τοιούτων ποιεῖσθαι τὴν ἄμιλλαν. Ἀλλ' ἐπειδὴ μέγα φρονεῖς ἐπὶ τῷ τὰ τοιαῦτα ἀκριβῶς εἰδέναι, οὐκ ἄτοπον εἶναί μοι φαίνεται τὸ λῦσαι σου τὸ ἐπὶ τούτοις φρόνημα. Ὁ γὰρ πρεσβύτατος καὶ ὁ νεώτατος, οὐκ ἐπὶ δυοῖν ἀδελφοῖν, ὡς φῂς, ἀλλ' ἐπὶ πολλῶν λέγεται. Ἐπὶ δυοῖν γὰρ, ὁ πρεσβύτερος καὶ ὁ νεώτερος, ὡς ἄλλων οὐκ ὄντων μέσων· εἰ δὲ εἶεν, τοῖς ἐπιτατικοῖς ὀνόμασι τοὺς ἄκρους κλητέον,

634 — CCXLVI. — ZOSIMO PRESBYTERO.

ΣΜϚ'. — ΖΩΣΙΜΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Calumniari mortuos, nefas.

Valde omnes mirantur ac stupescunt, cur non

Πάντες κομιδῇ θαυμάζουσι καὶ ἐκπλήττονται, πῶς

[60] Ephes. v, 3. [61] Hebr. xii, 14.

VARIÆ LECTIONES ET NOTÆ.

(66) *Ἡ κωμῳδία.* In tragœdia idem [illegible] adagio : *Homo bulla*, et Horatium *Ajace Lorario* Sophocles : et apud Stobæum [illegible]ris *et umbra sumus* : ut Pindarus in lus, atque in *Protesilao* Eurip. apud eum[illegible] *omnium*, oda 8 extrema ; σκιᾶς θρωπός ἐστι πνεῦμα καὶ σκιὰ μόνον. Com[illegible] *Nemeonicis*. In sacris vero Lit- (neque enim poetæ nomen attulit) apud [illegible]*m*, *flos*, atque divus Jacobus lib. VIII Δεισπνοσ. [illegible]*cum durans vita mortalium.*

Τὸ μηδὲν ἐστι καὶ σκιὰ κατὰ χθονὸ[illegible]

Digitized by Google

οὐκ ἐρυθριᾷς, οὓς ζῶντας ἐκολάκευες, τούτους τε- A erubescas, quibus viventibus adulari solebas, eos-
λευτῶντας κακηγορῶν. dem vita functos calumniari.

ΣΜΖ'. — ΙΕΡΑΚΙ ΔΙΑΚΟΝΩ.

CCXLVII. — HIERACI DIACONO.

Fugienda libido est.

Εἰ ἀκριβῶς ἐπίστασαι, ὅπερ καὶ ἀληθές ἐστι, κἂν οἱ ῥᾳθυμοι παραγράψωνται, ὅτι ἡ μὲν ἀκολασία κόλασιν ὠδίνει, ἡ δὲ ἁγνεία ἀγιωσύνης στέφανον· δι' ἣν αἰτίαν διώκεις μὲν ἣν φεύγειν χρὴ, φεύγεις δὲ ἣν διώκειν θέμις;

Si recte æstimes, quod et verum est, etsi ignavi exceptione submoveant, libido pœnam gignit; castitas contra sanctimoniæ parit coronam: cur itaque fugienda consectaris, fugis contra quæ consectari æquum est?

ΣΜΗ'. — ΠΑΥΛΩ.

CCXLVIII. — PAULO.

De metu Dei et hominum. (*Confer. epist.* 3 *lib.* IV.)

Πολλάκις κατ' ἐμαυτὸν ἐννοῶν, πῶς ὁ τῶν ἀνθρώπων φόβος τοῦ θείου ἐστὶν ἰσχυρότερος, καὶ μηδὲ τὴν ἔννοιαν τῆς ἀτοπίας χωρῶν, κατεγίγνωσκον τῆς B ἀλέκτου ῥᾳθυμίας. Τοὺς μὲν γὰρ δυνατωτέρους καὶ ὑβρίζοντας φέρομεν μετὰ ἐπιεικείας πολλῆς, τοῦ φόβου ἀντὶ χαλινοῦ γινομένου, καὶ περαιτέρω προϊέναι μὴ ἐπιτρέποντος· πρὸς δὲ τοὺς ἀσθενεστέρους μηδὲ λελυπηκότας ἀπεχθανόμεθα, καίτοι τοῦ Χριστοῦ παρακελευσαμένου· « Μὴ ὀργίζου τῷ ἀδελφῷ σου εἰκῇ. » Ὑπὲρ πολλῷ ἐστιν εὐκολώτερον τοῦ φέρειν ἕτερον ὑβριζόμενον εἰκῇ. Ἐκεῖ μὲν γὰρ πολλὴ τοῦ πυρὸς ἡ ὕλη, ἐνταῦθα δὲ ὕλης μὴ ὑποκειμένης τὴν φλόγα ἀνάπτομεν· οὐκ ἔστι δὲ ἑτέρου πῦρ φέροντος μὴ καταλείεσθαι, ἴσον, καὶ μηδενὸς παρενοχλοῦντος ἡσυχάζειν καὶ ἠρεμεῖν. Ὁ μὲν γὰρ ἐκείνου κρατήσας, ἀκροτάτης φιλοσοφίας δοκίμια δέδωκεν· ὁ δὲ τοῦτο ποιῶν, θαύματός ἐστιν ἄμοιρος. Ὅταν οὖν τὸ μεῖζον διὰ τὸν τῶν ἀνθρώπων φόβον ἀνύοντες, διὰ C τὸν θεῖον μηδὲ τὸ ἔλαττον βουλώμεθα ἀνύσαι, ποία ἡμῖν λελείψεται ἀπολογία;

Sæpenumero mecum ipse cogitavi, quomodo metuere soleamus homines valentius quam Deum: et rationem absurdam non comprehendens, damnavi incredibilem hominum socordiam. Potentiores enim toleramus multa patientia, etiam injurios, metu nos veluti freno retinente, et ulterius progredi vetante; tenuiores vero etiam non afficientes injuria fastidimus et aversamur. Atqui jubet Christus: « Ne irascaris fratri tuo temere [66]. » Quod multo est facilius, quam ferre alterum injuriam temere inferentem. Ibi enim multa ignis materia est, hic vero materia non subjecta flammam accendimus. Nam non potes, altero ignem inferente, non aduri; forte etiam, nemine turbante, quiescere atque apparere. Qui ergo in illo se superat, is præstantissimæ philosophiæ speciem dedit. Qui vero hoc posterius tantum præstat, admiratione dignus non est. Quare cum quidpiam hominum metu expedimus, Dei vero metu ne minimum quidem properamus, ecquæ ergo relicta nobis est excusationis occasio?

ΣΜΘ'. — ΕΡΜΙΝΩ ΚΟΜΗΤΙ.

CCXLIX. — HERMINO COMITI.

Ut capite ægrotante, totum corpus male habet, sic sub malo episcopo tota Ecclesia. (*Vide sup. epist.* 230.)

Ὅταν ἡ κεφαλὴ, ἡ καθάπερ ἀκρόπολις τοῦ σώματος οὖσα, καὶ τῶν ἀναγκαιοτάτων καὶ τιμιωτάτων ἀνθρώποις αἰσθήσεων οἰκητήριον, ὀφείλουσα τοὺς ἐκ τοῦ σώματος ἀναπεμπομένους ἀθμοὺς (67) πονηροὺς διοικῆσαι, καὶ εἰς τὸ δέον καθιστᾷν, μὴ μόνον τοῦτο μὴ διαπράττηται, ἀλλὰ καὶ αὐτὴ καθ' ἑαυτὴν ἀσθενὴς οὖσα τύχῃ, τὰς νοσώδεις αἰτίας ἀποκρούσασθαι μὴ δυναμένη· ποία ἐλπὶς τῷ σώματι ἢ σωτηρίας, ἢ ῥώσεως; Οὐδεμία. Διὸ καὶ κατὰ τὸ Πηλούσιον, ὡς γέγραφας, Ἐκκλησία ἡ ὑπὸ Εὐσεβίου οἰκονομουμένη, μυρίαις νοσημάτων καὶ παθῶν ἐμπέπλησται κακίαις, τοῦ δοκοῦντος ἡγεῖσθαι ταύτης, εἰς αὐτὴν ἐγκατασκήψαντος. D

Cum caput, quod veluti arx est corporis, ac maxime necessariorum pretiosorumque hominibus sensuum domicilium, quod debet emissos e corpore improbos vapores dispensare, et, quo oportet, amandare, illud non modo non faciet, sed et per seipsum esse imbecillum contingit, nec morbosas propellere causas valeat, quæ corporis spes reliqua salutis aut roboris? nulla. Sane Pelusiensis Ecclesia, ut scribis, ab Eusebio administrata morborum mille passionumque malis referta est, cum qui regere eam existimetur, is in ipsam potius grassetur.

ΣΝ'. — ΔΩΡΟΘΕΩ ΛΑΜΠΡΟΤΑΤΩ.

635 CCL. — DOROTHEO CLARISSIMO.

Si legislatores legibus et pœnis homines a peccatis coercere non possint; multo minus alii nudis admonitionibus id poterunt. (*Conf. epist.* 131. *Rursum de Eusebio episc., item de Zosimo, Martiniano et Marone.*)

Εἰ οἱ νομοθέται, ὦ σοφὲ, οἱ μυρίας τοῖς ἁμαρτάνουσι τιμωρίας ἐπανατεινόμενοι, οὐ πάντας; πεπεί-

Si legislatores, vir sapientissime, mille pœnarum genera delictis imponentes non omnibus persua-

[66] Matth. v, 22.

VARIÆ LECTIONES ET NOTÆ.

(67) Pro ἀθμοὺς rescribe ἀτμούς. Vers. post 5, inter καὶ et κατὰ insere ἡ ex codd. iisdem. Vers. ult. ep. pro ταύτης ambo codd. optimi legunt ταύτας ut referatur non ad ἡγεῖσθαι, sed ad κακίαις, superius positum. Possis.

Digitized by Google

dent : qui verbo et admonitione suadent, ut a vitiis quis abstineat, idne persuadeant? Vel non persuadentes in crimen vocentur? et quomodo? Si vero patrocinandum legislatoribus est, equidem censeam suppliciorum gravitatem eos proponere, non quasi humanum genus invisum ducentes, sed tanquam ejus curam habentes. Id enim illis potissimum studio est, persuadere, ne improbe quid agatur. Pœna vero secundarium quid est, et non obedientibus præstituta. Neque enim illis propositum, ut multi sint nequam et improbi, qui puniri debeant : imo contra frugi omnes esse bonosque volunt, nullaque opus esse multa. Sic illi legislatores quidem terrent : improbi vero peccando eam lædunt, neque tempus ullum a flagitiis vacuum, sed multa variaque in dies emergunt mala, quæ res arguit legibus non obediri. Cum quis itaque pœnas dat, simul castigatur, et se legislatori non paruisse ostendit. Quinimo ipsi legislatores non ignorant, non persuadere se omnibus, ut sint boni. Supplicia etenim præscribentes norunt probe non omnes habituros dicto audientes ac justos. Suntne itaque illorum hostes? Minime vero, sed meminerunt legislatores se esse et prædicari : improbi vero male multantur ac plectuntur. Eadem est ratio admonentium, quando illis non paretur. Non enim eo quod Eusebius et Martinianus, Zosimus et Maron morbo immedicabili laborant, dicto tamen audientes non sunt, neque faciunt quod jubentur, accusandi videntur illi, qui admonitione non persuaserint ; quinimo laudandi sunt isti : illi vero qui medicinam non admiserint, feriendi.

A κασιν· οἱ λόγῳ καὶ παραινέσει πειρώμενοι πείθειν κακίας ἀπέχεσθαι, πάντως πείσουσιν; ἢ μὴ πείσαντες ἐγκληθήσονται; καὶ πῶς (68) οὐκ εὔηθες; Εἰ δὲ χρὴ καὶ αὐτῶν τῶν νομοθετῶν ὑπεραπολογήσασθαι, φαίην ἄν, ὅτι τὰ μεγέθη τῶν τιμωριῶν τετυπώκασιν οὐχ ὡς μισάνθρωποι, ἀλλ' ὡς κηδεμόνες τοῦ γένους. Αὕτη γὰρ αὐτοῖς ἡ σπουδή, πεῖσαι μὴ πονηρεύεσθαι· τὸ δὲ τῆς τιμωρίας, δεύτερόν τι καὶ τοῖς οὐ πειθομένοις ὁριζόμενον· οὐ γὰρ τοῦτ' ἐσπούδασαν, εἶναί τε πολλοὺς πονηροὺς, καὶ κολάζεσθαι· τὸ ἐναντίον δὲ, πάντας εἶναι χρηστοὺς καὶ μηδεμιᾶς χρείαν εἶναι ζημίας. Ἀλλ' οἱ μὲν φοβοῦσιν, οἱ δὲ πονηροὶ κακουργοῦσι. Χρόνος δὲ οὐδεὶς καθαρὸς κακίας, ἀλλὰ πολλὰ καὶ παντοδαπὰ ἐπιπολάζει νοσήματα, δι' ὧν δεικνύουσι μὴ πείθεσθαι (69) τοῖς νόμοις. Ὅταν γάρ B τις δίκην δῷ, ὁμοῦ τε κεκόλασται, καὶ τὸ μὴ πεπεῖσθαι τοῖς νομοθέταις δείκνυσι. Μᾶλλον δὲ αὐτοὶ οἱ νομοθέται ὡς οὐ πείσουσι πάντας εἶναι ἀγαθούς. Ἴσασιν· οἱ γὰρ ὁρίζοντες τὰς τιμωρίας, ὡς οὐ καθέξουσι τοὺς πονηροὺς, δῆλοί εἰσιν εἰδότες. Ἆρ' οὖν ἐναντίοι εἰσίν; Οὐ δήπου. Ἀλλ' οὐδ' ἀπόλλυται αὐτοῖς τὸ νομοθέτας εἶναι. Ἀλλ' ἐκεῖνοι μὲν ᾄδονται, οἱ δὲ κακουργοῦντες κακίζονται. Ὁ αὐτὸς τοίνυν λόγος ἔστω καὶ περὶ τῶν παραινούντων, μὴ ἀνυόντων δέ· οὐ γὰρ εἰ Εὐσέβιός τε καὶ Μαρτινιανὸς, Ζώσιμός τε καὶ Μάρων χρείττονα θεραπείας νοσοῦσι νόσον, ἤδη τοῖς παραινέσασι μὲν, μὴ ἀνύσασι δὲ ἐγκλητέον· ἀλλὰ τούτους μὲν ἀποδεκτέον, ἐκείνους δὲ εἰς C μηδὲ θεραπείαν προϊεμένους ὠστέον.

CCLI. — EIDEM.

Cum humilibus et superbis non eodem agendum modo. (*Conf. epist.* 127.)

Cum bonis quidem remisse est agendum, cum audacibus severius. Nam benignitatem illi virtutem reputant, mitemque esse ; contra hi audaciam fortitudinem æstimant. Apud illos itaque modestia adhibenda ; in his præfidentia exstinguenda est, et opinio ex audacia orta : ut illis quidem prosit, hos vero deprimat prudentia. Neque enim iisdem omnes capiuntur, neque iisdem cuncti remediis curantur, sed prout est affectionum multitudo, sic est et medelarum.

ΣΝΑ'. — ΤΩ ΑΥΤΩ.

Πρὸς μὲν χρηστοὺς ταπεινὸν εἶναι χρὴ, πρὸς δὲ θρασεῖς ὑψηλόν. Ἐπειδὴ γὰρ οἱ μὲν ἀρετὴν εἶναι ἡγοῦνται τὴν ἐπιείκειαν, οἱ δὲ ἀνδρίαν τὴν ἀφοβίαν, ἐκείνοις μὲν τὴν ταπεινοφροσύνην χρὴ παραφέρειν, τούτοις δὲ τὴν ἀνδρίαν, σβεννύουσαν αὐτῶν τὴν ἀπὸ τῆς θρασύτητος δόξαν· ἵνα τοὺς μὲν ὠφελήσῃ, τοὺς δὲ ταπεινώσῃ τὸ φρόνημα. Οὐ γὰρ πάντες τοῖς αὐτοῖς χαίρουσιν, οὐδὲ πάντες τοῖς αὐτοῖς θεραπεύονται βοηθήμασιν· ἀλλ' ὅσος τῶν παθῶν ὁ ἰσμὸς, τοσοῦτος καὶ ὁ τῶν θεραπειῶν.

636 CCLII. — DOROTHEO PRESBYTERO.

ΣΝΒ'. — ΔΩΡΟΘΕΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Fama memoriaque bonorum perennis. (*Inf. epist.* 518.)

Etsi amici nuper vita functi memoria apud te una intercidisse videatur, apud me tamen intermori illa non potest : ita ut hic quidem non exstinguatur, in altera vero vita magis elucescat.

Εἰ καὶ ἔοικε τῷ τεθνεῶτι φίλῳ παρὰ σοὶ ἡ μνήμη συντεθνηκέναι, παρ' ἐμοί ἐστιν ἀθάνατος· ἐνταῦθα μὲν μὴ ἀποθνήσκουσα, ἐκεῖσε καὶ μᾶλλον ζωοποιηθησομένη.

CCLIII. — ALYPIO SCHOLASTICO.

ΣΝΓ'. — ΑΛΥΠΙΩ ΣΧΟΛΑΣΤΙΚΩ.

De bono virginitatis conjugio præstantis. (*Conf. epist.* 218.)

Divina res virginitas est, naturamque excedens. Honorandum vero legitimum est conjugium. Scortatio vero contra leges est. Quamobrem illa cœlo est

Ἡ μὲν παρθενία θειοτάτη ἐστὶ καὶ ὑπερφυής, ὁ γάμος τίμιος, ἡ δὲ πορνεία παράνομος. Ἐκείνη ἐστὶν ἀξία, ὁ δὲ τῆς γῆς

VARIÆ LEC

(68) Ambo codd. πῶς mutant in ποῦ. Possin.

Digitized by Google

ἡ δὲ τοῦ ᾄδου· τῇ μὲν γὰρ στέφανος χρεωστεῖται, τῷ δὲ σύμμετρον ἐγκώμιον, τῇ δὲ τιμωρία. Μοιχεία γὰρ, καὶ φόνος (70), καὶ τὰ ἄλλα πταίσματα, ὧν οὐδὲ μνησθῆναι θέμις, τοσούτῳ ἐστὶ καὶ τῆς πορνείας βαρύτερα, ὅσῳ τῶν κατὰ φύσιν πταισμάτων τὰ παρὰ φύσιν μιαρώτερα. Ἀλλὰ ταῦτα πάντα τὰ κακὰ μετάνοια εἰλικρινὴς θεραπεύειν ἐπίσταται, παρὰ τοῦ κριτοῦ τὴν ἐπιστήμην ταύτην ἐγκεχειρισμένη.

A digna, alterum terra : at fornicatio inferis. Illa coronam adipiscitur; hoc modeste ut laudetur: fornicatio vero supplicio digna. Adulterium autem et cædes, aliaque flagitia, quæ vel nominare sit nefas[63], tanto fornicatione graviora, quanto naturalibus delictis pejora sunt, quæ contra naturam committuntur. Verum hæc omnia delicta sincera pœnitentia expiare novit, ex scientia quam summus indidit Judex.

ΣΝΔ'. — ΤΙΜΟΘΕΩ ΣΧΟΛΑΣΤΙΚΩ.

CCLIV. — TIMOTHEO SCHOLASTICO.

Adversa pati injuste in vita perutile.

Ἐπειδὴ τὸ μηδὲν παθεῖν ἐν τῷ παρόντι βίῳ κρεῖττον ἢ κατὰ ἄνθρωπον, ἄμεινον τὸ ἀδίκως τι παθεῖν ἢ δικαίως (71). Τὸ μὲν γὰρ φιλοσόφων ἐστὶ, τὸ δὲ κακούργων· τὸ μὲν εὐδοκίμων, τὸ δὲ ἐργολάβων· καὶ B τὸ μέν ἐστι στεφάνων ὑπόθεσις, τὸ δὲ ἁμαρτημάτων ἀντίδοσις· τὸ μὲν ὀφειλέτην καθίστησι τὸν Θεὸν, τὸ δὲ ὀφλημάτων ἐστὶ διάλυσις.

Cum in hac vita nihil adversi perpeti supra mortalium sit sortem, ita melius injuste quid pati quam juste. Hoc enim est philosophicum ac pium; illud vero improborum proprium. Hoc proborum ac laudandorum est; illud sycophantarum seu quadruplatorum. Et hoc quidem coronam meretur; illud peccatorum est merces : hujusque debitor Deus est; illud vero debitorum dissolutio.

ΣΝΕ'. — ΛΑΜΠΕΤΙῼ ΔΙΑΚΟΝῼ.

CCLV. — LAMPETIO DIACONO.

Regis et tyranni discrimen. Contra factum quorumdam episc. (Vide epist. 126.)

Λίαν θαυμάζω, πῶς τινὲς μὲν τῶν ἀρχαίων τὰς τυραννίδας εἰς πατρικὴν κηδεμονίαν ἔτρεψαν· τινὲς δὲ τῶν νυνὶ νεωτεριζόντων, καὶ τὴν ποιμενικὴν φιλοστοργίαν εἰς τυραννικὴν αὐτονομίαν μετέβαλον· οὐχ ὑπεύθυνον ἀρχὴν ἐμπεπιστεῦσθαι, ἀλλ' αὐτοκρατορικὴν ἐξουσίαν κεκληρῶσθαι νομίσαντες.

Admiror equidem ut antiquitus nonnulli tyrannidem cum patrio permutarunt officio. Quidam vero nunc rebus novis studentes, ac pastoralem amorem erga gregem sibi commissum in tyrannidem vertentes non rexerunt, quasi creditum sibi esset imperium, sed velut imperandi potestatem sorte oblatam sint nacti.

ΣΝϚ'. — ΚΥΡῼ ΜΟΝΑΖΟΝΤΙ.

CCLVI. — CYRO MONACHO.

De malo invidiæ.

Οἱ νοῦ καὶ φρονήσεως ἀμοιροῦντες, ἐκείνους διατελοῦσι μισοῦντες, οὓς ἂν ὑποπτεύσωσι βελτίους ἑαυτῶν ὄντας· καὶ τὸ μῖσος τρέφουσιν οὐκ ἀφ' ὧν ἠδικήθησαν (ἧττον γὰρ ἂν ἦν ἴσως κακὸν), ἀλλ' ἀφ' ὧν τῆς κατ' ἀρετὴν εὐκλείας ἀπολιμπάνονται.

Qui mente prudentiaque carent, odisse solent perpetuo quos sese meliores esse suspicantur, aluntque odium erga eos, non a quibus affecti injuria sunt (minus enim id malum fortasse foret), sed a quibus virtutis gloria superantur.

ΣΝΖ'. — ΖΩΣΙΜῼ ΠΡΕΣΒΥΤΕΡῼ.

CCLVII. — ZOSIMO PRESBYTERO.

Ad bonam invitat frugem, acquiescendum consiliis bonorum. (Supr. epist. 105.)

Μὴ τὴν ἐκ τῆς οἰκείας ῥᾳθυμίας ψῆφον, τὴν ὑπὸ τῶν τὰ αὐτά σοι δρώντων κυρουμένην, τῆς ἀληθείας εἶναι νομίσῃς ἀξιοπιστοτέραν (εἰ γὰρ καὶ ἡ χειρωσαμένη σε τῆς κακίας νόσος ταὐτά σοι νομοθετεῖ, καὶ τοὺς τὰ αὐτά σοι νοσοῦντας ἐπαινέτας ἔχει)· ἀλλ' D εἴ γε μὴ εἰς ἀνήκεστον ἦλθες ῥᾳθυμίαν, οὐκ ἀπὸ τῶν νοσούντων δίκαιος ἂν εἴης λαβεῖν τὰς περὶ τῶν πραγμάτων ψήφους (εἰ γὰρ τούτοις ἔψοιο, καὶ ἰατρικῆς καὶ φιλοσοφίας καταψηφίσῃ), ἀλλ' ἀπὸ τῶν ὑγιαινόντων. Εἰ δ' οὐδείς σοι ὑγιαίνειν δοκεῖ, μάλιστα μὲν νοσεῖς (72)· εἰ δὲ ἀπιστεῖς, ταῖς θείαις Γραφαῖς ἐντυχὼν, εἴσῃ καὶ τοῦ νοσήματος τὴν κακίαν, καὶ τῆς κακίας τὴν ἀπαλλαγήν.

Ne propriæ ignaviæ sententiam ab iis, **637** qui in eadem tecum culpa sunt, confirmatam veritate fide digniorem esse putes. Si enim et malitiæ morbus, quo raperis, hæc tibi præscribit, habeasque laudatores tui, qui eodem tecum morbo laborant, (nisi in incurabilem forte morbum incidisti), non sit æquum ab ægris accipere rerum tuarum judicium (nam si eos sequaris, condemnaberis merito a medicis ac philosophis) sed a recte valentibus ac sanis. Quod si nemo valens tibi videatur (ægrotas enim valde) ac si non credis recta suadenti, ad sacram Scripturam te recipito, ut morbi cognoscas vim et malitiæ haurias correctionem.

[63] Ephes. v, 3; Coloss. III, 5

VARIÆ LECTIONES ET NOTÆ.

(70) Codd. Vat. 630 et Alt., φόνος· placet tamen mihi quidem magis editi lectio. Possin.

(71) Edit. Paris., ἄμεινον τὸ ἀδίκως· τὸ μὲν γὰρ φιλοσόφων ἐστί. Locus suppletur ex cod. Alt. apud Possinum. Edit.

(72) Ed. Paris., εἶσι. Legendum esse νοσεῖς ex sequentibus apparet, et supr. ep. 159, pag. 79, vers. 3, ὅσῳ οὖν χείρων ὁ μὴ αἰσθόμενος τέως τῆς νόσου, etc. Vide et epist. 8 et 269. Schott.

Digitized by Google

CCLVIII. — ADAMANTIO.

ΣΝΗ'. — ΑΔΑΜΑΝΤΙΩ.

Eloquentiæ præstat philosophia.

Scito amicum illum tuum magniloquum verborumque venatorem ad me ut domum revertentem venisse, mansisse vero captum studio philosophiæ; et nunc os claudens mentem excolit potissimum, eductum jam bene loquendi vim exiguum quid ad philosophiam comparatum esse.

Ἴσθι, ὡς ὁ φίλος ὁ σὸς ὁ μεγαλήγορος καὶ λεξιθήρας ἦλθε μὲν ὡς ἀναστρέψων οἴκαδε, παρέμεινε δὲ ἁλοὺς τῷ τῆς φιλοσοφίας ἔρωτι· καὶ νῦν τὴν γλῶτταν ἐπιστομίζων, τῆς γνώμης ἐπιμελεῖται· μικρὸν πρᾶγμα τὴν εὐγλωττίαν πρὸς τὴν φιλοσοφίαν εἶναι παιδευθείς.

CCLIX. — DIOGENI DIACONO.

ΣΝΘ. — ΔΙΟΓΕΝΕΙ ΔΙΑΚΟΝΩ.

Divino potius quam humano niti decet auxilio. (*Similis epist.* 226.)

Cur, o vir optime, Dei præsentiam hominum postponendam auxilio censes? aut quare mortalium amicitiam anteponis divinæ? Decet autem, adhibita in consilium ratione, non humanæ fragilitati victoriæ partes concedere, verum invictæ Dei dexteræ attribuere: cui inhærens superior omnibus apparebis tentationibus.

Διατί, ὦ βέλτιστε, τὴν θείαν συμμαχίαν δευτέραν τῆς τῶν ἀνθρώπων ἐπικουρίας ἡγῇ, ἢ τοῦ χάριν τὴν τῶν θνητῶν φιλίαν προτέραν ἄγεις τῆς θείας; Καίτοι χρῆν δήπου τὸν λογισμὸν τὸ δέον σκοποῦντα, μὴ τῇ ἀσθενεῖ τῶν ἀνθρώπων δυνάμει τὴν τῆς νίκης ἐπιτρέπειν ψῆφον, ἀλλὰ τῆς ἀηττήτου ἔχεσθαι δεξιᾶς· ἧς ὁ ἀντεχόμενος κρείττων δήπου τῶν πειρασμῶν ἀποφανθήσεται.

CCLX. — MARTINIANO, ZOSIMO, EUSTATHIO.

ΣΞ'. — ΜΑΡΤΙΝΙΑΝΩ, ΖΩΣΙΜΩ, ΕΥΣΤΑΘΙΩ.

Exhortatoria est ad vitæ emendationem. (*Vide epist.* 87, 120 *et* 269.)

Ne existimetis, boni viri, impune vos peccaturos: nolite Dei longanimitatem interpretari negligentiam, neque sanitatem corporis malorum esse tolerantiam; ac ne, quia statim non castigamini, futura Dei effugere judicia credatis: quin potius, re adhuc integra, pœnitemini. Absurdum enim maxime Dei patientiam ad pœnitentiam invitantem, ansam esse occasionemque plurium delictorum. Si vero, quod pœnas nondum dedistis, nec esse daturos exspectatis, vere scitote, divinum Numen, ut humanum est et benignum, ita etiam verax esse, et potens, minimeque mendax. Exhibet itaque benignitatem, priorum delictorum differens punitionem, et tempus largiens emendationis: simul vero crescentibus delictis tandem aliquando punit, simulque omnium delictorum præcedentium ac subsequentium scelerum pœnas exigit.

Μὴ νομίζετε, ὦ βέλτιστοι, ἀτιμωρητὶ ἁμαρτάνειν· μηδὲ ἀμέλειαν τὴν θείαν μακροθυμίαν ἡγήσησθε, μηδὲ ῥαστώνην τὴν ἀνεξικακίαν· μηδὲ ἐπειδὴ παραχρῆμα οὐκ ἐκολάσθητε, καὶ ἐπὶ τῶν μετὰ ταῦτα διαφυγεῖν ὑπολάβητε· ἀλλ' ἕως ἔξεστι, μετανοήσατε. Ἀτοπώτατον γὰρ, τὴν θείαν ἀνεξικακίαν τὴν εἰς μετάνοιαν καλοῦσαν, ἐφόδιον μειζόνων ποιεῖσθαι ἁμαρτημάτων. Εἰ δὲ διὰ τὸ μηδέπω δεδωκέναι δίκην οὐδὲ δοῦναι προσδοκᾶτε· εὖ ἴστε, ὡς τὸ θεῖον ὥσπερ φιλάνθρωπόν ἐστιν, οὕτω καὶ ἀψευδὲς καὶ δυνατόν· φιλανθρωπεύεται γοῦν, καὶ τὰ πρῶτα τῶν πταισμάτων παρίησιν ἀτιμώρητα, καιρὸν ἐπανορθώσεως χαριζόμενον· ὁμοίως δὲ, ἢ καὶ μᾶλλον τῶν πλημμεληθέντων ἀκμαζόντων, τελευταῖον ἀμύνεται· καὶ ὁμοῦ πάντων, τῶν τε ἔμπροσθεν, τῶν τε ὕστερον τολμηθέντων δίκας εἰσπράττεται.

938 CCLXI. — ISCHYRIONI.

ΣΞΑ'. — ΙΣΧΥΡΙΩΝΙ.

Peccata publica scandalaque a Deo punita.

Etsi admirandum præterque opinionem visum iri quod dicam scio, nihilominus, quia verum est, proferam: nimirum qui peccat gravius, clam tamen, et offendiculum affert nemini, minus esse puniendum, quam qui minus graviter peccat, libere tamen offendit ac supplantat quamplurimos. Quod si meis fidem dictis habere recusas, pro hyperbole rei fidem excedente, sententiam e cœlo arcessam, legemque inde hanc revocabo. Nihil enim aliud Moysi, viro integerrimo, omnes jam virtutes adepto, mareque jam Rubrum transgresso, indixit Deus, quam ne eos, qui secum aquas transierant, scandalo offenderet. Siquidem et antea alia comitata sunt (Deo enim ipsi contradixit), semel iterumque in Ægyptum missus, hæc subjicit: « Sexcenta millia peditum hujus populi Israelitici sunt; et tu dicis: Dabo eis esum carnium mense integro. Numquid cædentur oves et boves? vel omnes pisces maris in unum con-

Εἰ καὶ θαυμαστὸν καὶ παράδοξον εἶναί σοι δόξει τὸ ῥηθησόμενον, ἀλλ' ὅμως ἀληθὲς ὂν λελέξεται· ὅτι ὁ μεγάλα πταίσας, λαθὼν δὲ καὶ μηδένα σκανδαλίσας, τοῦ καταδεέστερα μὲν πεπλημμεληκότος, μετὰ παῤῥησίας δὲ καὶ τοῦ πολλοὺς ὑποσκελίσαι, ἐλάττονα δώσει δίκην. Εἰ δὲ ἀπιστεῖς, καὶ ὑπερβολὴν καταγινώσκεις τοῦ λόγου, τὴν ψῆφόν σοι ταύτην οἴσω ἐκ τῶν οὐρανῶν, καὶ τὸν νόμον τοῦτον ἐκεῖθεν ἀναγνώσομαι. Τὸν γὰρ πανάριστον Μωσέα, τὸν πᾶσαν ἐπιλαθόντα ἀρετὴν, οὐδὲν ἕτερον ἐκώλυσε μετὰ τὸ πέλαγος καὶ τοῦ λιμένος τυχεῖν, ἢ τὸ σκανδαλίσαι τοὺς συνόντας αὐτῷ ἐπὶ τοῦ ὕδατος. Εἰ γὰρ καὶ πρώην τινὰ παρηκολούθησε (καὶ γὰρ ἀντεῖπε τῷ Θεῷ, καὶ ἅπαξ καὶ δὶς, πεμπόμενος εἰς Αἴγυπτον), καὶ μετὰ ταῦτα εἶπεν· « Ἑξακόσιαι χιλιάδες εἰσὶ πεζῶν· καὶ σὺ εἶπας· Κρέα δώσω αὐτοῖς, καὶ φάγονται μῆνα ἡμερῶν. Μὴ πρόβατα καὶ βόες σφαγήσονται; ἢ πᾶν τὸ ὄψον τῆς θαλάσσης συναχθήσεται, καὶ ἀρκέσει αὐ-

Digitized by Google

τοῖς; » Καὶ μετὰ ταῦτα κατωλιγώρησε, καὶ τοῦ δήμου τὴν προστασίαν παρῃτήσατο· ἀλλ' οὐδὲν ἕτερον αὐτὸν ἐκώλυσεν εἰσελθεῖν εἰς τὴν γῆν τῆς ἐπαγγελίας, ἧς ἕνεκεν τῶν ἄλλων ἁπάντων ἦν καὶ ἡγεμὼν καὶ δημαγωγὸς, ἢ τὸ ἐπὶ τοῦ ὕδατος συμβάν. Διὰ τοῦτο καὶ ὁ ἀκήρατος νοῦς τῆς ἁμαρτίας τὴν φύσιν ἐκπομπεύων, καὶ παραδηλῶν ὅθεν γέγονεν ἀσύγγνωστος, ἔφη, ὅτι « Οὐχ ἡγιάσατέ με ἐνώπιον τῶν υἱῶν Ἰσραὴλ, διὰ τοῦτο οὐκ εἰσαγάγητε τὴν συναγωγὴν ταύτην εἰς τὴν γῆν, ἣν ἔδωκα αὐτοῖς. » Τῇ μὲν γὰρ φύσει ἔλαττον ἦν ἐκείνων τοῦτο τὸ πταῖσμα· τῷ δὲ μετὰ τῆς ἑτέρων κραθῆναι βλάβης, οὐ μόνον ἐκείνων, ἀλλὰ καὶ συγγνώμης μεῖζον ἐγένετο. Τὰ μὲν γὰρ κατ' ἰδίαν καὶ λανθανόντως, τὸ δὲ ἐπὶ τοῦ δήμου παντὸς ἡμαρτάνετο.

A gregabuntur, et sufficiet eis "? » Sed deinde neglexit, et populi præfecturam deprecatus est : verum aliud nihil ipsum impedivit ingredi in terram promissionis (cujus rei causa dux et intercessor populi erat constitutus) quam quod ad aquas contigit. Propterea et mens integra peccati naturam pellens, ostendensque cur venia indignus esset, ait : « Non sanctificastis me inter filios Israel. Propterea non introducetis synagogam in eam terram, quam dedi ipsis [66]. » Natura quidem et reipsa minus erat id, quam illorum delictum ; quoniam tamen id cum aliorum damno contigerat, non modo hæc promeruit, verum etiam majus fuit, quam ut veniam mereretur. Illa enim privatim et clam, hoc vero coram populo commissum est.

ΣΞΒ'. — ΑΔΑΜΑΝΤΙΩ.

CCLXII. — ADAMANTIO.

Eloquentiæ ostentator explosus.

Ὁ φίλος ὁ σὸς ἦλθε μὲν οὐ μαθητόμενος, ὡς ἔλεγεν, ἀλλ' ἐπιδειξόμενος καὶ διδάξων, καὶ τὸ φρόνημα τῶν δοκούντων τι εἰδέναι σβέσων. Ἀπῆλθε δὲ παθὼν, ὃ δρᾶσαι προσεδόκησεν.

Amicus ille tuus venit, non quidem aliquid docendus, ut aiebat, sed docturus demonstraturusque, atque eorum, qui sibi scire aliquid videntur, opinionem refutaturus. Abiit itaque illud passus, quod facturum se sperabat.

ΣΞΓ'. — ΟΥΡΑΝΙΩ ΔΙΑΚΟΝΩ.

CCLXIII. — URANIO DIACONO.

Dicendi ratio optima, simplex, sine fastu.

Ἡ τῶν ὀρθῶς καὶ μετὰ πόνου διδασκόντων ψυχὴ (πολλοὶ γὰρ μετ' ἐπιδείξεως καὶ καταφρονήσεως ἐξηγούμενοι ἐκλύουσι καὶ τῶν ἀκροατῶν τὴν προθυμίαν), πρῶτον μὲν διὰ τῶν ὀφθαλμῶν ἐμφαίνει τὴν εὐλάβειαν· πολλὰ γὰρ αὐτῶν πρὸς τὸν λόγον τὰ κέντρα· ἔπειτα δὲ καὶ διὰ τῶν ὀφρύων διασημαίνει τὸν νοῦν τῶν διδαγμάτων· λόγῳ δὲ μετρίῳ χρῆται, οὔτε ὑπὸ τρυφῆς ἐξυβρίζοντι, οὔτε ὑπὸ ταπεινότητος ἐξευτελιζομένῳ. Εἰ γὰρ καὶ ἡ φράσις εἴη ἀναττίκιστος, ἀλλά γε τὰ ὑποδείγματα καὶ τὸ εἰς εὐλάβειαν βλέπειν διαναστήσει τοὺς φοιτητάς.

Recte laborioseque docentium animus (multi enim cum ostentatione atque contemptu explanantes magnam auditorum discendi promptitudinem infringunt) primum quidem oculis pietatem præ se fert : eos enim oculi sermonum stimulos addunt. Deinde etiam supercilliis mentem sensumque doctrinæ suæ indicant ; **639** oratione vero utitur moderata, deliciis non lasciviente, neque humilitate nimis attenuata. Si enim phrasis Attica non sit, sed simplex, exempla tamen ad pietatem excitare plurimum discipulos valent.

ΣΞΔ'. — ΗΣΑΙΑ.

CCLXIV. — ESAIÆ.

De activa vita seu negotiosa. (*Confer. epist.* 110.)

Μὴ τῷ δεινὸς εἶναι πράγμασι χρῆσθαι, ὡς ἀδρανεῖς φέγε τοὺς τῆς ἀπραγμοσύνης ἐρῶντας (73)· ἀλλὰ τῷ πολλάκις εἰς χειμῶνας χαλεποὺς ἐμπεπτωκέναι, μακάριζε τοὺς, ὡς ἐνδέχεται, εἰς τὸν λιμένα τῆς ἡσυχίας ὁρμῶντας. Εἰ δὲ καὶ αὐτοῖς πολλάκις σπιλάδες κατασκήπτουσιν, ἀλλ' οὐκ ἔστιν ἴσον τὸ μὴ μόνον τὰ πελάγη τῶν πραγμάτων διαπλεῖν, ἀλλὰ καὶ ἑαυτὸν εἰς τὸ πέλαγος τῶν παθῶν ἐμβάλλειν, καὶ τὸν πειρασμὸν ἐνεγκεῖν. Τὸ μὲν γὰρ ῥιψοκινδύνων ἐστὶν ἀνδρῶν, καὶ ἐμπορικὸν βίον ἀνῃρημένων· τὸ δὲ δικαίων δοκιμαζομένων, καὶ ὥσπερ χρυσὸς βασανιζομένων. Εἰ δὲ τὸ πρακτικόν σοι καὶ δραστήριον ἀρέσκει, μάνθανε ὅτι οὐκ ἔστι τοῦτο ὃ σὺ φῄς· ἐπεὶ κατὰ μικρὸν προϊὼν, καὶ τοὺς συκοφάντας τῶν φιλοσόφων προτιμήσεις, καὶ τοὺς παλιγκαπήλους τῶν ἐλευθερίως μεταχειριζομένων τὰ πράγματα, καὶ τοὺς

Cave ne, quod sis rebus gerendis idoneus, ut ignavos spernas eos, qui otiosam inutilemque vitam amplectuntur. Sed quod sæpe in tempestates molestasque procellas incideris, felices eos prædica, quod eos jam tranquillitatis exceperit portus. Tametsi enim ipsi sæpe ex aquarum vorticibus emerserint, fieri tamen nequit, ut quis negotiorum transmeet pelagus, quin interdum etiam passionum fluctibus absorbeatur, et in tentationes varias incidat. Illud enim virorum est proprium projectæ audaciæ mercatoriamque vitam sectantium : hoc vero eorum qui justi habentur, ac veluti in igne aurum probari solent. Si vero actio tibi vitaque placeat negotiosa, disce non esse quod tu opinaris. Paululum enim progressus et sycophantas philosophis honore præferes, et institores libere nego-

[66] Num. xx, 21, 22. [66] Deut. xxxii, 51.

VARIÆ LECTIONES ET NOTÆ.

(73) Pro ἐρῶντας ambo codd. Vat. 650 et Alt. scribunt ἔρωτας. Possis.

Digitized by Google

tiantibus, fraudes machinantes dolosque suentes, lis qui justitiam in lingua circumferunt; sed eam vitam activam virtutes esse cense exercere, et omne studium iis impendere.

τὰς μηχανὰς πλέκοντας, καὶ δόλους ῥάπτοντας τῶν τὸ δίκαιον ἐπὶ γλώττης φερόντων· ἀλλὰ τὸ τὰς ἀρετὰς ἀσκεῖν, καὶ περὶ ταύτας πᾶσαν τὴν σπουδὴν ἐπιδείκνυσθαι.

CCLXV. — HELIÆ DIACONO.

ΣΞΕ'. — ΗΛΙᾼ ΔΙΑΚΟΝΩ.

Docentis ac concionantis est prius agere, dehinc docere. (*Confer. epist.* 4, 35, 213 *et* 233.)

Consulendum est dicturo, ut non verbis tantum, sed reapse persuadeat auditoribus. Omnis enim oratio opere destituta non tantum inane quid et evanidum est, sed etiam opprobrium affert, potissimum dicenti, a quo profertur. Quanto enim expeditiore uti sermone student, tanto minus etiam illis creditur : sed et risus argumentum esse existimant. Quare magis agendum, quam dicendum. Si autem nolint agere, ne dicant quidem.

Βουλεύεσθαι χρὴ τὸν ὑφηγητὴν μὴ τί εἴποι μόνον, ἀλλὰ τί πράξας πείσοι τοὺς φοιτητάς. Πᾶς μὲν γὰρ λόγος, ὅταν ἔργου χηρεύῃ, οὐ μόνον μάταιόν τι φαίνεται καὶ κενὸν, ἀλλὰ καὶ εἰς ὄνειδος περιίσταται· μάλιστα δὲ ὁ παρὰ τῶν ἐξηγητῶν προφερόμενος. Ὅσῳ γὰρ ἑτοιμότατα αὐτῷ χρῆσθαι σπουδάζουσι, τοσούτῳ μᾶλλον ἀπιστοῦσιν ἅπαντες αὐτῷ· ἀλλὰ καὶ γέλωτος ὑπόθεσιν αὐτὸν εἶναι νομίζουσιν. Οὐκοῦν μάλιστα μὲν πρακτέον, καὶ λεκτέον· εἰ δὲ μὴ βούλοιντο, οὐδὲ λεκτέον.

CCLXVI. — THEONI PRESBYTERO.

ΣΞϚ'. — ΘΕΩΝΙ ΠΡΕΣΒΥΤΕΡΩ.

Tempus quia labitur, ratio ejus habenda.

Ne tempus abire ac fluere ignoremus, multis ostenditur signis et argumentis : puta nocte, die, hebdomade, mense, anno, atque Olympiade. Olim enim Olympiadibus dignoscebatur. Imperantibus autem Romanis, consulatibus designabatur. Si enim motus cœli, ut tradit Plato, **640** tempus genuit; sol autem metitur et consulatus format (ipsi enim anno id nomen, quibus et consulibus ornatur). Ista vero omnia fiunt signa, nec tantum propter corpora, et vitæ, ut aiunt quidam, negotia atque contractus (nam et testamenta et tabulæ, et omnia, ut verbo dicam, securitatis pignora per ista signantur) manifesta sunt et clara, sed etiam ne et nos velut in ignoto pelago navigantes, nec signis illud dimetientes, temere ac sponte ad littora venientes vacuis manibus portum subeamus, sed ut tempori velocissimo ac retineri vel reverti aut etiam stare nescio concurrentia bona opera possidentes, cum multis mercibus ad littora appellamus. Habeamus itaque instantis temporis rationem. Nam tunc et capi potest et retineri. Præteritum enim elapsumque assequi non possumus. Alatum enim est et velox, et longe a tergo relinquit insequentes: quin etiam cominus prehendi nequit.

Ἵνα μὴ ῥέων ὁ χρόνος ἄδηλος ᾖ, πολλοῖς σημείοις κατάδηλος γέγονεν, ἡμέρᾳ καὶ νυκτὶ, ἑβδομάδι καὶ μηνὶ, ἐνιαυτῷ τε καὶ Ὀλυμπιάδι. Πρώην γὰρ ταῖς Ὀλυμπιάσι διεγινώσκετο· Ῥωμαίων δὲ βασιλευσάντων, ταῖς ὑπατείαις γνώριμος καθίσταται. Εἰ γὰρ καὶ οὐρανοῦ κίνησις, ὥς φησι Πλάτων, τὸν χρόνον ἐγέννησεν· ἀλλ' ἥλιος μετρεῖ καὶ ὑπατεία μορφοῖ (τῷ γὰρ ἐνιαυτῷ τοῦτο ὄνομα, ὥνπερ καὶ ὑπάτων ἠξίωται). Ταῦτα δὲ πάντα γέγονε τὰ σημεῖα, οὐ μόνον διὰ τὰ σώματα καὶ τὰ βιωτικὰ, ὥς φασί τινες, πράγματά τε καὶ συμβόλαια (καὶ γὰρ καὶ αἱ διαθῆκαι, καὶ τὰ γραμματεῖα, καὶ πάντα, ὡς ἔπος εἰπεῖν, τὰ τῆς ἀσφαλείας ἐνέχυρα διὰ τούτων σφραγίζεται), δῆλά τέ ἐστι καὶ σαφῆ· ἀλλ' ἵνα καὶ ἡμεῖς μὴ ὡς ἀδήλῳ πελάγει πλέοντες, καὶ σημείοις μὴ ἀναμετροῦντες τοῦτο, αὐτομάτως εἰς τοὺς λιμένας ἐλθόντες κεναῖς ὁρμισθῶμεν χερσίν· ἀλλὰ τῷ χρόνῳ ὀξυτάτῳ ὄντι, καὶ μήτε ἄγχεσθαι, μήτε παλινδρομῆσαι, ἀλλὰ μηδὲ στῆναι ἐπισταμένῳ συνθεούσας τὰς ἀγαθὰς πράξεις κεκτημένοι, μετὰ πολλῆς τῆς ἐμπορίας εἰς τοὺς λιμένας ἐλάσωμεν. Ἐχώμεθα τοίνυν τοῦ χρόνου πλησιάζοντος· ἔξεστι γὰρ τότε καὶ λαθέσθαι καὶ κατασχεῖν· παραδραμόντος γὰρ μεταδιώκειν ἀνήνυτον. Ἑπτερωμένος γὰρ ὢν καὶ ὠκὺς, πόρρωθεν μὲν ἀφίησι τοὺς διώκοντας, ἀμήχανος δέ ἐστι καὶ γενομένοις ἐγγὺς ληφθῆναι.

CCLXVII. — EIDEM.

ΣΞΖ'. — ΤΩ ΑΥΤΩ.

Pœna quando irroganda. (*Sup. epist.* 42.)

Dum effrenate insanit improbitas, neque accedit moderatio, tunc pœna solum ac supplicio potest coerceri.

Ἡ πονηρία ὅταν ἀκαθέκτως λυττήσῃ, καὶ μηδὲ σωφρονισμὸν προσίηται, ὑπὸ τιμωρίας μόνης κωλύεσθαι πέφυκεν.

CCLXVIII. — CYRILLO EPISCOPO.

ΣΞΗ'. — ΚΥΡΙΛΛΩ ΕΠΙΣΚΟΠΩ.

Regia potestas clerum in ordinem redigere an possit. (*Conf. epist.* 278, *et lib.* II, *epist.* 234, *et lib.* IV, *epist.* 219. *Vide Chrysost. De regis et monachi comparatione.*)

Sacerdotii olim dignitas peccantes redarguebat reges, regebatque, nunc vero his subjecta est : decus tamen pristinum non amisit, sed qui sacerdotio initiati sunt, non eodem modo, quo apud sæcu-

Πάλαι μὲν ἡ ἱερωσύνη πταίουσαν τὴν βασιλείαν διωρθοῦτο καὶ ἐσωφρόνιζε, νῦν δὲ ὑπ' ἐκείνην γέγονεν, οὐ τὸ οἰκεῖον ἀξίωμα ἀπολέσασα, ἀλλὰ τοὺς ἐγχειρισθέντας οὐχ ὁμοίους τοῖς (74) ἐπὶ τῶν ἡμετέ-

VARIÆ LECTIONES ET NOTÆ.

(74) Pro ὁμοίους τοῖς codd. Vatic. 650 et Alt. legunt ὁμοίως τῶν. Possin.

Digitized by Google

ρων προγόνων ἔχουσα. Πρώην μὲν γὰρ εὐαγγελικὸν καὶ ἀποστολικὸν πολιτευομένων βίον τῶν τὴν ἱερωσύνην ἐστεμμένων, εἰκότως ἡ ἱερωσύνη τῇ βασιλείᾳ ἦν φοβερά· νῦν δὲ ἡ βασιλεία τῇ ἱερωσύνῃ· μᾶλλον δὲ οὐκ αὐτῇ, ἀλλὰ τοῖς ἱερᾶσθαι μὲν δοκοῦσι, δι' ὧν δὲ πράττουσιν αὐτὴν ὑβρίζουσι. Διό μοι δοκεῖ καὶ ἡ βασιλεία εἰκότως ποιεῖν· οὐ γὰρ τὴν ἱερωσύνην ὑβρίσαι προῃρημένη, ἣν ἐκθειάζει, ἀλλ' ἐκδικῆσαι ὑβριζομένην, τοὺς οὐ δεόντως αὐτῇ χρωμένους σωφρονίζει.

A lum prius memoriæ majorum sese gerunt. Olim enim cum evangelicam et apostolicam ducerent vitam qui sacris rite operabantur, merito regiæ dignitati erant terrori : nunc vero contra regia majestas sacerdoti. Vel potius non ipsi, sed iis, qui sacerdotes quidem videntur, factis autem statui sunt injurii. Recte itaque consulunt aguntque reges. Non enim sacerdotium lædere propositum est iis, quod religiose ipsi revereantur, sed vindicare læsam dignitatem ab iis, qui non debite administrant, satagunt.

ΣΞΘ'. — ΗΛΙΑ ΔΙΑΚΟΝΩ.

CCLXIX. — HELIÆ DIACONO.

Pati adversa, salutare corpori animæque. (*Confer. epist.* 254 *et* 260.) « *A Domino corripimur, ne cum hoc mundo damnemur* [65]. »

Οὐ τοὺς πταίοντας, ὦ τᾶν, καὶ κολαζομένους ἐνταῦθα θρηνεῖν χρὴ, ἀλλὰ τοὺς ἀτιμωρητὶ πταίοντας. Ὥσπερ γὰρ οὐ τὸ νοσεῖν δεινὸν, ἀλλὰ τὸ νοσοῦντα θεραπείαν μὴ προσίεσθαι· οὐδὲ τὸ ἔχειν σηπεδόνα θρήνων ἄξιον, ἀλλὰ τὸ ἔχοντα μὴ ἀπολαύειν ἰατρικῆς τέχνης (ὁ γὰρ τεμνόμενος καὶ καιόμενος πρὸς θεραπείαν ὁδεύει, τὴν ἀπὸ τῆς ἀλγηδόνος θεραπείαν καρπωσάμενος)· οὕτω καὶ ἐπὶ τῶν ψυχῶν διακεῖσθαι χρή. Αἱ μὲν γὰρ κολαζόμεναι ἐνταῦθα, πρὸς ὑγείαν ἕλκονται· αἱ δὲ ἀτιμωρητὶ πταίουσαι, εἰς ἀναλγησίαν ὁδεύουσιν.

B Delinquentes, heus tu ! et in hac vita castigati deplorandi non sunt, sed qui impuniti abeunt. Ut enim non tam molestum est ægrotare, quam morbo medelam non afferri ; **641** ac neque putrescens ulcus lamentis sit dignum, sed potius remedium a medico non adhiberi : qui enim secatur uriturve, ad curationem properat, dolorum percepturus medelam : idem animis usuvenire existimandum est. Quæ enim hic pœnæ suppliciaque tolerantur, ad salutem traducunt ; at impune qui ferunt, ii fere mali sui sensum amittunt.

ΣΟ'. — ΕΡΜΙΝΩ ΚΟΜΗΤΙ.

CCLXX. — HERMINO COMITI.

Tentationes exemplo Job saluti esse. (*Confer. epist.* 39, 68, 71, 87, 96 *et* 226.)

Οὐ πάντως τὰ αὐτὰ πάθη τὰς αὐτὰς ῥίζας ἔχουσιν, οὐδὲ πᾶσαι αἱ κολάσεις ἐνταῦθα ἐκ πλημμελημάτων τὰς ὑποθέσεις ἔχουσιν· ἀλλ' οἱ μὲν δι' ἁμαρτήματα κολάζονται, οἱ δὲ διὰ τὸ δοκιμασθῆναι πάσχουσιν, ἵν' οἱ μὲν δίκας, οἱ δὲ δοκίμια τῆς ἀρετῆς δοῖεν. Καθάπερ γὰρ ἡ βασανῖτις λίθος τὸν χρυσὸν δοκιμάζει, ἐξ ἧς λίθου οἶμαι καὶ τὸ βασανίζεσθαι ὠνοματοπεποιῆσθαι· οὕτω καὶ οἱ πειρασμοὶ τοὺς δικαίους ἐλέγχουσιν, ὡς καὶ τῷ Ἰὼβ ἐρρέθη· « Οἴει με ἄλλως σοι κεχρηματικέναι, ἢ ἵνα ἀναφανείης δίκαιος; » Οἱ δὲ ἀνόητοι ἀπὸ τῶν πειρασμῶν καὶ τοὺς βίους τῶν πειραζομένων διαβάλλουσιν. Ὅπερ καὶ οἱ τοῦ Ἰὼβ φίλοι, καὶ ὁ Σεμεεὶ, καὶ οἱ βάρβαροι πεπόνθασιν. Οἱ μὲν γὰρ ἔλεγον τῷ ἀοιδίμῳ στεφανίτῃ τῷ πᾶσαν τοῦ διαβόλου συγκόψαντι τὴν δύναμιν· « Οὐκ ἄξια ὧν ἡμάρτηκας μεμαστίγωσαι; » Ὁ δὲ ἀνδροφόνον ἐκάλει τὸν πραότατον, ἀπὸ τῆς συμφορᾶς ταύτην φέρων περὶ αὐτοῦ τὴν ψῆφον. Οἱ δὲ ἐπειδὴ ὁ ἔχις (75) τῆς χειρὸς εἵχετο τῆς ἀποστολικῆς, ἔφασκον· « Πάντως φονεύς ἐστιν ὁ ἄνθρωπος οὗτος, ὃν διασωθέντα ἐκ τῆς θαλάττης ἡ δίκη ζῆν οὐκ εἴασεν. »

C Affectiones eædem radices habent non omnino easdem, ut neque pœnæ hic omnes ex peccatis habent originem : sed alii ob crimina puniuntur, alii vero, ut probentur explorenturque, ideo castigantur. Illi quidem ut pœnas dent, hi vero ut virtutis dent specimen. Quemadmodum lapis enim Lydius βασανίτης, *explorator*, dictus, quod aurum exploret : unde et Græcum verbum βασανίζεσθαι pro *examinare* et *explorare* derivatum : sic et ipsæ tentationes justos ostendunt ac probant, ut Job dixit : « Putas me aliter respondisse tibi quam ut appareas justus [66] ? » Insipientes vero ob tentationes vitam illorum qui tentantur criminantur, ut et amici ipsius Job, et Semei, ac barbari fecerunt. Illi enim illustri athletæ, qui omnem dæmonis fregit impetum, D dixerunt : « Nonne digne ob peccata flagellatus es [67] ? » Semei vero mitissimum Davidem inclamat ut homicidam, calamitatis hoc ferens judicium. Barbari vero (in Melita insula), cum anguis Pauli manum apprehendisset, jactarunt : « Utique homicida est hic homo : qui cum evaserit e mari, ultio non sinit eum vivere [68]. »

ΣΟΑ'. — ΘΕΟΓΝΩΣΤΩ.

CCLXXI. — THEOGNOSTO.

Divitiæ, honor, et prudentia humana, caduca sunt, ideoque præstat Deo confidere. (*Conf. epist.* 3, 50 *et* 58, *et lib.* III *epist.* 250.)

Οὐδὲν, ὦ θαυμάσιε, ὁ πλοῦτος, κἂν πολὺς ᾖ καὶ πάντοθεν ἐπιῤῥέῃ· οὐδὲν τὸ ἀξίωμα, κἂν βασιλικὸν

Divitiæ, vir admirande, etsi multæ, et undique affluentes, nihil sunt, neque dignitas, ne regia qui-

[65] I Cor. xi, 32. [66] Job xxxiii, 32. [67] ibid. [68] Act. xxviii, 4.

VARIÆ LECTIONES ET NOTÆ.

(75) Pro ὁ ἔχις ambo codd. habent ἡ ἔχις. Possin.

Digitized by Google

dem, ac neque prudentia, licet bene dicendi ornata facultate, nisi spe in Deum temperetur. Caducæ etenim divitiæ, quibus divinum numen non favet. Perduntur enim sæpenumero, et cum possessoribus radicitus evertuntur veluti planta sterilis, et agrestis propinquisque noxia arboribus. Infida quoque et fallax regia potestas, nisi ab invicta Dei dextera regatur. Ad hæc prudentia, nisi divina ornetur sapientia, inutilis plane est, quasi freno destituta. Prudentes enim enervat, retroque agit et desinit eorum consilium. Quare si hæc in hac vita caduca sunt iis, qui erga Deum instabiles sunt, et futura difficiliora, ad sacram confugiamus anchoram.

A ᾖ· οὐδὲν ἡ σύνεσις, κἂν εὐγλωττίᾳ κοσμῆται, εἰ μὴ τῇ ἐλπίδι τῇ πρὸς τὸ Θεῖον κιρνᾶται (76). Πλοῦτος μὲν γὰρ σαθρὸς, ᾧ τὸ Θεῖον οὐκ ἐπιψηφίζεται· συνανεσπάσθη γὰρ πολλάκις καὶ ῥιζωθεὶς τοῖς κτησαμένοις, ὥσπερ τι φυτὸν ἄκαρπον καὶ ἀνήμερον, καὶ τοῖς πλησίον λυμαινόμενον δένδροις· σφαλερὰ δὲ καὶ βασιλεία, παρὰ τῆς ἀηττήτου δεξιᾶς μὴ οἰακιζομένη· φρόνησις δὲ μὴ κοσμουμένη τῇ θείᾳ σοφίᾳ, ἀνό[ν]ητος, ἅτε δὴ μὴ ἀνθηνιοχουμένη. Ἀποστρέφει γὰρ φρονίμους εἰς τὰ ὀπίσω, καὶ τὴν βουλὴν αὐτῶν μαραίνει. Εἰ τοίνυν καὶ τὰ ἐνταῦθα σαθρὰ τοῖς πρὸς τὸ Θεῖον σαθροῖς, καὶ τὰ μέλλοντα χαλεπώτερα, ἐχώμεθα τῆς ἱερᾶς ἀγκύρας.

642 CCLXXII. — NILO.

ΣΟΒ'. — ΝΕΙΛΩ.

Prædicit imminentem Ecclesiæ calamitatem ex scelesta clericorum vita.

Audax profecto, quod scribis, est, tamen verum, B quod major omni spe et voto rerum a Christo facta instauratio prope est ut offuscetur eorum qui ab eo honorantur extrema iniquitate. Quemadmodum enim si hoc aggressi essent, ut cum illo qui eos honoravit decertent, sic nihil non agunt quod in ejus cedat blasphemiam. Ecquis igitur hoc vel a reprehensione liberet, vel supplicio eximat? qui armis sacerdotii contra armantem usi, et infidelium ora patefacientes, et quod egregium ad emendationem minime sibi comparantes.

Τολμηρὸν μὲν ὄντως τὸ παρὰ σοῦ γραφὲν, ἀληθὲς δέ· ὅτι ἡ κρείττων πάσης ἐλπίδος τε καὶ εὐχῆς τῶν πραγμάτων ἐπανόρθωσις ἡ ὑπὸ τοῦ Χριστοῦ γεγενημένη, κινδυνεύει ἀμαυροῦσθαι ὑπὸ τῆς τῶν παρ' αὐτοῦ τιμηθέντων ἀνυπερβλήτου κακίας· ὡς γὰρ εἰς τοῦτο προχειρισθέντες, ἵνα τῷ τιμήσαντι πολεμήσοιεν, οὕτως ἅπαντα δρῶσιν, ἃ ἂν εἰς τὴν ἐκείνου διαβαίνει βλασφημίαν. Τίς οὖν ἐξέλοιτο τούτους ἢ κατηγορίας ἢ δίκης, τοὺς τοῖς ὅπλοις τῆς ἱερωσύνης κατὰ τοῦ ὁπλίσαντος χρησαμένους, καὶ τὰ τῶν ἀπίστων στόματα ἀνοίξαντας, καὶ τὸ ὑπερφυὲς κατόρθωμα μηδὲν (77) παρασκευάσαντας;

CCLXXIII. — DOROTHEO VIRO CLARISS.

ΣΟΓ'. — ΔΩΡΟΘΕΩ ΛΑΜΠΡΟΤΑΤΩ.

Virtutem verbis qui jactant, opere non exercent.

Nemo cœlesti se dignum aula judicet, nisi virtu- C tum sit decoratus ornamentis. Quoniam enim verbis illam virtutem ostentantes, ut scribis, deprehenduntur, operibus vero non modo panegyri, frequentique conventu, sed et pœnis digna committunt, alia quidem lingua, alia pectore inclusa gestantes. Quos imitari nefas, imo maxime sunt deplorandi.

Οὐδεὶς μὲν ἀξιωθείη τῆς οὐρανίου πανηγύρεως, μὴ γνωρίσμασιν ἀρετῆς ἐμπρέπων· ἐπειδὴ δὲ λόγοις μὲν ταύτην σεμνύνοντές τινες, ὡς ἔφης, ἔργοις δὲ οὐ μόνον πανηγύρεως, ἀλλὰ καὶ τιμωρίας ἄξια δρῶσι, δῆλοί εἰσιν ἄλλα μὲν διὰ γλώσσης φέροντες, ἄλλα δὲ διὰ γνώμης ἔχοντες· οὓς οὐ χρὴ ζηλοῦν, ἀλλὰ κομιδῇ καταθρηνεῖν.

CCLXXIV. — DIOSCORO ET TIMOTHEO.

ΣΟΔ'. — ΔΙΟΣΚΟΡΩ ΚΑΙ ΤΙΜΟΘΕΩ.

Ad metanœam invitat.

Nihil prohibent, o boni viri, accusationes, quæ a quibusdam iisque fide dignis adversum vos afferuntur, quominus officii vos vestri admoneam. Grave enim fuerit, si nostram erga vos benevolentiam eorum exstinguant calumniæ. Quod igitur libet dicere, breviter accipite. Æquum est ut illos falsa referre ostendatis. Sin vera narrant, resipiscite. Quod si recusatis, scitote amicorum vos choro segregandos.

Οὐκ ἔστιν ὅπως αἱ αἰτίαι, ὦ βέλτιστοι, ἃς καθ' ὑμῶν λογοποιοῦσί τινες, καίτοι ἀξιόπιστοι εἶναι δοκοῦντες, κωλύσουσί με παραινέσαι τὰ δέοντα. Δεινὸν γὰρ ἂν εἴη, εἰ τὴν ἡμετέραν πρὸς ὑμᾶς εὔνοιαν αἱ παρ' ἐκείνων διαβολαὶ ἀνέλοιεν. Τί οὖν βούλομαι φράσαι, συντόμως ἀκούσατε· ὅτι δίκαιοι ἂν εἶητε δεῖξαι ἐκείνους μὴ ἀληθεύοντας· εἰ δὲ ἀληθεύουσι, γνωσιμαχήσατε· εἰ δὲ οὐ βούλεσθε, ἴστε τοῦ χοροῦ τῶν φίλων ἐκκριθησόμενοι.

CCLXXV. — PALLADIO DIACONO.

ΣΟΕ'. — ΠΑΛΛΑΔΙΩ ΔΙΑΚΟΝΩ.

Propria prius vitia emendanda, quam aliena reprehendenda. (*Conf. epist.* 176, 177, 196. *Similis ad eumdem epist.* 225.)

Valde ridiculum, alios regere velle qui sibi ipsi nequeunt imperare. Qui enim furentes animi motus non modo non subigit, sed et licentiam dederit po-

Κομιδῇ γελοῖον, ἑτέρων ἄρχειν ἐπιχειρεῖν τὸν ἑαυτοῦ ἄρξαι μὴ δυνηθέντα. Ὁ γὰρ τὰ οἰκεῖα πάθη λυττῶντα μὴ μόνον μὴ ὑποτάξας, ἀλλὰ καὶ ἄδειαν αὐ-

VARIÆ LECTIONES ET NOTÆ.

(76) Codd. Vatic. 650 et Alt., κυβερνᾶται. Possin.
(77) Inter μηδὲν et παρασκευάσαντας ambo codd. inserunt νομισθῆναι. Id.

Digitized by Google

τοῖς τοῦ πάντα ὅσα βούλονται καὶ δύνανται ποιεῖν δεδωκώς, οὗτος καταγέλαστος ἔσται, τὰ τῶν ἄλλων πειρώμενος διορθοῦν. Ταυτὸν γὰρ ποιεῖ, ὥσπερ ἂν εἴ τις ἰατρὸς ἕλκεσι βρύων τὰ τῶν πέλας θεραπεύειν ἐπιχειροίη. A testatemque fecerit, quæcunque libet potestque patrandi, hic perridiculus evadet, aliorum si errata corrigere audeat. Perinde enim facit, atque si medicus quis ulceribus scatens aliorum curare morbos suscipiat.

ΣΟϚ'. — ΕΡΜΙΝΩ ΚΟΜΗΤΙ.

CCLXXVI. — HERMINO COMITI.

De grassante Simonia, seu sacerdotii nundinatione. (*De qua et lib.* I, *epist.* 149 *et* 151, *et lib.* III, *epist.* 394, *et infra epist.* 393.)

Καὶ οἱ πιπράσκοντες καὶ οἱ ἀγοράζοντες, ὡς γέγραφας, τὴν ἱερωσύνην, μέγιστον καθ' ἑαυτῶν ἐκφέρουσι δεῖγμα, ἧς ἔχουσι περὶ τοῦ πράγματος δόξης. Οὐ γὰρ ἂν ἐτόλμησαν, οἱ μὲν πωλῆσαι, οἱ δὲ ἀγοράσαι πρᾶγμα θεῖον, καὶ ὃ πολιτείᾳ ἀρίστῃ καὶ τρόποις ὀρθοῖς χρεωστεῖται. Κανὼν γὰρ τοῦ πράγματος ἡ ἐπιτηδειότης τοῦ λαμβάνοντος, εἰ μὴ παίγνιον αὐτὸ B εἶναι ἠγήσαιτο. Ποία οὖν ἀποκείσεται τιμωρία τοῖς παίζουσιν ἐν οὐ παικτοῖς, ἡ σὴ ἂν εἰδείη φρόνησις. Πάλαι μὲν οὖν ἐπὶ τῶν Ἑβραίων ἐκ γένους κατηγομένης τῆς ἱερωσύνης, ἐμέμφοντο πολλοί, δι' ἣν αἰτίαν τῷ γένει, ἀλλ' οὐ τῇ ἀρετῇ ἀπενεμήθη· ἐπειδὴ δὲ καὶ ἐπὶ τὸ βέλτιον μετεκοσμήθη, καὶ εἰς τὴν ἀρετὴν μετεκομίσθη, μειζόνως παροινεῖται, ἢ ὅτε καὶ ἐλάττων ἦν, καὶ τῷ γένει ἀπεκεκλήρωτο. Τότε μὲν γὰρ εἰ καὶ ἦσάν τινες ἀνάξιοι, ἀλλὰ ἦσαν καὶ ἄριστοι· τὸ δὲ χρήμασιν ὠνεῖσθαι παντελῶς ἀπηγόρευτο· νυνὶ δ' ὅτε καὶ ἐπὶ τὸ κρεῖττον ἐπιδέδωκε, καὶ τῇ ἀρετῇ ἀπενεμήθη, μειζόνως κατεπατήθη. Τίς γὰρ τῶν ἀρίστων ἀξιώσει κολακεῦσαι, ὥστε ταύτης τυχεῖν; ἢ τίς τολμήσει χρήμασιν ὠνήσασθαι χρῆμα ἀγγέλοις πρέπον; Εἰ τοίνυν οὗτοι οὔτε κολακεύειν C ἀξιοῦσιν, οὔτε ἀγοράσαι τολμῶσιν· εἰσὶ δ', ὡ, ἔφης, οἱ κολακείαις καὶ χρήμασι τὴν ἱερωσύνην προπίνοντες (οἱ μυρίων ἄξιοι δῆλον ὅτι τιμωριῶν), οὗτοι καὶ κολακεῦσαι καὶ ἀγοράσαι οὐκ ἂν παραιτήσοιντο. Λόγος τοίνυν περιφοιτᾷ κατὰ γῆν καὶ θάλατταν, ὅτι οὐδεὶς τῶν εὖ βιούντων λοιπὸν εἰς ἱερωσύνην προχειρισθήσεται, οὐκ ἐπειδὴ τοὺς ἀξίους οὐκ ἔχει τὸ πρᾶγμα, ἀλλ' ἐπειδὴ οὐ μόνον τῷ τῶν πολλῶν κρύπτονται πλήθει, ἀλλὰ καὶ μισοῦνται, καὶ ἐπιβουλεύονται, καὶ ἐξοστρακίζονται, ὡς τῶν πολλῶν ἐλέγχοντες (78) τὸν βίον. Et vendentes et ementes, ut ad me scripsisti, sacerdotium, ii magnum contra se **643** proferunt argumentum suæ quam de hoc negotio habent opinionis. Alioqui non essent ausi emere et vendere rem divinam, quæ optimæ debetur administrationi, rectisque moribus. Regula enim hujus rei est, aptus ut sit qui suscipit, nisi ludicra quædam res habeatur. Cui enim pœnæ obnoxius videatur ludens in re non ludicra, tua non ignorat sapientia. Olim quidem cum apud Hebræos sacerdotalis dignitas uni certæ familiæ assignata esset, murmurabant non pauci, cur illi stirpi potius ac generi quam virtuti daretur. Postquam vero jam sacerdotium, et dignius esse, et virtutis haberi ratio cœpit, majore afficitur injuria quam cum ignobilius esset, ac stirpi hæreditarium : etsi enim tunc nonnulli eo indigni essent, erant tamen et optimi, pecunia vero nundinari omnino vetitum erat. Nunc vero cum et præstantius sacerdotium sit datum et virtuti attributum, magis contemnitur. Quis enim vir bonus assentari vellet, ut illo potiatur ? aut quis ausit pecunia mercari rem ipsis angelis dignam ? Quare siquidem neque adulari velint, neque [sacerdotium] audeant emere : sunt vero, uti scribis, adulationibus et pecuniis sacerdotium propinantes (quos mille supplicii dignos esse constat), isti adulari, et emere non recusabunt. Quamobrem sermo terra marique spargitur, nemini recte viventi ad sacerdotium jam aditum patere, non quod digni tanto desint muneri, sed quod non modo in multitudine deliteseant, sed et invisi sint et traducantur atque expellantur, nimirum quod multorum vitam reprehendant.

ΣΟΖ'. — ΤΩ ΑΥΤΩ.

CCLXXVII. — EIDEM.

Hosti parcens vere magnanimus.

Ἴσθι, ὦ θαυμάσιε, ὡς δόξαν μεγαλοψυχίας D ἐκτήσω ἐχθροῦ φεισάμενος· καὶ τοῦτ' αὐτὸ μὲν τοὺς σοὺς ἀκριβῶς ἐπιστάμενος τρόπους προὔλεγον, ὡς μετὰ τὸ χειρώσασθαι δείξει μεγαλοφροσύνην, καὶ ἐλέγξει τοὺς μικροψύχους· ἦσαν δὲ οἱ ἀπιστοῦντες, οἵτινες ἐκ τῶν καθ' ἑαυτοὺς καὶ περὶ τῶν ἄλλων ψηφίζονται· ὅμως τὸ τέλος ἔδειξεν, ὡς οὐ διήμαρτον. Ὃν γὰρ ἐλεῖν ἐσπούδασας, ἐλὼν ἀφῆκας, ἵνα μὴ ἀσθενὴς νομισθείης, ἀλλὰ δυνατὸς καὶ φιλάνθρωπος. Scito, vir admirande, magnanimitatis te gloriam consecutum hosti parcendo : quod et ipsum tuos accurate mores cognitos habens prædixeram, ut agendo ostenderes summam generositatem, et pusillanimes argueres. Erant autem qui id non credebant, ii scilicet qui ex seipsis de aliis judicant : exitus tamen eventusque ostendit me non aberrasse. Quem enim capere studuisti, captum dimisisti, ne imbecillis judicareris, sed potens et humanus.

ΣΟΗ'. — ΠΕΤΡΩ.

CCLXXVIII. — PETRO.

Cur sacerdotii dignitas regibus veneranda passim extiterit. (*Conf. epist.* 368 *et alias.*)

Σὺ μὲν θαυμάζεις, δι' ἣν αἰτίαν ἐπὶ μὲν τῶν Miraris tu quidem cur apud majores sincerus est

VARIÆ LECTIONES ET NOTÆ.

(78) Pro ἐλέγχοντες codd. Vat. 650 et Alt. scribunt ἐλέγχονται. Possin.

Digitized by Google

ab omnibus honos sacerdotibus habitus, **644** nunc vero prudentia pleni homines aperte eos reprehendant. Alii coram quidem reverentur, occulte vero criminantur. Et alii quidem fugiunt, alii vero ipsis adblandientes, quo moliri illis insidias queant, obtrectant. Verum id ego nihil miror. Cum enim eadem cum ipsis non agant, nec eadem etiam consequuntur : sed illis contraria molientes, contraria experiuntur. Contra enim admirandum esset, si qui nihil par majoribus agant, parem cum illis honorem consequerentur. Ab illis majoribus etiam peccantes reges castigabantur, ab his ne privati quidem opulentiores : quinimo si vel pauperem aliquem ad frugem meliorem revocare contendant, exsibilantur, ut qui iisdem sæpe vitiis capti tenentur, ob quæ alios audent reprehendere. Quamobrem olim sacerdos populo erat formidabilis ; nunc contra populus terrori est sacerdoti.

Α προγόνων εἰλικρινὴς τιμὴ παρὰ πάντων τοῖς ἐπιτεμένοις τὴν ἱερωσύνην ἀπενέμετο, νῦν δὲ οἱ μὲν φρονήματος ἐμπλησθέντες φανερῶς αὐτοὺς κωμῳδοῦσιν· οἱ δὲ κατὰ πρόσωπον αἰδοῦνται, λάθρα δὲ κακίζουσι. Καὶ οἱ μὲν φεύγουσιν, οἱ δὲ καίτοι κολακεύοντες αὐτούς, διὰ τὸ καὶ ἐπιβουλεύειν δύνασθαι, διασύρουσιν. Ἐγὼ δὲ οὐ τοῦτο θαυμάζω. Οὐ γὰρ τὰ αὐτὰ ἐκείνοις πράττοντες τῶν αὐτῶν οὐ τυγχάνουσιν, ἀλλὰ τἀναντία ἐκείνοις ἐπιτηδεύοντες, τῶν ἐναντίων πειρῶνται. Τοὐναντίον γὰρ ἂν ἦν θαυμαστὸν, εἰ μηδὲν ποιοῦντες τῶν προγόνων ἴσον, καὶ [τῆς] αὐτῆς τιμῆς ἐκείνοις ἐτύγχανον. Ἐπὶ μὲν γὰρ ἐκείνων καὶ βασιλεῖς πταίοντες ἐσωφρονίζοντο, ἐπὶ δὲ τούτων οὐδὲ ἰδιῶται πλούσιοι· κἂν σωφρονίσαι δέ τινα πένητα ἐπιχειρήσωσιν, ὀνειδίζονται, ὡς ἐπὶ Β τοῖς αὐτοῖς ἁλόντες πολλάκις, ἐφ' οἷς ἐκείνους σωφρονίσαι τετολμήκασι. Διόπερ πρώην μὲν ἦν ὁ ἱερεὺς τῷ λαῷ φοβερὸς, νῦν δὲ ὁ λαὸς τῷ ἱερεῖ.

CCLXXIX. — HERACLIDI EPISCOPO.

ΣΟΘ'. — ΗΡΑΚΛΕΙΔΗ ΕΠΙΣΚΟΠΩ.

Blandius agendum, more medici, in delictis puniendis.

Magnum profecto delictum est, venia tamen dignum. Castiganda itaque audacia, animique confidentia, danda nihilominus venia. Fortasse enim ad emendationem medelamque tendit morbus. Quando et præstantissimi medici, cum multa eis vulnera ægritudinesque sese offerunt, non tantam adhibent curam, quantum summa ars exposcit, sed quantum ferunt laborantis vires, ne dum vulnera curare nituntur, ægrotantem e medio tollant.

Μέγα μὲν ὄντως τὸ πταῖσμα, ἀλλ' οὐ συγγνώμης μεῖζον· διὸ χρὴ κολάσαι μὲν τὴν ἐτοιμίαν, συγγνώμην δὲ νεῖμαι. Τάχα πως ἐπὶ θεραπείαν ὁδεύσει τὸ πάθος· ἐπεὶ καὶ οἱ τῶν ἰατρῶν ἄριστοι, ὅταν τις πολλὰ περικέηται τραύματα, οὐ τοσαύτην ἐπάγουσι θεραπείαν, ὅσην ἀπαιτεῖ τῆς τέχνης ἡ ἀκρίβεια, ἀλλ' ὅσην φέρει τοῦ κάμνοντος ἡ δύναμις, ἵνα μὴ τὰ τραύματα θεραπεύσαντες, τὸν κάμνοντα διαφθείρωσιν.

CCLXXX. — PETRO.

ΣΠ'. — ΠΕΤΡΩ.

Bonum pro malo rependendo gratia initur; « *sic carbones ignis congeres supra caput ejus.* » (*Rom.* XII, 20. *Supr. epist.* 23.)

Etsi notum omnibus exsistit amentiæ reum atque odio ebrium adversarium esse tuum, illa tamen effutit quæ si potens esset exsequeretur. Verum ne id te turbet, neque bellum suscipito implacabile ; quin potius bene merendo ipsum invertere stude. Etsi enim fera esset omnique durior petra, tamen beneficio victus tuo, odium ponet.

Εἰ καὶ πᾶσι δῆλόν ἐστιν, ὅτι ἄνοιαν ὀφλισκάνων (79), καὶ ὑπὸ τῆς ἔχθρας μεθύων ὁ σὸς διάδικος, ὅμως ἐκλαλεῖ ταῦτα, ἃ δυνηθεὶς πράξει. Ἀλλά σε τοῦτο μὴ ταραττέτω, μηδὲ εἰς τὸ ἀδιάλλακτον χειραγωγείτω, ἀλλὰ καὶ εἰς τὸ εὖ ποιεῖν αὐτὸν προτρεπέσθω. Εἰ γὰρ θηρίον εἴη, καὶ παντὸς λίθου ἀναισθητότερος, ἀλλ' ὅμως αἰδεσθεὶς τὴν εὐεργεσίαν, κατάθοιτο τὴν ἔχθραν.

CCLXXXI. — PETRO MONACHO.

ΣΠΑ'. — ΠΕΤΡΩ (80) ΜΟΝΑΖΟΝΤΙ.

Scripturæ oratio humilis, sed mens profunda : humana autem sapientia culta verbis, sensu cassa. Quare hanc illi, ut ancillam dominæ, inservire æquum est.

Divinæ philosophiæ oratio in sacris Litteris humilis quidem est, sensus vero sublimis, planeque cœlestis. Externorum sane scriptorum splendida est oratio, res vero humi repit. Si quis igitur illius valeat consequi sensus, hujus vero dicendi elegantiam, næ ille sapientissimus habeatur. Eloquentia enim instrumentum esse queat cœlestis scientiæ, si ei ut animæ corpus subjiciatur, et ut lyra lyristæ, **645** nihil quidem privatim innovans, sed interpretis

Τῆς θείας σοφίας ἡ μὲν λέξις πεζὴ, ἡ ἔννοια δὲ οὐρανομήκης· τῆς δὲ ἔξωθεν λαμπρὰ μὲν ἡ φράσις, χαμαιπετὴς δὲ ἡ πρᾶξις. Εἰ δέ τις δυνηθείη τῆς μὲν ἔχειν τὴν ἔννοιαν, τῆς δὲ τὴν φράσιν, σοφώτατος ἂν δικαίως κριθείη· δύναται γὰρ ὄργανον εἶναι τῆς ὑπερκοσμίου σοφίας ἡ εὐγλωττία, εἰ καθάπερ σῶμα ψυχῇ ὑποκέοιτο, ἢ ὥσπερ λύρα λυρῳδῷ, μηδὲν μὲν οἰκοθεν καινοτομοῦσα νεώτερον, ἑρμηνεύουσα δὲ τὰ οὐρανομήκη ἐκείνης νοήματα· εἰ δ' ἀντιστρέφοι τὴν

VARIÆ LECTIONES ET NOTÆ.

(79) Demosthenicum est, παράνοιαν ὀφλισκάνειν, orat. in Timocratem : Ἐφ' ἑκάστου τούτων ἤλίκην ἂν ὀφληκότες παράνοιαν ἦτε· *Quantæ insaniæ ab hominibus damnaremini, cum desipere vos judicaverint homines in unoquoque horum?* Scriptt.

(80) Non Πέτρῳ sed Πρίμῳ hanc inscribit cod. Vatic. 650. Possin.

Digitized by Google

τάξιν, καὶ δουλεύειν ὀφείλουσα, ἡγεῖσθαι, μᾶλλον δὲ τυραννεῖν οἷά τε εἶναι νομίζοι, ἐξοστρακισθῆναι ἂν εἴη δικαία.

pretans illius meditationes : sin ordinem hunc invertat, et cum debeat servire, regere aut potius imperare vult, æquum est ut expellatur.

ΣΠΒ'. — ΒΟΗΘΩ ΜΟΝΑΧΩ.

CCLXXXII. — BOETO MONACHO.

Dei voluntate justi in mundo sæpe affliguntur. (*Confer. epist.* 6 *et* 86.)

Μὴ θορυβείτω σε τὸ πολλοὺς τῶν φιλαρέτων μυρία ἐνταῦθα πάσχειν δεινὰ, ἀλλ' εἰς ἔννοιαν ἀγέτω, ὅτι καὶ οἱ τῶν ἐπὶ γῆς βασιλέων φίλοι, οὗτοι μάλιστα παρακινδυνεύουσιν ἐν πολέμοις, καὶ τραύματα ἔχουσι, δι' ὧν τὰ τρόπαια ἔστησαν, ἀποδημίας τε μακρὰς στέλλονται. Εἰ δὲ οὐ καταδέχῃ, ἐννόει ὅτι εἰσί τινες καὶ τῶν δικαίων κἀνταῦθα εὐημεροῦντες. Ὥστε εἰ σκανδαλίζουσί σε, ἅτε ἀσθενέστερον ὄντα, οἱ ἐν πειρασμοῖς, οἰκοδομείτωσάν σε οἱ ἐν ἀνέσει. Καὶ εἰ σκανδαλίζουσί σε οἱ ἐν ἀνέσει τῶν πονηρῶν, ὀρθούτωσάν σε οἱ ἐν κολάσει καὶ τιμωρίαις.

Cave conturbet te quod multi probi mala infinita patiantur; sed in mentem revoca, idem etiam regum amicis usuvenire. Hi enim in bello potissimum periclitantur, accipiuntque vulnera, quibus erigi solent tropæa, et in longinquas ablegantur regiones. Quod si non capis, cogita et esse justorum multos perbelle hic agentes ac quiete. Itaque si offendant velut imbecilliorem qui in tentationibus sunt, erigant tranquilli : et si offendant qui in vitiorum licentia versantur, emendent te qui pœnis et supplicis afficiuntur.

ΣΠΓ'. — ΘΕΟΔΟΣΙΩ ΣΧΟΛΑΣΤΙΚΩ.

CCLXXXIII. — THEODOSIO SCHOLASTICO.

Virtutum, vitiorumque nomina a multis confunduntur.

Λίαν θαυμάζω τῶν καὶ τὰ πράγματα καὶ τὰ ὀνόματα συγχεόντων. Εἰς τοσοῦτον γὰρ σοφίας ἥκουσιν, ὡς τὴν μὲν παῤῥησίαν ἀναισχυντίαν καλεῖν, τὴν δὲ ἀναισχυντίαν παῤῥησίαν, κατ' ἄμφω ἁμαρτάνοντες. Τοῦτο γὰρ δρῶσιν, ἢ ἵνα τὴν παῤῥησίαν ἐπιστομίσωσιν, ἢ ἵνα τὴν ἀναισχυντίαν εἰς μείζονα κακίαν παιδοτριβήσωσιν, οὐκ εἰδότες, ἢ εἰδότες μὲν, παραλογιζόμενοι δὲ ἑαυτοὺς, ὅτι ἀναισχυντία μέν ἐστιν ἡ ἐπὶ τοῖς αἰσχίστοις πάθεσιν ἀναιδὴς φλυαρία, παῤῥησία δὲ ἡ ἐπὶ τοῖς καλλίστοις εὔτολμος ἀπολογία. Χρὴ οὖν μὴ ταῖς τῶν διεφθαρμένων γνώμαις ἔπεσθαι, ἀλλὰ τῇ τῶν πραγμάτων ἀληθείᾳ. Οὐδὲ γὰρ κατὰ ἀνθρώπων μόνον ὁπλίζουσιν οἱ τοιοῦτοι τὰς γλώττας, ἀλλὰ καὶ κατὰ τῆς θείας δυνάμεως. Τὴν γὰρ μακροθυμίαν αὐτῆς ἀμέλειαν προσαγορεύοντες οὐκ ἐρυθριῶσιν. Οὐδὲν οὖν θαυμαστὸν, εἰ ὀνόματα ἀμείβουσιν οἱ πάντολμοι, ὁπότε καὶ εἰς οὐρανὸν τὰ βέλη πέμπουσι.

Valde equidem eos admiror, qui et res et nomina confundunt. Eo enim scientiæ ventum est, ut dicendi libertatem impudentiam nominent; et contra impudentiam loquendi vocent libertatem, utrinque errantes : idque faciunt ut vel loquendi libertatem ore clauso et obturato refrenent, vel ut impudentiam ad majorem nequitiam pueris instillent; idque nescientes vel scientes quidem, sed seipsos fallentes : quod impudentia quidem sit de turpibus passionibus inverecunda nugatio, libertas vero dicendi rerum optimarum audax defensio. Non itaque corruptis assentiendum opinionibus, sed rerum potius insistendum veritati. Non enim hi in homines duntaxat linguas acuunt, sed et in divinum Numen. Longanimitatem enim Dei negligentiam interpretari non erubescunt. Quid mirum igitur si nomina isti audaculi permutant, cum et in cœlum jaciant tela?

ΣΠΔ'. — ΠΡΙΜΩ ΜΟΝΑΖΟΝΤΙ.

CCLXXXIV. — PRIMO MONACHO.

Virtus spe præmii sustinetur, sed et ipsa virtus sibi præmium ac merces. (*Conf. epist.* 63, 130, 223.)

Ὁ στέφανον ἐπαγγελλόμενος τὴν ἀρετὴν ἀσκοῦντι, δύο χαρίζεται δωρεάς · μίαν μὲν τὴν πρᾶξιν, ἑτέραν δὲ τὴν ἀμοιβήν. Ἐμοὶ γὰρ καὶ ὁ ἆθλος αὐτὸς, εἰ καὶ ἐπίπονός ἐστι, τοῦ ἐπάθλου οὐχ ἧττον δωρεὰ εἶναι δοκεῖ, εἴγε ἡ μὲν ἀρετὴ ὑπόθεσίς ἐστι τοῦ στεφάνου, ὁ δὲ στέφανος οὐ δίδοται ἄνευ ἀρετῆς.

Qui coronam promittit virtutem operanti, duplex præstat præmium, alterum operis ipsius (cujus per promissionem causa est), alterum remunerationis. Neque enim opus ipsum sive virtutis certamen tametsi laboriosum sit, minus præmium videtur esse bravio ipso, cum et virtus ipsa præmii causa sit et coronæ, neque hæc sine virtute conferatur.

ΣΠΕ'. — ΩΡΙΩΝΙ ΜΟΝΑΖΟΝΤΙ.

646 CCLXXXV. — ORIONI MONACHO.

Præstat non bellare, quam subsidiis niti. (*Conf. epist.* 484.)

Πολὺ ἀσφαλέστερόν ἐστι τὸ μὴ πολεμεῖσθαι τοῦ συμμαχεῖσθαι· τὸ μὲν γὰρ ἡσυχίαν ἀπράγμονα ἔχει, τὸ δὲ ἀναγκάζει συμπολεμεῖν τοῖς βοηθήσασι, καὶ εἰ ἀδίκως πολεμοῖεν. Πολλάκις γὰρ ἀδικούμενοί τινες συμμαχίαν ἐπεκαλέσαντο· ἧς καὶ τυχόντες, τοῖς συμμαχήσασι δικαίως πολεμουμένοις, οὐ δικαίως ἀμύνουσι, χάριν ἄδικον ἀντὶ δικαίας ἐκτινύντες.

Multo securius est bello non premi, quam suppetias ab aliis accipere : illud enim quietis tranquillitatisque plenum est, hoc vero una cum auxiliantibus pugnare cogit, etsi pugnent injuste. Sæpenumero enim injuria affecti quidam sociorum opem advocarunt, quam nacti, etiam auxiliaribus suis bello justo petitis, non juste succurrunt, injustam pro justa gratiam rependentes.

Digitized by Google

CCLXXXVI. — ZENONI. A ΣΠϚ'. — ΖΗΝΩΝΙ.

Quid inter νουθετεῖν καὶ θέλγειν *intersit* (81). (*Conf. epist.* 347.)

Νουθετεῖν, *admonere*, sapientissime vir, convenit adolescentes, non θέλγειν, *demulcere*. Illud enim Græce dicitur, quasi mentem indere : hoc vero a blandiendo volentem ducere ; a voluntate enim abducendum est, et ad honesta ducendum docendumque est virtutem esse amplectendam ; vitium contra fugiendum. Illa enim coronas parit, hoc vero pœnam.

Νουθετεῖν, ὦ σοφώτατε, χρὴ τοὺς νέους, οὐ *θέλγειν*. Τὸ μὲν γὰρ εἴρηται παρὰ τὴν τοῦ νοῦ θέσιν, τὸ δὲ παρὰ τὸ εἰς ὃ θέλει ἄγειν, ἢ (82) παρὰ τὸ θέλοντα ἄγεσθαι. Τοῦ οὖν θελήματος ἀπακτέον, καὶ εἰς τὸ πρέπον ἀκτέον, καὶ διδακτέον τῆς μὲν ἀρετῆς ἀντέχεσθαι, τῆς δὲ κακίας ἀπέχεσθαι. Ἡ μὲν γὰρ στεφάνους, ἡ δὲ κολάσεις ὠδίνει.

CCLXXXVII. — NILO. ΣΠΖ'. — ΝΕΙΛΩ.

De iis qui manus sibi afferunt (83).

Si de duobus mari et femina dictum est illud : « Quæ Deus conjunxit, homo non separet [69] : » qui animum per vim a corpore avellit, et vel laqueo se B strangulat, vel cæde violenta sese necat, ecquam, quæso, veniam merebitur ? Tales nimirum exsecrandos atque infames etiam a morte veteres judicarunt, manumque abscissam, qua sibi vim intulit, et a corpore avulsam terræ mandabant : iniquum esse rati cædis administram cum reliquo corpore humo condi. Si vero manus ab hominibus pœna etiam post mortem afficitur, anima quæ manum impulit, quam veniam accipiet ?

Εἰ ἐπ' ἀνδρὸς καὶ γυναικὸς δυοῖν ὄντοιν λέλεκται· « Ἃ ὁ Θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω· » ὁ τὴν ψυχὴν βιαίως χωρίζων ἀπὸ τοῦ σώματος, καὶ ἢ ἀγχόνῃ ἑαυτὸν παραδιδοὺς, ἢ σφαγῇ, πῶς συγγνωσθήσεται ; Τοὺς τοιούτους γοῦν καὶ ἀπαράτους καὶ ἀτίμους, καὶ μετὰ θάνατον οἱ παλαιοὶ ἠγοῦντο· καὶ τὴν χεῖρα ἀποκόψαντες τοῦ ἑαυτὸν χειρωσαμένου, ἔξω που τοῦ ἄλλου σώματος καὶ μακρὰν ἔθαπτον· οὐχ ὅσιον εἶναι νομίζοντες, τὴν διακονησαμένην τῷ φόνῳ, τῷ λοιπῷ σώματι συνοσιοῦν. Εἰ δὲ ἡ χεὶρ παρὰ ἀνθρώποις δίκην καὶ μετὰ θάνατον ἀπῃτήθη, ἡ ψυχὴ ἡ καὶ τὴν χεῖρα παρορμήσασα ποίας τεύξεται συγγνώμης ;

CCLXXXVIII. — ISIDORO EPISCOPO. ΣΠΗ'. — ΙΣΙΔΩΡΩ ΕΠΙΣΚΟΠΩ.

Tres proborum hominum gradus, ingenui, mercenarii et servi. (*Inf. epist.* 296.)

Qui mercedis gratia quod æquum est faciunt, inferiores quidem sunt iis qui desiderio et amore virC tutis bene agunt ; illis vero meliores sunt, qui metu pœnæ id faciunt : idque quanto illi minores sunt iis qui virtutem sua gratia exercent.

Οἱ ἀμοιβῆς ἕνεκεν τὸ δέον πράττοντες, καταδεέστεροι μέν εἰσι τῶν πόθῳ τῷ πρὸς τὸ καλὸν εὐδοκιμούντων, ἀμείνους δὲ τῶν φόβῳ καὶ οὐ πόθῳ τοῦτο ποιούντων, πλέον ἢ ὅσον αὐτοὶ ἡττῶνται τῶν πόθῳ τὴν ἀρετὴν ἀσκούντων.

CCLXXXIX. — EIDEM. ΣΠΘ'. — ΤΩ ΑΥΤΩ.

Sapiens laqueos evitat improborum.

Etsi quidam occulte possint decipere, deprehensi vero supplantare ; tamen vir sapiens his superior deceptionem quidem deprehendet, reprehendet vero calliditatem.

Εἰ καί τινες δεινοί εἰσι παραλογιζόμενοι μὲν λαθεῖν, ἁλόντες δὲ παρακρούσασθαι· ἀλλ' ὁ σοφὸς κρείττων τούτων ὢν φωράσει μὲν τὴν ἀπάτην, διελέγξει δὲ τὴν δεινότητα.

647 CCXC. — HERACLIDI PRESBYTERO. Σϟ'. — ΗΡΑΚΛΕΙΔΗ ΠΡΕΣΒΥΤΕΡΩ.

De commonentis officio. Heli cur cum liberis a Deo punitus. (*Vide epist.* 20.)

Oportet, ut equidem arbitror, admonentem neque verberibus agere, neque convicia jacere, aut fortiter repugnare, sed reprehendere duntaxat cum libertate verentem nihil, nihilque metuentem. Hic

Οἶμαι, ὅτι οὐ τύπτειν, οὐ λοιδορεῖν, ἢ ὁμόσε χωρεῖν, ἀλλ' ἐλέγχειν μόνον μετὰ παῤῥησίας, μήτε αἰδούμενον, μήτε φοβούμενον χρὴ τὸν παραινέτην· εἰ δ' ἀμφιβάλλεις, τοὺς θείους σοι ἀναγνώσομαι χρη-

[69] Matth. XIX, 6.

VARIÆ LECTIONES ET NOTÆ.

(81) De hoc et lib. IV, epist. 194, disserit. Et Phocylides poemation suum, admonitionem ad virtutem νουθεσίαν inscripsit sic, *Νουθετικὸν ποίημα*. Schott.

(82) Inter ἄγειν et παρὰ omittunt ἢ codd. Vat. 650 et Alt. Possin.

(83) An mortem sibi consciscere liceat, quæsitum sæpenumero, ut ad illud quintum Decalogi præceptum, *Non occides*, ut copiose disputat B. Augustinus lib. I *De civitate Dei*, a cap. 19 usque ad 27, et ibi interpretes Lud. Vives et Leonar. Coquæus. De gentilibus vero Plato in *Phædone*, et ex illo M. Tullius I *Tuscul.*, *Vetat*, inquit, *summus ille imperator suo injussu statione decedere*. Aristot. quoque lib. V *Ethic. Nicomach.*, cap. ult., timidi esse, non fortis, viri vitæ suæ prodigum manus sibi afferre. Et Lactantius lib. III *Institut. divinar.*, cap. 18, nefario astrictum esse crimini asserit qui se necat, ut Lucretia, sed de hac re et P. Leon. Lessius opere *De justitia et de jure* et Joan. Mariana, tract. *De morte et immortalitate*, edit. II, nosque lib. V *Divinarum observationum*. Schott.

Digitized by Google

σμούς· τί γὰρ ἔφη ὁ Θεὸς τῷ Ἰεζεκιήλ; « Καὶ σὺ ἐὰν διαστείλῃ τῷ ἀνόμῳ, καὶ μὴ ἀποστρέψῃ ἀπὸ τῆς ἀνομίας αὐτοῦ ὁ ἄνομος, ἐν τῇ ἀνομίᾳ αὐτοῦ ἀποθανεῖται· σὺ δὲ τὴν ψυχήν σου ῥύσῃ. » Σιωπῶν μὲν γὰρ, καὶ μὴ παῤῥησιαζόμενος, κοινωνεῖς ἐκείνῳ, φησὶ, τῆς τιμωρίας. Προείρηκα γὰρ, « Ἐὰν μὴ διαστείλῃ τὸ αἷμα αὐτοῦ ἐκ τῆς χειρός σου ἐκζητήσω. » Τὰ περὶ (84) σαυτοῦ δὲ εἰσφέρων ἀπαλλάττῃ τῆς καταδίκης. Τῷ μὲν γὰρ καὶ ἀργαλεωτέρα γενήσεται ἡ κόλασις, μηδὲ τὴν σὴν παραδεξαμένῳ παραίνεσιν. Σὺ δὲ τὸ κελευσθὲν διαπραξάμενος, ἀνεύθυνος ἔσῃ. Οὐδὲν γὰρ τοῦ διδασκάλου ἐστὶν, ἢ ἄληπτον παρέχοντα τὸν βίον παιδεύειν, μηδαμῶς αἰδούμενον τῶν ἁμαρτανόντων τὴν ἀξιοπιστίαν. Τὸ δὲ πράττειν ἢ μὴ, τῆς τῶν μαθητευομένων ἥρτηται γνώμης, παντί τε καὶ παντα-χοῦ τοῦ αὐτεξουσίου φυλαττομένου. Εἰ δὲ φαίης· Πῶς οὖν ὁ Παῦλος τὸν πεπορνευκότα ἀπεῖρξε; μεῖζον ἢ ἐγὼ βούλομαι λέγεις· οὐ γὰρ ἐτύπτησεν ἢ ὕβρισεν, ἀλλ' ἐχώρισε τῆς ἀγέλης, ἵνα μὴ καὶ εἰς τὰ λοιπὰ πρόβατα τὸ λοιμῶδες διαδοθῇ νόσημα. Εἰ δὲ πάλιν φαίης· Πῶς οὖν ὁ Ἠλεὶ νουθετήσας, καὶ μὴ ἀνύσας δέδωκε δίκην; φήσαιμι, ὅτι παντὶ μὲν σθένει ἐπὶ παίδων καὶ ἱερέων χρὴ καὶ ἐπεξιέναι, καὶ κωλύειν τῆς ἀγιστείας, καὶ ἐξ ὄψεως ποιεῖν, καὶ ἀποχειροτονεῖν· καὶ μάλιστα ὅταν εἰς τὸ Θεῖον ἡ ὕβρις διαβαίνῃ. Διὸ καὶ προσέκρουσεν· ἐγρῆν γὰρ αὐτὸν μὴ πέρα τοῦ δέοντος εἶναι φιλόπαιδα, ἀλλὰ τοῖς θείοις νόμοις ἐπαμῦναι ὑβριζομένοις. Ποτὲ δέ τις ἀπολογήσασθαι ὑπὲρ αὐτοῦ βουληθεὶς ἔφη, ὅτι φαίνεται οὐκ ἂν αὐτὸς δίκην δοὺς τοσοῦτον, ὅσον οἱ παῖδες· ἐκεῖνοι μὲν γὰρ ὀργῆς ἐπιπολασάσης θείας, αἰσχρῶς καὶ ἐλεεινῶς ἐν τῷ πολέμῳ ἀπέθανον, οὗτος δὲ μετὰ γῆρας βαθὺ ἐν τῇ πόλει· καὶ αὐτὴ δὲ ἡ ἀπόφασις, εἰ τὰς θείας τις συλλαβὰς περιεργάσοιτο, φαίνεται οὐ κατ' αὐτοῦ, ἀλλὰ κατὰ τοῦ οἴκου ὁρισθεῖσα· « Ὤμοσα γάρ, φησὶ, τῷ οἴκῳ Ἠλεὶ, εἰ ἐξιλάσεται ἁμαρτία οἴκου Ἠλεὶ, ἢ ἐν θυμιάμασιν, ἢ ἐν θυσίαις, ἕως αἰῶνος. Οὐκ εἶπε, φησὶν, Ὤμοσα τῷ Ἠλεί· οὐδ', ὅτι Οὐκ ἐξιλάσεται ἁμαρτία Ἠλεὶ (ἤρκεσε γὰρ αὐτῷ ἴσως πρὸς σωφρονισμὸν ταύτης μόνης τῆς ἀμελείας· τὰ γὰρ ἄλλα ἦν θαυμαστός· τὰ τῇδε αὐτῷ συμβεβηκότα ἀνιαρὰ) ἀλλὰ Οἴκῳ Ἠλεί· ἀντὶ τοῦ, πάντως τοὺς ἡμαρτηκότας ἀπολέσθαι χρή. Εἰ δὲ, ἐπειδὴ μετέστησεν εἰς ἑτέραν συγγένειαν τὴν ἱερωσύνην, λέγοι τις· Εἶπεν ὁ ὑπὲρ αὐτοῦ τὴν ἀπο-λογίαν ἀναδεξάμενος, ὅτι εἰκότως. Τοὺς γὰρ ἐκ τῶν υἱῶν αὐτοῦ τῶν ἡμαρτηκότων, καὶ τοῦ Θεοῦ, καὶ τοῦ γεννήτορος καταπεφρονηκότων τεχθέντας, οὐκ ἔτι ἐχρῆν ἱεράσθαι.

si hæreas ambigens, divina recitabo oracula. Quid enim ait Deus Ezechieli : « Tu si annuntiaveris impio, et ille non fuerit conversus ab impietate sua, impius in iniquitate sua morietur : tu autem animam tuam liberasti [70]. » Tacens enim, nec libere reprehendens particeps, ait, fis ejus pœnæ. Paulo enim ante jam dixerat : « Si tu non annuntiaveris ei, sanguinem ejus de manu tua requiram [71]. » Si vero ex te officio satisfeceris tuo, non eris reus. Illi enim pœna gravior irrogabitur, qui tuam non admiserit admonitionem. Tu vero qui mandatum servasti, exsors eris criminis. Docentis etenim officium est inculpabilem agendo vitam, instituere alios, nihil verendo peccantium auctoritatem. Ut res conflat, aut non, id ex sensu pendet auditorum, ab omnibus, et ubique servata sententiæ libertate. Quod si objicias, quomodo ergo beatus Paulus prohibet arcetque fornicarium a cœtu fidelium [72]? majus quid opinione mea objicis. At non verberavit, injuriave affecit Apostolus, sed a grege fidelium separavit, ne pestifer ad reliquas oves morbus serpat. Si iterum subjicias : Quomodo igitur Heli admonens filios officii et nihil efficiens pœnas dedit [73]? respondeo : Oportet totis viribus in filiorum etiam sacerdotum nequitias animadvertere, eosque a sacris arcere, imo ex oculis pellere ac gradu dimovere, maxime vero cum in Deum redundet injuria. Idcirco etiam reus ipse evasit. Oportebat enim Heli ita liberos diligere, ut tamen officio non deesset suo, sed divinarum legum violationem vindicare. Rursum si quis eum volens defendere dixerit, videri non tam ipsum quam filios tantas persolvere pœnas debuisse (illi enim ira Dei effervescente fœde ac miserabiliter in bello perierunt : Heli vero gravis jam annis ac senex in urbe Silo mortuus), et huic quidem quæstioni responsum sit, si Dei expendas verba, non tam in ipsum Heli quam in ejus domum sententiam esse pronuntiatam. Ait enim : « Juravi domui Heli, si expiabitur peccatum domus Heli vel victimis vel sacrificiis in æternum [74]. » Non dixit : *Juravi Heli*, neque sic : *Non expiabitur delictum Heli* (id enim suffecisset ipsi fortasse ad negligentiæ hujus pœnam, erat enim alioquin admirandus Heli : quæ vero hic contigerant exsecranda sunt visa) ; sed ait : *Domui Heli*, quasi penitus exstingui peccatores omnes oporteret. **648** Si vero postquam jam sacerdotium ad aliam transtulit familiam id dixit (dixerit forte aliquis illius tuendi suscipiens partes), id merito factum : quandoquidem filii ejus in Deum parentemque peccaverant ; quorum posteris ut contemptorum, sacris amplius operari nefas erat.

ΣΛΑ'. — ΗΛΙΑ ΔΙΑΚΟΝΩ.

CCXCI. — HELIÆ DIACONO.

Fugiendum esse libidinosum feminarum aspectum. (*Conf. epist.* 95, 173.)

Τὴν ἀκόλαστον ὄψιν, τὴν τοῖς ἀλλοτρίοις κάλλεσιν

Servator noster lascivum aspectum, qui alterius

[70] Ezech. III, 19. [71] ibid. 18. [72] I Cor. V, 11. [73] I Reg. II, 22 seqq.; IV, 1 seqq. [74] I Reg. III, 14.

VARIÆ LECTIONES ET NOTÆ.

(84) Περὶ mutant in παρὰ iidem codd. Possin.

Digitized by Google

se pascit pulchritudine, merito puniendum interminatur [78], ab ipso nos malo animique impotentia abducens, ne per oculos pulchritudo illabens mentem redigat in servitutem, et animæ opportunitates præoccupans, rationem doceat affectui cedere, quo invalescente curatu difficile, ne dicam insanabile fiat malum. Cave igitur ne violentus affectus voluptatis animum aggressus non impossibilem quidem, sed perdifficilem ad curandum morbum concitet.

A ἐστιῶσαν ἑαυτήν, κολάσειν εἰκότως ἠπείλησεν ὁ Σωτὴρ, πραγμάτων ἡμᾶς ἀπαλλάττων καὶ ἀμηχανίας πολλῆς· ἵνα μὴ τὸ κάλλος διὰ τῶν ὀφθαλμῶν εἰσρυὲν τὸν νοῦν καταδουλώσηται· καὶ τὰ καίρια τῆς ψυχῆς προκαταλαβὸν, τὸν λογισμὸν πείσῃ τῷ πάθει παραχωρῆσαι· οὗ κρατηθέντος, δυσίατον, ἵνα μὴ λέγω ἀνίατον, γίνεται τὸ κακόν. Φυλάττου τοίνυν, ὅπως μὴ τὸ τυραννικὸν πάθος τῆς ἡδονῆς χειρωσάμενον τὴν ψυχὴν, ἀδύνατον μὲν οὐδαμῶς, δύσκολον δὲ αὐτῆς κατασκευάσῃ τὴν θεραπείαν.

CCXCII. — EIDEM.

ΣΚΒ'. — ΤΩ ΑΥΤΩ.

« Diligite inimicos vestros. » (*Matth.* v, 44.)

Etsi solent homines in gravissima calamitate illud cunctis anteferre, si quod volunt, consequi possint; hostes vero voto frustrentur suo: sed qui Christi nos esse discipulos gloriamur, non nostrum modo commodum, sed et eorum a quibus dissidemus quæramus bonum. Qui enim proximo prodest (etsi incredibile id videatur) sibi pariter prodest.

B Εἰ δὲ (85) πάντες εἰώθασιν ἐν ταῖς ἀσπόνδοις συμφοραῖς προτιμότερον ἄγειν τὸ τυχεῖν ὧν αὐτοὶ βούλονται, ἢ τὸ τοὺς πολεμίους ὧν ὀρέγονται διαμαρτεῖν· ἀλλ' ἡμεῖς οἱ τοῦ Χριστοῦ σεμνυνόμενοι εἶναι μαθηταὶ, μὴ τὸ ἑαυτῶν συμφέρον μόνον, ἀλλὰ καὶ (86) τῶν πρὸς ἡμᾶς διαφερομένων ζητῶμεν. Ἐν γὰρ τῷ συμφέροντι τῶν πέλας (εἰ καὶ παράδοξον τὸ λεχθησόμενον) καὶ τὸ ἡμέτερον συμπεριέχεται.

CCXCIII. — ISIDORO DIACONO.

ΣΚΓ'. — ΙΣΙΔΩΡΩ ΔΙΑΚΟΝΩ.

Sancta Scriptura ad sensus quidem varios torqueri potest, veritas tamen una.

Tametsi plurima, ut scribis, verba sanctæ Scripturæ ad illum quem quis volet sensum trahi possunt, eaque detorquere sit facile, veritas tamen, eos qui malitiose hæc vel corrumpere, vel male interpretari audent, vincit ac superat.

Εἰ καὶ πολλὰ, ὡς ἔφης, ῥήματα τῶν ἱερῶν λογίων πρὸς ὅπερ ἂν τις θέλῃ παρακρουόμενος, ἕλκειν καὶ βιάζεσθαι ῥᾴδιόν ἐστιν· ἀλλ' ἡ ἀλήθεια πάντων τῶν κακούργως αὐτὰ ἢ παραποιῆσαι, ἢ παρερμηνεῦσαι τολμησάντων καὶ περιγέγονε, καὶ περιγίνεται, καὶ

C περιέσται.

CCXCIV. — EUTONIO DIACONO.

ΣΚΔ'. — ΕΥΤΟΝΙΩ ΔΙΑΚΟΝΩ.

Gloriæ invidia comes.

Ignorare mihi videris excellentibus rebus gestis obvenire invidiam solere, quam qui clari sunt nominis effugere nequeunt, quamobrem conturbari videris. Discens igitur hoc, turbari desine. Præstat enim virtute præditos reprehendi ab iis qui probum esse neminem cupiunt, quam improbitatem amplexantes, plausum mereri apud eos qui recto carent de rebus judicio.

Ἀγνοεῖς, ὡς ἔοικεν, ὅτι ταῖς ὑπεροχαῖς τῶν πράξεων ἐπισυμβαίνειν εἴωθεν ὁ φθόνος· καὶ τοῦτον οὐκ ἔστιν ἐκφυγεῖν τοὺς λαμπρῶς ἀνακηρυττομένους, καὶ διὰ τοῦτο ἔοικας τεθορυβῆσθαι. Τοῦτο οὖν μαθὼν, ἀπαλλάγηθι τοῦ θορύβου· ἄμεινον γὰρ ἀρετὴν μετιόντας κακηγορεῖσθαι παρὰ τῶν μηδένα εἶναι βουλομένων εὐδόκιμον, ἢ κακίαν ἀσπαζομένους κροτεῖσθαι παρὰ τῶν τὴν ὀρθὴν τῶν πραγμάτων κρίσιν μὴ κεκτημένων.

649 CCXCV. — ISCHYRIONI.

ΣΚΕ'. — ΙΣΧΥΡΙΩΝΙ.

De lectione sanctæ Scripturæ : non hujus vitio improbos fieri (87).

Si quidem omnes qui sacram tractant Scripturam ad ejus normam instituerent vitam, tua quamdam rationem haberet oratio. Si vero multi, quos ego, tu quoque fortasse novimus, commonitiones laudant inter multos, religione ducti, contraria quæque clam audent aggredi, non propterea sacras accusabimus Litteras. Jubet enim sancta Scriptura lædi nemi-

D Εἰ μὲν πάντες οἱ ταῖς Γραφαῖς ὠμιληκότες, πρὸς τὴν ἐκείνων εἰσήγησιν κατεστήσαντο τὸν βίον, εἶχέ σού τινα λόγον ὁ λόγος· εἰ δὲ πολλοὶ οὓς οἶδα ἐγὼ, ἴσως δὲ καὶ αὐτὸς, τὰς παραινέσεις ᾄδοντες, ἐν μέσῳ ἐκθειάζοντες, πᾶν τοὐναντίον λάθρα τολμῶσιν, οὐ διὰ τοῦτο τὰς Γραφὰς γραψόμεθα. Ἔφησαν μὴ ἀδικεῖν, καὶ πολλοὶ ἀδικοῦσι. Τί τοῦτο πρὸς αὐτάς;

[78] Matth. v, 28.

VARIÆ LECTIONES ET NOTÆ.

(85) Pro εἰ δὲ codd. Vat. 650 et Alt. habent εἰ καί. Possin.

(86) Inter καὶ et τῶν iidem inserunt τό. Ib.

(87) Sic et de S. Scriptura B. Greg. Nazianz. in orat. I Steliteutica in Julianum παραβάτην, *Probis*, inquit, *virtutis est armamentum; et sceleratis nequitiæ stimulus.* Plura Junius cent. IV adagio, et emblemate 33 : *Scriptura pravis sica, fit scutum bonis.* Schott.

Digitized by Google

Ἔγραψα ἐγὼ Ζωσίμῳ ἀποστῆναι τῆς ἀσελγείας· αὐτὸς δὲ πλέον ἐγκαλινδεῖται τῷ βορβόρῳ· τί τοῦτο πρὸς ἐμέ; Οὐδὲν πλὴν εἰ μὴ τὴν ἀθυμίαν εἴποι τις ἄν.

nem, multi tamen lædunt. Quid hoc ad eam? Scripsi Zosimo ab impuris abstineret libidinibus, ipse vero in luto magis volutatur. Quid hoc ad me? Nihil profecto, nisi si demissionem animi quispiam dixerit.

ΣϞϚ'. — ΑΛΦΙῼ ΕΠΙΣΚΟΠῼ.

CCXCVI. — ALPHIO EPISCOPO.

De variis hominum ingeniis. (*Conf. epist.* 144 *lib.* III, *cum Notis C. Ritters. et supr. epist.* 288. *Horat. sat.* 1)

Λίαν θαυμάζω, ὅπως οὐ τοῖς αὐτοῖς χαίρουσι πάντες ἄνθρωποι· ἀλλ' οἱ μὲν συγγινωσκόμενοι ἐφ' οἷς πταίουσιν, εἰς ἀρετήν, οἱ δὲ εἰς κακίαν παιδοτριβοῦνται· καὶ τοῖς μὲν ἡ χρηστότης σωτήριον εὑρίσκεται βοήθημα, τοῖς δὲ ὀλέθριον δηλητήριον· τοὺς μὲν γὰρ ῥώννυσι, τοὺς δὲ ἐκλύει· τοὺς μὲν δυσωπεῖ, τῶν δὲ καὶ τὸ ἐρυθριᾷν προσαφαιρεῖται. Ἀλλ' οὐδὲ τῷ παραπόδας ἀπαιτεῖσθαι δίκας, πάντες ὁμοίως ὠφελοῦνται. Οἱ μὲν γὰρ ὡς ἀπάνθρωπον τοῦτο αἰτιῶνται· οἱ δὲ φόβῳ μὲν, οὐ πόθῳ δὲ, τῶν κακῶν ἀπέχονται. Καὶ οἱ μὲν φιλονεικοῦντες τῇ δίκῃ, ἀδικεῖν πειρῶνται· οἱ δὲ παθεῖν φεύγοντες, οὐ δρῶσιν ἃ δρᾷν ἐθέλωσιν· ἀμείνους μὲν ὄντες τῶν μηδὲ φόβῳ σωφρονιζομένων, καταδεέστεροι δὲ τῶν πόθῳ εὐδοκιμούντων, πλέον ἢ ὅσον αὐτοὶ ἀμείνους εἰσὶ τῶν μηδὲ τὴν δίκην δεδοικότων. Οἱ μὲν γὰρ τὴν τιμωρίαν, οἱ δὲ τὴν σωτηρίαν φεύγουσι· καὶ οἱ μὲν τὸ μὴ δοῦναι δίκην, οἱ δὲ τὸ δοῦναι διώκουσιν. Ἐπεὶ τοίνυν τί ποιητέον ἔφης ἐν τοσαύτῃ συγχύσει, ἀκριβῶς μὲν οὐκ ἔχω λέγειν. Ὁ γὰρ τὰς καρδίας ἐμβατεύων οἶδε· πλὴν ὡς, ἔγωγε οἶμαι, χρὴ ἐπὶ μὲν τοῖς μικροῖς ἁμαρτήμασιν, εἰ μὲν λανθάνοντες βελτιοῦνται, μηδὲ εἰδέναι προσποιεῖσθαι· εἰ δὲ εἰς τὸ χεῖρον τρέπονται, μετὰ τὸν ἔλεγχον καὶ τὴν μετρίαν ἐπιτίμησιν, συγγνώμην νέμειν, ἐπὶ δὲ τοῖς μεγάλοις ταύτην ταμιεύεσθαι, καὶ σωφρονίζειν τοὺς πταίοντας, καὶ χωρισμῷ καὶ ἐπιτιμίᾳ, ἕως ἂν μετανοήσωσι, καὶ τότε προσίεσθαι.

Valde equidem miror, qui fiat quod non omnes iisdem delectentur rebus, sed quidam veniam delictorum adepti virtuti dant operam, alii contra in vitiis perseverant. Illis quidem benignitas ad salutem consequendam auxilio est, aliis contra est exitio. Illos roborat, hos enervat : illos pudore ornat, aliis vero ruborem aufert. Verum non quod statim pœnæ exigantur, idcirco omnes similiter corriguntur. Aliqui enim ut inhumanum quid hoc accusant. Alii vero metu quidem, non amore, a vitiis abstinent, et isti quidem justitiæ reluctantes injuria alios conantur afficere. Alii pati injurias recusantes non faciunt quæ facere vellent, meliores quidem his exsistentes qui ne metu quidem adacti temperantes fiunt ac continentes, tanto his inferiores qui desiderio virtutis boni haberi volunt, quanto meliores iis qui ne supplicia quidem metuunt. Illi enim supplicium, hi vero salutem fugiunt. Et illi quidem ne dent pœnas, hi vero pati exoptant. Quando igitur quid facto sit opus in hoc rerum statu quæris, non possum equidem accurate dicere. Novit ille qui corda scrutatur Deus : tamen ut equidem arbitror, parva vitia, si occulte emendentur, etiam sunt dissimulanda. Si vero in deterius vitia vergant post correptionem et moderatam punitionem, venia est danda. In magnis autem peccatis hanc reservare et peccantes oportet corrigere, partim illos segregando, partim puniendo donec resipiscant, ac tunc recipiendi.

ΣϞΖ'. — ΙΩΣΗΦ ΠΡΕΣΒΥΤΕΡῼ.

CCXCVII. — JOSEPHO PRESBYTERO.

Sacerdotio non superbiendum.

Εἰ μὲν τὸ τῶν ἄλλων οὐκ οἶδ' ὅπως προκεχρίσθαι, καὶ εἰς ἱερωσύνην κατατετάχθαι, ἐφύσησέ σε, καὶ μέγα φρονεῖν παρεσκεύασεν, ὡς μηδὲ τοὺς ἐν τοῖς ὑπηκόοις τελοῦντας μὲν, εὐδοκιμοῦντας δὲ ζηλοῦν, ἐλεῶ σε τῆς ἀνοίας. Εἰ δὲ οὐκ ἀξιοῖς πρὸς ἐλάττους ὁρᾷν, καὶ τοῦτο αὐτὸ δεινότατον· εἰ τῶν τοσοῦτον, ὡς οἴει, λειπομένων τῇ ἀξίᾳ χείρων ἐν τοῖς ἔργοις φανείης· καὶ ὧν κρατεῖν οὐδὲν ἡγῇ θαυμαστὸν, τούτων ἡττᾶσθαι δόξεις. Καὶ μὴν εἰ κἀκείνων ῥαθυμίας ἔπνει ὁ βίος, σὲ οὐκ ἔδει τὴν περὶ τὴν ἀρετὴν ἐπιμέλειαν προέσθαι. Τὸ γὰρ μέσον πρὸς ἐκείνους σοι οὐκ ὀλίγον ὑπάρχον ἀφῃρεῖτο τὴν συγγνώμην. Εἰ δὲ ἐκεῖνοι μὲν λαμπρότεροι καὶ εὐδοκιμώτεροί εἰσιν, καίτοι τὸν ἡγησόμενον οὐκ ἔχοντες, σὺ δὲ (ἀλλ' οὐδὲν βούλομαι δυσχερὲς εἰπεῖν) θέα οἷ τελευτᾷ τὸ κακόν.

Si propterea quod aliis nescio quomodo sis prælatus, et in sacerdotii ordinem assumptus, idcirco superbias, altumque sapias, **650** ut neque eos qui inter subjectos quidem imperio parent, sed probi sint, et gloria clari, imiteris, tui me dementis miseret. Si vero ne digneris quidem inferiores te respicere, atque idipsum longe gravissimum, si iis qui tantopere, ut putas, tibi dignitate inferiores sunt, in operibus deterior appareas, et quibus imperare nihil mirum ducis, ab iis superari videaris. Etsi enim vita illorum ignaviæ plena esset, te tamen non oportebat virtutis studium intermittere. Nam intervallum quod inter te et illos intercedit non exiguum, veniam tibi denegat. Si vero illi clariores probatioresque sint ac duce carentes, tu tamen (nolo enim quid gravius dicere) considera quemnam finem malum hoc reperiet.

ΤϞΗ'. — ΕΥΤΟΝΙῼ ΔΙΑΚΟΝῼ.

CCXCVIII. — EUTONIO DIACONO.

Virtus calumniæ obnoxia. (*Conf. epist.* 294 *et* 341.)

Μὴ νόμιζε τῷ ἀσκεῖν ἀρετὴν, τὰς διαβολὰς δια-

Cave existimes virtutem exercendo te calumniam

Digitized by Google

evitare posse. Maxime enim illi insidiis et dicteriis appetuntur eorum, qui, quod virtutem non exerceant, nec quidquam honoris habent, illis invident, qui virtutis nomine honorantur. Melius itaque est virtuti deditos generose ferre obtrectatorum calumnias, quam propter invidiam a virtute desciscere.

κρούεσθαι· μάλιστα γὰρ οἱ τοιοῦτοι ἐπιβουλεύονται παρὰ τῶν τιμὴν μὲν οὐκ ἐχόντων, διὰ τὸ μὴ ἀσκεῖν ἀρετὴν, τοῖς δὲ ἀπ' ἀρετῆς τιμωμένοις φθονούντων. Ἄμεινον τοίνυν ἀσκοῦντας, γενναίως φέρειν τὰς τῶν βασκάνων κακοηθείας, ἢ τὸ φθονεῖσθαι παραιτουμένους ἀρετῆς ἀφίστασθαι.

CCXCIX. — HERMINO COMITI.

ΣΙΘ'. — ΕΡΜΙΝΩ ΚΟΜΗΤΙ.

Quinam veri apostolorum successores.

Miror sane quosdam qui, magistrali occupata cathedra, beatum quidem Paulum admirantur : ea tamen ob quæ ille sit admirandus non sectantur. Ille etenim, ut signa omittam et jejunia, et vigilias ac sollicitudines ardentemque zelum, cum infirmis infirmatus, cum scandalizatis aliis ustus est [76]. Quare exea quam ad discipulos concionem habuit clarus merito eximiusque esse apparuit. Ait enim : « Argentum et aurum aut vestem nullius concupivi : vos scitis quoniam ad ea quæ mihi opus erant et his qui mecum sunt, ministraverunt manus istæ [77]. » Ili vero (absit ut quid gravius proferam) seipsos tanto conferre viro non erubescunt, seque ejus esse asseclas jactant; non ignorant tamen quod ipsum admirentur non imitandi fine, sed ut divini hominis sectatores appareant, non ex suis operibus, sed ob ea opera illius quæ admirantur.

Θαυμάζω, πῶς τὸν Παῦλον θαυμάζοντές τινες τῶν νῦν τὸν διδασκαλικὸν θρόνον ἐπανῃρημένων, δι' ὧν θαυμαστὸς ἐγένετο ἐκεῖνος οὐκ ἐξετάσουσιν. Ἐκεῖνος γὰρ (ἵνα τὰ σημεῖα παρῶ, καὶ τὰς νηστείας, καὶ τὰς ἀγρυπνίας καὶ φροντίδας, καὶ τὸν πεπυρωμένον ζῆλον· ὅτι τε τοῖς ἀσθενέσι συνησθένει, καὶ ἄλλων σκανδαλιζομένων αὐτὸς ἐπυροῦτο), ἀφ' ἧς πεποίηται δημηγορίας πρὸς τοὺς φοιτητὰς, λαμπρὸς εἰκότως καὶ περίβλεπτος ἀπεφάνθη. Ἔφη γάρ, « Ἀργυρίου, ἢ χρυσίου, ἢ ἱματισμοῦ, οὐδενὸς ὑμῶν ἐπεθύμησα· αὐτοὶ γινώσκετε, ὅτι ταῖς χρείαις μου, καὶ τοῖς οὖσι μετ' ἐμοῦ ὑπηρέτησαν αἱ χεῖρες αὗται. » Οὗτοι δὲ (ἀλλ' οὐδὲν βούλομαι δυσχερὲς εἰπεῖν) οὐκ ἐρυθριῶσιν ἑαυτοὺς τοιούτῳ παραβάλλοντες ἀνδρὶ, καὶ φάσκοντες ἐκείνου εἶναι διάδοχοι. Ἀλλ' οὐ λανθάνουσι, διὰ τοῦτο ἐκεῖνον θαυμάζοντες, οὐχ ἵνα μιμήσωνται, ἀλλ' ἵνα θείου ἀνδρὸς διάδοχοι νομισθέντες τιμηθῶσιν, οὐκ ἀφ' ὧν αὐτοὶ πράττουσιν, ἀλλ' ἀφ' ὧν ἐκεῖνος πράξας θαυμάζεται.

CCC. — EIDEM.

Τ'. — ΤΩ ΑΥΤΩ.

Samuelis prophetæ exemplum urget contra malos episcopos; estque pars superioris epistolæ.

Si a Paulo dissentiant, de quo Servator ait : « Vas electionis mihi est iste [78], » quid de Samuele jure dicent, in quo rempublicam administrante perfectam nullam virtutem desiderant? **651** Etenim subditis etiam suis judicium de se permisit, et cuique qui accusare vellet, libere concessit, et citans suum accusatorem, an subditis injurius rem alicujus tanquam princeps concupivisset, injuriave aliquem affecisset, a nemine damnatus est, neque convictus est in iis rebus, in quibus tales reprehendi merito consueverunt [79].

Εἰ τῷ Παύλῳ παραχωροῦσι διὰ τὸ εἰρηκέναι τὸν Σωτῆρα, « Σκεῦός ἐκλογῆς μοί ἐστιν οὗτος· » τί φατὲν καὶ περὶ τοῦ Σαμουὴλ, τοῦ ἐν χρόνοις πολιτευσαμένου μηδὲ τελείαν ἀπαιτοῦσιν ἀρετήν; Καὶ γὰρ κἀκεῖνος τοῖς ὑπηκόοις τὴν περὶ αὐτοῦ ψῆφον ἐπιτρέψας, καὶ προκαλεσάμενος τὸν βουλόμενον ἐλέγξαι, εἰ ἐπιθυμήσας τινὸς ὡς ἄρχων ἠδίκησε τοὺς ἀρχομένους, ὑπ' οὐδενὸς ἐνεκλήθη, οὔτε ἐάλω, ἐφ' οἷσπερ συνεχῶς οὗτοι ἁλίσκονται.

CCCI. — HIERACI VIRO CLARISS.

ΤΑ'. — ΙΕΡΑΚΙ ΛΑΜΠΡΟΤΑΤΩ.

Ex œconomi etymo, « Dispensatores mysteriorum Dei. » (I Cor. IV, 2.) Eusebium hic ut Pelusii ψευδεπίσκοπον arguit.)

Si dictus œconomus, quod domi singula distribuat, vel quod pro dignitate domi cuique dividat, merito tu quidem admiraris, cur nihil horum Eusebius faciat, sed cum populivorus sit, ad populum verba facere audet, inopum bona intervertens, osque aperire aggressus ad sanctam Scripturam legendam clausum.

Εἰ οἰκονόμος εἴρηται παρὰ τὸ ἑκάστῳ τὸ οἰκεῖον νέμειν, ἢ παρὰ τὸ ἑκάστῳ τῶν ἐν τῷ οἴκῳ τὸ πρὸς ἀξίαν νέμειν· εἰκότως θαυμάζεις, πῶς Εὐσέβιος μηδὲν τοιοῦτο διαπραττόμενος, ἀλλὰ καὶ δημοβόρος ὤν, ἔτι καὶ δημηγορεῖν τολμᾷ, τὰ μὲν τῶν πενήτων σφετεριζόμενος, στόμα δὲ ἀνοῖξαι ἐπιχειρῶν ὑπὸ τῶν Γραφῶν κεκλεισμένον.

CCCII. — DOROTHEO CLARISS. VIRO.

ΤΒ'. — ΔΩΡΟΘΕΩ ΛΑΜΠΡΟΤΑΤΩ.

Hujus et futuræ vitæ dissimilitudo. (Conf. epist. 222.)

Quemadmodum dissimilitudo quæ vitam comitatur æqualitatis videtur differentia, sic et in futura vita

Ὥσπερ ἡ ἀνωμαλία ἡ ἐν τῷδε τῷ βίῳ χορεύουσα τῆς ἰσότητος εἶναι δοκεῖ διαφορὰ (88), οὕτω καὶ ἡ

[76] II Cor. XI, 29. [77] Act. XX, 33. [78] Act. IX, 15. [79] I Reg. XII, 3, 4; Eccli. XLVI, 16.

VARIÆ LECTIONES ET NOTÆ.

(88) Pro διαφορὰ codd. Vat. 650 et Alt. legunt διαφθορά· et vers. pen. ep. ἐκεῖθεν mutant in ἐκεῖσε. Possin.

Digitized by Google

ἐν τῷ μέλλοντι αἰῶνι ἀνισότης. Οὐ γὰρ πάντες τῶν αὐτῶν ἀπολαύσονται. Οὐδὲ γὰρ δίκαιον τοῖς μὴ τὸ ἴσον πεποιηκόσι τὸ ἴσον ἀπονεμηθῆναι· ἰσότητός ἐστι καὶ δικαιοσύνης ἀπόδειξις. Ἀλλ' ἡ μὲν ἐνταῦθα ἀνωμαλία μελέτης καὶ γυμνασίας ἕνεκα συγχεχώρηται· ἡ δὲ ἐκεῖθεν, δικαιοσύνης ἕνεκεν καὶ εὐδοκιμήσεως γενήσεται.

A æterna erit inæqualitas. Non enim eadem omnes consequentur. Iniquum enim esset ut iis qui disparia gesserunt, æqualia tribuantur : æqualitatis est et justitiæ demonstratio. Verum si qua hic inæqualitas, sollicitudinis exercitationisque gratia fit; ibi vero justitiæ ac probatæ vitæ gratia retribuetur.

ΤΓ'. — ΠΑΥΛΩ.

CCCIII. — PAULO.

Deo O. M. pro omnibus rebus agendæ gratiæ.

Ἐν ταῖς πρὸς τὸ Θεῖον εὐχαριστίαις χρὴ πάντας συνεισενεγκεῖν ὃ ἔχομεν, ἐπειδὴ οὐκ ἔχομεν ὃ χρεωστοῦμεν· τί γὰρ καὶ προσενέγκοιμεν ἄξιον τῷ πάσης ἀμοιβῆς κρείττονι;

Gratiarum ad Deum actionem referre pro omnibus quæ habemus convenit. Neque enim quantum debemus, possumus. Quid enim condignum afferatur, cui nihil non debetur?

ΤΔ'. — ΠΕΤΡΩ.

CCCIV. — PETRO.

Periculose laborant, qui male agentes boni videri cupiunt.

Τὸ ἀδοξα πράττοντα, ἔνδοξον δοκεῖν εἶναι, πολλοῖς μὲν εὐκταῖον, σοφοῖς δὲ οὐκ ἐράσμιον. Ἡ γὰρ ἔξωθεν δόξα τὴν ἔνδον ἀδοξίαν νευροῖ· καὶ τὸ δοκεῖν ὑγιαίνειν τοῦ ὄντως ὑγιαίνειν φαντασίαν ἐμποιοῦν, οὐδὲ θεραπείαν προσίεσθαι συγχωρεῖ.

B Optat quidem vulgo gloriosum videri, qui turpia patrat; sapientes contra id aversantur. Extrema enim gloria, internam corroborat ignominiam, ut persuasio de valetudine, ingenerans opinionem certæ sanitatis, curationem appetere non permittit.

ΤΕ'. — ΤΩ ΑΥΤΩ.

CCCV. — EIDEM.

Bene qui latuit, bene vixit. (*Sic epist.* 108, 362, 363.)

Ὥσπερ εἴγε χρὴ ὅλως ἐναβρύνεσθαι, οὐκ ἐπὶ τῷ πράττειν ἁπλῶς ἃ μὴ δεῖ χρὴ σεμνύνεσθαι, ἀλλ' ἐπὶ τῷ πράττειν ἃ χρή· ἔστι γὰρ ἀπραξία πράξεως αἱρετωτέρα. Οὕτω καὶ ἐπὶ τῷ ἀδοξεῖν ἁπλῶς οὐ χρὴ λυπεῖσθαι, ἀλλ' ἐπὶ τῷ δικαίως ἀδοξεῖν· ἔστι γὰρ ἀδοξία δόξης ἀσφαλεστέρα.

Ut si gloriandum est, non de iis omnino quæ nefas sit agere, fiat ostentatio, sed de iis potius quæ agere oportet. Est enim optanda tranquillitas potius quam negotium. Sic et ignotum esse omnino dolendum non est, imo ignotum esse optandum maxime. Tutius est enim ignorari, quam fama C celebrari.

ΤΣ'. — ΘΕΟΔΟΣΙΩ.

652 CCCVI. — THEODOSIO.

Luxum temperantiæ adversum fugiendum, nec vulgi judicio res ponderandæ.

Ἡ τρυφή, ἡ πάσης ἀκολασίας καὶ μήτηρ καὶ τροφός, ὅταν τραπέζῃ πληθούσῃ, καὶ παντοίοις ὄψοις καὶ ἡδύσμασι κομῶσῃ, τὴν μὲν γεῦσιν τῶν ὁρώντων πρὸς ἐπιθυμίαν κινήσῃ, τὸν δὲ νοῦν τῶν χρωμένων ἐπιβρίθουσα χρήσασθαί τινα ἀναπείσῃ, τὸ τηνικαῦτα ναυάγιον αὐτῷ προξενεῖ, εἰς τὸν βυθὸν τῶν παθῶν καταποντίσασα· φυλάττου τοίνυν ταύτην, καὶ τὴν αὐτάρκειαν τίμα· εὖ εἰδὼς, ὅτι οὔτε τὸ αἰσχρὸν οἷόν τε ἀγαθὸν γενέσθαι τῇ τῶν πραττόντων συμφωνίᾳ κοσμούμενον, κἂν πάντες ῥήτορες καὶ σοφισταὶ συναγωνίζωνται· οὔτε τὸ καλὸν μεταπεσεῖται εἰς τοὐναντίον, κἂν εἷς μόνος, μᾶλλον δὲ μηδ' εἷς φαίνηται τούτου ἐραστής. Παρὲς τοίνυν τὴν τῶν πολλῶν ψῆφον, αὐτῆς ἔχου τῆς ἀρετῆς· καὶ πάντα μὲν ποίει, καὶ μυρίοις ὀφθαλμοῖς τὰ κατὰ σαυτὸν περισκόπει, ὅπως μηδεμία παρὰ σοῦ τοι, πέλας ἐπιφύηται βλάβη, τῷ πᾶσαν σκανδάλου ῥίζαν ἐκτέμνειν. Εἰ δὲ οὕτω σου διακειμένου, τινὲς τῶν μηδὲν μὲν ἀγαθὸν πραττόντων, τοῖς δὲ πράττουσι φθονούντων κατηγορῶσι (89), μὴ δίδου σαυτὸν ἔκδοτον τῇ ἀθυμίᾳ· ἀλλὰ καὶ ταύτην γενναίως ἔνεγκον τοῦ ἐχθροῦ τὴν προσβο-

Luxus omnis intemperantiæ mater est et nutrix, ubi mensa referta, et omnifariis obsoniis atque condimentis superba, gustum quidem intuentium ad appetendum commoverit, utentium vero mentem prægravans ad utendum quempiam induxerit, tunc naufragium ipsi parat, in profundum malarum affectionum demergens. Luxum itaque devita, contentus eo quod est satis : probe perspectum habens quod turpe est, bonum effici nunquam posse, consensu causas agentium exornatum, etsi oratores D omnes atque sophistæ laudando contendant. Sic nec bonum cum malo convenit, etsi unus, ac ne unus quidem boni amans studiosusque exsistat. Multorum itaque valere jussa opinione virtuti ipsi hæreas, omniaque satage, teque ipsum centum contemplare oculis, ne qua tibi a proximis obveniat calamitas, ut omnem offensionis radicem exscindas. Si vero te ita affectum aliqui eorum qui nihil boni agunt, sed bene agentibus invident, accusent, animum ne despondeas, sed hunc generose feras inimici insultum, cogitans eum ista non

VARIÆ LECTIONES ET NOTÆ.

(89) Pro κατηγοροῦσι scribunt iidem κακηγοροῦσι, et vers. post ὃ χρήσαιτο augent præpositio ἐ. Possin.

Digitized by Google

uti machinatione, ut munitam administrationis tuæ rationem evertat, nisi existimationis tuæ gloria summopere eum incesserit.

λην, ἐννοῶν, ὅτι οὐκ ἂν ταύτῃ χρήσαιτο τῇ μηχανῇ πρὸς τὸ καταβαλεῖν σου τὴν πεπυργωμένην πολιτείαν, εἰ μὴ ἄκρως αὐτοῦ καθάψαιτο τῆς σῆς εὐδοκιμήσεως τὸ κλέος.

CCCVII. — EVANGELO.

ΤΖ'. — ΕΥΑΓΓΕΛΩ.

Dei O. M. erga delinquentes benignitas.

Etsi difficile est neglectam revocare occasionem (subito enim impetu usa non sinit lapsos recurrere ad emendationem peccatorum), divina tamen benignitas rationi, legi ac temporibus præstans resipiscentes recipit, illorumque sedulitate ac diligentia propriam ejus bonitatem commiscendo, temporisque compendio pœnitentiæ robur veluti temperans atque concinnans, peccatis præbet medicinam.

Εἰ καὶ οὐ ῥᾴδιον περιοφθέντα καιρὸν ἀνακαλέσασθαι (ὀξυτάτῃ γὰρ φορᾷ χρώμενος οὐκ ἐᾷ ἀναδραμεῖν τοὺς πταίσαντας ἐπὶ τὴν τῶν ἁμαρτηθέντων ἐπανόρθωσιν)· ἀλλά γε ἡ θεία φιλανθρωπία καὶ λόγων καὶ νόμων καὶ χρόνων κρειττων τυγχάνουσα τοὺς μεταγινώσκοντας προσίεται, καὶ τῇ ἐκείνων προθυμίᾳ τὴν οἰκείαν ἀγαθότητα ἐγκαταμίξασα, καὶ τῷ βραχεῖ χρόνῳ τὸ εὔτονον τῆς μετανοίας κεράσασα, θεραπείαν ὀρέγει τοῖς πταίσασιν.

CCCVIII. — ISIDORO EPISCOPO.

ΤΗ'. — ΙΣΙΔΩΡΩ ΕΠΙΣΚΟΠΩ.

Sincere verbum Dei proferendum, contra falsarios sanctæ Script. (Vide epist. 293.)

Qui Dei oracula vel adulterare vel falso interpretari sunt ausi, majus omni defensione et venia delictum commiserunt. Nam existimando se quid sapientius excogitasse, et seipsos, et eos quibus persuaserunt in pelagus inscitiæ projecerunt. Multas enim sacrorum eloquiorum sententias perver-tentes, auditores quo volunt trahentes et cogentes, a voluntate legislatoris aberrarunt, non quæ illi placita fuerunt, agentes, sed voluntates suas stabilientes.

Οἱ τοὺς θείους ἢ παραποιῆσαι, ἢ παρερμηνεῦσαι χρησμοὺς τολμήσαντες, πάσης ἀπολογίας καὶ συγγνώμης ἔπταισαν μείζονα· τῷ γὰρ νομίζειν σοφώτερόν τι ἐπινενοηκέναι καὶ ἑαυτοὺς καὶ τοὺς πεισθέντας εἰς τὸ τῆς ἀμαθίας ἔρριψαν πέλαγος. Πολλὰς γὰρ ῥήσεις τῶν ἱερῶν λογίων παρακρουόμενοι, τοὺς ἀκούοντας ἑλκύσαντες πρὸς ὅπερ ἠθέλησαν, καὶ βιασάμενοι, τοῦ βουλήματος τοῦ νομοθέτου διήμαρτον· οὐ τὰ ἐκείνῳ δόξαντα φράσαντες, ἀλλὰ τὰς ἑαυτῶν βουλήσεις κυρώσαντες.

653 CCCIX. — ARABIANO EPISCOPO.

ΤΘ'. — ΑΡΑΒΙΑΝΩ ΕΠΙΣΚΟΠΩ.

Adhortationes quo orationis genere scribendæ. (Sup. epist. 145, 217.)

Adhortationem scribentem decet quasi clarum tractantem argumentum (nihil enim illustrius quam aberrantem mentem in veritatis revocare viam) sermone quidem pleno ubi expedit inhærere, indicare vero duntaxat ubi fuerit opportunum, et via quidem ac ratione utendum ubi est opus compendio. Aperte vero dicere quæcumque clare proferre maxime deceat. Hisce enim usus orationis virtutibus vix adhuc queat animum passionibus immersum extrahere.

Χρὴ τὸν παραίνεσιν γράφοντα, ἅτε λαμπρᾶς ἁπτόμενον ὑποθέσεως (οὐδὲν γὰρ λαμπρότερον τοῦ ψυχὴν πεπλανημένην ἐπαναγαγεῖν εἰς τὴν τῆς ἀληθείας ὁδὸν) πλεονάζειν μὲν τῷ λόγῳ, ὅπου διατρίβειν συμφέρει· παραδηλοῦν δὲ μόνον, ἔνθα τούτου εἴη καιρός· καὶ μεθοδεύειν μέν, ὅπου μετοχειρήσεως χρεία· διαῤῥήδην δὲ λέγειν, ὅσα σαφῶς ῥηθῆναι πρεπωδέστατον. Μόλις γὰρ ταύταις ταῖς ἀρεταῖς τοῦ λόγου χρώμενος δυνηθείη ψυχὴν ὑπὸ τῶν παθῶν βεβαπτισμένην ἀνιμήσασθαι.

CCCX. — SYMMACHIO.

ΤΙ'. — ΣΥΜΜΑΧΙΩ.

Cœlestia spretis caducis quærenda.

Omnia in terris, ut scribis, mutationi sunt obnoxia; cœlestia vero non item. Quam igitur ob causam, vir sapiens, non contemnis terrena, illa vero æterna animo complecteris et operibus firmas sermones?

Ὡς φῂς, εἰ τῶν μὲν καθ' ἡμᾶς ἡ μεταβολὴ κυρία, τὰ δὲ οὐράνια μεταβολῆς τυγχάνει κρείττονα· δι' ἣν αἰτίαν, ὦ σοφώτατε, μὴ τῶν μὲν καταφρονεῖς, τῶν δὲ ἐκθύμως περιέχῃ, καὶ βεβαιοῖς τοῖς ἔργοις τοὺς λόγους;

CCCXI. — MARTINIANO, ZOSIMO, MARONI, EUSTATHIO.

ΤΙΑ'. — ΜΑΡΤΙΝΙΑΝΩ, ΖΩΣΙΜΩ, ΜΑΡΩΝΙ, ΕΥΣΤΑΘΙΩ.

Ad bonam frugem existimationemque invitat.

Nostis virum virtuti in primis deditum, a summa maledicendi audacia longe alienum, cujus testimonium exceptione majus, vos nuper ut improbos reprehendisse his fere verbis: Illos quidem peperit improbitas, enutrivere vero scelesti exsecrandique

Ἴσθε, ὡς ἄνθρωπος ἀληθείαν μὲν ἀεὶ πρεσβεύων, κακηγορίαν δὲ ἀποστρεφόμενος, ὃν οὐδὲ παραγράψασθαί τις δυνηθείη, τὴν ὑμετέραν πρώην ἐξεκωμῴδει (90) φαυλότητα, λέγων· ὅτι ἐκείνους κακία μὲν ὤδινε, πονηροὶ δὲ καὶ ἀτίθασσοι ἐτιθηνήσαντο

VARIÆ LECTIONES ET NOTÆ.

(90) Duo sæpe laudati codd. ἐξεκωμῴδησε legunt pro ἐξεκωμῴδει. Possin.

Digitized by Google

δαίμονες. Πᾶσι γὰρ ἀγαθοῖς ἀπεχθάνονται καὶ ἀνθρώποις καὶ πράγμασι. Λυπηρὸν δὲ ἅπαν νομίζουσιν, ὁπόσον ἀρετῆς δόξαν ἠνέγκατο. Κατὰ μὲν γὰρ τῶν εὐσεβῶν νεανιεύονται, κατὰ δὲ τῶν σπουδαίων κωμάζουσιν, ὑβρισταὶ ὄντες καὶ ἀτάσθαλοι, καὶ κόρον τῶν κακῶν οὐκ εἰδότες. Ἐγὼ δὲ ἀκούων, οὔτε ἐπιστομίσαι αὐτὸν ἠδυνάμην (πάντες γὰρ οἱ παρόντες ὡς ἀληθῆ αὐτὸν ἐκρότουν), οὔτε παντελῆ σιωπὴν ἦσκησα. Ἀλλ' εἰπὼν αὐτῷ, πιστεύω καὶ παλινῳδίας ἄσειν (91)· οὐ γὰρ οὕτως εἰσὶν ἀνάλγητοι, ὡς ἐλέσθαι τοσούτοις ἐμπαρῆναι μέχρι τέλους κακοῖς ἐπὶ τὸ χαράξαι τὰ γράμματα ταῦτα παρῆλθον. Ὑμεῖς οὖν ἂν εἴητε δίκαιοι ἤδη σκέψασθαι περὶ ἑαυτῶν, ὅπως, εἰ καὶ τῆς κρίσεως ὑμῖν λόγος οὐδεὶς, τὴν τοιαύτην ἀδοξίαν ἀποτρίψησθε.

A dæmones, omnibus vero invisi sunt bonis tam hominibus quam rebus. Quidquid enim virtutis nomine laudabile, id omne triste malumque esse opinantur. Erga pios vero juveniliter agunt, ad virtute præditos insolenter se gerunt : injusti perinde atque improbi, qui exsaturari nunquam possint. Equidem id audiens, neque os claudere potui (omnes enim qui aderant, ut narranti vera applaudebant), neque omnino silentium tenui, sed viro illi dixi : Credo equidem, sed palinodiam ipsi canent, funemque reducent; neque enim adeo sunt stupidi, atque hebetes, ut malis hujusmodi ad extremum usque spiritum inhærere studeant. Igitur tandem ad has ipse litteras exarandas sum adductus. Vos igitur quo justi sitis, nunc vobis ipsi consulite, ut si quid
B judicii vobis est reliquum, hanc vestram ignominiam deleatis.

ΤΙΒ'. — ΕΡΜΗΣΑΝΔΡΩ ΠΡΕΣΒΥΤΕΡΩ.

CCCXII. — ERMISANDRO PRESBYTERO.

De ficta et simulata commiseratione.

Ὁ συναλγεῖν μὲν δοκῶν ταῖς συμφοραῖς, δυνάμενος δὲ ἐπανορθοῦν, καὶ παραιτούμενος, σημεῖον μέγιστον καθ' ἑαυτοῦ ἐκφέρει, τοῦ μὴ συναλγεῖν, ἀλλὰ χρηστότητα ὑποκρίνεσθαι τῷ μὴ βεβοηθηκέναι. Εἰ γὰρ, φέρε εἰπεῖν, κύριος ὢν τοῦ λῦσαι τὸν τοῦ πένητος λιμὸν, δέον λῦσαι καὶ ἀπαλλάξαι κἀκεῖνον συμφορᾶς, καὶ ἑαυτὸν λύπης, συναλγεῖν προσποιεῖται, οὐ φιλάνθρωπός ἐστιν, ἀλλὰ φιλανθρωπίαν ὑποκρίνεται.

Qui compati se dolenti fingit, cum tollere dolorem possit et rogatus est, signum maxime contra se exhibet, quod vere non condoleat, sed quasi utilius judicet opem non afferre. **654** Dic itaque, si possit pauperi inopiam auferre, et teneatur, atque calamitatem ab eo queat avertere, sibi vero dolorem eripere, simulat tamen se compati, non hic humanus est, sed humanitatis effictor.

ΤΙΓ'. — ΙΕΡΑΚΙ ΛΑΜΠΡΟΤΑΤΩ.

CCCXIII. — HIERACI CLARISS. VIRO.

De officio judicis. (*Conf. epist.* 204, *et Philonem Hebr. de judice.*)

Πολλοὶ τῶν ἀνθρώπων ἢ διὰ βραδύτητα γνώμης ἀνιχνεῦσαι τὸ δίκαιον οὐχ οἷοί τέ εἰσιν, ἢ ἀνιχνεύσαντες προδιδόασιν. Ἢ γὰρ ἀνάνδρως φοβηθέντες, ἢ διὰ καπηλείαν πεπρακότες, ἢ διὰ φιλίαν αἰδεσθέντες, ἢ ὑπ' ἔχθρας ἐρεθισθέντες, τὴν ὀρθὴν οὐ φέρουσι ψῆφον. Χρὴ οὖν τὸν μέλλοντα δικάσαι πρῶτον μὲν συνέσει κομᾷν, ἵνα μὴ διαλάθῃ τὸ θήραμα· ἔπειτα δὲ καὶ ἀνδρίᾳ, καὶ καθαρότητι, καὶ δικαιοσύνῃ, καὶ ἀμνησικακίᾳ κεκοσμῆσθαι, ἵνα μὴ τὸ θηρευθὲν προδοθείη.

Plerique hominum vel ob mentis tarditatem, quod justum et æquum est, investigare nequeunt, vel inquisitum produnt : alii enim molliter metuentes quærunt, aut cauponarie venditant, vel amicitiæ gratia jus dicere reveriti, aut odii et inimicitiarum causa contendentes, judicium injuste ferunt. Decet itaque qui judex sententiam feret, prudentia in primis pollere, ne præda effugiat. Deinde, fortitudine est opus, et puritate atque justitia, præteritarumque oblivione injuriarum debet exornari, ne quod venatus est, prodidisse videatur.

ΤΙΔ'. — ΘΕΩΝΙ ΣΧΟΛΑΣΤΙΚΩ.

CCCXIV. — THEONI SCHOLASTICO.

Tentationes quomodo superentur. (*Conf. epist.* 39, 68, 71, 226, 270.)

Δυνατὸν, ὦ βέλτιστε, κρεῖττονα γενέσθαι πειρασμοῦ τὸν φιλάρετον. Γίνεται δὲ ὑψηλότερος πειρασμοῦ, καὶ λύει αὐτὸν, οὐκ ἐν τῷ κωλύειν παντελῶς εἶναι (πολλάκις γὰρ ὁ Θεὸς συγχωρεῖ δοκιμασθῆναι), ἀλλὰ ἐν τῷ ἀνδρείως φέρειν τὰ συμπίπτοντα. Χρὴ γὰρ λύειν τὸν πειρασμὸν, εἰ καὶ ἄλυτος εἶναι δοκοίη, διὰ σοφίας, καὶ ἀρετῆς, οὐ δι' ἀπογνώσεως (92)· λύει δὲ δι' ἀρετῆς καὶ σοφίας οὐ τῷ πάντη κωλύειν, ἀλλὰ τῷ συνεθίζειν γενναίως φέρειν τὰ συμπίπτοντα. Εἰ γὰρ καὶ βαρὺ τὸ πρᾶγμα, ἀλλ' ἴᾶται τὴν

D Potest, vir optime, virtuti deditus superare tentationem. Ejus enim fit victor, non si arceat omnino (sæpe enim permittit probari suos Deus), sed fortiter ferendo quæ accidunt adversa. Solvere enim tentationem oportet, etsi dissolvi non posse videatur, cum sapientia tum fortitudine, desperando vero, minime. Fortitudine quidem ac sapientia, non omnino rejiciendo, sed generose ferre adversa quæ accidunt assuefaciendo. Etsi enim molestum id exsistat negotium, omnem nihilominus molestiam

VARIÆ LECTIONES ET NOTÆ.

(91) Pro παλινῳδίας ἄσειν illi scribunt παλινῳδίαν ἄσειν. Possin.

(92) Pro δι' ἀπογνώσεως codd. Vat. 650 et Alt. scribunt διὰ προγνώσεως. Possin.

Digitized by Google

prudentia tollit, quæ tristia quæque moderate ferre novit. Malorum enim quæ in nostra potestate non sunt, medicina est ea quæ in nostra est potestate philosophia : eaque dissolvit mala, quæ indissolubilia viderentur. Fortitudo in gravibus molestisque exsistit rebus; in secundis vero (nam et hæ interdum probandi causa immittuntur) animi est opus magnitudine.

βαρύτητα διὰ τῆς φρονήσεως, μετρίως φέρειν δυνάμενος τὰ λυπηρά. Ἴασις γὰρ τῶν οὐκ ἐφ' ἡμῖν ἡ ἐν ἡμῖν φιλοσοφία. Καὶ λύσις τῶν ἀναγκαίων, εἰ καὶ καθ' ἑαυτὰ ἄλυτά τισιν ἔδοξεν εἶναι, ἡ ἐν μὲν τοῖς δεινοῖς ἀνδρία, ἐν δὲ τοῖς δεξιοῖς (καὶ γὰρ ταῦτα δοκιμασίας ἕνεκεν πολλάκις δίδοται) μεγαλοψυχία.

CCCXV. — EIDEM.

ΤΙΕ'. — ΤΩ ΑΥΤΩ.

Divinum auxilium quomodo implorandum. (*Conf. epist.* 327, 457.)

Qui cupit auxilio insuperabili frui, ea exigat oportet quæ postulat æquitas, ut petitionis natura auxilium attrahat. Iis enim qui per ironiam aut avaritiam illud implorant, non accedit, sed iis quibus injuria sponte illata est accedit.

Τὸν μέλλοντα ἀπολαύειν τῆς ἀηττήτου συμμαχίας, τοιαῦτα αἰτεῖν χρὴ, ἃ καὶ τὸν τοῦ δικαίου λόγον ἔχει, ἵνα τῇ φύσει τῆς αἰτήσεως τὴν ῥοπὴν ἐπισπάσηται· τοῖς γὰρ ἐξ εἰρωνείας καὶ διὰ πλεονεξίας καλοῦσιν οὐκ ἐπιφοιτᾷ ἡ αὐτοκλήτως τοῖς ἀδικουμένοις ἐπιφοιτῶσα.

CCCXVI. — PRIMO.

ΤΙϚ'. — ΠΡΙΜΩ.

Vita piorum afflictionibus obnoxia.

Quod dicis quæstionis indigere, idem solutionis causa, mea quidem sententia, videtur. Qui enim mundo renuntiaverit nihil mirare, tribulationi ac tentationibus obnoxium esse. Ait enim Christus : **655** « Tribulationem in hoc mundo habebitis [80]. » Cur itaque certaminis præfecto ita loquente quietem postulas? Tunc enim offendi erat æquum si contra atque dixit, contigisset. Sin ex consequenti omnia eveniunt, cur, quæso, scandalizaris? Quisquis enim certaminis tempore otium quietemque quærit, corona fraudatur, opportunitatesque amittit.

Αὐτὸ τοῦτο, ὃ φὴς αἴτιον εἶναι ζητήσεως, λύσεώς ἐστι παρ' ἐμοὶ κριτῇ αἴτιον. Εἰ γὰρ ἀποταξάμενος τῷ κόσμῳ, θλίψει περιεπάρης καὶ πειρασμοῖς, μὴ θαυμάσῃς· ὁ γὰρ Χριστὸς εἶπεν, « Θλῖψιν ἕξετε ἐν τῷ κόσμῳ τούτῳ. » Πῶς τοίνυν ζητεῖς ἄνεσιν, τοῦ ἀγωνοθέτου τοῦτο εἰπόντος; Τότε γὰρ εἰκὸς ἦν σκανδαλίζεσθαι, εἰ τἀναντία ὧν εἶπεν ἐγίνετο. Εἰ δὲ κατὰ ἀκολουθίαν πάντα προβαίνει, τίνος ἕνεκεν σκανδαλίζῃ; Ὁ γὰρ ἐν τῷ καιρῷ τῶν παλαισμάτων ἄνεσιν ἐπιζητῶν, καὶ ἀστεφάνωτος μένει, καὶ συγχέει τοὺς καιρούς.

CCCXVII. — OPHELIO GRAMMATICO.

ΤΙΖ'. — ΩΦΕΛΙΩ ΓΡΑΜΜΑΤΙΚΩ.

Puerorum ad virtutem verecundiamque informatio. (*Confer. epist.* 9.)

Assidue, vir disertissime, pueros qui te frequentant de virtute ac verecundia seu modestia amplectenda hortare, et hæc de scripto his fere usus verbis, lege : Adolescentes, non sit vobis grave dicendi arti incumbere, quin potius ornamento fore ducite moribus quam optimis imbui. Animus enim a vitiis purus sinceram parat scientiam. Et quibus verecundia adest, in his verecundia virtutum maxima elucescit. Siquidem et temperantia vitiis caret, quæ etiam illos qui ipsam amplectuntur castitate exornat : quæ reliquis antecellit virtutibus pulchritudine. Cum his sapientia habitat. Hac itaque duce si ad omnia uti volueritis, vos quidem viri efficiemini optimi ac fortunati : ego quoque a recta vestra institutione non minus quam qui vos parentes genuerunt, imo majorem etiam gloriam consequar.

Συνεχῶς, ὦ ἐλλογιμώτατε, τοῖς φοιτῶσι παισὶ τὰ περὶ ἀρετῆς καὶ σωφροσύνης παραίνει, καὶ ἀναγίνωσκε συγγράμματα λέγων· Ὦ παῖδες, ἔστω ὑμῖν μὴ πόνος μόνος ὁ περὶ λόγους, ἀλλὰ καὶ κόσμος ὁ περὶ τρόπους τὸ σπούδασμα. Ψυχὴ γὰρ καθαρὰ κακίας παιδείαν εἰλικρινῆ προσίεται, καὶ παρ' οἷς ἂν ἡ σωφροσύνη λάμπῃ τὸ τῶν ἀρετῶν τιμιώτατον. Εἰ γὰρ καὶ σωφροσύνη πᾶν τὸ ἀναμάρτητον, ἀλλὰ νέμουσιν αὐτῆς τὴν προσηγορίαν εὖ ποιοῦντές τινες τῷ τῆς ἁγνείας πράγματι, κοσμιωτάτῳ ὄντι, καὶ ἐξοχωτάτῳ τῶν ἄλλων. Τούτοις καὶ ἡ σοφία συνοικήσει· ἂν γὰρ ἡγεμόνι χρῆσθαι πρὸς ἅπαντα ταύτῃ τῇ ἀρετῇ θελήσητε, ὑμεῖς μὲν γενήσεσθε ἄνδρες ἀγαθοὶ καὶ μακάριοι, ἐγὼ δὲ ἐφ' ὑμῖν οὐ μεῖον, ἢ οἵπερ ἐγέννησαν, ἀμείνω δόξαν καρπώσομαι.

CCCXVIII. — ISIDORO EPISCOPO.

ΤΙΗ'. — ΙΣΙΔΩΡΩ ΕΠΙΣΚΟΠΩ.

Veritatis laudatio, mendacii turpitudo.

Sibi notam ignominiæ, o sapiens, inurunt, et a recta excidere ratione videntur, qui sapientis esse hominis ducunt repugnare iis, quæ bene vereque dicta sunt. Atqui summa sapientia, veritas est, simpliciter breviterque prolata. Mendacium contra,

Ἑαυτοῖς, ὦ σοφὲ, ἀδοξίαν προστρίβονται, καὶ τὸ ἐξεστηκέναι τῶν ὀρθῶν λογισμῶν ὑποφαίνουσιν, οἱ καὶ τὸ τοῖς ὀρθῶς λεγομένοις ἀντιλέγειν σοφίαν εἶναι οἰόμενοι· σοφὸν γὰρ τἀληθὲς, μάλιστα ὅταν ἁπλοῦν ᾖ καὶ σύντομον· δεινὸν καὶ (93) τὸ ψεῦδος,

[80] Joan. xvi, 33.

VARIÆ LECTIONES ET NOTÆ.

(93) Pro δεινὸν καὶ iidem codd. legunt μωρὸν δέ. Possin.

Digitized by Google

κἂν δεινότητι καὶ καλλιεπείᾳ δοκῇ κεκοσμῆσθαι. A malum quid admodum, etsi gravissima disertissimaque comatur oratione, exsistit.

ΤΙΘ'. — ΗΡΩΝΙ ΠΡΕΣΒΥΤΕΡΩ.

CCCXIX. — HERONI PRESBYTERO.

Aspectus mulierum periculosus. (*Conf. epist.* 65, 173, 291.)

Ἴσθω σου τοῦτο ἡ φρόνησις, εἰ ἀγέρωχος γυνὴ καλλωπιζομένη καλοίη πρὸς ἑαυτὴν τοὺς ὁρῶντας, κἂν μὴ ἕλῃ τὴν (94) ἁπαντῶντα, δίκην δίδωσιν ἡ ἑλοῦσα. Τὸ γὰρ κώνειον κατεσκεύασε, καὶ τὸν κυκεῶνα ἐκέρασε, καὶ τὴν κύλικα προσήγαγεν, εἰ καὶ μὴ εὑρέθη ὁ πίνων. Οὐ γὰρ ἀπὸ τῶν ἀποτελεσμάτων, ἀλλ' ἀπὸ τῶν ἐπιχειρημάτων τὰ πράγματα ὡς τὰ πολλὰ κρίνεται.

Non ignoras qua es prudentia præditus, formæ pulchritudine tumentem mulierem si spectantes ad se alliciat, tametsi non capiat obvios, daturam tamen pœnas quasi cepisset: venenum enim propinavit, miscuitque poculum, calicemque protulit, etsi non reperit qui biberet. Non enim impleta modo, sed et tentata flagitia ut plurimum judicio expenduntur.

ΤΚ'. — ΕΥΤΟΝΙΩ ΔΙΑΚΟΝΩ.

CCCXX. — EUTONIO DIACONO.

De Zosimo, cæterisque qui Dei longanimitate abutebantur. Supra sæpe de eisdem ad eumdem.

Οἶδα ὅτι κρειττόνων ἢ καθ' ἑαυτοὺς τετυχήκασιν B ἀξιωμάτων· διὰ τοῦτο πλημμελεῖν ἀδεῶς οἰόμενοι, οὐδὲν ἕτερον, ἢ τὴν θείαν φιλανθρωπίαν τὴν παντὸς ἐπαίνου κρείττονα, ὑπόθεσιν τῶν οἰκείων πταισμάτων ὁρίζονται, ὅπερ οὐδὲ εἰπεῖν θέμις. Ἀλλ' οὐ τοὺς εὐφρονοῦντας οὕτω διακεῖσθαι χρὴ, οὐδὲ εἰς τὴν αὐτὴν ἐκείνοις ἐλαύνειν μανίαν, ἀλλὰ τότε μάλιστα σπουδάζειν τῇ τιμῇ συμβαίνοντα παρέχεσθαι τὸν βίον, καὶ ὡς ἐνδέχεται λαμπρύνεσθαι τοῖς ἔργοις· ἵνα καὶ γλῶτταν εὔφημον, καὶ διάνοιαν εὐγνώμονα ἔχοντες τοὺς κατὰ τῆς θείας μακροθυμίας ὁπλίζοντας τὰς γλώττας ἐπιστομίζωμεν.

Scio dignitates supra meritum consecutos propterea delinquere audacter, quod existiment nihil aliud quam divinam benignitatem, quæ laudari satis non possit, **656** argumentum suorum esse delictorum, quod nefas est dicere. At non ita sentire decet sapientes, nec in eamdem se immittere amentiam, sed tum maxime dare operam, ut honeste vita transigatur, utque recte factis eam illustrent, ut et linguam benigne loquentem, mentemque recte sentientem habentes, eorum ora obturent, qui in Dei longanimitatem linguas acuerunt.

ΤΚΑ'. — ΙΕΡΑΚΙ ΠΡΕΣΒΥΤΕΡΩ.

CCCXXI. — HIERACI PRESBYTERO.

Sacerdoti vitanda scandala, ut et epist. seq. lib. II, *epist.* 121.

Οὐκ ἴσην, ὦ μακάριε, πρὸ τοῦ ἱερωσύνης ἠξιῶσθαι, καὶ μετὰ τὸ ἀξιωθῆναι, εἰ πταίσωμεν, δίκην δώσομεν, ἀλλὰ πολλῷ πικροτέραν. Οἱ γὰρ μηδὲ τῷ τῆς τιμῆς τοιαύτης ἠξιῶσθαι βελτιωθέντες, ἀργαλεώτερον δίκαιοι ἂν εἶεν κολάζεσθαι. Γίγνεται γὰρ εἰκότως τὸ τῆς τιμῆς μέγεθος μείζονος τιμωρίας ἐφόδιον.

C Non parem, o bone, ante et post adeptum sacerdotium si delinquamus, pœnam luemus, sed multo acerbiorem. Nam qui ne ista quidem honoris dignitate redditi sunt meliores, æquum est eos gravius puniri. Est enim merito ipsa honoris magnitudo supplicii majoris occasio.

ΤΚΒ'. — ΤΩ ΑΥΤΩ.

CCCXXII. — EIDEM.

Sacerdotum graviora esse quam laicorum delicta.

Ὥσπερ ἐν νηῒ, ὅταν μὲν ναύτης σφαλείη, βραχεῖαν τὴν βλάβην τοῖς συμπλέουσι φέρει, ὅταν δὲ ὁ κυβερνήτης, κοινὸν ὄλεθρον παρασκευάζει, οὕτω τὰ μὲν τῶν ὑπηκόων πταίσματα, οὐκ εἰς τὸ κοινὸν τοσοῦτον, ὅσον εἰς αὐτοὺς φέρει τὴν βλάβην· τὰ δὲ τῶν ἱερωμένων εἰς πάντας ἀφικνεῖται.

Ut in navigio si quis nauta delinquat, minus id navigantibus affert incommodum; si vero gubernator, communem procurat interitum; ad eumdem modum subditorum peccata non tam aliis, quam suo ipsi capiti malum arcessunt. At sacerdotum vitia in omnes exemplo redundant. D

ΤΚΓ'. — ΤΩ ΑΥΤΩ.

CCCXXIII. — EIDEM.

Sacerdotum est subditorum satagere. Majorum delicta graviora.

Εἰ μόλις, ὦ ἀγαθὲ, κατορθοῦντες οἱ τὴν τῆς ἱερωσύνης ἐστεμμένοι λειτουργίαν ὠφελῆσαι δυνηθεῖεν (οἱ γὰρ ἀρχόμενοι τὰ μὲν κατορθώματα κἂν μεγάλα ᾖ, βραδέως, τὰ δὲ πταίσματα κἂν μικρὰ ᾖ, ὀξέως ὁρῶσιν), οἱ ῥᾳθύμως ζῶντες, καὶ μηδεμίαν τῶν ὑπηκόων ποιούμενοι πρόνοιαν, ποίαν οὐκ ἐνστάζουσι (95) κακίαν τοῖς ὥσπερ ἀπολογίαν ἔχειν οἰομένοις τῶν οἰκείων πταισμάτων τὰ τῶν ἡγεμόνων

Si vix tandem, bone vir, recte quid ac cum laude agentes qui sacris sunt initiati prodesse queant (subditi enim recte quidem gesta, quamvis magna sint, non tam cito; peccata vero tametsi minima citissime animadvertunt), negligenter viventes, et nullam subditorum curam gerentes, quam non instillant improbitatem iis qui propriorum delictorum velut defensionem habere se putant peccata supe-

VARIÆ LECTIONES ET NOTÆ.

(94) Iidem τὴν in τὸν mutant. Possin.
(95) Pro ἐνστάζουσι ambo codd. habent ἐνστάξουσι. Id.

Digitized by Google

riorum, et intrepide in omne facinus ruunt? Maxime itaque decet sacerdotes satagere tanquam pro se sibique subjectis sint rationem reddituri [61].

ἁμαρτήματα, καὶ ἀδεῶς ἐπὶ πᾶσαν παρανομίαν χωροῦσι; Μάλιστα τοίνυν τοὺς ἱερωμένους φροντίζειν χρὴ, ὡς καὶ ὑπὲρ ἑαυτῶν, καὶ ὑπὲρ τῶν ὑπηκόων λόγον ἀποδώσοντας.

CCCXXIV. — ZOSIMO PRESBYTERO.

ΤΚΔ'. — ΖΩΣΙΜΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Extremi judicii terrore a peccatis revocare conatur.

De injuriarum, deque opinionum magnitudine, ex numero eorum qui conscii sunt æstimare solent. Injurias enim et castigationes de quovis sumptas, non eodem modo gravissimas æstimant. Quod cum ita sit, vide, quæso, quomodo affecti erimus, qui coram tota humanitate et angelorum pulchritudine causam dicemus, 657 cum præsertim omnis etiam in verecundia locum non reperiet, peccatis nos, velut umbra corpus solet, consequentibus.

Κρίνειν τά τε τῶν ὕβρεων, τά τε τῶν κολάσεων μεγέθη οἱ ἄνθρωποι τῷ πλήθει τῶν συνειδότων εἰώθασι. Τὰς γὰρ αὐτὰς ὕβρεις, καὶ τὰς αὐτὰς κολάσεις μὴ ἐπὶ πολλῶν γινομένας, οὐχ ὁμοίως βαρυτάτας ἡγοῦνται. Εἰ τοίνυν ταῦθ' οὕτως ἔχει, σκόπει πῶς διακεισόμεθα, ἐπὶ πάσης τῆς ἀνθρωπότητος, καὶ τοῦ τῶν ἀγγέλων δήμου μέλλοντες εὐθύνας ὑφέξειν, ὅταν μάλιστα καὶ πᾶσα ἀναισχυντία χώραν οὐχ ἕξει, τῶν ἁμαρτημάτων ἡμῖν ὥσπερ σκιῶν ἀκολουθούντων.

CCCXXV. —PAULO.

ΤΚΕ'. — ΠΑΥΛΩ.

De bonorum præmio pœnaque improborum.

Homines ut pœna præmiove quempiam afficiant, non semper voluntati potestas respondet. At Dei iustitia, quæ et pœna cogitur afficere, et cupit dignos præmiare (quandoquidem facultas voluntate non est inferior), utraque reapse omnino exercentur. Hos enim præmio, illos pœna Deus afficit.

Ἐπὶ μὲν ἀνθρώπων ἡ ἀμυνομένων, ἢ ἀμειβομένων, οὐ πάντως ἡ δύναμις τῇ βουλήσει ἕπεται· ἐπὶ δὲ τῆς θείας δίκης, τῆς ἀμύνεσθαι μὲν ἀναγκαζομένης, ἀμείβεσθαι δὲ βουλομένης· ἐπειδήπερ ἡ δύναμις τῆς βουλήσεως οὐκ ἔστιν ἀσθενεστέρα: πάντως ἀμφότερα εἰς ἔργον ἐκβήσεται. Τοὺς μὲν γὰρ ἀμυνεῖται, τοὺς δὲ ἀμείψεται.

CCCXXVI.—MARTINIANO, ZOSIMO ET MARONI.

ΤΚϚ'. — ΜΑΡΤΙΝΙΑΝΩ, ΖΩΣΙΜΩ, ΜΑΡΩΝΙ.

Boni nemtnem calumniantur. Mali a calumnia cur liberi. (Conf. epist. 341.)

Etsi incredibile vobis visum iri quod dicam scio, dicetur tamen. Sentio itaque ut neque bonum virum calumniari quemquam, ita neque improbum calumnia appeti. Quod dictum si ænigmatis instar videatur, dilucidius proferam. Probus si quid dicat vel odio vitiorum, vel ad corrigendum aberrantem, minime calumniatur. Non enim mendacia fingit, imo vera potius narrat. Improbus contra conviciis non oneratur. Quamvis enim calumnia falsi est quædam fictio, audit tamen ille verum.

Εἰ καὶ παράδοξον εἶναι ὑμῖν δόξει τὸ ῥηθησόμενον, ἀλλ' ὅμως λελέξεται. Φημὶ τοίνυν ὅτι οὐδεὶς οὔτε διαβάλλει χρηστός, οὔτε διαβάλλεται πονηρός. Εἰ δὲ αἴνιγμα δοκεῖ τὸ ῥηθὲν, σαφέστερον εἰρήσεται. Ὁ ἀγαθὸς, κἂν εἰπεῖν τι ᾖ ὑπὸ μισοπονηρίας, ἢ πρὸς διόρθωσιν προαχθείη, οὐ διαβάλλει· οὐ γὰρ τὰ ψευδῆ πλάττει, ἀλλὰ τἀληθῆ φράζει. Ὁ δὲ πονηρὸς οὐ διαβάλλεται· καὶ γὰρ εἰ καὶ ἡ διαβολὴ πλάσμα ἐστὶ ψευδὲς, ἀλλὰ τἀληθῆ ἀκούει.

CCCXXVII.—IISDEM.

ΤΚΖ'. — ΤΟΙΣ ΑΥΤΟΙΣ.

Deus facientibus quod oportet fert auxilium. (Vide epist. 315, 459.)

Mortales plerumque his collaborare et cooperari student, quibus sedulitatem diligentiamque inesse vident eorum quæ facto est opus. At socordes, ignavos, ac propriæ salutis prævaricatores merito negligunt. Quod cum ita sit, merito etiam divinus nutus non omnibus accedit. Sed eos dimittens, qui suam salutem per negligentiam decoquunt, iis, qui ea, quæ ex usu sunt, facere conantur vel proponunt, opportunum auxilium tribuit.

Πάντες ἄνθρωποι τούτοις καὶ συμπράττειν καὶ συμπονεῖν ἐθέλουσιν, οἷς ἂν ὁρῶσι τὴν προθυμίαν τοῦ πράττειν ἃ χρὴ ἀκμάζουσαν· τοὺς γὰρ καθεύδειν καὶ ῥᾳθυμεῖν προῃρημένους, καὶ τὴν οἰκείαν σωτηρίαν προδιδόντας, οὐδὲ λόγου εἰκότως ἀξιοῦσιν. Εἰ τοίνυν ταῦθ' οὕτως ἔχει, εἰκότως καὶ ἡ θεία ῥοπὴ οὐ πᾶσιν ἐπιφοιτᾷ· ἀλλ' ἐκείνους ἀφεῖσα, τοὺς τὴν ἑαυτῶν σωτηρίαν διὰ ῥᾳθυμίαν προπίνοντας· τοῖς πράττειν ἃ χρὴ προῃρημένοις τὴν οἰκείαν νέμει συμμαχίαν.

CCCXXVIII.—SERENO DIACONO.

ΤΚΗ'. — ΣΕΡΗΝΩ ΔΙΑΚΟΝΩ.

Modestia vitæ commendata in omnibus.

Virtuti deditum supervacua resecare decet. Non enim in cibis modo, sed et in vestibus, ædificiis, ac supellectile, aliisque rebus usus potissimum spectandus, modusque non excedendus. Quid enim

Τὸν φιλάρετον πάντα τὰ περιττὰ χρὴ περικόπτειν· οὐ γὰρ ἐν τροφῇ μόνον, ἀλλὰ καὶ ἐν ἀμφιάσει, καὶ ἐν οἰκήσει καὶ ἐν ἐπίπλοις, καὶ ἐν τοῖς ἄλλοις τὴν χρείαν χρὴ τιμᾶν, καὶ τὴν αὐτάρκειαν μὴ ὑβρίζειν.

[61] Hebr. XIII, 17.

Digitized by Google

Τί γάρ, εἰ νηστεύοις μὲν, χρηματίζῃ δέ; ἢ μὴ χρηματίζῃ μὲν, οἰκήσιν δὲ ζητοίης τῆς χρείας κρείττονα; Τί δὲ, εἰ μετρίᾳ μὲν οἰκήσει χρῷο, ἀμφιάσει δὲ περιέργῳ καλλωπίζοιο; Μέτριον γὰρ εἶναι χρὴ καὶ λόγῳ, καὶ σχήματι, καὶ φωνῇ, καὶ βλέμματι, καὶ βαδίσματι. Πολλοὶ γὰρ καὶ πλούτου ὄντες ἔρημοι, καὶ οἰκημάτων καὶ ἐνδύσεως λαμπρᾶς ἐνδεεῖς, τοσαύτην διὰ τοῦ βαδίσαντος ἐμφαίνουσι τὴν βλακείαν, ὡς γέλωτα ὀφλισκάνειν. A

si jejunes, sed pecuniam avare colligas; vel si non id agas, augustas quæras ædes usui tuo? Quid vero si his moderate uti videare, indumento tamen superfluo orneris? Modestum etenim decet esse et sermone et habitu, ac voce aspectuque, incessu denique. Multi enim a rebus inopes, domo ac splendida carentes veste, incessu tamen eam præ se ferunt mollitiem, risum ut omnibus debere et concitare videantur.

ΤΚΘ'. — ΖΩΣΙΜΩ ΠΡΕΣΒΥΤΕΡΩ.

658 CCCXXIX. — ZOSIMO PRESBYTERO.

Animæ potiorem quam corporis curam gerendam. Vitæ brevitas vigilare jubet. (*Matth.* XXV. *Conf. lib.* I, *epist.* 15 *et lib.* IV, *epist.* 24, 124, 126 *et* 146.)

Πρὸς τὸ τέλος λοιπὸν ὁ κόσμος ἐπείγεται· οὐ γὰρ δὴ ψεύσεται ἡ ἀλήθεια, συντέλειαν ἔσεσθαι προμηνύσασα. Εἰ δὲ κἀκείνη πόῤῥω τισὶν εἶναι δόξειεν, ἀλλ' B ὅ γε ἑκάστῳ χρόνος καθ' ἡμέραν δαπανᾶται, καὶ τὴν τελευτὴν ὠδίνει, καὶ πρὸς τὸ πέρας ὁρᾷ. Τῶν μὲν γὰρ πρεσβυτέρων δήλη ἐστὶν ἡ τελευτὴ, τῶν δὲ ἀκμαζόντων ἄδηλος ἡ ζωή. Προθεσμίαν γὰρ μίαν μὴ ἔχοντος τοῦ βίου, ἀλλὰ πᾶσαν ἡλικίαν τοῦ θανάτου ἐπινεμομένου, πάντας γρηγορεῖν χρὴ, καὶ προσδοκᾷν τὸ πάντως ἐσόμενον. Ἀλλ' ἡμεῖς πάντα μᾶλλον ἢ τοῦτο προσδοκῶμεν· τὰ μὲν γὰρ ἀδόκητα (96) καὶ ἀνέλπιστα καθ' ἑκάστην ὥραν ὀνειροπολοῦμεν καὶ ἐλπίζομεν· τὸ δὲ πάντῃ τε καὶ πάντως ἐσόμενον, καὶ αὐτίκα δὴ μάλα πολλάκις ἐπιστησόμενον, οὐδὲ ἐννοεῖν ἀξιοῦμεν· ἀλλὰ θνητοὶ ὄντες κατὰ τὸ σῶμα καὶ ἐπίκηροι, ὡς ἀθάνατοι διανοούμεθα· καὶ τῆς μὲν ἀθανάτου ψυχῆς ἀμελοῦμεν, μᾶλλον δὲ οὐδὲ ἔχειν ψυχὴν νομίζομεν· τὸ δὲ θνητὸν σῶμα ἀθάνατον εἶναι ἡγούμενοι, περὶ αὐτὸ πᾶσαν τὴν σπουδὴν ἀναλίσκομεν. Ποίας οὖν ἀπολαύσομεν συγγνώμης, τῆς μὲν ἀθανάτου θάνατον καταψηφιζόμενοι, τὸ δὲ θνητὸν πάσης τιμῆς ἀξιοῦντες; κἀκείνην παραβλάπτοντες, ἵνα τοῦτο κοσμήσωμεν; κἀκείνην λιμῷ τήκοντες, ἵνα τοῦτο σκιρτᾷν καὶ τρυφᾷν ἔχοι; Χρὴ γὰρ τὰ μὲν πρωτεῖα τῇ ψυχῇ, τὰ δὲ δευτερεῖα τῷ σώματι νέμειν· οὐ γὰρ ἐναντίον αὐτῆς ἐστιν, ἀλλ' ὄργανον καὶ κιθάρα· ἐπιμελείας γὰρ δεῖται, οὐκ ἀπολαύσεως ἀνωφελοῦς· τροφῆς, οὐ τρυφῆς· αὐταρκείας, οὐ πλησμονῆς· εἴ γε μέλλοι μὴ πολέμιον, ἀλλὰ σύμμαχον τῇ ψυχῇ εἶναι.

Ad ultimum tendit finem mundus: neque enim fallit ipsa Veritas consummationem fore denuntians. Qui mundi finis, etsi longius abesse quibusdam videatur, cujusque tamen dies abit quotidie, transit, finem parturit, respicitque extremum. Senum enim patet in dies exitus, ætate florentium incertus quidem vitæ dies, nulli etenim certa ætas vitæ terminus est, sed omnis ætas morti obnoxia. Vigilandum itaque omnibus, exspectandumque quod semel accidet. At nos hodie quivis potius quam mortis tempus exspectamus. Insperata enim atque inexspectata singulis horis quasi per somnium conjicimus ac speramus. Quod vero semper et ubique futurum est, ac sæpe jam instans, ne cogitare quidem nos dignamur, sed corpore mortalitati obnoxii, et imbecilles, tamen immortales nos esse opinamur. Verum de immortali anima nihil C hic solliciti, anima etiam ipsa carere nos existimamus, in corpore vero cuteque curanda operam omnem oleumque consumimus; quam igitur veniam adipiscemur morte, animam damnantes, quæ mortis tamen expers est: quod autem mortale est corpus omni honore afficientes, atque illam lædentes, ut hoc ornemus; fame illam macerantes, ut hoc saltui deliciisque indulgeat? Quamobrem æquum sane est primas animæ partes dare, corpori secundas tribuere: non enim hoc ipsi adversatur, sed instrumentum est et cithara. Cura enim indiget, non inutili diligentia, cibis non deliciis, edulio sufficienti non saturitate, ne hostis animæ fiat, sed subsidium potius animæ corpus exsistat.

ΤΛ'. — ΜΑΡΚΙΑΝΩ ΠΡΕΣΒΥΤΕΡΩ.

D CCCXXX. — MARCIANO PRESBYTERO.

Inveteratæ opiniones hominum quomodo evertendæ. (*Confer. epist.* 236.)

Τὸν μέλλοντα διασαλεύειν (97) καὶ ἀναμοχλεύειν δόξαν παλαιὰν καὶ πεπηγυῖαν, καὶ καλὴν εἶναι τῷ κακῶς προληφθέντι νομιζομένην, ἐπειδὴ τὸ κομιδῇ παράδοξον, οὐκ ἂν εἴη προοιμίων ἄνευ (98) εὐπαράδεκτον· οὐκ εὐθὺς τἀναντία φράζειν χρή. Ἐπεὶ καταγέλαστος ἔσται καὶ κωμῳδηθήσεται ὑπὸ τῶν προκαταληφθέντων τῇ ἐναντίᾳ φήφῳ· ἀλλὰ πρότερον ὑπορύξαντα καλῶς δι' ἑτέρων πολ-

Qui inolitam et usu confirmatam opinionem, quæ male informatis pulchra videatur, effodere atque eruere voluerit, cum rem valde arduam aggrediatur, non id auspicabitur sine animorum præparatione, neque continuo repugnabit. Ridiculus siquidem erit, reprehendeturque judicio contraria opinione præceptorum: sed antea demonstrata male ab aliis multis, tunc in contrarium vertet.

VARIÆ LECTIONES ET NOTÆ.

(96) Pro ἀδόκητα codd. Vat. 650 et Alt. scribunt ἐδόκιμα. Possin.

(97) *Διασαλεύειν.* An non leg. potius videatur διασκαλεύειν, vel διασκαλουδεύειν, quod est *sarculo terram effodere, versare, suscitare.* Mox etiam ἀπορύξαντα legendum censeo. Schott.

(98) Codd. Vat. 650 et Alt. omittunt ἄνευ. Possin.

Digitized by Google

Sic enim fiet plausibilis et suadelam effinget A deam.

λῶν, τότε εἰς τοὐναντίον περιτρέπειν. Οὕτω γὰρ εὐπαράδεκτος ἔσται, καὶ τὴν πειθὼ δημιουργήσει.

659 CCCXXXI. — ALEXANDRO POETÆ.

Cur Socrates Gratias virgines nudas (99) *finxerit : Aristophanes Comicus notatur.*

Valde equidem miror homines quosdam, quo in numero et te esse arbitror, cum liceat sæpe qua scriptis, qua picturis utilitatem capere, illud non cogitare, ad injuriam vero respicere. Si enim modestissimus, idemque sapientissimus fuit Socrates (nam Plato, Æschines Socraticus, Xenophon atque Euripides eum laudando inter se certant, Aristophanes vero non audiendus, quia nihil æque novit ac maledicere, præceptorem accusans, forte quod ad philosophiam invitaret), ejus philosophi opus est Gratias nudas, ut dicitur, ac virgines sculpere : non B ut ad libidinem juvenes provocet, ut tu quidem opinaris, id excogitavit, sed ut naturam ipsarum (hæc enim in re explicanda imprimis valuit) imaginibus explicaret, quando plerique vel lucri spe, aut mercedis, vel famæ, aliave de causa munera largiantur. Id enim mea quidem sententia, repræsentare omnino voluit, beneficia sua danda, nudas quidem ut virgines innuptas, omnisque lucri expertes, carentesque omni tegumento, ut ad nihil aliud quis respiciens quam ad honestatem, indigentibus beneficia conferat, ut laudem inde capiat, quod cedit in damnum accipientium.

Λίαν θαυμάζω, πῶς τινες τῶν ἀνθρώπων (ὧν εἷς καὶ αὐτὸς κινδυνεύεις εἶναι) ἐνὸν πολλάκις διὰ τῶν γραφῶν, ἢ διὰ τῶν ἀγαλμάτων ὠφελεῖσθαι· τοῦτο μὲν οὐκ ἐννοοῦσιν, εἰς ὕβριν δὲ βλέπουσιν. Εἰ γὰρ σωφρονέστατος καὶ σοφώτατος ἦν ὁ Σωκράτης. (Πλάτων γὰρ καὶ Αἰσχίνης καὶ Ξενοφῶν καὶ Εὐριπίδης τοῦτο διισχυρίσαντο· Ἀριστοφάνει γὰρ οὐ προσεκτέον, ὡς οὐδὲν οὕτω παλαιῶς εἰδότι, ὡς τὸ κακῶς εἰπεῖν, καὶ κωμῳδήσαντι τὸν διδάσκαλον, ἴσως περὶ φιλοσοφίας αὐτῷ παραινέσαντι (1)), Αὐτοῦ δέ ἐστιν ἔργον τὸ τὰς χάριτας γυμνὰς, ὥς φατε, καὶ παρθένους γλύψαι, οὐκ εἰς ἀσέλγειαν τοὺς νέους παρακαλῶν, ὡς ἠγῇ, τοῦτο πεποίηκεν, ἀλλὰ τὴν φύσιν αὐτῶν (δεινὸς γὰρ ἦν καὶ περὶ ταῦτα) διὰ τῶν ἀγαλμάτων ἐξηγούμενος. Ἐπειδὴ γὰρ πολλοὶ ἢ κέρδους, ἢ ἀμοιβῆς, ἢ φιλίας, ἢ δόξης, ἢ ἄλλου τινὸς ἕνεκεν τὰς χάριτας διδόασι· τοῦτο αὐτὸ παιδεῦσαι τοὺς ὁρῶντας (ὡς γε ἐμαυτὸν πείθω) ἠθέλησεν, ὅτι δεῖ τὰς χάριτας δίδοσθαι, παρθένους μὲν καὶ ἀμιγεῖς παντὸς κέρδους, παντὸς δὲ ἐπικαλύμματος ἐλευθέρας ἵνα πρὸς μηδὲν ἄλλο τις βλέπων, ἀλλ' εἰς αὐτὸ τὸ καλὸν, εὐεργετῇ τοὺς δεομένους, καὶ μὴ λήμματος ἐφιέμενος, ἢ δόξης, ἐκτραγῳδῇ τῶν λαμβανόντων τὰς συμφοράς.

CCCXXXII. — CYRO MONACHO.

ΤΛΒ'. — ΚΥΡῼ ΜΟΝΑΖΟΝΤΙ.

Beneficium qui accipit, libertatem vendit.

Admiror sane inexplebilem quorumdam cupiditatem plane servilem, qui semper exigunt beneficium, C dant vero nunquam, idque argumentum esse existimo illiberalis mentis atque insatiabilis. Gratia enim accipientes beneficia in vilem conjicit servitutem, dantes vero honesta donat libertate. Liberale est etenim aliis impertiri; contra servile, beneficium accipere. Obnoxius enim et subjectus semper idcirco manet. Necessario enim qui beneficio obstrictus est, non prius animum erigit, quasi capiti impendens onus sustinens, neque directe bene de se meritum antea aspicere audet, quam debitum, velut æs alienum dissolverit. Hæc dico non quasi legem statuens, ut qui indigent, nihil postulent beneficii; neque ut suadens exorta jam tempestate in portum ne intres; neque eos qui non possunt D rependere accusans; absit! ac neque eos qui opere non queant, saltem verbo gratiam profiteri cogens. Si vero etiam beneficia dantem tacere oportet, accipientem certe decet beneficii meminisse. Verum non id nunc agitur, **660** sed illos accuso nullius

Λίαν θαυμάζω τὴν ἀπληστίαν καὶ τὴν δουλοπρέπειαν τῶν ἀεὶ μὲν χάριν αἰτούντων, μὴ παρεχόντων δὲ, καὶ τεκμήριον εἶναι τοῦθ' ἡγοῦμαι ἀνελευθέρου καὶ ἀκορέστου ψυχῆς. Ἡ μὲν γὰρ χάρις τοὺς λαμβάνοντας εἰς ὑπόχρεω καθίστησι ταπεινότητα, τοὺς δὲ παρέχοντας εἰς ἐλευθεροπρέπειαν αὔξειν πέφυκεν. Ἐλευθέριον γὰρ τὸ κατάρχειν εἰς ἕτερον χάριτος (2), οἰκετικὸν δὲ τὸ λαμβάνοντα χάριν, ὑπεύθυνον ἀεὶ διὰ ταύτην διατελεῖν. Ἀναγκαίως γὰρ ὁ χάριτι δουλωθεὶς, καθάπερ ἄχθος ἔχων ἐπὶ κεφαλῆς, οὐ πρότερον ὀρθοῦται τὴν ψυχὴν, οὐδὲ ἐξίστης πρὸς τὸν εὐεργετήσαντα βλέπει, πρὶν ἂν διαλύσηται τὸ χρέος. Ταῦτα δέ φημι, οὐ τοὺς ὄντως δεομένους μὴ αἰτεῖν χάριν νομοθετῶν, οὐδὲ συμβουλεύων τοῖς χειμαζομένοις μὴ καταφεύγειν εἰς λιμένα· ἀλλ' οὐδὲ τοὺς ἔργῳ μὴ δυναμένους ἀμείψασθαι αἰτιώμενος. Ἄπαγε· οὐδὲ μὴν τοὺς ἔργῳ μὴ δυναμένους, κἂν λόγῳ τὰς χάριτας ὁμολογεῖν ἀναγκάζων. Εἰ γὰρ καὶ χρὴ τὸν μὲν εὐεργετήσαντα ἐπιλανθάνεσθαι, τὸν δὲ εὐεργετηθέντα μεμνῆσθαι τῆς χάριτος. Ἀλλ' οὐ τοῦτο νυνὶ φράσαι βούλομαι· ἀλλ' ἐκείνους αἰτιῶμαι τοὺς

VARIÆ LECTIONES ET NOTÆ.

(99) *Gratias nudas*, ut dicitur. Proverbium exponunt Zenobius, Diogenianus. Socrates vero apud Stobæum, cum quemdam videret passim et sine delectu beneficia largientem : Κακῶς, εἶπεν, ἀπόλοιο· ὅτι τὰς Χάριτας παρθένους οὔσας, πόρνας ἐποίησας. *Male sit tibi*, inquit, *qui Gratias virgines, scorta fecisti*. De Gratiis tribus Seneca Philos. lib. I. *De beneficiis*, cap. 3, et sæpe Plutarch., ut in *Erotico*, et *Principi cum philosopho agendum*, trium Gratiarum recenset nomina. SCHOTT.

(1) Παραινέσαντι codd. Vat. 650 et Alt. mutant in παραινέσαντα. POSSIN.

(2) Pro χάριτος iidem habent χάριτα;. Id.

Digitized by Google

μηδενὸς μὲν δεομένους, διὰ δὲ φιλοχρηματίαν ἀεὶ μὲν λαμβάνειν σπουδάζοντας, παρέχειν δὲ οὐ βουλομένους. Τοὺς μὲν γὰρ ἐν χρείᾳ τυγχάνοντας, οὐκ ἄτοπον χάριν αἰτεῖν, τούς τε παρέχειν δυναμένους αἰτεῖν, ἀτοπώτατον. Δὶς (3) γὰρ ἁμαρτάνουσι μέγιστα, ἓν μὲν, αὐτοὶ διὰ πόθον ἀκόρεστον αἰτοῦντες· ἕτερον δὲ, καὶ τοῖς ὄντως δεομένοις ἀποκλείοντες τοὺς τῆς φιλανθρωπίας λιμένας· ἀναλίσκουσι γὰρ κακῶς τὰ καλῶς δοθῆναι ὀφείλοντα.

quidem indigos. Quare habendi cupiditate accipere semper beneficium satagunt, dare autem nolunt. Qui vero inopia laborant, beneficia postulare non absurdum est. At qui dare aliis possunt postulare ab aliis, id absurdissimum. Bis enim peccant gravissime, semel quidem exigentes beneficium insatiabili cupiditate, deinde quia revera indigentibus humanitatis claudunt ac beneficentiæ portum. Male enim consumunt quæ honeste dare aliis oportebat.

ΤΛΓ'. — ΠΑΛΛΑΔΙΩ ΔΙΑΚΟΝΩ.

CCCXXXIII. — PALLADIO DIACONO.

In beneficiis dandis laudanda est voluntas : ex animo, non ex eventu judicandum.

Τοὺς εὐεργέτας οὐ μόνον ἀφ' ὧν ἠδυνήθησαν, ἀλλὰ καὶ ἀφ' ὧν ἠβουλήθησαν μὲν, οὐκ ἠδυνήθησαν δὲ, ἀνυμνεῖσθαι χρὴ, καὶ εἰδέναι μὲν αὐτοῖς χάριν ἀφ' ὧν ἠθέλησαν, τὸ μὴ δεδυνῆσθαι δὲ μὴ αἰτιᾶσθαι. Ὁ γὰρ μὴ ἀπὸ τῆς προαιρέσεως, ἀλλ' ἀπὸ τῆς ἐκβάσεως τὰ πράγματα κρίνων, ἀπαίδευτός ἐστι, καὶ τῶν πραγμάτων οὐ γινώσκει τὴν φύσιν, τὴν οὐ πάντως τῇ βουλήσει ἑπομένην, ἀλλ' ἔσθ' ὅτε καὶ ἐναντιουμένην.

Ut benefici non modo laudandi sunt in iis quæ non potuerunt dare, sed etiam in iis quæ voluerunt largiri, nec potuerunt, habendaque iis gratia de iis quæ sunt conati : quod vero non potuerint minime culpandi sunt. Est enim hominis imperiti ab eventu, non a consilio res judicare, ac ne naturam quidem negotiorum novit, quæ ad voluntatem non omnino fluunt : imo sæpe contra cadunt.

ΤΛΔ'. — ΑΓΑΘΟΔΑΙΜΟΝΙ ΓΡΑΜΜΑΤΙΚΩ.

CCCXXXIV. — AGATHODÆMONI GRAMMATICO.

Tarda etiam ingenia discendo processum faciunt. Non ex quovis ligno fit Mercurius.

Ἡ παίδευσις τὸν μὲν ὀξὺν, ἄκρον ποιεῖ· τὸν δὲ βραδὺν ἀμείνονά πως ἑαυτοῦ καθίστησιν. Ὥσπερ γὰρ οὐ πάντες οἱ ἐν παιδοτριβίοις (4) γυμνασθέντες ἀθληταὶ ἀποτελοῦνται, οὕτως οὐδὲ πάντες οἱ ἐν μουσείοις φοιτήσαντες ῥήτορες· ταῖς γὰρ εὐφυΐαις καὶ ταῖς δυνάμεσιν αἱ μελέται προσομιλοῦσαι ἄκρους ἀποτελοῦσιν. Εἰ δὲ μήτε ἀλκὴν, μήτε εὐφυΐαν εὕρωσιν, ἀσκοῦσι μὲν τῶν μὲν τὰς ψυχὰς, τῶν δὲ τὰ σώματα, οὐ μὴν ἀοιδίμους αὐτοὺς δημιουργοῦσιν.

Acutum quidem ingenium institutio ac disciplina provehit, tardum vero seipso reddit meliorem. Utque non omnes qui in gymnasiis exercentur, athletæ absoluti fiunt ; ita nec omnes scholas frequentantes oratores evadunt. Optimæ naturæ ac facultati juncta studia summos perficiunt. Si vero neque robur, neque naturæ aptitudinem inveniant, exercent quidem animos quorumdam, aliorum vero corpus, celebres tamen ipsos non reddunt.

ΤΛΕ'. — ΙΣΙΔΩΡΩ ΕΠΙΣΚΟΠΩ.

CCCXXXV. — ISIDORO EPISCOPO.

« *Estote perfecti, sicut Pater vester cœlestis.* » (*Matth.* v, 48.) *Imitationis ratio, inferior.*

Ἐπειδὴ εἰκότως νομίζων τὴν θείαν ἀρετὴν ἀνέφικτον καὶ ἀμίμητον, γέγραφας θαυμάζων, πῶς ὁ Σωτὴρ καὶ τὸν Πατέρα καὶ ἑαυτὸν μιμεῖσθαι ἡμᾶς παρακελεύεται. Φημὶ, ὅτι εἰκότως τὰ πράγματα ἀπὸ τῶν μειζόνων λαμβάνει τὰ παραδείγματα, ἵνα κἂν τοῦ ἐλάττονος ἐφικοίμεθα. Εἰ γὰρ καὶ ἀμίμητος ἡ Δεσποτικὴ ἀρετὴ, ἀλλ' οὖν γε ὅταν κατὰ δύναμιν μιμεῖσθαι αὐτὴν σπουδάζωμεν, τῆς μιμήσεως οὐκ ἀπολειφθησόμεθα. Ὥσπερ γὰρ οἱ γραμματισταὶ λαμβάνοντες τὴν γραφίδα, τοῖς παισὶ μετὰ πολλοῦ τοῦ κάλλους τὰ στοιχεῖα γράφουσιν, ἵνα κἂν πρὸς τὸ καταδεέστερον ἔλθωσι τῆς μιμήσεως, οὕτω καὶ ἡ θεία χάρις ὑποδείγματα ἡμῖν ἀρετῆς προὔθηκεν, ἵν' ὡς ἐφικτὸν μιμησώμεθα. Μὴ τοίνυν τὸ μὴ ἄκρως δύνασθαι μιμεῖσθαι, τοῦ ἐνδεχομένου ἡμᾶς ἀποσοβείτω, ἀλλὰ τοῦτο μάλιστα μέγα ἡμῖν φαινέσθω, τὸ ἠξιῶσθαι μερικῶς μιμήσεως θείας εἰκόνος ἐντὸς γενέσθαι.

Cum incomprehensibilis sit Deus, atque inimitabilis, admirari te scribis, cur Salvator et Patrem cœlestem, et sese ad imitandum proposuerit. Equidem respondeo res jure optimo a majoribus exempla capere, ut saltem minus consequamur. Quamvis enim inimitabilis Dei virtus est, illam tamen pro virili imitari conantes, ab imitatione non discedemus. Ut qui scribere pueros docent, arrepto stylo pueris quam elegantissimos præscribunt characteres, etsi inferiores sint in imitatione futuri : ita et divina gratia virtutis nobis exempla proposuit, ut tanquam quod queat comprehendi imitemur. **661** Ne igitur quod summa quæque imitari non possimus, id nos absterreat ab iis, quæ consequi valemus, imo magnum illud nobis videatur, quod digni simus habiti, vel ex parte divinam imitari imaginem.

ΤΛϚ'. — ΓΕΝΝΑΔΙΩ.

CCCXXXVI. — GENNADIO.

De gloriæ cupiditate, vel contemptu. Vulgi judicium contemnendum.

Εἰ καὶ παράδοξόν σοι εἶναι δόξει τὸ λεχθησόμενον,

Etsi quod dicam paradoxon tibi visum iri satis

VARIÆ LECTIONES ET NOTÆ.

(3) Iidem δὶς mutant in δύο. Possin.

(4) Pro παιδοτριβίοις iidem scribunt παιδοτρίβου. Id.

Digitized by Google

scio, dicendum tamen. Gloriam igitur inanem censeo ab animo abjecto vilique proficisci. Despicientiam contra laudisque contemptum ex magnanimitate nasci, vel verius a cœlesti mente. Illa siquidem laudem admiratur humanam, quæ instar arescentis est fœni : hæc vero eam aversatur. Illa maximi ducit aberrantem labentemque vulgi opinionem, hæc contra facit minimi. Quod cum ita sit, sciscitari ex te libet, quid æstimas vulgus virtutem nihili ducens; haud dubie quasi nullius pretii sit, ac negligens. Ut enim vulgus de virtute, ita et de ipso sentire sapientes æquum sit. Elige igitur : haudquaquam a vulgi parte stare mihi videris. Quomodo igitur non admodum miserum, imo et ridiculum fuerit horum sectari opinionem quorum nolles similis esse? si dixeris multos in uno consentientes fide dignam posse statuere sententiam, idipsum dixeris de iis ob quæ vere despiciendi sunt. Qui enim ex se ipsi despicabiles sunt, multo magis id inter se commissi patientur. Singulorum enim amentia simul collecta major fit a multitudine adaucta. Quapropter et singulatim quisque corrigatur, si quando deprehendatur. Simul vero exsistentes corrigi non possunt, eo quod in majus amentiam provehant, et mutuis applaudant opinionibus.

ἀλλ' ὅμως εἰρήσεται· φημὶ γὰρ ὅτι ἡ κενοδοξία ἀπὸ ψυχῆς ταπεινῆς καὶ εὐτελοῦς τίκτεται, ἡ δὲ ὑπεροψία τῶν ἐπαίνων καὶ ἡ καταφρόνησις ἀπὸ μεγαλοφυοῦς, μᾶλλον δὲ ὑπερφυοῦς. Ἡ μὲν γὰρ θαυμάζει τὸν χόρτου δίκην μαραινόμενον τῶν ἀνθρώπων ἔπαινον, ἡ δὲ ἀποστρέφεται· ἡ μὲν μεγίστην ἡγεῖται τὴν πεπλανημένην καὶ ἐσφαλμένην τῶν πολλῶν ψῆφον, ἡ δὲ εὐτελεστάτην. Ὅτι δὲ ταῦθ' οὕτως ἔχει, ἔρεσθαί σε βούλομαι. Τί νομίζεις τοὺς πολλούς, οἷς οὐδεὶς περὶ ἀρετῆς λόγος; εὔδηλον ὅτι ῥᾳθύμους, καὶ οὐδενὸς ἀξίους λόγου. Ὅπερ γὰρ αὐτοὶ περὶ τῆς ἀρετῆς ψηφίζονται, τοῦτο τοὺς σοφοὺς δίκαιον ἂν εἴη περὶ αὐτῶν ψηφίζεσθαι. Ἕλοιο τοίνυν· κατ' ἐκείνους γενέσθαι οὐκ ἂν μοι δοκεῖς. Πῶς οὖν οὐ κομιδῇ σχέτλιον, μᾶλλον δὲ γελοῖον, τὴν τούτων θηρᾶσθαι δόξαν, ὧν οὐκ ἂν ἕλοιο γενέσθαι παραπλήσιος; εἰ δὲ φαίης, ὅτι οἱ πολλοὶ κατὰ ταυτὸν συνεστηκότες ἀξιόπιστον ἔχουσι τὴν ψῆφον· αὐτὸ τοῦτο λέξεις, δι' ὃ καταφρονεῖσθαι ὀφείλουσιν. Οἱ γὰρ καθ' ἑαυτοὺς ὄντες εὐκαταφρόνητοι, πολλῷ μᾶλλον συγκροτηθέντες τοῦτο πείσονται. Ἡ γὰρ ἑκάστου ἄνοια ὁμοῦ συναχθεῖσα, μείζων ὑπὸ τοῦ πλήθους αὐξηθεῖσα γίνεται. Διὸ καὶ καθ' ἕνα μὲν ἂν τις αὐτῶν καὶ διορθώσειεν, εἰ λάβοι ποτέ· ὁμοῦ δὲ ὑπάρχοντας οὐκ ἂν δυνηθείη, διὰ τὸ τὴν ἄνοιαν ἐπὶ τὸ μεῖζον αἴρεσθαι, καὶ ταῖς παρ' ἀλλήλων δόξαις συγκροτεῖσθαι.

CCCXXXVII. — EIDEM.

Gloriæ studiosus non idem inanis est laudis cupidus. Et ille quidem virtutem exercens, hic autem non exercens gloriam venatur. Et ille quidem convenienti, hic vero minime ipsi convenienti accedit opinioni. Propria ille pulchritudine ornatur, hic vero vult aliena decorari forma. Suis ille thesauris extollitur, hic iis qui ad ipsum minus pertineant. Ille quidem juste, hic vero injuste honorari exoptat. Primus quidem, tametsi non sit perfectus (exercenda enim virtus est et non expetenda gloria), secundo tamen melior est, et tantum ab eo distat, quantum ipse a perfecto deficit. Quin potius si accuratius rem dicere velimus, ne conferri quidem cum illo dignus est, qui nihil boni egerit, sed gloriam captet quasi quid egerit, **662** sed cum illo qui et aliquid gesserit, et gloriam quæ ex facto sequitur contemnat.

ΤΛΖ'. — ΤΩ ΑΥΤΩ.

Φιλοδόξου καὶ κενοδόξου *differentia*. (*Vide epist.* 411.)

Οὐκ ἔστιν ὁ φιλόδοξος κενόδοξος· ὁ μὲν γὰρ ἀρετὴν ἀσκῶν, ὁ δὲ μὴ (5) ἀσκῶν δόξαν θηρᾶται· καὶ ὁ μὲν τῆς προσηκούσης, ὁ δὲ τῆς μηδαμόθεν αὐτῷ προσηκούσης ὑπολήψεως ἐφίεται· ὁ μὲν οἰκείῳ κάλλει σεμύνεται, ὁ δὲ ἀλλοτρίῳ καλλωπίζεσθαι βούλεται· ὁ μὲν τοῖς οἰκείοις θησαυροῖς μέγα φρονεῖ· ὁ δὲ τοῖς μηδαμῶς αὐτῷ προσήκουσιν· ὁ μὲν δικαίως, ὁ δὲ ἀδίκως τιμᾶσθαι βούλεται· ὁ μὲν οὖν πρῶτος, εἰ καὶ μὴ τέλειός ἐστι (χρὴ γὰρ καὶ ἀρετὴν ἀσκεῖν, καὶ δόξης μὴ ὀρέγεσθαι), ἀλλ' οὖν γε τοῦ δευτέρου κρείττων ἐστί· καὶ τοσοῦτον αὐτοῦ πλέον ἀπέχει, ἢ ὅσον τοῦ τελείου αὐτὸς ἀπολείπεται· μᾶλλον δὲ εἰ χρὴ τὸ ἀκριβὲς εἰπεῖν, οὐδὲ παραβάλλεσθαι πρὸς ἐκεῖνον ἂν εἴη δίκαιος, τὸν μηδὲν μὲν πράξαντα χρηστὸν, τῆς δὲ ἐπὶ τῷ πεπραχέναι ἀντιποιησάμενον δόξης, ἀλλὰ πρὸς ἐκεῖνον, τὸν καὶ πεπραχότα, καὶ τῆς ἐπὶ τῷ πεπραχέναι καταφρονήσαντα δόξης.

CCCXXXVIII. — EIDEM.

Non est, ut dicis, ambitio honorisque appetitus magnanimitas quædam. Hæc enim ardua difficiliaque generose, quæque alios inflare solent moderate fert. Ambitio gloriam duntaxat respicit. Magnanimitas vero sibi sufficit, tametsi laudetur a nemine. Illa nisi laudatores habeat, nil recti facit. Hæc esse, illa vero videri optima cupit. Magnanimitas bonum ipsum expetit, illa vero laudem tantum complectitur.

ΤΛΗ'. — ΤΩ ΑΥΤΩ.

Μεγαλοψυχία *et* φιλοτιμία *quid differant.*

Οὐκ ἔστι μεγαλοψυχία ἡ φιλοτιμία, ὡς ἔφης· ἡ μὲν γὰρ πάντα μὲν τὰ δυσχερῆ γενναίως, πάντα δὲ τὰ τοὺς ἄλλους φυσῶντα μετρίως φέρει· ἡ δὲ πρὸς δόξαν μόνον ὁρᾷ. Καὶ ἡ μὲν ἀρκεῖται ἑαυτῇ καὶ μηδενὸς ἐπαινοῦντος, ἡ δὲ ἐὰν μὴ ἔχῃ τοὺς ἐγκωμιάζοντας, οὐδὲ καλόν τι ὁρᾷ. Ἡ μὲν εἶναι, ἡ δὲ δοκεῖν ἀρίστη βούλεται· ἡ μὲν δι' αὐτὸ τὸ ἀγαθὸν, ἡ δὲ διὰ τιμὴν ἀσπάζεται· ἡ μὲν εὐεργετεῖ, μέγιστο

VARIÆ LECTIONES ET NOTÆ.

(5) Cod. Alt. omittit μή. Possin.

Digitized by Google

εἶναι χρῆμα τὴν εὐποιΐαν ἡγουμένη· ἡ δὲ διὰ δόξαν ἐλεεῖ. Ὅσα οὖν κρείττων ὁ αὐτὸς τὸ ἀγαθὸν δι' αὐτὸ δρῶν τοῦ δρῶντος μὲν, ἐπὶ μισθῷ δὲ τοῦτο ποιοῦντος, τοσοῦτον καὶ ἡ μεγαλοψυχία τῆς φιλοτιμίας, εἰ καὶ δοκεῖ τὰ αὐτὰ δρᾷν, διενήνοχεν. A

Hæc bene meretur, maximum esse bonum beneficentiam rata. Ambitio laudis tantum causa miseretur. Quanto igitur præstat bonum per se agens, quam agens quidem, sed mercedis gratia tantum. Magnanimitas gloriæ studio tametsi facere eadem videatur, longe antecellit.

ΤΛΘ'. — ΣΕΡΗΝΩ ΤΡΙΒΟΥΝΩ.

CCCXXXIX. — SERENO TRIBUNO.

Humilitati danda est opera. (*Conf. epist.* 127, 251.)

Εἰ πάντα τὰ ὀνόματα τὰ τῇ θείᾳ καὶ ἀκηράτῳ περιαπτόμενα φύσει, ὑπερβαίνει τὰ μέτρα τῆς ἀνθρωπότητος, ἐν τῷ κατὰ φύσιν ἡμῖν καὶ δυνατῷ τὸ Θεῖον μιμεῖσθαι πρεπωδέστατον. Τί δὲ τοῦτό ἐστιν; Ἡ ταπεινοφροσύνη. Τί γὰρ ἔχομεν τοιοῦτο, ὃ καὶ ἐπᾶραι ἡμᾶς εἰς ἀλαζονείαν δεινὸν ὑπάρχει; κατὰ μὲν τὸν πατριάρχην, « Γῆ ἐσμεν καὶ σποδός· » κατὰ δὲ τὴν νομοθέτην, *κοῦς*· καὶ κατὰ μὲν τὸν Μελῳδὸν, ποτὲ μὲν *σκώληξ*, ποτὲ δὲ *χόρτος*· κατὰ δὲ τὸ σκεῦος τῆς ἐκλογῆς, *ταλαιπωρία*· οἷς γὰρ ἑαυτὸν οἰκτίζεται, πάσης τῆς ἀνθρωπότητος καταψηφίζεται. Διατί μὴ ἐν ᾧ ἡ τῆς φύσεως ἡμᾶς ἀνάγκη κατείργει, ἐν τούτῳ « Τὸν ἐν μορφῇ Θεοῦ ὑπάρχοντα καὶ ἑαυτὸν ταπεινώσαντα μιμησώμεθα. » Πᾶσαν τοίνυν παρὰ φύσιν ἡμῖν ὑπάρχουσαν φλεγμονὴν καταστείλαντες, τὴν ταπεινοφροσύνην, τὴν τῇ φύσει καὶ συνυπάρχουσαν καὶ σύντροφον ἀσκήσωμεν. B

Cum nomina universa divinæ pureque naturæ attributa humanæ superent conditionis mensuram, in uno congruenter naturæ et viribus nostris divinum numen nos imitari maxime decet. Quid autem istud est? Animi submissio. Quid enim habemus ejusmodi quod extollere nos ad arrogantiam valeat? ut patriarcha Abraham ait : « Terra sumus et cinis [83]; » ut vero legislator ait *pulvis* [84]; et juxta Psaltem regium : *Vermis et fenum* [85]; electionis vero vas Paulus, *miseria* [86]. Ob quæ enim seipsum miseratur, miserumque prædicat, ob ea, et de universo genere humano intelligi vult. Quamobrem illum, « qui cum in forma Dei esset semetipsum humiliavit [86] » imitemur. Omnem itaque fastum turgidum naturæ nostræ repugnantem abjicientes, humilitatem naturæ convenientem, nobisque cognatam exerceamus.

ΤΜ'. — ΜΑΡΚΙΑΝΩ.

CCCXL. — MARCIANO.

Adhortatio qualis esse debeat. (*Confer. epist.* 290.)

Δύσκολον εἶναί μοι δοκεῖ, τὸν παραινοῦντα τῷ ἃ μὴ θέμις δρῶντι, μὴ εἰς ἀπρεπεῖς ἐμπεσεῖν (6) λόγους· ἃ γὰρ μὴ πράττειν θέμις, οὐδὲ λέγειν θέμις. Τί οὖν ποιητέον; Ἂν μὲν γὰρ σεμνῶς εἴπῃς, οὐ δυνήσῃ καθάψασθαι τοῦ ἐνόχου τοῖς λεγομένοις ὄντος· ἂν δὲ βουληθείης καθικέσθαι σφοδρῶς, ἀνάγκην ἔχεις ἀπαμφιάσαι, καὶ τὸ παραπέτασμα ἀνελεῖν. Διὸ καὶ ἐπαινεῖται ὁ εἰρηκώς· « Φοβοῦμαι, μὴ τὰ προσήκοντα περὶ σοῦ λέγων, εἰς οὐ προσήκοντας ἐμαυτῷ λόγους ἐμπέσω. » Οὐκοῦν μέσην τινὰ χώραν βαδιστέον, δι' ἧς μήτε ἑαυτόν τις αἰσχύνῃ λέγων ἃ μὴ δεῖ, μήτε ἐκεῖνον ἀνωφελῆ καταλείψῃ. C

Equidem difficile opinor hortando ad ea quæ factu nefas, non incidere in indecoram orationem. Quæ enim facere non licet, dicere non licet. Quid igitur facto opus? Si enim graviter quid dicas, non poteris eum qui reus est, dictis perstringere. Si vehementer insurgere volueris, insinuatione est opus, et velamento utendum. Laudatur itaque quisquis dixit : « Vereor ne, si quæ conveniunt de te dixero, me indigna dicam [87]. » Media igitur gradiendum est via, ne quis pudore afficiatur, dicendo quæ non oportet, neque alteri inutilia assumat.

ΤΜΑ'. — ΕΡΜΙΝΩ ΚΟΜΗΤΙ.

663 CCCXLI. — HERMINO COMITI.

Boni invidiæ obnoxii. (*Conf. epist.* 29 *et* 326.)

Εἰώθασι πολλοὶ τῷ ἐκ τῆς ἄγαν ἀρετῆς λαμπρυνομένῳ φθονεῖν, ἐπαχθῆ γὰρ καὶ φορτικὸν ἡγούμενοι τὸν μὴ τὰ αὐτὰ τοῖς αὐτοῖς δρῶντα, ἀλλ' ἀπὸ τῶν καλλίστων προνομίων ἐναβρυνόμενον, ἅτε τὸν σφῶν βίον ἐλέγχοντα, ταῖς κακηγορίαις καὶ ταῖς ἐπιβουλαῖς βάλλουσιν, ὃν καὶ ζηλοῦν καὶ στεφανοῦν ὤφειλον. D

Solent plerique ei invidere, qui virtute sit clarus, rati molestum et intolerabilem esse eum qui non eadem quæ ipsi agat, sed optimorum prærogativa gloriantem, quasi illorum vitam reprehendat, maledictis atque insidiis petunt, quem imitari potius ac collaudare oportebat.

ΤΜΒ'. — ΑΝΔΡΟΜΑΧΩ ΚΟΜΗΤΙ.

CCCXLII. — ANDROMACHO COMITI.

Religio non contemnenda ex perversis profitentium moribus.

Λίαν τῆς σῆς καταψηφίζομαι ἀβελτηρίας, ὅτι οὐχ αὐτὴν καθ' ἑαυτὴν κρίνει τὴν θείαν θρησκείαν,

Equidem tuam magnopere damno vesaniam, quod ipsam non ex se judicet religionem, sed ex

[83] Gen. xviii, 7. [84] Gen. iii, 19. [85] Psal. xxi, 6. [86] Rom. vii, 24. [86] Philipp ii, 6. [87] Cicer. lib. ix, epist. 22, Ad fam.

VARIÆ LECTIONES ET NOTÆ.

(6) E regione ἐμπεσεῖν ambo codd. in margine scribunt ἐμπίπτειν Possin.

Digitized by Google

quorumdam nequitia eam male accipiat. Quid enim illa injuste egit, si Zosimus et Maron, ut ais, atque Eustathius non audenda audentes, et se jactantes de iis, quorum pudere par esset, omnesque flagitiis nobilitatos obscurantes, et qui ne inter laicos quidem esse deberent, in clero videantur? Cur non ob recte facta clerum prædicas, sed ob delicta traducis? viderisque speciosam consecutus quietem, quod propter illos ad divinissimam philosophiam contendere nequeas? Si ex iis quæ liquent, sententiam ferre non libet, negotium per se expende atque explora, videbisque laude dignum, ut et disertissimi oratores, de illo verba facturi vereantur etiam laudem ejus contexere, quæ major est, quam ut sermone queat explicari. Quod si neque ipsum clerum censes explorandum, neque de bonis sententiam pro ipso tuleris, sed ob quorumdam peccata, audeas damnare, non juste feceris, nec merito. Si vero illud admittens indigneris illis qui non debito modo illo utantur, sapientis ac prudentis viri laudem auferes, delinquentium errores ad negotium divinum, et justum non vertendo, et ultionem consequendo propter amentiam illorum qui illegitime illud aggrediuntur.

ἀλλ' ὑπὸ τῆς ἐνίων πονηρίας αὐτὴν κακιζει. Τί γὰρ ἐκείνη ἠδίκησεν, εἰ Ζώσιμος, καὶ Μάρων, ὡς φῄς, καὶ Εὐστάθιος ἀτόλμητα τολμῶντες, σεμνυνόμενοί τε ἐφ' οἷς ἐπαισχύνεσθαι δίκαιον· πάντας τε ἀποκρύψαντες τοὺς (7) κακίᾳ βεβοημένους, καὶ μηδὲ ἐν τοῖς λαϊκοῖς εἶναι ὀφείλοντες εἰς κλῆρον δοκοῦσί τε; Διὰ τί δὲ μὴ ἀπὸ τῶν κατορθούντων αὐτὴν ἀνακηρύττεις, ἀλλ' ἀπὸ τῶν πταιόντων διασύρεις; καὶ δοκεῖς εὐπρόσωπον ῥᾳθυμίαν τεθηρευκέναι τοῦ μὴ δύνασθαι δι' αὐτοὺς τῇ θειοτάτῃ προσελθεῖν φιλοσοφίᾳ; εἰ δὲ οὐ βούλει ἀπὸ τῶν διαλαμπόντων τὴν ψῆφον ἐνεργεῖν, αὐτὸ τὸ πρᾶγμα καθ' ἑαυτὸ βασάνισον· καὶ ὄψει αὐτὸ τοσούτων ἐπαίνων ἄξιον, ὡς καὶ τοὺς λίαν ῥητορικωτάτους ἀπαγορεῦσαι, εἰ δεήσειεν αὐτοῦ ἐγκώμιον ὑφῆναι. Μεῖζον γάρ ἐστιν, ἢ ὡς ἂν λόγῳ τις εἴποι. Εἰ δὲ μήτε αὐτὸ (8) ἐξετάσειας, μήτε ἐκ τῶν εὐδοκίμων αὐτῷ ψηφίσαιο, ἀλλ' ἐκ τῶν πταιόντων κακίσαι τολμήσειας, οὔτε δίκαια ποιήσειας, οὔτε εἰκότα. Εἰ δὲ ἐκεῖνο ἀποδεχόμενος, ἀγανακτοίης κατὰ τῶν οὐ δεόντως αὐτῷ χρωμένων, εὐγνώμονος καὶ φρονίμου ἀνδρὸς ἀποίσεις δόξαν, τῷ μὴ τὰ τῶν πταιόντων πλημμελήματα εἰς πρᾶγμα τρέπειν θεῖον καὶ δίκαιον, καὶ ἐκδικήσεως τυχεῖν διὰ τὴν τῶν παρανόμως αὐτὸ μετιόντων παράνοιαν.

CCCXLIII. — THEODORO SCHOLASTICO.

Bonis sæpe cur male sit : major ut gloria obveniat.

Virtutes eorum qui in calamitates inciderunt affectus solent conduplicare. Indigna enim iis quæ cum laude gesserunt patiendo, audientes comparant, ut maximo dolore impleantur. Hinc et tragœdiæ commiserationem ejulatu concitant, dum optimos intoleranda patientes inducunt. Sed ista quidem apud illos celebrentur, qui hactenus hoc modulo, humana negotia metiuntur. Ignorant enim ob ea se dolere, propter quæ lætari deceat. **664** Nos autem qui ad aliud vitæ institutum mentis oculos merito dirigimus, certo scimus probos, si quid grave patiantur, haudquaquam commiseratione, sed faustis ominibus ac præconio dignos esse. Illustriores enim ipsis ad virtutem apparantur bonæ existimationis coronæ.

ΤΜΓ'. — ΘΕΟΔΩΡΩ ΣΧΟΛΑΣΤΙΚΩ.

Αἱ μὲν τῶν περιπιπτόντων ταῖς συμφοραῖς ἀρεταὶ τὰ πάθη διπλασιάζειν εἰώθασι. Τῷ γὰρ ἀνάξια ὧν κατώρθωσαν πεπονθέναι τοὺς ἀκροωμένους παρασκευάζουσι μεγίστης ἐμπλησθῆναι λύπης. Διὸ καὶ αἱ τραγῳδίαι τὸν οἶκτον διεγείρουσιν, ὅταν ἀνήκεστα πεπονθότας τοὺς ἀρίστους εἰσάγουσιν. Ἀλλὰ ταῦτα μὲν παρ' ἐκείνοις θρυλλείσθω, τοῖς ἕως τῶν τῇδε νομίζουσιν εἶναι τὰ ἀνθρώπινα πράγματα. Λελήθασι γὰρ ἐφ' οἷς ἥδεσθαι προσῆκον ἦν, ἐπὶ τούτοις ἀχθόμενοι. Ἡμεῖς δὲ οἱ πρὸς ἄλλην βίου κατάστασιν τὸ ὄμμα τῆς ψυχῆς εἰκότως τείνοντες, ἴσμεν ἀκριβῶς, ὅτι οὐ τοῦ ταλανίζεσθαι οἱ φιλάρετοι ἄξιοι, ὅταν τι πάθωσι δεινόν, ἀλλὰ τοῦ μακαρίζεσθαι καὶ ἀνακηρύττεσθαι. Λαμπρότεροι γὰρ αὐτοῖς διὰ τούτων κατασκευάζονται οἱ τῆς εὐδοκιμήσεως στέφανοι.

CCCXLIV. — ASCLEPIO SOPHISTÆ.

De Sophistæ oratione libere judicat.

Legi quam ad me orationem misisti, et elegantiam sum admiratus. Non fefellisti me adulandi artificio occultans, ut specie consilii scripsisse videreris. Nam cum adulationis opinionem habeat laudatio potentium, aliud argumentum finxisti, aliud tractasti. Nam quasi ostendere volens causam ob quam aptus esset ad imperandum, ita laudationem absolvisti. Mentem itaque non admittentes artem sumus admirati.

ΤΜΔ'. — ΑΣΚΛΗΠΙΩ ΣΟΦΙΣΤΗ.

Ἀνεγνώσθη σου ὁ λόγος, ὃν μοι ἀπέστειλας. Καὶ θαυμασθεὶς τῆς δεινότητος, οὐκ ἔλαθες κλέψας τὸ κολακευτικὸν τῷ δοκεῖν συμβουλῆς προσχήματι συγγεγραφέναι. Ἐπειδὴ γὰρ δόξαν κολακείας ἔχει τὸ ἐπαινεῖν τοὺς μεγάλα δυναμένους, ἄλλην ὑπόθεσιν πεποίηκας, καὶ ἄλλην εἰργάσω. Ὡς γὰρ δεῖξαι βουλόμενος τὴν αἰτίαν, δι' ἣν ἐπιτήδειός ἐστιν ἡγεῖσθαι, οὕτω τὸ ἐγκώμιον ἐπλήρωσας. Τὴν γνώμην οὖν οὐκ ἀποδεξάμενοι τὴν τέχνην ἐθαυμάσαμεν.

CCCXLV. — DANIELI PRESBYTERO.

Quid in Evangelio sit regnum Dei et regnum cœlorum. (*Conf. epist.* 206, *lib.* III.)

Quia cognoscere avebas quid sit in Evangelio

ΤΜΕ'. — ΔΑΝΙΗΛ ΠΡΕΣΒΥΤΕΡΩ.

Ἐπειδὴ ἐζήτησας μαθεῖν, τί ἐστι *βασιλεία θεοῦ*,

VARIÆ LECTIONES ET NOTÆ.

(7) Inter τοὺς et κακίᾳ uterque codex inserit ἐπί. Possin.

(8) Inter αὐτὸ et ἐξετάσειας iidem infindunt καθ' ἑαυτὸ et vers. post 4, ἀποίσεις scribunt ἀποίσει. Id.

Digitized by Google

καὶ *βασιλεία οὐρανῶν*, ἀντιεπιστέλλω, ὅτι τινὲς μὲν οἴονται *τὴν τοῦ Θεοῦ* μείζονα εἶναι καὶ θειοτέραν, τὴν δὲ *τῶν οὐρανῶν* ἐλάττονα καὶ καταδεεστέραν. Τινὲς δέ φασι μίαν αὐτὴν οὖσαν καθ' ὕπαρξιν, διαφόρως ἐκπεφωνῆσθαι, ποτὲ μὲν ἀπὸ τοῦ βασιλεύοντος Θεοῦ, ποτὲ δὲ ἀπὸ τῶν βασιλευομένων ἀγγέλων τε καὶ ἁγίων κληθεῖσαν. A

regnum Dei, et *regnum cœlorum*, respondeo quosdam opinari Dei *regnum* majus esse atque divinius, *cœlorum* vero, minus atque inferius illo. Alios vero affirmare unum esse idemque regnum, diverse licet efferantur, interdum a Deo regnante ibidem, nonnunquam ab angelis, quibus imperatur illo regno, et a sanctis hominibus sic nuncupari.

ΤΜΖ'. — ΖΩΣΙΜΩ ΠΡΕΣΒΥΤΕΡΩ.

CCCXLVI. — ZOSIMO PRESBYTERO.

Ad bonam mentem invitat, a libidine.

Εἰ καὶ τὰ ἐφ' οἷσπερ ἁλοὺς πρώην ἐκολάσθης, νοσῶν ἀγριώτερον αὖθις ἐφωράθης· ἀλλά γε εἰ παύσοιο τῆς μανίας, θεραπείας τεύξῃ· εἰ δὲ δυσχερές σοι δοκεῖ τὸ ἀποφοιτῆσαι τῆς κακίας, χαλεπώτερον εἶναι δοξάτω τὸ τῆς κολάσεως μέγεθος. Εἰ δ' οὐκ οἴει κολάζεσθαι, ἐννόει τοὺς ἐκεῖ τιμωρηθησομένους. Εἰ δ' ἀπιστεῖς τοῖς ἐκεῖσε, θέα τοὺς κάνταῦθα κολασθέντας, καὶ κολαζομένους· καὶ ἀνένεγκον ἐκ τοῦ βυθοῦ τῆς ἀσελγείας.

Et si quorum convictus fuisti pœnas nuper dederis, gravius ægrotare es iterum deprehensus, verum si insanire desines, medelam consequeris. Sin difficile tibi videatur ab improbitate discedere, difficilius quid esse existimato supplicii gravitatem. Quod si non putes te puniendum esse, cogita de iis qui ibi æternum cruciabuntur. Quod si non credas ibi cruciandos in altera vita, vide in terra punitos et puniendos, et pedem effer ex barathro libidinis. B

ΤΜΖ'. — ΑΔΥΠΙΩ ΕΠΙΣΚΟΠΩ.

CCCXLVII. — ADIPIO EPISCOPO.

Ἀπόνοια *unde dicta et* Νουθεσία.

Ἐπειδὴ καὶ ἡ ἀπόνοια τῆς συμμετρίας καὶ τοῦ δέοντος ἐκπεσοῦσα, καὶ ἄπο, τουτέστι, *πόῤῥω τοῦ νοῦ γινομένη*, δι' ὃ καὶ ἀπόνοια λέγεται, ἀλαζονείαν ἐργάζεται, τὴν νουθεσίαν παραληπτέον, ἥπερ εἴρηται παρὰ τὴν τοῦ νοῦ θέσιν. Τάχα πως ἀκούσαντες οἱ τοιοῦτοι, ἔνθεσθε καρδίαν, εἰς ταπεινοφροσύνην ἀσμένως βαδίσωσιν.

Quandoquidem ἀπόνοια, id est *amentia*, a modo et debito excedens, et ἀπὸ τοῦ νοῦ, id est, *procul a mente exsistens*, unde et ἀπόνοια Græcis dicitur superbiam parit. Νουθεσία, id est, *admonitio* adhibenda est quæ etiam dicta Græcis a mentis statu. Forte qui audiunt tales, hinc cor ad humilitatem secure disponunt.

ΤΜΗ'. — ΑΡΠΟΚΡΑ ΣΟΦΙΣΤΗ.

665 CCCXLVIII. — HARPOCRÆ RHETORI.

De docentis officio. (*Sup. epist.* 213, 233, 263, 265, 290.)

Τοῖς δυσηνίοις μαθηταῖς (9), ὦ σοφιστά, τὸν χαλινὸν τοῦ φόβου ὥσπερ πώλοις ἔμβαλλε· καὶ ἐπιστόμιζε αὐτούς, ἐπειδὰν ἀγέρωχόν τι καὶ παρὰ τὴν ἡνίαν πράττοιεν, ἵνα καὶ οἱ εὐήνιοι πλέον ἐπιδοῖεν πρὸς ἀρετήν. Τὸ γὰρ τῶν αὐτῶν ἀξιοῦσθαι τοὺς μὴ τὰ αὐτὰ πράττοντας, ἀτοπώτατόν ἐστι, καὶ τῇ ἀρετῇ ἐμπόδιον. Εἰς ἀθυμίαν γὰρ ἐμβάλλων τοὺς ἀρίστους ναρκᾷν παρασκευάζει. Τρόπων οὖν μᾶλλον, ἢ λόγων ἡγούμενος εἶναι σαυτὸν παιδευτήν, δείκνυε αὐτοῖς ἀρχέτυπόν τινα χαρακτῆρα τὸν σαυτοῦ βίον· οὐ γὰρ ὁ λόγος τοσοῦτον, ὅσον ὁ βίος εἰς ἀρετὴν ἐνάγει. C

Discipulis refractariis, o sophista, velut equis indomitis frenum timoris injice, atque eos capistra, ubi quid insolens, et præter habenas egerint, ut frenis rite parentes, plus ad virtutem proficiant. Nam eadem tribuere iis qui non eadem agunt, absurdissimum est, virtutisque impedimentum. Animos enim optimorum dejiciens ac prosternens torporem inducit. Institutorem igitur te potius morum quam sermonum esse ratus, tuam illis vitam ostende, velut archetypum sive exemplar. Non enim tantum oratio, quantum vita ad virtutem ducit.

ΤΜΘ'. — ΤΩ ΑΥΤΩ.

CCCXLIX. — EIDEM.

Erubescit laudatus humilis.

Ὅτι πρὸς τοὺς ἐπαίνους ἐρυθριᾷν πέφυκα, μάλα ἀκριβῶς οἶδέ σου ἡ παίδευσις. Ἡνίκα γὰρ μετὰ τῶν σῶν φοιτητῶν ἐντυχεῖν ἡμῖν κατηξίωσας καὶ ἐρωτῆσαί τι τῶν ἱερῶν Γραφῶν ἠβουλήθης, ἐγὼ δὲ εἶπον ὡς οἷόν τε ἦν· τὸ τηνικαῦτα παρ' ὑμῶν μὲν κρότος (10) ἐξεφοίτησε καὶ ἐπαίνου ῥόθιον. Ἐγὼ δὲ οὕτω κατεπλάγην καὶ ἠρυθρίασα, ὡς ἐπὶ πολὺ ἀχανὴς μεῖναι. Τί δήποτε τοίνυν ἐπαίνους συνθεὶς, πολλῷ τὴν ἡμετέραν ὑπερβαίνοντα ἀξίαν ἐπέστειλας; D

Ad laudes erubescere me natura solere, probe tua novit prudentia. Cum enim occurrere nobis cum tuis auditoribus dignatus es et quid interrogare e sacris Litteris voluisti, ego vero dixi quod ejus fieri potuit, tunc plausus a vobis processit laudisque sonitus. Perculsus tamen ita fui ruboreque suffusus, ut diu stupidus hæserim. Cur igitur laudes adornans, quæ merita nostra longe excedant, misisti?

VARIÆ LECTIONES ET NOTÆ.

(9) Pro μαθηταῖς iidem codd. habent φοιτηταῖς. Possin.

(10) Pro κρότος codd. Vat. 650 et Alt. legunt κρότου et vers. antep. epist. ἐπαίνους et ἐπαίνου mutant. Id.

Digitized by Google

CCCL. — EUTONIO.

ΤΝ'. — ΕΥΤΟΝΙΩ.

Corporis animique pulchritudo adversis non exstinguitur.

Ut corporis pulchritudo, ne in consternatione quidem mutatur, servatur vero ipsa et in lacrymis subest : ita et animæ venustas virtutum consensu coalita seipsam, etsi in calamitatibus sit, conservat. Exerceamus itaque eam, et nulla tentatio invicta Dei dextra nobis opem ferente nos expugnabit.

Ὥσπερ τὸ σωματικὸν κάλλος οὐδ' ὑπὸ τῶν ἐκπλήξεων ἀλλοιοῦται, σώζει δὲ αὐτό, κἂν ἐν δακρύοις ὑπάρχῃ, οὕτω καὶ τὸ ψυχικὸν, τὸ ὑπὸ τῆς συμμετρίας τῶν ἀρετῶν συγκροτούμενον, σώζει ἑαυτό, κἂν ἐν συμφοραῖς τυγχάνῃ. Τοῦτο τοίνυν ἀσκῶμεν, καὶ οὐδεὶς πειρασμὸς τῆς ἀηττήτου προηγουμένως βοηθούσης δεξιᾶς ἡμᾶς καταγωνιεῖται.

CCCLI. — HARPOCRÆ SOPHISTÆ.

ΤΝΑ'. — ΑΡΠΟΚΡΑ ΣΟΦΙΣΤΗ.

Humilitate cæteris præstandum. (*Conf. epist.* 127, 359, 349. *Sic B. Aug. epist. ad Januarium de humilitate ex dicto simili Demost. de actione.*)

Duobus fidis fratribus, et inter se maxime amantibus ac de virtute certantibus me judicem capientibus, ac jurejurando quod judicatum erit amplexatis : illum judicavi præstare, qui in cæteris sit æqualis, humilitate tamen antecellat.

Δυοῖν ποτε ἀδελφοῖν πιστοῖν καὶ φίλειν ἀρίστοιν, καὶ εἰς ἀρετὴν ἀμιλλωμένοιν, κριτήν με ἑλομένοιν, καὶ ὅρκῳ στέρξειν τὰ κριθησόμενα ἰσχυρισαμένοιν, ἐκεῖνον ἐψηφισάμην κρείττονα εἶναι, ὃς ἐν τοῖς ἄλλοις ἅπασιν ἰσάμιλλος ὤν, ἐν τῇ ταπεινοφροσύνῃ πλεονεκτεῖ.

CCCLII. — HERONI.

ΤΝΒ'. — ΗΡΩΝΙ.

Parenti merito parendum.

Parentem tuum reverere hortantem incitantemque in quibus imperandi jus habeat : in viamque redi virtutis, ne abuti propriis cogatur armis. Difficilis enim expugnatu est, qui legibus ac natura munitus. Id si humanitate non persuaserit, at potestate sua utetur.

Αἰδέσθητι τὸν σαυτοῦ πατέρα, τὸν ἐν οἷς ἔξεστιν ἐπιτάττειν παρακαλοῦντα· καὶ ἐπάνελθε πρὸς ἀρετὴν, ἵνα μὴ ἀναγκάσῃς αὐτὸν χρήσασθαι τοῖς οἰκείοις ὅπλοις. Δύσμαχος γάρ ἐστι φύσει τε καὶ νόμοις δορυφορούμενος· καὶ εἰ μὴ πεισθείσῃ τῇ φιλανθρωπίᾳ, χρήσεται τῇ ἐξουσίᾳ.

666 CCCLIII. — EIDEM.

ΤΝΓ'. — ΤΩ ΑΥΤΩ.

Leges formidandæ.

Si naturam minus vereris, leges saltem metuito, ne quid in Deum pecces et in homines.

Εἰ οὐκ αἰδῇ τὴν φύσιν, φοβήθητι τοὺς νόμους, ἵνα μὴ καὶ τῶν θείων καὶ τῶν ἀνθρωπίνων διαμάρτῃς.

CCCLIV. — AUSONIO.

ΤΝΔ'. — ΑΥΣΟΝΙΩ.

Non ab eventu res judicentur, sed ex animo. (*Conf. epist.* 333.)

Ut qui ulcisci cupit, nec potest, in idem recidit ac si ultus esset : ita qui rependere vult, nec potest tamen, jam rependit. Quod enim in se erat, præstitit : cum enim non semper voluntati facultas respondeat, res ab effectu judicantur.

Ὥσπερ ὁ ἀμύνεσθαι ἐπιθυμῶν μὲν, ἀδυνατῶν δὲ, τό γε εἰς αὐτὸν ἦκον, ἠμύνατο· οὕτω καὶ ὁ ἀμείψασθαι βουλόμενος, μὴ δυνάμενος δὲ, ἠμείψατο. Τὸ γὰρ αὐτοῦ πᾶν καὶ οὗτος ἐποίησε. Ἐπειδὴ γὰρ οὐ πάντως τῇ βουλήσει ἡ δύναμις ἕπεται, ἀπὸ τῆς γνώμης τὰ πράγματα κρίνεται.

CCCLV. — URSENORIO (*a*) LECTORI.

ΤΝΕ'. — ΟΥΡΣΕΝΟΦΙΩ ΑΝΑΓΝΩΣΤΗ.

Virtus etsi hic præconio careat præmium tamen gloriamque in futuro sæculo habebit.

Tametsi in hac ipsa mortali vita, multa antiquis recentiores similia affiniaque, imo et admiranda magis agentes, non parem tamen sunt gloriam adepti (nam propter infirmitatem, aut invidiam aut ob penuriam celebrantium, inferiores esse videntur), sed et in altera vita ea consequentur, quæ par est adipisci, qui honeste quidem vixerunt, inglorii tamen vita abierunt.

Εἰ καὶ ἐν τῷδε τῷ βίῳ πολλὰ τοῖς παλαιοῖς οἱ νῦν παραπλήσια ἢ καὶ θαυμασιώτερα δρῶντες, οὐ παραπλησίας δόξης τυγχάνουσιν (παρὰ γὰρ τὴν τῶν ὑμνησάντων ἀσθένειαν, ἢ φθόνον ἢ σπάνιν, ἔλαττον ἔχειν δοκοῦσιν), ἀλλά γε ἐν τῷ μέλλοντι τοσαύτης τεύξονται, ὅσης ἂν τυχεῖν δίκαιον τοὺς εὐκλεῶς μὲν ζήσαντας, ἀκλεῶς δὲ τελευτήσαντας.

CCCLVI. — HERMINO, DOROTHEO, HERACI VIRIS CLARISSIMIS

ΤΝϚ'. — ΕΡΜΙΝΩ, ΔΩΡΟΘΕΩ, ΗΡΑΚΙ ΛΑΜΠΡΟΤΑΤΟΙΣ.

De Dei longanimitate in malis tolerandis. (*Conf. epist.* 535.)

Nolite, boni viri, contra divinam clamare providentiam, quod Zosimum, etsi non jusserit, sed non prohibuerit Deus operari sacris : sed ejus po-

Μὴ καταβοᾶτε, ὦ βέλτιστοι, τῆς θείας προνοίας, ὅτι Ζώσιμον, εἰ καὶ μὴ κεκέλευκεν, ἀλλά γε οὐκ ἐκώλυσεν ἱεράσθαι. Ἀλλὰ θαυμάζετε αὐτῆς τὴν

(*a*) Ursephanio, epist. 502.

Digitized by Google

μακροθυμίαν, τὴν μικρὸν ὕστερον, εἰ μὴ γνωσιμαχήσειε, τοιαύτας αὐτὸν εἰσπραξομένην δίκας, ὡς τοὺς νῦν καταβοῶντας, τὴν ἀδέκαστον αὐτῆς ἀνακηρύξαι ψῆφον.

A tius tolerantiam admiremini, quæ post paulo nisi ille resipuerit tantas brevi pœnas exiget, ut qui nunc acclamant, incorruptum ejus sint judicium prædicaturi.

ΤΝΖ'. — ΤΟΙΣ ΑΥΤΟΙΣ.

CCCLVII. — IISDEM.

Non est idem jubere, et permittere.

Οὐκ ἔστι ταυτὸν *κελεύειν*, καὶ *μὴ κωλύειν*· οὐδὲ χειροτονεῖν, καὶ συγχωρεῖν. Τὸ μὲν γὰρ ὡς δέον, γίνεσθαι προστάττεται· τὸ δὲ διὰ τὴν τοῦ αὐτεξουσίου προαίρεσιν, ᾗ τὸ ἀνθρώπινον κεκόσμηται γένος, συγχωρεῖται. Μὴ τοίνυν τῶν ἀγοραζόντων τὴν ἱερωσύνην ἀφέμενοι, τὸν συγχωροῦντα αἰτιᾶσθε. Εἰ μὲν γὰρ ἀνεύθυνος ἦν ἡ ἀρχὴ, εἰκότως ἐδυσχεραίνετε. Εἰ δὲ τοσαύτην ἀπαιτεῖται τὴν δίκην ὁ ταύτην διέπων, ὅσον καὶ τὴν τιμὴν ἔσχε, καταθρηνεῖσθαι B ἂν εἴη δίκαιος, ὅτι τῇ θείᾳ μακροθυμίᾳ εἰς κακίας ἐφόδιον ἐπεχρήσατο.

Differunt sane *jubere* et *permittere*, ut et ordinare manu imposita, et tolerare. Illud enim est quod oportet fieri, jubere; hoc vero propter arbitrii libertatem, qua præditus homo est, permittere. Nolite igitur eos, qui sacerdotia mercantur absolvere, et eum qui eosdem tolerat, accusare. Siquidem enim reddendis rationibus obnoxius non esset magistratus, merito indignemini. Si vero tantarum postulet pœnarum ille, qui eas dispensat, quantum habuit honorem, potius deplorandus, quod divina bonitate ad malum sit abusus.

ΤΝΗ'. — ΖΟΣΙΜΩ ΠΡΕΣΒΥΤΕΡΩ.

CCCLVIII. — ZOSIMO PRESBYTERO.

Bonorum virorum acerbiores reprehensiones non inique ferendas. (*Confer. epist.* 378, 448, 466.)

Εἰ καὶ πέρα (11) τοῦ δέοντος πρώην ὤφθη σοι φορτικὸς καὶ ἐπαχθὴς ὁ παντὸς ἐπαίνου κρείττων, Ἑρμογένης ὁ ἐπίσκοπος, πληκτικωτέρῳ χρησάμενος λόγῳ, καὶ μακρὰν κατὰ τῆς σῆς ῥᾳθυμίας ἀποτείνας τὴν κατηγορίαν, μὴ δυσχεράνῃς. Εἰ μὲν γὰρ αὐτὸ τοῦτο, λυπῆσαί σε προελόμενος μόνον, τὰ σὰ γεγωνότερον ἐξετραγῴδησε κακὰ, εἰκότως ἐδυσχέραινες. Εἰ δὲ πρὸς τὸ συμφέρον σοι μόνον βλέπων, τὴν ἐν τοῖς λόγοις ἄωρον καὶ ἐπιβλαβῆ χάριν παρεῖδεν, ἵνα C τὰ πράγματα διορθώσεως τύχῃ, εἰ καὶ μὴ ἀποδέξασθαι βούλει τῆς εὐνοίας αὐτὸν, ἀλλὰ συγγνῶναι τῆς τοσαύτης φιλοστοργίας δίκαιος ἂν εἴης. Καὶ γὰρ σφόδρα δέδοικεν, μὴ παρὰ (12) τῆς θείας προνοίας, οὕτω διὰ τὴν σὴν ῥᾳθυμίαν καὶ κακίαν δυσφημουμένης, δίκας αὐτὸ ἀπαιτηθείη, ὡς μηδὲ φωνὴν ῥῆξαι τολμήσας τοιούτων δραματουργουμένων τραγῳδιῶν. Ἢ οὖν παῦσαι τοιαῦτα δρῶν, ἢ μὴ ἐπαιτιῶ τοὺς τὴν σὴν καταθρηνοῦντας μανίαν.

Ne indigneris etsi præter jus ac decorum nuper tibi visus gravis est atque onerosus, omni major laude Hermogenes episcopus, **667** mordaci usus oratione, longamque ignaviæ tuæ adhibens accusationem. Si enim hoc ipsum fecisset ut te contristaret solum, et tua magis proscinderet vitia, merito indignareris. Si vero ad tuam solum spectans utilitatem verbis sit usus asperioribus et gratiam præstando te læserit, quo res tuas corrigeret, siquidem benevolentiam ejus admittere nolis, sed ignoscere te ejus amori æquum est. Etenim valde vereor, ne divina providentia, propter ignave atque improbe traductam vitam pœnas des, ut ne vocem quidem ausus mittere ob tales concitatas turbas factionesque. Quamobrem aut hæc patrare desine, aut ne eos accuses qui tuam deplorant amentiam.

ΤΝΘ'. — ΙΑΚΩΒΩ ΑΝΑΓΝΩΣΤΗ.

CCCLIX. — JACOBO LECTORI.

Deum non mutari, e sacris ostensum Litteris.

Ἡ θεία καὶ ἀκήρατος καὶ ἀήττητος δεξιὰ ἀναλλοίωτός ἐστι (13), καὶ ἀεὶ κατὰ τὰ αὐτὰ, καὶ ὡσαύτως ἔχει, οὔτε προκοπὴν ἐπιδεχομένη τὴν ἐπὶ τὸ D κρεῖττον· ἀκροτάτη γάρ ἐστιν ἀρετή· οὔτε μεταβολὴν τὴν ἐπὶ τὰ χείρω· οὐ γὰρ οἷόν τε. Μεταβάλλει δὲ καὶ ἀλλοιοῖ τὰ βελτιώσεως δεόμενα. Διὸ καὶ Ψαλμὸς ἐπιγέγραπται « τῶν ἀλλοιωθησομένων· » τουτέστι, τῶν βελτίωσιν ἐπιδεξομένων, καὶ εἰς τὸ κρεῖττον καὶ ἄμεινον ἀναχθησομένων· εἰ τοίνυν ταῦθ' οὕτως ἔχει, οὐκ ἔστι περισκελὲς, ὅπερ ἠθέλησας μαθεῖν, « Αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ

Divina et incorrupta invictaque Dei dextera immutabilis est eadem semper eodemque modo habens, neque incrementum capiens in majus (summa enim vis Deus est), ac ne in deterius quidem, quod fieri nequit, mutatur. Abscedunt enim et commutantur quæ mutatione indigent. Hinc etiam psalmus sic inscriptus : « Pro iis qui commutati sunt [88], » hoc est qui meliores redditi, nec melius deteriusve susceperunt. Quæ cum ita sint, non est nimis difficile, quod cognoscere optabas : « Hæc mutatio dextræ Excelsi [89]. » Non quod mutetur, qui est immutabi-

[88] Psal. XLIV, 1. [89] Psal. LXXVI, 11.

VARIÆ LECTIONES ET NOTÆ.

(11) Pro πέρα legunt παρὰ codd. iidem. Possin.
(12) Iidem tollunt παρὰ quod in edito est positum inter μὴ et τῆς. Id.
(13) Ante ἐστὶ codd. Vat. 650 et Alt. inserunt τε. Id.

Digitized by Google

lis et omni mutatione superior Deus: « Videte enim, ait, videte quia ego sum, et non mutor [90]; » sed mutat alios, et in melius commutat : meliores itaque efficit atque in statum meliorem, qui eo indigent, traducit.

Ὑψίστου· » οὐχ ἧν ἀλλοιοῦται, ἀναλλοίωτος γάρ ἐστι καὶ πάσης μεταβολῆς κρείττων· « Ἴδετε γάρ, φησὶν, ἴδετε, ὅτι ἐγώ εἰμι, καὶ οὐκ ἠλλοίωμαι· » ἀλλὰ ἧν ἀλλοιοῖ, καὶ μεταβάλλει, καὶ βελτιοῖ, καὶ εἰς ἀμείνονα κατάστασιν ἄγει τοὺς ταύτης δεομένους.

CCCLX. — EULOGIO.

ΤΞ'. — ΕΥΛΟΓΙΩ.

In loquendo et scribendo modus adhibendus.

Siquidem plus loqui quam oporteat non est virile : plus etiam scribere quam necesse sit, femineum fuerit. Igitur et loquentes ac scribentes servemus modum.

Εἰ τὸ πλέον τῶν ἀναγκαίων λέγειν, οὐκ ἔστιν ἀνδρὸς, τὸ πλέον τῶν ἀναγκαίων γράφειν, εἴη γυναικός. Οὐκοῦν καὶ λέγοντες, καὶ γραφοντες τὴν συμμετρίαν τιμῶμεν.

CCCLXI. — SERAPIONI.

ΤΞΑ'. — ΣΕΡΑΠΙΩΝΙ.

Amicitiæ improbi renuntiat.

Ita de me existimes, non quasi toleraturus sim, si quid absurdi commiseris, sed omnino officio meo functurus, teque ex cœtu amicorum exterminaturus.

Ὡς οὐκ ἀνεξομένου μου, εἴ τι ἄτοπον δράσειας· ἀλλὰ πάντως τὸ ἐμαυτοῦ ποιήσοντος καὶ ἐξοστρακίσοντός σε τοῦ χοροῦ τῶν φίλων, οὕτω διανοοῦ.

CCCLXII. — EPIPHANIO DIACONO.

ΤΞΒ'. — ΕΠΙΦΑΝΙΩ ΔΙΑΚΟΝΩ.

Bonis adversa pati laudi est, mali dedecori; et seq. epist.

Æquum est hunc quidem ob maleficia punitum erubescere, alterum vero virtutis gratia 668 gloriari. Non enim eadem de utroque par est sentire, argumento rerum gestarum plurimum invicem discrepante. Neque enim si latro et martyr pares patiantur cruciatus, eadem sunt ratione æstimandi [91]. Ille enim quæ commisit ea in pœnam vertunt, huic autem coronæ seges suppeditat. Ille igitur miserum se appellet necesse est ; hic vero beatum se nuncupet.

Ὁ μὲν διὰ κακίαν κολαζόμενος αἰσχύνεσθαι, ὁ δὲ δι' ἀρετὴν ἐναβρύνεσθαι δίκαιος ἂν εἴη. Οὐ γὰρ τὰ αὐτὰ φρονεῖν αὐτοὺς χρὴ, τῆς ὑποθέσεως, ἀφ' ἧς γίνεται, πλεῖστον διαλλαττούσης. Οὐδὲ γὰρ εἰ λῃστὴς καὶ μάρτυς τὰ αὐτὰ πείσονται, ὁμοίως διακείσονται. Τῷ μὲν γάρ ἐστι τιμωρία τὰ γινόμενα· τῷ δὲ στεφάνων ὑπόθεσις· διὸ ὁ μὲν ταλανίζειν ἑαυτὸν ὀφείλει, ὁ δὲ μακαρίζειν.

CCCLXIII. — EIDEM.

ΤΞΙ'. — ΤΩ ΑΥΤΩ.

De eadem re.

Non eodem affici debent modo quibus juste, et quibus injuste in hoc mundo tristia obveniunt. Illi enim accidunt mala, ut probetur, huic ex merito sua culpa. Illuic itaque illud jure est usurpandum : « Non pro peccatis digne satis flagellamur [92]; » justo vero : « Non sunt condignæ passiones hujus temporis ad futuram gloriam [93]. » Sic quidem ille ferens patienter peccata expiat : hic vero generose, illustrem nanciscetur coronam.

Οὐχ ὁ δικαίως καὶ ἀδίκως πάσχων τι ἐνταῦθα λυπηρὸν, ὁμοίως διακεῖσθαι ὀφείλουσι· τῷ μὲν γὰρ κατ' ἀξίαν συμβαίνει, τῷ δὲ δι' εὐδοκίμησιν. Διὸ καὶ ὁ μὲν λέγειν δίκαιος ἂν εἴη· « Οὐκ ἄξια ὧν ἥμαρτον μεμαστίγωμαι. » Ὁ δὲ οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν. » Οὕτω γὰρ ὁ μὲν εὐγνωμόνως ὑπομείνας ἀποτρίψεται τὰ πταίσματα· ὁ δὲ εἰ γενναίως οἴσει, στεφάνους ἕξει τιμαλφεστέρους.

CCCLXIV. — PETRO MONACHO.

ΤΞΔ'. — ΠΕΤΡΩ ΜΟΝΑΖΟΝΤΙ.

Gratulatur de afflictionibus, et quomodo superandæ.

Clarum habuisti certaminum principium, quo nomine gaudemus atque adeo exsultamus : et materiam panegyricæ suppeditas orationis. Par est itaque advigilare, atque huic operam dare quo finis sit felicior, quem consequeris si, « quæ retro sunt obliviscens ad ea quæ sunt priora teipsum extendas [94], » neque existimes coronato abstinendum esse a labore deinceps. Multi enim illustri facto pugnæ initio, mox supine agentes turpem vitæ exitum secuti sunt : quod omen, opto, Deus a sacro tuo capite avertat.

Λαμπρὰν μὲν ἔσχες τῶν ἀγώνων τὴν ἀρχήν· διὰ τοῦτο καὶ σκιρτῶμεν, καὶ χαίρομεν, καὶ πανηγύρεως ὑπόθεσιν τὴν σὴν εὐδοκίμησιν ποιούμεθα. Δίκαιος δ' ἂν εἴης ἀγρυπνεῖν καὶ φροντίζειν, ὅπως λαμπροτέραν ἕξεις τὴν τελευτήν· ἕξεις δὲ, εἰ « τῶν μὲν ὀπισθεν ἐπιλάθοιο, τοῖς δὲ ἔμπροσθεν ἐπεκτείνοιο· » καὶ μὴ νομίσας ἤδη ἐστεφανῶσθαι, τῶν πόνων παύσοιο. Πολλοὶ γὰρ λαμπρῶς προοιμιασάμενοι, καὶ ὑπτιωθέντες, τελευτῶντες αἰσχρῶς κατέστρεψαν· ὅπερ ἀπείη τῆς ἱερᾶς σου κεφαλῆς.

CCCLXV. — LAMPRETIO DIACONO.

ΤΞΕ'. — ΛΑΜΠΡΕΤΙΩ ΔΙΑΚΟΝΩ.

Severitas judicii divini pro peccatorum qualitate.

Magna quidem Dei judicis summi est accuratio,

Πολλὴ μὲν τοῦ θείου δικαστοῦ ἡ ἀκρίβεια, καὶ βή-

[90] Malach. III, 6. [91] I Petr. IV, 15. [92] Judith VIII, 27. [93] Rom. VIII, 18. [94] Philipp. III, 13.

Digitized by Google

ματα καὶ πράγματα, καὶ ἐνθυμήματα βασανίζουσα, καὶ ἕως ἀδύτων χωροῦσα, καὶ διὰ πάντων ἄγουσα τὴν ἔρευναν. Πολλὴ δὲ καὶ ἡμῶν ἡ ἀμέλεια. Καὶ ταῦτα εἰδότων, ὅτι πάντως δίκην ὑφέξομεν, εἰ καὶ μὴ τὴν αὐτὴν ἅπαντες. Οὐ γὰρ οἱ τοῖς αὐτοῖς ἁμαρτήμασι περιπεσόντες, πάντως τὴν αὐτὴν δώσουσι δίκην, τῷ καὶ αἰτίας ἐξετάζεσθαι, καὶ καιροὺς καὶ τόπους· οἷόν τι λέγω· ἐναγὴς ὁ φόνος. Τίς γὰρ οὐ φήσει; Ἀλλ' ὅταν καὶ ἐν ἁγίαις ἡμέραις γένηται, ἐναγέστερος γίνεται· εἰ δὲ καὶ ἐν ἱερῷ τόπῳ, ἐναγέστατος· τοῦ κακοῦ καὶ ἀπὸ τοῦ καιροῦ καὶ ἀπὸ τοῦ τόπου αὐξανομένου, καὶ προσθήκην εἰς τιμωρίαν λαμβάνοντος, καὶ ἡ πορνεία μία εἶναι δοκοῦσα, καὶ ἀπὸ καιροῦ, καὶ ἀπὸ τόπου βαρυτέρα γίνεται. Ἐν τοίνυν σκοπῶμεν ὅπως τὰ καθ' ἑαυτοὺς εὖ διαθῶμεν· τῷ δὲ κριτῇ ἐπιτετράφθω ἡ ἀκριβὴς βάσανος. Οὐ γὰρ εἰ ἡμεῖς νῦν ὁριοῦμεν, αὐτὸς ἐπιψηφιεῖται. Ἀλλὰ ἀνάγκη ἡμᾶς τὴν ἀδέκαστον ἀναμένειν ψῆφον.

A verba juxta ac res, cogitataque expendens, ad intima usque penetrando ac scrutando cuncta. At ingens nobis ignavia, etsi non fugiat nos pœnas omnino persoluturos, quamvis non easdem omnes. Neque enim omnes, eadem delinquentes, eamdem luent pœnam, quia et causa, et loca, ac tempora examinabuntur. Verbi gratia homicidium exsecrandum flagitium est, quis neget? Quod si festis patratum sit diebus magis est exsecrandum, si in loco sacro maxime exsistit, detestandum, flagitio summopere a loci temporisque circumstantia adaucto, pœna etiam augmentum inde sumente : et scortatio licet una videatur, variatur tamen intenditurque temporis locique adjunctis. Curemus itaque in primis, ut mores componamus nostros : judici vero B Deo optimo maximo relicta sit accurata nostri cognitio et disquisitio. Non enim si quid nunc ipsi definimus, ipse sententiam sic feret, **669** sed integrum incorruptumque ejus oportet exspectare judicium.

ΤΞϚ'. — ΥΠΑΤΙΩ.

CCCLXVI. — HYPATIO.

Virtus post sudores gaudium et coronam parit cœlestem.

Ἔχει μὲν ἡ ἀρετὴ εὐφροσύνην εἰλικρινῆ καὶ ἔνδοξον καὶ ἀτελεύτητον, ὑπὸ μὲν τοῦ ἀγαθοῦ συνειδότος τικτομένην, ὑπὸ δὲ τῶν ὑπερκοσμίων στεφάνων τιθηνουμένην (14), καὶ ὑπὸ τῆς τῶν μελλόντων ἐλπίδος τρεφομένην· ἔχει δὲ καὶ πόνους, καὶ ἀγρυπνίας, καὶ ἀσκήσεις, δι' ὧν κατορθοῦται. Οὐ γὰρ ὁ ῥᾳθυμῶν καὶ καθεύδων τρόπαιον στήσει, ἀλλ' ὁ C λαμπρῶς πρὸς τοὺς ἐναντίους ἀγωνισάμενος. Εἰ δὲ φαίης πάλιν, ὥσπερ οὖν καὶ ἔφης, οἷόν τε εἶναι τὸν τὰ βιωτικὰ πράγματα μεταχειριζόμενον στεφθῆναι, πάντα τὰ εἴδη τῆς ἀρετῆς κατορθώσαντα, καὶ σπουδάζων, ἀλλὰ μὴ παίζων ἀκριβῶς ταῦτα φῄς· μὴ φθονήσῃς διδάξαι με τὸ παράδοξον τοῦτο καὶ νεώτερον μάθημα. Οὐδὲ γὰρ ῥᾳδίας (15), καὶ πλατείας, καὶ ἱππηλάτου οὔσης τῆς τοιαύτης ὁδοῦ, πράγματα βούλομαι αὐτός τε ἔχειν, καὶ τοῖς ἄλλοις παρέχειν, λέγων τὸ ἀποστολικὸν, ὅτι « Διὰ πολλῶν θλίψεων δεῖ ἡμᾶς εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. » Ὁ γὰρ Δεσπότης Χριστὸς ἀπεφήνατο, στενὴν εἶναι τὴν πύλην, καὶ τεθλιμμένην τὴν ὁδὸν, τὴν ἀπάγουσαν εἰς τὴν ζωὴν, καὶ ὀλίγους εἶναι τοὺς εὑρίσκοντας αὐτήν. Ἀλλὰ γὰρ τοῦτο οὐ δύναμαι μαθεῖν, οὐ D γὰρ ἐᾷς σὺ καὶ δι' ὧν λέγεις, καὶ δι' ὧν πράττεις, ἀντιφθεγγόμενος ταύτῃ τε τῇ ψήφῳ, καὶ τοῖς θείοις χρησμοῖς, καὶ τἀναντία παιδεύων.

Virtus sane sinceram, gloriosam, atque immortalem perfectamque continet lætitiam, a bona quavis conscientia genitam, coronis autem cœlestibus nutritam educatamque spe futurorum bonorum. Habet vero etiam labores vigiliasque et exercitationes, quibus virtus perficitur. Ignavus enim et dormiens tropæa non statuet, sed qui valide in hostem pugnaverit. Si iterum objicias, quod facis, fieri posse ut qui ad humanam vitam negotia pertinentia tractet, coronetur omni virtutum ornatus genere. Et serio hæc quidem, accurateque non jocando hæc profers, non moleste tamen feres docere me novum hoc et insitatum aut incredibile dogma. Neque vero ego tametsi facilis, lata, et prope, ut ita dicam, curulis esset via, quæ ad cœlum ducit, mihi tamen aliisve eam difficilem reddere velim, memor ejus apostolici dicti : « Per multas tribulationes oportet nos intrare in regnum Dei [95]. » Christus vero Dominus ostendit angustam esse portam, viamque laboriosam, quæ ad vitam ducat sempiternam, paucosque adeo esse, qui eam reperiant. Sed hoc equidem non possum discere : non enim desinis tu per ea quæ jactas agisque quotidie huic sententiæ reclamare, atque divinis oraculis obniti, imo contraria etiam passim docere.

ΤΞΖ'. — ΘΕΟΓΝΩΣΤΩ ΠΡΕΣΒΥΤΕΡΩ.

CCCLXVII. — THEOGNOSTÆ PRESBYTERO.

De ultione divina in illos qui nomine et tropæo crucis signati indigne vivunt.

Πέπτωκεν ὁ διάβολος, εἰ καὶ ἀπερισκέπτως θρασύνεται. Θρασύνεται δὲ, τὴν ἡμετέραν ῥᾳθυμίαν ἐφόδιον τῆς οἰκείας ἀπονοίας ποιούμενος. Τὸ γὰρ μεγιστον καὶ θεῖον τρόπαιον, ὅπερ ὁ Σωτὴρ δεῦρο

Diabolus cœlo decidit, attamen ferit ac ferocit temerarius. Ferocit enim audetque socordia nostra subsidium sibi propriæ parare amentiæ. Quod enim maximum ac divinum tropæum crucis ad nos Deus

[95] Act. XIV, 21.

VARIÆ LECTIONES ET NOTÆ.

(14) Ex τιθυνουμένην cod. Alt. tollit τι. Possin.

(15) Ῥᾳδίας cod. Alt. mutat in ῥᾳδίως. Id.

Digitized by Google

venions statuit de diabolo, verendum sane est ne nostra improbitate obscuretur, non amissa quidem sua vi, sed nostro torpore ac dæmonis malitia nos circumeuntis injuriose. Qui enim regis triumphantis milites se esse gloriantes, divinumque ejus nomen pro summa dignitate, ut revera est, circumferentes Christiani, deliciis ac quæstui jam sunt dediti, cum ipsi digni sint qui vincantur, propter regis tamen gloriam, nomenque superant : tantum non enim hoc modo illis accinit : « Non ego vestri causa ago, sed propter nomen meum, ne illud profanetur, atque inquinetur. » Nisi enim propriam ipse cum plausu componeret religionem, et omnia sibi subjugaret, **670** post aliquando vilipenderetur, ignavia non debite eam administrantium : sed quando propriam sibi vindicat gloriam, hunc quidem in altum attollens, ab aliis vero post paulo acerbas exigit pœnas. Nec enim patitur hæc impune ausum fuisse, neque divinum nomen ipsos blasphemantes impunitos dimittet, imo et majora exiget supplicia ab iis qui peccando dignitatibus ac præfecturis potiti sunt, ac ne sic quidem moderate agebant, verum propriæ compendio socordiæ Dei longanimitate sunt abusi, ac pro quibus pœnitere oportebat, per hæc ad malum magis sunt incitati.

A ἐπιφοιτήσας κατ' αὐτοῦ ἔστησε, κινδυνεύει ἐκ τῆς ἡμετέρας κακίας ἀμαυρωθῆναι· οὐ τὴν οἰκείαν ἀπολέσαν δύναμιν, ἀλλ' ὑπὸ τῆς ἀτονίας καὶ κακίας τῶν περιφερόντων αὐτὸ καθυβριζόμενον. Οἱ γὰρ τοῦ καλλινίκου βασιλέως αὐχοῦντες εἶναι στρατιῶται, καὶ τὸ θεῖον αὐτοῦ ὄνομα ὥσπερ ἀξίωμα μέγα, ὥσπερ οὖν καὶ ἔστι, περιφέροντες, τρυφῇ (16) καὶ χρηματισμοῖς ἑαυτοὺς ἐκδιδόντες, καὶ δι' ἑαυτοὺς ἡττηθῆναι δίκαιοι ὄντες, διὰ τὴν τοῦ βασιλέως δόξαν περιγίνονται· μονονουχὶ γὰρ καὶ νῦν αὐτοῖς ἐπιφωνεῖ· « Οὐ δι' ὑμᾶς ἐγὼ ποιῶ, ἀλλὰ διὰ τὸ ὄνομά μου, ἵνα μὴ βεβηλωθῇ. » Εἰ μὴ γὰρ αὐτὸς ἦν ὁ νυνὶ συγκροτῶν τὴν οἰκείαν θρησκείαν καὶ πάντα αὐτῇ ὑποχείρια παρασκευάζων, πάλαι ἂν διὰ τὴν τῶν μεταχειριζομένων αὐτὴν οὐ δεόντως ῥᾳθυμίαν ὠλιγωρήθη· ἀλλ' ἐπειδὴ τῆς οἰκείας ἀντιποιεῖται δόξης, B τὸν (17) μὲν εἰς ὕψος αἴρει, τοὺς δὲ δίκας πικροτάτας μικρὸν ὕστερον εἰσπράξεται. Οὐδὲ γὰρ ἀνέξεται ταῦτα τολμᾶσθαι ἀτιμωρητί, οὐδὲ τοὺς τὸ θεῖον αὐτοῦ ὄνομα τόγε εἰς αὐτοὺς ἦκον βλασφημηθῆναι παρασκευάσαντας, ἀτιμωρήτους ἀφήσει· ἀλλὰ καὶ ἀργαλεωτέρας ἀπαιτήσει δίκας τοὺς καὶ ἐν τῷ πλημμελεῖν προστασίας τοσαύτης ἀπολαύσαντας, καὶ μηδὲ οὕτω σωφρονισθέντας, ἀλλ' ἐφόδιον τῆς οἰκείας ῥᾳθυμίας τὴν θείαν μακροθυμίαν ποιησαμένους, καὶ δι' ὧν γνωσιμαχεῖν ἐχρῆν, διὰ τούτων ἐπὶ τὸ χεῖρον ἐλάσαντας.

CCCLXVIII. — ESAIÆ.

ΤΞΗ'. — ΗΣΑΙΑ.

« Declina a malo et fac bonum, » quia Deus omnia cernit. (*Psal.* XXXVI, 27.)

Ingens et acute cernens ac vigilans justitiæ Dei est oculus, neque solum quæ publice gesta intuetur, sed et quæ in abysso quis vel abscondito est ausus, cordisque adeo abditos recessus scrutatur ac comprehendit. Talem itaque cum hic judicem habeamus virtutem complectamur; abstineamus vero a malitia. Illam enim remunerabitur Deus; hanc vero justo judicio puniet.

C Μέγας, καὶ ὀξυδερκὴς, καὶ ἀκοίμητος ὁ τῆς θείας (18) δίκης ἐστὶν ὀφθαλμός· καὶ οὐ μόνον τὰ ἐν φανερῷ δρώμενα ἐφορᾷ, ἀλλὰ καὶ τὰ ἐν παραβύστῳ τολμώμενα ἀνιχνεύει, καὶ τὰ τῆς καρδίας κινήματα καταλαμβάνει. Τοιοῦτον τοιγαροῦν ἔχοντες κριτὴν, ἀντεχώμεθα μὲν ἀρετῆς, ἀπεχώμεθα δὲ κακίας. Τὴν μὲν γὰρ ἀμείψεται, τὴν δὲ ἀμυνεῖται.

CCCLXIX. — PALLADIO DIACONO.

ΤΞΘ'. — ΠΑΛΛΑΔΙΩ ΔΙΑΚΟΝΩ.

Nihil nimis differendum. Diaboli artes malæ.

Non est procrastinandum, differendumque, bone vir, sed optima quæque agenda. Neque enim finis tempus novimus, ac ne dæmonis quidem malas artes versutiasque, quibus nos oppugnat, qui præsentibus nos excutiens, futurorum promissis eludit. Ubi enim novit homines in diem vivere, futurum vero sit incertum, oppugnat illos, ac præsentia quidem fallens, deque futuris inani spe lactans, qui hodiernum diem semper præsentem arbitrantur, a se persuasos præcipitat. Quapropter et rei gerendæ occasionem in nihil agendo consumentes, opportunitatem tempusque negligunt. Tempus enim fluens æquabiliter nunquam sistitur, sed quas interea

D Οὐ μέλλειν, ὦ σοφὲ, ἀλλὰ πράττειν χρὴ τὰ βέλτιστα· οὔτε γὰρ τὸν τῆς τελευτῆς ἴσμεν καιρὸν, οὔτε τὴν τοῦ διαβόλου κακουργίαν, ἣν καθ' ἡμῶν μηχανᾶται, ἐκκρούων μὲν ἀεὶ τοῦ παρόντος, τὸ δὲ μέλλον ὀνειροπολεῖν παρασκευάζων. Ἐπειδὴ γὰρ οἶδεν, ὅτι κατὰ τὸ παρὸν ζῶμεν οἱ ἄνθρωποι, τὸ δὲ μέλλον ἀμφίβολον, καταστρατηγεῖ· καὶ τὸ μὲν παρὸν ἀπατῶν, τὸ δὲ μέλλον ὑποτιθέμενος, ἐκτραχηλίζει τοὺς πειθομένους, τὸ σήμερον ἀεὶ παρὸν λογιζομένους. Διὸ καὶ τὸν τοῦ πράττειν καιρὸν εἰς τὸ μηδὲν παρασκευάζεσθαι ἀναλίσκοντες, διαμαρτάνουσι τῆς εὐκαιρίας. Ὁ γὰρ χρόνος τὸ βράδος οὐ περιμένει· ἀλλὰ καὶ ἃς ἐν τῷ μεταξὺ χρόνῳ ὕλας

VARIÆ LECTIONES ET NOTÆ.

(16) Τρυφῇ idem auget in τρυφῆς. pag. 670. Possin.

(17) Pro τὸν ambo codd. ponunt τήν. Id.

(18) Cod. uterque omittit θείας. Vers. 5 inter καταλαμβάνει et τοιοῦτον ambo inserunt πρός. In duobus ultimis versibus vocabula iidem aliter ordinant, mutatione parum notabili. Possin.

Digitized by Google

ἀπατῶμεν ἑαυτοὺς παρασκευάζειν, οὐδὲν οἷόν τε ποιεῖν ἐξελέγχονται.

temporis res nos ipsos decipientes apparare videmur, quod absolvere non potuerimus, accusabimur.

ΤΟ'. — ΑΠΟΛΛΩΝΙΩ ΕΠΙΣΚΟΠΩ.

CCCLXX. — APOLLONIO EPISCOPO.

Victor quis vere. (*Conf. epist.* 76 *et* 88.)

Εἰ καὶ δειναὶ ἐν τοῖς πράγμασι συμβαίνουσαι ἀπορίαι τὸ εἰκὸς ἀνελεῖν, καὶ (19) τοῦ πρέποντος ἀναγκάζουσι τὸ παρεμπίπτον ἑλέσθαι· ἀλλ' οὖν οἱ φρονήσεως οὐκ ἀμοιροῦντες, καὶ τῇ θείᾳ δεξιᾷ τὰ καθ' ἑαυτοὺς ἐπιτρέποντες, τὸ πρέπον μᾶλλον τοῦ παραυτίκα δοκοῦντος αἱρούμενοι, οὐ τῷ δόξαι ἡττῆσθαι δυσχεραίνουσιν, ἀλλὰ τῷ ὄντως νενικηκέναι ἀγάλλονται. Νίκη γὰρ ἀληθῶς οὐ τὸ δοκεῖν παραχρῆμα νενικηκέναι, ἀλλὰ τὸ ἀρετῆς καὶ εὐσεβείας μὴ ἐκπεπτωκέναι.

Etsi quæ in rebus gravibus occurrunt ambiguitates multum valeant ac pene cogant ab honesto officioque deviare, tamen qui prudentia non carent, suaque divinæ dextræ committunt, decorum potius quam id quod prima fronte apparet eligentes, non ægre ferunt quod vinci videantur, sed revera vicisse gloriantur. **671** Vera enim victoria non est vicisse videri in tempore, sed virtute ac pietate non excidisse.

ΤΟΑ'. — ΕΡΜΙΝΩ ΚΑΙ ΙΕΡΑΚΙ ΛΑΜΠΡΟΤΑΤΩ.

CCCLXXI. — HERMINO ET HIERACI, VIRIS CLARISSIMIS.

Deus non solum ex merito, sed et supra meritum suos honorare et vult et potest.

Ἡ ἀκήρατος καὶ θεία δύναμις μόνη μὲν ἐθέλει κατ' ἀξίαν τιμᾶν. Μόνη δὲ καὶ ἔχει δι' ὧν τιμήσει, τῇ βουλήσει τῆς δυνάμεως ἁμιλλωμένης. Οὐκοῦν ἀγαπήσωμεν αὐτὴν, τὴν μόνην καὶ ἐθέλουσαν ἡμᾶς τιμῆσαι, καὶ ἔχουσαν, δι' ὧν οὐ μόνον κατ' ἀξίαν, ἀλλὰ καὶ ὑπὲρ τὴν ἀξίαν τιμήσει· « Οὐκ ἄξια γὰρ, φησὶ, τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι. »

Incorrupta semper divinaque vis vult et potest aliquem honorare. Solus enim Deus habet quo honoret, voluntate quidem cum facultate certante. Quare adamemus Deum, qui solus et vult honore afficere, et habet quo non tantum pro dignitate, sed etiam supra meritum honoret : « Non enim, ait Scriptura, condignæ sunt passiones hujus temporis ad futuram gloriam, quæ revelabitur in nobis [99]. »

ΤΟΒ'. — ΘΕΟΔΩΡΩ ΕΠΑΡΧΩ.

CCCLXXII. — THEODORO PRÆFECTO.

Quis optime reipublicæ præsit δημαγωγός.

Ἄριστον δημαγωγὸν καὶ ἡγεμόνα ἐκεῖνον ἂν ἔγωγε ὁρισαίμην, οὐ τὸν μισθοδοσίαις στάσεις κινοῦντα, καὶ τῶν ἑαυτοῦ ἴσων (οὐ γὰρ ἂν εἴποιμι χειρόνων) ὥσπερ δεσποτῶν τὰς φωνὰς ἐξωνούμενον· ἀλλὰ τὸν δι' ἀρετῆς καὶ εὐσεβείας τοὺς δήμους ἐξαρτώμενον, καὶ οὐκ ἐν ταῖς φωναῖς μόνον ἀνακηρυττόμενον, ἀλλὰ καὶ ἐν ταῖς γνώμαις στεφανούμενον.

Reipublicæ optimum eum dixerim gubernatorem ac præfectum, non qui largitionibus seditiones concitet, ac sui similium, non dicam deteriorum, veluti dominorum voces redimat, sed qui virtute ac pietate suspensum teneat populum : neque qui populi tantum sermone et voce celebretur, sed et animo.

ΤΟΓ'. — ΖΩΣΙΜΩ, ΜΑΡΩΝΙ, ΧΑΙΡΗΜΟΝΙ, ΚΑΙ ΕΥΣΤΑΘΙΩ.

CCCLXXIII. — ZOSIMO, MARONI, CHÆREMONI, ET EUSTATHIO.

Ad bonam rursus frugem invitat. (*Sup. epist.* 105, *et* 311.)

Ἐλλόγιμοι καὶ ἀληθεῖς ἄνδρες ἐκτόπως ὑμᾶς τῆς κακίας διαβεβαιοῦνται εἶναι ἐραστὰς, καὶ τὰ κατ' εἶδος πλημμελήματα ὑμῶν ἐκκωμῳδοῦντες, πολλὴν καταχέουσι τοῖς μὴ ἀναλγήτοις τὴν ὀδύνην. Ἐγὼ δὲ αὐτὰ οὐ φράσω δυοῖν ἕνεκεν. Οὔτε γὰρ βούλομαι μολῦναι τὴν γλῶτταν, οὔτε εἰ βουλοίμην, δυναίμην· οὕτως ἅπαντα λόγον ὑπερβαίνει. Ὑμῶν οὖν ἐστι σκοπεῖν, ὅπως παύσησθε τῶν τοιούτων δραμάτων, ἃ καὶ τοὺς λέγοντας ἐρυθριᾷν παρασκευάζει.

Diserti viri iidemque veri amantes narrant, vos supra modum improbos esse, vestraque flagitia singulatim reprehendentes multum afferunt tristitiæ sensum aliquem habentibus. Equidem duas ob causas illa non referam. Neque enim linguam narrandis iis contaminare volo, neque, si velim, possim, adeo omnem superant dicendi vim. Quare vestrum est animadvertere ut et horum delictorum finem modumque statuatis, ut ab ejusmodi operibus abstinentes quæ narrantibus pudorem incutiunt.

ΤΟΔ'. — ΠΑΥΛΩ.

CCCLXXIV. — PAULO.

Virtus amplectenda.

Τὰς ἀρετὰς τίμα, μὴ τὰς εὐημερίας θεράπευε. Αἱ μὲν γὰρ ἀθάνατόν εἰσι χρῆμα, αἱ δὲ ῥᾳδίως σβέννυνται.

Virtutem cole, nec fortunæ bonis servias. Illa enim quid immortale est ; hæc vero fluxa sunt, citoque pereunt.

[99] Rom. VIII, 18.

VARIÆ LECTIONES ET NOTÆ.

(19) Inter καὶ et τοῦ ambo codd. inserunt πρὸ et paulo post pro ἀναγκάζουσι scribunt ἀναγκάσαι. Possin.

Digitized by Google

CCCLXXV. — EIDEM A ΤΟΕ'. — ΤΩ ΑΥΤΩ (20).

Interrogatio in sacris Litteris vehementiorem reddit orationem.

Quisquis non tam enuntiat quam interrogat, atque exaudientium judicio fert sententiam, clariorem et efficaciorem interrogando demonstrationem facit. Nam judicantes arrogantiæ vulgus accusat. Interrogantes vero et temeritate majores esse putat, et libenter probat, quasi dicta percipiant, et perpetuo judicent. **672** Nam suffragio semel lato revocare verecundantur. Sic Christus ineffabilis Dei Patris sapientia sæpe adhibere solitus est interrogationem, maxime in vinitoris parabola; sic quærens : « Cum ergo venerit dominus vineæ, quid faciet agricolis illis? » illis autem dicentibus : « Malos male perdet, et vineam suam locabit aliis agricolis [97], » idem responso illorum auctoritatem addidit. Cum enim, enuntiare ipse jure posset, coegit eos sententiam B ferre, itaque superavit et sententiam stabilivit. Ad eumdem modum et beatus Paulus sapientiæ illius auditor, fecit. Cum enim posset affirmate dicere : « Non decet mulierem nudo capite Deum precari, » per interrogationem ardentius extorsit responsum, cum sic ait : « Vos ipsi judices estote, decetne mulierem non velatam orare Deum [98]? » Tu ergo imiliter, si quid definire cupias, nihil pertendas, asseveres, aut urgeas fortius. Multi enim hoc modo etsi alioqui benedicentibus obloquuntur, sed miti modestaque interrogatione efficaciorem demonstrationem parare satage. Sic enim lucro appones, cum viceris, laudemque feres mitis ac moderati ingenii.

Ὁ μὴ ἀποφαινόμενος, ἀλλ' ἐρωτῶν, καὶ τῇ κρίσει τῶν ἀκροατῶν τὴν ψῆφον ἐπιτρέπων, ἐμφατικωτέραν καὶ δραστικωτέραν τῇ ἐρωτήσει (21) τὴν ἀπόδειξιν ποιεῖται. Τοὺς μὲν γὰρ ἀποφαινομένους, αὐθαδείας οἱ πολλοὶ γράφονται. Τοὺς δὲ ἐρωτῶντας, καὶ προπετείας κρείττονας εἶναι ἡγοῦνται, καὶ ἀσμένως στεφανοῦσι, τῷ τὰ λεγόμενα καταδέχεσθαι καὶ ἐγκρίνειν ἀεί. Ἅπαξ γὰρ ψηφισάμενοι, ἀνατρέψαι τὰ κεκριμένα αἰσχύνονται. Τοιοῦτό τι καὶ ὁ Χριστὸς, ἡ ἄῤῥητος σοφία, πολλαχοῦ μὲν πεποίηκε, μάλιστα δὲ ἐπὶ τῶν ἀμπελουργῶν. Ἐρωτήσας γάρ· « Τί ποιήσει τοῖς γεωργοῖς ἐκείνοις; » εἶτα ἐκείνων φησάντων· « Κακοὺς κακῶς ἀπολέσει αὐτοὺς, καὶ τὸν ἀμπελῶνα ἐκδώσεται ἑτέροις γεωργοῖς· » αὐτὸς τὴν B ἀπόφασιν ἐκείνων ἐκύρωσε. Δυνάμενος γὰρ ἀποφήνασθαι, ἠνάγκασεν ἐκείνους διὰ τῆς ἐρωτήσεως τὴν ψῆφον ἐξενεγκεῖν, καὶ οὕτως αὐτὸς ἐβεβαίωσεν. Οὕτω καὶ ὁ Παῦλος ὁ τῆς σοφίας φοιτητὴς ἐποίησε· δυνάμενος γὰρ εἰπεῖν· « Οὔτε πρέπει γυναῖκα ἀκατακάλυπτον τῷ Θεῷ προσεύχεσθαι. » Διὰ τῆς ἐρωτήσεως ζητητικωτέραν (22), τὴν ἀπόδειξιν κατεσκεύασεν εἰπών, « Ἐν ὑμῖν αὐτοῖς κρίνατε, πρέπον ἐστὶ γυναῖκα ἀκατακάλυπτον τῷ Θεῷ προσεύχεσθαι; » Καὶ αὐτὸς τοίνυν μὴ διατείνου, καὶ διαβεβαιοῦ, καὶ διαπληκτίζου, εἴ ποτέ τι ἀποδεῖξαι βουληθείης. Πολλοὶ γὰρ τοῖς οὕτω διακειμένοις, καὶ εἰ καλῶς φράζοιεν, ἀντιλέγουσιν· ἀλλὰ προσηνείᾳ, καὶ πράότητι, καὶ ἐρωτήσει ἐμφατικωτέραν τὴν ἀπόδειξιν κατα- C σκεύαζε. Οὕτω γὰρ κερδανεῖς μετὰ τοῦ νικῆσαι καὶ τὴν τοῦ πρᾴου εἶναι δόξαν.

CCCLXXVI. — MENÆ DIACONO. ΤΟϚ'. — ΜΗΝΑ ΔΙΑΚΟΝΩ.

Quæstionibus propositis plane et perspicue respondendum juxta Dei verbum medicorum exemplo. *(Conf. epist. 279.)*

Ne vero tortuosa, obliqua, et coacta interrogantibus responsa demus allaborandum est, sed recta, neque violenta. Sacra enim Scripturarum oracula peccatis omnibus perspicua afferunt remedia. Et medici aliud pro alio pharmacum ægrotis offerentes tantum abest valetudini ut prosint, ut etiam labefactent. Ita qui propria afferre remedia crimini cuivis nesciunt, cum medicæ sint artis ignari, et affectiones augentur. Qui enim oraculis sapientiores esse volunt, quæque sibi placent, docent, non se modo ipsi sed et alios qui ad se veluti in portum sese recipiunt, inani spe fallunt, in vastum quæstionum pelagus eos conjicientes.

Μὴ λοξὰς καὶ πλαγίας καὶ βεβιασμένας τοῖς ἐρωτῶσι τὰς ἀποκρίσεις ποιώμεθα, ἀλλ' ὀρθὰς καὶ ἀδιάστους· οἱ μὲν γὰρ ἱεροὶ χρησμοὶ πᾶσι τοῖς ἁμαρτήμασι τὰ ἰάματα σαφῆ προσάγουσιν. Ὥσπερ δὲ ἰατροὶ ἕτερον ἀνθ' ἑτέρου φάρμακον προσάγοντες τοῖς κάμνουσιν, οὐκ ἂν ὠφελήσαιεν, ἀλλὰ καὶ λυμανοῦνται. Οὕτω καὶ οἱ μὴ τὰς κυρίας θεραπείας ἑκάστῳ πταίσματι προσφέρειν εἰδότες, καὶ ἰατρικῆς εἰσιν ἄπειροι τέχνης, καὶ τὰ πάθη ἐπιτρίβουσι. Σοφώτεροι γὰρ εἶναι βουλόμενοι τῶν λογίων, καὶ τὰ δοκοῦντα ἑαυτοῖς δογματίζοντες, οὐ μόνον ἑαυτοὺς, ἀλλὰ καὶ τοὺς πρὸς αὐτοὺς ὥσπερ εἰς λιμένας καταφεύγοντας D σφάλλουσι τῇ ἐλπίδος, εἰς πέλαγος αὐτοὺς ζητημάτων ἐξακοντίζοντες.

[97] Matth. xxi, 40, 41. [98] I Cor. xi, 13.

VARIÆ LECTIONES ET NOTÆ.

(20) Codd. Vat. 650 et Alt. pro τῷ αὐτῷ habent Πέτρῳ. Possin.

(21) Modestiæ id argumentum alios interrogare, ut sententiam ipsi vel contra se ferant. Aristoteles quoque et jureconsulti non plane semper pronuntiant, sed *videri bonum id et æquum esse.* Oratores etiam ac poetæ usi hac sunt formula : *Et dubitamus adhuc. An dubium cuiquam esse potest*, ut observat in *Variis lectionibus* Petr. Victorius lib. xix. cap. 15. Et Athenis Attici in judicio reum capitis interrogabant quo supplicio se dignum existimaret ut de Socrate M. Cicero *Tuscul.* I. ex Platone commemorat ac Lysias. Schott.

(22) Pro ζητητικωτέραν cod. Vat. 650 et Alt. scribunt ζωτικωτέραν. Possin.

Digitized by Google

ΤΟΖ'. — ΠΑΥΛΩ. CCCLXXVII. — PAULO.

« *Qui potuit transgredi et non est transgressus.* » (*Eccli.* XXXI, 10.)

Οὐχ ὁ πάσης ἀφορμῆς πρὸς ἀδικίαν ἔρημος ὤν, δίκαιος κεκλῆσθαι δίκαιος, ἀλλ' ὅστις τὴν ἐξουσίαν τοῦ πράγματος ἔχων, ἀδικίας οὐχ ἅπτεται· οὐ μὴν οὐδὲ ὁ ἀνάγκῃ σωφρονῶν σώφρων εἰκότως κεκλήσεται, ἀλλ' ὅστις τὴν ἐξουσίαν τῶν ἡδονῶν ἔχων ἑκούσιον σωφροσύνην ἀσπάζεται. Οἱ μὲν γὰρ τῷ μὴ δύνασθαι δρᾶν ἃ βούλονται, ἐπιείκειαν πολλάκις πλάττονται· ἐν ἐξουσίᾳ δὲ γενόμενοι, ἐλέγχονται. Οἱ δὲ ἄριστοι τότε μάλιστα καρτεροῦσι, καὶ τοῦ δικαίου ἔχονται, ὅτε ἡ ἐξουσία τὴν ἀδικίαν τίκτει.

Non qui omni caret ad improbitatem occasione justus debet appellari, sed potius qui, cum possit nequam esse, minime vult. Neque qui necessitate est temperans ac moderatus, temperans merito vocetur, sed qui voluptati indulgere cum possit temperantiam libens et volens complectitur. Qui enim quæ volunt, patrare non possunt, æquitatem sæpe servant : at cum suppetit agendi facultas refrenandi sunt. Optimus quisque tum maxime invalescit, et justus habetur, quando facultas injuriam pariat.

ΤΟΗ'. — ΜΑΡΚΙΩΝΙ ΠΡΕΣΒΥΤΕΡΩ. **673** CCCLXXVIII. — MARCIONI PRESBYTERO.

Quæ dignitas boni sacerdotis. Hermogenis episcopi laus. Eusebii vituperatio. (*Supr. epist.* 358.)

Ὁ ἐκ τῆς τῶν ἔργων λαμπρυνόμενος ἀρετῆς, οὗτος γνήσιος ἱερωσύνης τυγχάνει κόσμος. Ὅστις δὲ ἔνδον τῆς ἀξίας οὐ φορῶν (23) τὰ γνωρίσματα, ἀλλοτρίαν σχηματιζόμενος εὐπρέπειαν, τῇ τιμῇ μόνῃ ἐναβρύνεται, οὗτος ὑπὸ τῆς ἀληθείας εἰς τοὺς νόθους ἀπέρριπται. Ἐπεὶ οὖν ὁ μὲν θεοφιλὴς Ἑρμογένης ὁμολογοῦσαν τῇ ἀρετῇ καὶ τὴν ἀξίαν ἔσχε· πρὸς γὰρ τὸ οἰκεῖον ἑκάτερον ἔσπευσεν, ὁ μὲν τῆς ἁγιστείας κόσμος τὸν ἄξιον ἐπιζητήσας, τὸ δὲ τῆς ἀρετῆς ἀρχικὸν τὴν παρὰ τῆς θείας χάριτος ὀφειλομένην προσθήκην· ὁ δὲ θεομισὴς, ὡς γέγραφας, Εὐσέβιος ἀρετῆς κηρεύων, τῇ ἱερωσύνῃ μόνῃ σεμνύνεται. Ὁ μὲν παρὰ πάντων ᾄδεται, ὡς ὁμολογοῦσαν τῇ ἀξίᾳ καὶ τὴν προαίρεσιν εἰσενεγκάμενος· ὁ δὲ κακίζεται ὡς νόθος, καὶ εἰς μηδαμόθεν αὐτῷ προσήκουσαν κληρονομίαν εἰσβιασάμενος.

Qui virtutis sese operibus ostendit, næ ille vere sacerdotio est ornamento. Qui vero intrinsecus dignitatis scientiam non habet, alieno se ostentat ornamento, solo elatus honore : hic instar spurii revera decori est statui. Cum igitur Dei amicus Hermogenes, virtuti suæ convenientem est dignitatem consecutus. Ad utrumque enim uti proprium summopere contendit, quippe ipsum sanctimoniæ decus virum dignum exigit, et virtutis principatus debitum a divina gratia additamentum. Alter vero Deo invisus Eusebius, de quo ad me scribis, virtute vacuus, solo se jactat sacerdotio. Ille quidem ab omnibus celebratur, ut consentiens dignitati propositum afferens ; hic contra ut spurius notatur, quasi ad sibi minus convenientem redactus sortem, atque hæreditatem.

ΤΟΘ'. — ΔΩΡΟΘΕΩ ΛΑΜΠΡΟΤΑΤΩ. CCCLXXIX. — DOROTHEO CLARISS. VIRO.

Qui ordinandi sacerdotes.

Μὴ τοὺς μόλις, καὶ διὰ μυρίων ἀγώνων ἀρετὴν κατορθώσαντας, καὶ εἰς τὴν εὐαγεστάτην ἱερωσύνην τελέσαντας, ἀπὸ τῶν ἐξ ἐπιδρομῆς ἐπιπηδησάντων αὐτῇ χαρακτήριζε· ἀλλ' ἐκείνους μὲν ἀνακήρυττε, τούτους δὲ ἀποκήρυττε. Τοῖς γὰρ μὴ ἀπὸ τῶν αὐτῶν ἐπὶ τὰ αὐτὰ ἥκουσιν, οὐχ ὁμοίως προσενεκτέον· ἀλλὰ τοὺς μὲν ἀρετῆς ἆθλον τὴν ἱερωσύνην ἐσχηκότας ἐγκωμιαστέον καὶ μακαριστέον. Τοὺς δὲ ἐπιπηδῆσαι αὐτῇ τολμήσαντας, τόδ' ὅπως (24) φράσω, αἰτιατέον καὶ ἐλεητέον· ὅτι τὴν φέρουσαν ὁδὸν ἐπὶ τὴν θείαν λειτουργίαν παριδόντες, καὶ τὴν ὁσιωτάτην καὶ εὐαγεστάτην ἐν πολλῷ χρόνῳ τῶν φιλαρέτων πόνων ὑπομονὴν ἀτιμάσαντες, θεσμούς τε καὶ τὰς ἄλλας ἁγιαστείας τὰς ἀπὸ τῆς ὀρθῆς πολιτείας παρωσάμενοι, ἀποχρῶσαν ἐνόμισαν ἑαυτοῖς τὴν χειροτονίαν· δι' ἣν καὶ μόνην ἐναβρυνόμενοι, κατὰ τῶν ὀρθῶς βιούντων ἐπιφύονται.

Ne ordines, relictis illis qui per varia certamina ad virtutem instructi, tandem ad sacrosanctum sacerdotium nituntur, eos qui eo irrumpant : sed illos potius sacerdotes consecra, hos vero repelle. Qui enim ab iisdem non ad eadem festinant ; eorum non eadem habenda ratio est, sed alii virtutis præmium, sacerdotium adepti, laudandi publice sunt, et felices prædicandi. At qui irrumpere atque insilire audent in sacerdotium, ii sane, ut ita dicam, reprehendendi ac commiseratione digni, quod rectam ad divinum sacrorum ministerium ducentem viam negligant : contemnentesque sacratissimam sanctissimamque patientiam in longi temporis virtute præditorum laboribus, ritus sanctionesque, et alia ad sacrificia pertinentia ex optima pellentes republica ordine sacerdotali indignos se ostendunt : quo solo elati in recte viventes insurgunt.

ΤΠ'. — ΑΡΠΟΚΡΑ ΣΟΦΙΣΤΗ. CCCLXXX. — HARPOCRATE RHETORI.

Uni vacandum arti, ut excellas, nec enim in omnibus potes excellere. (*Confer. epist.* 452.)

Ἀνάγκη τὸν μιᾷ σχολάζοντα τέχνῃ, ἄριστα αὐτὴν διηκριβῶσθαι. Οἱ γὰρ πολλαῖς ἑαυτοὺς παρέχοντες, εἰ καὶ δόξειαν πολλὰς εἰδέναι, ἀλλ' οὐ πασῶν εἰς τὸ

Uni vacantem arti necesse est optime eam exercere. Qui vero multis se tradunt, etsi multa scire videantur, ad culmen non pertingunt. Verum si

VARIÆ LECTIONES ET NOTÆ.

(23) Pro φορῶν iidem habent φορεῖ. Possin.
(24) Inter οὕτως et φράσω ambo codd. inserunt οὖ. Ib.

Digitized by Google

quod est, ingenue confitendum omnes semiperfectas et crudas seu præcoquas possident. Si autem abundare ac superare artium scientia videantur, superantur vicissim, quod accuratius singulas cognoscant alii, atque a tergo relinquant disciplinas.

A ἀκρότατον ἀφίξονται. Ἀλλ' εἰ χρὴ τὸ ἀκριβὲς εἰπεῖν, ὅλας ἡμιτελεῖς καὶ ἀώρους κεκτήσονται. Εἰ δὲ καὶ δοκοῖεν πλεονεκτεῖν τῷ πολλὰς εἰδέναι, ἀλλ' ἀντιπλεονεκτοῦνται τῷ λείπεσθαι τοῖς εἰς τὴν ἑκάστην τέχνην ἄκροις.

674 CCCLXXXI. — CASSIANO, REMPUBLICAM GERENTI.

ΤΠΑ'. — ΚΑΣΣΙΑΝΩ ΠΟΛΙΤΕΥΟΜΕΝΩ.

Capientes sæpe capti. De fratre ad Christi fidem converso.

Fratri tuo idem prope accidit, quod ministris illis missis a Pharisæis ut Christum abducerent, redeuntibus vero mox cum ingenti admirationis stupore[99]. Ut enim illi sermone ejus capti sunt, et missi ut caperent, capti admiratione discedunt. Sic et ipse, ut aiebat, captus orationis elegantia tantum abest ut religioni adversæ obstiterit, ut etiam ejus præco ac professor sit factus. Veritate enim nihil est B illustrius aut simplicius, cum non agit quis fraudulenter. Quemadmodum si malitiose agat nihil ea molestius. Gaudens itaque nobiscum precare Deum, ut qui verum consequentur non modo non lædantur, sed et mente illustrentur.

Παραπλήσιόν τι πέπονθεν ὁ σὸς ἀδελφὸς τοῖς ὑπηρέταις, τοῖς πεμφθεῖσι μὲν ἀγαγεῖν τὸν Χριστὸν, ἐπανελθοῦσι δὲ μετὰ πολλοῦ τοῦ θαύματος. Ὥσπερ γὰρ ἐκεῖνοι ἐχειρώθησαν ἀπὸ τῆς δημηγορίας, καὶ πεμφθέντες δῆσαι, ἐπανῆλθον δεθέντες τῷ θαύματι· οὕτω καὶ αὐτὸς, ὡς ἔφη, ἁλοὺς τῷ κάλλει τῶν εἰρημένων, οὐ μόνον τοῦ ἐναντιοῦσθαι τῇ θειοτάτῃ θρησκείᾳ ἀπέστη, ἀλλὰ καὶ κήρυξ αὐτῆς καὶ συνήγορος κατέστη. Οὐδὲν γὰρ τῆς ἀληθείας σαφέστερον, οὐδὲ ἁπλούστερον, ὅταν τις μὴ κακουργῇ. Ὥσπερ οὖν ἐὰν κακουργῇ, οὐδὲν δοκεῖ δυσκολώτερον. Συγχαίρων τοίνυν ἡμῖν εὔχου, ὅπως οἱ ἐντυγχάνοντες μὴ μόνον μὴ βλάπτωνται, ἀλλὰ καὶ φωτίζωνται τὴν διάνοιαν.

CCCLXXXII. — EULOGIO.

ΤΠΒ'. — ΕΥΛΟΓΙΩ.

Difficilius est secundam quam adversam ferre fortunam. Secundis non tollendus animus, nec adversis mergendus. (*Confer. epist.* 115.)

Magni equidem duco rerum vicissitudinem fortiter ferre. Multi itaque difficilius existimant a rebus secundis in adversas incidentem, celsum servare animum. Ego vero difficillimum arbitror, eum qui ab adversis rebus ad secundas redit, moderatum custodire animum. Et utrumque quidem mihi fortis animi C esse argumentum est, nec secundis extolli, neque in adversis abjecti esse animi; sed æquam servare mentem.

Οὐ μικρὸν ἔγωγε ἡγοῦμαι τὸ μεταβολὴν πραγμάτων ἀνδρείως ἐνεγκεῖν· πολλοὶ μὲν οὖν δυσκολώτερον εἶναι ἡγοῦνται τὸ ἀπὸ εὐημερίας εἰς δυσπραγίαν ἐμπεπτωκότα (25) τινὰ φυλάξαι ἀταπείνωτον τὸ φρόνημα. Ἐγὼ δὲ δυσκολώτατον ἡγοῦμαι τὸ ἀπὸ δυσπραγίας εἰς εὐημερίαν ἀναδραμόντα, φυλάξαι μέτριον τὸ φρόνημα. Καὶ τοῦτο γὰρ κἀκεῖνο ἐμοὶ ἀνδρείας τεκμήριον, μήτε ἐξυβρίζειν ἐν ταῖς εὐημερίαις, μήτε ταπεινοῦσθαι ἐν ταῖς δυσημερίαις, ἀλλ' ὁμαλὸν τὸ φρόνημα ἔχειν.

CCCLXXXIII. — PETRO CORRECTORI.

ΤΠΓ'. — ΠΕΤΡΩ ΚΟΡΡΗΚΤΩΡΙ.

Rempublicam juste administrandi præceptum. Disce juste præesse; et « Tibi soli peccavi. » (*Psal.* L, 6.)

Quisquis imperat, legibus eum parere necesse est. Quod si recuset, quinam, quæso, legitime imperet, cui vitia imperent? juste itaque et legitime imperato, ut tibi potissimum imperes, dehinc commode etiam aliis. Si justum ignorare te fingas, cum sapientibus atque intelligentibus communicato, qui justitiam colant, et fœda omnia contemnant. Si vero quid peccaris, id corrigito. Si vero existimas D id præjudicium auctoritati afferre, scito id maximam parere laudem. Neque vero tam illud ex me pronuntio, quam ex historia in quam nuper incidi. Rex erat justi et æqui in primis studiosus, ad urbes sic perscribens: « Si quid contra leges fieri ordinando præscripsero, nolite ut ignoranti obedire. » Si vero ille cum rex esset, nec humano judicio obnoxius (soli enim Dei judicio subjecti sunt hujusmodi: unde et Psaltes ait: Tibi soli peccavi), sic nihilominus justitiam coluit, te sane et regibus et

Ὁ ἄρχειν λαχὼν, ὑπὸ τῶν νόμων δίκαιος ἂν εἴη ἄρχεσθαι. Εἰ δὲ αὐτὸς ἀκυροῖ τούτους, πῶς ἂν νόμιμος εἴη ἄρχων, αὐτὸς ὑπὸ τῆς κακίας ἀρχόμενος; Δικαίως τοιγαροῦν καὶ νομίμως ἄρχε, αὐτὸς μὲν σαυτοῦ τὴν μεγίστην ἀρχὴν, τῶν δὲ ἀρχομένων δεόντως. Εἰ δ' ἄγνοιαν τοῦ δικαίου σκήπτῃ, ἀνακοίνου τοῖς σοφοῖς, καὶ συνετοῖς, καὶ τὸ δίκαιον μὲν τιμῶσιν, αἰσχρῶν δὲ λημμάτων καταφρονοῦσιν. Εἰ δὲ καὶ ἔλαθέ τι, ἐπανόρθου· εἰ δὲ οἴει τοῦτο κατάγνωσιν φέρειν, ἴσθι ὅτι ἔπαινον μέγιστον τίκτει· καὶ τοῦτο οὐκ ἀπ' ἐμαυτοῦ τοσοῦτον λέγω, ὅσον ἀρχαίαις ἱστορίαις ἐντυχών. Βασιλεὺς γάρ τις λίαν τοῦ δικαίου φροντίζων ἔγραφε ταῖς πόλεσιν· « Ἄν τι γράψω παρὰ τοὺς νόμους παρατάττων γίνεσθαι, μὴ προσέχειν ὡς ἠγνοηκότι. » Εἰ δὲ ἐκεῖνος βασιλεὺς ὢν, καὶ εὐθύνας παρὰ ἀνθρώπων μὴ μέλλων ἀπαιτεῖσθαι (τῇ γὰρ θείᾳ δίκῃ μόνος ὁ τοιοῦτος ὑπεύθυνος. Διὸ καὶ ὁ Μελῳδὸς ἔλεγε· « Σοὶ μόνῳ ἥμαρ-

[99] Matth. XXII, 15-22.

VARIÆ LECTIONES ET NOTÆ.

(25) Ἐμπεπτωκότα uterque cod. in ἐμπεπτωκότων mutat. Possin.

Digitized by Google

τον »), οὕτω τοῦ δικαίου ἐφρόντιζε, σὲ τὸν καὶ βασιλεῦσι καὶ ἄρχουσι μείζοσιν ὑποκείμενον, δίκαιον ἂν εἴη τοῦ δικαίου ἔχεσθαι, καὶ μηδαμῶς τοῦτο παραβαίνειν· ἐννοοῦντα, ὅτι εἰ καὶ τὴν ἐνταῦθα διαφύγοις δίκην, τὴν θείαν οὐ διαφεύξῃ.

gubernatoribus subjectum par est justum colere, **675** hæc ab eo recedere, cogitantem quod si hic vindictam evaseris, utique divinam non evades.

ΤΠΔ'. — ΜΑΡΩΝΙ.

CCCLXXXIV. — MARONI.

Corpus pareat, mens imperet. (*Confer epist.* 329 *et lib.* I, *epist.* 15, *et lib.* IV, *epist.* 124, 126, 146.)

Ὁ ὑπὸ τῶν ἀνελευθέρων τῆς σαρκὸς παθῶν ἐξανδραποδισθεὶς (ἵνα καὶ παχυτέρῳ χρήσωμαι παραδείγματι), ἔοικεν ἡνιόχῳ, ἐκπεπτωκότι μὲν τοῦ ἅρματος, συρομένῳ δὲ ὑπὸ τῶν ἡνιῶν, τῶν μὴ ἀπολυουσῶν αὐτὸν, ἀλλὰ συμπλεκομένων αὐτῷ, δίκην τῆς ῥαθυμίας ἀπαιτουμένῳ. Ἔνθα δὴ τῶν κατὰ φύσιν τάναντία ἐκβαίνει. Δέον γὰρ τὸ ἅρμα ὑπὸ τῆς τέχνης τοῦ ἡνιόχου ἄγεσθαι καλῶς, ὁ ἡνίοχος ὑπὸ τῶν ἵππων σύρεται κακῶς. Τῆς γὰρ κατὰ φύσιν ἡγεμονίας ἀνατροπὴ, ἡ παρὰ φύσιν παρατροπὴ, διὸ χρὴ τὸν νοῦν κυβερνᾷν τὸ σῶμα.

Qui carnis illiberali mancipatus est vitio (ut crassiore utar exemplo) non absimilis est aurigæ, qui curru excidit, raptatus a jumentis, nec ab illis solutus, sed jugo implicatus socordiæ dans justas pœnas. Hæc enim inversa accidunt natura. Currum enim recte ex arte regere convenit; male vero regens, ab equis raptatur auriga. Evertere enim eum qui ex natura imperat, id est naturam invertere. Corpus itaque a mente regi par est ac gubernari.

ΤΠΕ'. — ΤΩ ΑΥΤΩ.

CCCLXXXV. — EIDEM.

Fortitudinis extremæ audacia et timiditas.

Τὸ μὲν λελογισμένον καὶ γενναῖον, ἀνδρεῖον ἔγωγε καλῶ· τὸ δὲ ἄλογον, καὶ τὴν ἄνευ νοῦ ἀλκὴν, θρασύτητα προσαγορεύω.

Quod est cum ratione ac generose gestum, idem ego forte ac virile appello; contra, quod imprudens est ac sine mente robustum, id ego audaciam confidentiamque dixero.

ΤΠϚ'. — ΑΛΦΕΙΩ ΜΟΝΑΖΟΝΤΙ.

CCCLXXXVI. — ALPHIO MONACHO.

De jure belli ac vindictæ.

Τῆς μὲν τῶν ἀλλοτρίων ἕνεκα κτήσεως μόνης (26), ἢ μάλιστα, οἱ πόλεμοι ἀναῤῥιπίζονται· οὐ πάντας δὲ τοὺς πολεμοῦντας αἰτιατέον· ἀλλὰ τοὺς μὲν ἄρξαντας ἢ χειρῶν ἀδίκων ἢ ἁρπαγῆς, ὡς ἀλιτηρίους δαίμονας νομιστέον. Τοὺς δὲ ἀμυνομένους μετρίως, οὔτε μεμπτέον ὡς ἀδίκους. Νόμιμον γὰρ πρᾶγμα ποιοῦσιν· οὔτε μὴν θαυμαστέον ὡς φιλοσόφους καὶ ἀνακηρυκτέον, ἅτε (27) οὐρανῷ πρέπουσαν πολιτείαν πολιτευομένους, οὐκ ἐν τῷ ἀντιδρᾶν ἃ πεπόνθασιν, ἀλλ' ἐν τῷ γενναίως ἐνεγκεῖν τὴν ἀνανδρίαν κρίναντας. Τοὺς δὲ δικαίως μὲν ἀμυνομένους, ὑπερβαίνοντας δὲ τῆς ἀμύνης τὸ μέτρον, ὡς ἀδικοῦντας γραπτέον. Οἱ γὰρ ἀμέτρως ἀμυνόμενοι, δεύτεροι πάλιν κατάρχουσιν. Ἀντιμετρεῖν γὰρ χρὴ τοῖς πλημμελήμασι τὰς τιμωρίας, οὐχ ὑπερβαίνειν· ἵνα μὴ τὸ δίκαιον καὶ τὸ νόμιμον ὑπερβάντες, καὶ τὴν ἐπὶ τῷ δικαίως ἐπεξεληλυθέναι δόξαν λυμηνάμενοι, εἰς τοὺς ἀλάστορας ἐγγραφῶσιν.

Bella fere ob alienas conflantur possessiones, bonaque: ac ne omnes quidem bella gerentes accusandi, sed qui suscipiunt vel injuriæ, vel rapiendi causa, hi perniciosi velut dæmones habendi. At qui modeste vindicant ac moderate ulciscuntur injurias illatas, non sunt ut justi reprehendendi. Ex legum enim præscripto rem gerunt: neque eos veluti philosophos admirari oportet nec deprædicare quasi vitam cœlo dignam ducentes, non in rependendis injuriis quas perpessi sunt, sed quod viriliter et constanter illas perferant, inertiam culpantes. Qui vero juste quidem se vindicant, modum tamen excedunt, ii ut injusti sunt accusandi. Qui enim immoderate ulciscuntur, secundam et novam ordiuntur injuriam. Pœnas enim delictis esse pares oportet, non majores, ne justum et æquum transgressi et justitiæ fines excedendo gloriam dehonestantes, inter alastores referantur, excedere videare. Gloriam enim dehonestant, justitiæ fines excedendo, utque diris exsecrandi habendi sunt.

ΤΠΖ'. — ΟΛΥΜΠΙΩ.

CCCLXXXVII. — OLYMPIO.

Sui cognitio prima ad scientiam via; ex Platonis Alcibiade priore.

Ὅτι τὸ εἰδέναι οἴεσθαι τοῦ μὴ εἰδέναι αἴτιον καθέστηκεν· εἰ καὶ αἴνιγμα δοκεῖ εἶναί σοι τὸ εἰρημένον. Μαρτυρεῖ Πλάτων, ὃν ἀεὶ ἐπὶ στόματος φέρεις, λέγων πρὸς τὸν Ἀλκιβιάδην. Σωκ· « Πότερον σαυτὸν λέληθας, ὅτι οὐκ ἐπίστασαι τοῦτο; ἢ ἐμὲ

Qui scire se putat, cur nihil sciat sibi causa est: multi ad eruditionem pervenissent, nisi se jam pervenisse putassent, ait Seneca. Id si ænigma tibi videatur, testis idoneus Plato est, quem semper in ore habens laudas, cum Alcibiade sic disserens.

VARIÆ LECTIONES ET NOTÆ.

(26) Post μόνης iidem addunt ὡς. Pro ἅτε iidem legunt οὔτε. Possin.

Digitized by Google

SOCRATES : « Animadvertisne, o Alcibiades, te hæc ignorare? **676** an me nescio hæc didicisti, et præceptoris operam industriamque adhibuisti, qui te doceret dijudicare justius et injustius? » MOX ALCIBIADES : « Quidni possim? » Soc. « Existimasne me rerum justarum et injustarum definitionem ignorare? Existimo certe te illam posse, si eam compereris. » ALCIB. « Tunc vero arbitraris me non comperisse? » Soc. « Equidem arbitror, si eam investigaveris. » ALCIB. « Jam mene non investigasse arbitraris? » Soc. « Arbitror, si aliquando opinatus es te illam ignorare. » Quæ cum ita sint, tunc scimus, cum non scire eos existimantes qui nos doceant conquisierimus.

A ἔλαθες μανθάνων, καὶ φοιτῶν εἰς διδασκάλου, ὃς σε ἐδίδαξε διαγινώσκειν τὸ δικαιότερόν τε καὶ ἀδικώτερον; » *Ἀλκ.* « Τί δὲ, εἰ μὴ ἔχω; » Σωκ. « Οὐκ ἂν οἶει με ἄλλως εἰδέναι περὶ τῶν δικαίων καὶ ἀδίκων; ναὶ, εἴγε εὕροις· » Ἀλκ. « Ἀλλ' οὐκ ἂν με εὑρεῖν ἡγῇ; » Σωκ. « Καὶ μάλα γε, εἰ ζητήσειας. » Ἀλκ. « Εἶτα ζητῆσαι οὐκ ἂν οἶει με; » Σωκ. « Ἔγωγε, εἰ οἰηθείης μὴ εἰδέναι (27). » Εἰ τοίνυν ταῦθ' οὕτως ἔχει, τότε εἰσόμεθα, ὅταν μὴ εἰδέναι οἰόμενοι τοὺς διδάσκοντας ἐπιζητήσωμεν.

CCCLXXXVIII. — ATHANASIO et THEOGNOSTO.

ΤΠΗ'. — ΑΘΑΝΑΣΙΩ ΚΑΙ ΘΕΟΓΝΩΣΤΩ.

Timothei vita functi laudatio, veluti funebris oratio, de quo et lib. II, *epist.* 155.)

Vita nuper functum Timotheum bonos imitandi studiosissimum, maximeque admirandum, vel me tacente novisti expressam virtutis habuisse imaginem. Quod vero maxime nobis addictus fuerit, et a nobis putetur, etsi non ita sit, duxisse initium sui in melius progressus, quamvis multa quæ dicam suppetunt, prætermitto, aliis dolorem in iis quibus glorior, relinquens. Unum dicam, cujus rei testes amici sunt, etiam inimici, eo se demisisse, tantamque erga nos exhibuisse benevolentiam, ut si daretur illi optio; ubi mallet, an in regiis versari vel mecum, hoc sine dubio præferret. Duplici igitur nomine ejus mortem moleste fero, cum ob summam ipsius virtutem, tum ob sinceram amicitiam. Duo vero vicissim dolorem consolando adimunt, primo quod ille decessit e vita ornatus, deinde quod amoris gratia coronam a Deo acceperit.

B Ὅτι μὲν ὁ μακάριος Τιμόθεος μιμητικώτατος ἐγένετο καὶ θαυμασιώτατος ἅπασαν ἐκμάξασθαι παραδείγματος ἀρετὴν, ἴστε κἂν μὴ γράφω. Ὅτι δὲ πάντων μάλιστα ἡμῖν προσανέκειτο, καὶ ἐξ ἡμῶν ἡγεῖτο (εἰ καὶ μὴ οὕτως εἶχε τὸ πρᾶγμα) τὴν ἀρχὴν αὐτῷ γεγενῆσθαι τῆς (28) ἐπὶ τὸ ἄμεινον προκοπῆς, πολλὰ ἔχων εἰπεῖν, παραλείψω, φυλαττόμενος τὸ λυπῆσαί τινας ἐφ' οἷς σεμνύνομαι. Ἓν δὲ φράσω, οὗ πάντες καὶ φίλοι καὶ ἐχθροὶ τυγχάνουσι μάρτυρες· ὅτι τοσοῦτον ἤττητο, καὶ τοσαύτην περὶ ἡμᾶς εἶχεν αἰδὼ, ὡς εἰ αἵρεσις αὐτῷ προετέθη, ποῖ βούλεται, ἐν τοῖς βασιλείοις διατρίψαι ἢ παρ' ἐμοὶ, τοῦτο ἂν ἀσυγχρίτως ἐλέσθαι. Δυοῖν τοίνυν ἕνεκεν βαρέως ἐνεγκὼν τὴν τούτου τελευτὴν, ἑνὸς μὲν, διὰ τὴν ἀνυπέρβλητον ἀρετὴν, ἑτέρου δὲ διὰ τὴν ἀσύγκριτον φιλίαν, ὑπὸ δυοῖν ἐθεραπεύθην, τοῦ τε εὐκλεῶς ἐντεῦθεν ἀποπεφοιτηκέναι, τοῦ τε παρὰ Θεοῦ ἐστεφανῶσθαι.

C

CCCLXXXIX. — THEODORO ANACHORETÆ.

ΤΠΘ'. — ΘΕΟΔΟΣΙΩ ΑΝΑΧΩΡΗΤΗ.

Peccatis utcunque parvis principio obstandum, ne crescant, ut Zosimi cæterorumque pro quibus tanquam desperatis orandum. (*Confer. epist.* 2, 103, 440.)

Satis est tuam mihi testificari sanctitatem non esse morum quamdam insolentiam, quæ ob res parvi momenti irascatur, sed corruptorum negotiorum experimentum, et ad deterius labentium, nisi quæ prohibeat necessitas. Ostensum enim, ut ais, Eustathio, Zosimo, et Maroni successisse ex voto dementiam deliciarum ac libidinis. OEstro enim ac furore incitati, propemodum centauros obscurarunt. Non itaque cessabis eos deplorare: sin gratificari etiam vis, precibus illos juvans, recte feceris.

D Ἀρκεῖ τοῦτο, τὸ μαρτυρῆσαί μοι τὴν σὴν ἀγιωσύνην, ὅτι οὐκ ἦν δυσκολία τρόπων ἐπὶ μικροῖς ποιουμένη τὴν ὀργὴν, ἀλλ' ἐμπειρία πραγμάτων διεφθαρμένων, καὶ ἐπί γε τὸ χεῖρον ἡξόντων, εἰ μή τις ἀνάγκη κωλύσειεν· ἔδειξε γὰρ, ὡς ἔφης, τὸ πρᾶγμα, πῶς Εὐσταθίῳ, καὶ Ζωσίμῳ, καὶ Μάρωνι ἐπηυξήθησαν αἱ περὶ τὴν τρυφὴν καὶ τὴν ἀσέλγειαν μανίαι. Οἰστρῶντες γὰρ καὶ λυττῶντες, μικροῦ τοὺς κενταύρους ἀπέκρυψαν. Λείπεται οὖν οὐδὲν, ἢ τὸ καταθρηνεῖν αὐτούς· εἰ δὲ καὶ χαρίσαιο αὐτοῖς τὰς σαυτοῦ εὐχὰς, εὖγε ποιήσεις.

CCCXC. — PAULO.

ΤΡ'. — ΠΑΥΛΩ.

Lucri contemptus, bonaque existimatio.

Novi ego quosdam, forsitan et tu, qui oblata præmia honoraria non admisere: non quod lucrum con-

Οἶδά τινας, ἴσως δὲ καὶ αὐτὸς, τὰ διδόμενα γέρα μὴ προσιεμένους· οὐ τῷ κρείττους εἶναι κερδῶν

VARIÆ LECTIONES ET NOTÆ.

(27) Tres esse docet in *Alcibiade priore* Plato humanæ naturæ pestes : *ignorantiam, negligentiam*, et *arrogantiam;* ignorantiæ vero duplex genus esse, existimare ea nosse quæ nescias, de quo hoc loco agit Isidorus; alterum agnoscere tuam ignorantiam, et peritorum fidei te committere. Hinc et Socrates septem Græciæ sapientum sapientissimus Apollinis oraculo est habitus, quod unum se scire quod nihil sciret, affirmaret. SCHOTT.

(28) Τῆς ante ἐπὶ mutant in τὴν codd. Vat. 650 et Alt. POSSIN.

Digitized by Google

(πάσης γὰρ ἄνῆσαν ἀναῤῥήσεως ἄξιοι), ἀλλὰ τῷ μειζόνων ἐφίεσθαι· οἵτινες καὶ δόξαν σκαιότητος κερδαίνουσι, τῆς ὄντως εὐκλείας γυμνούμενοι. Χρὴ τοίνυν μάλιστα μὲν κρείττονας εἶναι κερδῶν· εἰ δὲ μή, ἀγαπᾷν τὸ μέτριον· ἵνα μὴ τὸ ὑπὲρ τὴν ἀξίαν ζητοῦντες, καὶ τοῦ κατ' ἀξίαν ἐκπέσωμεν, καὶ σκαιότητος δόξαν σχοίημεν, οὐκ ἐπὶ τῷ λαβεῖν τι ἀγαθὸν ἐγκωμιαζόμενοι, ἀλλ' ἐπὶ τῷ προσλαβεῖν τι κακὸν κωμῳδούμενοι.

temnerent (quovis enim præconio digni erant), sed ut acciperent majora, hac ratione sinistram adepti famam, et vera privati. **677** Decet itaque maxime lucri contemptores esse : sin secus, modum convenit servare, ne quid supra dignitatem affectantes et dignis excidamus et sinistram paremus opinionem ; non laudandi quod boni aliquid acceperimus, sed quod mali quid nacti simus, vituperandi.

ΤΙΑ'. — ΝΕΙΛΩ.

CCCXCI. — NILO.

In nimio dolore sæpe stupor et silentium obvenit. Obstupui, steteruntque comæ, et vox faucibus hæsit. Virg.

Οἱ μὲν μετρίως λυπούμενοι καὶ δακρύειν ἰσχύουσιν· οἱ δὲ καταπληττόμενοι ἐπὶ ταῖς μεγίσταις συμφοραῖς, οὐδὲ δακρύσαι δύνανται, τῇ τοῦ πάθους ὑπερβολῇ ἐαλωκότες, καὶ πᾶν ὅσον εἶχον ὑγρὸν τῇ τοῦ πυρὸς ἀκμῇ δαπανήσαντες. Ἀχανεῖς γοῦν καὶ κατηφεῖς εἰσι· μήτε λόγον, μήτε δάκρυα προϊέμενοι, τῇ δὲ τοῦ προσώπου στυγνότητι ἐμφαίνοντες τῆς ψυχῆς τὴν κατάστασιν. Τοῦτο δὲ αὐτοῖς τίκτει τὸ ἀδόκητον· τὸ γὰρ μὴ πάλαι μελετηθὲν τῷ λογισμῷ, τῷ ἀθρόως συμβαίνειν, ἐξίστησιν.

Qui moderate dolent, lacrymari etiam possunt : qui vero ingenti calamitate perculsi, ne lacrymari quidem queunt, doloris victi magnitudine, et quidquid inest humidi ignita vi consumente. Vultu itaque attoniti ac perculsi mœrore, neque vocem neque lacrymas emittunt, vultusque tristitia animi præ se ferunt tristitiam. Hoc illis inexspectatum subitumque gignit malum. Quod enim non prius animo provisum sit, hinc mentis copiosa nascitur alienatio.

ΤΙΒ'. — ΕΥΤΟΝΙΩ ΔΙΑΚΟΝΩ.

CCCXCII. — EUTONIO DIACONO.

Bonis propter improborum invidiam virtutis studium non deserendum. Virtus claros æternosque efficit.

Εἰ καὶ πολλὴ καὶ πολύπλοκος τῆς κακίας ἡ σκαιωρία, ἀλλὰ σὺ τῇ ἀρετῇ ταύτην καταγωνίζου. Ἐπειδὴ γὰρ ἀρετῆς μὲν λαμπρότερον οὐδὲν, κακίας δὲ οὐδὲν ζοφωδέστερον, πολλοὶ πολλάκις τῶν μήτε εἰπεῖν, μήτε πρᾶξαί τι λαμπρὸν βουλομένων, ὁρῶντες ἑαυτῶν μὲν τὴν αἰσχρότητα, τῶν δὲ φιλαρέτων τὴν λαμπρότητα· ἐκλεξάμενοί τινα τῶν μηδὲν ἀγαθὸν, μήτε εἰπεῖν, μήτε ποιῆσαι προῃρημένων, ἐπαίρουσι καὶ θαυμάζουσιν ὑπὲρ τὴν ἀξίαν, οἱ μὲν ἀμαθίᾳ, οἱ δὲ βασκανίᾳ τοῦτο δρῶντες, ἵνα τὴν δόξαν καθέλωσι τῶν φιλοπόνων, οὐχ ἵνα δείξωσι θαυμαστὸν ὄντα τὸν μὴ ὄντα τοιοῦτον. Ἀλλὰ τὸν σπουδαῖον μάλιστα μὲν καὶ ἐπαίνων εἶναι κρείττονα χρή· εἰ δὲ καὶ διῳήσῃ τούτων, συνορᾷν τὸν δόλον, ὅτι ἐκεῖνοι ἢ ἐκκόψαι αὐτῷ τὸν εἰς τὴν ἀρετὴν δρόμον βουλόμενοι, ἢ λυπῆσαι, ἐπῄνεσαν τὸν κακηγορίας ἄξιον. Καὶ τοὺς μὲν δι' ἀμαθίαν τοῦτο ποιοῦντας, συγγνώμης ἀξιοῦν· τοὺς δὲ διὰ φθόνον, θρηνεῖν· ὅτι τοσοῦτον ἀπέχουσι τοῦ πρᾶξαί τι καλὸν, ὅτι οὐδὲ πρὸς τὸν ἐνάρετον σπένδονται.

Etsi varius est atque implicitus improbitatis dolus, eum tu virtute expugna. Quoniam enim virtute nihil est illustrius, malitia vero nihil obscurius, multi sæpenumero qui neque dicere neque facere quidpiam præclari volunt, suam turpitudinem, et proborum claritudinem videntes, aliquem eligunt, nec benedicendi, nec faciendi cupidum, eumque supra merita extollunt et admirantur, hi quidem per imperitiam hoc facientes, illi vero per invidiam, ut gloriam acquirant laboris ac diligentiæ, non ut admiratione dignum esse ostendant eum, qui talis non sit : sed probum virtutisque studiosum laudibus potissimum esse majorem oportet, si vero laudes etiam sitiat, intueri dolum oportet, quod illi aut interrumpere cursum ad virtutem, aut dolorem inferre volentes vituperatione dignum laudarint. Et quidem qui per imperitiam id faciunt, venia dignos existimem ; qui vero per invidiam id committunt deplorare oportet, quod tantum a bene agendo abstinent, ut neque hi cum virtute prædito fœdus ineant.

ΤΙΓ'. — ΖΩΣΙΜΩ ΠΡΕΣΒΥΤΕΡΩ.

CCCXCIII. — ZOSIMO PRESBYTERO.

Simoniæ nundinationisque beneficiorum accusat, ut alias sæpe, lib. I, *et lib.* III, *et sup. epist.* 276.

Δῆλος μὲν ἦς ἐκπαλαι τὴν ἱερωσύνην οὐκ εὐαγῶς κτώμενος· οὐ γὰρ διὰ πολιτείας ἀρίστης κτήσασθαι ἐδικαίους, ἀλλὰ χρήμασιν ὠνήσασθαι ὠνειροπόλεις. Δῆλος δὲ εἰ καὶ νῦν τὴν ἐπιθυμίαν εἰς ἔργον ἀγαγὼν, καίτοι εἰς δυσμὰς ὢν λοιπὸν τοῦ βίου. Τίς οὖν σοι συγγνώμη λελείψεται, τῇ κακίᾳ συναποθανεῖν προῃρημένῳ;

Te sacerdotium injuste possidere notum pridem omnibus. Neque enim legitime jureque optimo adipisci studuisti, sed pecunia mercatus es cauponando. Manifestum est te nunc quoque ad opus cupiditatem referre, quamvis in occasu vitæ sis. Quis igitur veniæ relictus locus, cum ad vitæ exitum improbis venire moribus malueris?

ΤΙΔ'. — ΙΣΙΔΩΡΩ.

678. CCCXCIV. — ISIDORO EPISCOPO.

Prudens quis et fortis existimandus. (*Conf. epist.* 76.)

Εἰ θεασοίμην, ὦ ὁμώνυμε, ἄνδρα δεινὸν μὲν ἐκ τῶν φαινομένων τὸ εἰκὸς συμβαλεῖν (29), δεινότερον

Si perspexerim, o mihi cognominis Isidore, virum acutum ex rebus apparentibus quod verisimile est,

VARIÆ LECTIONES ET NOTÆ.

(29) Pro συμβαλεῖν ambo iidem codd. in contextu habent συλλαβεῖν, sed uterque lectionem editi exhibet in margine. Possin.

Digitized by Google

conjicere : acutiorem vero ex non apparentibus quod decet, colligere, ut in tentationibus ac periculis specimen aliquod prudentiæ præbeat sermonibus hortatoriis, et illa intrepido per se animo propulsare queat, hunc ego prudentissimum juxta ac fortissimum virum judicaverim.

δὲ ἐκ τῶν ἀφανῶν τὸ δέον συνιδεῖν· ἔν τε τοῖς πειρασμοῖς καὶ τοῖς κινδύνοις τὸ δῆγμα τῶν συόντων λόγοις τε παρακλητικοῖς, καὶ τῷ καθ' ἑαυτὸν ἀδεεῖ ξυνάμενον ἐκβαλεῖν· τοῦτον καὶ συνετώτατον, καὶ ἀνδρειότατον ὁρισαίμην.

CCCXCV. — APOLLONIO EPISCOPO.

ΤΚΕ'. — ΑΠΟΛΛΩΝΙΩ ΕΠΙΣΚΟΠΩ.

Quis vere rex, quis tyrannus. (*Conf. epist.* 253.)

Hunc ego solum regem ducemque dixero, qui sibi imperans subditum æquitate atque humanitate obstrinxerit. Cæteros vero tyrannos appellem, qui per nefas voluptates suas, alieno labore conquirunt.

Ἐκεῖνον μόνον ἔγωγε βασιλέα καὶ ἡγεμόνα εἶναι ἡγοῦμαι, ὃς ἄρξας ἑαυτοῦ τὸ ὑπήκοον ἐπιεικείᾳ καὶ φιλανθρωπίᾳ ἀνηρτήσατο. Τοὺς δὲ ἄλλους τυράννους κλητέον, τοὺς τοῖς ἑτέρων πόνοις ἑαυτοῖς ἡδονὰς ἀθεμίτους πορίζοντας.

CCCXCVI. — ATHANASIO DIACONO.

ΤΚϚ'. — ΑΘΑΝΑΣΙΩ ΔΙΑΚΟΝΩ.

Bene morienti gratulandum.

Si mortalium quisque morti vivit obnoxius, neque fieri possit quin id debitum persolvat, quod neque rex, neque tyrannus, neque dynasta, nec sapiens, nec denique justus possit rescindere (Dei enim sententia pronuntiata omnes complectitur), commiseratione planctuque digni quibus interitus præbet initium pœnarum ac suppliciorum. Illis contra gratulandum, meritoque sunt prædicandi, quorum in certamine excessus in coronarum desinunt principium ! Qui enim summæ beatitudinis terminum repererunt, de cæteris omnibus securi animam solum exornarunt : cujus etiam expiationem in se corpus agnoscit, quod ipsum in carnis resurrectione in melius commutatum, animæ denuo immortali societate junctum, vitam adipiscetur.

Εἰ πᾶς ἄνθρωπος θανάτου ὄφλημα τυγχάνει, καὶ ἀδύνατον τοῦτο [μὴ] ἀποδοθῆναι τὸ χρέος, ὃ μήτε βασιλεὺς, μήτε τύραννος, μήτε σατράπαι, μήτε σοφὸς, μήτε δίκαιοι ἀκυρῶσαι ἠδυνήθησαν (θεία γάρ ἐστιν ἀπόφασις ἡ τοῦτ' ἀπαιτοῦσα)· τοὺς μὲν ἄλλους ἐλεητέον καὶ θρηνητέον, οἷς ἡ τελευτὴ ἀρχὴ γίνεται τιμωριῶν· ἐκείνους δὲ εὐφημητέον καὶ ἀναχρυκτέον, ὧν ἡ τελευτὴ τῶν ἀγώνων εἰς τὴν ἀρχὴν τῶν στεφάνων περιέστη. Τῆς γὰρ ἄκρας μακαριότητος εὑρηκότες τὸν ὅρον, τῶν ἄλλων ἁπάντων ἀμελήσαντες, μόνην τὴν ψυχὴν ἐκόσμησαν, ἧς καὶ τὸ σῶμα ἀνάκτορον ἁγνείας ἀπέφηναν· ὃ καὶ ἐν τῇ ἀναστάσει ἐπὶ τὸ κρεῖττον μετακοσμηθὲν, τῇ ψυχῇ τὴν ἀθάνατον συζήσει ζωήν.

CCCXCVII. — ISCHYRIONI PRESBYTERO.

ΤΚΖ'. — ΙΣΧΥΡΙΩΝΙ ΠΡΕΣΒΥΤΕΡΩ.

Qui in vita fugiendi; qui sequendi.

Fugere, vir optime, improbos convenit, ac persequentes, nisi resipiscant, desinantque bonos persequi atque exsules. Quod si recusent, vitandi sunt.

Φεύγειν χρὴ, ὦ βέλτιστε, τοὺς πονηροὺς, καὶ διώκοντας· εἰ μὴ βούλοιντο γνωσιμαχεῖν· καὶ διώκειν τοὺς ἀγαθοὺς, καὶ φεύγοντας, εἰ καὶ μὴ βούλοιντο ἠρεμεῖν.

CCCXCVIII. — THEODOSIO PRESBYTERO.

ΤΚΗ'. — ΘΕΟΔΟΣΙΩ ΠΡΕΣΒΥΤΕΡΩ.

De bono patientiæ, in persecutione quid agendum. Præclarum esse injurias patienter ferre, at pro inimicis etiam orare longe maximum.

Probe novi ipsam injuriarum improbitatisque alienæ tolerantiam, et in hac vita gloriam parere, tum in altera decus esse allaturam maximum. Injurias vero facienti ac lædenti gratias agere ; rem esse quæ ad majorem vitæ perfectionem hominem impellat, ac præsertim si idipsum sæpius agens etiam honorem referat ac laudem. Non quod dicam aut velim nos laureas ex alienis debere malis contexere. Id enim permagnum est, et meis longe impar viribus per quas possim et injurias perpeti et contumelias, **679** nequeam tamen inde emendari, atque injurias inferenti gratias habere, et sincere orare pro calumniantibus nos : maximeque cum ne agnoscere quidem velint, quin etiam pro se orantes solent irridere. Hoc unum ex me discito. Id vero si fortiter feceris, laudem sane et animo applaudam generoso. Equidem (non enim meam occulere volo infirmitatem) non raro pro iis dep re-

Ὅτι μὲν τὸ τὰς ὕβρεις καὶ τὰς ἀδικίας φέρειν, κάνταῦθα μὲν φέρει δόξαν, κἀκεῖσε δὲ κλέος οἶσει μέγιστον, μάλα ἀκριβῶς οἶδα· ὅτι δὲ τὸ εἰδέναι χάριν τῷ ἀδικοῦντι καὶ ὑβρίζοντι, ὡς εἰς μείζονα φιλοσοφίαν συνελαύνοντι, καὶ μάλιστα ὅταν πολλάκις τοῦτο ποιῶν καὶ ἐναβρύνοιτο (ἵνα μὴ λέγω, ὅτι τοὺς ἡμετέρους στεφάνους βούλομαι ἐκ τῶν ἀλλοτρίων ὑφαίνεσθαι συμφορῶν), μέγιστόν ἐστι, καὶ τῆς ἐμῆς δυνάμεως μεῖζον, τῆς φέρειν μὲν τὸ ὑβρίζεσθαι καὶ ἀδικεῖσθαι δυναμένης, μηδέπω δὲ κατορθωσάσης τὸ χάριν εἰδέναι τοῖς ἀδικοῦσι, καὶ ὑπερεύχεσθαι καθαρῶς τῶν διὰ παντὸς ἐπηρεαζόντων· καὶ μάλιστα ὅταν μηδὲ μεταγινώσκειν ἐθέλωσιν, ἀλλὰ καὶ τοὺς ὑπὲρ αὐτῶν εὐχομένους γελῶσι. Τοῦτο παρ' ἐμοῦ μάνθανε· εἰ δὲ αὐτὸς καὶ τοῦτο κατώρθωσας, λίαν σε ἐπαινῶ καὶ κροτῶ τῆς μεγαλοψυχίας. Ἐγὼ γὰρ (οὐ γὰρ ἀποκρυψαίμην ἐμαυτοῦ τὸ ἐλάττωμα) πολλάκις καθαρῶς εὐξάμενος ὑπὲρ τῶν κατὰ περίστασίν

Digitized by Google

τινα γεγονότων ἐχθρῶν, θελήσας δὲ εὔξασθαι καὶ ὑπὲρ τῶν κατὰ μελέτην καὶ σπουδὴν, διὰ τοῦ στόματος μόνου τοῦτο πεποιηκὼς ἑάλων. Οὐ μὴν ἀπιστῶ τοῖς εἰς τοσοῦτον ἀρετῆς ἀναβεβηκόσιν, ἀλλὰ καὶ χαίρω καὶ συγχαίρω, καὶ εὐξαίμην εἰς τοῦτο φθάσαι τὸ μέτρον. Οὐ γὰρ πάθοιμι τὸ πολλῶν πάθος, οἳ ὅταν τινὸς μὴ δυνηθῶσιν ἐπιλαβέσθαι ἀρετῆς, ἄτοπόν τι δρῶσιν· ἢ γὰρ ἀπιστοῦσι τοῖς κατωρθωκόσιν, ἐξ ὧν πράττουσι καὶ περὶ τῶν ἄλλων ψηφιζόμενοι (πεφύκασι γὰρ σχεδὸν ἅπαντες ἐκ τῶν καθ' ἑαυτοὺς καὶ τὰς περὶ τῶν πέλας φέρειν ψήφους)· ἢ αἰσχυνόμενοι τὸ ἐπὶ μικροψυχίᾳ ἁλῶναι, ἐναβρύνονται ὡς κατορθώσαντες· καὶ μάλιστα ὅταν περὶ ἀδήλου πράγματος ὁ λόγος ᾖ· ἢ εἰς θεωρίας καταφεύγουσι, τὸ πρᾶγμα ἀποδιδράσκοντες, ἵνα δόξωσιν μὴ ἐκ ῥᾳθυμίας, ἀλλ' ἀπὸ κρίσεως ὑγιοῦς μὴ κατωρθωκέναι. Ὅπερ τινὰς οἶδα παθόντας ἐγὼ τῶν μὴ δυνηθέντων κατορθῶσαι, *μηδὲ δύο χιτῶνας*. Ἐχρῆν γὰρ μὴ εἰπεῖν, ὅτι θεωρηθῆναι χρὴ, ἀλλὰ θαυμάσαι μὲν τοὺς κατορθώσαντας, ὁμολογῆσαι δὲ τούτου τοῦ ἄθλου ἀπολελεῖφθαι. Ἐγὼ γὰρ ἐκείνους μάλιστα ἀνακηρύττω, τοὺς ἀνύσαντας ἅπερ τέως ἀνύσαι οὐκ ἠδυνήθην. Ego sane illos maxime prædico qui id præstant, quod ipse hactenus non potui præstare.

A catus, qui ex casu quodam, et in quibusdam rerum eventibus mihi adversati fuerunt, deinde vero idipsum pro iis facere tentans qui de industria et studio mihi adversarentur sane tum expertus sum, quod non nisi ore tenus prius id fecissem. Non enim iis diffido, qui ad summam pervenerunt virtutem, imo gaudeo atque adeo congratulor, optemque eo perfectionis pertingere. Neque enim multorum laboro invidiæ perturbatione, qui, cum alicujus assequi nequeant virtutem, absurdi quid committunt : vel enim invident recte agentibus, et ex iis quæ agunt de aliis judicant (solent enim plerique omnes ex suis ipsi rebus de aliis ferre judicium), vel dum pudet illos pusillanimitatis argui, gloriantur, quasi recte fecerint, maximeque cum de re B incerta verba fiunt. Vel denique ad contemplandum se recipiunt, actionem refugientes, ne videantur ex ignavia socordiaque sed sano judicio non recte fecisse. Quod multis scio usu venisse, iis præsertim qui illud servare non possint : *Duas tunicas nec habeatis*[1]. Non enim dicendum, contemplationi dandam operam, sed admirandum eos qui recte ac præclare quid agant : confitendum vero hoc se certamine vinci, et a tergo relinqui.

ΤΙΘ'. — ΜΑΡΤΥΡΙΩ.

CCCXCIX. — MARTYRIO.

Temporis ratio habenda. Occasio non negligenda. (Conf. epist. 266.)

Ἄριστόν ἐστιν, ὦ φίλτατε, τὸ χρόνου φείδεσθαι· οὐκ ἀνέχεται γὰρ αὖθις ἐπιφοιτᾶν, οὔτε μάτην ἀναλωθεὶς τὴν αὐτὴν ὑποστρέφειν ὁδόν· νόμῳ δὲ φύσεως ἀλύτῳ πειθόμενος (ὠκύτατος γάρ ἐστι καὶ ταχύτατος), θέει μὲν ἀκίχητον δρόμον, λαβέσθαι δὲ τοῖς βουλομένοις οὐ δίδωσιν. Οὐκοῦν χρὴ ἔχεσθαι αὐτοῦ πλησιάζοντος· οἷόν τε γὰρ τότε ἑλεῖν καὶ κατασχεῖν. Παριππεύσαντος γὰρ καὶ τὸ μεταδιώκειν ἀνήνυτον, καὶ τὸ καταλαμβάνειν ἀμήχανον.

Tempori parcere optimum est, amicissime : transitum enim non redit, nec male collocatum, eadem C revertitur via. Indissolubili enim naturæ legi obtemperans (velocissimum est enim ac celerrimum) incomprehensibilem currit cursum, ut capi a volente nequeat. Præsens itaque tempus arripiendum est, tunc enim apprehendere liceat ac potiri. Obequitans autem ac decurrens capi non potest ac comprehendi.

Υ'. — ΕΡΜΙΝΩ ΚΟΜΗΤΙ.

CD. — HERMINO COMITI.

In malos pastores pecus deglubentes, Ezech. xxxiv.

Μὴ θαύμαζε, εἰ τοσούτων ποιμένων λεγομένων τὰ πρόβατα λυκοῦται. Τοσοῦτον γὰρ ἀπέχουσί τινες ἐξ αὐτῶν (οὐ γὰρ πάντας αἰτιατέον) τοῦ φυλάττειν καὶ ἐπιμελεῖσθαι, ὅτι οὐδὲ κυνῶν μιμοῦνται τρόπον φυλαττόντων, ἀλλὰ τὰ λύκων δρῶσι, τὰ D πρόβατα κατεσθίοντες. Οὐ γὰρ ἤρκεσεν αὐτοῖς τὰ ἔρια καὶ τὸ γάλα, ἀλλὰ καὶ αὐτῶν ἥψαντο, οὐχὶ τῶν σωμάτων (ἧττον γὰρ ἂν ἦν), ἀλλὰ τῶν ψυχῶν· πᾶν μὲν λιπαρὸν κατασφάζοντες, πᾶν δὲ ἀσθενὲς παρορῶντες, πᾶν δὲ τετραυματισμένον οὐ θεραπεύοντες, τὸ δὲ ἰσχυρὸν καὶ μὴ εἶκον τῇ ἀσωτίᾳ αὐτῶν, δόλοις καὶ ἐπιβουλαῖς κατεργαζόμενοι.

Noli admirari tot tantorumque pastorum oves veluti a lupis dilaniari. Quidam enim (non enim accusandi omnes) tantum sibi temperant a custodia et cura, ut ne canum **680** quidem gregem servantium morem teneant, sed luporum partes agant. Neque enim satis ducunt lana et lacte uti, sed et ipsorum rapiunt, non tam corpora, quod minus foret, quam animas, pecus omne pingue absumentes, et infirmum quod est contemnentes, et quidquid læsum vulnere est non medicantes. Quidquid firmum est ac robustum, contra atque oportebat, ingluvie sua, fraudibus atque insidiis comprehendunt.

ΥΑ'. — ΔΩΡΟΘΕΩ ΛΑΜΠΡΟΤΑΤΩ.

CDI. — DOROTHEO VIRO CLARISS.

Veritatis vis, et candoris. Semper veritas vincit.

Ἡδέως ἂν καὶ ἀσμένως τὴν ἀλήθειαν τιμῶν ἡττῆσθαι δοκῶ, ἢ ψευδόμενος νικῶ. Ἀληθεύων μὲν γὰρ, κἂν ἡττῆσθαι δόξω, νενίκηκα· ἀπάτῃ δὲ κρατήσας, κἂν νενικηκέναι δόξω, ἥττημαι.

Lubens volensque veritatem honorans malim vinci, quam mendax vincere. Vera etenim narrans, etsi vinci videar, vinco. Dolo vero malo superans, tametsi vicisse videar, victus abeo.

[1] Matth. x, 10.

Digitized by Google

CDII. — MARTINIANO, ZOSIMO, MARONI ET EUSTATHIO.

ΥΒ'. — ΜΑΡΤΙΝΙΑΝΩ, ΖΩΣΙΜΩ, ΜΑΡΩΝΙ, ΕΥΣΤΑΘΙΩ.

Suadet a libidine temperare.

Quandoquidem ignorare vos simulatis improbitatem omni esse pœna molestiorem, æquum duxi id significare. Si autem vos ipsi decipitis illecebris voluptatum decepti, supplicia quæ sibi intemperantia atque libido arcessit, et semper pendit, perpendite.

Ἐπειδὴ ἀγνοεῖν προσποιεῖσθε, ὅτι ἡ κακία πάσης τιμωρίας ἐστὶ χαλεπωτέρα, εἰδικαίωσα αὐτὸ τοῦτο μηνῦσαι. Εἰ δὲ ἑαυτοὺς παραλογίζεσθε ὑπὸ τῶν ἡδονῶν κολακευόμενοι, ἐννοήσατε καὶ τὰς κολάσεις τὰς τῇ ἀκολασίᾳ χρεωστουμένας, καὶ πάντως ἀποδοθησομένας, καὶ ἀπόστητε ταύτης.

CDIII. — SERENO.

ΥΓ'. — ΣΕΡΗΝΩ.

Animi moderatio in prosperis adversisque servanda.

Nimium gaudium magis interdum quam luctus animo nocet. Nam spe attollens bona mente movet, naturæque inducit oblivia. Luctus vero hominis mentem demissiorem reddit, fastumque dejicit, suæque facit conditionis memorem : virtuti denique astringit. Gaudii itaque et luctus victorem decet esse : utrumque etiam moderate constanterque ferendum.

Ἔστιν ὅτε χαρὰ ἄμετρος λύπης πλέον τὴν ψυχὴν ἀδικεῖ. Ἡ μὲν γὰρ ἀναπτεροῖ καὶ παράφρονα αὐτὴν ἐργάζεται, καὶ τῆς φύσεως λήθην ἐμποιεῖ. Ἡ δὲ τὸ φρόνημα αὐτῆς ταπεινοῖ, καὶ τὸ φύσημα κενοῖ, καὶ τῆς φύσεως ὑπομιμνήσκει, καὶ εἰς ἀρετὴν συνελαύνει. Χρὴ οὖν καὶ χαρᾶς καὶ λύπης ὑψηλότερον εἶναι, καὶ μετρίως καὶ ἐπιστημόνως τὴν ἑκατέρας φέρειν ἔφοδον.

CDIV. — HIERACI DIACONO.

ΥΔ'. — ΙΕΡΑΚΙ ΔΙΑΚΟΝΩ

Hortatur ut, cum animi morbum cognoscat, ejus incumbat medelæ. (Conf. ad eumdem epist. 135, et lib. II, epist. 238.)

Plus potest ægrotantis propositum, si persuaserit sibi se ægrotare, etiam in morbo curatu facili, et sanitatem consequi studeat, quam medicus qui medicamenta plurima et exquisita habeat. Hæc enim si concurrant universa, nihilque prætermittat eorum quæ ad rectam pertinent valetudinem, nihil tale possunt efficere si æger proposito reluctetur, et omnibus adversetur. Si te igitur morbo nosti laborare, non quidem exiguum hoc (multi enim ægroti, ægrotare se nesciunt), da operam diligenter ut convalescas. Convalesces autem si coneris ipse efficere te sanum, et a Deo petieris tui cognitionem, quæ et naturam, et morborum mala omnia facile superat.

Καὶ τοῦ ἰατροῦ κἂν ἄριστος εἴη, καὶ τῶν βοηθημάτων κἂν πολλὰ εἴη καὶ πολυτελῆ, καὶ τοῦ νοσήματος κἂν εὔτατον εἴη, μᾶλλον δύναται ἡ τοῦ νοσοῦντος προαίρεσις, εἰ πείσειεν ἑαυτὸν ὅτι νοσεῖ, καὶ εἰς θεραπείαν ὁδεῦσαι σπουδάσειεν. Εἰ γὰρ καὶ ἐκεῖνα πάντα συνδράμοι, καὶ μηδὲν παραλειφθείη τῶν φερόντων εἰς ὑγείαν, οὐδὲν τοσοῦτον δυνήσονται τῆς προαιρέσεως τοῦ κάμνοντος ἀντιπραττούσης, καὶ τούτοις ἅπασι πολεμούσης. Εἰ τοίνυν καὶ αὐτὸς οἶδας ὅτι νοσεῖς (οὐ μικρὸν δὲ καὶ τοῦτο· πολλοὶ γὰρ νοσοῦντες οὐδὲ ὅτι νοσοῦσιν ἴσασι), σπούδασον καὶ ἰατρείας τυχεῖν. Τύχοις δὲ, εἰ σαυτὸν συντείνοις, καὶ τὴν θείαν καλέσειας ἐπὶ σαυτὸν ἐπιστήμην, τὴν καὶ φύσεως, καὶ νοσημάτων, καὶ πάσης περιγινομένην κακίας.

681 CDV. — PALLADIO DIACONO.

ΥΕ'. — ΠΑΛΛΑΔΙΩ ΔΙΑΚΟΝΩ.

Monet ut apud eum, cui maledixerat, apologia se purget et simile peccatum vitet in posterum. (Confer. epist. 54, 190 et 274.)

Etsi convicio a te affectus, uti clarum tibi est, succenseat, indicans quomodo brevi a te pœnas audaciæ exigat, tanquam ab injurio et improbo, credo tamen admonitioni ipsum pariturum, neque se vindicaturum. Quare si mortalium pœnam effugies (quod futurum spero), teipsum moderare, et a te pœnam reposce, metanœa te ipse flagellans. Defensione vero ac purgatione læso medicinam afferes, securumque reddes (dicens) fore ut tale quid posthac non committas. Si vero antiquum obtines, etsi hominum effugies supplicium, Dei manum non effugies.

Εἰ καὶ ὁ λοιδορηθεὶς παρὰ σοῦ δῆλός ἐστιν ἐξωργισμένος, ὑποφαίνων τε ὡς οὐκ εἰς μακρὰν (30) δίκας ἀπαιτήσει τοῦ τολμήματος, ἅτε ὑβριστὴν ὄντα καὶ ἀτάσθαλον· ἀλλὰ πιστεύω, ὡς εἴξει τῇ παραινέσει, καὶ οὐκ ἀμυνεῖται. Εἰ τοίνυν διαφύγοις νυνὶ τὴν παρὰ ἀνθρώποις δίκην (διαφεύξῃ δὲ, ὡς οἶμαι), σαυτὸν σωφρόνισον, καὶ τὴν δίκην ἀπαίτησον, τῇ μὲν μετανοίᾳ σαυτὸν μαστίζων, τῇ δὲ ἀπολογίᾳ τὸν ὑβρισθέντα θεραπεύων, καὶ τῷ μηκέτι τὰ αὐτὰ δρᾶν τὴν ἀσφάλειαν ποριζόμενος. Εἰ γὰρ τοῖς αὐτοῖς ἐπιμένοις, εἰ καὶ τὴν παρὰ ἀνθρώποις λάθοις δίκην, τὴν θείαν οὐ λήσεις.

VARIÆ LECTIONES ET NOTÆ.

(30) Pro μακρὰν iidem scribunt μικράν. Vers. 3, ἀπαιτήσει mutant in ἀποτίσει. Vers. 7, tollunt τὴν ante δίκην, et vers. antep. pro ἐπιμένοις habent ἐπιμείνοις.

Digitized by Google

ΥΣ'. — ΣΕΡΗΝΩ. A CDVI. — SERENO.

Virtutis laudatio et sequ. epist. et 414.

Εἰ τοῖς ἀρετὴν ἀσκοῦσι, μετὰ παῤῥησίας νῦν τε ἔξεστι βιῶσαι, καὶ μετὰ τὸν ἐνταῦθα βίον πρᾶστῆναι τῷ θείῳ δικαστηρίῳ· τοῖς δὲ κακίαν ἀσπαζομένοις αἰσχύνη νῦν τε ἕπεται, κἀκεῖσε ἕψεται· διατί μὴ ἐκείνην μὲν περιπτυσσόμεθα· ταύτην δὲ προτροπάδην φεύγομεν;

Si virtute præditis in hac vita confidenter liceat vivere, et a morte Dei tribunali assistere, improbos vero hic, et ibi dedecus sequatur, quid dubitamus virtutem quidem amplecti ac fovere, vitia vero concitato fugere cursu?

ΥΖ'. — ΗΡΩΝΙ ΜΟΝΑΖΟΝΤΙ. CDVII. — HERONI.

De eadem re.

Ἡ ἀρετὴ χρῆμά ἐστι καὶ ἀναγκαῖον, καὶ συμφέρον, καὶ καλὸν, καὶ πρέπον καὶ λυσιτελὲς, καὶ χρήσιμον. Ἀναγκαῖον μὲν, ὅτι τοῦ πολιτεύεσθαι ὀρθῶς οὐδὲν ἀναγκαιότερον· συμφέρον δὲ, ὅτι πρὸς μακαριότητα ἄγει· καλὸν δὲ, ὅτι σεμνύνει τοὺς ἔχοντας· πρέπον δὲ, ὅτι κοσμεῖ τοὺς κεκτημένους· λυσιτελὲς δὲ, ὅτι λύει τὸ τέλος αὐτῆς τοὺς πόνους· χρήσιμον δὲ, ὅτι οὐδὲν αὐτῆς χρησιμώτερον. Τίς τοιγαροῦν μὴ λίαν ἐξεστηκὼς οὐ λίαν αὐτῆς ἀνθέξεται;

Virtus res est necessaria, et commoda, pulchra ac decens, utilis atque fructuosa. Necessaria quidem, quia rempublicam recte gerenti nihil æque necessarium. Commoda, quia ad beatitudinem ducit sempiternam. Honesta, quia possidentes cohonestat. Decens, ornat enim se possidentes. Utilis, quia finis ejus dissolvit labores. Fructuosa denique, quia nihil ea magis frugiferum. Ecquis igitur, nisi valde amens, non eam vehementer complectatur?

ΥΗ'. — ΗΣΑΙΑ. CDVIII. — ISAIÆ.

Magni et angusti animi discrimen. (*Conf. epist.* 328 *et* 413, *item epist.* 152, *lib.* IV, *ad loca Prov.* XIV, *vers.* 19.)

Ὅτι μὲν τῇ μὲν μεγαλοψυχίᾳ καὶ ἡ μεγαλοπρέπεια ἕπεται, τῇ δὲ μικροψυχίᾳ ἡ μικροπρέπεια, μάλα ἀκριβῶς οἶμαί σε εἰδέναι. Ὅτι δὲ δικαίως τῇ μὲν πρέπει τὸ κλέος, τῇ δὲ τὸ δέος, καὶ τοῦτο οἶμαι εἰδέναι. Ἡ μὲν γὰρ καὶ τὴν εὐημερίαν μετρίως, καὶ τὴν δυσημερίαν ἀνδρείως φέρει. Ἡ δὲ πῇ μὲν ἄγαν ὑψηλὴ, πῇ δὲ λίαν ταπεινὴ γίνεται, τοῖς πράγμασι συμμεταβαλλομένη, καὶ εὐρίπου οὐδὲν διαφέρουσα.

Arbitror notum tibi esse ad animi magnitudinem, majestatem dignitatemque consequi: animum vero pusillum abjectionem demissionemque comitari. Illud quoque te non fugere arbitror, illam, decus gloriamque: hanc vero metum formidinemque decere. Illa quidem res secundas moderate; adversas vero fortiter tolerat. Hæc vero valde identidem elata, quandoque demissa nimis exsistit, rebus accommodata, ab Euripi fluminis cursu nihil differens.

ΥΘ'. — ΤΩ ΑΥΤΩ. CDIX. — EIDEM.

Monet ne propter divitias se extollat, aliosque iis carentes contemnat.

Εἰ περιῤῥέοντα τὸν ἄδικον πλοῦτον ὁρῶν, πλούσιον σαυτὸν ἠγῇ, καὶ τοὺς φιλοσοφοῦντας ταλανίζεις, ὡς χαλεπῷ θηρίῳ τῇ πενίᾳ μαχομένους· Ἴσθι ὅτι ὅπερ ἐκείνους ἠγῇ, τοῦτ' αὐτὸς πρὸς ἐκείνους ἐξεταζόμενος πάσχεις· εἰ δὲ οὐκ αἰσθάνῃ, θαυμαστὸν οὐδέν. Ἐπεὶ καὶ οἱ μανίᾳ λυττῶντες, δρῶντες ἃ δρῶσιν, ἑαυτοὺς μὲν μακαρίζουσι· τῶν δὲ ὄντως ὑγιαινόντων καταγελῶσιν.

Si cum effluere iniquas divitias, seu mammonam iniquitatis, consideres, divitem teipsum dixeris, ac perfectæ vacantes vitæ, **682** quasi moleste ad bestias depugnantes, cum paupertate, miseros appellaveris: scito quales illos æstimes, idem de te interrogatos sentire. Id vero si minus capias, nihil mirandum, quando et furore insanientes, ob ea quæ patrant, beatos se opiniantur: quique recte valent sapiuntque eos irrident.

ΥΙ'. — ΑΙΜΙΛΙΑΝΩ. CDX. — ÆMILIANO.

De gloriæ studio. (*Supr. epist.* 336, 337, 338 *et hac seq.*)

Διὰ τοῦτο δύσκολόν ἐστιν, ὡς ἔοικε, διαφυγεῖν τὸν τῆς φιλοδοξίας λογισμόν· ἐπειδήπερ ὃ ποιεῖ τις εἰς καθαίρεσιν αὐτοῦ, τοῦτο ἀρχὴ ἑτέρας φιλοδοξίας εὑρίσκεται. Τοὺς μὲν οὖν ἐρήμους ὄντας ἀγαθῶν πράξεων, δοξάζεσθαι δὲ ποθοῦντας, ὡς δυσιάτους μεταδιδακτέον, λέγοντας, ὅτι Ἀσκήσατε ἀρετὴν, καὶ τότε ζητεῖτε δόξαν. Τοὺς δὲ πράξεσι σεμνυνομένους, δόξης δὲ μὴ καταφρονοῦντας, ὡς εὐϊάτους θεραπευτέον, λέγοντας, ὅτι Μείζους ἔσονται καὶ λαμπρότεραι αἱ πράξεις, ὅταν καὶ τῆς δόξης καταφρονήσητε, τῆς καὶ πεσεῖν αἰσχυνομένης, καὶ στῆ-

Idcirco difficile est, ut apparet, effugere gloriæ studium, quod quidquid quis ad eam abolendam agit, hoc principium esse alterius gloriæ comperiatur. Qui igitur a bonis vacui sunt operibus, laudari vero expetunt, ut qui ægre curari queant, docendi sunt dicendo: virtutem exercete; tunc gloriam quærite. Qui vero gerunt res præclare agunt-que feliciter, gloriam nihilominus exoptant, utpote qui curari facile queant, medicina iis adhibenda est dicendo: majores fore illustrioresque res etiam gestas cum contempseritis gloriam, quæ et labi ve-

Digitized by Google

retur, et jam subsistere non potest, sed in nihilum facile concidet. Æquam quamdam gloriam quærite, sed nondum ipsi tempus quærendi commodum. Veniet dies, cum, ut sol, claresceet : at qui laudem omnem contemnendo superant, hi ut perfecti sunt prædicandi.

A ναι μὴ δυναμένης, ἀλλ' εἰς τὸ μὴ ὂν χωρῆσαι ῥᾳδίως ἐπισταμένης. Τὸ εἰκὸς μὲν γὰρ ζητεῖτε, ἀλλ' οὐδέπω τούτῳ καιρός. Ἥξει χρόνος ὅτε λάμψετε ὡς ἥλιος· τοὺς δὲ τῆς τῶν ἀνθρώπων ὑψηλοτέρους δόξης, ὡς φιλοσόφους ἀναῤῥητέον.

CDXI. — EIDEM.

ΥΙΑ'. — ΤΩ ΑΥΤΩ.

Rursum de gloria. Quod discrimen φιλοδοξίας καὶ κενοδοξίας. (*Confer. epist.* 337.)

Divinius quidpiam est recte agentem non quærere gloriam ab hominibus, si vero recte agens quærat laudem, ille φιλόδοξος *laudis*, non inanis gloriæ *cupidus* est dicendus. At qui bonis careat operibus, gloriam tamen sibi non debitam investigando consectetur, hic κενόδοξος, *inanis est gloriæ studiosus*, B quia grave nihil gessit, et persona indutus aliena se venditat atque ostentat. Neque enim gloria sola inanis est judicanda (si id enim concedatur, etiam laudis cupidus, inanis esset gloriæ studiosus appellandus), sed et proprio appelletur nomine, qui bonis sit vacuus operibus, fingens vero gloriam, hic merito κενόδοξος appelletur.

Θειότερον μὲν τὸ πράττοντά τι χρηστὸν, μὴ ζητεῖν τὴν ἐξ ἀνθρώπων δόξαν· εἰ δὲ πράττων τις ζητοίη, *φιλόδοξος* ὁ τοιοῦτός ἐστιν, οὐ *κενόδοξος*. Ὁ γὰρ κενὸς ὢν πράξεων ἀγαθῶν, δόξαν δὲ ζητῶν μὴ προσήκουσαν, *κενόδοξός ἐστιν*, ἐφ' οἷς μὴ πράττῃ σεμνυνόμενος, καὶ ἀλλοτρίῳ προσώπῳ ἐναβρυνόμενος. Οὐ γὰρ τὴν δόξαν κενὴν μόνον χρὴ νομίζειν (εἰ γὰρ τοῦτο δοθείη καὶ ὁ φιλόδοξος κενόδοξος εἰκότως ἂν κληθείη), ἀλλ' εἰ κυριολεκτοῖτο τοὔνομα, ὁ κενὸς ὢν ἔργων χρηστῶν, ἀντιποιούμενος δὲ δόξης, κενόδοξος ἂν δικαίως καλοῖτο.

CDXII.—PROSECHIO SCHOLASTICO, MEDICO.

ΥΙΒ'. — ΠΡΟΣΕΧΙΩ ΣΧΟΛΑΣΤΙΚΩ ΙΑΤΡΩ.

Animi perturbationes ex animo oriri.

Non, o bone vir, ut in pelago præter ferocientium ventorum incursum contingit, sic et in anima accidit, sed hic hominum contingit culpa ac negligentia. Si enim flammam non accendat, nisique C igni materiam præbeat, nisi formarum curiosus exsistat spectator, nisi alienam sollicitet pulchritudinem, nisi adeat spectacula, ubi voluptatum plurima sunt in theatris invitamenta, nisi denique deliciis carnem saginet, nisi intellectum velut aurigam vino deposuerit, seu demerserit, flamma sane non tolletur, **683** pyra non ardebit, fera vitiorum molestior non evadet, non denique perfringetur, velut ingenti turbinum impetu, mentis puritas.

Οὐχ ὥσπερ ἐν πελάγει, ὦ σοφὲ, παρὰ τὴν τῶν ἀγρίων ἀνέμων ἐμβολὴν γίνεται, οὕτω καὶ ἐν ψυχῇ, ἀλλὰ παρὰ τὴν αὐτῆς ῥᾳθυμίαν. Ἂν γὰρ μὴ αὐτὴ ἀνάψῃ τὴν φλόγα, ἂν μὴ τροφὴν δῷ τῷ πυρὶ, ἂν μὴ τὰς εὐμόρφους ὄψεις πολυπραγμονῇ, ἂν μὴ τὰ ἀλλότρια κάλλη περιεργάζηται, ἂν μὴ εἰς θέατρα ἔνθα τῶν ἡδονῶν αἱ νιφάδες ἀναβαίνῃ, ἂν μὴ πιαίνῃ τροφῇ τὴν σάρκα, ἂν μὴ καταποντίζῃ οἴνῳ τὸν ἡνιοχοῦντα λογισμὸν, οὐκ αἴρεται ἡ φλὸξ, οὐκ ἀνάπτεται ἡ πυρὰ, οὐ γίνεται ἀργαλεώτερον τὸ θηρίον, οὐ διακόπτεται καθάπερ ὑπὸ πνευμάτων ῥαγδαίων τῆς διανοίας ἡ καθαρότης.

CDXIII.—ZOSIMO, CHÆREMONI, ET MARONI.

ΥΙΓ'. — ΖΩΣΙΜΩ, ΧΑΙΡΗΜΟΝΙ, ΜΑΡΩΝΙ.

De vini usu disputatum. Ebrietatis mala. (*Confer. epist.* 45 *et* 73.)

Vitis, Græce ἡμερὶς, *mitis* dicta, quod vinum mitiores nos, si tempori ac moderate sumatur, reddat. Fidem enim amoremque mutuum hominibus D conciliat, lætitiæ etiam causa est, et mœrorem averruncat, ignaviam excitans, ac pellens. Ægris opem variis in morbis afferens, sanis vero valetudinem tuetur atque conservat. Si itaque quis illud : Ne quid nimis, et modus optimus, negligens in vino debacchetur, injurias vindicabit, et caput quidem temporaque conturbabit, robur exagitabit, corpusque adeo totum solvet ; manus pedesque vinciens, aliaque his magis etiam absurda, ne dictu quidem honesta afferet, atque amicis juxta et inimicis risum exhibebit.

Ἄμπελος ἡμερὶς λέγεται, παρὰ τὸ ἡμέρους ἡμᾶς (31) τὸν οἶνον, καιρίως καὶ μετρίως προσφερόμενον· πίστιν τε γὰρ ἀνθρώποις καὶ φιλίαν ὁμηρεύει, εὐφροσύνης τε αἴτιος, πένθους ἀλεξιφάρμακον, καὶ ῥᾳθυμίας ἀναιρετικὸν τυγχάνει· καὶ νοσοῦσι μὲν βοήθημα ἁπλοῦν (32), ποικίλων τε παθῶν παιώνιον· ὑγιαίνουσι δὲ ἔρεισμα, καὶ τῆς ὑγιείας τηρητικόν. Εἰ δέ τις τὸ, «μηδὲν ἄγαν,» καὶ τὸ, «Μέτρον ἄριστον,» ἀτιμάσας παροινήσειεν εἰς αὐτὸν, ἀμυνεῖται τὴν ὕβριν· καὶ κεφαλὴν μὲν καὶ κροτάφους σφακελίσει, τὴν δὲ ῥώμην ἀπελάσει, καὶ πᾶν τὸ σῶμα ἐκλύσει· χεῖρας δὲ καὶ πόδας δήσας (τὰ γὰρ ἄλλα τὰ τούτων ἀτοπώτερα, οὐδὲ λέγειν καλὸν), παραδώσει καὶ φίλοις καὶ ἐχθροῖς εἰς γέλωτα.

VARIÆ LECTIONES ET NOTÆ.

(31) Ἡμερὶς, ἄμπελος, ἀπὸ τοῦ ἐξημέρους ἡμᾶς. Hesychius, Homerus *Odyss.* E, vers. 60 ·

Ἡμερὶς ἠΰωσα, τεθήλει δὲ σταφυλῇσι.

Vitis pubescens florebat vero uvis. Schott.

(32) Post ἁπλοῦν codd. Vat. 650 et Alt. addunt μὲν et τὲ ante παθῶν mutant in δέ.

Digitized by Google

ΥΙΔ'. — ΛΕΟΝΤΙΩ.

CDXIV. — LEONTIO.

De virtutis utilitate. (Confer. epist. 406 et 407.)

Ἡ ἀρετὴ τοσοῦτον ἀπέχει τοῦ ἀπὸ τῶν μεταβολῶν ἐλέγχεσθαι, ὅτι καὶ αὐταῖς τὰς πρεπούσας ἐπιβάλλουσα ἡνίας εὐθύνει πρὸς τὸ δέον. Τῷ μὲν γὰρ πλούτῳ τὸ οἰκονομικὸν συγκιρνᾷ, τῇ δὲ δόξῃ τὴν μετριότητα· καὶ τῇ μὲν ἀρχῇ τὴν ἀτυφίαν. Τῇ δὲ πενίᾳ τὴν ἀνδρείαν. Εἰ τοίνυν καὶ τῶν πραγμάτων τοὺς νεωτερισμοὺς νικᾷ, καὶ ἀοίδιμον κάνταῦθα ἔχει κἀκεῖσε ἕξει τὸ κλέος, διατί μὴ ταύτην ἀσπαζόμεθα;

Virtus tantum abest ut tanquam rerum vicissitudinis sit causa judicanda, ut ipsis etiam convenientia imponens frena dirigat ad officium faciendum. Diviti enim familiæ regendæ normam temperat, gloriæ modum imponens, iis qui præsunt ac magistratui ne turgescat fastu; pauperi vero addit fortitudinem. Quare si rerum novarum studium superat, atque in hac celebrem habet, in alteraque vita gloriam consequetur, quidni hanc igitur amplectimur?

ΥΙΕ'. — ΑΡΠΟΚΡᾺ ΣΟΦΙΣΤΗ.

CDXV. — HARPOCRÆ RHETORI.

Hortatur ut amico mortuo, non mortua ponat monumenta, sed funebri eum ornet oratione. Epitaphii λόγοι duplici nomine habendi.

Τὰ μὲν ἐπὶ ταῖς ταφαῖς τοῖς ἀφιλοσόφοις καὶ ἀπειροκάλοις εἰωθότα πληροῦσθαι, ἄλλοις ἐατέον. Σὺ δὲ ταῖς ἐντελεστέραις εὐφημίαις περίστελλε τὸν μεταστάντα, καὶ τοῖς ἀσύλοις καὶ πρεπωδεστάτοις ἐνταφίοις κόσμει, τὴν τοῦ λόγου δωρούμενος χάριν· ἵνα κἀκεῖνον τιμήσῃς, καὶ τοὺς μεθ' ἡμᾶς εἰς ζῆλον ἀγάγῃς.

Aliis relinquenda sunt ea quæ sepulchris rudium hominum atque ineptorum imponi solent. Tu vero apprecationibus prosequere defunctum, et sepultura a præda immuni ac decentissima exorna, dicendi adhibens gratiam, ut et illum honores ad imitationemque posteros accendas.

ΥΙϚ'. — ΓΕΣΙΩ ΠΟΛΙΤΕΥΟΜΕΝΩ.

CDXVI. — GESIO REMP. ADMINISTRANTI.

Injuriam remittendam.

Εἰ καὶ νενικημένος ὑφ' ὧν πέπονθας, οὔπω νικῆσαι σαυτὸν ἰσχυσας εἰς τὸ μὴ ἀμύνασθαι, ἀλλὰ δίκας ἀπαιτῆσαι τὸν ὑβρίσαντα ὀνειροπολεῖς· μάλιστα μὲν ἀλλότριον τοῦτο Χριστιανοῦ. Εἰ δὲ τῷ νόμῳ ἐπερείδῃ, τέως ἔνδος· ἢ γὰρ ὁ χρόνος σε θεραπεύσει, ἢ ἐκεῖνος ἀπολογήσεται, εἴπερ τοσαύτη ἐστὶν ἡ ὀργή· καὶ μετὰ ταῦτα αὐτὸν ἀμύνασθαι δυνήσῃ, οὐδὲν ὑπὸ τοῦ χρόνου εἰς τὸ μὴ δοῦναι δίκην ἐκεῖνον παραβλαπτόμενος. Καὶ ταῦτα μὲν εἰς τοσοῦτον. Εἰπὲ δὲ τῷ σαυτοῦ φίλῳ· Ἐλθὲ ὡς ἡμᾶς, ἢ μεταδώσων ὧν ἔχεις, ἢ μεθέξων ὧν οὐκ ἔχεις. Σὺ μὲν γὰρ σοφίαν ἔχειν φῂς μεγαληγορεῖν οὐ παραιτουμένην, ἡμεῖς δέ φαμεν ἀλήθειαν ἁπλότητι καὶ αἰδοῖ κεκοσμημένην. Ἢ γὰρ κρείττοσιν εὑρεθεῖσι κατακολουθήσεις ἄσμενος, ἢ ἐπανήξεις οἴκαδε μηδὲν ζημιωθείς.

Si accepta victus injuria a te impetrare quin ulciscare non potes, sed lædentem punire animum induxeris tuum, maxime id est a Christiano homine alienum. Quod si legibus assidue decertes (vel enim tempus tibi medebitur, vel ipse se defendet, si tanta est ira) et postea ulcisci poteris, tempore ipsi non opitulante, quominus det tibi pœnas. 684 Et hæc quidem hactenus. Die amico tuo : Veni ad me, vel communicaturus quæ habes, vel recepturus quo cares. Tu sapientem esse prædicas qui magnifice se jactat, nec veniam poscat : nos vero veritatem simplicitate ac verecundia vestitam prædicamus. Aut enim meliora inventa sequere libens, vel redibis domum tuam nihil passus.

ΥΙΖ'. — ΖΩΣΙΜΩ ΠΡΕΣΒΥΤΕΡΩ.

CDXVII. — ZOSIMO PRESBYTERO.

Ut sit frugi hortatur, ut et tribus sequ. epist. et 511, 445, 562.

Εἰ μὲν μόνος σοι ὁ τῆς φιλοχρηματίας ἔρως καὶ ἐπῆλθε καὶ εἶλεν, οὐκ ἂν τοσαύτην παρὰ πάντων ὑπέμενες γραφήν. Ἐπειδὴ δὲ πάντες ἐν σοί, ὥς φασιν, ἀχορεύτως χορεύσαντες εἶλον, μείζονά σε πάσης τιμωρίας ἁμαρτάνειν ἡγούμενοι, ὡς ποικίλον καὶ πολύμορφον θηρίον ἐκτρέπονται. Εἰ τοίνυν βούλει τὴν τοιαύτην ἀποτρίψασθαι ἀδοξίαν, τὰ ἀνθρώποις φιλαρέτοις πρέπόντα καὶ λέγε καὶ πρᾶττε.

Nisi solum te pecuniarum cupiditas et cepisset et teneret, non adeo omnes tibi dicam scriberent. Cum vero, ut ferunt, omnes simul agmine facto te invaserint, rati supra omnem te pœnam delinquere, ut variam ac multiplicem feram ac belluam te detestantur, ac refugiunt. Hanc igitur si infamiam cupis evitare, dicito ac facito quæ hominem virtute præditum maxime decent.

ΥΙΗ'. — ΑΥΣΟΝΙΩ ΚΟΡΡΗΚΤΩΡΙ.

CDXVIII. — AUSONIO CORRECTORI.

Ἄγαμαί σου τὸ σοφὸν φρόνημα, ὅτι φόβον πραότητι μίξας οὐδένας ἔχεις, οὔτε τοὺς διὰ τὸν φόβον μισοῦντας, οὔτε τοὺς διὰ τὴν πραότητα πταίοντας· ἀλλά σοι τὴν ἀκόλουθον κρᾶσιν ἀντιδιδόασιν οἱ ἀρχόμενοι, σωφροσύνῃ φιλίαν συνάψαντες· ἐπειδὴ γὰρ τὰ πλεῖστον ἀπ' ἀλλήλων διεστῶτα ἐκέρασας, καὶ αὐτοὶ

Tuam quidem prudentem admiror sapientiam, quod metum benignitati admiscens, neminem habeas qui te vel ob metum oderit, vel ob clementiam offendat, sed subditi omnem moderationem consequentes, affectus rependant cum temperantia amicitiam conjungentes. Cum misceas concinneque

Digitized by Google

temperes, quæ inter se pugnant, etiam subjecti æqualia retribuunt, edocti nimirum abs te divisa quæ sunt conjungere.

τὴν ἴσην σοι ἀποδιδόασιν ἀμοιβήν, παρὰ σοῦ παιδευθέντες συνάπτειν τὰ κεχωρισμένα.

CDXIX. — EIDEM.

Recte facta tua (o gratissimum afflictis lumen, etsi injustis terrori sit) omni laude superiora sunt. Quanquam et orationem suam in tuis virtutibus in immensum excrescentibus superari exoptant.

ΥΙΘ'. — ΤΩ ΑΥΤΩ.

Τὰ μὲν σὰ κατορθώματα (ὦ πραότατον τοῖς ἀδικουμένοις ὄμμα, εἰ καὶ τοῖς ἀδικοῦσίν ἐστι φοβερώτατον) μείζονά ἐστι τῆς τῶν ἐγκωμιαζόντων αὐτὰ γλώττης. Εὔχονται δὲ πλέον ἡττᾶσθαι, τῆς σῆς ἐπὶ τὸ μεῖζον προκοπτούσης ἀρετῆς.

CDXX. — EIDEM.

Qui moderatos mores sine fastu præfert, alios vero de se superbe sentientes ad arrogantiamque flexos non increpat, hic virtutis maximum exhibet argumentum.

ΥΚ'. — ΤΩ ΑΥΤΩ.

Ὁ τοῖς μὲν τὰ ἤθη μετρίοις ἀτύφως προσφερόμενος, τοὺς δὲ ταῖς γνώμαις ἐξωγκωμένους, καὶ πρὸς ἀλαζονείαν βλέποντας μὴ καταπληττόμενος, οὗτος ἀρετῆς μέγιστον ἐκφέρει τεκμήριον.

CDXXI. — LUCÆ CLARISS. VIRO.

Παῤῥησίας, Libertatis loquendi et impudentiæ discrimen. (*Infr. epist.* 455.)

Neque loquendi libertas est impudentia, neque vicissim impudentia loquendi est libertas appellanda, sed lapsos ornate reprehendens libertas est dicendi. Qui vero recte agentes conviciantur, eorum impudentia est nominanda. Illa quidem medicinæ est instar; hæc vero pestilentiæ tui comparatur. Illa ægrotos sanos reddit, hæc vero valentes conturbat.

ΥΚΑ'. — ΛΟΥΚΑ ΛΑΜΠΡΟΤΑΤΩ.

Οὔτε τὴν παῤῥησίαν ἀναισχυντίαν κλητέον, οὔτε τὴν ἀναισχυντίαν παῤῥησίαν· ἀλλὰ τὴν μὲν τοὺς πταίοντας κοσμίως ἐλέγχουσαν, παῤῥησίαν· τὴν δὲ τοὺς κατορθοῦντας ὑβρίζουσαν, ἀναισχυντίαν. Ἡ μὲν γὰρ ἰατρικῇ ἔοικεν, ἡ δὲ λοιμικῇ καταστάσει, τῷ τὴν μὲν τοὺς ἀῤῥωστοῦντας ἰᾶσθαι, τὴν δὲ τοὺς ὑγιαίνοντας ταράττειν.

685 CDXXII. — CYRO PRESBYTERO.

De sacerdotii præstantia. (*Conf. epist.* 268, *et lib.* II, *epist.* 234; *et lib.* IV, *epist.* 219; *et Joan. Chrysost. Homiliis* περὶ ἱερωσύνης.

Etsi sacerdotium omni est regno sublimius, diguiusque, non propterea sacris initiatos decet in alios temere efferri, quin decentissimum aptissimumque hujus esse ornatum existimare, ipsam cum intellectu lenitatem: cogitantes eam esse omni honore atque humana dignitate potiorem: sed et alienæ utilitatis ergo per Dei gratiam hunc ordinem acceperunt, quem tyrannide contaminari iniquum sit.

ΥΚΒ'. — ΚΥΡΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Εἰ καὶ πάσης ἐστὶ βασιλείας ὑψηλοτέρα καὶ ἀξιωτέρα ἡ ἱερωσύνη, ἀλλὰ τοὺς ταύτην λαχόντας οὐ χρὴ κατὰ τῶν ἄλλων διὰ ταύτην ἐπαίρεσθαι, ἀλλὰ πρεπωδέστατον καὶ ἁρμοδιώτατον ταύτης κόσμον ἡγεῖσθαι τὴν μετὰ συνέσεως πραότητα· ἐννοοῦντας, ὅτι κρείττων μέν ἐστι πάσης ἀνθρωπίνης τιμῆς τε καὶ ἀξίας· διὰ δὲ τὴν θείαν χάριν τε καὶ διάταξιν ταύτην εἰλήφασι τῆς τῶν ἄλλων ὠφελείας ἕνεκεν, ἣν οὐκ ἂν εἶεν δίκαιοι τῇ τυραννίδι καθυβρίζειν.

CDXXIII. — HARPOCRÆ RHETORI.

Monet ut suo exemplo amicos reconciliare studeat.

Erant duo olim germani fratres, adeo inter se dissidentes, ut etiam inimicos ducerent eos, qui de reconciliatione verba facere auderent. Equidem (verum enim est dicendum) repulsam veritus, primum cum illis agere cunctabar. Tandem id degeneris esse animi ratus, meque ipse cohortatus id omnino fieri oportere, etsi a scopo aberrarem, opus aggressus sum, ratus quidem operosum id esse, sed tamen insperata etiam aggrediens, tam facile hoc postea comperi, ut nulla opus velitatione fuerit. Sat enim fuit me sermonem contulisse. Quare et tu negotii difficultate noli moveri, sed certamen suscipe: forte enim non magno opus fuerit labore.

ΥΚΓ'. — ΑΡΠΟΚΡΑ ΣΟΦΙΣΤΗ.

Ἦστην ποτὲ δύο ὁμογνησίω ἀδελφῷ, διενεχθέντε πρὸς ἑαυτὼ τοσοῦτον, ὡς καὶ τοὺς εἰς συμβατηρίους λόγους τολμῶντας ἐλθεῖν, ἐχθροὺς ἡγεῖσθαι. Ἐγὼ δὲ (δεῖ γὰρ τἀληθῆ λέγειν) τὴν ἀποτυχίαν δεδιὼς ὤκνουν αὐτῷ παρὰ τὴν πρώτην διαλεχθῆναι· ὕστερον δὲ ἀγεννὲς εἶναι τοῦτο νομίσας, καὶ παρακελευσάμενος ἐμαυτῷ τοῦτο πάντως χρῆναι γενέσθαι, κἂν διαμάρτοιμι τοῦ σκοποῦ, ἦκον ἐπὶ τοῦργον· νομίσας μὲν αὐτὸ ἐργῶδες εἶναι, ὅμως δὲ καὶ τοῖς ἀδοκήτοις ἐγχειρῶν. Τοσούτῳ δ' εὗρον ῥᾴδιον τοῦτο, ὡς μηδὲ ἀκροβολισμῶν δεηθῆναι. Ἤρκεσε γὰρ ἐκείνῳ τὸ ἐμὲ τῶν λόγων ἅψασθαι. Οὐκοῦν καὶ αὐτὸς μὴ τῇ τοῦ πράγματος δυσκολίᾳ πρόσεχε, ἀλλ' ἅψαι τῶν ἀθλων· ἴσως γὰρ οὐδὲ πόνων δεήσῃ.

CDXXIV. — EIDEM.

Spiritalis nostra militia, quomodo instituenda.

Quando exercitus prudentiæ, obedientiæ, ordinis et disciplinæ militaris est particeps, tunc hostibus gravis atque terrori est, et pro audacia quadam

ΥΚΔ'. — ΤΩ ΑΥΤΩ.

Ὅταν φάλαγξ σωφροσύνης, καὶ πειθοῦς, καὶ τάξεως, καὶ στρατηγικῆς ἀρετῆς μετέχῃ, τότε τοῖς ἐναντίοις δεινὴ καταφαίνεται, καὶ πρὸ τῆς εὐτολμίας

Digitized by Google

τὰ τρόπαια πολλάκις ἵστησι, τῶν ἐχθρῶν πρὸς ἱκεσίαν χωρούντων καὶ πρεσβευομένων. Ἐπεὶ τοίνυν ταῦτα παρ' ἡμῶν ὀφείλοντα γενέσθαι κατὰ τῶν δαιμόνων, οὐ γίνεται· οὐ γὰρ μετ' ἀλλήλων κατ' ἐκείνων, ἀλλὰ κατ' ἀλλήλων μετ' ἐκείνων στρατευόμεθα· οὐ θαυμαστὸν, εἰ ἡττώμεθα· ἀλλὰ μᾶλλον ἐκεῖνο, εἰ μηδὲν ποιοῦντες ὧν τοῖς νικῶσι προσῆκε, νικᾷν ἀξιοῦμεν.

A tropæa sæpe constituit, hostibus supplices tendentibus manus, legationemque mittentibus. Cum igitur hæc omnia a nobis debeant fieri adversus dæmones, nec fiant (non enim inter nos contra hos, sed in nos mutuo cum illis aciem instruimus), nihil mirandum si vincamur, sed illud potius, si nihil facientes eorum quæ vincentibus conveniunt, nos vincere par esse putemus.

ΥΚΕ'. — ΤΟΙΣ ΑΡΧΟΝΤΙΟΥ ΠΑΙΣΙΝ.

CDXXV. — PRÆFECTI LIBERIS.

De Eutonio diacono. Hortatur ad amicitiam et concordiam mutuam.

Ἔπεμψα τὸν πανάριστον Εὐτόνιον, λόγων συμβατηρίων ὑμῖν καθηγησόμενον. Αἰδέσθητε τοίνυν πρῶτον μὲν τὸ πρέπον, δεύτερον δὲ ἑαυτοὺς, τρίτον ἐμὲ, τὸν ἐν οἷς ἔξεστιν ἐπιτάττειν, συμβουλεύοντα· τέταρτον, τὸν καταδεξάμενον τοσοῦτον ὑπομεῖναι διὰ τὴν ὑμετέραν εἰρήνην κάματον. Καὶ πᾶσαν ἀπέχθειαν ἐξορίσαντες, ἄσμενοι τὴν πρὸς ἑαυτοὺς φιλίαν ἀσπάσασθε.

Optimum misi Eutonium, qui pacificos vobis sermones referat. Reveremini itaque primo decorum, deinde vos ipsos, tertio me, qui consilium do in iis quæ fieri oportet ; quarto eum, qui tantum pacis vestræ gratia laboris sumpsit, **686** omnique odio deposito, mutuam inter vos servate amicitiam.

ΥΚϚ'. — ΖΩΣΙΜΩ ΠΡΕΣΒΥΤΕΡΩ.

CDXXVI. — ZOSIMO PRESBYTERO.

In ejus vitia, qui temere ab Eusebio esset ordinatus. Mali ab Ecclesiæ communione separandi. (*Confer. epist.* 552.)

Εἰ καὶ ἐνταῦθα, ὦ πάντα μικρὰ πρὸς τὴν σὴν ἀναλγησίαν φθέγξασθαι, χῶρος εἰσδέχεται τοὺς οὐκ ἀπὸ τῶν αὐτῶν ἥκοντας, ἀλλ' ἐκεῖσε διάκρισις ἔσται ἀκριβής. Πρώην μὲν οὖν, ἡνίκα οἱ τῆς Ἐκκλησίας παιδευταὶ καὶ δι' ἀρίστην πολιτείαν τῷ θείῳ ἐλαμπρύνοντο Πνεύματι, κἀνταῦθα ἐχωρίζοντο οἱ πταίοντες· καὶ γνωσιμαχοῦντες, πάλιν κατηριθμοῦντο εἰς τὸν ἱερὸν τῆς Ἐκκλησίας σύλλογον. Νῦν δὲ (ἀλλ' οὐδὲν βούλομαι δυσχερὲς εἰπεῖν) πάντα ἀναίδην τολμᾶται, καὶ οὐδεὶς ὁ ἐπεξιών. Ἀλλὰ τοῖς μὲν φιλαρέτοις εἰσὶ βαρεῖς, τοῖς δὲ φιλαμαρτήμοσι προσηνεῖς. Τοὺς μὲν γὰρ ἀπονευρωτικῶς παρασκευάζουσι, τοὺς δὲ εἰς κακίαν μείζονα παιδοτριβοῦσι· μάλιστα ὅταν καὶ πλοῦτος αὐτοῖς περιῤῥέῃ. Μὴ τοίνυν, ἐπειδὴ καὶ Εὐσέβιος (ὁ οὐκ οἶδ' ὅπως σε χειροτονήσας, τῇ ἀρετῇ πολέμιος τυγχάνων) σὲ εἰς ἐσχάτην κακίαν ἐλάσαντα οὐκ ἀπελαύνει τοῦ πληρώματος τῆς Ἐκκλησίας, ἤδη νόμιζε κἀκεῖσε μηδὲν πείσεσθαι δεινόν. Τοσοῦτον γὰρ κἀκεῖνον καὶ σὲ μετελεύσεται ἡ δίκη, ὅσον ἐνταῦθα μακροθυμήσασα οὐδὲν ὤνησεν, ἀλλὰ καὶ βλασφημηθῆναι δι' ὑμᾶς κατεδέξατο.

Etsi in hac quidem vita parva omnia et exilia ad te passionibus carentem afferri locus patitur eos qui ab iisdem non veniunt locis ; in altera tamen futura est accurata disceptatio atque judicium. Nuper itaque cum Ecclesiæ doctores, quique in optima gubernandi ratione claruerunt, divino Spiritu ornati erant, atque huc accesserunt nunc peccantes, nunc denuo resipiscentes annumerentur cœtui sanctæ Ecclesiæ. Nunc vero, ne quid gravius dicam, quidvis audet impudens homo, et nemo redarguit illum, sed virtute præditis molestiam facessunt, peccantibus vero lenes contra ac blandi sunt. Illis torpedinem afferunt, hos ad majora etiam flagitia provocant, maxime vero cum pecuniis abundant. Ne igitur cum Eusebius etiam (qui nescio quomodo te in sacerdotem ordinando virtutis hostis effectus est) te ad extremum nequitiæ tendentem ab Ecclesiæ non repellit plenitudine, jam putes etiam ibi te grave nihil passurum. Tanto gravius enim te atque ipsum manet pœna, quantum hic nihil diutius dilata profuit, quin et a vobis blasphemiis est excepta.

ΥΚΖ'. — ΠΑΛΛΑΔΙΩ ΔΙΑΚΟΝΩ.

CDXXVII. — PALLADIO DIACONO.

Laborem quies comitatur.

Τὸν ὥσπερ σὺ ἄγευστον τῶν πόνων, οὐ δίκαιον λέγειν ἀναπαύλης δεῖσθαι. Δευτέρα γὰρ τῶν πόνων ἡ ἀνάπαυλα· χωρὶς δὲ ἐκείνων, τρυφὴ δικαίως ἂν καλοῖτο. Τοὺς μὲν γὰρ πόνων λήγοντας ἀναπαύεσθαι χρή· τοὺς δ' ὅλως ἀφεστηκότας τοῦ πονεῖν, ἀσώτους κλητέον καὶ ἀργούς. Ὥστε ἕως ἂν σὺ μὴ παραδέξαιο τοὺς ἱδρῶτας, ἀφεκτέον καὶ τοῦ τῆς ἀναπαύσεως ὀνόματος.

Laboris expertem, tuoque exemplo cessantem, quiete indigere, minime pronuntiandum. Quies enim laborem, non otium, sequitur : sine quo labore delicias potius otium appellaveris. Decet enim qui laborare desinunt, quiescere. Qui vero otio indulgent, temporis prodigos et ignavos merito nuncupes. Quamobrem tibi etiam, dum sudare recusas atque detrectas, a quietis est nomine abstinendum.

ΥΚΗ'. — ΑΥΣΟΝΙΩ ΚΟΡΡΗΚΤΩΡΙ.

CDXXVIII. — AUSONIO CORRECTORI.

Ignoscendum aliorum delictis. (*Supr. epist.* 416.)

Οἱ μὲν νόμοι τὸν εἰς σὲ παροινήσαντα συλλαβόντες παρέπεμψαν ὑπὸ τὰς σὰς χεῖρας δίκην ὑφέξοντα·

Leges eum qui te probris affecit, sub manus tuas deduxerunt pœnas daturum. At tu (es enim omni

Digitized by Google

injuria atque convicio superior, propterea et legitimo imperio miscuisti philosophiam) ipsum nonnihil admonendo venia dignatus meliorem reddideris. Punire cuivis promptum est : veniam autem dare atque ignoscere tui simillium est.

A σὺ δὲ (κρείττων γὰρ εἶ καὶ ὕβρεως καὶ λοιδορίας, διὸ καὶ φιλοσοφίαν τῇ νομίμῳ ἀρχῇ ἐκέρασας) μικρὰ νουθετήσας τοῦτον, τῷ συγγνώμης ἀξιῶσαι βελτίω κατάστησον· τὸ μὲν γὰρ κολάσαι προχείρως, καὶ τῶν τυχόντων ἐστί· τὸ δὲ συγγνώμην νεῖμαι, τῶν, οἵας αὐτὸς τυγχάνεις.

687 CDXXIX. — ESAIÆ. ΥΚΘ'. — ΗΣΑΙΑ.

Monet ut a peccatis, quorum veniam ante nactus fuerat, tandem desistat.

Videris jam edoctus, quod veniam continuo delictorum sis nactus, venia etiam indigna adhuc committere. Quare temperantiæ freno usus te ipse cohibeto, ne in præceps ruas, et remedium veniæ inutile efficias, ne ut dolore vacuum inscientemque mox divina Numinis comprehendat vindicta.

Ἔοικας ἐκ τοῦ συνεχῶς συγγνώμης ἐφ' οἷς πταίοις τυγχάνειν, καὶ εἰς τὸ συγγνώμης μεῖζονα ἁμαρτάνειν πεπαιδοτριβῆσθαι. Τῷ χαλινῷ τοίνυν τῆς ἐγκρατείας χρησάμενος, ἀνείργειν σαυτὸν πειρῶ τοῦ κατὰ κρημνῶν φέρεσθαι· καὶ τὸ τῆς συγγνώμης φάρμακον μὴ ἀχρεῖον κατασκεύαζε, ἵνα μὴ ὡς ἀγνώμονά σε καὶ ἀνάλγητον ἡ θεία λοιπὸν μετέλθοι δίκη.

CDXXX. — OPHELIO GRAMMATICO. B ΥΛ'. — ΩΦΕΛΙΩ ΓΡΑΜΜΑΤΙΚΩ.

Scire est rem per causas cognoscere. (Aristot. in Analyt.)

Maxima vis est scribendi, eruditionisque ætiologia, seu causæ redditio ac demonstratio. Nec enim ostendere satis est, quod res sit, sed et quare sit, si fieri possit, est demonstrandum. Est enim vere scire, rem per causas cognoscere.

Μεγίστης ἐστὶ συγγραφῆς καὶ διδασκαλίας ἀρετὴ, αἰτιολογία καὶ ἀπόδειξις. Οὐ γὰρ προσήκει μόνον διισχυρίζεσθαι, ὅτι τόδε ὄν (33) ἐστιν, ἀλλὰ καὶ διότι ἐστὶν, εἰ οἷόν τε, ἀποδεικνύναι. Τοῦτο γὰρ ἐστιν ἀληθῶς εἰδέναι, τὸ μετὰ αἰτίας εἰδέναι.

CDXXXI. — SERENO. ΥΛΑ'. — ΣΕΡΗΝΩ.

Rerum metuenda vicissitudo. (Vide epist. 495.)

Cave putes supra naturam, extraque mediocritatis terminos rebus secundis animo indulgendum, sed ubique humanam intuere sortem, vicissitudinemque conspice, quæ uno sæpe die res in contrarium vertere potest. Sic enim extra aleam eris et fortunas tuas in tuto collocabis. Si qua enim permutatio accidet, nihil eveniet tibi grave, quasi thesauros mente recondenti conditionis humanæ.

Μὴ πέρα (34) τῆς φύσεως, μηδ' ἔξω τοῦ μετρίου ἐμφορεῖσθαι τῆς εὐημερίας ἀξίου· ἀλλὰ πανταχῇ C τὸ ἀνθρώπινον σκόπει, καὶ πρὸς τὰς μεταβολὰς ὅρα, τὰς ἐν μιᾷ πολλάκις ἡμέρᾳ πρὸς τἀναντία τὰ πράγματα μεταστοιχειῶσαι δυναμένας. Οὕτως γὰρ καὶ ἀσπαστὸς ἔσῃ, καὶ τὴν εὐπραγίαν βεβαίαν ἕξεις. Εἰ δὲ καὶ συμβαίη μεταβολὴ, οὐδὲν ἀργαλέον πεῖσῃ, ἅτε προαποθέμενος σαυτῷ τῆς φιλανθρωπίας τοὺς θησαυρούς.

CDXXXII. — SERENO DIACONO. ΥΛΒ'. — ΣΕΡΗΝΩ ΔΙΑΚΟΝΩ.

Justitiæ esse proprium scelera punire.

Justitia injustis justam irrogat pœnam, redditque omnino, nisi injusta fiat justitia, cuncta juste administrans, et justitiæ omnem adhibens providentiam.

Τοῖς ἀδίκοις ἡ δίκη χρεωστεῖ τὴν δικαίαν τιμωρίαν, καὶ πάντως ἀποδώσει, εἴπερ μὴ μέλλοι ἄδικος εἶναι ἡ δίκη, ἡ πάντα δικαίως διέπουσα, καὶ τῆς δικαιοσύνης πολλὴν ποιουμένη πρόνοιαν.

CDXXXIII. — DIDYMO ET HERONI SACERDOTIBUS. ΥΛΓ'. — ΔΙΔΥΜΩ ΚΑΙ ΗΡΩΝΙ ΠΡΕΣΒΥΤΕΡΟΙΣ. D

« *Qui male agit odit lucem.* » (*Joan.* III, 20.) *Non mirum a malis oppugnari bonos.*

Quid mirum si improbi bonos oppugnent? Imo si secus fieret, sit admirandum. Etsi enim absurdum valde videatur, et neque verbo explicandum, nec re ipsa tolerandum fuerit, omnino tamen ex ratione fit. Tenebræ enim luci repugnant, et latrones, lucernas noctu exstinguentes, ad furandum se accingunt, rati suam vitam lumine redargui : quare id tollere omnino satagunt.

Οὐ χρὴ θαυμάζειν, εἰ οἱ πονηροὶ τοῖς ἀγαθοῖς ἐκπεπολέμωνται. « Τοὐναντίον γὰρ (35) ἦν θαυμαστὸν, εἰ μὴ οὕτως εἶχον· εἰ γὰρ καὶ λίαν ἄτοπον δοκεῖ, καὶ οὔτε λόγῳ ῥητὸν, οὔτε ἔργῳ φορητόν ἐστι τοῦτο, ἀλλ' ὅμως κατὰ λόγον γίνεται. Ἐναντιοῦται γὰρ τὸ σκότος φωτί· καὶ λῃσταὶ τοὺς λύχνους σβεννύντες ἐπὶ τὸ λῃστεύειν τρέπονται. Ἔλεγχον γὰρ ἡγούμενοι τοῦ σφῶν βίου τὸν ἐκείνων τρόπον, ἐκποδὼν αὐτὸν ποιῆσαι πραγματεύονται.

VARIÆ LECTIONES ET NOTÆ.

(33) Pro τὸ δὲ ὂν ambo codd. scribunt τὸ δέον. Possin. (34) Iidem, παρά. Id.

(35) Inter γὰρ et ἦν iidem cod. inserunt ἂν, et vers. 3, pro εἶχον scribunt ἔχειν. Id.

Digitized by Google

ΥΛΔ'. — ΘΕΩΝΙ.

CDXXXIV. — THEONI.

Παράδοξον quid.

Παράδοξόν ἐστιν, ὦ βέλτιστε, τὸ τῆς κρατούσης δόξης κρεῖττον, καὶ τῆς συνηθείας ἀλλότριον.

Id παράδοξον est (*inopinatum*), virorum optime, appellandum, quod omnem excedit opinionem, et ab usu est alienum.

ΥΛΕ'. — ΛΕΟΝΤΙῼ ΔΙΑΚΟΝῼ.

CDXXXV. — LEONTIO EPISCOPO.

Mali superbique sacerdotes coercendi.

Μηδὲν, ὦ ἄριστε, ἐπὶ τῆς σῆς ἀρετῆς ἄχαρι, μηδ' ἀπηχὲς, τό γε ἐπὶ σαυτῷ, συγχωρήσῃς γενέσθαι, ἀλλὰ καὶ τοῖς νεώτερά τινα εἰς τοὺς ἐκκλησιαστικοὺς θεσμοὺς βουλεύουσι, λέγε ὡς οἰμώξονται κἀνταῦθα κἀκεῖσε, εἰ μὴ τοῦ νεωτερισμοῦ λήξειαν. Ὥσπερ γὰρ σὺν ἀλογίᾳ ἤρθησαν, τόλμῃ ἀκρίτῳ μᾶλλον ἐπαρθέντες εἰς τὴν ἐπιχείρησιν, ἢ ἀξιώσεως δικαίᾳ κρίσει, οὕτω, κατὰ τὸ εἰκὸς, καὶ καθαιρεθήσονται πάλιν. Ἀσθενὲς γὰρ ἀεὶ τὸ παρ' ἄξιαν· καὶ τῶν κατὰ τόλμαν ἀλόγιστον ἐπαιρομένων οὐδὲν βέβαιον, ταχεῖαν δὲ ἔχει τὴν μεταβολὴν, εἰ μὴ σὺν ἀρετῇ γίγνοιτο.

Nihil, vir optime, virtuti tuæ ingratum aut absonum accidere permittas, verum iis qui innovare quid in ecclesiasticis student functionibus dicito, ploraturos, id est fore infelices in hac alteraque vita, nisi rebus studere novis desistant. Ut enim imprudentia elati, audacia temeraria magis quam justo opinionis judicio incitantur, ita probabile est iterum subvertendos. Infirmum est enim quidquid dignitatem superat, quæque indiscreta audacia elata sunt, instabilia, citoque immutantur, nisi a virtute proficiscantur.

ΥΛϚ'. — ΖΩΣΙΜῼ ΠΡΕΣΒΥΤΕΡῼ.

CDXXXVI. — ZOSIMO PRESBYTERO.

Iniqui arguit sacerdotii, ut et epist. sequ. et 440.

Δεινὸν μὲν καὶ τὸ τρυφῇ καὶ λαγνείᾳ ἐαλωκέναι ἄνθρωπον εἰς ἱερωσύνην ὅπως δήποτε δοκοῦντα τελεῖν. Τὸ δὲ πάντων σχετλιώτατον ἐκεῖνό ἐστιν, ὅτι τὰ τῶν ἀνιέρων καὶ ἐναγῶν πράττεις, τῆς δὲ ἀπὸ τοῦ δοκεῖν ἱερωσύνην κεκτῆσθαι ἀντιποιῇ δόξης.

Molestum sane deliciis ac libidini deditum hominem sacerdotem ordinari. Id vero maxime omnium deplorandum est, quod sacrilege impieque te geras. Fingis vero sacerdotium jure ut possidere videare.

ΥΛΖ'. — ΕΥΤΟΝΙῼ ΔΙΑΚΟΝῼ.

CDXXXVII. — EUTONIO DIACONO.

De Zosimi vitiis, pro quo orare monet. (Vide epist. 103.)

Σὺ μὲν εἰκότως θαυμάζεις, ὅπως ὁ ἄθλιος Ζώσιμος ἐκθύμως τῆς κακίας ἔχεται, καὶ δεσμὸς οὗτός ἐστιν ἀῤῥαγὴς, ὃν οὐκ ἂν διακόψας οἴχεται φερόμενος ἐπὶ τὰς ἀτόπους πράξεις. Ἕτεροι δὲ οὐ θαυμάζουσιν, ἀλλὰ καὶ εἰκότως τῇ ἐξ ἀρχῆς ἀναστροφῇ τὴν κακίαν ηὐξῆσθαι νομίζουσι. Τὸ μὲν γὰρ ἐκ δούλου πατρὸς πεφυτεῦσθαι, παραλιμπάνουσιν εἰκότως. Πολλοὶ γὰρ οἰκέται ἐλευθέρων εἶναι δοκούντων ἀμείνους εἰσὶ κατὰ τοὺς τρόπους· τὴν δὲ ἐξ ἐφήβου ἀγωγὴν κακίζουσιν, ὡς πάσης κακίας οὖσαν μεστήν· διὸ καὶ συνηνδρώθη αὐτῷ τῶν κακῶν ἡ διάθεσις, καὶ εἰς ἕξιν προῦβη ἡ πονηρία. Ἀφέμενος τοίνυν τοῦ θαυμάζειν, τὴν διὰ τῶν εὐαγῶν σαυτοῦ προσευχῶν αὐτῷ χάρισαι θεραπείαν· τάχα πως μεταγνοίη.

Recte equidem jureque optimo miraris, Zosimum illum nostrum prompte mala quæque patrare, ac vinculo veluti infracto colligatum in præceps ferri, absurda quæque committendo. At alii minime admirantur, credentes jam inde ab infantia perversos in dies mores accumulasse. Patre enim mancipio natum esse merito prætereunt. Servi enim multi liberis hominibus sæpe præstare moribus reperiuntur. Ejus vero ex ephebis excedentis educationem accusant, ut omnis generis refertam vitiis. Hinc et ad virilem usque ætatem comitata improbitas est, abiitque in habitum. Mirari itaque desine, si precibus pro eo ad Deum fusis placet illi gratificari; gratiam forte post est habiturus.

ΥΛΗ'. — ΝΕΙΛῼ.

CDXXXVIII. — NILO.

Moderate laudare oportet, nec extollere nimiis laudibus. (Conf. epist. 336, 337, 417 et 411.)

Εἰ καὶ οἱ φιλότιμοι δι' ἐπαίνων μάλιστα παραθήγονται (διψῶσι γὰρ ἐπαίνων μᾶλλον, ἢ ποτῶν), ἀλλὰ μετρίως χρὴ τούτους ποιεῖσθαι, καὶ μὴ ἄγαν ὑφαίνειν. Πολλοὶ γὰρ ἐκ τῆς ὑπερβολῆς τῶν ἐγκωμίων ἐκλυθέντες, ἐκλύουσι τὴν εἰς τοὺς πόνους παρασκευήν.

Πάντες, ὡς ἔπος εἰπεῖν, ἄνθρωποι ἐκ τῶν καθ' ἑαυτοὺς καὶ περὶ τῶν ἄλλων τὰς ψήφους ἐκφέρουσιν. Ὁ γοῦν δίκαιος δικαίους εἶναι πιστεύει πολλούς, καὶ ὁ σώφρων σώφρονας, καὶ ὁ λῃστὴς λῃστάς· καὶ ὁ ἀνδροφόνος ἀνδροφόνους. Μὴ τοίνυν θαύμαζε, εἰ καὶ Ζώσιμος, ὁ πάντας τοὺς ἐπὶ παρανομίαις βεβοημένους ἀποκρύψας, ἐκ τῶν καθ' ἑαυτὸν πάντας πονηροὺς εἶναι ψηφίζεται.

DXXXI. — ZOSIMO. ΦΛΑ'. — ΖΩΣΙΜΩ.

De eadem re.

Etsi prudentes ac moderati incurabili amentia laboranti insanire videantur, et desipere putes, qui tibi consilium dant, brevi tamen palinodiam canes, feresque in contrarium sententiam.

Εἰ καὶ ἀνηκέστῳ σοι μανίᾳ κεχειρωμένῳ μαίνεσθαί σοι δοκοῦσιν οἱ σωφρονοῦντες, καὶ παραπαίειν οἱ νουθετοῦντες· ἀλλ' εἰ ὀλίγον ἀνενέγκοις, παλινῳδίαν ᾄσεις, καὶ τὴν ἐναντίαν ψῆφον οἴσεις.

DXXXII. — EIDEM. ΦΛΒ'. — ΤΩ ΑΥΤΩ.

De Eusebio Pelusii episcopo, qui Zosimum ordinavit. Quis vere sacerdos. (*Supr. epist.* 426 *et* 481.)

Etsi et ipse, et qui te sacerdotem ordinavit, sive C imperandi studio, sive argenti ebrius cupiditate hic emit, ille vendidit nomen, ne rem ipsam dicam ; sed lege Scripturam, hæc te sacerdotem faciet. Si enim hujus Scripturæ parebis legibus, legitime suscipies, quod indebite suscepisti.

Εἰ καὶ αὐτὸς ὁ προπιών σοι τὴν ἱερωτύνην, ὁ μὲν ὑπὸ φιλαρχίας, ὁ δὲ ὑπὸ φιλαργυρίας μεθύων, ὁ μὲν ἐπώλησεν, ὁ δὲ ἠγόρασε τοὔνομα· οὐ γὰρ ἂν φαίην τὸ πρᾶγμα· ἀλλὰ δὸς σαυτὸν ταῖς ἱεραῖς Γραφαῖς, καί σε ποιήσουσιν ἱερέα. Ἐὰν γὰρ τοῖς νόμοις αὐτῶν πειθθείης, ὅπερ οὐ δεόντως ἐδέξω, δεόντως μεταχειρίσῃ.

DXXXIII. — AMMONIO LECTORI. ΦΛΓ'. — ΑΜΜΩΝΙΩ ΑΝΑΓΝΩΣΤΗ.

Præstat hic laborare, ut istic coroneris, quam nunc deliciari, et post æternum cruciari. « Regnum cælorum vim patitur. » (*Matth.* XI, 12.) *Ex Gentium scriptis id comprobat.* (*Inf. epist.* 546.)

Ob eam, quam ignoras, indignaris causam, cujus gratia gaudere potius oportuit. Quod enim fit negligenter, et otiose, non modo corona caret, sed et pœnam affert. Quod vero cum labore ac sudore D geritur, præmio est coronaque dignum. Igitur cedo, utris malis aggregari, iisne qui hic in deliciis vitam transigunt, in altero vero sæculo pœnas pendunt, an laborantibus in hac quidem vita, postea vero corona redimiendis? His, opinor, malis. Quare si hos imitaberis, laborem non fugies, sed et gloriam consequeris.

Λέληθας τούτων ἕνεκα δυσχεραίνων, ἐφ' οἷς ἥδεσθαι προσῆκον ἦν. Τὸ μὲν γὰρ ῥᾴθυμον, ἄπονον· καὶ οὐ μόνον ἀστεφάνωτον, ἀλλὰ καὶ κολάσεως πνεῖ. Τὸ δὲ μετὰ πόνων καὶ ἱδρώτων βιοῦν, ἀναῤῥήσεων καὶ στεφάνων αἴτιον. Τίσιν οὖν ἀσμένως καταριθμῇ, τοῖς τρυφῶσι μὲν ἐνταῦθα, κολασθησομένοις δὲ μετὰ ταῦτα · ἢ τοῖς ἀθλοῦσι μὲν τῇδε, ἐκεῖσε δὲ στεφθησομένοις ; Ἐγὼ μὲν οἶμαι τούτους. Εἰ δὲ καὶ αὐτὸς τούτους ζηλοῖς, μὴ φεῦγε τοὺς πόνους, ἀλλὰ τὴν εὔκλειαν δίωκε.

DXXXIV. — DIDYMO PRESBYTERO. ΦΓΑ'. — ΔΙΔΥΜΩ ΠΡΕΣΒΥΤΕΡΩ.

De Zosimi, opinor, desperata malitia. (*Supr. epist.* 510.)

Cave reprehendas eos, qui implacabilem illam feram concitato fugiunt cursu, quæ in pauperes misericordia dignos, immanis est, in turpibus vero impudentissima, quæ eos hostium in numero habet, qui non ex animi sui sententia, vicinos ac proximos, neque ex suo præscripto lædant.

Μὴ μέμφου τοὺς τὸ ἀμείλικτον ἐκεῖνο θηρίον προτροπάδην φεύγοντας, τὸ ἐν τοῖς ἐλεεινοῖς ὠμότατον, ἐν δὲ τοῖς αἰσχίστοις ἀναιδέστατον, τὸ ἐχθροὺς ἡγούμενον τοὺς μήτε κατὰ γνώμην βλάπτοντας τοὺς πέλας, μήτε ἐξ ἐπιτάγματος.

Digitized by Google

ΦΛΕ'. — ΟΥΑΛΕΝΤΙ. A DXXXV. — VALENTI.

De sacerdotio indigne. (*Vide epist.* 356 *et* 357.)

Τοὺς παρ' ἀξίαν τυχόντας ἱερατικῆς τιμῆς ὑπακούειν ἀνάγκη τοῖς οὐ δεόντως δεδωκόσι, κἂν εἰς αὐτὸ τὸ Θεῖον τὰ δρώμενα βλέπει· διὸ καὶ ἀλλήλοις τὴν ἄδικον ταύτην ἀντίδοσιν παρέχοντες, δύναμιν οὐ μικρὰν εἰς τὸ κατὰ τῶν εὖ βιούντων ὁπλίζεσθαι προσλαμβάνουσιν. Εἰ δέ τις ἢ τούτους, ἢ ἐκείνους αἰτιάσοιτο, παρακινῶσι τοῖς δρωμένοις καὶ εἰρωνείαν, ὃ τῶν δρωμένων ἀλγεινότερον, τῷ συγχωρεῖν γίγνεσθαι, ταῦτα βούλεσθαι τὸ Θεῖον καταψευδόμενοι.

Qui indigne sacerdotii sunt honore affecti, necesse est obediant ei qui non debite ordinavit, cum ad divinum numen ordinatio spectet : unde et mutuo injustam retributionem **714** præbentes, facultatem non modicam sibi vindicant, qua in bene viventes obarmentur. Si quis vero hos aut illos accuset, sacris rebus risum concitet, quod deterius est longe, quam male initiari permittere, quod est Deum velle fallere.

ΦΛΣ'. — ΑΘΑΝΑΣΙΩ ΠΡΕΣΒΥΤΕΡΩ. DXXXVI. — ATHANASIO PRESBYTERO.

De Zosimi amicitia noxia et suspecta.

Μῖσός σοι ἀνεφύη παρὰ πᾶσι διὰ τὴν ἀσέβειαν, τὴν Ζωσίμῳ φίλῳ τῷ σῷ τετολμημένην. Οἱ μὲν γὰρ B ἀφειδέστεροί φασι, μὴ ἄμοιρόν σε εἶναι τῆς δραματουργίας· οἱ δὲ ἐπιεικέστεροι, ἄμοιρον μὲν εἶναι, δυνάμενον δὲ κωλῦσαι, μὴ βεβουλῆσθαι· διὸ καὶ δίκαιος ἂν εἴης παρὰ πάντων ταῖς κατηγορίαις βάλλεσθαι. Οἱ δὲ βεβουλῆσθαι μὲν, μὴ δεδυνῆσθαι δέ. Ἀλλ' οὐδὲ οὗτοι τὴν ἀφιεῖσαν περὶ σοῦ φέρουσι ψῆφον, ἀλλὰ φράζουσιν· εἰ καὶ μὴ κεκοινώνηκε τοῦ σκέμματος, ὅτι τοιούτου ἀνδρὸς φίλος γεγένηται, μεμόλυται. Αὐτὸς οὖν δίκαιος εἶ βουλεύσασθαι, ὅπως ταύτην ἀποτρίψαιο τὴν ἀδοξίαν.

Odium erga te apud omnes recrudescit ob impietatem, quam Zosimus tibi charus patrare est ausus. Qui largius referunt, aiunt consortem te factionis esse : qui vero parcius, exsortem quidem te esse, prohibere tamen potuisse, sed noluisse. Quamobrem merito te ab omnibus accusandum videri aiunt. Alii etiam voluisse quidem te, at non potuisse ab injuria prohibere. Verum neque hi absolutionis de te sententiam ferunt, sed aiunt, etsi non communicaverit, quod tantus tamen amicus fuerit ipsius, contaminatus est; jure inducendus igitur es, ut illam ignominiam deleas.

ΦΛΖ'. — ΕΥΔΑΙΜΟΝΙ ΦΙΛΙΠΠΟΥ. DXXXVII. — EUDÆMONI PHILIPPI F.

Rerum cœlestium, quam terrestrium cura potior. (*Conf. epist.* 108.)

Ἐπειδὴ οὐκ ἐξ ἴσου τῶν διδασκάλων τὴν ἀκρόασιν ποιούμεθα, ἀλλὰ τοῖς μὲν ἐπὶ τὰ βιωτικὰ παρακαλοῦσι προσέχομεν τὸν νοῦν· τῶν δὲ ἐπὶ τὴν οὐράνιον φιλοσοφίαν καλούντων οὐδὲ τὴν φωνὴν ἀνεχόμεθα· διὰ τοῦτο τὰ μὲν ἔργα, τὰ δὲ ἡγούμεθα πάρεργα.

Cum non pari affectu docentis accipiamus vocem, C sed iis quæ ad sæcularia invitant, animum applicemus ; at qui ad cœlestem vocant philosophiam, eorum ne vocem quidem audire sustinemus : ideirco illa quidem utilia, hæc vero inutilia, et ab opere ducimus aliena.

ΦΛΗ'. — ΗΡΩΝΙ ΠΡΕΣΒΥΤΕΡΩ. DXXXVIII. — HERONI PRESBYTERO.

Laconismus laudatur. (*Confer. epist.* 121.)

Χρὴ κἂν τῷ λέγειν, κἂν τῷ γράφειν τιμᾶν τὸ μέτριον· καὶ μὴ ἔξω τῶν καιρῶν φέρεσθαι, εἰ μή γε ἡ τῶν ἀκροατῶν βραδυτὴς ἀναγκάσειεν ἄκοντα τὸν λέγοντα, καὶ ἐπὶ τὸ μακρηγορεῖν ἐκβιάζοιτο.

Cum in dicendo, tum in scribendo modus est adhibendus, nihilque immoderate dicendum, nisi forte auditorum tardum ingenium, etiam invitum dicere explanareque cogat copiosius.

ΦΛΘ'. — ΖΩΣΙΜΩ, ΜΑΡΩΝΙ ΚΑΙ ΧΑΙΡΗΜΟΝΙ. DXXXIX. — ZOSIMO, MARONI, ET CHÆREMONI.

Peccatoribus vere pœnitentibus ignoscit Deus.

Εἰ καὶ μέγιστα καὶ συγγνώμης μείζονα ἐπλημμελήσατε, ἀλλά γε συγγνώμης ταῦτα ἀξιώσει ὁ Κριτὴς, εἴγε εἰλικρινεῖ μετανοίᾳ θεραπεύσειε. D

Tametsi et gravia, et venia indigna commiseritis, judex tamen Deus ignoscet, si modo sincera accesserit pœnitentia.

ΦΜ'. — ΙΕΡΑΚΙ ΠΡΕΣΒΥΤΕΡΩ DXL. — HIERACI PRESBYTERO.

De meticulosis et infidis commilitonibus.

Οἱ πρὸ τῶν κινδύνων τῷ φόβῳ δεδουλωμένοι, καὶ μὴ ἐνεγκεῖν τὴν προσδοκίαν δυνηθέντες, πρὸ τῶν πραγμάτων τοῦ καιροῦ τὴν μεταβολὴν θεραπεύσαντες, πῶς οὐκ ἔμελλον αὐτοῖς τοῖς δεινοῖς ἐμβεβηκότες ἄνανδροι ὀφθήσεσθαι; Οὐκοῦν εἰ παρόντες οὐδὲν ἂν ὠνησαν τοὺς συναγωνιστὰς, ἀπόντες τὰ μέγιστα ὠφέλησαν, καὶ τὴν λύπην τὴν ἐκ τῆς προδοσίας ἠμαύρωσαν.

Qui in periculis adversisque rebus metu capti, timori subserviunt, neque mali impendentis metum ferre possunt, ante tempus rerum commutationem exoptantes, hi si in gravia mala inciderint, quidni effeminati mollesque habeantur? Igitur si præsentes nullum auxilium tulerunt allaborantibus, absentes maxime profuerunt, et dolorem proditionis dissiparunt.

Digitized by Google

715 DXLI. — ATHANASIO PRESBYTERO. A ΦΜΑ'. — ΑΘΑΝΑΣΙΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Philosophari quid.

Siquidem non videri philosophari, ut ais, optimam esse arbitraris philosophandi rationem, bene habet. Si vero principium ignaviæ, et commutationem institutæ vitæ imaginatus illud speciose jactasti, pessima es usus sententia. Recte enim vivere decet, non ad ostentationem et pompam. Si quis igitur ignaviæ convictus hoc idem dicere erubescens primum inde cœperit, ne philosophari videretur, postea desierit in eo, ut omnino non philosopharetur, meliorem is ostenderit eum, qui manifestare studuit, se philosophandi studium antea sectatum.

Εἰ μὲν τὸ μὴ δοκεῖν φιλοσοφεῖν, ὡς φῂς, φιλοσοφίαν ἀρίστην εἶναι νενόμικας, εὖ ἂν ἔχοι· εἰ δὲ ἀρχὴν ῥᾳθυμίας, καὶ μεταβολὴν πολιτείας φαντασθείς, τοῦτο κατεκομψεύσω, κακίστῃ γνώμῃ ἐχρήσω. Χρὴ μὲν γὰρ ὀρθῶς, καὶ μὴ πρὸς ἐπίδειξιν βιοῦν. Εἴ δέ τις ἀλοὺς ῥᾳθυμίᾳ, αὐτὸ τοῦτο ἐρυθριῶν εἰπεῖν, ἀπὸ τοῦ μὴ δόξαι φιλοσοφεῖν ἀρξάμενος, εἰς τὸ μηδόλως φιλοσοφεῖν τελευτήσειεν, ἀμείνονα ἐπιδείξειε τὸν αὐτὸ τοῦτο σπουδάσαντα ἐπιδεῖξαι, ὅτι φιλοσοφεῖν προῄρηται.

DXLII. — DANIELI PRESBYTERO. B ΦΜΒ'. — ΔΑΝΙΗΛ ΠΡΕΣΒΥΤΕΡΩ.

Gratia non corrumpenda, sed referenda tempore alieno.

Gratiam rependendo mutuum in rebus injustis vitiari minime convenit. Qui enim juste quidem adjutus, in injustis vero rebus auxilianti succurrit, injuste justam corrumpit gratiam. Mihique videtur, qui non ita rependit, benevolus esse. Qui enim justum adeptus auxilium est, juste par referre debet, ut gratiæ suæ servetur appellatio. Sed neque illi qui in licitis benefaciunt, in illicitis recte remunerationem petunt, neque ut ingrati reprehendendi, qui illicita non rependunt.

Οὐ χρὴ λυμαίνεσθαι τὰς χάριτας τῷ ἐν ἀδίκοις πράγμασιν ἀνταποδιδόναι τὰς ἀμοιβάς. Ὁ γὰρ δικαίως μὲν βοηθηθείς, ἐν ἀδίκοις δὲ πράγμασι τῷ βοηθήσαντι ἐπαμύνων, οὐ δικαίως δικαίαν χάριν διαφθείρει. Καί μοι δοκεῖ ὁ μὴ οὕτω ἀμειψάμενος εὐγνώμων εἶναι. Ὁ γὰρ δικαίας ἐπικουρίας τυχών, δικαίως καὶ τὴν ἀμοιβὴν ἀποδοῦναι ὀφείλει, ἵνα σωθείη τῆς χάριτος ἡ προσηγορία. Ἀλλὰ μηδὲ οἱ ἐν οἷς θέμις εὐεργετήσαντες, ἐν οἷς μὴ θέμις ἀπαιτείτωσαν τὰς ἀμοιβάς, μηδὲ ἀχαρίστους καλείτωσαν τοὺς ἐν οἷς μὴ ἔξεστι μὴ ἀμειψαμένους.

DXLIII. — PETRO REMP. GERENTI. ΦΜΓ'. — ΠΕΤΡΩ ΠΟΛΙΤΕΥΟΜΕΝΩ.

A legatione falso obita abstinere jubet, cujus Æschinem accusat Demosthenes orat. Περὶ παραπρεσβείας.

Missus es ad expediendum, non ad vendendum C commissa negotia, legationem obiturus non falsam: et emendaturus, non eversurus. Ne igitur falsæ obitæ legationis accuseris veni statim te defensurus, et ignominiam deleturus.

Ἐπέμφθης ἀνύσων οὐ προξενήσων τοῖς πέμψασι πράγματα· πρεσβεύσων, οὐ παραπρεσβεύσων· κατορθώσων, οὐ καταστρέψων. (57) Ἵνα οὖν μὴ παραπρεσβείας ὑποσταίης γραφήν, ἧκε τὴν ταχίστην ἀπολογησόμενος, καὶ τὴν ἀδοξίαν ἀποτριψόμενος.

DXLIV. — OPHELIO GRAMMATICO. ΦΜΔ'. — ΩΦΕΛΙΩ ΓΡΑΜΜΑΤΙΚΩ.

Quæ virtus Historiæ. (*Similis epist.* 430.)

Maxima, o amice, historiæ et contemplationis virtus est articulata causæ ratio, quodque argumenta ignorantibus explanat. Qua virtute si careat, demonstratione etiam carebit.

Μεγίστη, ὦ φίλος, ἱστορίας καὶ θεωρίας ἀρετή τε καὶ διάρθρωσις αἰτιολογία, καὶ τὸ τὰς ὑποθέσεις τοῖς ἀγνοοῦσιν ἀπογυμνοῦν. Εἰ δὲ ταύτης χῃρεύσειε τῆς ἀρετῆς, καὶ τῆς ἀποδείξεως ἔρημος εἴη.

DXLV. — MARONI. ΦΜΕ'. — ΜΑΡΩΝΙ.

Divitiæ non satiant. (*Conf. epist.* 488, 496 *et* 545, *et Theog. vers.* 153; *Solon. vers.* 99; *et Clem. Alexand. Strom. lib.* VI.

Disce non a me, sed ab ipsa rei natura, si infinitas quærendæ pecuniæ vias excogitaris, satietatem minime reperies. Non enim satietas cum divitiis convenit. Cum sufficientia vero rerumque paucarum indigentia facile conciliatur, convenit atque cohabitat. Desine itaque quæ comprehendi ac possideri nequeant consectari. **716** Consectando enim non comprehendas. Si vero non consecteris, non rogata ultro advenit, non requietem modo sed et lætitiam pariens.

Μὴ παρ' ἐμοῦ, ἀλλὰ παρ' αὐτῆς τῆς φύσεως τοῦ πράγματος μάνθανε, ὅτι κἂν μυρίους χρημάτων πόρους ἐπινοήσῃς, κόρον οὐχ εὑρήσεις· τοῖς μὲν γὰρ πόροις ὁ κόρος ἀκατάλλακτός ἐστι, τῇ δὲ αὐταρκείᾳ καὶ ὀλιγοδείᾳ, καὶ σπένδεται, καὶ συγχωρεύει, καὶ συνοικεῖ. Πέπαυσο τοίνυν ἀκίχητα διώκων. Διωκόμενος γὰρ οὐ καταλαμβάνεται, μὴ διωκόμενος δὲ αὐτεπάγγελτος ἐπιφοιτᾷ, οὐ μόνον ἀνάπαυσιν, ἀλλὰ καὶ εὐφροσύνην ᾠδίνων.

VARIÆ LECTIONES ET NOTÆ.

(57) Uterque cod. pro καταστρέψων legit καταστρέψομεν. Possin.

Digitized by Google

ΦΜΣ'. — ΑΣΚΛΗΠΙΩ ΣΟΦΙΣΤΗ. A DXLVI. — ASCLEPIO RHETORI.

Labore honos, et vita paratur æterna. (*Conf. epist.* 533.)

Θαυμάζω, πῶς Ὅμηρος μὲν καὶ Πίνδαρος ἀξιοῦσιν ἀλκίμους εἶναι τοὺς οὐ μέλλοντας λήσειν, εἴποτε ἐγένοντο. Θουκυδίδης δὲ σαφῶς ἱκετεύει, μὴ φεύγειν τοὺς πόνους, ἢ μηδὲ τὰς τιμὰς διώκειν· Σοφοκλῆς δὲ φάσκει· Πόνου τοι χωρὶς οὐδὲν εὐτυχεῖ (58)· διὰ πόνων τὴν τοῦ (59) βίου ἀείμνηστον δόξαν ὠνεῖσθαι τοὺς πειθομένους διδάσκοντες. Οἱ δὲ δόξης ἀμαράντου τυχεῖν γλιχόμενοι, καὶ βασιλείας οὐρανῶν ὀρεγόμενοι, οὐκ οἶδ' ὅπως νομίζουσι διὰ ῥᾳστώνης φιλεῖν τοῖς ἀνθρώποις τὰ χρηστὰ παραγίνεσθαι.

Miror equidem Homerum et Pindarum fortes existimasse eos, qui non latebunt, si unquam fuerint. Thucydides vero clare supplicat, labores non fugere, aut neque honores sectari. Sophocles vero ait, absque labore nihil recte fieri, docentes ab iis, quibus id persuaserunt, perpetuam vitæ gloriam laboribus comparari. Oratores etiam docent. At qui immarcessibilem appetunt gloriam, cœlestique inhiant regno, nescio quomodo putant ex facilitate animique laxatione, velle homines bona adipisci.

ΦΜΖ'. — ΤΩ ΑΥΤΩ. DXLVII. — EIDEM.

Orator non semper persuadet. (*Conf. epist.* 442, 521 *et* 568.)

Ἐπειδὴ οὐχ ὁ λέγων τοσοῦτον, εἰ καὶ πᾶσαν κινήσῃ δεινότητα καὶ τέχνην ῥητορικὴν, τεκταίνει τὴν πειθὼ, ὅσον ὁ ἀκούων· οὐ θέμις τὸν λέγοντα μὲν τὰ ἄριστα, μὴ πείθοντα δὲ, ψέγειν· ἀλλ' ἐκεῖνον τὸν τοῖς κρατίστοις πεισθῆναι μὴ ἐθελήσαντα. B

Quandoquidem orator, etsi eloquentiam omnem artemque rhetoricam concitet, non tantum persuadeat, quantum qui audit; non oportet dicentem quidem optima, non persuadentem tamen vituperare, sed illum qui optimis persuaderi non velit.

ΦΜΗ'. — ΤΩ ΑΥΤΩ. DXLVIII. — EIDEM.

Anima virtute munita, Deique freta auxilio, arcis instar est inexpugnabilis.

Ὥσπερ ἀκρόπολις ἀπορθήτοις τείχεσι πεπυργωμένη, καταγελᾷ τῶν πολιορκούντων αὐτὴν, οὕτω καὶ ψυχὴ, εἰ πάσαις ταῖς ἀρεταῖς ἑαυτὴν περιφράξειε, καὶ τῇ θείᾳ συμμαχίᾳ πυργώσειεν, εἰς αἰσχύνην καὶ γέλωτα παρασκευάζει τελευτῆσαι τοῖς πολιορκοῦσιν αὐτὴν τὰ μηχανήματα.

Ut arx inexpugnabilibus muris cincta se obsidentes irridet, ita et anima, omni virtutum cincta genere, Deique communita adjutorio, ruborem incutiet ridebitque eam oppugnantium conatus.

ΦΜΘ'. — ΗΣΑΙΑ. DXLIX. — ISAIÆ.

Dei longanimitas ad pœnitentiam invitat. (*Rom.* II, 4. *Sup. epist.* 526.)

Μὴ ἡ θεία μακροθυμία ἐπιτριβέτω σε εἰς κακίαν, ἀλλ' εἰς ἀρετὴν παρακαλείτω. Ἀτοπώτατον γὰρ τὸ διὰ τῶν ἀγαθῶν βλάπτεσθαι· ἀγαθὸν δὲ ἡ μακροθυμία ἔλεον μὲν τοῖς μετανοοῦσι, κρίσιν δὲ τοῖς ἀμετανοήτοις ὠδίνουσα. C

Cave ne Dei longanimitas ad malum te provocet, quin ad virtutem te potius invitet. Absurdissimum enim a re bona lædi. Bona autem Dei est patientia, ad misericordiam resipiscenti; ut contra judicium gignit non pœnitentibus.

ΦΝ'. — ΠΑΛΛΑΔΙΩ ΔΙΑΚΟΝΩ. DL. — PALLADIO DIACONO.

Summus morborum animi medicus Deus est.

Πυνθάνομαι, ὅτι τὸ νόσημα τῆς σῆς ψυχῆς ἀπὸ μικρῶν καὶ φαύλων ὁρμηθὲν κατὰ τῶν καιρίων ἐχώρησεν, ἰατρικῆς τέχνης κρεῖττον γενόμενον. Εἰ τοίνυν ταῦθ' οὕτως ἔχει, ἐπίτρεψον ἑαυτὸν τῇ ἐπιστημονικῇ καὶ θείᾳ χειρί· ἧ οὔτε νόσημα, οὔτε χρόνος, οὔτε φύσις ἐστὶν ἀντίπαλος, καὶ ῥᾳδίως εἰς ὑγίειαν ἀναστοιχειωθήσῃ. D

Audio animi tui morbum, e parvis malisque rebus ortum, temporis ductu auctum, omnem excedere medicorum industriam. Quod si verum est, curandum tibi ut sapientiæ Deique dexteræ te committas: sic neque morbi vis, neque tempus ac natura adversabitur, itaque facile pristinæ restitueris valetudini.

ΦΝΑ'. — ΘΕΟΦΑΝΙΩ. **717** DLI. — THEOPHANIO.

Animus a præsentium malorum sensu spe futuri boni abducendus est.

Τοῦ παραυτίκα δεινοῦ τὸν λογισμὸν θᾶττον, ὦ φίλε, ἀπαγαγὼν, ὅλος γενοῦ τῆς μελλούσης ἐλπίδος·

Rerum molestarum statim cogitationem deponens, o amice, spem concipe meliorem, cum et nos

VARIÆ LECTIONES ET NOTÆ.

(58) Sophoclis versus hic, in *Electra* est : *Sine labore magnum ac felix nihil.* Similis ejusdem tragici apud Stobæum extat.

Οὔ τι ποθ' ἥξει τῶν ἄκρων ἄνευ πόνου.

Phocylides idem prodit v. 153. Vide proverb. *Exercitatio omnia potest.* Locus Homeri supra excitatus est *Odyss.* xv, 397. Cicero ex Euripide, lib. II *De finibus*, « suavem esse laborum præteritorum memoriam » ait. Thucydidis autem verba legas lib. II in oral. Periclis ad Athenienses. SCHOTT.

(59) Codd. Vatic. 650 et Alt., τούτου. POSSIN.

Digitized by Google

rei gravioris fama allata, non parum dolentes nos- A ipsos excitaverimus.

ἐπειδὴ καὶ ἡμεῖς, ὅτε ἡ φήμη τὸ δεινὸν ἐπήγγειλεν (60), οὐ μικρῶς λυπηθέντες, ἀνενεγκεῖν ἑαυτοὺς πεπείκαμεν.

DLII. — ELIÆ DIACONO.

ΦΝΒ'. — ΗΛΙΑ ΔΙΑΚΟΝΩ.

Ignoscendum vel non petenti, cum pudore culpa ostenditur.

Etsi nihil mihi confessus es, ignoscere tamen debeo, sed delictum confitenti, et pudore culpam fatenti. Cave itaque ne mentem disturbet, quod tuam non exspectarim excusationem, quin potius ad mutuo nos amandos incitet. Tanti est enim apud me momenti pax, ut vel erubescenti se defendere, libens veniam dem atque ignoscam.

Εἰ καὶ μηδεμία σοι πρόσεστιν ὁμολογία, ἐμοὶ πρέπει συγγνώμην νεῖμαι τῷ, δι' ὧν αἰσχύνεται ἀπολογήσασθαι, πεπλημμεληκέναι ὁμολογοῦντι. Μὴ τοίνυν ἀπόνοιάν σοι τικτέτω τὸ, ἐμὲ μὴ ἀναμεμενηκέναι τὴν σὴν ἀπολογίαν, ἀλλὰ μᾶλλον εἰς ἀγάπην χειραγωγείτω. Ὅτι τοσαύτη μοι πρὸς εἰρήνην βλέπουσα πρόσεστι ῥοπή, ὡς καὶ τοῖς ἐρυθριῶσιν ἀπολογήσασθαι συγγνώμην νέμειν.

DLIII. — ALYPIO.

ΦΝΓ'. — ΑΛΥΠΙΩ.

Mens quam lingua potius excolenda. (*Sup. epist.* 475.)

Equidem familiares meos, mentem prius quam B linguam excolendam doceo. Quod si utrumque obveniat, et aliquos id offendat, veritas cum libertate pronuntiabitur. Ut statuas, obeo, cunctisque me efferens ostento, me tales nactum amicos.

Ἐγὼ τῆς γνώμης πρὸ τῆς γλώττης ἀξιῶ πεπαιδεῦσθαι τοὺς ἐμοὶ πλησιάζοντας· εἰ δὲ καὶ ἄμφω ἔχοιεν, καὶ λυπεῖ τινας, τἀληθὲς μετὰ παῤῥησίας λελέξεται. Ὥσπερ ἀγάλματα περιέπω, καὶ πᾶσιν ἐπιδείκνυμι μέγα φρονῶν ἐπὶ τῷ τοιούτους ἔχειν φίλους.

DLIV. — PETRO SCHOLASTICO.

ΦΝΔ'. — ΠΕΤΡΩ ΣΧΟΛΑΣΤΙΚΩ.

Qui vere statuant tropæa. (*Supr. epist.* 19 *et* 167.)

Qui rectum de rebus servant judicium, ignavia victi, forte etiam expugnabunt, et sapientes evadent, et de ipsa etiam ignavia statuent tropæa. Qui vero id ignorant, se victos esse, ecquando victoriam consequentur?

Οἱ μὲν τὴν τῶν πραγμάτων κρίσιν ἔχοντες ὀρθὴν, ὑπὸ ῥᾳθυμίας δὲ καταπαλαιόμενοι, ἴσως καὶ ἀναμαχέσονται, καὶ στήσουσι κατ' αὐτῆς τρόπαια· οἱ δὲ μηδ' αὐτὸ τοῦτο εἰδότες, ὅτι ἡττῶνται, πότε νίκης ἀντιποιήσονται;

DLV. — PETRO LECTORI.

ΦΝΕ'. — ΠΕΤΡΩ ΑΝΑΓΝΩΣΤΗ.

Virtutis venustas; peccati fœditas.

Cum res sit gravis, et invicta animi pulchritudo, C quando cum virtutum æquabilitate ac decoro illustratur : fœda sit contra, atque instar feræ vitæ turpitudo, si improbitatis ejus dedecus ac turpitudo exprimatur, velut in tabula aut pictura : demus operam ut illud possideamus, hoc vero deleamus.

Ἐπειδὴ δεινὸν μὲν καὶ ἀμήχανον τῆς ψυχῆς ἐστι κάλλος, ὅταν τῇ συμμετρίᾳ τῶν ἀρετῶν λαμπρύνηται· ἀργαλέον δὲ καὶ θηριόμορφον γίγνεται αὐτῆς τὸ εἶδος, ὅταν τὸ τῆς κακίας αἶσχος ἀπομάττηται· σπουδάσωμεν ἐκεῖνο μὲν κτήσασθαι, τοῦτο δὲ ἀποτρίψασθαι.

DLVI. — APOLLONIO.

ΦΝϚ'. — ΑΠΟΛΛΩΝΙΩ.

Citius alii, alii lentius curantur.

Scio citius offensam quosdam, serius alios remissam, signum statuere mentis nil sibi consciæ. Ut enim quisque affectus est, sic et faciendum existimat. Qui enim fortiores ac generosiores sunt, promptius virtutis suæ præbent argumentum, non tam considerantes res ipsas, sed præceptas ratas habentes opiniones. Si dixeris: **718** Ecquid igitur D facto est opus? dicam : cum sit omni ratione medendum, melius est cito fieri. Sin secus, etiam lentius ac serius. Neque enim hominis est furore ac rabie perpetuo agitari.

Οἶδα μὲν, ὅτι τινὲς μὲν τὸ ταχέως, τινὲς δὲ τὸ βραδέως θεραπεύεσθαι ἐπὶ ταῖς ὕβρεσι, σύμβολον ποιοῦνται τοῦ μηδὲν ἑαυτοῖς συνειδέναι τῶν εἰρημένων. Ὅπως γὰρ ἂν ἕκαστοι διακέωνται, τοῦτ' οἴονται χρῆναι ποιεῖν. Οἱ μὲν γὰρ ἀνδρειότεροι καὶ γενναιότεροι τὸ ταχέως ἐνδιδόναι τεκμήριον ποιοῦνται ἀρετῆς, οὐ τὰ πράγματα σκοποῦντες, ἀλλὰ τὰς οἰκείας προλήψεις κυροῦντες. Εἰ δὲ ἔροιο, Τί χρὴ ποιεῖν; φαίην, ὅτι ἐπειδὴ παντὶ τρόπῳ χρὴ θεραπεύεσθαι, ἄμεινον μὲν ταχέως· εἰ δὲ μὴ (61), κἂν βραδέως· τὸ γὰρ ἀθάνατον λυττᾷν οὐκ ἀνθρώπινον.

DLVII. — ISIDORO EPISCOPO.

ΦΝΖ'. — ΙΣΙΔΩΡΩ ΕΠΙΣΚΟΠΩ.

Hortatur ad constantiam in bono, ne famam bonam perdat.

Fama undique divulgata percrebuit fortiter a te

Διήκει μὲν καὶ διαφοιτᾷ πανταχοῦ λόγος, τὰς σὰς

VARIÆ LECTIONES ET NOTÆ.

(60) Pro ἐπήγγ. ambo codd. scribunt ἀπήγγειλεν.

(61) Μὴ ante κἂν omittitur a duobus codd. qui et vers. pro ἀθάνατον scribunt ἀθάνατα.

Digitized by Google

ἀριστείας εὐαγγελιζόμενος· ὃν δίκαιος ἂν εἴης νεμρῶν τοῖς ὀσημέραι κατορθώμασι φιλοφρονεῖν γὰρ εἴωθε τῶν ὕστερον ῥᾳθυμούντων τὸ κλέος.

A gesta nuntians; quam vires in dies capere æquum est recte ac præclare factis. Solet enim diffluere atque concidere decus eorum qui postea se dedunt otio atque ignaviæ.

ΦΝΗ'. — ΩΦΕΛΙΩ ΓΡΑΜΜΑΤΙΚΩ.

DLVIII. — OPHELIO GRAMMATICO.

Philosophia ut definienda. (*Plutarch. De placitis philos. lib.* I.)

Οἱ μὲν ἄλλοι φιλόσοφοι τέχνην τεχνῶν, καὶ ἐπιστήμην ἐπιστημῶν ὡρίσαντο εἶναι τὴν φιλοσοφίαν. Πυθαγόρας δὲ, ζῆλον σοφίας. Πλάτων δὲ, κτῆσιν ἐπιστημῶν, Χρύσιππος δὲ, ἐπιτήδευσιν λόγου ὀρθότητος. Καὶ αὐτῶν οὖν τῶν δοκούντων ἄκρων εἶναι (62) ὁμοίως ὁριζομένων, ἡμεῖς ἀληθῆ φιλοσοφίαν ὁριζόμεθα, τὴν μηδὲν τῶν ἡκόντων εἰς εὐσέβειαν καὶ ἀρετὴν παρορῶσαν.

Varii philosophi artem artium, scientiamque scientiarum philosophiam definierunt. Pythagoras quidem sapientiæ studium dixit, indeque philosophum nominari. Plato scientiarum possessionem, Chrysippus, industriam seu artificium rectæ rationis esse voluit. Cum hi non eodem definiant modo, recte nos veram definiamus philosophiam, quæ nihil negligat eorum, quæ ad virtutem ducunt.

B

ΦΝΘ'. — ΕΥΤΟΝΙΩ ΔΙΑΚΟΝΩ.

DLIX. — EUTONIO DIACONO.

Invidiæ cedendum. Invidus bonis alienis acessit; et virtutis est argumentum invidia laborare.

Εἰ καὶ ἦλθεν ἐπὶ σὲ ὁ δὴ καὶ πάντων σχεδὸν τῶν εὐδοκίμων ἁψάμενος φθόνος, παρὰ τῶν οἰκείας τιθεμένων συμφορὰς τὰς ἑτέρων ἀρετὰς, μᾶλλον δὲ πλέον ἀχθομένων τοῖς ἑτέρων ἀγαθοῖς, ἢ τοῖς ἑαυτῶν κακοῖς, μὴ ταράττου· ἀλλ' αὐτὸ τοῦτο μάλιστα ἡγησάμενος ἀρετῆς εἶναι τεκμήριον, τῇ σαυτοῦ καλοκἀγαθίᾳ προστίθει. Οὕτω γὰρ σὺ μὲν ἀοίδιμος εἶῃς, ἐκεῖνοι δὲ δίκας εἰσπραχθήσονται, ὧν μείζους οὐκ ἂν δυνηθεῖεν δοῦναι.

Etsi te quoque invidia, quæ bonos plerumque persequitur, comitatur, quod vitium aliorum virtutes sua esse ducit incommoda, vel potius aliorum gravatur bonis, quam propriis malis, tu noli turbari: sed potius illud virtutis certum esse signum existimans, tuam accendat probitatem. Sic enim fiet ut celebreris, illi contra pœnas dent, nec queant majores suscipere.

ΦΞ'. — ΠΕΤΡΩ.

DLX. — PETRO.

Quæ certa amicitiæ regula.

Ἐγὼ κανόνα φιλίας εὐθύτατον ἡγοῦμαι τὸν ἀπροφασίστως μὲν τοῖς ἀδελφοῖς συμπνέοντα, μήτε δὲ κολακείᾳ τὰς φιλίας προσαγόμενον, μήτε λάθρα μεταχειριζόμενον τὰς ἔχθρας· ἀλλὰ πρὸς ἅπαντα τὴν ψυχὴν γυμνὸν, ἁπλοῦν μὲν τυγχάνοντα τὴν γνώμην, ἁπλοῦν δὲ τὴν γλῶτταν, ἁπλούστερον δὲ ἔτι μᾶλλον τὸν βίον.

Illum ego virum rectissimam esse regulam amicitiæ duco, qui sine exceptione fratribus consentit, neque assentatione init amicitiam, neque clandestina fovet odia simultatesque, sed ad omnia puram animam, simplicemque exhibet mentem, simplicem etiam linguam; at vero his omnibus simpliciorem vitam, moresque.

C

ΦΞΑ'. — ΝΕΙΛΑΜΜΩΝΙ ΣΧΟΛΑΣΤΙΚΩ.

DLXI. — NILAMMONI SCHOLASTICO.

Meticulosi, sibique male conscii quis status.

Ὥσπερ οἱ ψοφοδεεῖς, καὶ πρὸς μόνην τὴν ἀκοὴν τῶν δεινῶν καταπλήττονται, καὶ οὐδὲ φύλλου φέρουσι κίνησιν, τοῦ δέους κατὰ τῶν τυχόντων μεγάλας ἐμποιοῦντος τὰς ὑποψίας· οὕτω καὶ οἱ πταίοντες, ἐλέγχοι; πανταχόθεν βάλλονται, τοῦ συνειδότος καὶ ἐκ τῶν ἐπαινούντων, καὶ ἐκ τῶν ψεγόντων, καὶ ἐκ τῶν συνειδότων, καὶ ἐκ τῶν μὴ συνειδότων κατατοξεύοντος τοὺς ἐργασαμένους.

Ut timidi, et ad solum molestiarum auditum percelluntur, ac ne ferunt quidem folii motum, quod folium suo lapsu magnum metum angoresque incutit; ad eumdem modum qui deliquerint, undique appetuntur conviciis consciorum, sive laudantium sive vituperantium, et tam ex consciis, quam non consciis veluti jaculis de commissis feriuntur.

D

ΦΞΒ'. — ΖΩΣΙΜΩ ΠΡΕΣΒΥΤΕΡΩ.

719 DLXII. — ZOSIMO PRESBYTERO.

Ad frugem bonam invitat, ut et supra sæpius.

Ὅτι οὐδὲν ἀκόλαστον, οὐδὲ μειρακιῶδες χρὴ διαπράττεσθαι, ἀλλὰ σώφρονα καὶ κεκολασμένην ἔχειν ἐν παντὶ τῷ βίῳ τὴν δίαιταν, παντί που δῆλον τῷ νοῦ καὶ φρονήσεως οὐκ ἀμοιροῦντι. Τί τοίνυν τοιαύτην κωμῳδίαν περιορᾷς κατὰ σαυτοῦ ᾀδομένην, λεγόντων τῶν σοφῶν, Οὔτε νέος ὢν περὶ τὰς ἐπιθυμίας ἐμετρίαζες διὰ τὴν πενίαν, οὔτε γεγηρακὼς διὰ τὴν

Nihil lascivum, aut puerile committendum esse, sed moderatum castigatumque vivendi modum præferendum, notum est cuivis mente prudentiaque prædito. Cur igitur veluti in comœdia, nomine etiam te reprehendi contemnis? dicentibus sapientibus ne juvenem quidem, in concupiscendo moderatum ob inopiam fuisse, ac ne senem quidem nunc

VARIÆ LECTIONES ET NOTÆ.

(62) Inter εἶναι et ὁμοίως ambo codd. inserunt οὐχ. Possin.

Digitized by Google

præ ætate desinere? Cur, quæso, adeo insanis? Quid cupiditatis excedis fines? Vel itaque ab his desiste, vel ab altari abstine.

A ἡλικίαν; Τί τοσοῦτον λυττᾷς; Τί τοὺς τῶν ἐπιθυμιῶν ὑπερβαίνεις ὅρους; Ἢ πέπαυσο τοίνυν τοιαῦτα δρῶν, ἢ εἶργε σαυτὸν τοῦ θυσιαστηρίου.

DLXIII. — SERENO TRIBUNO.

ΦΞΓ'. — ΣΕΡΗΝΩ ΤΡΙΒΟΥΝΩ.

Virtuti potius quam gloriæ serviendum ; hæc enim fluxa et fugax, illa æterna.

Mundi hujus gloria hemerocales est [hoc est flos uno die duntaxat florens]. At virtutis decus esse immarcessibile fineque carens, quivis, cui mens sit ac prudentia, affirmarit. Nihil vero mirum, multos illam expetere, hanc vero repudiare, cum et ægroti salubres rejiciant cibos, delectentur autem noxiis : et libidinosi concubinam cordatæ anteponant uxori. Decet itaque prudentiores non ab ægris, sed a sanis bonæque mentis sumere exemplum.

Ὅτι ἡμεροκαλές (63) ἐστι, τουτέστιν, ἄνθος πρὸς μίαν μόνην σχεδὸν ἡμέραν ἀκμάζον, τὸ δοξάριον τοῦ κόσμου τούτου, ἡ δὲ τῆς ἀρετῆς εὐκλεια ἀμάραντός τε καὶ ἀτελεύτητος, πᾶς τις τῶν νοῦ καὶ φρονήσεως οὐκ ἀμοιρούντων ἰσχυρίζαιτο. Εἰ δὲ πολλοὶ ἐκείνου μὲν ἀντιποιοῦνται, ταύτης δὲ καταφρονοῦσι, θαυμαστὸν οὐδέν· ἐπεὶ καὶ οἱ νοσοῦντες τὰς μὲν ὑγιεινὰς παραιτοῦνται τροφάς, ταῖς δὲ νοσώδεσιν ἥδονται· καὶ οἱ ἀκρατεῖς τὴν ἑταίραν ἀντὶ τῆς σώφρονος αἱροῦνται γυναικός. Ἀλλὰ χρὴ τοὺς ἐχέφρονας μὴ ἀπὸ τῶν ἀῤῥωστούντων, ἀλλ' ἀπὸ τῶν ὑγιαινόντων λαμβάνειν τὰς ψήφους.

DLXIV. — EIDEM.

ΦΞΔ'. — ΤΩ ΑΥΤΩ.

De Eutonio, et Eusebio. Episcopis aliisque in dignitate constitutis, ubi male agunt, blandiri atque assentari impium (Conf. epist. 470.)

Semper existimavi impium esse, parumque virile, male viventes, si imperio potiantur, observari in oculisque ferri : virtute vero præditos, si privati degant, contemni, et illos quidem laudibus affici, hos vero vituperari. Noli itaque mirari, si justum utili anteponam, et decorum lucro, virtutem denique potentiæ præferam. Id ni faciam, videar Eutonium insidiis appetitum aspernari; Eusebium contra, quia tyrannice agit, observare. Eutonium quidem universus oppugnat clerus, unus quidem sponte, alius vero propter dominantis imperium : culpam vero occasionemque belli hujus non equidem satis scio. Sunt qui se audisse dicant, virtutis illum esse alumnum egregium, hunc vero belli ex composito ansam præbere, tamen assententur ei et accusantes, atque odio prosequentes plurimi. Equidem quasi virtutis inimicum ac diabolo colludentem, qui zizania mentibus inserat mortalium, ne æquis quidem aspicere possum oculis, etsi mille interminetur mihi mortes.

Καὶ ἀσεβὲς εἶναι καὶ ἄνανδρον νενόμικα τοὺς μὴ εὖ βιοῦντας μὲν, δυναστείαν δὲ περιβεβλημένους περιέπειν· τῶν δὲ ἀρετῇ κεκοσμημένων, εἰ ἰδιωτεύοιεν, καταφρονεῖν· κἀκείνους ἐπαινεῖν, τούτους δὲ διασύρειν. Μὴ τοίνυν θαύμαζε, εἰ τὸ δίκαιον πρὸ τοῦ συμφέροντος τίθεμαι, καὶ τὸ πρέπον πρὸ τοῦ κέρδους, καὶ τὴν ἀρετὴν πρὸ τῆς δυναστείας. Εἰ γὰρ μὴ τοῦτ' ἐποίουν, ἔδοξα ἂν Εὐτόνιον μὲν, ὅτι ἐπιβουλεύεται, παρεωρακέναι, Εὐσέβιον δὲ ὅτι τυραννεῖ τεθεραπευκέναι. Εὐτονίῳ γὰρ πολεμεῖ μὲν ἅπας ὁ κλῆρος, ὁ μὲν ἑκὼν, ὁ δὲ καὶ πρὸς τὸ τοῦ κρατοῦντος σύνθημα· ἔγκλημα δὲ τοῦ πολέμου τούτου, ἐγὼ μὲν οὐκ οἶδα οὐδέν. Φασὶ δὲ λεγόντων ἀκούειν, ὅτι ἀρετῆς ἐστι θρέμμα περίβλεπτον· τὸν δὲ τὸ σύνθημα τοῦ πολέμου δόντα εἰ καὶ πολλοὶ μισοῦντες καὶ κακηγοροῦντες κολακεύουσιν, ἐγὼ ἅτε ἐχθρὸν τῆς ἀρετῆς, καὶ τῷ διαβόλῳ συμπράττοντα τῷ κατὰ τῶν ἀνθρωπίνων ψυχῶν σπείροντι τὰ ζιζάνια, οὐδ' ἰδεῖν δύναμαι, οὐδ' ἂν μυρίους ἀπειλήσῃ θανάτους.

DLXV. — JOANNI SCHOLASTICO.

ΦΞΕ'. — ΙΩΑΝΝΗ ΣΧΟΛΑΣΤΙΚΩ.

Virtutis ac vitii παραλλήλως elegans comparatio.

Quandoquidem improbitas per ea quæ statim videntur esse delectabilia incedit, et voluptatem habet commetientem sibi adminiculantem, virtus vero labores exhibet, atque contentiones : hinc usuvenit illam a pluribus adamari, hanc pauciores ad se amandum invitare. Considerandum itaque illius voluptatem quamprimum exstingui, virtutis vero gaudium perpetuum esse, et mori nescium ; voluptatis vitium parere infamiam, ruboremque ; hanc contra laudem et gloriam : illam pœna manet, hanc decus et honos comitatur. Vitium dæmonem quidem habet patronum ; virtus vero Deum legisla-

Ἐπειδὴ ἡ μὲν κακία διὰ τῶν παραυτίκα δοκούντων εἶναι τερπνῶν πορεύεται, καὶ τὴν ἡδονὴν ἔχει συμμετροῦσαν· ἡ δὲ ἀρετὴ πόνους προτείνεται καὶ ἀγῶνας· διὰ τοῦτο ἐκείνη μὲν πολλοὺς, αὐτὴ δὲ ὀλίγους ἐπεσπάσατο εἰς τὸν ἑαυτῆς ἔρωτα. Δέον γὰρ, συνορῶντας ὅτι ἡ μὲν τῆς κακίας ἡδονὴ ῥᾳδίως σβέννυται, ἡ δὲ τῆς ἀρετῆς εὐφροσύνη ἀοίδιμός ἐστι καὶ ἀθάνατος· καὶ ὅτι ἡ μὲν ἀδοξίαν καὶ αἰσχύνην, ἡ δὲ ἐπαίνους καὶ δόξαν τίκτει· καὶ ὅτι ἡ μὲν πρὸς τιμωρίαν, ἡ δὲ πρὸς τιμὴν τελευτᾷ. Καὶ ἡ μὲν τὸν διάβολον ἔχει συνήγορον, ἡ δὲ τὸν τῶν καλλίστων νομοθέτην Θεόν. Καὶ ἡ μὲν ἀνατρέπει, ἡ δὲ συγκρο-

VARIÆ LECTIONES ET NOTÆ.

(63) Ἡμεροκαλές. Floris hujus, lilii agrestis, meminere Dioscorides, Theophrastus ac Plinius ; Hesychius item ac Suidas. SCHOTT.

Digitized by Google

τεῖ τὸν ἡμέτερον βίον· καὶ ὅτι ἡ μὲν παρὰ τῶν παρόντων πολλάκις διασύρεται, ἡ δὲ καὶ παρὰ τῶν μὴ μετιόντων αὐτὴν θαυμάζεται· καὶ τῇ μὲν πῦρ, τῇ δὲ βασιλεία ἠτρέπισται. Δέον τοίνυν ταῦτα πάντα ἐννοοῦντας, τὴν μὲν ἀποστραφῆναι, ὡς θηριόμορφον καὶ ὀφιώδη, τὴν δὲ ἀσπάσασθαι ὡς θείαν καὶ ὑπερκόσμιον. Τοὐναντίον ποιοῦσι, τὴν πόρνην ἀντὶ τῆς σώφρονος αἱρούμενοι γυναικός.

A torem. Illud vitam evertit nostram, hæc vero stabilit; illud a præsentibus sæpenumero reprehenditur, hæc etiam absentibus est admirationi; illi ignis rependitur sempiternus : huic vero regnum cœlorum tribuitur. His igitur animo agitatis, illud, ut monstrum, et veluti coluber, fugiendum; hæc ut divina atque excellentissima est amplectenda. Qui secus faxit, is scortum honestæ conjugi anteponit.

ΦΞϚ'. — ΠΕΤΡΩ.

DLXVI. — PETRO.

Veritatis quanta vis. Hortatur ut constanti animo ferat amissionem bonorum temporalium. (*Vide et supra epist.* 500 *ad eumdem.*)

Ἰσχυρὸν μὲν τἀληθὲς, καὶ σιγητὸν πολλάκις· καὶ τοὺς κρύπτειν θέλοντας τὰ ἀπόῤῥητα κατήφεια προδίδωσι καὶ στεναγμὸς οὐχ ἑκούσιος· ἀλλ' οὐ λανθάνουσι τοὺς σοφοὺς, οἵτινές σε καὶ ἐπιῤῥῶσαι δίκαιον ἡγουμένους ἡμᾶς ἐπὶ τὸ γράψαι παρώρμησαν. Οὐκοῦν, ὦ φίλε, ἐννοῶν τὸ ἐπίκτητον τῶν βιωτικῶν πραγμάτων, μὴ λυποῦ ἀποστὰς αὐτῶν, μηδὲ ἐντύγχανε συνεχῶς τοῖς εἰς αὐτὰ ἐγκαλινδουμένοις, καὶ πολλὰ τῶν ἰδίων παθῶν ταῖς ὁμιλίαις ἀναμιγνύουσιν, ἀλλὰ τοῖς ἀρετῇ μηδενὶ τῶν καθ' ἑαυτοὺς ὑφιεμένοις.

Potens omnino res est veritas, et est cum silentio premi potest : et e contrario, quæ secreta sunt celare volentes, ipsa vultus tristitia gemitusque non voluntarii produnt, quod sapientes homines non fugit, qui et teipsum confirmandum rati, nos ad scribendum tibi impulerunt. Quare, o bone vir, meditans, animoque agitans, rerum humanarum imbecillitatem, dolere noli, si illis excidas : ac ne perpetuo illis adhæreas qui iis sunt immersi, et multa suarum affectionum colloquiis suis immiscent, nullaque sunt ornati virtute.

B

ΦΞΖ'. — ΜΑΡΩΝΙ.

DLXVII. — MARONI.

Bis eadem re peccans veniam non meretur. (*Supra epist.* 24 *persimilis.*)

Τὸ πρότερόν σου παρανόμημα πρόφασις εὐπρόσωπος ἐδόκει συγγνωστὸν ποιεῖν, ὁ θεῖος ὁ σὸς ἐκδεδικῆσθαι νομιζόμενος· τοῦ δὲ νυνὶ παρανομήματος οὐδὲν τοιοῦτον ἔσχες παρακάλυμμα. Ἐκ γὰρ πλεονεξίας εἰς τοῦτο ὠρμῆσθαι ἔδοξας. Καὶ τὴν ἐπὶ τῇ προτέρᾳ ὠμότητι αἰτίαν ἀπημφιάσω, γυμνὴν σαυτοῦ τὴν πονηρὰν προαίρεσιν ἐπιδειξάμενος.

Prius illud tuum delictum nescio quis speciosus prætextus venia dignum reddere videbatur, quod patruus tuus eo ab injuria vindicari videatur. At hujus delicti nullum suppetit velamentum. Habendi enim cupiditate eo videris impulsus, et culpam priori immanitati tuæ accumulasti, detegens falsum tuum propositum.

C

ΦΞΗ'. — ΔΩΡΟΘΕΩ ΛΑΜΠΡΟΤΑΤΩ.

DLXVIII. — DOROTHEO VIRO CLARISS.

De judicis et advocati diverso officio. Optima suadens non semper persuadet. Simile in oratore et judice. (*Vide epist.* 20, 219, 250, 442, 521, 547.)

Εἰ ὁ μὲν σύμβουλος τοῦ παραινεῖν ἐστι κύριος, ὁ δὲ συμβουλευόμενος τοῦ πεισθῆναι, καὶ ὁ μὲν τὸ αὐτοῦ πεποίηκεν, ὁ δὲ οὐ κεκύρωκε τὴν γνώμην τῷ εἰς πρᾶξιν αὐτὴν ἀγαγεῖν, τί πρὸς τὸν παραινέσαντα; Ὅμοιον γὰρ ποιεῖς, ὥσπερ ἂν ἐπὶ δικαστηρίου τοὺς μὲν δικαστὰς λόγον ἀπῄτεις, τὸν δὲ ῥήτορα ψῆφον. Ὃ δὲ λέγω, τοιοῦτόν ἐστι· Δέχεται τὸ δικαστήριον καὶ τοὺς δικαστὰς καὶ τὸν ῥήτορα, τοὺς μὲν ψῆφον ἔχοντας, τὸν δὲ λόγον. Οὐκοῦν ὁ μὲν εἰπεῖν κύριος, ὁ δὲ ψηφίσασθαι. Τίθενται δὲ τὴν ψῆφον πρὸς τὸ δοκοῦν, ῥήτωρ δὲ οὐδεὶς ἑαυτῷ τὴν ψῆφον ἤνεγκεν. Εἰ μὲν οὖν εἰσελθὼν ὁ ῥήτωρ σιωπᾷ, πλημμελεῖ. Εἰ δὲ ὁ λέγων καὶ δικαίως, καὶ μετὰ παντὸς τοῦ προσήκοντος, οὐ πείθει, τῶν κριτῶν ἐστι τὸ ἁμάρτημα. Ὥσπερ οὖν ἄτοπον λόγον παρὰ τῶν κρινόντων ἀπαιτεῖν, οὕτω καὶ παρὰ τοῦ συνηγόρου ψῆφον· εἰ δὲ οἱ δικάζοντες καὶ δεινῶς καὶ δικαίως λέγοντος τοῦ ῥήτορος ἀποψηφίσαιντο, τῆς μὲν νίκης ἀπεστέρησαν τὸν ῥήτορα, τῆς δὲ ἀρετῆς οὐδαμῶς. Τοιοῦτό τι νοείσθω καὶ περὶ τοῦ παραινέσαντος μὲν, μὴ πείσαντος δέ.

Si consilium dans possit adhortari, consilium vero accipiens persuaderi, et ille **721** quidem quod sui est muneris fecit; hic vero in animum non induxerit illa opere exsequi, quid hoc quæso ad adhortantem attinet? Idem tibi usuvenit, quod in tribunali, si ab illo postules orationem, ab hoc vero decretum sive judicium. Tale est quo de nunc agitur. Continet enim tribunal judices suffragii jus habentes, hunc vero patronum sermonis. Hic itaque dicendi est magister; ille judicandi ac decernendi. Ille judicat, ut sibi quidem videtur ex æquo et bono. Orator vero seu causarum patronus, nunquam pro se sententiam fert. Si itaque orator taceat ingressus, peccat. Si vero dicat pro justitia, non tamen persuadeat, judicum est vitium. Ut igitur absurdum est a judicibus orationem exigere, sic et ab oratore seu patrono decretum. Quare si judex et graviter et juste dicente oratore, male decertat, victoria quidem orator destituitur, virtute non item. Quamobrem sic de adhortante non persuadente judicato.

D

Digitized by Google

DLXIX. — ZOSIMO PRESBYTERO.

ΦΞΘ'. — ΖΩΣΙΜΩ ΠΡΕΣΒΥΤΕΡΩ.

Detestanda Zosimi carpit diserte vitia, ut hactenus semper, et sacerdotio indignum a sacris arcendum censet.

Multi in dignitate constituti, egregieque divinæ affecti religioni, nobis quotidie instant, vitam tuam moresque narrantes, in eumque invecti qui te sacerdotem ordinavit, et immaculata per te inquinari templa jactantes, sacerdotiumque probro aientes affici, atque impuris tuis manibus baptizari non paucos, ea re salutifera sacramenta injuria affici perhibent. Quos non plane, sed valde etiam sufficienti apparatu, ut equidem existimo, respondendo repuli, non vitæ tuæ (verum est enim fatendum) objecto veluti clypeo patrocinans : sic enim merito refellar, verum illud demonstrans : nihil violari laicos inquinata sacerdotum vita. Ut ipsis vero nondum sic os obturavi, clare dicebant, nobis id quidem satis persuasisti, aliis vero omnibus cum doctis tum indoctis, quis persuaserit? qui quotidie conviciis cum proscindunt, evomentes ea ore, quæ silere multo sit melius, ut et in scenam denique proferantur tua flagitia. Sed illa missa faciens, ad malorum omnium radicem veniamus. Qua de causa non persuadeas horum malorum auctorem, e tanta suscitari temulentia? Duorum enim alterum necessario cogitandum, vel nolle persuaderi, tametsi possit, vel non posse, tametsi velit. At vero cum prius illud, nempe quod cum possis, persuadere nolis, de te sentire nefas sit : restat id existimemus, quod cum te insufficientem arbitreris, conquiescere decreveris ac supersedere. Quæ etsi ita se habeant, **722** ego tamen pudore ductus non perinde fatebar; sed dixi : hæc quidem vos splendide dicitis, sed ignorantes forte coactione adigi ad bonum esse neminem. Ego vero quæ mei sunt officii iterabo. Hæc fatus illos dimisi, et atramentum lacrymis miscens, hanc denuo scribere decrevi epistolam. Etsi alias ad te scripsi frequenter, quæ bruta etiam et in anima queant percellere corpora, ipsum te testem appello, noluisse te a libidinibus tibi temperare, ut te, et nos culpa liberares, et obloquentium ora obturare posses. Quod vero neque nunc in te monendo supersedeam, sed iterum manus injiciam, etsi incurabili vulneri, ut videtur, tractando, litteræ istæ testabuntur scriptæ vehementius, quam quas nuper misi. Cum enim suaviorem directionem admonitionemque contempseris, potentiore est utendum. Cur igitur in te ipse adeo insanis (cogor enim quæ nollem proloqui)? Cur malo pertinaciter inhæres? Quid quantum in te est virtutem afflicis injuria? Cur sacrum violas altare? Quid sacra non exhorrescis profanare mysteria? Quid ita te geris, ut homines tuam vitam intuentes, existiment etiam per illam sacra coinquinari mysteria? Quid gentes ad Christi Ecclesiam venire paratissimas injuria afficis, ostium etiam illis occludendo? Quid scenam novis imples dramatis? Ut quid novas vitæ importas actiones? Cur veteres obscuras tragœdias? Si Deum non times, quia

Πολλοὶ τῶν ἐν τέλει διαφερόντως τῇ θειοτάτῃ θρησκείᾳ ἀνακείμενοι, συνεχῶς ἡμῖν ἐπιφύονται, τὸν βίον τὸν σὸν προφέροντες, καὶ τοῦ χειροτονήσαντός σε καταβοῶντες, καὶ τὰ ἄχραντα ἀνάκτορα μολύνεσθαι λέγοντες, καὶ τὴν ἱερωσύνην παροινεῖσθαι φράζοντες, τοὺς βαπτιζομένους διὰ τῶν μιαρῶν σου χειρῶν εἰς τὰ σωτηριώδη ἀδικεῖσθαι σύμβολα φάσκοντες. Οὓς οὐχ ἁπλῶς, ἀλλὰ καὶ σφόδρα μετὰ κατασκευῆς ἱκανῆς, ὡς ἔγωγε ἡγοῦμαι, ἀποκρινάμενος ἐτρεψάμην· οὐ τοῦ σοῦ βίου (χρὴ γὰρ ταύτῃ λέγειν) ὑπερασπίζων· ἢ γὰρ ἂν κατεγνώσθην· ἀλλὰ τοῦτο δεικνὺς, ὡς οὐδὲν ὁ λαϊκὸς παραβλάπτεται τοῦ ἱερέως μὴ εὖ βιοῦντος. Ὡς δὲ οὐδὲ οὕτως αὐτὸν ἐπεστόμισα, γεγωνότερον ἔφησαν· ὅτι ἡμᾶς μὲν ἱκανῶς ἔπεισας, τοὺς δὲ ἄλλους πάντας, τούς τε ἐλλογίμους, τούς τε ἀγελαίους τίς πείσει, τοὺς καθ' ἑκάστην ταῦτα κωμῳδοῦντας τὴν ἡμέραν; Τοσοῦτον ἐκπτύοντας, ἃ σιγᾶσθαι ἔπρεπεν, ὡς καὶ σκηνοβατεῖσθαι λοιπὸν τὰ παρ' αὐτοῦ δρώμενα; Ἵνα δὲ ἐκείνων ἀφιέμενοι, εἰς τὴν ῥίζαν τῶν κακῶν καταγενοίμεθα, δι' ἣν αἰτίαν αὐτὸν τὸν κακῶν ἀρχιτέκτονα οὐ πείθεις ἀνενεγκεῖν ἐκ τῆς τοσαύτης μέθης; Δυοῖν γὰρ θάτερον ἀναγκαζόμεθα ἐννοεῖν, ἢ μὴ βούλεσθαι πεῖσαι καὶ σφόδρα δυνάμενον, ἢ μὴ δύνασθαι καὶ σφόδρα βουλόμενον. Ἀλλὰ μὴν εἰ τὸ πρότερον οὐκ ἔστι πιστεῦσαι κατὰ σοῦ, ὡς ἐξὸν ἐκείνου λῦσαι τὴν κακίαν, οὐ βούλει· λείπεται τὸ, ὡς ἀδύνατος εἶναι νομίζων, τὴν ἡσυχίαν ἀγαγεῖν. Ἐγὼ δὲ εἰ καὶ ταῦτ' οὕτως ἔχει, τοῦτο μὲν οὐχ ὡμολόγησα ἐρυθριῶν. Τοσοῦτον δὲ ἔφην, ὅτι Ὑμεῖς μὲν ταῦτα σεμνολογεῖσθε, οὐκ εἰδότες ἴσως, ὅτι ἀνάγκῃ ποιῆσαί τινα ἀγαθὸν οὐκ ἔστιν. Ἐγὼ δὲ τὰ παρ' ἐμαυτοῦ πάλιν ποιήσω. Οὕτως ἀποπέμψας ἐκείνους, καὶ δάκρυσι σχεδὸν κεράσας τὸ μέλαν, καὶ τοῦτο χαράξαι διέγνων τὸ γράμμα. Ὅτι γὰρ πολλάκις σοι γέγραφα, ἃ καὶ τὴν ἄψυχον φύσιν κάμψαι ἠδύνατο, αὐτόν σε καλῶ μάρτυρα, τὸν μὴ βουλόμενον ἀποστῆναι τῆς λαγνείας, ἵνα καὶ σαυτὸν καὶ ἡμᾶς ἐγκλημάτων ἀπαλλάξῃς, καὶ τοὺς ἐγκαλοῦντας ἐπιστομίσῃς. Ὅτι δὲ οὐδὲ νῦν σοι ἀποτάττομαι, ἀλλὰ κεκρατημένῳ ἐγχειρῶ, καὶ τὸ δοκοῦν ἀχείρωτον εἶναι πάθος, χειρώσασθαι πειρῶμαι, ταῦτα μαρτυρήσει τὰ γράμματα δριμύτερα ὄντα τῶν πρώην σοι ἐπισταλέντων. Ἐπειδὴ γὰρ τῆς πραοτέρας ἀγωγῆς κατεφρόνησας, ἀνάγκη καὶ τῇ δραστικωτέρᾳ χρήσασθαι. Τί τοιγαροῦν τοσοῦτον (ἀναγκάζομαι γὰρ ἃ μὴ βούλομαι φράσαι) κατὰ σαυτοῦ ἐμάνης; Τί τῆς κακίας ἀπρὶξ ἔχῃ; Τί ὑβρίζεις τόγε σαυτοῦ μέρος τὴν ἀρετήν; Τί χραίνεις τὰ ἀνάκτορα; τί τὴν θείαν τελετὴν ἐξορχούμενος οὐ φρίττεις; Τί παρασκευάζεις τοὺς ἀνθρώπους τῷ σῷ βίῳ προσέχοντας παραβλάπτεσθαι νομίζειν καὶ εἰς τὰ σωτηριώδη σύμβολα; Τί καὶ τοὺς ἀπὸ τῶν ἐθνῶν ἑτοιμοτάτους ὄντας εἰς τὴν Ἐκκλησίαν μεταφοιτῆσαι, ἀδικεῖς ἀποσοβῶν τὴν θύραν; Τί τὴν σκηνὴν νεωτέρων δραμάτων ἐνέπλησας; Τί καινὰ τῷ βίῳ εἰσφέρεις τὰ δράματα; Τί τὰς παλαιὰς ἀπέκρυψας

Digitized by Google

τραγῳδίας; Εἰ τὸ θεῖον οὐ φοβῇ, ἐπειδήπερ τέως μακροθυμεῖ, κἂν τοὺς ἀνθρώπους αἰδέσθητι· εἰ κρίσιν μὴ δέδιας, κἂν χρηστῆς ὑπολήψεως ἀντιποίησαι. Εἰ μηδὲν εἶναι ἡγῇ μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν (τοῦτο γὰρ αἱ σεμναί σου πράξεις λαμπρῶς βοῶσι), κἂν τὴν τῶν ἀνθρώπων κωμῳδίαν εὐλαβήθητι. Εἰ δὲ μηδὲ ταύτης λόγον ποιῇ, κἂν τὸ καθαιρεθῆναι φοβήθητι. Εἰκὸς γάρ σε τοῦτο παθεῖν. Εἰ γὰρ καὶ νῦν ταῦτα δρῶν οὐκ ἐξοστρακίζῃ· ἔοικε γὰρ ὁ χειροτονήσας σε τῇ κακίᾳ χαίρειν, ἀλλὰ ἴσως ὁ μετ' αὐτὸν τοῦτο ποιήσει. Καὶ τῷ θείῳ, καὶ τῷ θυσιαστηρίῳ, καὶ τοῖς ἀχράντοις μυστηρίοις, καὶ τοῖς ἀνθρώποις ἀπολογησάμενος (64). Πολλοί, ὦ ἄθλιε Ζώσιμε (ἀναγκάζομαι καὶ εἰς θρήνους ἐξελθεῖν) πρὸ σοῦ γεγόνασιν ἀσεβεῖς τε καὶ ἁμαρτωλοί, μήτε τὸ θεῖον φοβηθέντες, μήτε βίου χρηστοῦ ἐπιμεληθέντες· ἀλλὰ πάντας σὺ παρῆλθας· πάντων ἐκείνων ἐγένου κορυφαῖος· ἄπιστον καὶ ἀμίμητον παράδειγμα γέγονας. Ἔσχον γὰρ ἐκεῖνοί τινας ἀρετάς, σὺ δὲ τῇ μὲν κακίᾳ καὶ ταῖς ἡδοναῖς ἐσπείσω, πρὸς δὲ τὴν ἀρετὴν ἀκήρυκτον ἐπανείλου τὸν πόλεμον· πάντων γέγονας κωμῳδία καὶ γέλως καὶ σκάνδαλον· θεώμενοι γάρ σε ταῖς μιαραῖς χερσὶ τῶν ἱερῶν ἁπτόμενον μυστηρίων, ἀποπηδῶσιν, ἀμύητοι μᾶλλον αἱρούμενοι εἶναι, ἢ παρὰ ἀκαθάρτων καὶ μιαρῶν χειρῶν τὰ ἄχραντα δέξασθαι δῶρα, καίτοι πολλὰ πολλάκις παρ' ἐμοῦ ἀκούοντες, ὡς οὐδὲν ταύτῃ παραβλάπτονται, τινὲς μὲν αὐτῶν οὐ πείθονται, τινὲς δὲ οὐδὲ τὰς ἀκοὰς ὑπέχουσι ῥᾳῳδεῖν περὶ τούτου νομίζοντες. Καὶ τὸν Βαλαὰμ καὶ τὸν Καϊάφαν προεβαλόμην, ἀσεβεστάτους μὲν καὶ ἀδικωτάτους γεγονότας, εἶτα τὸν μὲν τὰς εὐλογίας ἀποφθεγξάμενον, τὸν δὲ προφητεύσαντα. Καὶ τοῦ κόρακος δὲ τοῦ ἀκαθάρτου καὶ μισοτέκνου πτηνοῦ (65) ἐμνημόνευσα, δι' οὗ ὁ Ἠλίας ἐτράφη. Ἀλλὰ καίτοι ἐν πᾶσι τοῖς ἄλλοις πειθόμενοι, καὶ ἐκθειάζοντες, οὐκ ἐθέλουσι πείθεσθαι ἐν τοῖς περὶ σοῦ λεγομένοις. Ἐκ γὰρ τῆς ὑπερβολῆς τῶν πεπλημμελημένων σοι καὶ πλημμελουμένων τὴν ἐναντίαν φέρουσι ψῆφον, οὐ τοῖς λεγομένοις παρ' ἐμοῦ, ἀλλὰ τοῖς πραττομένοις παρὰ σοῦ προσέχοντες, καὶ τὰς παραινέσεις ἀποσειόμενοι. Ἀλλ' ὦ, τί σε καλέσας προσάψωμαι καὶ τῆς ἀληθείας; Τί δὲ εἰπὼν ἀπαλλάξω σε τῆς μανίας; Τί δὲ γράψας παύσω σε τῆς ἀσελγείας; ἢ πέπαυσο τοιαῦτα δρῶν, ἢ τῆς ἱερᾶς τραπέζης σαυτὸν χώρισον· ἵν' ἀδεῶς λοιπὸν οἱ τῆς Ἐκκλησίας τρόφιμοι τοῖς θείοις προσέρχωνται μυστηρίοις, ὧν ἄνευ σωθῆναι οὐχ οἷόν τε.

A hactenus in te longanimis exstitit, vel homines saltem reverere. Si judicium ejus non pertimescis, bonæ tamen famæ rationem habe. Si nihil post hoc vitæ exsilium fore existimas, quod gravia tua crimina satis arguunt, mortalium saltem reprehensionem formida. Sin horum nihil curas, rescindi saltem te ab Ecclesia par erat. Æquum enim hoc te pati. Si enim etiamnum talia committens flagitia non expelleris (videtur enim qui te ordinavit sacerdotem improbitate gaudere), tamen ejus forte successor id faciet, et Deo, altarique et puris mysteriis, hominibusque rem gratam faciet. Plerique, o miser Zosime (in lamenta etiam prorumpere cogimur), ante te fuerunt impii quidem, et peccatores, neque Deum timentes, neque frugi, honestamque curantes vitam, sed omnibus a tergo relictis, B factus tamen es coryphæus, infidum et non imitandum præbens exemplum. Habeant enim illi virtutes aliquas, tu vero cum improbitate, ac voluptatibus fœdus inivisti, atque implacabile cum virtute bellum suscepisti. Omnium denique factus es fabula, risus et scandalum. **723** Cognito enim te exsecrandis tractare manibus sacra missæ mysteria, recedunt homines, maluntque non initiari, quam ut ab impuris, sceleratisque manibus pura et inmaculata suscipiant munera. Et tametsi multi sæpius ex me audierint nihil horum obesse, quidam tamen assensi non sunt, quidam vero ne auribus quidem æquis accipiunt, nugari me opinantes. Et Balaam, et Caipham in medium attuli, impiissimos quidem, et C injustissimos, illum quidem benedictionem proferentem, hunc etiam prophetantem. Memoravi et corvum avem impuram, pullos odio habentem, a qua Elias in deserto alebatur. Sed aliis omnibus rebus assensi, religionique ducentes, in his tamen de te assentiri recusarunt. A copia enim flagitiorum abs te commissorum, quæque in dies delicta admittis, in contrarium ferunt sententiam, non iis quæ a me dicuntur, sed quæ a te committuntur, intenti admonitiones etiam repudiantes. Sed quid te vocans, et adhærebo veritati. Quid dicens ab amentia liberabo te? Quid scribens a libidine et impuritate te vindicabo? vel talia committere desine, vel a sacra mensa discede, ut tuto denique Ecclesiæ alumni ad D sacra accedant mysteria, sine quibus salutem consequi nequeant.

VARIÆ LECTIONES ET NOTÆ.

(64) Ἀπολογησάμενος ambo codd. in futuro ponunt scribentes ἀπολογησόμενος.

(65) *Μισοτέκνου πτηνοῦ. Aliter* μισοτέκνους. C. Plinius lib. x *Natur. Hist.*, cap. 12, de corvis : *Pellunt nidis pullos, ac vetare cogunt; qui et ipsi non carne tantum aluntur, sed robustos quoque factos suos fugant longius.* Et mox : *singuli perpetuo volant genitores soboli loco cedunt.* Plura ex Aristot. et Æliano Jo. Bochius ad psal. CXLVI in fine. SCHOTT.

Digitized by Google

COLLATIO EPISTOLARUM

quæ in editis Patrum exstant catenis, cum Isidori epistolis in editione Parisiensi excusis.

I.

Σειρὰ ἐνὸς καὶ πεντήκοντα ὑπομνηματιστῶν εἰς τὴν Ὀκτάτευχον καὶ τὰ τῶν Βασιλειῶν, ἤδη πρῶτον τύποις ἐκδοθεῖσα. ἀξιώσει μὲν Γρηγορίου Ἀλεξάνδρου Γκίνα, ἐπιμελείᾳ δὲ Νικηφόρου. Ἐν Λειψίᾳ τῆς Σαξονίας 1772.

VOLUMEN PRIMUM.

P. 51, 52. — Lib. III, ep. 93.

A catenæ auctore omissæ sunt 10 lineæ priores. Incipit enim in hunc modum: Κρεῖττον μὲν ποιοῦσιν οἱ τῷ βελτ., κ. τ. λ.

Idem omisit omnia ea quæ in edit. Par. exstant inde a verbis, ἐπειδὴ τοῖς συγκαταβατικῶς — lin. 7, 8, lit. D, usque ad ultima hujus paginæ verba, πρὸς ὑμᾶς.

P. 294*, lit. A, lin. 1, ὥς γε ἡγοῦμαι des. in cat. ibid. 5. νοερὰν deest in cat. ibid. 6, ἀλλὰ τοσοῦτον. ibid. 8. κτίσαντος des. in cat. ibid. 9. Paris. τί οὖν δήποτε εἶπεν ὁ Παῦλος, cat. τί οὖν ὁ Παῦλος εἶπεν. — Lit. B, lin. 6. P. τοῦτ' ἔφρ., cat. τοῦτο ἔφρ. ibid. 6, 7, P. εἰ δὲ πρὸς ταῦτα ἀνθυπενέγκοιεν, cat. εἰ δὲ ἀνθυπενέγκοιτε. ibid. 9, 10. καὶ καθ' ὁμοίωσιν des. in cat. — Lit. C, lin. 2. P. εἰ δὲ τὸ, cat. εἰ δὲ καὶ τό. ibid. 4. λαμπρῶς deest in cat. ibid. 8, 9. P. ἠξιοῦτο ἀρχῆς, cat. ἠξίωτο τιμῆς. ibid. 9. P. ἐπειδὴ δ' ἔπτ., cat. ἐπειδὴ δὲ ἕπτ. — Lit. D, lin. 5, 6. P. τὸ δ' ἀποστολικὸν λόγιον, cat. ὁ δὲ ἀπόστολος. — Lit. E, lin. 7. P. ἐὰν δὲ, cat. ἐγώ. ibid. 10. P. αὐτῷ ἐνεχείρ. cat. ἐνεχείρ. αὐτῷ.

P. 295, lit. A, lin. 3, 4. P. δηλοῖ, cat. δῆλον. ibid. 6. ὕστερον δέ. ibid. 8. ὁμοίωσιν des. in cat. ibid. 9. P. ὡς ἔφην εἰπών, cat. ἢ τῇ προαιρέσει. — Lit. B, lin. 1, P. ἵν' ἢ τὸ, cat. ἵνα ἢ. ibid. 3. δὸ πρὸ μὲν τῆς δημ. ibid. lin. 5. θάτερον. des. in cat. — Lit. C, lin. 1, 2. P. παρεὶς ἐκείνην τὴν ἀπολογίαν, cat. παρεὶς ἐκεῖνο. ibid. 2. P. ἀληθὴς, cat. ἀληθές. ibid. 2, 3. P. εἴτε μὴ, cat. εἴτε ψευδές. ibid. 3. P. ἦν cat. ὅ. ibid. 9. καὶ πάσης. — Lit. D, lin. 4. ἀληθές, des. in cat. P. ὅτε ὁ — cat. ὅτε δὲ ὁ. ibid. 5. τῷ δικαιοσύνην ἀσμενίσαι des. in cat. ibid. 7. καὶ μονονουχὶ τόν. ibid. 9. καταμεμφόμενα des. in cat. Lit. D, lin. 7 seqq. P. καὶ τὸν Δανιὴλ δὲ οἱ λέοντες ἠδέσθησαν· καὶ τὸ πῦρ τοὺς παῖδας τοὺς τρεῖς· καὶ ἡ ἔχις τὸν Π. ὖλον οὐδὲν ἔβλαψε, cat. καὶ τὸν Δανιὴλ οἱ λέοντες ἠδέσθησαν, καὶ ἡ ἔχιδνα τὸν Παῦλον. — Lit. E, lin. 1, δι' ὧν οὖν κ. τ. λ. des. in cat.

P. 74. — Lib. III, ep. 252.

A catenæ auctore omissæ sunt 6 lineæ priores. Incipit enim hisce verbis: Ὁ γὰρ κακοῦργος καὶ ὁ, κ. τ. λ.

P. 358, lit. A, lin. 1. P. δοκοίη, cat. δοκῇ. ibid. 3. P. δοκοίη, cat. δοκῇ. ibid. 10. P. θείου, cat. ἁγίου.

P. 87. — Lib. I, ep. 51.

P. 15, lit. D, lin. 2. μὴ τοῦτο νόμιζε, ὧν τῶν θείων ἀκόρεστε, des. in cat. ibid. 3. ἀγνώμοσιν deest in cat. ibid. 6. P. εὐεργετεῖν αὐτὸν, cat. αὐτὸν εὐεργετεῖν. ibid. 7. P. ἔχοντα κακοῦν, cat. ἔχοντα τοῦ κακοῦν. — Lit. E, lin. 3. P. εἰς ἡμᾶς σοφῶν, cat. σοφῶν εἰς ἡμᾶς. ibid. 4. P. τοῦτο, cat. τοῦτο ἦν, ibid. 7. ἐπειδὴ δευτέρα, κ. τ. λ., des. in cat.

P. 99 — Lib. IV, ep. 149.

A catenæ auctore omissæ sunt 15 lineæ priores. Incipit enim hisce verbis, Ἐπειδὴ εἶπεν ὁ Θεὸς, κ. τ. λ. et concludit in hunc modum: — τίκτει ἐλπίδα, p. 498, lit. A, lin. 7, 8. Omisit igitur etiam 15 lineas posteriores.

P. 118. — Lib. IV, ep. 8.

P. 416, lit. E, lin. 7. ἔφης deest in cat.

P. 151. — Lib. I, ep. 69.

Initium hujus epistolæ apud catenæ auctorem est hujuscemodi, Εἴσελθε εἰς τὴν κιβωτόν. Cf. p. 24, lit. C, lin. 3; et sinis, τὸ γένος τὸ θεοσεβές. Cf. lit. D, lin. 2, 3. Alia omnia omisit.

P. 203. — Lib. III, ep. 296.

P. 376, lit. C, lin. 6. καὶ ἔργοις διαπρέψαντες, des. in cat.

P. 225. — Lib. II, ep. 81.

A catenæ auctore omissæ sunt 49 lineæ priores. Incipit enim in hunc modum: Ὡς ἄλογον. Cf. p. 158, lit. B, lin. 3; et concludit hisce verbis, ὑπομενοῦσι τὴν τιμωρίαν, lit. C, lin. 10, omissis rursum lineis 9 posterioribus.

P. 266. — Lib. III, ep. 180.

P. 328, lit. E, lin. 1, ἡ deest in cat. ibid. 3. P. ἀγγελεῖ, cat. ἀναγγελεῖ. ibid. 4 παιδίον deest in cat. ibid. 4, 5. ἐχρῆν γὰρ εἰπεῖν ὅτι τέτοκε, des. in cat. ibid. 9. P. ἀλλὰ Ἀβρ., cat. ἀλλ' Ἀβρ. ibid. 10. P. τις ἠγεῖται, cat. τις τοῦτο ἠγεῖται. ibid. 10. P. τῷ Ἀβρ., cat. τοῦ Ἀβρ. τοῦτό φησι.

P. 329, lit. A, lin. 4. P. περὶ παρόντων, cat. παρόντος. ibid. 4. P. ὡς καὶ τό, cat. ὡς τόν. ibid. 3. P. εἰσακούσει, cat. εἰσακούει. ibid. 10. P. γάλακτος, cat. τοῦ γάλακτος.

P. 291. — Lib. I, ep. 43.

P. 13, lit. E, lin. 1. P. ἀπόθες, cat. ὑπόθες. — Lit. E, lin. 4. P. τῶν μηρῶν, cat. τοῦ μηροῦ. ibid. 4. P. θεόν — cat. τὸν θεόν.

P. 313. — Lib. I, ep. 192.

